This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Digitized by Google

69.

1837
ARTES VERITAS SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM CIRCUMSPICE

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

19 — 42 . 61

ANTIQUA HISTORIA

EX IPSIS

VETERUM SCRIPTORUM GRAECORUM

NARRATIONIBUS CONTEXTA,

EDIDIT

JO. GODOFR. EICHHORN.

TOMUS TERTIUS.

LIPSIAE,

IN LIBRARIA WEIDMANNIA.

MDCCCXII.

Digitized by Google

19 - 42

HISTORIA ITALIAE

EX IPSIS

VETERUM SCRIPTORUM GRAECORUM

NARRATIONIBUS CONTEXTA.

EDIDIT

JO. GODOFR. EICHHORN.

PARS PRIMA.

LIPSIAE,

IN LIBRARIA WEIDMANNIA.

MDCCCXII.

Digitized by Google

Digitized by Google

ARGUMENTUM.

II. DE

Digitized by Google

II. DE REBUS ITALORUM.

Strabo, Lib. V. c. 1. Brevis delineatio veteris Italiae.

Μετὰ δὲ τὴν ὑπώρειαν τῶν Ἄλπεων, ἀρχὴ τῆς νῦν Ἰταλίας· οἱ γὰρ παλαιοὶ τὴν Ὀινωτρίαν, ἐκάλεν Ἰταλίαν, ἀπὸ τῦ Σικελικῦ πορθμῦ, μέχρι τῦ Ταραντίνυ κόλπυ, καὶ τῦ Ποσειδωνιάτυ διήκυσαν· ἐπικρατῆσαν δὲ τὔνομα, καὶ μέχρι τῆς ὑπωρείας τῶν Ἄλπεων πρῦβη. Προσέλαβε δὲ καὶ τῆς Λιγυστικῆς, μέχρι Ὀυάρυ ποταμῦ καὶ τῆς ταύτῃ θαλάττης, ἀπὸ τῶν ὁρίων τῶν Τυῤῥηνικῶν, καὶ τῆς Ἰςρίας μέχρι Πόλας. Ἐικάσειε δ' ἄν τις εὐτυχήσαντας τὺς πρώτυς ὀνομαθέντας Ἰταλὺς, μεταδῦναι καὶ τοῖς πλησιοχώροις· εἶθ' ὕτως ἐπίδοσιν λαβεῖν, μέχρι τῆς Ῥωμαίων ἐπικρατείας. Ὀψὲ δέ ποτε, ἀφ' ὗ μετέδοσαν Ῥωμαῖοι τοῖς Ἰταλιώταις τὴν ἰσοπολιτείαν, ἔδοξε καὶ τοῖς ἐντὸς Ἄλπεων Γαλάταις καὶ Ἐνετοῖς τὴν αὐτὴν ἀπονεῖμαι τιμὴν, προσαγορεῦσαι δὲ καὶ Ἰταλιώτας πάντας καὶ Ῥωμαίυς· ἀποικίας τε πολλὰς ςεῖλαι, τὰς μὲν πρότερον, τὰς δ' ὕςερον, ὧν ὐ ῥάδιον εἰπεῖν ἀμείνυς ἑτέρας. — Ἑνὶ μὲν ὗν σχήματι σύμπασαν τὴν νῦν Ἰταλίαν ὐ ῥᾴδιον περιλαβεῖν γεωμετρικῶς· καί τοι φασὶν ἄκραν εἶναι τρίγωνον, ἐκκειμένην πρὸς νότον καὶ χειμερινὰς ἀνατολὰς, κορυφυμένην δὲ πρὸς τῷ Σικελικῷ πορθμῷ, βάσιν δ' ἔχυσαν τὰς Ἄλπεις· .... συγχωρῆσαι δὲ καὶ τῶν πλευρῶν μίαν, τὴν ἐπὶ τὸν πορθμὸν τελευτῶσαν, κλυζομένην δὲ ὑπὸ τῦ Τυῤῥηνικῦ πελάγυς. Τρίγωνον δὲ ἰδίως τὸ εὐθύγραμμον καλεῖται σχῆμα· ἐνταῦθα δὲ καὶ αἱ βάσεις, καὶ αἱ πλευραὶ περιφερεῖς εἰσίν· ὥςε, εἰ φημὶ δεῖν συγχωρεῖν, περιφερογράμμυ σχήματος θετέον καὶ τὴν βάσιν, καὶ τὴν πλευράν· συγχωρητέον δὲ καὶ τὴν λόξωσιν ταύτης τῆς πλευρᾶς τὴν ἐπὶ τὰς ἀνατολάς. Τ' ἄλλα δ' ὐχ ἱκανῶς εἰρήκασιν, ὑποθέμενοι μίαν πλευρὰν ἀπὸ τῦ μυχῦ τῦ Ἀδρίυ μέχρι τῦ πορθμῦ· πλευρὰν γὰρ λέγομεν τὴν ἀγώνιον γραμμήν· ἀγώνιος δ' ἐςὶν, ὅταν ἢ μὴ συννεύῃ πρὸς ἄλληλα τὰ μέρη, ἢ μὴ ἐπὶ πολύ. Ἡ δὲ ἀπὸ Ἀριμίνυ ἐπὶ τὴν ἄκραν τὴν Ἰαπυγίαν, καὶ ἡ ἀπὸ τῦ πορθμῦ ἐπὶ τὴν

τὴν αὐτὴν ἄκραν, πάμπολύ τι συννεύουσιν. Ὁμοίως δ' ἔχειν οἴομαι καὶ τὴν ἀπὸ τοῦ μυχοῦ τοῦ Ἀδρίου, καὶ τὴν ἀπὸ τῆς Ἰαπυγίας· συμπίπτουσαι γὰρ ἐπὶ τοὺς περὶ Ἀρίμινον καὶ Ῥαβένναν τόπους, γωνίαν ποιοῦσιν· ει δὲ μὴ γωνίαν, περιφέρειάν γε ἀξιόλογον. Ὥςτ', ει ἄρα τοῦτ' ἂν ἔιη μία πλευρὰ, ὁ παράπλους, ὁ ἀπὸ τοῦ μυχοῦ ἐπὶ τὴν Ἰαπυγίαν, οὐκ εὐθεῖα· τὸ δὲ λοιπὸν τὸ ἐνθένδε ἐπὶ τὸν πορθμὸν, ἄλλην ἂν ὑπογράφοι πλευρὰν, οὐδὲ ταύτην εὐθεῖαν. Ὅυτω δὲ τετράπλευρον μᾶλλον, ἢ τρίπλευρον φαίη ἄν τις τὸ σχῆμα· τρίγωνον δ' οὐδοπωσοῦν, πλὴν ει καταχρώμενος. Βέλτιον δ' ὁμολογεῖν, ὅτι τῶν ἀγεωμετρήτων σχημάτων, οὐκ ευεπίγραφος ἡ ἀπόδοσις. — Κατὰ μέρος δ' οὕτως ἐιπεῖν δυνατὸν, ὅτι τῶν μὲν Ἄλπεων περιφερής ἡ ὑπώρειά ἐςι, καὶ κολπώδης, τὰ κοῖλα ἔχουσα ἐςραμμένα πρὸς τὴν Ἰταλίαν. τοῦ δὲ κόλπου τὰ μὲν μέσα πρὸς τοῖς Σαλασσοῖς ἐςί· τὰ δ' ἄκρα ἐπιςροφὴν λαμβάνει, τὰ μὲν, μέχρι τῆς Ὄκρας καὶ τοῦ μυχοῦ τοῦ κατὰ τὸν Ἀδρίαν, τὰ δ', εις τὴν Λιγυςικὴν παραλίαν μέχρι Γενούας, τοῦ τῶν Λιγύων ἐμπορίου, ὅπου τὰ Ἀπέννινα ὄρη συνάπτει ταῖς Ἄλπεσιν. Ὑπόκειται δ' εὐθὺς πεδίον ἀξιόλογον πάρισόν πως ἔχον τὸ πλάτος καὶ τὸ μῆκος, ςαδίων ἑκατὸν καὶ δισχιλίων· τὸ δὲ μεσημβρικὸν αὐτοῦ πλευρὸν κλείεται τῇ τε τῶν Ἐνετῶν παραλίᾳ, καὶ τοῖς Ἀπεννίνοις ὄρεσι, τοῖς περὶ Ἀρίμινον καὶ Ἀγκῶνα καθήκουσι. Ταῦτα γὰρ ἀρξάμενα ἀπὸ τῆς Λιγυςικῆς εις τὴν Τυῤῥηνίαν ἐμβάλλει, ςενὴν παραλίαν ἀπολιπόντα· ἔιτα ἀναχωροῦντα εις τὴν μεσόγαιαν κατ' ὀλίγον, ἐπειδὰν γένηται κατὰ τὴν Πισᾶτιν, ἐπιςρέφει πρὸς ἕω, καὶ πρὸς τὸν Ἀδρίαν ἕως τῶν περὶ Ἀρίμινον καὶ Ἀγκῶνα τόπων, συνάπτοντα ἐπ' εὐθείας τῇ τῶν Ἐνετῶν παραλίᾳ. Ἡ μὲν οὖν ἐντὸς Ἄλπεων Κελτικὴ τούτοις κλείεται τοῖς ὅροις· καὶ ἔςι τῆς μὲν παραλίας τὸ μῆκος ὅσον τ' ςαδίων ἐπὶ τοῖς ἑξακισχιλίοις, μετὰ τῶν ὀρῶν· μικρὸν δ' ἔλαττον τὸ πλάτος τῶν χιλίων. Ἡ λοιπὴ δ' Ἰταλία, ςενὴ καὶ παραμήκης ἐςὶ, κορυφουμένη διχῶς, τῇ μὲν πρὸς τὸν Σικελικὸν πορθμὸν, τῇ δὲ πρὸς τὴν Ἰαπυγίαν· σφιγγομένη δ' ἑκατέρωθεν, τῇ μὲν ὑπὸ τοῦ Ἀδρίου, τῇ δ' ὑπὸ τοῦ Τυῤῥηνικοῦ πελάγους. Ἔςι δ' ὅμοιον τὸ σχῆμα τοῦ Ἀδρίου καὶ

τὸ

Digitized by Google

τὸ μέγεθος τῇ Ἰταλίᾳ τῇ τε ἀφοριζομένῃ τοῖς Ἀπεννίνοις ὄρεσι, καὶ τῇ θαλάττῃ ἑκατέρᾳ, μέχρι τῆς Ἰαπυγίας καὶ τοῦ ἰσθμοῦ τοῦ κατὰ τὸν Ταραντῖνον καὶ τὸν Ποσειδωνιάτην κόλπον· τό τε γὰρ πλάτος τὸ μέγιστον ἀμφοῖν ἐστὶ περὶ χιλίους καὶ τριακοσίους σταδίους· τὸ δὲ μῆκος ἔλαττον, οὐ πολὺ τῶν ἑξακισχιλίων. Ἡ λοιπὴ δ' ἐστὶν, ὅσην κατέχουσι Βρέττιοι καὶ Λευκανοί. Φησὶ δὲ Πολύβιος, πεζῇ μὲν εἶναι τὴν παραλίαν τὴν ἀπὸ Ἰαπυγίας μέχρι πορθμοῦ καὶ τρισχιλίων σταδίων· κλύζεσθαι δ' αὐτὴν τῷ Σικελικῷ πελάγει· πλέοντι δὲ καὶ πεντακοσίων δεοῦσαν. Τὰ δὲ Ἀπέννινα ὄρη συνάψοντα τοῖς περὶ Ἀρίμινον καὶ Ἀγκῶνα τόποις, καὶ ἀφορίσαντα τὸ ταύτῃ πλάτος τῆς Ἰταλίας ἀπὸ θαλάττης ἐπὶ θάλατταν, ἐπιστροφὴν λαμβάνει πάλιν, καὶ τέμνει τὴν χώραν ὅλην ἐπὶ μῆκος. Μέχρι μὲν δὴ Πευκετίων καὶ Λευκανῶν, οὐ πολὺ ἀφίσταται τοῦ Ἀδρίου· συνάψαντα δὲ Λευκανοῖς, ἐπὶ τὴν ἑτέραν θάλατταν ἀποκλίνει μᾶλλον, καὶ λοιπὸν διὰ μέσων τῶν Λευκανῶν καὶ Βρεττίων διεξιόντα τελευτᾷ πρὸς τὴν Λευκόπετραν τῆς Ῥηγίνης καλουμένην. Τυπωδῶς μὲν οὖν εἴρηται περὶ τῆς νῦν Ἰταλίας ταῦτα.

Dionysius Halicarn. Antiq. Romanar. L. I. c. 9 & 60. Antiquissimi Italiæ incolæ. Siculi (Iberi) Aborigines.

Τὴν ἡγεμόνα γῆς καὶ θαλάσσης ἁπάσης πόλιν, ἣν νῦν κατοικοῦσι Ῥωμαῖοι, παλαιότατοι τῶν μνημονευομένων λέγονται κατασχεῖν βάρβαροι Σικελοὶ, ἔθνος αὐθιγενές. τὰ δὲ πρὸ τούτων, εἴθ' ὡς κατείχετο πρὸς ἑτέρων, εἴθ' ὡς ἔρημος ἦν, οὐδεὶς ἔχει βεβαίως εἰπεῖν. χρόνῳ δὲ ὕστερον Ἀβοριγῖνες· οἱ Σικελοὺς ἐξανέστησαν ἐκ τούτων τῶν χωρίων, Ἕλληνες ὄντες τὸ ἀρχαῖον ἐκ Πελοποννήσου, τῶν σὺν Οἰνώτρῳ μετενεγκαμένων τὴν οἴκησιν ἐκ τῆς καλουμένης νῦν Ἀρκαδίας, ὡς ἐγὼ πείθομαι. ἔπειθ' οἱ μεταστάντες ἐκ τῆς τότε μὲν Αἱμονίας, νῦν δὲ Θετταλίας καλουμένης, Πελασγοί· τρίτοι δὲ οἱ σὺν Εὐάνδρῳ παραγενηθέντες ἐς Ἰταλίαν, ἐκ Παλαντίου πόλεως. μετὰ δὲ τούτους τῶν σὺν Ἡρακλεῖ στρατευομένων Πελοποννησίων Ἐπειοί τε καὶ Φενεᾶται, οἷς καὶ Τρωϊκόν τι ἐμέμικτο· τελευταῖοι δὲ οἱ διασωθέντες σὺν Αἰνείᾳ Τρῶες ἐξ Ἰλίου τε καὶ Δαρδάνου καὶ τῶν ἄλλων Τρωϊκῶν πόλεων.

Pelasgi. Coloni Evandri. Epei & Pheneatæ. Trojani.

cap. 10. Aborigines,

Τοὺς δὲ Ἀβοριγῖνας, ἀφ' ὧν ἄρχει Ῥωμαίων τὸ γένος, οἱ μὲν αὐτόχθονας Ἰταλίας, γένος αὐτὸ καθ' ἑαυτὸ

τὸ γενόμενον, ἀποφαίνουσι. καὶ τὴν ὀνομασίαν αὐτοῖς τὴν πρώτην φασὶ τεθῆναι, διὰ τὸ γενέσεως τοῖς μετ' αὐτοὺς ἄρξαι, ὥσπερ ἂν ἡμεῖς εἴποιμεν γενάρχας ἢ πρωτογόνους. ἕτεροι δὲ λέγουσιν ἀνεστίους τινὰς καὶ πλάνητας ἐκ πολλῶν συνελθόντας χωρίων, κατὰ δαίμονα περιτυχεῖν ἀλλήλοις αὐτόθι, καὶ τὴν οἴκησιν ἐπὶ τοῖς ἐρύμασι καταστήσασθαι, ζῆν δὲ ἀπὸ λῃστείας καὶ νομῆς. παραλλάττουσι δὲ καὶ τὴν ὀνομασίαν αὐτῶν, ἐπὶ τὸ ταῖς τύχαις οἰκειότερον, Ἀβεῤῥιγῖνας λέγοντες, ὥστε δηλοῦσθαι τοὺς πλάνητας. κινδυνεύει δὴ κατὰ τούτους μηδὲν διαφέρειν τὸ τῶν Ἀβοριγίνων φῦλον, ὧν ἐκάλουν οἱ παλαιοὶ Λελέγων. τοῖς γὰρ ἀνεστίοις καὶ μιγάσι καὶ μηδεμίαν γῆν βεβαίως ὡς πατρίδα κατοικοῦσι, ταύτην ἐπιτίθεντο τὴν ὀνομασίαν ὡς τὰ πολλά. Ἄλλοι δὲ Λιγύων ἀποίκους μυθολογοῦσιν αὐτοὺς γενέσθαι, τῶν ὁμορούντων Ὀμβρικοῖς. οἱ γὰρ Λίγυες οἰκοῦσι μὲν καὶ τῆς Ἰταλίας πολλαχῆ, νέμονται δέ τινα καὶ τῆς Κελτικῆς. ὁποτέρα δ' αὐτοῖς ἐστὶ γῆ πατρὶς, ἄδηλον· οὐδὲ γὰρ ἔτι λέγεται περὶ αὐτῶν προσωτέρω σαφὲς οὐδέν.

cap. II. iique advenæ græci, ut quibusdam videtur,

Οἱ δὲ λογιώτατοι τῶν Ῥωμαίων συγγραφέων, ἐν οἷς ἐστὶ Πόρκιός τε Κάτων, ὁ τὰς γενεαλογίας τῶν ἐν Ἰταλίᾳ πόλεων ἐπιμελέστατα συναγαγὼν, καὶ Γάϊος Σεμπρώνιος, καὶ ἄλλοι συχνοὶ, Ἕλληνας αὐτοὺς εἶναι λέγουσι τῶν ἐν Ἀχαΐᾳ ποτὲ οἰκησάντων, πολλαῖς γενεαῖς πρότερον τοῦ πολέμου τοῦ Τρωϊκοῦ μεταναστάντας. οὐκέτι μέντοι διορίζουσιν οὔτε φῦλον Ἑλληνικὸν, οὗ μετεῖχον, οὔτε πόλιν, ἐξ ἧς ἀπανέστησαν, οὔτε χρόνον, οὔθ' ἡγεμόνα τῆς ἀποικίας, οὔθ' ὁποίαις τύχαις χρησάμενοι τὴν μητρόπολιν ἀπέλιπον. Ἑλληνικῷ τε μύθῳ χρησάμενοι, οὐδένα τῶν τὰ Ἑλληνικὰ γραψάντων βεβαιωτὴν παρέσχοντο. τὸ μὲν οὖν ἀληθὲς ὅπως ποτ' ἔχει, ἄδηλον. εἰ δ' ἐστὶν ὁ τούτων λόγος ὑγιὴς, οὐκ ἂν ἑτέρου τινὸς εἴησαν ἄποικοι γένους, ἢ τοῦ καλουμένου νῦν Ἀρκαδικοῦ. πρῶτοι γὰρ Ἑλλήνων οὗτοι περαιωθέντες τὸν Ἰόνιον κόλπον ᾤκησαν Ἰταλίαν, ἄγοντος αὐτοὺς Οἰνώτρου τοῦ Λυκάονος. ἦν δὲ πέμπτος ἀπό τε Ἀιζειοῦ καὶ Φορωνέως, τῶν πρώτων ἐν Πελοποννήσῳ δυναστευσάντων. Φορωνέως μὲν γὰρ Νιόβη γίνεται· ταύτης δὲ υἱὸς καὶ Διὸς, ὡς λέγεται, Πελασγός. Ἀιζειοῦ δὲ υἱὸς Λυκάων· τούτου Δηϊάνειρα θυγάτηρ· ἐκ δὲ Δηϊανείρας καὶ Πελασγοῦ

καὶ

καὶ Πελασγȣ̃ Λυκαίων ἕτερος· τȣ́τȣ δὲ Οἴνωτρος, ἑπτακαίδεκα γενεαῖς πρότερον τῶν ἐπὶ Τροίαν ςρατευσάντων.

Ἐκαλεῖτο δὲ ἥ τε χώρα πᾶσα, πολλὴ ȣ̃σα ὅσην κατέσχεν, Οἰνωτρία· καὶ οἱ ἄνθρωποι πάντες, ὅσων ἦρξεν, Οἴνωτροι.

cap. 12. & quidem Oenotri.

Παλαιότερον δὲ τȣ́τȣ ςόλον ἀπαναςάντα τῆς Ἑλλάδος εἰς τὰ προσεσπέρια τῆς Εὐρώπης, ȣ̓δένα δύναμαι καταμαθεῖν. Τȣ̀ς δὲ Οἰνώτρȣς τῆς τ' ἄλλης Ἰταλίας πολλὰ χωρία οἴομαι κατασχεῖν, τὰ μὲν ἔρημα, τὰ δὲ φαύλως οἰκȣ́μενα καταλαβόντας, καὶ δὴ καὶ τῆς Ὀμβρικῶν γῆς ἐςιν ἣν ἀποτεμέσθαι, κληθῆναι δὲ Ἀβοριγῖνας ἀπὸ τῆς ἐν τοῖς ὄρεσιν οἰκήσεως· Ἀρκαδικὸν γὰρ τὸ φιλοχωρεῖν ὄρεσιν· ὡς ὑπερακρίȣς τινὰς καὶ παραλίȣς Ἀθήνησιν. εἰ δέ τινες πεφύκασι μὴ ταχεῖς ἐιναι περὶ πραγμάτων παλαιῶν ἀβασανίςως τὰ λεγόμενα δέχεσθαι, μὴ ταχεῖς ἔςωσαν, μηδὲ Λίγυας, ἢ Ὀμβρικȣ̀ς, ἢ ἄλλȣς τινὰς βαρβάρων αὐτȣ̀ς νομίσαι.

cap. 13.

Οἱ δὲ Ἀβοριγῖνες ἐκ τῶν πόλεων, ἐν ἅις τὸ πρῶτον ᾤκησαν, ὁρμώμενοι, τοῖς τε ἄλλοις βαρβάροις, καὶ πάντων μάλιςα Σικελοῖς ὁμοτέρμοσιν ȣ̃σιν ὑπὲρ τῆς χώρας ἐπολέμȣν. τὸ μὲν πρῶτον ἱερά τις ἐξελθȣ̃σα νεότης, ἄνδρες ὀλίγοι, κατὰ βίȣ ζήτησιν ὑπὸ τῶν γειναμένων ἀποςαλέντες, ἔθος ἐκπληρȣ̃ντες ἀρχαῖον, ᾧ πολλȣ̀ς βαρβάρων τε καὶ Ἑλλήνων ἐπίςαμαι χρησαμένȣς. ὁπότε γὰρ ἐις ὄχλȣ πλῆθος ἐπίδοσιν ἀι πόλεις τισὶ λάβοιεν, ὥςε μηκέτι τὰς οἰκείας τροφὰς ἅπασιν ἐιναι διαρκεῖς, ἢ κακωθεῖσα ταῖς ȣ̓ρανίαις μεταβολαῖς ἡ γῆ σπανίȣς τȣ̀ς ἐιωθότας καρπȣ̀ς ἐξήνεγκεν, ἤ τοιόνδέ τι πάθος ἄλλο τὰς πόλεις κατασχὸν, ἔιτε ἄμεινον ἔιτε χεῖρον, ἀνάγκην ἐπιςήσειε μειώσεως τȣ̃ πλήθȣς, θεῶν ὁτῳδὴ καθιερȣ̃ντες ἀνθρώπων ἐτείȣς γονὰς ἐξέπεμπον ὅπλοις κοσμήσαντες ἐκ τῆς σφετέρας· ἐι μὲν ὑπὲρ ἐυανδρίας ἢ νίκης ἐκ πολέμȣ χαριςήρια θεοῖς ἀποδιδοῖεν, προθύοντες ἱερὰ τὰ νομιζόμενα, ἐυφήμοις οἰωνοῖς τὰς ἀποικίας προπέμποντες· ἐι δὲ ἐπὶ μηνίμασι δαιμονίοις ἀπαλλαγὰς ἀιτȣ́μενοι τῶν κατεχόντων σφᾶς κακῶν, τὸ παραπλήσιον δρῶντες, ἀυτοί γε ἀχθόμενοι, καὶ συγγνώμονας ἀξιȣ̃ντες γίνεσθαι τȣ̀ς ἀπελαυνομένȣς. οἱ δὲ ἀπανάςαντες, ὡς ȣ̓κέτι τῆς πατρῴας γῆς

cap. 16. Siculi ab Aboriginibus

Digitized by Google

γῆς μεταληψόμενοι, ἐι μὴ κτήσαιντο ἑτέραν τὴν ὑποδεξομένην ἀυτὲς, ἔιτε πρὸς Φιλίαν, ἔιτε ἐν πολέμῳ κρατηθεῖσαν, πατρίδα ἐποιἕντο· ὅ τε θεὸς, ᾧ κατονομαθεῖεν ἀπελαυνόμενοι, συλλαμβάνειν ἀυτοῖς ὡς τὰ πολλὰ ἐδόκει καὶ παρὰ τὴν ἀνθρωπίνην δόξαν κατορθἕν τὰς ἀποικίας τἕτῳ τῷ νόμῳ χρώμενοι καὶ τότε τῶν Ἀβοριγίνων τινὲς ἀνθἕντων ἀνδράσι τῶν χωρίων· κτείνειν γὰρ ἐδένα τῶν ἐκγόνων ἠξίἑν, ἄγος ἐδενὸς ἔλαττον τἕτο τιθέμενοι· θεῶν ὅτῳδὴ καθιερώσαντες ἐνιαυσίες γονὰς, ἀνδρωθέντας ἀποικίζεσι τὲς παῖδας ἐκ τῆς σφετέρας· ὅι τὲς Σικελὲς ἄγοντές τε καὶ Φέροντες διετέλεν, ἐπειδὴ τὴν ἑαυτῶν ἐξέλιπον. ὡς δ᾽ ἅπαξ ἕτοι χωρίων τινῶν τὰς πολεμίας ἐκράτησαν, ἐκ τἕ ἀσφαλεςέρε ἤδη καὶ ὁι λοιποὶ Ἀβοριγῖνες, ὁι δεόμενοι γῆς, τὸ κατὰ σφᾶς ἕκαςοι ἐπεχείρεν τοῖς ὁμόροις· καὶ πόλεις ἔκτισαν ἄλλας τέ τινας, καὶ τὰς μέχρι τἕδε ὀικεμένας, Ἀντεμνάτας τε καὶ Τελληνεῖς καὶ Φικολνέες τὲς πρὸς τοῖς καλεμένοις Κορνίκλοις ὄρεσι, καὶ Τιβερτίνες, παρ᾽ ὅις ἔτι καὶ ἐις τόδε χρόνε, μέρος τι τῆς πόλεως ὀνομάζεται Σικελιών· καὶ ἦσαν ἁπάντων, μάλιςα τῶν προσοικἕντων λυπηροὶ τοῖς Σικελοῖς. ἀνίςαται δὲ ἐκ τέτων τῶν διαφορῶν τοῖς ἔθνεσιν ὅλοις πόλεμος, ὅσος ἐδεὶς τῶν πρότερον γενομένων ἐν Ἰταλίᾳ καὶ προῆλθεν ἄχρι πόῤῥω, χρόνῳ μηκυνόμενος.

cap. 17. 18. & Pelasgis, qui ex Græcia advenerant,

Ἔπειτα Πελασγῶν τινὲς τῶν ὀικἕντων ἐν τῇ καλεμένῃ Θετταλίᾳ, τὴν ἑαυτῶν ἀναγκαθέντες ἐκλιπεῖν, σύνοικοι γίνονται τοῖς Ἀβοριγῖσι, καὶ κοινῇ μετ᾽ ἐκείνων ἐπολέμεν πρὸς τὲς Σικελὲς. ἐδέξαντο δὲ ἀυτὲς ὁι Ἀβοριγῖνες, ἴσως μὲν καὶ κατὰ τἕ ὠφεληθήσεθαι ἐλπίδα, ὡς δ᾽ ἐγὼ πείθομαι, καὶ κατὰ τὸ συγγενὲς μάλιςα. ἦν γὰρ δὴ καὶ τὸ τῶν Πελασγῶν γένος Ἑλληνικὸν, ἐκ Πελοποννήσε τὸ ἀρχαῖον. ἐχρήσατο δὲ τύχαις δυσπότμοις, ἐις πολλὰ μὲν καὶ ἄλλα, μάλιςα δ᾽ ἐις τὸ πολύπλανόν τε καὶ ἐδενὸς τόπε βέβαιον ὄικησιν. πρῶτον μὲν γὰρ περὶ τὸ καλέμενον νῦν Ἀχαϊκὸν Ἄργος ᾤκησαν ἀυτόχθονες ὄντες, ὡς ὁι πολλοὶ περὶ ἀυτῶν λέγεσι. τὴν δὲ ἐπωνυμίαν ἔλαβον ἐξ ἀρχῆς ταύτην ἀπὸ τἕ Πελασγἕ βασιλέως. ἦν δὲ ὁ Πελασγὸς ἐκ Διὸς, ὡς λέγεται, καὶ τῆς Νιόβης τἕ Φορωνέως, ᾗ πρώτῃ γυναικὶ θνητῇ μίσγεται ὁ

Ζεὺς

Digitized by Google

Ζεὺς, ὡς ὁ μῦθος ἔχει. ἕκτῃ δὲ ὕϛερον γενεᾷ Πελοπόννησον ἐκλιπόντες, εἰς τὴν τότε μὲν Αἱμονίαν, νῦν δὲ Θετταλίαν ὀνομαζομένην μετανέϛησαν. ἡγοῦντο δὲ τῆς ἀποικίας Ἀχαιὸς, καὶ Φθῖος καὶ Πελασγὸς, οἱ Λαρίσσης καὶ Ποσειδῶνος υἱοί. ἀφικόμενοι δ᾽ εἰς τὴν Αἱμονίαν, τοὺς τε κατοικοῦντας ἐν αὐτῇ βαρβάρους ἐξελαύνουσι, καὶ νέμονται τὴν χώραν τριχῇ, τοῖς ἡγεμόσι ποιήσαντες ὁμωνύμους τὰς μοίρας, Φθιῶτιν καὶ Ἀχαΐαν καὶ Πελασγιῶτιν. πέντε δὲ μείναντες αὐτόθι γενεὰς, ἐν αἷς ἐπὶ μήκισον εὐτυχίας ἤλασαν, τὰ κράτισα τῶν ἐν Θετταλίᾳ πεδίων καρπούμενοι, περὶ τὴν ἕκτην γενεὰν ἐξελαύνονται Θετταλίας ὑπό τε Κουρήτων καὶ Λελέγων, οἳ νῦν Αἰτωλοὶ καὶ Λοκροὶ καλοῦνται, καὶ συχνῶν ἄλλων τῶν περὶ τὸν Παρνασσὸν οἰκούντων, ἡγουμένου τῶν πολεμίων Δευκαλίωνος τοῦ Προμηθέως, μητρὸς δὲ Κλυμένης τῆς Ὠκεανοῦ. σκεδασθέντες δὲ κατὰ τὴν φυγὴν, οἱ μὲν εἰς Κρήτην ἀπῆλθον, οἱ δὲ τῶν Κυκλάδων νήσων τινὰς κατέσχον, οἱ δὲ περὶ τὸν Ὄλυμπόν τε καὶ τὴν Ὄσσαν τὴν καλουμένην Ἑσιῶτιν, ᾤκησαν· ἄλλοι δὲ εἴς τε Βοιωτίαν καὶ Φωκίδα καὶ Εὔβοιαν διεκομίσθησαν· οἱ δ᾽, εἰς τὴν Ἀσίαν περαιωθέντες, τῆς περὶ τὸν Ἑλλήσποντον παραλίου πολλὰ χωρία κατέσχον, καὶ τῶν παρακειμένων αὐτῇ νήσων ἄλλας τε συχνὰς, καὶ τὴν νῦν καλουμένην Λέσβον, ἀναμιχθέντες τοῖς ἐκ τῆς Ἑλλάδος ϛέλλουσι τὴν πρώτην ἀποικίαν εἰς αὐτὴν, ἄγοντος Μάκαρος τοῦ Κριασίου. τὸ δὲ πλεῖον αὐτοῖς μέρος διὰ τῆς μεσογείου τραπόμενοι πρὸς τοὺς ἐν Δωδώνῃ κατοικοῦντας σφῶν συγγενεῖς, οἷς οὐδεὶς ἠξίου ἐπιφέρειν πόλεμον ὡς ἱεροῖς, χρόνον μέν τινα σύμμετρον αὐτόθι διέτριψαν· ἐπεὶ δὲ λυπηροὶ ὄντες ᾐσθάνοντο, ἱκανῆς οὔσης ἅπαντας τρέφειν τῆς γῆς, ἐκλείπουσι τὴν χώραν, χρησμῷ πειθόμενοι κελεύοντι πλεῖν εἰς Ἰταλίαν, ἣ τότε Σατορνία ἐλέγετο. καὶ πρὸς ἑνὶ τῶν τοῦ Πάδου ϛομάτων ὁρμισάμενοι Σπινῆτι καλουμένῳ, οἱ ὑπομείναντες ἐν τούτῳ τῷ χωρίῳ, πόλιν ἔκτισαν ὁμώνυμον τῷ ϛόματι τοῦ ποταμοῦ.

cap. 19. Οἱ δὲ διὰ τῆς μεσογείου τραπόμενοι, τὴν ὀρεινὴν τῆς Ἰταλίας ὑπερβαλόντες, εἰς τὴν Ὀμβρικῶν ἀφικνοῦνται χώραν, τῶν ὁμορούντων Ἀβοριγῖσιν.

Πολ-

Digitized by Google

cap. 20.

Πολλῶν δὲ καὶ ἄλλων ἐκράτησαν χωρίων, τοῖς τι Ἀβοριγῖσι τὸν πρὸς τὰς Σικελὰς πόλεμον ἔτι συνεςῶτα πολλῇ προθυμίᾳ συνδιέφερον, ἕως ἐξήλασαν αὐτὰς ἐκ τῆς σφετέρας.

cap. 22. ex Italia propulsantur.

Οἱ δὲ Σικελοί· ἐ γὰρ ἔτι ἀντέχειν οἷοί τε ἦσαν, ὑπό τε Πελασγῶν καὶ Ἀβοριγίνων πολεμέμενοι· τέκνα καὶ γυναῖκας, καὶ χρημάτων ὅσα χρυσὸς ἢ ἄργυρος ἦν, ἀνασκευασάμενοι, μεθίενται αὐτοῖς ἁπάσης τῆς γῆς. τραπόμενοι δὲ διὰ τῆς ὀρεινῆς ἐπὶ τὰ νότια, καὶ διεξελθόντες ἅπασαν Ἰταλίαν τὴν κάτω, ἐπειδὴ πανταχόθεν ἀπηλαύνοντο, σὺν χρόνῳ κατασκευασάμενοι σχεδίας ἐπὶ τῷ πορθμῷ, καὶ φυλάξαντες κατιόντα τὸν ῥᾶν, ἀπὸ τῆς Ἰταλίας διέβησαν ἐπὶ τὴν ἔγγιςα νῆσον. κατεῖχον δ' αὐτὴν Σικανοί, γένος Ἰβηρικὸν, ὲ πολλῷ πρότερον συνοικισάμενοι, Λίγυας φεύγοντες. καὶ παρεσκεύασαν ἀφ' αὐτῶν Σικανίαν κληθῆναι τὴν νῆσον, Τρινακρίαν πρῶτον ὀνομαζομένην, ἀπὸ τᾶ τριγώνα σχήματος. ἦσαν δὲ ὲ πολλοὶ ἐν μεγάλῃ αὐτῇ οἰκήτορες, ἀλλ' ἡ πλείων τῆς χώρας ἔτι ἦν ἔρημος. καταχθέντες ἂν εἰς αὐτὴν Σικελοί, τὸ μὲν πρῶτον ἐν τοῖς ἑσπερίοις μέρεσιν ᾤκησαν, ἔπειτα καὶ ἄλλῃ πολλαχῇ· καὶ τὅνομα ἡ νῆσος ἐπὶ τάτων ἤρξατο Σικελία καλεῖσθαι.

cap. 23. Maxima pars Pelasgorum variis calamitatibus deletur.

Οἱ δὲ Πελασγοὶ πολλῆς καὶ ἀγαθῆς χώρας κρατήσαντες, πόλεις τε προσέλαβον, καὶ ἄλλας αὐτοὶ κατασκευάσαντες, μεγάλην καὶ ταχεῖαν ἐπίδοσιν ἔλαβον εἰς ἀνδρείαν καὶ πλᾶτον, καὶ τὴν ἄλλην εὐτυχίαν, ἧς ὲ πολλὴν ὤναντο χρόνον· ἀλλ' ἡνίκα μᾶλλον τοῖς σύμπασιν ἀνθεῖν ἐδόκαν, δαιμονίοις τισὶ χόλοις ἐλαςρηθέντες, οἱ μὲν ὑπὸ τῶν θείων συμφορῶν, οἱ δὲ ὑπὸ προσοικέντων βαρβάρων ἐξεφθάρησαν· τὸ δὲ πλεῖςον αὐτῶν μέρος, εἰς τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον αὖθις ἐσκεδάσθη· περὶ ὧν πολὺς ἂν εἴη λόγος, εἰ βαλοίμην τὴν ἀκρίβειαν γράφειν. ὀλίγον δὲ κατέμεινεν ἐν Ἰταλίᾳ τῶν Ἀβοριγίνων προνοίᾳ. πρῶτον μὲν ἂν τῆς οἰκοφθορίας ταῖς πόλεσιν ἐδόκει αὐχμῷ ἡ γῆ κακωθεῖσα ἄρξαι, ἡνίκα ὲτ' ἐπὶ τοῖς δένδρεσι καρπὸς ὲδεὶς ὡραῖος (γενέσθαι) διέμεινεν, ἀλλ' ὠμοὶ κατέῤῥεον· ὲθ' ὁπόσα σπερμάτων ἀνέντα βλαςὰς ἀνθήσειν, ἕως ςάχυος ἀκμῆς τὰς κατὰ νόμον ἐπλήρα χρόνας· ὅτε

πόα

τόα κτήνεσιν ἐφύετο διαρκής· τῶν τε ναμάτων τὰ μὲν οὐκέτι πίνεσθαι σπουδαῖα ἦν, τὰ δ' ὑπελίμπανε θέρους, τὰ δ' εἰς τέλος ἀπεσβέννυτο. ἀδελφὰ δὲ τούτοις ἐγίνετο περί τε προβάτων καὶ γυναικῶν γονάς. ἢ γὰρ ἐξημβλοῦτο τὰ ἔμβρυα, ἢ κατὰ τοὺς τόκους διεφθείρετο, ἔστιν ἃ καὶ τὰς φερούσας συνδιαλυμηνάμενα. εἰ δέ τι διαφύγοι τὸν ἐκ τῶν ὠδίνων κίνδυνον, ἔμπηρον ἢ ἀτελὲς, ἢ δι' ἄλλην τινὰ τύχην βλαφθὲν, τρέφεσθαι χρηστὸν οὐκ ἦν. ἔπειτα καὶ τὸ ἄλλο πλῆθος τὸ ἐν ἀκμῇ μάλιστα ἐκακοῦτο νόσοις καὶ θανάτοις παρὰ τὰ εἰκότα συχνοῖς.

cap. 26. Tyrrheni Pelasgorum sedes occupant.

Ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Πελασγικὸν κακοῦσθαι ἤρξατο, δευτέρα γενεὰ σχεδὸν πρὸ τῶν Τρωϊκῶν ἐγένετο. -- οἱ δὲ τῶν ἐκλιπόντων τὴν χώραν Πελασγῶν κατασχόντες τὰς πόλεις, ἄλλοι τε πολλοὶ ἦσαν, ὡς ἕκαστοί τισιν ἔτυχον ὁμοτέρμονας τὰς οἰκήσεις ἔχοντες, καὶ ἐν τοῖς μάλιστα πλείστας τε καὶ ἀρίστας Τυῤῥηνοί. τοὺς δὲ Τυῤῥηνοὺς οἱ μὲν αὐτόχθονας Ἰταλίας ἀποφαίνουσιν, οἱ δὲ ἐπήλυδας.

cap. 30.

Κινδυνεύουσι δὲ τοῖς ἀληθέσι μᾶλλον ἐοικότα λέγειν, μηδαμόθεν ἀφιγμένον, ἀλλ' ἐπιχώριον τὸ ἔθνος ἀποφαίνοντες· ἐπειδὴ ἀρχαῖόν τε πάνυ, καὶ οὐδενὶ ἄλλῳ γένει οὔτε ὁμόγλωττον, οὔτε ὁμοδίαιτον εὑρίσκεται. ὠνομᾶσθαι δ' ὑφ' Ἑλλήνων αὐτὸ τῇ προσηγορίᾳ ταύτῃ, οὐδὲν κωλύει, καὶ διὰ τὰς ἐν τύρσεσιν οἰκήσεις, καὶ ἀπ' ἀνδρὸς δυνάστου. Ῥωμαῖοι μέν τοι ἄλλαις αὐτὸ προσαγορεύουσιν ὀνομασίαις· καὶ γὰρ ἀπὸ τῆς χώρας, ἐν ᾗ ποτὲ ᾤκησαν, Ἐτρουρίας προσαγορευομένης, Ἐτρούσκους καλοῦσι τοὺς ἀνθρώπους· καὶ ἀπὸ τῆς ἐμπειρίας τῶν περὶ τὰ θεῖα σεβάσματα λειτουργιῶν, διαφέροντας εἰς αὐτὴν ἑτέρων, νῦν μέντοι ἀσαφέστερον, πρότερον δ' ἀκριβοῦντες τοὔνομα ὥσπερ Ἕλληνες, Θυοσκόους ἐκάλουν.

cap. 31. Arcades, duce Evandro, in Italiam delati, Palantium condunt.

Μετὰ δὲ οὐ πολὺν χρόνον στόλος ἄλλος Ἑλληνικὸς εἰς ταῦτα τὰ χωρία τῆς Ἰταλίας κατάγεται, ἑξηκοστῷ μάλιστα ἔτει πρότερον τῶν Τρωϊκῶν, ὡς αὐτοὶ Ῥωμαῖοι λέγουσιν, ἐκ Παλαντίου πόλεως Ἀρκαδικῆς ἀναστάς. ἡγεῖτο δὲ τῆς ἀποικίας Εὔανδρος, Ἑρμοῦ γενόμενος καὶ νύμφης τινὸς Ἀρκάσιν ἐπιχωρίας, ἣν οἱ μὲν Ἕλληνες Θέμιν εἶναι λέγουσι, καὶ θεοφόρητον ἀποφαίνουσιν· οἱ δὲ τὰς Ῥωμαϊκὰς συγγράψαντες ἀρχαιολογίας, τῇ πατρῴᾳ γλώσσῃ Καρ-

Digitized by Google

τὴν αὐτὴν ἄκραν, πάμπολύ τι συννεύουσιν. Ὁμοίως δ' ἔχειν οἴομαι καὶ τὴν ἀπὸ τοῦ μυχοῦ τοῦ Ἀδρίου, καὶ τὴν ἀπὸ τῆς Ἰαπυγίας· συμπίπτουσαι γὰρ ἐπὶ τοὺς περὶ Ἀρίμινον καὶ Ῥαβένναν τόπους, γωνίαν ποιοῦσιν· ει δὲ μὴ γωνίαν, περιφέρειάν γε ἀξιόλογον. Ὥςτ', ει ἄρα τοῦτ' ἂν ἔιη μία πλευρὰ, ὁ παράπλους, ὁ ἀπὸ τοῦ μυχοῦ ἐπὶ τὴν Ἰαπυγίαν, οὐκ εὐθεῖα· τὸ δὲ λοιπὸν τὸ ἐνθένδε ἐπὶ τὸν πορθμὸν, ἄλλην ἂν ὑπογράφοι πλευρὰν, οὐδὲ ταύτην εὐθεῖαν. Οὕτω δὲ τετράπλευρον μᾶλλον, ἢ τρίπλευρον φαίη ἄν τις τὸ σχῆμα· τρίγωνον δ' οὐδοπωσοῦν, πλὴν, ει καταχρώμενός. Βέλτιον δ' ὁμολογεῖν, ὅτι τῶν ἀγεωμετρήτων σχημάτων, οὐκ εὐεπίγραφος ἡ ἀπόδοσις. — Κατὰ μέρος δ' οὕτως ειπεῖν δυνατὸν, ὅτι τῶν μὲν Ἄλπεων περιφερὴς ἡ ὑπώρειά ἐστι, καὶ κολπώδης, τὰ κοῖλα ἔχουσα ἐστραμμένα πρὸς τὴν Ἰταλίαν. τοῦ δὲ κόλπου τὰ μὲν μέσα πρὸς τοῖς Σαλασσοῖς ἐστί· τὰ δ' ἄκρα ἐπιστροφὴν λαμβάνει, τὰ μὲν, μέχρι τῆς Ὄκρας καὶ τοῦ μυχοῦ τοῦ κατὰ τὸν Ἀδρίαν, τὰ δ', εις τὴν Λιγυστικὴν παραλίαν μέχρι Γενούας, τοῦ τῶν Λιγύων ἐμπορίου, ὅπου τὰ Ἀπέννινα ὄρη συνάπτει ταῖς Ἄλπεσιν. Ὑπόκειται δ' εὐθὺς πεδίον ἀξιόλογον πάρισόν πως ἔχον τὸ πλάτος καὶ τὸ μῆκος, σταδίων ἑκατὸν καὶ δισχιλίων· τὸ δὲ μεσημβρικὸν αὐτοῦ πλευρὸν κλείεται τῇ τε τῶν Ἑνετῶν παραλίᾳ, καὶ τοῖς Ἀπεννίνοις ὄρεσι, τοῖς περὶ Ἀρίμινον καὶ Ἀγκῶνα καθήκουσι. Ταῦτα γὰρ ἀρξάμενα ἀπὸ τῆς Λιγυστικῆς εις τὴν Τυῤῥηνίαν ἐμβάλλει, στενὴν παραλίαν ἀπολιπόντα· εἶτα ἀναχωροῦντα εις τὴν μεσόγαιαν κατ' ὀλίγον, ἐπειδὰν γένηται κατὰ τὴν Πισᾶτιν, ἐπιστρέφει πρὸς ἕω, καὶ πρὸς τὸν Ἀδρίαν ἕως τῶν περὶ Ἀρίμινον καὶ Ἀγκῶνα τόπων, συνάπτοντα ἐπ' εὐθείας τῇ τῶν Ἑνετῶν παραλίᾳ. Ἡ μὲν οὖν ἐντὸς Ἄλπεων Κελτικὴ τούτοις κλείεται τοῖς ὅροις· καὶ ἔστι τῆς μὲν παραλίας τὸ μῆκος ὅσον τ' σταδίων ἐπὶ τοῖς ἑξακισχιλίοις, μετὰ τῶν ὀρῶν· μικρὸν δ' ἔλαττον τὸ πλάτος τῶν χιλίων. Ἡ λοιπὴ δ' Ἰταλία, στενὴ καὶ παραμήκης ἐστὶ, κορυφουμένη διχῶς, τῇ μὲν πρὸς τὸν Σικελικὸν πορθμὸν, τῇ δὲ πρὸς τὴν Ἰαπυγίαν· σφιγγομένη δ' ἑκατέρωθεν, τῇ μὲν ὑπὸ τοῦ Ἀδρίου, τῇ δ' ὑπὸ τοῦ Τυῤῥηνικοῦ πελάγους. Ἔστι δ' ὅμοιον τὸ σχῆμα τοῦ Ἀδρίου καὶ

τὸ

Digitized by Google

τὸ μέγεθος τῇ Ἰταλίᾳ τῇ τε ἀφοριζομένῃ τοῖς Ἀπεννίνοις ὄρεσι, καὶ τῇ θαλάττῃ ἑκατέρᾳ, μέχρι τῆς Ἰαπυγίας καὶ τοῦ ἰσθμοῦ τοῦ κατὰ τὸν Ταραντῖνον καὶ τὸν Ποσειδωνιάτην κόλπον· τό τε γὰρ πλάτος τὸ μέγιστον ἀμφοῖν ἐστὶ περὶ χιλίους καὶ τριακοσίους σταδίους· τὸ δὲ μῆκος ἔλαττον, οὐ πολὺ τῶν ἑξακισχιλίων. Ἡ λοιπὴ δ᾽ ἐστὶν, ὅσην κατέχουσι Βρέττιοι καὶ Λευκανοί. Φησὶ δὲ Πολύβιος, πεζῇ μὲν εἶναι τὴν παραλίαν τὴν ἀπὸ Ἰαπυγίας μέχρι πορθμοῦ καὶ τρισχιλίων σταδίων· κλύζεσθαι δ᾽ αὐτὴν τῷ Σικελικῷ πελάγει· πλέοντι δὲ καὶ πεντακοσίων δεούσαν. Τὰ δὲ Ἀπέννινα ὄρη συνάψαντα τοῖς περὶ Ἀρίμινον καὶ Ἀγκῶνα τόποις, καὶ ἀφορίσαντα τὸ ταύτῃ πλάτος τῆς Ἰταλίας ἀπὸ θαλάττης ἐπὶ θάλατταν, ἐπιστροφὴν λαμβάνει πάλιν, καὶ τέμνει τὴν χώραν ὅλην ἐπὶ μῆκος. Μέχρι μὲν δὴ Πευκετίων καὶ Λευκανῶν, οὐ πολὺ ἀφίσταται τοῦ Ἀδρίου· συνάψαντα δὲ Λευκανοῖς, ἐπὶ τὴν ἑτέραν θάλατταν ἀποκλίνει μᾶλλον, καὶ λοιπὸν διὰ μέσων τῶν Λευκανῶν καὶ Βρεττίων διεξιόντα τελευτᾷ πρὸς τὴν Λευκόπετραν τῆς Ῥηγίνης καλουμένην. Τυπωδῶς μὲν οὖν εἴρηται περὶ τῆς νῦν Ἰταλίας ταῦτα.

Dionysius Halicarn. Antiq. Romanar. L. I. c. 9 & 60.

Antiquissimi Italiæ incolæ. Siculi (Iberi) Aborigines.

Τὴν ἡγεμόνα γῆς καὶ θαλάσσης ἁπάσης πόλιν, ἣν νῦν κατοικοῦσι Ῥωμαῖοι, παλαιότατοι τῶν μνημονευομένων λέγονται κατασχεῖν βάρβαροι Σικελοὶ, ἔθνος αὐθιγενές. τὰ δὲ πρὸ τούτων, οὔθ᾽ ὡς κατείχετο πρὸς ἑτέρων, οὔθ᾽ ὡς ἔρημος ἦν, οὐδεὶς ἔχει βεβαίως εἰπεῖν. χρόνῳ δὲ ὕστερον Ἀβοριγῖνες· οἱ Σικελοὺς ἐξανέστησαν ἐκ τούτων τῶν χωρίων, Ἕλληνες ὄντες τὸ ἀρχαῖον ἐκ Πελοποννήσου, τῶν σὺν Οἰνώτρῳ μετενεγκαμένων τὴν οἴκησιν ἐκ τῆς καλουμένης νῦν Ἀρκαδίας, ὡς ἐγὼ πείθομαι. ἔπειθ᾽ οἱ μεταστάντες ἐκ τῆς τότε μὲν Αἱμονίας, νῦν δὲ Θετταλίας καλουμένης, Πελασγοί· τρίτοι δὲ οἱ σὺν Εὐάνδρῳ παραγενηθέντες ἐς Ἰταλίαν, ἐκ Παλαντίου πόλεως. μετὰ δὲ τούτους τῶν σὺν Ἡρακλεῖ στρατευομένων Πελοποννησίων Ἐπειοί τε καὶ Φενεᾶται, οἷς καὶ Τρωϊκόν τι ἐμέμικτο· τελευταῖοι δὲ οἱ διασωθέντες σὺν Αἰνείᾳ Τρῶες ἐξ Ἰλίου τε καὶ Δαρδάνου καὶ τῶν ἄλλων Τρωϊκῶν πόλεων.

Pelasgi. Coloni Evandri. Epei & Pheneatæ. Trojani.

cap. 10. Aborigines,

Τοὺς δὲ Ἀβοριγῖνας, ἀφ᾽ ὧν ἄρχει Ῥωμαίων τὸ γένος, οἱ μὲν αὐτόχθονας Ἰταλίας, γένος αὐτὸ καθ᾽ ἑαυ-

Digitized by Google

τὸ γενόμενον, ἀποφαίνουσι. καὶ τὴν ὀνομασίαν αὐτοῖς τὴν πρώτην φασὶ τεθῆναι, διὰ τὸ γενέσεως τοῖς μετ' αὐτοὺς ἄρξαι, ὥσπερ ἂν ἡμεῖς εἴποιμεν γενάρχας ἢ πρωτογόνους. ἕτεροι δὲ λέγουσιν ἀνεστίους τινὰς καὶ πλάνητας ἐκ πολλῶν συνελθόντας χωρίων, κατὰ δαίμονα περιτυχεῖν ἀλλήλοις αὐτόθι, καὶ τὴν οἴκησιν ἐπὶ τοῖς ἐρύμασι καταστήσασθαι, ζῆν δὲ ἀπὸ λῃστείας καὶ νομῆς. παραλλάττουσι δὲ καὶ τὴν ὀνομασίαν αὐτῶν, ἐπὶ τὸ ταῖς τύχαις οἰκειότερον, Ἀβεῤῥιγῖνας λέγοντες, ὥστε δηλοῦσθαι τοὺς πλάνητας. κινδυνεύει δὴ κατὰ τούτους μηδὲν διαφέρειν τὸ τῶν Ἀβοριγίνων φῦλον, ὧν ἐκάλουν οἱ παλαιοὶ Λελέγων. τοῖς γὰρ ἀνεστίοις καὶ μιγάσι καὶ μηδεμίαν γῆν βεβαίως ὡς πατρίδα κατοικοῦσι, ταύτην ἐπιτίθεντο τὴν ὀνομασίαν ὡς τὰ πολλά. Ἄλλοι δὲ Λιγύων ἀποίκους μυθολογοῦσιν αὐτοὺς γενέσθαι, τῶν ὁμορούντων Ὀμβρικοῖς. οἱ γὰρ Λίγυες οἰκοῦσι μὲν καὶ τῆς Ἰταλίας πολλαχῆ, νέμονται δέ τινα καὶ τῆς Κελτικῆς. ὁποτέρα δ' αὐτοῖς ἐστὶ γῆ πατρὶς, ἄδηλον· οὐδὲ γὰρ ἔτι λέγεται περὶ αὐτῶν προσωτέρω σαφὲς οὐδέν.

cap. II. Οἱ δὲ λογιώτατοι τῶν Ῥωμαίων συγγραφέων, ἐν οἷς ἐστὶ Πόρκιός τε Κάτων, ὁ τὰς γενεαλογίας τῶν ἐν Ἰταλίᾳ πόλεων ἐπιμελέστατα συναγαγὼν, καὶ Γάϊος Σεμπρώνιος, καὶ ἄλλοι συχνοὶ, Ἕλληνας αὐτοὺς εἶναι λέγουσι τῶν ἐν Ἀχαΐᾳ ποτὲ οἰκησάντων, πολλαῖς γενεαῖς πρότερον τοῦ πολέμου τοῦ Τρωϊκοῦ μεταναστάντας. οὐκέτι μέντοι διορίζουσιν οὔτε φῦλον Ἑλληνικὸν, οὗ μετεῖχον, οὔτε πόλιν, ἐξ ἧς ἀπανέστησαν, οὔτε χρόνον, οὔθ' ἡγεμόνα τῆς ἀποικίας, οὔθ' ὁποίαις τύχαις χρησάμενοι τὴν μητρόπολιν ἀπέλιπον. Ἑλληνικῷ τε μύθῳ χρησάμενοι, οὐδένα τῶν τὰ Ἑλληνικὰ γραψάντων βεβαιωτὴν παρέσχοντο. τὸ μὲν οὖν ἀληθὲς ὅπως ποτ' ἔχει, ἄδηλον. εἰ δ' ἐστὶν ὁ τούτων λόγος ὑγιὴς, οὐκ ἂν ἑτέρου τινὸς εἴησαν ἄποικοι γένους, ἢ τοῦ καλουμένου νῦν Ἀρκαδικοῦ. πρῶτοι γὰρ Ἑλλήνων οὗτοι περαιωθέντες τὸν Ἰόνιον κόλπον ᾤκησαν Ἰταλίαν, ἄγοντος αὐτοὺς Οἰνώτρου τοῦ Λυκάονος. ἦν δὲ πέμπτος ἀπό τε Ἀιζειοῦ καὶ Φορωνέως, τῶν πρώτων ἐν Πελοποννήσῳ δυναστευσάντων. Φορωνέως μὲν γὰρ Νιόβη γίνεται· ταύτης δὲ υἱὸς καὶ Διὸς, ὡς λέγεται, Πελασγός. Ἀιζειοῦ δὲ υἱὸς Λυκάων· τούτου Δηϊάνειρα θυγάτηρ· ἐκ δὲ Δηϊανείρας καὶ Πελασγοῦ

iique advenae graeci, ut quibusdam videtur,

καὶ

καὶ Πελασγȣ̃ Λυκαίων ἕτερος· τȣ́τȣ δὲ Οἴνωτρος, ἑπτακαίδεκα γενεαῖς πρότερον τῶν ἐπὶ Τροίαν ϛρατευσάντων.

Ἐκαλεῖτο δὲ ἥ τε χώρα πᾶσα, πολλὴ ȣ̃σα ὅσην κατέσχεν, Οἰνωτρία· καὶ οἱ ἄνθρωποι πάντες, ὅσων ἦρξεν, Οἴνωτροι.

cap. 12. & quidem Oenotri.

Παλαιότερον δὲ τȣ́τȣ ϛόλον ἀπαναϛάντα τῆς Ἑλλάδος εἰς τὰ προσεσπέρια τῆς Εὐρώπης, ȣ̓δένα δύναμαι καταμαθεῖν. Τȣ̀ς δὲ Οἰνώτρȣς τῆς τ' ἄλλης Ἰταλίας πολλὰ χωρία οἴομαι κατασχεῖν, τὰ μὲν ἔρημα, τὰ δὲ φαύλως οἰκȣ́μενα καταλαβόντας, καὶ δὴ καὶ τῆς Ὀμβρικῶν γῆς ἔϛιν ἣν ἀποτεμέσθαι, κληθῆναι δὲ Ἀβοριγῖνας ἀπὸ τῆς ἐν τοῖς ὄρεσιν οἰκήσεως· Ἀρκαδικὸν γὰρ τὸ φιλοχωρεῖν ὄρεσιν· ὡς ὑπερακρίȣς τινὰς καὶ παραλίȣς Ἀθήνῃσιν. εἰ δέ τινες πεφύκασι μὴ ταχεῖς εἶναι περὶ πραγμάτων παλαιῶν ἀβασανίϛως τὰ λεγόμενα δέχεσθαι, μὴ ταχεῖς ἔϛωσαν, μηδὲ Λίγυας, ἢ Ὀμβρικȣ̀ς, ἢ ἄλλȣς τινὰς βαρβάρων αὐτȣ̀ς νομίσαι.

cap. 13.

Οἱ δὲ Ἀβοριγῖνες ἐκ τῶν πόλεων, ἐν αἷς τὸ πρῶτον ᾤκησαν, ὁρμώμενοι, τοῖς τε ἄλλοις βαρβάροις, καὶ πάντων μάλιϛα Σικελοῖς ὁμοτέρμοσιν ȣ̃σιν ὑπὲρ τῆς χώρας ἐπολέμȣν. τὸ μὲν πρῶτον ἱερά τις ἐξελθȣ̃σα νεότης, ἄνδρες ὀλίγοι, κατὰ βίȣ ζήτησιν ὑπὸ τῶν γειναμένων ἀποϛαλέντες, ἔθος ἐκπληρȣ̃ντες ἀρχαῖον, ᾧ πολλȣ̀ς βαρβάρων τε καὶ Ἑλλήνων ἐπίϛαμαι χρησαμένȣς. ὁπότε γὰρ εἰς ὄχλȣ πλῆθος ἐπίδοσιν αἱ πόλεις τισὶ λάβοιεν, ὥϛε μηκέτι τὰς οἰκείας τροφὰς ἅπασιν εἶναι διαρκεῖς, ἢ κακωθεῖσα ταῖς ȣ̓ρανίαις μεταβολαῖς ἡ γῆ σπανίȣς τȣ̀ς εἰωθότας καρπȣ̀ς ἐξήνεγκεν, ἢ τοιόνδε τι πάθος ἄλλο τὰς πόλεις κατασχὸν, εἴτε ἄμεινον εἴτε χεῖρον, ἀνάγκην ἐπιϛήσειε μειώσεως τȣ̃ πλήθȣς, θεῶν ὁτῳδὴ καθιερȣ̃ντες ἀνθρώπων ἐτείȣς γονὰς ἐξέπεμπον ὅπλοις κοσμήσαντες ἐκ τῆς σφετέρας· εἰ μὲν ὑπὲρ εὐανδρίας ἢ νίκης ἐκ πολέμȣ χαριϛήρια θεοῖς ἀποδιδοῖεν, προθύοντες ἱερὰ τὰ νομιζόμενα, εὐφήμοις οἰωνοῖς τὰς ἀποικίας προπέμποντες· εἰ δὲ ἐπὶ μηνίμασι δαιμονίοις ἀπαλλαγὰς αἰτȣ́μενοι τῶν κατεχόντων σφᾶς κακῶν, τὸ παραπλήσιον δρῶντες, αὐτοί γε ἀχθόμενοι, καὶ συγγνώμονας ἀξιȣ̃ντες γίνεσθαι τȣ̀ς ἀπελαυνομένȣς. οἱ δὲ ἀπανάϛαντες, ὡς ȣ̓κέτι τῆς πατρῴας

cap. 16. Siculi ab Aboriginibus

γῆς

γῆς μεταληψόμενοι, εἰ μὴ κτήσαιντο ἑτέραν τὴν ὑποδεξομένην αὐτοὺς, εἴτε πρὸς φιλίαν, εἴτε ἐν πολέμῳ κρατηθεῖσαν, πατρίδα ἐποιοῦντο· ὅ τε θεὸς, ᾧ κατονομαθεῖεν ἀπελαυνόμενοι, συλλαμβάνειν αὐτοῖς ὡς τὰ πολλὰ ἐδόκει, καὶ παρὰ τὴν ἀνθρωπίνην δόξαν κατορθοῦν τὰς ἀποικίας. τούτῳ τῷ νόμῳ χρώμενοι καὶ τότε τῶν Ἀβοριγίνων τινὲς, ἀνθούντων ἀνδράσι τῶν χωρίων· κτείνειν γὰρ οὐδένα τῶν ἐκγόνων ἠξίουν, ἄγος οὐδενὸς ἔλαττόν τοῦτο τιθέμενοι· θεῶν ὁτῳδὴ καθιερώσαντες ἐνιαυσίους γονὰς, ἀνδρωθέντας ἀποικίζουσι τοὺς παῖδας ἐκ τῆς σφετέρας· οἱ τοὺς Σικελοὺς ἄγοντές τε καὶ φέροντες διετέλουν, ἐπειδὴ τὴν ἑαυτῶν ἐξέλιπον. ὡς δ' ἅπαξ οὗτοι χωρίων τινῶν τὰς πολεμίας ἐκράτησαν, ἐκ τοῦ ἀσφαλεστέρου ἤδη καὶ οἱ λοιποὶ Ἀβοριγῖνες, οἱ δεόμενοι γῆς, τὸ κατὰ σφᾶς ἕκαστοι ἐπεχείρουν τοῖς ὁμόροις· καὶ πόλεις ἔκτισαν ἄλλας τέ τινας, καὶ τὰς μέχρι τοῦδε οἰκουμένας, Ἀντεμνάτας τε καὶ Τελληνεῖς καὶ Φικολνέους τοὺς πρὸς τοῖς καλουμένοις Κορνίκλοις ὄρεσι, καὶ Τιβουρτίνους, παρ' οἷς ἔτι καὶ εἰς τόδε χρόνου, μέρος τι τῆς πόλεως ὀνομάζεται Σικελιῶν· καὶ ἦσαν ἁπάντων, μάλιστα τῶν προσοικούντων λυπηροὶ τοῖς Σικελοῖς. ἀνίσταται δὲ ἐκ τούτων τῶν διαφορῶν τοῖς ἔθνεσιν ὅλοις πόλεμος, ὅσος οὐδεὶς τῶν πρότερον γενομένων ἐν Ἰταλίᾳ καὶ προῆλθεν ἄχρι πόῤῥω, χρόνῳ μηκυνόμενος.

cap. 17. 18. & Pelasgis, qui ex Græcia advenerant,

Ἔπειτα Πελασγῶν τινὲς τῶν οἰκούντων ἐν τῇ καλουμένῃ Θετταλίᾳ, τὴν ἑαυτῶν ἀναγκασθέντες ἐκλιπεῖν, σύνοικοι γίνονται τοῖς Ἀβοριγῖσι, καὶ κοινῇ μετ' ἐκείνων ἐπολέμουν πρὸς τοὺς Σικελούς. ἐδέξαντο δὲ αὐτοὺς οἱ Ἀβοριγῖνες, ἴσως μὲν καὶ κατὰ τοῦ ὠφεληθήσεσθαι ἐλπίδα, ὡς δ' ἐγὼ πείθομαι, καὶ κατὰ τὸ συγγενὲς μάλιστα. ἦν γὰρ δὴ καὶ τὸ τῶν Πελασγῶν γένος Ἑλληνικὸν, ἐκ Πελοποννήσου τὸ ἀρχαῖον. ἐχρήσατο δὲ τύχαις δυσπότμοις, εἰς πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δ' εἰς τὸ πολύπλανόν τε καὶ οὐδενὸς τόπου βέβαιον οἴκησιν. πρῶτον μὲν γὰρ περὶ τὸ καλούμενον νῦν Ἀχαϊκὸν Ἄργος ᾤκησαν αὐτόχθονες ὄντες, ὡς οἱ πολλοὶ περὶ αὐτῶν λέγουσι. τὴν δὲ ἐπωνυμίαν ἔλαβον ἐξ ἀρχῆς ταύτην ἀπὸ τοῦ Πελασγοῦ βασιλέως. ἦν δὲ ὁ Πελασγὸς ἐκ Διὸς, ὡς λέγεται, καὶ τῆς Νιόβης τοῦ Φορωνέως, ᾗ πρώτῃ γυναικὶ θνητῇ μίσγεται ὁ

Ζεὺς

Digitized by Google

Ζεὺς, ὡς ὁ μῦθος ἔχει. ἕκτη δὲ ὕστερον γενεᾷ Πελοπόννησον ἐκλιπόντες, εἰς τὴν τότε μὲν Αἱμονίαν, νῦν δὲ Θετταλίαν ὀνομαζομένην μετανέστησαν. ἡγοῦντο δὲ τῆς ἀποικίας Ἀχαιὸς, καὶ Φθῖος καὶ Πελασγὸς, οἱ Λαρίσσης καὶ Ποσειδῶνος υἱοί. ἀφικόμενοι δ' εἰς τὴν Αἱμονίαν, τούς τε κατοικοῦντας ἐν αὐτῇ βαρβάρους ἐξελαύνουσι, καὶ νέμονται τὴν χώραν τριχῇ, τοῖς ἡγεμόσι ποιήσαντες ὁμωνύμους τὰς μοίρας, Φθιῶτιν καὶ Ἀχαΐαν καὶ Πελασγιῶτιν. πέντε δὲ μείναντες αὐτόθι γενεὰς, ἐν αἷς ἐπὶ μήκιστον εὐτυχίας ἤλασαν, τὰ κράτιστα τῶν ἐν Θετταλίᾳ πεδίων καρπούμενοι, περὶ τὴν ἕκτην γενεὰν ἐξελαύνονται Θετταλίας ὑπό τε Κουρήτων καὶ Λελέγων, οἱ νῦν Αἰτωλοὶ καὶ Λοκροὶ καλοῦνται, καὶ συχνῶν ἄλλων τῶν περὶ τὸν Παρνασσὸν οἰκούντων, ἡγουμένου τῶν πολεμίων Δευκαλίωνος τοῦ Προμηθέως, μητρὸς δὲ Κλυμένης τῆς Ὠκεανοῦ. σκεδασθέντες δὲ κατὰ τὴν φυγὴν, οἱ μὲν εἰς Κρήτην ἀπῆλθον, οἱ δὲ τῶν Κυκλάδων νήσων τινὰς κατέσχον, οἱ δὲ περὶ τὸν Ὄλυμπόν τε καὶ τὴν Ὄσσαν τὴν καλουμένην Ἑστιῶτιν, ᾤκησαν· ἄλλοι δὲ εἴς τε Βοιωτίαν καὶ Φωκίδα καὶ Εὔβοιαν διεκομίσθησαν· οἱ δ', εἰς τὴν Ἀσίαν περαιωθέντες, τῆς περὶ τὸν Ἑλλήσποντον παραλίου πολλὰ χωρία κατέσχον, καὶ τῶν παρακειμένων αὐτῇ νήσων ἄλλας τε συχνὰς, καὶ τὴν νῦν καλουμένην Λέσβον, ἀναμιχθέντες τοῖς ἐκ τῆς Ἑλλάδος στέλλουσι τὴν πρώτην ἀποικίαν εἰς αὐτὴν, ἄγοντος Μάκαρος τοῦ Κριασίου. τὸ δὲ πλεῖον αὐτοῖς μέρος διὰ τῆς μεσογείου τραπόμενοι πρὸς τοὺς ἐν Δωδώνῃ κατοικοῦντας σφῶν συγγενεῖς, οἷς οὐδεὶς ἠξίου ἐπιφέρειν πόλεμον ὡς ἱεροῖς, χρόνον μέν τινα σύμμετρον αὐτόθι διέτριψαν· ἐπεὶ δὲ λυπηροὶ ὄντες ᾐσθάνοντο, ἱκανῆς οὔσης ἅπαντας τρέφειν τῆς γῆς, ἐκλείπουσι τὴν χώραν, χρησμῷ πειθόμενοι κελεύοντι πλεῖν εἰς Ἰταλίαν, ἣ τότε Σατορνία ἐλέγετο. καὶ πρὸς ἑνὶ τῶν τοῦ Πάδου στομάτων ὁρμισάμενοι Σπινῆτι καλουμένῳ, οἱ ὑπομείναντες ἐν τούτῳ τῷ χωρίῳ, πόλιν ἔκτισαν ὁμώνυμον τῷ στόματι τοῦ ποταμοῦ.

Οἱ δὲ διὰ τῆς μεσογείου τραπόμενοι, τὴν ὀρεινὴν τῆς Ἰταλίας ὑπερβαλόντες, εἰς τὴν Ὀμβρικῶν ἀφικνοῦνται χώραν, τῶν ὁμορούντων Ἀβοριγῖσιν. cap. 19.

Πολ-

cap. 20.

Πολλῶν δὲ καὶ ἄλλων ἐκράτησαν χωρίων, τοῖς τε Ἀβοριγῖσι τὸν πρὸς τὲς Σικελὲς πόλεμον ἔτι συνεςῶτα πολλῇ προθυμίᾳ συνδιέφερον, ἕως ἐξήλασαν ἀυτὲς ἐκ τῆς σφετέρας.

cap. 22. ex Italia propulsantur.

Οἱ δὲ Σικελοὶ· ὐ γὰρ ἔτι ἀντέχειν οἷοί τε ἦσαν, ὑπό τε Πελασγῶν καὶ Ἀβοριγίνων πολεμέμενοι· τέκνα καὶ γυναῖκας, καὶ χρημάτων ὅσα χρυσὸς ἢ ἄργυρος ἦν, ἀνασκευασάμενοι, μεθίενται αυτοῖς ἁπάσης τῆς γῆς. τραπόμενοι δὲ διὰ τῆς ὀρεινῆς ἐπὶ τὰ νότια, καὶ διεξελθόντες ἅπασαν Ἰταλίαν τὴν κάτω, ἐπειδὴ πανταχόθεν ἀπηλαύνοντο, σὺν χρόνῳ κατασκευασάμενοι σχεδίας ἐπὶ τῷ πορθμῷ, καὶ φυλάξαντες κατιόντα τὸν ῥὲν, ἀπὸ τῆς Ἰταλίας διέβησαν ἐπὶ τὴν ἔγγιςα νῆσον. κατεῖχον δ' ἀυτὴν Σικανοί, γένος Ἰβηρικὸν, ὐ πολλῷ πρότερον συνοικισάμενοι, Λίγυας φεύγοντες. καὶ παρεσκεύασαν ἀφ' ἀυτῶν Σικανίαν κληθῆναι τὴν νῆσον, Τρινακρίαν πρῶτον ὀνομαζομένην, ἀπὸ τὲ τριγώνε σχήματος. ἦσαν δὲ ὐ πολλοὶ ἐν μεγάλῃ ἀυτῇ οἰκήτορες, ἀλλ' ἡ πλείων τῆς χώρας ἔτι ἦν ἔρημος. καταχθέντες ὖν εις ἀυτὴν Σικελοὶ, τὸ μὲν πρῶτον ἐν τοῖς ἑσπερίοις μέρεσιν ᾤκησαν, ἔπειτα καὶ ἄλλῃ πολλαχῇ· καὶ τὔνομα ἡ νῆσος ἐπὶ τέτων ἤρξατο Σικελία καλεῖσθαι.

cap. 23. Maxima pars Pelasgorum variis calamitatibus deletur.

Οἱ δὲ Πελασγοὶ πολλῆς καὶ ἀγαθῆς χώρας κρατήσαντες, πόλεις τε προσέλαβον, καὶ ἄλλας αυτοὶ κατασκευάσαντες, μεγάλην καὶ ταχεῖαν ἐπίδοσιν ἔλαβον εις ἀνδρείαν καὶ πλὖτον, καὶ τὴν ἄλλην ἐυτυχίαν, ἧς ὐ πολλὴν ὤναντο χρόνον· ἀλλ' ἡνίκα μᾶλλον τοῖς σύμπασιν ἀνθεῖν ἐδόκεν, δαιμονίοις τισὶ χολοῖς ἐλαςρηθέντες, οἱ μὲν ὑπὸ τῶν θείων συμφορῶν, οἱ δὲ ὑπὸ προσοικέντων βαρβάρων ἐξεφθάρησαν· τὸ δὲ πλεῖςον ἀυτῶν μέρος, εις τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον ἄυθις ἐσκεδάσθη· περὶ ὧν πολὺς ἂν εἴη λόγος, ει βελοίμην τὴν ἀκρίβειαν γράφειν. ὀλίγον δὲ κατέμεινεν ἐν Ἰταλίᾳ τῶν Ἀβοριγίνων προνοίᾳ. πρῶτον μὲν ὖν τῆς οἰκοφθορίας ταῖς πόλεσιν ἐδόκει ἀυχμῷ ἡ γῆ κακωθεῖσα ἄρξαι, ἡνίκα ὔτ' ἐπὶ τοῖς δένδρεσι καρπὸς ὐδεὶς ὡραῖος (γενέσθαι) διέμεινεν, ἀλλ' ὠμοὶ κατέῤῥεον· ὔθ' ὁπόσα σπερμάτων ἀνέντα βλαςὲς ἀνθήσειν, ἕως ςάχυος ἀκμῆς τὲς κατὰ νόμον ἐπλήρε χρόνες· ὔτε πόα

πόα κτήνεσιν ἐφύετο διαρκής· τῶν τε ναμάτων τὰ μὲν ὀυκέτι πίνεσθαι σπεδαῖα ἦν, τὰ δ' ὑπελίμπανε θέρες, τὰ δ' ἐις τέλος ἀπεσβέννυτο. ἀδελφὰ δὲ τέτοις ἐγίνετο περί τε προβάτων καὶ γυναικῶν γονάς. ἢ γὰρ ἐξημβλῦτο τὰ ἔμβρυα, ἢ κατὰ τὲς τόκες διεφθείρετο, ἔςιν ἃ καὶ τὰς φερέσας συνδιαλυμηνάμενα. ἐι δέ τι διαφύγοι τὸν ἐκ τῶν ὠδίνων κίνδυνον, ἔμπηρον ἢ ἀτελὲς, ἢ δι' ἄλλην τινὰ τύχην βλαφθὲν, τρέφεσθαι χρηςὸν ὀυκ ἦν. ἔπειτα καὶ τὸ ἄλλο πλῆθος τὸ ἐν ἀκμῇ μάλιςα ἐκακῦτο νόσοις καὶ θανάτοις παρὰ τὰ ἐικότα συχνοῖς.

cap. 26. Tyrrheni Pelasgorum sedes occupant.

Ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Πελασγικὸν κακῦσθαι ἤρξατο, δευτέρα γενεὰ σχεδὸν πρὸ τῶν Τρωϊκῶν ἐγένετο. -- οι δὲ τῶν ἐκλιπόντων τὴν χώραν Πελασγῶν κατασχόντες τὰς πόλεις, ἄλλοι τε πολλοὶ ἦσαν, ὡς ἕκαςοί τισιν ἔτυχον ὁμοτέρμονας τὰς ὀικήσεις ἔχοντες, καὶ ἐν τοῖς μάλιςα πλείςας τε καὶ ἀρίςας Τυῤῥηνοί. τὲς δὲ Τυῤῥηνὲς ὁι μὲν αὐτόχθονας Ἰταλίας ἀποφαίνεσιν, ὁι δὲ ἐπήλυδας.

cap. 30.

Κινδυνεύεσι δὲ τοῖς ἀληθέσι μᾶλλον ἐοικότα λέγειν, μηδαμόθεν ἀφιγμένον, ἀλλ' ἐπιχώριον τὸ ἔθνος ἀποφαίνοντες· ἐπειδὴ ἀρχαῖόν τε πάνυ, καὶ ὀυδενὶ ἄλλῳ γένει ὄυτε ὁμόγλωττον, ὄυτε ὁμοδίαιτον ἐυρίσκεται. ὠνομᾶσθαι δ' ὑφ' Ἑλλήνων αὐτὸ τῇ προσηγορίᾳ ταύτῃ, ὀυδὲν κωλύει, καὶ διὰ τὰς ἐν τύρσεσιν ὀικήσεις, καὶ ἀπ' ἀνδρὸς δυνάςε. Ῥωμαῖοι μέν τοι ἄλλαις αὐτὸ προσαγορεύεσιν ὀνομασίαις· καὶ γὰρ ἀπὸ τῆς χώρας, ἐν ᾗ ποτὲ ᾤκησαν, Ἐτρερίας προσαγορευομένης, Ἐτρέσκες καλῦσι τὲς ἀνθρώπες· καὶ ἀπὸ τῆς ἐμπειρίας τῶν περὶ τὰ θεῖα σεβάσματα λειτεργιῶν, διαφέροντας ἐις αὐτὴν ἑτέρων, νῦν μέντοι ἀσαφέςερον, πρότερον δ' ἀκριβῦντες τὄυνομα ὥσπερ Ἕλληνες, Θυοσκόες ἐκάλεν.

cap. 31. Arcades, duce Evandro, in Italiam delati, Palantium condunt.

Μετὰ δὲ ὀυ πολὺν χρόνον ςόλος ἄλλος Ἑλληνικὸς ἐις ταῦτα τὰ χωρία τῆς Ἰταλίας κατάγεται, ἑξηκοςῷ μάλιςα ἔτει πρότερον τῶν Τρωϊκῶν, ὡς αὐτοὶ Ῥωμαῖοι λέγεσιν, ἐκ Παλαντίε πόλεως Ἀρκαδικῆς ἀναςάς. ἡγεῖτο δὲ τῆς ἀποικίας Εὔανδρος, Ἑρμῦ γενόμενος καὶ νύμφης τινὸς Ἀρκάσιν ἐπιχωρίας, ἣν ὁι μὲν Ἕλληνες Θέμιν εἶναι λέγεσι, καὶ θεοφόρητον ἀποφαίνεσιν· ὁι δὲ τὰς Ῥωμαϊκὰς συγγράψαντες ἀρχαιολογίας, τῇ πατρῴᾳ γλώσσῃ Καρ-

Καρμένταν ὀνομάζουσιν. εἴη δ' ἂν Ἑλλάδι φωνῇ Θεσπιῳδὸς τῇ νύμφῃ τοὔνομα· τὰς μὲν γὰρ ᾠδὰς καλοῦσι Ῥωμαῖοι κάρμινα. τὴν δὲ γυναῖκα ταύτην ὁμολογοῦσι δαιμονίῳ πνεύματι κατάσχετον γινομένην, τὰ μέλλοντα συμβαίνειν τῷ πλήθει δι' ᾠδῆς προλέγειν. ὁ δὲ στόλος οὗτος οὐκ ἀπὸ κοινοῦ τῆς γνώμης ἐπέμφθη· ἀλλὰ στασιάσαντος τοῦ δήμου, τὸ ἐλαττωθὲν ἑκούσιον μέρος ὑπεξῆλθεν. ἐτύγχανε δὲ τότε τὴν βασιλείαν τῶν Ἀβοριγίνων παρειληφὼς Φαῦνος, Ἄρεος, ὥς φασιν, ἀπόγονος, ἀνὴρ μετὰ τοῦ δραστηρίου καὶ συνετός, καὶ αὐτὸν ὡς τῶν ἐπιχωρίων τινὰ Ῥωμαῖοι δαιμόνων θυσίαις καὶ ᾠδαῖς γεραίρουσιν. οὗτος ὁ ἀνὴρ δεξάμενος κατὰ πολλὴν φιλότητα τοὺς Ἀρκάδας, ὀλίγους ὄντας, δίδωσιν αὐτοῖς τῆς ἑαυτοῦ χώρας ὁπόσην ἐβούλοντο. οἱ δὲ Ἀρκάδες, ὡς ἡ Θέμις αὐτοῖς ἐπιθειάζουσα ἔφραζεν, αἱροῦνται λόφον, ὀλίγον ἀπέχοντα τοῦ Τιβέριος, ὅς ἐστι νῦν ἐν μέσῳ μάλιστα τῆς Ῥωμαίων πόλεως· καὶ κατασκευάζονται πρὸς αὐτῷ κώμην βραχεῖαν, δυσὶ ναυτικοῖς πληρώμασιν, ἐν οἷς ἐπανέστησαν τῆς Ἑλλάδος, ἀποχρῶσαν. ἣν ἔμελλε τὸ πεπρωμένον σὺν χρόνῳ θήσειν ὅσην οὔθ' Ἑλλάδα πόλιν, οὔτε βάρβαρον, κατά γε οἰκήσεως μέγεθος, καὶ κατὰ δυναστείας ἀξίωσιν, καὶ τὴν ἄλλην ἅπασαν εὐτυχίαν, χρόνον τε ὁπόσον ἂν ὁ θνητὸς αἰὼν ἀντέχῃ, πόλεων μάλιστα πασῶν μνημονευθησομένην. ὄνομα δὲ τῷ πολίσματι τούτῳ τίθενται Παλάντιον, ὡς ἀπὸ τῆς ἐν Ἀρκαδίᾳ σφῶν μητροπόλεως. νῦν μέν τοι Παλάτιον ὑπὸ Ῥωμαίων λέγεται, συγχέαντος τοῦ χρόνου τὴν ἀκρίβειαν· καὶ παρέχει πολλοῖς ἀτόπων ἐτυμολογιῶν ἀφορμάς.

Palantium conditur.

cap. 33. Literas, musicam & varias artes e Græcia in Italiam transtulisse dicuntur.

Λέγονται δὲ Ἀρκάδες καὶ γραμμάτων Ἑλληνικῶν χρῆσιν εἰς Ἰταλίαν πρῶτοι διακομίσαι, νεωστὶ φανεῖσαν Ἀρκάσι· καὶ μουσικὴν δι' ὀργάνων, ἃ δὴ λύρα τε καὶ τρίγωνα καὶ λυδοὶ καλοῦνται, τῶν προτέρων, ὅτι μὴ σύριγξι ποιμενικαῖς, οὐδενὶ ἄλλῳ μουσικῆς τεχνήματι χρωμένων· νόμους τε θέσθαι, καὶ τὴν δίαιταν ἐκ τοῦ θηριώδους ἐπὶ πλεῖστον εἰς ἡμερότητα μεταγαγεῖν· τέχνας τε καὶ ἐπιτηδεύματα καὶ ἄλλα τινὰ πολλὰ ὠφελήματα εἰς τὸ κοινὸν καταθεῖναι, καὶ διὰ ταῦτα πολλῆς ἐπιμελείας τυγχάνειν πρὸς τῶν ὑποδεξαμένων. τοῦτο δεύτερον ἔθνος Ἑλληνι-

λῃνικὸν μετὰ Πελασγοὺς, ἀφικόμενον ἐις Ἰταλίαν, κοινὴν ἔσχε μετὰ τῶν Ἀβοριγίνων ὄικησιν, ἐν τῷ κρατίςῳ τῆς Ἰταλίας ἱδρυσάμενον χωρίῳ.

cap. 34. Herculis in Italiam adventus, cujus e comitibus plures ibi manserunt.

Ὀλίγοις δὲ ἔτεσι μετὰ τοὺς Ἀρκάδας ἄλλος ἐις Ἰταλίαν ἀφικνεῖται ςόλος Ἑλληνικὸς, ἄγοντος Ἡρακλέους, ὃς Ἰβηρίαν καὶ τὰ μέχρι δυσμῶν ἡλίου χειρωσάμενος ἦν. ἐξ ὧν τινὲς Ἡρακλέα παραιτησάμενοι τῆς πραγματείας ἀφεθῆναι, περὶ ταῦτα τὰ χωρία ὑπέμειναν, καὶ πολίζονται λόφον ἐπιτήδειον ἑυρόντες, τριςαδίῳ δὲ μάλιςα μήκει τοῦ Παλαντίου διειργμένον, ὃς νῦν μὲν Καπιτωλῖνος ὀνομάζεται, ὑπὸ δὲ τῶν τότε ἀνθρώπων Σατόρνιος ἐλέγετο, ὥσπερ ἂν ἔιποι τις Ἑλλάδι φωνῇ, Κρόνιος. τῶν δὲ ὑπολειφθέντων ὁι μὲν πλείους ἦσαν Πελοποννήσιοι, Φενεᾶταί τε καὶ Ἐπειοὶ ὁι ἐξ Ἤλιδος, ὄις ὀυκέτι πόθος ἦν τῆς ὄικαδε ὁδοῦ, διαπεπορθημένης ἀυτοῖς τῆς πατρίδος ἐν τῷ πρὸς Ἡρακλέα πολέμῳ. ἐμέμικτο δέ τι καὶ Τρωϊκὸν ἀυτοῖς τῶν ἐπὶ Λαομέδοντος ἀιχμαλώτων ἐξ Ἰλίου γενομένων, ὅτε τῆς πόλεως Ἡρακλῆς ἐκράτησε. δοκεῖ δέ μοι καὶ τοῦ ἄλλου ςρατοῦ πᾶν, ἔι τι καματηρὸν ἢ τῇ πλάνῃ ἀχθόμενον ἦν, ἄφεσιν τῆς ςρατείας ἀιτησάμενον, ἐν τῷ χωρίῳ τῷδε ὑπομεῖναι. — ὡς δὲ ἐγὼ συμβαλλόμενος ἑυρίσκω, καὶ πρὶν Ἡρακλέα ἐλθεῖν ἐις Ἰταλίαν, ἱερὸς ἦν ὁ τόπος τοῦ Κρόνου, καλούμενος ὑπὸ τῶν ἐπιχωρίων Σατόρνιος. καὶ ἄλλη δὲ ἀκτὴ σύμπασα, ἡ νῦν Ἰταλία καλουμένη, τῷ θεῷ τούτῳ ἀνέκειτο, Σατορνία πρὸς τῶν ἐνοικούντων ὀνομαζομένη, ὡς ἐςιν ἑυρεῖν ἔν τε Σιβυλλείοις τισὶ λόγοις καὶ ἄλλοις χρηςηρίοις ὑπὸ τῶν θεῶν δεδομένοις ἐιρημένον· ἱερά τε πολλαχῇ τῆς χώρας ἐςὶν ἱδρυμένα τῷ θεῷ, καὶ πόλεις τινὲς οὕτως, ὥσπερ ἡ σύμπασα τότε ἀκτὴ, ὀνομαζόμεναι· χῶροι δὲ πολλοὶ τοῦ δαίμονος ἐπώνυμοι, καὶ μάλισα ὁι σκόπελοι, καὶ τὰ μετέωρα.

cap. 35. Italia hoc tempore & unde? dicta.

Ἰταλία δὲ ἀνὰ χρόνον ὠνομάσθη, ἐπ᾽ ἀνδρὸς δυνατοῦ, ὄνομα Ἰταλοῦ.

cap. 36. Insignis Italiæ fertilitas.

Ἔςι δέ τις καὶ ἕτερος λόγος ὑπὸ τῶν ἐπιχωρίων μυθολογούμενος, ὡς πρὸ τῆς Διὸς ἀρχῆς ὁ Κρόνος ἐν τῇ γῇ ταύτῃ δυναςεύσειε, καὶ ὁ λεγόμενος ἐπ᾽ ἐκείνου βίος ἅπασι δαψιλὴς, ὁπόσοις ὧραι φύουσιν, ὀυ παρ᾽ ἄλλοις μᾶλλον ἢ παρά σφισι γένοιτο. — ὡς γὰρ μία γῆ πρὸς ἑτέραν κρίνεσθαι

θαι τοσαύτην τὸ μέγεθος, ὐ μόνον τῆς Ἐυρώπης, ἀλλὰ καὶ τῆς ἄλλης ἁπάσης κρατίςη κατ' ἐμὴν δόξαν ἐςὶν Ἰταλία. καίτοι με ὐ λέληθεν, ὅτι πολλοῖς ὐ πιςὰ δόξω λέγειν, ἐνθυμυμένοις Ἄιγυπτόν τε καὶ Λιβύην, καὶ Βαβυλῶνα, καὶ ἐι δή τινες ἄλλοι χῶροί ἐισιν ἐυδαίμονες. ἀλλ' ἐγὼ τὸν ἐκ γῆς πλῦτον ὐκ ἐν μιᾷ τίθεμαι καρπῶν ἰδέᾳ, ὐδ' ἐισέρχεταί μοι ζῆλος οἰκήσεως, ἐν ᾗ μόνον ἐισὶν ἄρυραι πίονες, τῶν δ' ἄλλων ὐδὲν ἢ βραχύ τι χρήσιμον, ἀλλ' ἥ τις ἂν ἔιη πολυαρκεςάτη τε καὶ τῶν ἐπεισάκτων ἀγαθῶν ἐπὶ τὸ πολὺ ἐλάχιςον δεομένη, ταύτην κρατίςην ἔιναι λογίζομαι. τῦτο δὲ τὸ πάμφορον καὶ πολυωφελὲς παρ' ἣν τινα ἄλλην γῆν Ἰταλίαν ἔχειν πείθομαι.

cap. 37. Ποίας μὲν γὰρ λείπεται σιτοφόρυ, μὴ ποταμοῖς, ἀλλὰ τοῖς ὐρανίοις ὕδασιν ἀρδόμενα τὰ καλύμενα Καμπανῶν πεδία, ἐν οἷς ἐγὼ καὶ τρικάρπυς ἐθεασάμην ἀρύρας, θερινὸν ἐπὶ χειμερινῷ, καὶ μετοπωρινὸν ἐπὶ θερινῷ σπόρον ἐκτρεφύσας; ποίας δ' ἐλαιοφόρυ τὰ Μεσαπίων καὶ Δαυνίων καὶ Σαβίνων καὶ πολλῶν ἄλλων γεώργια; ποίας δ' οἰνοφύτυ, Τυῤῥηνία καὶ Ἀλβανὴ, καὶ Φαλερίνων χωρία θαυμαςῶς ὡς φιλάμπελα, καὶ δι' ἐλαχίςυ πόνυ πλείςυς ἅμα καὶ κρατίςυς καρπὺς ἐξενεγκεῖν ἔυπορα; χωρὶς δὲ τῆς ἐνεργῦ, πολλὴν μὲν ἄν τις ἔυροι τὴν ἐις ποίμνας ἀνειμένην ἀυτῆ, πολλὴν δὲ τὴν αἰγονόμον· ἔτι δὲ πλείω καὶ θαυμασιωτέραν τὴν ἱπποφορβόν τε καὶ βυκολίδα· ἡ γὰρ ἕλαιος καὶ λειμωνία βοτάνη δαψιλὴς ὖσα, τῶν τε ὀργάδων ἡ δροσερὰ καὶ καταῤῥυτος, ἄπειρος ἣ θέρος νέμεται, παρέχει διὰ παντὸς ἐυθηνύσας τὰς ἀγέλας. πάντων δ' ἐισὶν οἱ δρυμοὶ θαυμασιώτατοι, περί τε τὰ κρημνώδη χωρία καὶ τὰς νάπας, καὶ τὺς ἀγεωργήτυς λόφυς, ἐξ ὧν πολλῆς μὲν ἐυπορῦσι καὶ καλῆς ναυπηγησίμυ, πολλῆς δὲ τῆς ἐις τὰς ἄλλας ἐργασίας ἐυθέτυ. καὶ τύτων ὐδὲν ὔτε δυσπόριςόν ἐςιν, ὔτε πρόσω τῆς ἀνθρωπίνης χρείας κείμενον, ἀλλ' ἐυκατέργαςα καὶ ῥάδια παρεῖναι πάντα, διὰ πλῆθος τῶν ποταμῶν, οἳ διαῤῥέυσιν ἅπασαν τὴν ἀκτὴν, καὶ ποιῦσι τάς τε κομιδὰς καὶ τὰς ἀμείψεις τῶν ἐκ γῆς φυομένων λυσιτελεῖς· ἔχει δὲ ἡ γῆ καὶ νάματα θερμῶν ὑδάτων ἐν πολλοῖς ἐυρημένα χωρίοις, λυτρὰ παρασχεῖν ἥδιςα, καὶ νόσυς ἰάσασθαι χρονίυς ἄριςα· καὶ μέταλλα παντοδαπὰ,

καὶ

καὶ θηρίων ἄγρας ἀφθόνους, καὶ θαλάττης φύσιν πολίγονον· ἄλλα τε μυρία, τὰ μὲν εὔχρηστα, τὰ δὲ θαυμάσια· ἁπάντων δὲ κάλλιστον, ἀέρα κεκραμένον ταῖς ὥραις συμμέτρως, οἷον ἥκιστα πημαίνειν κρυμῶν ὑπερβολαῖς καὶ θάλπεσιν ἐξαισίοις καρπῶν τε γενέσιν ἢ ζώων φύσιν.

Οὐδὲν οὖν θαυμαστὸν, τοὺς παλαιοὺς ἱερὰν ὑπολαβεῖν τοῦ Κρόνου τὴν χώραν ταύτην, τὸν μὲν δαίμονα τοῦτον οἰομένους εἶναι πάσης εὐδαιμονίας δοτῆρα καὶ πληρωτὴν ἀνθρώποις. — λέγουσι δὲ καὶ τὰς θυσίας ἐπιτελεῖν τῷ Κρόνῳ τοὺς παλαιοὺς, ὥσπερ ἐν Καρχηδόνι, τέως ἡ πόλις διέμεινε, καὶ παρὰ Κελτοῖς εἰς τόδε χρόνου γίνεται, ἀνδραφόνους· Ἡρακλέα δὲ παῦσαι τὸν νόμον τῆς θυσίας βουληθέντα, τόν τε βωμὸν ἱδρύσασθαι τὸν ἐπὶ τῷ Σατορνίῳ, καὶ κατάρξασθαι θύματων ἁγνῶν, ἐπὶ καθαρῷ πυρὶ ἀζομένων. ἵνα δὲ μηδὲν εἴη τοῖς ἀνθρώποις ἐνθύμιον, ὡς πατρίων ἠλογικόσι θυσιῶν, διδάξαι τοὺς ἐπιχωρίους, ἀπομειλιττομένους τὴν τοῦ θεοῦ μῆνιν, ἀντὶ τῶν ἀνθρώπων, οὓς συμποδίζοντες καὶ τῶν χειρῶν ἀκρατεῖς ποιοῦντες ἐῤῥίπτουν εἰς τὸ Τιβέριος ῥεῖθρον, εἴδωλα ποιοῦντας ἀνδρείκελα, κεκοσμημένα τὸν αὐτὸν ἐκείνοις τρόπον, ἐμβαλεῖν εἰς τὸν ποταμὸν, ἵνα δὴ τὸ τῆς ὀττείας, ὅ τι δή ποτ' ἦν ἐν ταῖς ἁπάντων ψυχαῖς παραμένου, ἐξαιρεθῇ, τῶν εἰκόνων τοῦ παλαιοῦ ἔθους ἔτι σωζομένων. τοῦτο δὲ καὶ μέχρις ἐμοῦ Ῥωμαῖοι δρῶντες, ὅσον τι μικρὸν ὕστερον ἐαρινῆς ἰσημερίας, ἐν μηνὶ Μαΐῳ, ταῖς καλουμέναις εἰδοῖς, διχομηνίδα βουλόμενοι ταύτην εἶναι τὴν ἡμέραν· ἐν ᾗ προθύσαντες ἱερὰ τὰ κατὰ τοὺς νόμους οἱ καλούμενοι Ποντίφικες, ἱερέων οἱ διασαφέστατοι, καὶ σὺν αὐτοῖς αἱ τὸ ἀθάνατον πῦρ διαφυλάττουσαι παρθένοι, στρατηγοί τε καὶ τῶν ἄλλων πολιτῶν, οὓς παρεῖναι ταῖς ἱερουργίαις θέμις, εἴδωλα μορφαῖς ἀνθρώπων εἰκασμένα, τριάκοντα τὸν ἀριθμὸν, ἀπὸ τῆς ἱερᾶς γεφύρας βάλλουσιν εἰς τὸ ῥεῦμα τοῦ Τιβέριος, Ἀργείους αὐτὰ καλοῦντες.

cap. 38.

Ἡρακλῆς δὲ ἐπειδὴ τά τε κατὰ τὴν Ἰταλίαν ἅπαντα, ὡς ἐβούλετο, κατεστήσατο, θύσας τοῖς θεοῖς τὰς δεκάτας τῶν λαφύρων, καὶ πολίχνην ἐπώνυμον αὐτοῦ κτίσας, ἔνθα ὁ στόλος αὐτῷ ἐναυλοχεῖτο, ἡ νῦν ὑπὸ Ῥωμαίων οἰκουμένη, καὶ Πομπηΐας ἐν μέσῳ κειμένη Νεαπόλεως

cap. 44. Peloponnesii & reliqui Herculis socii cum Aboriginibus coalescunt.

λεώς τε, λιμένας ἐν παντὶ καιρῷ βεβαίες ἔχεσα· δόξης τε καὶ ζήλε καὶ τιμῶν ἰσοθέων παρὰ πᾶσι τοῖς οἰκᾶσιν ἐν Ἰταλίᾳ τυχὼν, ἀπῆρεν εἰς Σικελίαν. οἱ δὲ καταλειφθέντες ὑπ᾽ αὐτε φρερoὶ καὶ οἰκήτορες Ἰταλίας, οἱ περὶ τὸν Σατόρνιον ὄχθον ἱδρυμένοι, τέως μὲν ἐπολιτεύοντο καθ᾽ ἑαυτές. χρόνῳ δὲ ὕςερον ἐ μακρῷ, δίαιτάν τε καὶ νόμες, καὶ θεῶν ἱερὰ συνενεγκάμενοι τὰ σφέτερα τοῖς Ἀβοριγίνων, ὥσπερ Ἀρκάδες καὶ ἔτι πρότερον Πελασγοὶ, πόλεώς τε τῆς αὐτῆς τοῖς Ἀβοριγῖσι κοινωνήσαντες, συνέβησαν ὁμοεθνεῖς νομίζεσθαι. Ἡρακλέες μὲν δὴ ςρατιᾶς πέρι, καὶ Πελοποννησίων ὑπομονῆς ἐν Ἰταλίᾳ, ταῦτα εἰρήσθω. δευτέρᾳ δ᾽ ὕςερον γενεᾷ μετὰ τὴν Ἡρακλέες ἄπαρσιν, ἔτει δὲ πέμπτῳ καὶ πεντηκοςῷ μάλιςα, ὡς αὐτοὶ Ῥωμαῖοι λέγεσι, βασιλεὺς μὲν Ἀβοριγίνων ἦν Λατῖνος ὁ Φαύνε, γόνος δὲ Ἡρακλέες, πέμπτον καὶ τριακοςὸν ἔτος ἔχων τὴν ἀρχήν.

cap. 45. Aeneæ & Trojanorum adventus.

Κατὰ δὲ τὸν χρόνον τῦτον Τρῶες οἱ σὺν Αἰνείᾳ διαφυγόντες ἐξ Ἰλίε τῆς πόλεως ἁλέσης, κατέσχον εἰς Λαρεντὸν, αἰγιαλὸν Ἀβοριγίνων ἐπὶ τῷ Τυῤῥηνικῷ πελάγει κείμενον, ἐ πρόσω τῶν ἐμβολῶν τε Τιβέριος· λαβόντες δὲ παρὰ τῶν Ἀβοριγίνων χωρίον εἰς οἴκησιν, καὶ ὅσα ἠξίεν, πολίζονται μικρὸν ἀποσχόντες ἀπὸ θαλάττης, ἐπὶ λόφῳ τινὶ, Λαεΐνιον ὄνομα τῇ πόλει θέμενοι. ὀλίγῳ δ᾽ ὕςερον χρόνῳ τὴν ἀρχαίαν ἀλλάξαντες ὀνομασίαν, ἅμα τοῖς Ἀβοριγῖσιν, ἀπὸ τε βασιλέως τῆς χώρας Λατῖνοι ὠνομάσθησαν. Καὶ μεταναςάντες ἐκ τε Λαεϊνίε κοινῇ μετὰ τῶν ἐπιχωρίων, μείζονα περιβάλλονται πόλιν, ἣν Ἄλβαν ἐκάλεσαν· ἐξ ἧς ὁρμώμενοι, πολλὰς μὲν καὶ ἄλλας πόλεις ἔκτισαν, τῶν κληθέντων Πρίσκων Λατίνων, ἐξ ὧν αἱ πλεῖςαι ἔτι καὶ εἰς ἐμὲ ἦσαν οἰκέμεναι. γενεαῖς δὲ ὕςερον ἑκκαίδεκα μετὰ Ἰλίε ἅλωσιν ἐκπέμψαντες ἀποικίαν εἰς τὸ Παλάντιόν τε καὶ τὴν Σατορνίαν, ἔνθα Πελοποννήσιοί τε καὶ Ἀρκάδες τὴν πρώτην οἴκησιν ἐποιήσαντο, καὶ ἦν ἔτι ἐπ᾽ αὐτῶν ζώπυρα ἄττα περιλειπόμενα τε παλαιε γένες, οἰκίζεσι τὲς τόπες, περιβάλλοντες τείχεσι τὸ Παλάντιον, ὥςε λαβεῖν σχῆμα πόλεως τότε πρῶτον. τίθενται δὲ τῷ κτίσματι Ῥώμην ὄνομα, ἀπὸ τε ςείλαντος τὴν ἀποικίαν Ῥωμύλε, ὃς ἦν ἕβδομος καὶ δέκατος

Lavinium conditur a. 1183. ante Chr.

Digitized by Google

κατος ἀπ' Αἰνείȣ γεγονώς. βȣ́λομαι δὲ καὶ περὶ τῆς Αἰνείȣ παρȣσίας εἰς Ἰταλίαν μὴ παρέργως διελθεῖν.

Περὶ δὴ τῶν χρόνων, ἐν οἷς ἐκτίσθη τὸ Λαȣΐνιον, ἄλλοι μὲν ἄλλως λέγȣσιν· ἐμοὶ μέντοι δοκȣ̃σιν οἱ δευτέρῳ μετὰ τὴν ἔξοδον τὴν ἐκ Τροίας ἔτει φέροντες αὐτὴν, εἰκότα μᾶλλον λέγειν. Ἴλιον μὲν γὰρ ἥλω τελευτῶντος ἤδη τȣ̃ θέρȣς, ἑπτακαίδεκα πρότερον ἡμέραις τῆς θερινῆς τροπῆς, ὀγδόῃ φθίνοντος μηνὸς Θαργηλιῶνος, ὡς Ἀθηναῖοι τȣ̀ς χρόνȣς ἄγȣσι. περιτταὶ δὲ ἦσαν αἱ τὸν ἐνιαυτὸν ἐκεῖνον ἐκπληρȣ̃σαι μετὰ τὴν τροπὴν εἴκοσι ἡμέραι. ἐν δὴ ταῖς ἑπτὰ καὶ τριάκοντα, ταῖς ἀπὸ τῆς ἁλώσεως διαγενομέναις, τά τε περὶ τὴν πόλιν οἴομαι διοικήσαθαι τȣ̀ς Ἀχαιȣ̀ς, καὶ τὰς πρεσβείας ἐπιδέξαθαι τὰς παρὰ τῶν ἀφεστηκότων, καὶ τὰ ὅρκια ποιήσαθαι πρὸς αὐτȣ̀ς· τῷ δ' ἑξῆς ἔτει, πρώτῳ δὲ μετὰ τὴν ἅλωσιν περὶ τὴν μετοπωρινὴν ἰσημερίαν ἄραντες οἱ Τρῶες ἐκ τῆς γῆς, περαιȣ̃νται τὸν Ἑλλήσποντον· καὶ καταχθέντες εἰς τὴν Θρᾴκην, αὐτȣ̃ διατρίβȣσι τὴν χειμερινὴν ὥραν, δεχόμενοί τε τȣ̀ς ἔτι συνιόντας ἐκ τῆς φυγῆς, καὶ παρασκευαζόμενοι τὰ εἰς τὸν ἀπόπλȣν. ἐκ δὲ τῆς Θρᾴκης ἀναστάντες ἔαρος ἀρχομένȣ, τελȣ̃σι τὸν μεταξὺ πλȣ̃ν, ἄχρι Σικελίας· ἐκεῖ δὲ ὁρμισαμένοις αὐτοῖς τὸ ἔτος τȣ̃το τελευτᾷ, καὶ διατρίβȣσι τὸν δεύτερον χειμῶνα, τὰς πόλεις συνοικίζοντες τοῖς Ἐλύμοις ἐν Σικελίᾳ. πλωΐμων δὲ γενομένων ἄραντες ἀπὸ τῆς νήσȣ, περῶσι τὸ Τυῤῥηνικὸν πέλαγος, καὶ τελευτῶντες εἰς Λωρεντὸν ἀφικνȣ̃νται, τὸν Ἀβοριγίνων αἰγιαλὸν, μεσȣ́σης θερείας. λαβόντες δὲ τὸ χωρίον, οἰκίζȣσιν ἐν αὐτῷ Λαȣΐνιον, τὸν δεύτερον ἀπὸ τῆς ἁλώσεως ἐκπληρώσαντες ἐνιαυτόν. καὶ περὶ μὲν τȣ́των, ὡς ἔχω δόξης, δεδήλωταί μοι.

Αἰνείας δὲ κατασκευάσας ἱεροῖς τε καὶ τοῖς ἄλλοις κόσμοις ἀποχρώντως τὴν πόλιν, ὧν τὰ πλεῖστα ἔτι καὶ εἰς ἐμὲ ἦν, τῷ μὲν ἑξῆς ἐνιαυτῷ, τρίτῳ δὲ ἀπὸ τῆς ἐξόδȣ, Τρώων ἐβασίλευσε μόνον· τῷ δὲ τετάρτῳ τελευτήσαντος Λατίνȣ, καὶ τὴν ἐκείνȣ βασιλείαν παραλαμβάνει, τῆς τε κηδείας οἰκειότητι τῆς πρὸς αὐτὸν, ἐπικλήρȣ τῆς Λαΐνας γενομένης μετὰ τὸν Λατίνȣ θάνατον, καὶ τȣ̃ πρὸς τȣ̀ς ἀστυγείτονας πολέμȣ τῆς στρατηγίας ἕνεκα. ἀπέστησαν γὰρ

cap. 63.

cap. 64.

αὖθις

Digitized by Google

αὖθις ἀπὸ τῦ Λατίνυ Ῥότολοι, λαβόντες ἡγεμόνα τῶν αὐτομόλων τινὰ τῆς Λατίνυ γυναικὸς Ἀμάτης ἀνεψιὸν, ὄνομα Τυρνόν. ὁ δὲ ἀνὴρ ὗτος ἐπὶ τῷ γάμῳ τὸν κηδεςὴν μεμφόμενος, ὅτι παρελθὼν τὸ συγγενὲς ὀθνείας ἐκήδευσε, τῆς τε Ἀμάτης παροξυνέσης, καὶ ἄλλων τινῶν συλλαμβανόντων, ἄγων τὴν δύναμιν, ἧς αὐτὸς ἦρχε, προστίθεται τοῖς Ῥοτόλοις. πολέμυ δὲ ἐκ τῶν ἐγκλημάτων τέτων γενομένυ, καὶ μάχης ἰσχυρᾶς, Λατῖνος μὲν ἀποθνήσκει καὶ Τυρνὸς, καὶ τῶν ἄλλων συχνοί· κρατῦσι δ' ὅμως οἱ σὺν Ἀινείᾳ. ἐκ δὲ τέτυ τὴν ὑπὸ τῷ κηδεςῇ γενομένην ἀρχὴν Ἀινείας παραλαμβάνει. τρία δὲ βασιλεύσας ἔτη μετὰ τὴν τῦ Λατίνυ τελευτὴν, τῷ τετάρτῳ θνήσκει κατὰ πόλεμον. Ῥότολοί τε γὰρ ἐκ τῶν πόλεων ςρατεύυσιν ἅπαντες πρὸς αὐτὸν, καὶ σὺν αὐτοῖς βασιλεὺς Τυῤῥηνῶν Μεσσέντιος, δείσας περὶ τῶν αὐτῦ χώρων. ἤδη γὰρ ἐπὶ μέγα χωρῦσαν τὴν Ἑλληνικὴν ὁρῶν δύναμιν ἤχθετο. μάχης δὲ γενομένης καρτερᾶς, ὀ πρόσω τῦ Λαυϊνίυ, καὶ πολλῶν ἑκατέρωθεν ἀπολομένων, τὰ μὲν ςρατεύματα νυκτὸς ἐπελθέσης διελύθη, τὸ δὲ Ἀινείυ σῶμα φανερὸν ὀδαμῇ γενόμενον, οἱ μὲν εἰς θεὺς μεταναςῆναι εἴκαζον, οἱ δ' ἐν τῷ ποταμῷ, παρ' ὃν ἡ μάχη ἐγένετο, διαφθαρῆναι. καὶ αὐτῷ κατασκευάζυσιν ὁ Λατῖνοι ἡρῷον, ἐπιγραφῇ τοιᾷδε κοσμέμενον· Πατρὸς θεῦ χθονίυ, ὃς ποταμῦ Νομικίυ ῥεῦμα διέπει. εἰσὶ δ', οἳ λέγυσιν, ἐπ' Ἀγχίσῃ κατασκευασθῆναι αὐτὸ ὑπ' Ἀινείυ, ἐνιαυτῷ πρότερον τῦ πολέμυ τέτυ τελευτήσαντι. ἔςι δὲ χωμάτιον ὀ μέγα, καὶ περὶ αὐτὸ δένδρα ςοιχηδὸν πεφυκότα θέας ἄξια.

cap. 65. Ascanius, Aeneæ filius & successor.

Ἀινείυ δ' ἐξ ἀνθρώπων μεταςάντος ἑβδόμῳ μάλιςα ἔτει μετὰ τὴν Ἰλίυ ἅλωσιν, Ἐυρυλέων παρέλαβε τὴν Λατίνων ἡγεμονίαν, ὁ μετονομαθεὶς Ἀσκάνιος ἐν τῇ φυγῇ. ἦσαν δὲ τειχήρεις οἱ Τρῶες ἐν τῷ χρόνῳ τέτῳ, καὶ τοῖς μὲν πολεμίοις ἀεὶ προσῄει δύναμις· αἱ δὲ τῶν Λατίνων ἀδύνατοι ἦσαν τοῖς ἐν τῷ Λαυϊνίῳ πολιορκυμένοις ἐπικυρεῖν. τὸ μὲν ὖν πρῶτον εἰς φιλίαν τε καὶ συνθήκας μετρίας πρυκαλῦντο τὺς πολεμίυς οἱ περὶ τὸν Ἀσκάνιον. ὡς δὲ ὀδὲν προσεῖχον αὐτοῖς, ἐπιτρέπειν ἐκείνοις ἠναγκάζοντο καταλύσασθαι τὸν πόλεμον ἐφ' οἷς ἂν αὐτοὶ δικαιῶσι.

τῦ

τῦ δὲ βασιλέως τῶν Τυῤῥηνῶν τά τε ἄλλα ὡς δεδυλωμένοις ἀφόρητα ἐπιτάσσοντος, καὶ τὸν οἶνον, ὅσον ἂν ἡ Λατίνων γῆ φέροι, Τυῤῥηνοῖς ἀπάγειν ἀνὰ πᾶν ἔτος, οὐκ ἀνασχετὸν ἡγησάμενοι τὸ πρᾶγμα, τῦ μὲν ἀμπέλυ τὸν καρπὸν ἱερὸν ἐψηφίσαντο τῦ Διὸς εἶναι, γνώμην ἀγορεύσαντος τῦ Ἀσκανίυ· αὐτοὶ δὲ ἀλλήλοις παρακελευσάμενοι, προθύμοις ἀγωνιςαῖς γίνεθαι, καὶ θεὺς αἰτησάμενοι συλλαβέθαι τῦ κινδυνεύματος, ἐξῆλθον ἐκ τῆς πόλεως, φυλάξαντες νύκτα ἀσέληνον. εὐθὺς δὲ προσβαλόντες τῷ χάρακι τῶν πολεμίων, ὃς ἐγγυτάτω τῆς πόλεως ἔκειτο, καὶ ἦν προτείχισμα τῆς ἄλλης δυνάμεως, ἐν ἐρυμνῷ τε κατεσκευασμένος χωρίῳ καὶ τὴν κρατίςην νεότητα τῶν Τυῤῥηνῶν ἔχων, ἧς ἡγεῖτο Μεσσεντίυ παῖς Λαῦσος ὄνομα· ὐδενὸς προειδομένυ τὴν ἔφοδον, αἱρῦσιν ἐκτενῶς τὸ ἔρυμα. ἐν ᾧ δὲ τὸ χωρίον τῦτο ἡλίσκετο, φῶς τε ἄκαιρον ὁρῶντες οἱ ἐν τοῖς πεδίοις ἐςρατοπεδευκότες, καὶ βοὴν τῶν ἀπολλυμένων ἀκύοντες, ἔφυγον ἐκλιπόντες τὺς ταπεινὺς τόπυς ἐπὶ τὰ ὄρη. ἐν δὲ τύτῳ πολλὴ ἐγένετο ταραχὴ καὶ θόρυβος, οἷα ἐν νυκτὶ κινυμένης ςρατιᾶς, ὡς αὐτίκα μάλα τῶν πολεμίων σφίσιν ἐπιθησομένων ὐ σὺν κόσμῳ ὐδὲ κατὰ τέλη ἐςῶσιν. οἱ δὲ Λατῖνοι, ἐπειδή τό τε φρύριον ἐξ ἐφόδυ κατειλήφεσαν, καὶ τὸ ἄλλο ςράτευμα ἔμαθον τεταραγμένον, ἐπέκειντο αὐτοῖς κτείνοντες καὶ διώκοντες. τῶν δὲ ὐχ ὅπως τις πρὸς ἀλκὴν τραπέθαι ἐπεχείρησεν, ἀλλ' ὐδὲ μαθεῖν, ἐν οἷς κακοῖς ἦν, ἐδύνατο· ὑπὸ δὲ θορύβυ καὶ ἀμηχανίας, οἱ μὲν κατὰ κρημνῶν φερόμενοι διεφθείροντο, οἱ δ' εἰς φάραγγας ἀνεξόδυς ἐμπίπτοντες ἡλίσκοντο· οἱ δὲ πλεῖςοι ἀγνοήσαντες, ἀλλήλυς ἀνὰ τὸ σκότος ὅσα πολεμίυς διέθεσαν. καὶ ὁ πλεῖςος αὐτῶν φθόρος ἀλληλοκτόνος ἐγίνετο. Μεσσέντιος δὲ σὺν ὀλίγοις λόφον τινὰ καταλαβὼν, ἐπειδὴ τῦ παιδὸς τὸν μόρον ἤκυσε, καὶ ὅσος αὐτῷ ςρατὸς διέφθαρτο, ἐν οἵῳ τε χωρίῳ κατακεκλεικὼς ἑαυτὸν ἦν, ὡς ἐν ἀπορίᾳ χρήματος, ἔπεμψε κήρυκας εἰς τὸ Λαουίνιον περὶ φιλίας διαλεξομένυς.

Ἀσκανίυ δὲ τοῖς Λατίνοις ταμιεύεθαι τὴν τύχην συμβυλεύοντος, ἄδειαν εὑρόμενος, ἀπῆλθεν ὑπόσπονδος, ὅσην εἶχε δύναμιν, καὶ τὸν ἀπὸ τῦδε χρόνον ἅπαντα διαλυσάμενος τὴν ἔχθραν πρὸς τὺς Λατίνυς, βέβαιος φίλος ἦν. cap. 66.

Digitized by Google

cap. 67. Τριακοςῷ δὲ ὕςερον ἔτει μετὰ τὴν κτίσιν τῦ Λαβϊνίυ, πόλιν ἑτέραν οἰκίζει, κατὰ τὸ γινόμενον Ἀινείᾳ θέσφατον, Ἀσκάνιος ὁ Ἀινείυ· καὶ μετάγει τὺς τ' ἐκ Λαβϊνίυ καὶ τῶν ἄλλων Λατίνων, ὅσοις ἦν βυλομένοις ἄμεινον οἰκεῖν, εἰς τὴν νεόκτιςον, ὄνομα τῇ πόλει θέμενος Ἄλβαν. ἔςι δὲ ἡ Ἄλβα καθ' Ἑλλάδα γλῶσσαν Λευκή· σαφηνισμῦ δὲ ἕνεκα διορίζεται παρ' ἑτέραν πόλιν ὁμώνυμον ἐπικλήσει, τῦ σχήματος ἐπικατηγορήσει. ἔςι δὲ ὥσπερ σύνθετον ἤδη τὔνομα ἐξ ἀμφοῖν, Ἄλβα λόγγα· τῦτο δ' ἔςι, Λευκὴ μακρά. νῦν μὲν ὖν ἔρημός ἐςιν. ἐπὶ γὰρ Ὀςιλίυ Τύλλυ Ῥωμαίων βασιλέως, ςασιάζειν δόξασα πρὸς τὴν ἀποικίαν περὶ τῆς ἀρχῆς, ἀνῃρέθη. τὸ δ' ἐν αὐτῇ πολιτευόμενον πλῆθος, καθελῦσα τὴν μητρόπολιν πόλις ὑπεδέξατο Ῥώμη. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἱκνυμένοις χρόνοις ἐγένετο. ἡνίκα δὲ ᾠκίζετο, πρὸς ὄρει καὶ λίμνῃ κατεσκευάσθη, τὸ μέσον ἐπέχυσα ἀμφοῖν· καὶ ἦν ὥσπερ τείχη τῆς πόλεως ταῦτα, δυσάλωτον αὐτὴν ποιῦντα. τό τε γὰρ ὄρος ἐν τοῖς πάνυ ὀχυρόν τε καὶ ὑψηλόν ἐςιν, ἥ τε λίμνη βαθεῖα καὶ μεγάλη, καὶ αὐτὴν διὰ κλεισιάδων ἀνοιγομένων ὑποδέχεται τὸ πεδίον, ταμιευομένων ὁπόσα βύλονται τῶν ἀνθρώπων τὸ ὕδωρ. ὑπόκειται δὲ τῇ πόλει πεδία θαυμαςὰ μὲν ἰδεῖν, πλύσια δὲ καὶ καρπὺς ἐξενεγκεῖν παντοδαπύς, καὶ ὐδὲν ἐνδεέςερον τῆς ἄλλης Ἰταλίας, μάλιςα δὲ τὸν καλύμενον Ἀλβανὸν οἶνον, ἡδὺν καὶ καλὸν, ἔξω τῦ Φαλέρνυ λεγομένυ, τῶν γῦν ἄλλων ἁπάντων διαφορώτατον.

cap. 68. Ἐν δὲ τῇ κτίσει τῆς πόλεως θαῦμα μέγα λέγεται γενέσθαι. κατασκευασθέντος γὰρ τοῖς ἕδεσι τῶν θεῶν, ὓς Ἀινείας ἐκ τῆς Τρωάδος ἠνέγκατο καὶ καθίδρυσεν ἐν τῷ Λαβϊνίῳ, ναῦ, χωρίον ἔχοντος ἄβατον, καὶ τῶν ἱδρυμάτων ἐκ τῦ Λαβϊνίυ κομισθέντων ἐκ τῦ νεὼ εἰς τῦτον τὸν μυχὸν, εἰς τὴν ἐπιῦσαν νύκτα κεκλεισμένων τέως μάλιςα τῶν θυρῶν, καὶ ὐδὲν παθόντων ὔτε περιβόλιου, ὔτε ὀροφῶν, διαμείψαντα τὰ βρέτη τὴν ςάσιν, ἐπὶ τῶν ἀρχαίων ευρεθῆναι κείμενα βάθρων· μετακομισθέντα δὲ αὖθις ἐκ τῦ Λαβϊνίυ σὺν ἱκετείαις καὶ θυσίαις ἀρεςηρίοις, εἰς τὸ αὐτὸ χωρίον ὁμοίως ἀνελθεῖν. τὺς δὲ ἀνθρώπυς τέως μὲν ἀπορεῖν, ὅ τι χρήσονται τοῖς πράγμασιν, ἔτε ἐπὶ

τὴν

Digitized by Google

τὴν ἐκλειφθεῖσαν οἴκησιν αὖθις ἀναςρέφειν. τελευτῶντας δὲ γνώμην εὑρέθαι, ἀποχρώντως πρὸς ἀμφότερα ἕξειν· τὰ μὲν ἕδη κατὰ χώραν ἐᾶσαι μένειν, ἄνδρας δὲ τὲς ἐπιμεληθησομένες αὐτῶν ἐκ τῆς Ἄλβας εἰς Λαουΐνιον αὖθις ἐποίκες μεταγαγεῖν. καὶ ἐγένοντο οἱ πεμφθέντες ἑξακόσιοι μελεδωνοὶ τῶν ἱερῶν, αὐτοῖς μεταναςάντες ἐφεςίοις· ἡγεμὼν δ' ἐπ' αὐτὲς ἐτάχθη Ἀιγεςὸς.

Ἀσκανίε δὲ ὀγδόῳ καὶ τριακοςῷ ἔτει τῆς βασιλείας τελευτήσαντος, παρέλαβε τὴν ἡγεμονίαν Σιλέϊος, ἀδελφὸς ὢν Ἀσκανίε, μετὰ τὸν Ἀινείε θάνατον γενόμενος ἐκ Λαύνας τῆς Λατίνε θυγατρὸς, ὃν φασιν ἐν τοῖς ὄρεσιν ὑπὸ τῶν νομέων ἐκτραφῆναι. τε γὰρ Ἀσκανίε παραλαβόντος τὴν βασιλείαν, περιδεὴς ἡ Λαύνα γενομένη, μή τι δεινὸν ὑπ' αὐτε πάθῃ κατὰ τὸ τῆς μητρυιᾶς ὄνομα, ἐγκύμων ἔσα, δίδωσιν ἑαυτὴν Τυῤῥηνῷ τινὶ συοφορβῶν ἐπιμελητῇ βασιλικῶν, ὃν ᾔδει Λατίνε γενόμενον ἐν τοῖς μάλιςα προσήγορον. ὁ δ' εἰς ὕλας ἐρήμες ἀγαγὼν αὐτὴν ὡς τῶν ἐπιτυχεσῶν τινὰ, φυλαττόμενος ὀφθῆναι τοῖς εἰδόσιν, ἔτρεφεν ἐν τῇ νάπῃ κατασκευάσας οἴκησιν· ἧς τὸ ἐγκυμονέμενον ἀποκυησάσης, ἀναιρεῖταί τε καὶ τρέφει, Σιλέϊον ὀνομάσας ἀπὸ τῆς ὕλης, ὥσπερ ἂν εἴ τις Ἑλλάδι γλώσσῃ λέξειεν Ὑλαῖον. χρόνε δὲ προϊόντος, ὡς πολλὴν ζήτησιν ἔγνω τῆς γυναικὸς ὑπὸ τῶν Λατίνων γενομένην, καὶ δι' αἰτίας ὄντα παρὰ τῷ πλήθει τὸν Ἀσκάνιον, ὡς ἀνῃρηκότα τὴν παιδίσκην, φράζει τῷ δήμῳ τὸ πρᾶγμα, καὶ τὴν ἄνθρωπον ἄγει μετὰ τε παιδὸς ἐκ τῆς νάπης. τύχῃ μὲν δὴ τοιαύτῃ χρησάμενος Σιλέϊος, τὴν εἰρημένην ἔχεν ὀνομασίαν, καὶ τὸ ἐξ ἐκείνε γένος ἅπαν τὴν βασιλείαν παρέλαβεν, ἐπειδὴ τὸν ἀδελφὸν αὐτῷ τελευτῆσαι συνέπεσεν, ἀμφίλογον γενομένην πρὸς ἕνα τὸν πρεσβεύσαντα τῶν Ἀσκανίε παίδων Ἴελον, ἀξιεντα τὴν πατρῴαν ἀρχὴν διαδέξαθαι. τὴν δὲ δίκην ἐπεψήφισεν ὁ δῆμος, ἄλλοις τε ὑπαχθεὶς λόγοις, καὶ εχ ἥκιςα, ὅτι μητρὸς ἦν ὁ Σιλέϊος ἐπικλήρε τῇ ἀρχῇ. Ἰέλῳ δὲ ἀντὶ τῆς βασιλείας ἱερά τις ἐξεσία προσετέθη καὶ τιμὴ, τῷ τε ἀκινδύνῳ πρέχεσα τῆς μοναρχικῆς, καὶ τῇ ῥαςώνῃ τε βίε· ἣν ἔτι καὶ εἰς ἐμὲ τὸ ἐξ ἐμε γένος ἐκαρπετο, Ἰέλιοι κληθέντες ἀπ' ἐκείνε. ἐγένετο δὲ μέγιςος ἅμα καὶ λαμπρότατος οἴκων ἕτος, ὧν ἡμεῖς ἴσμεν· ἀν-

cap. 71. Silvius.

Digitized by Google

ἄνδρας δὲ διαφορωτάτους ἡγεμόνων ἤνεγκεν, οἷς τὸ εὐγενὲς αἱ ἀρεταὶ μὴ ἀπιστεῖσθαι παρέσχον.

cap. 71. Aeneas Silvius. Σιλουΐου δ' ἑνὸς δέοντα τριάκοντα ἔτη κατασχόντος τὴν ἀρχὴν, Αἰνείας υἱὸς αὐτοῦ διαδεξάμενος τὴν δυναστείαν, ἑνὶ πλείω τριάκοντα ἐτῶν ἐβασίλευσε. Μετὰ δὲ τοῦτον ἓν καὶ πεντήκοντα Λατῖνος ἦρξεν ἔτη· (Latinus.) Ἄλβας δὲ μετὰ τοῦτον ἑνὸς δέοντα τετταράκοντα ἐτῶν ἐβασίλευσε· (Albas.) μετὰ δὲ Ἄλβαν Κάπετος ἓξ ἐπὶ τοῖς εἴκοσιν· (Capetus.) ἔπειτα Κάπυς, δυοῖν δέοντα τριάκοντα· (Capys.) μετὰ δὲ Κάπυν Κάλπετος ἄχρι τρισκαίδεκα ἐτῶν κατέσχε τὴν ἀρχήν· (Calpetus.) ἑξῆς δὲ Τιβερῖνος ὀκταετῆ χρόνον ἐβασίλευσε. (Tiberinus.) τελευτῆσαι δὲ τοῦτον ἐν μάχῃ παρὰ ποταμῷ γενομένῃ λέγεται· παρενεχθεὶς δὲ ὑπὸ τοῦ ῥεύματος, ἐπώνυμον ἑαυτῷ κατέλιπε τὸν ποταμὸν, Ἄλβουλαν καλούμενον πρότερον. Τιβερίνου δὲ διάδοχος Ἀγρίππας ἓν καὶ τετταράκοντα ἐβασίλευσεν ἔτη. (Agripas.) μετὰ δὲ Ἀγρίππαν Ἀλλάδης, τυραννικόν τι χρῆμα, καὶ θεοῖς ἀπεχθόμενον, ἑνὸς δέοντα εἴκοσιν· (Allades.) ᾧ περιφρονοῦντι τὰ δαιμόνια κατεσκεύαστο κεραυνῶν τε μιμήματα καὶ κτύποι βρονταῖς ἐμφερεῖς, οἷς δεδίττεσθαι τοὺς ἀνθρώπους ὡς θεὸς ἠξίου. ὄμβρων δὲ καὶ κεραυνῶν εἰς τὸν οἶκον κατασκηψάντων, τῆς τε λίμνης, παρ' ἣν οἰκῶν ἐτύγχανε, πλημμύραν οὐκ εἰωθυῖαν λαβούσης, κατακλυσθεὶς πανοίκιος ἀπόλλυται. καὶ νῦν ἔτι διαλειπούσης τῆς λίμνης ἐν μέρει τινὶ, ὅταν ὑποστῇ τὸ νᾶμα, καὶ σαθερὸς ὁ βυθὸς γένηται, παστάδων ἐρείπια καὶ ἄλλα οἰκήσεως ἴχνη φαίνεται. Ἀουεντῖνος δὲ παρὰ τούτου τὴν δυναστείαν διαδεξάμενος, (Aventinus.) οὗ τῶν ἑπτὰ λόφων τις ἰσώνυμος ἐγένετο τῶν συμπεπολισμένων τῇ Ῥώμῃ, τριάκοντα καὶ ἑπτὰ ἔτη τὴν ἀρχὴν κατέσχε· Πρόκας δὲ μετὰ τοῦτον ἔτη εἴκοσι καὶ τρία· (Procas.) ἔπειτα Ἀμούλιος, ὃς οὐ σὺν δίκῃ τὴν βασιλείαν κατασχὼν Νομίτωρι προσήκουσαν, ὃς ἦν αὐτῷ πρεσβύτερος ἀδελφὸς, δύο καὶ τετταράκοντα ἔτι δυναστεύει. (Amulius.) Ἀμουλίου δὲ ἀναιρεθέντος ὑπὸ Ῥωμύλου καὶ Ῥώμου, τῶν ἐκ τῆς ἱερᾶς κόρης γενομένων, ὡς αὐτίκα λεχθήσεται, μετὰ τὸν ἐκείνου θάνατον ἀπολαμβάνει τὴν κατὰ νόμον δυναστείαν Νομίτωρ ὁ τῶν νεανίσκων μητροπάτωρ. (Numitor.) τῷ δ' ἑξῆς τῆς Νομίτωρος ἀρχῆς, δευτέρῳ δὲ καὶ τριακοστῷ καὶ τετρακοσιοστῷ μετὰ τὴν Ἰλίου ἅλωσιν, ἀποικίαν στείλαντες Ἀλβανοὶ,

νοὶ, Ῥωμύλϐ καὶ Ῥώμϐ τὴν ἡγεμονίαν αὐτῆς ἐχόντων, κτίζϐσι Ῥώμην, ἔτος ἐνεςῶτος πρώτϐ τῆς ἑβδόμης ὀλυμπιάδος, ἣν ἐνίκα ςάδιον Δαϊκλῆς Μεσσήνιος, ἄρχοντος Ἀθήνησι Χαροπϐ ἔτος τῆς δεκαετίας πρῶτον.

Roma conditur, a. 870. ante Chr.

---

a) De rebus populorum Galliae cisalpinae, tam transpadanae, quam cispadanae,

(*s. partis Italiae superioris*).

Τῆς δὲ συμπάσης Ἰταλίας τῷ σχήματι τριγωνοειδϐς ὑπαρχϐσης, τὴν μὲν μίαν ὁρίζει πλευρὰν αὐτῆς, τὴν πρὸς ἀνατολὰς κεκλιμένην, ὅ τ' Ἰόνιος πόρος, καὶ κατὰ τὸ συνεχὲς ὁ κατὰ τὸν Ἀδρίαν κόλπος· τὴν δὲ πρὸς μεσημβρίαν καὶ δυσμὰς τετραμμένην, τὸ Σικελικὸν καὶ Τυῤῥηνικὸν πέλαγος. αὗται δ' αἱ πλευραὶ συμπίπτϐσαι πρὸς ἀλλήλας, κορυφὴν ποιϐσι τϐ τριγώνϐ, τὸ προκείμενον ἀκρωτήριον τῆς Ἰταλίας εἰς τὴν μεσημβρίαν, ὃ προσαγορεύεται μὲν Κόκυνθος, διαιρεῖ δὲ τὸν Ἰόνιον πόρον καὶ τὸ Σικελικὸν πέλαγος. τὴν δὲ λοιπὴν τὴν παρά τε τὰς ἄρκτϐς καὶ τὴν μεσόγαιαν παρατείνϐσαν, ὁρίζει κατὰ τὸ συνεχὲς ἡ τῶν Ἄλπεων παρώρεια, λαμβάνϐσα τὴν μὲν ἀρχὴν ἀπὸ Μασσαλίας καὶ τῶν ὑπὲρ τὸ Σαρδῷον πέλαγος τόπων, παρήκϐσα δὲ συνεχῶς μέχρι πρὸς τὸν τϐ παντὸς Ἀδρίϐ μυχὸν· πλὴν βραχέος, ὃ προκαταλήγϐσα λείπει τϐ μὴ συνάπτειν αὐτῷ. παρὰ δὲ τὴν προειρημένην παρώρειαν, ἣν δεῖ νοεῖν ὡσανεὶ βάσιν τϐ τριγώνϐ, παρὰ ταύτην ἀπὸ μεσημβρίας ὑπόκειται πεδία τῆς συμπάσης Ἰταλίας τελευταῖα πρὸς τὰς ἄρκτϐς, ὑπὲρ ὧν ὁ νῦν δὴ λόγος· ἀρετῇ καὶ μεγέθει διαφέροντα τῶν κατὰ τὴν Εὐρώπην, ὅσα πέπτωκεν ὑπὸ τὴν ἡμετέραν ἱςορίαν. Ἔςι δὲ τὸ μὲν ὅλον εἶδος καὶ τῆς ταῦτα τὰ πεδία περιγραφϐσης γραμμῆς τριγωνοειδές. τϐτϐ δὲ τϐ σχήματος τὴν μὲν κορυφὴν ἥ τε τῶν Ἀπεννίνων καλϐμένων ὀρῶν καὶ τῶν Ἀλπεινῶν σύμπτωσις, ϐ μακρὰν ἀπὸ τϐ Σαρδῴϐ πελάγϐς ὑπὲρ Μασσαλίας, ἀποτελεῖ. τῶν δὲ πλευρῶν παρὰ μὲν τὴν ἀπὸ τῶν ἄρκτων, ὡς ἐπάνω προεῖπον, τὰς Ἄλπεις αὐτὰς ἐπὶ δισχιλίϐς καὶ διακοσίϐς ςαδίϐς παρήκειν

Polybius. Lib. II. c. 14. Italiæ figura triquetra.

Figura & fines Galliæ Cisalpinæ.

Digitized by Google

κειν συμβαίνει. παρὰ δὲ τὴν ἀπὸ μεσημβρίας, τὸν Ἀπέννινον ἐπὶ τρισχιλίυς ἑξακοσίυς. βάσεως γε μὴν τάξιν λαμβάνει τῦ παντὸς σχήματος ἡ παραλία τῦ κατὰ τὸν Ἀδρίαν κόλπυ· τὸ δὲ μέγεθος τῆς βάσεώς ἐςιν, ἀπὸ πόλεως Σήνης ὡς ἐπὶ τὸν μυχὸν, ὑπὲρ τὺς δισχιλίυς ςαδίυς καὶ πεντακοσίυς. ὥςε τὴν πᾶσαν περίμετρον τῶν προειρημένων πεδίων, μὴ πολὺ λείπειν τῶν μυρίων ςαδίων.

cap. 15. Ubertas GalliæCisalpinæ.

Περί γε μὴν τῆς ἀρετῆς, ὐδ' εἰπεῖν ῥᾴδιον. σίτυ τε γὰρ τοσαύτην ἀφθονίαν ὑπάρχειν συμβαίνει κατὰ τὺς τόπυς, ὥς' ἐν τοῖς καθ' ἡμᾶς καιροῖς πολλάκις τεττάρων ὀβολῶν εἶναι τῶν πυρῶν τὸν Σικελικὸν μέδιμνον, τῶν δὲ κριθῶν δυοῖν, τῦ δ' ὄινυ τὸν μετρητὴν ἰσάκριθον. ἐλύμυ γε μὴν καὶ κέγχρυ τελέως ὑπερβάλλυσα δαψίλεια γίγνεται παρ' αὐτοῖς. τὸ δὲ τῶν βαλάνων πλῆθος τὸ γιγνόμενον ἐκ τῶν κατὰ διάςημα δρυμῶν ἐν τοῖς πεδίοις, ἐκ τύτων ἄν τις μάλιςα τεκμήραιτο· πλεῖςων γὰρ ὑϊκῶν ἱερείων κοπτομένων ἐν Ἰταλίᾳ, διά τε τὰς εἰς τὺς ἰδίυς βίυς, καὶ τὰς εἰς τὰ ςρατόπεδα παραθέσεις, τὴν ὁλοσχερεςάτην χορηγίαν ἐκ τύτων συμβαίνει τῶν πεδίων αὐτοῖς ὑπάρχειν. περὶ δὲ τῆς κατὰ μέρος εὐωνίας καὶ δαψιλείας τῶν πρὸς τὴν τροφὴν ἀνηκόντων ὕτως ἄν τις ἀκριβέςατα κατανοήσειε· ποιῦνται γὰρ τὰς καταλύσεις οἱ διοδεύοντες τὴν χώραν ἐν τοῖς πανδοχείοις, ὐ συμφωνῦντες περὶ τῶν κατὰ μέρος ἐπιτηδείων, ἀλλ' ἐρωτῶντες, πόσυ τὸν ἄνδρα δέχεται. ὡς μὲν ὖν ἐπὶ τὸ πολὺ παρίενται τὺς καταλύτας οἱ πανδοχεῖς, ὡς ἱκανὰ πάντ' ἔχειν τὰ πρὸς τὴν χρείαν, ἡμιασσαρίυ· τῦτο δ' ἔςι τέταρτον μέρος ὀβολῦ· σπανίως δὲ τῦθ' ὑπερβαίνυσι. τό γε μὴν πλῆθος τῶν ἀνδρῶν, καὶ τὸ μέγεθος καὶ κάλλος τῶν σωμάτων, ἔτι δὲ τὴν ἐν τοῖς πολέμοις τόλμαν, ἐξ αὐτῶν τῶν πράξεων σαφῶς ἔςαι καταμαθεῖν.

Galli Alpini.

Τῶν δ' Ἄλπεων ἑκατέρας τῆς πλευρᾶς, τῆς ἐπὶ τὸν Ῥοδανὸν ποταμὸν, καὶ τῆς ἐπὶ τὰ προειρημένα πεδία νευύσης, τὺς βυνώδεις καὶ γαιώδεις τόπυς κατοικῦσι, τὺς μὲν ἐπὶ τὸν Ῥοδανὸν καὶ τὰς ἄρκτυς ἐςραμμένυς, Γαλάται Τρανσάλπινοι προσαγορευόμενοι· τὺς δ' ἐπὶ τὰ πεδία, Ταυρίσκοι καὶ Ἄγωνες, καὶ πλείω γένη βαρβάρων ἕτερα.

Galli Transalpini.

Τρανσάλπινοί γε μὴν, ὐ διὰ τὴν τῦ γένυς, ἀλλὰ διὰ τὴν τῦ τόπυ διαφορὰν

Φορῶν προσαγορεύονται· τὸ γὰρ τρᾶνς ἐξερμηνευόμενόν ἐςι πέραν· διὸ τὰς ἐπέκεινα τῶν Ἄλπεων, Τρανσαλπίνους καλοῦσι. Τὰ δ' ἄκρα, διά τε τὴν τραχύτητα καὶ τὸ πλῆθος τῆς ἐπιμενούσης ἀεὶ χιόνος, ἀοίκητα τέως ἐςί.

Τὸν δ' Ἀπέννινον, ἀπὸ μὲν τῆς ἀρχῆς, τῆς ὑπὲρ Μασσαλίαν καὶ τῆς πρὸς τὰς Ἄλπεις συμπτώσεως, Λιγυςινοὶ κατοικοῦσι, καὶ τὴν ἐπὶ τὸ Τυῤῥηνικὸν πέλαγος πλευρὰν αὐτοῦ κεκλιμένην, καὶ τὴν ἐπὶ τὰ πεδία· παρὰ θάλατταν μὲν, μέχρι πόλεως Πίσης, ἣ πρώτη κεῖται τῆς Τυῤῥηνίας ὡς πρὸς τὰς δυσμάς· κατὰ δὲ τὴν μεσόγαιαν, ἕως τῆς Ἀῤῥητίνων χώρας. ἑξῆς δὲ Τυῤῥηνοί· τούτοις δὲ συνεχεῖς ἑκάτερον τὸ κλίμα νέμονται τῶν προειρημένων ὀρῶν Ὄμβροι. Λοιπὸν ὁ μὲν Ἀπέννινος, ἀπέχων τῆς κατὰ τὸν Ἀδρίαν θαλάττης ςαδίους ὡσανεὶ πεντακοσίους, ἀπολείπει τὰ πεδία, δεξιὸς ἀπονεύων, καὶ διὰ μέσης τῆς λοιπῆς Ἰταλίας διήκων εἰς τὸ Σικελικὸν κατατείνει πέλαγος. τὸ δ' ἀπολειπόμενον μέρος πεδινὸν τῆς πλευρᾶς, ἐπὶ θάλατταν καὶ πόλιν καθήκει Σήνην. Ὁ δὲ Πάδος ποταμὸς, ὑπὸ δὲ τῶν ποιητῶν Ἠριδανὸς θρυλλούμενος, ἔχει μὲν τὰς πηγὰς ἀπὸ τῶν Ἄλπεων, ὡς πρὸς τὴν κορυφὴν μᾶλλον τοῦ προειρημένου σχήματος· καταφέρεται δ' εἰς τὰ πεδία, ποιούμενος τὴν ῥύσιν ὡς ἐπὶ μεσημβρίαν. ἀφικόμενος δ' εἰς τοὺς ἐπιπέδους τόπους, ἐκκλίνας τῷ ῥεύματι, πρὸς ἕω φέρεται δι' αὐτῶν· ποιεῖ δὲ τὴν ἐκβολὴν δυσὶ ςόμασιν εἰς τοὺς κατὰ τὸν Ἀδρίαν κόλπους. τὸ δὲ πλεῖον ἀποτέμνεται μέρος τῆς πεδιάδος χώρας εἰς τὰς Ἄλπεις καὶ τὸν Ἀδριατικὸν μυχόν. ἄγει δὲ πλῆθος ὕδατος, οὐδενὸς ἔλαττον τῶν κατὰ τὴν Ἰταλίαν ποταμῶν· διὰ τὸ τὰς ῥύσεις, τὰς ἐπὶ τὰ πεδία νευούσας, ἀπό τε τῶν Ἄλπεων καὶ τῶν Ἀπεννίνων ὀρῶν εἰς τοῦτον ἐμπίπτειν ἁπάσας καὶ πανταχόθεν. μεγίςῳ δὲ καὶ καλλίςῳ ῥεύματι φέρεται περὶ Κυνὸς ἐπιτολὴν, αὐξόμενος ὑπὸ τοῦ πλήθους τῶν ἀνατηκομένων χιόνων ἐν τοῖς προειρημένοις ὄρεσιν. ἀναπλεῖται δ' ἐκ θαλάττης κατὰ τὸ ςόμα τὸ καλούμενον Ὄλανα, σχεδὸν ἐπὶ δισχιλίους ςαδίους. τὴν μὲν γὰρ πρώτην ἐκ τῶν πηγῶν ἔχει ῥύσιν ἁπλῆν, σχίζεται δ' εἰς δύο μέρη κατὰ τοὺς προσαγορευομένους Τριγαβόλους· τούτων δὲ τὸ μὲν ἕτερον ςόμα προσονομάζεται Παδόα, τὸ δ' ἕτερον Ὄλανα. κεῖ-

cap. 16. Apenninus mons.

Padus fluvius.

κεῖται δ' ἐπὶ τέτῳ λιμὴν, ἐδενὸς τῶν κατὰ τὸν Ἀδρίαν ἧττω παρεχόμενος ἀσφάλειαν τοῖς ἐν αὐτῷ καθορμιζομένοις. παρά γε μὴν τοῖς ἐγχωρίοις ὁ ποταμὸς προσαγορεύεται Βόδεγκος.

cap. 17. Etrusci superiore Italia pulsi a Gallis.

Πλὴν ταῦτά γε τὰ πεδία, τὸ παλαιὸν ἐνέμοντο Τυῤῥηνοί, καθ' ὃς χρόνες καὶ τὰ Φλέγραιά ποτε καλέμενα τὰ περὶ Καπύην καὶ Νώλην· ἃ δὴ καὶ, διὰ τὸ πολλοῖς ἐμποδὼν εἶναι καὶ γνωρίζεσθαι, μεγάλην ἐπ' ἀρετῇ δόξαν εἴληφε. διὸ καὶ τὲς ἱστορῦντας τὰς Τυῤῥηνῶν δυναστείας, ἐ χρὴ ποιεῖσθαι τὴν ἀναφορὰν ἐπὶ τὴν νῦν κατεχομένην ὑπ' αὐτῶν χώραν, ἀλλ' ἐπὶ τὰ προειρημένα πεδία, καὶ τὰς ἐκ τέτων τῶν τόπων ἀφορμάς. Οἷς ἐπιμιγνύμενοι κατὰ τὴν παράθεσιν Κελτοί, καὶ περὶ τὸ κάλλος τῆς χώρας ὀφθαλμιάσαντες, ἐκ μικρᾶς προφάσεως μεγάλῃ στρατιᾷ παραδόξως ἐπελθόντες, ἐξέβαλον ἐκ τῆς περὶ τὸν Πάδον χώρας Τυῤῥηνὲς· καὶ κατέσχον αὐτοὶ τὰ πεδία. Τὰ μὲν ἒν πρῶτα καὶ περὶ τὰς ἀνατολὰς τῦ Πάδυ κείμενα, Λάοι καὶ Λεβέκιοι, μετὰ δὲ τέτες Ἴσομβρες κατῴκησαν, ὃ μέγιστον ἔθνος ἦν αὐτῶν· ἑξῆς δὲ τέτοις, παρὰ τὸν ποταμὸν, Γονομάνοι. τὰ δὲ πρὸς τὸν Ἀδρίαν ἤδη προσήκοντα γένος ἄλλο πάνυ παλαιὸν διακατέσχε· προσαγορεύονται δὲ Οὐένετοι, τοῖς μὲν ἔθεσι καὶ τῷ κόσμῳ βραχὺ διαφέροντες Κελτῶν, γλώττῃ δ' ἀλλοίᾳ χρώμενοι. περὶ ὧν οἱ τραγῳδιογράφοι πολύν τινα πεποίηνται λόγον, καὶ πολλὴν διατίθενται τερατείαν. Τὰ δὲ πέραν τῦ Πάδυ, τὰ περὶ τὸν Ἀπέννινον, πρῶτοι μὲν Ἄνανες, μετὰ δὲ τέτες Βοῖοι κατῴκησαν· ἑξῆς δὲ τέτων ὡς πρὸς τὸν Ἀδρίαν, Λίγγωνες· τὰ δὲ τελευταῖα πρὸς θαλάττῃ Σήνωνες. τὰ μὲν ἒν ἐπιφανέστατα τῶν κατασχόντων τὲς προειρημένες τόπες ἐθνῶν, ταῦθ' ὑπῆρχεν.

Vitae ratio Gallorum Cisalpinorum.

Ὤκεν δὲ κατὰ κώμας ἀτειχίστες, τῆς λοιπῆς κατασκευῆς ἄμοιροι καθεστῶτες. διὰ γὰρ τὸ στιβαδοκοιτεῖν καὶ κρεωφαγεῖν, ἔτι δὲ μηδὲν ἄλλο πλὴν τὰ πολεμικὰ καὶ τὰ κατὰ γεωργίαν ἀσκεῖν, ἁπλᾶς εἶχον τὲς βίες· ἔτ' ἐπιστήμης ἄλλης, ἔτε τέχνης παρ' αὐτοῖς τὸ παράπαν γινωσκομένης. ὕπαρξίς γε μὴν ἑκάστοις ἦν θρέμματα καὶ χρυσὸς, διὰ τὸ μόνα ταῦτα κατὰ τὰς περιστάσεις ῥᾳδίως δύνασθαι πανταχῇ περιαγαγεῖν καὶ μεθιστάναι κατὰ τὰς αὐτῶν προαιρέσεις. περὶ δὲ τὰς ἑταιρείας μεγίστην

Digitized by Google

την σπυδὴν ἐποιῦντο, διὰ τὸ καὶ φοβερώτατον καὶ δυνατώτατον ἶναι παρ' αὐτοῖς τῦτον, ὃς ἂν πλείςυς ἔχειν δοκῇ τὺς θεραπεύοντας καὶ συμπεριφερομένυς αὐτῷ.

Τὰς μὲν ὖν ἀρχὰς ὐ μόνον τῆς χώρας ἐπεκράτυν· ἀλλὰ καὶ τῶν σύνεγγυς πολλὺς ὑπηκόυς ἐπεποίηντο, τῇ τόλμῃ καταπεπληγμένοι. Μετὰ δέ τινα χρόνον μάχῃ νικήσαντες Ῥωμαίυς καὶ τὺς μετὰ τύτων παραταξαμένυς, ἑπόμενοι τοῖς φεύγυσι, τρισὶ τῆς μάχης ἡμέραις ὕςερον κατέσχον αὐτὴν τὴν Ῥώμην, πλὴν τῦ Καπιτωλίυ. γενομένυ δ' ἀντισπάσματος, καὶ τῶν Οὐενέτων ἐμβαλόντων ἐις τὴν χώραν αὐτῶν, τότε μὲν ποιησάμενοι συνθήκας πρὸς Ῥωμαίυς, καὶ τὴν πόλιν ἀποδόντες, ἐπανῆλθον ἐις τὴν οἰκείαν. μετὰ δὲ ταῦτα, τοῖς ἐμφυλίοις συνεῖχοντο πολέμοις· ἔνιοι δὲ καὶ τῶν τὰς Ἄλπεις κατοικύντων ὁρμὰς ἐποιῦντο, καὶ συνηθροίζοντο πολλάκις ἐπ' αὐτὺς, θεωρῦντες ἐκ παραθέσεως τὴν παραγεγενημένην αὐτοῖς ἐυδαιμονίαν. ἐν ᾧ καιρῷ Ῥωμαῖοι τήν τε σφετέραν δύναμιν ἀνέλαβον, καὶ τὰ κατὰ τὺς Λατίνυς ἄυθις πράγματα συνεςήσαντο. Παραγενομένων δὲ πάλιν τῶν Κελτῶν ἐις Ἄλβαν ςρατεύματι μεγάλῳ, μετὰ τὴν τῆς πόλεως κατάληψιν ἔτει τριακοςῷ, τότε μὲν ὐκ ἐτόλμησαν ἀντεξαγαγεῖν Ῥωμαῖοι τὰ ςρατόπεδα· διὰ τὸ, παραδόξυ γενομένης τῆς ἐφόδυ, προκαταληφθῆναι, καὶ μὴ καταταχῆσαι τὰς τῶν συμμάχων ἀθροίσαντας δυνάμεις. Ἄυθις δ' ἐξ ἐπιβολῆς ἑτέρας, ἔτει δωδεκάτῳ μετὰ μεγάλης ςρατιᾶς ἐπιπορευομένων, προαισθόμενοι καὶ συναγείροντες τὺς συμμάχυς, μετὰ πολλῆς προθυμίας ἀπήντων, σπεύδοντες συμβαλεῖν καὶ διακινδυνεῦσαι περὶ τῶν ὅλων. ὁι δὲ Γαλάται καταπλαγέντες τὴν ἔφοδον αὐτῶν, καὶ διαςασιάσαντες πρὸς σφᾶς, νυκτὸς ἐπιγενομένης, φυγῇ παραπλησίαν ἐποιήσαντο τὴν ἀποχώρησιν ἐις τὴν οἰκείαν. Ἀπὸ δὲ τύτυ τῦ φόβυ, τριακαίδεκα μὲν ἔτη τὴν ἡσυχίαν ἔσχον· μετὰ δὲ ταῦτα, συνορῶντες αὐξανομένην τὴν Ῥωμαίων δύναμιν, ἐιρήνην ἐποιήσαντο καὶ συνθήκας.

cap. 18. Irruptiones Gallorum in ditionem Romanam.

Ἐν ἄις ἔτη τριάκοντα μείναντες ἐμπεδῶς, ἄυθις γενομένυ κινήματος ἐκ τῶν Τρανσαλπίνων, δείσαντες, μὴ πόλεμος αὐτοῖς ἐγερθῇ βαρὺς, ἀπὸ μὲν αὐτῶν ἔτρεψαν τὰς ὁρμὰς τῶν ἐξανιςαμένων, δωροφορῦντες καὶ προτιθέμενοι

cap. 19.

τὴν

Digitized by Google

τὴν συγγένειαν· ἐπὶ δὲ Ῥωμαίους παρώξυναν, καὶ μετέσχο αὐτοῖς τῆς στρατείας. ἐν ᾗ τὴν ἔφοδον ποιησάμενοι δι Τυῤῥηνίας, ὁμοῦ συστρατευσαμένων σφίσι Τυῤῥηνῶν, καὶ περιβαλόμενοι λείας πλῆθος, ἐκ μὲν τῆς Ῥωμαίων ἐπαρχίας ἀσφαλῶς ἐπανῆλθον. εἰς δὲ τὴν οἰκείαν ἀφικόμενοι, καὶ στασιάσαντες περὶ τὴν τῶν εἰλημμένων πλεονεξίαν, τῆς τε λείας καὶ τῆς αὐτῶν δυνάμεως τὸ πλεῖστο μέρος διέφθειραν. τοῦτο δὲ σύνηθές ἐστι Γαλάταις πράττειν, ἐπειδὰν σφετερίσωνταί τι τῶν πέλας, καὶ μάλιστ διὰ τὰς ἀλόγους οἰνοφλυγίας καὶ πλησμονάς. Μετὰ δ

Galli in agro Camerte cædunt Romanos.

ταῦτα πάλιν, ἔτει τετάρτῳ, συμφρονήσαντες ἅμα Σαυνῖται καὶ Γαλάται, παρετάξαντο Ῥωμαίοις ἐν τῇ Καμερτίων χώρᾳ, καὶ πολλοὺς αὐτῶν ἐν τῷ κινδύνῳ διέφθειραν. ἐν ᾧ καιρῷ, προσφιλονεικήσαντες πρὸς τὸ γεγονὸ ἐλάττωμα αὐτοῖς Ῥωμαῖοι, μετ' ὀλίγας ἡμέρας ἐξῆλθον

Cæduntur a Romanis.

καὶ συμβαλόντες πᾶσι τοῖς στρατοπέδοις ἐν τῇ τῶν Σεντινατῶν χώρᾳ πρὸς τοὺς προειρημένους, τοὺς μὲν πλείστου ἀπέκτειναν, τοὺς δὲ λοιποὺς ἠνάγκασαν προτροπάδην ἑκάστους εἰς τὴν οἰκείαν διαφυγεῖν. Διαγενομένων δὲ πάλι ἐτῶν δέκα, παρεγένοντο Γαλάται μετὰ μεγάλης στρατιᾶς

L. Cæcilius prætor cadit in pugna.

πολιορκήσοντες τὴν Ἀῤῥητίνων πόλιν. Ῥωμαῖοι, δὲ παραβοηθήσαντες, καὶ συμβαλόντες πρὸ τῆς πόλεως, ἡττήθησαν. ἐν δὲ τῇ μάχῃ ταύτῃ Λευκίου τοῦ στρατηγοῦ τελευτήσαντος, Μάνιον ἐπικατέστησαν τὸν Κόριον. οὗ πρεσβευτὰς ἐκπέμψαντος εἰς Γαλατίαν ὑπὲρ τῶν αἰχμαλώτων, παρασπονδήσαντες ἐπανείλοντο τοὺς πρέσβεις. τῶ δὲ Ῥωμαίων ὑπὸ τὸν θυμὸν ἐκ χειρὸς ἐπιστρατευσαμένων ἀπαντήσαντες συνέβαλλον οἱ Σήνωνες καλούμενοι Γαλάται

Delentur Senones Galli.

Ῥωμαῖοι δ' ἐκ παρατάξεως κρατήσαντες αὐτῶν, τοὺς μὲ πλείστους ἀπέκτειναν, τοὺς δὲ λοιποὺς ἐξέβαλον· τῆς δὲ χώρας ἐγένοντο πάσης ἐγκρατεῖς. εἰς ἣν καὶ πρώτην τῆ Γαλατίας ἀποικίαν ἔστειλαν τὴν Σήνην προσαγορευομένη πόλιν, ὁμώνυμον οὖσαν τοῖς πρότερον αὐτὴν κατοικοῦσι Γαλάταις· ὑπὲρ ἧς ἀρτίως διεσαφήσαμεν, φάσκοντες αὐτὴ παρὰ τὸν Ἀδρίαν ἐπὶ τῷ πέρατι κεῖσθαι τῶν περὶ τὸ Πάδον πεδίων.

cap. 20. Cæduntur Boji cum E-

Οἱ δὲ Βοῖοι, θεωροῦντες ἐκπεπτωκότας τοὺς Σήνωνας, καὶ δείσαντες περὶ σφῶν καὶ τῆς χώρας, μὴ πάθωσι

Digitized by Google

θωσι τὸ παραπλήσιον, ἐξεςράτευσαν πανδημεὶ παρακαλέσαντες Τυῤῥηνὲς. ἀθροιθέντες δὲ περὶ τὴν Ὀάδμονα προσαγορευομένην λίμνην, παρετάξαντο Ῥωμαίοις. ἐν δὲ τῇ μάχῃ ταύτῃ, Τυῤῥηνῶν μὲν ὁι πλεῖςοι κατεκόπησαν, τῶν δὲ Βοίων τελέως ὀλίγοι διέφυγον. Ὀυ μὴν ἀλλὰ τῷ κατὰ πόδας ἐνιαυτῷ συμφρονήσαντες ἄυθις ὁι προειρημένοι, καὶ τὲς ἄρτι τῶν νέων ἡβῶντας καθοπλίσαντες, παρετάξαντο πρὸς Ῥωμαίες. ἡττηθέντες δ' ὁλοσχερῶς τῇ μάχῃ, μόλις ἔιξαν ταῖς ψυχαῖς· καὶ διαπρεσβευσάμενοι περὶ σπονδῶν καὶ διαλύσεων, συνθήκας ἔθεντο πρὸς Ῥωμαίες. Ταῦτα δὲ συνέβαινε γίγνεσθαι τῷ τρίτῳ πρότερον ἔτει τῆς Πύῤῥε διαβάσεως ἐις τὴν Ἰταλίαν, πέμπτῳ δὲ τῆς Γαλατῶν περὶ Δελφὲς διαφθορᾶς. ἐν γὰρ τέτοις ἡ τύχη τοῖς καιροῖς, ὡσανεὶ λοιμικήν τινα πολέμε διάθεσιν ἐπέςησε πᾶσι Γαλάταις. Ἐκ δὲ τῶν προειρημένων ἀγώνων, δύο τὰ κάλλιςα συνεκύρησε Ῥωμαίοις· τὲ γὰρ κατακόπτεσθαι συνήθειαν ἐσχηκότες ὑπὸ Γαλατῶν, ὀυδὲν ἠδύναντο δεινότερον ἰδεῖν, ὀυδὲ προσδοκῆσαι, τῶν αὐτοῖς ἤδη πεπραγμένων. ἐξ ὧν πρός τε Πύῤῥον ἀθληταὶ τέλειοι γεγονότες τῶν κατὰ πόλεμον ἔργων συγκατέςησαν. τήν τε τῶν Γαλατῶν τόλμαν ἐν καιρῷ καταπληξάμενοι, λοιπὸν ἀπερισπάςως τὸ μὲν πρῶτον πρὸς Πύῤῥον περὶ τῆς Ἰταλίας ἐπολέμεν· μετὰ δὲ ταῦτα πρὸς Καρχηδονίες ὑπὲρ τῆς τῶν Σικελιωτῶν ἀρχῆς διηγωνίζοντο.

Γαλάται δὲ ἐκ τῶν προειρημένων ἐλαττωμάτων ἔτη μὲν πέντε καὶ τετταράκοντα τὴν ἡσυχίαν ἔσχον, ἐιρήνην ἄγοντες πρὸς Ῥωμαίες. Ἐπεὶ δ' ὁι μὲν αὐτόπται γεγονότες τῶν δεινῶν ἐκ τὲ ζῆν ἐξεχώρησαν διὰ τὸν χρόνον, ἐπεγένοντο δὲ νέοι, θυμὲ μὲν ἀλογίςε πλήρεις, ἄπειροι δὲ καὶ ἀόρατοι παντὸς κακὲ καὶ πάσης περιςάσεως· ἄυθις ἤρξαντο τὰ καθεςῶτα κινεῖν· ὃ φύσιν ἔχει γίγνεσθαι· καὶ τραχύνεσθαι μὲν ἐκ τῶν τυχόντων πρὸς Ῥωμαίες, ἐπισπᾶσθαι δὲ τὲς ἐκ τῶν Ἄλπεων Γαλάτας. Τὸ μὲν ἐν πρῶτον χωρὶς τὲ πλήθες, δι' αὐτῶν τῶν ἡγεμένων, ἐν ἀποῤῥήτοις ἐπράττετο τὰ προειρημένα. διὸ καὶ, παραγεναμένων τῶν Τρανσαλπίνων ἕως Ἀριμίνε μετὰ δυνάμεως, διαπιςήσαντα τὰ πλήθη τῶν Βοίων, καὶ ςασιάσαντα πρός τε τὲς ἑαυτῶν προεςῶτας, καὶ πρὸς τὲς παρα-

truscis ad Vadimonem lacum.

Rursus victi pacem petunt.

cap. 21. Novi motus Gallorum.

Boji suos reges occidunt.

Digitized by Google

παραγεγονότας, ἀνεῖλον μὲν τὲς ἰδίες βασιλεῖς Ἄτιν καὶ Γάλατον, κατέκοψαν δ' ἀλλήλες, συμβαλόντες ἐκ παρα τάξεως. ὅτε δὴ καὶ Ῥωμαῖοι κατάφοβοι γενόμενοι τὴ ἔφοδον, ἐξῆλθον μετὰ στρατοπέδε· συνέντες δὲ τὴν αὐθαί ρετον καταφθορὰν τῶν Γαλατῶν, αὖθις ἀνεχώρησαν εἰ τὴν οἰκείαν. Μετὰ δὲ τῦτον τὸν φόβον ἔτει πέμπτῳ Μάρκε Λεπίδε στρατηγῦντος, κατεκληρέχησαν ἐν Γαλατί 𝔞 Ῥωμαῖοι τὴν Πικεντίνην προσαγορευομένην χώραν, ἐξ ἧ νικήσαντες ἐξέβαλον τὲς Σήνωνας προσαγορευομένες Γαλάτας· Γαΐε Φλαμινίε ταύτην τὴν δημαγωγίαν εἰσηγησαμένε καὶ πολιτείαν, ἣν δὴ καὶ Ῥωμαίοις, ὡς ἔπος εἰπεῖν, φατέον ἀρχηγὸν μὲν γενέσθαι τῆς ἐπὶ τὸ χεῖρον τῦ δήμε διαστροφῆς· αἰτίαν δὲ καὶ τῦ μετὰ ταῦτα πολέμε συστάντος αὐτοῖς πρὸς τὲς προειρημένες. πολλοὶ μὲν γὰρ τῶν Γαλατῶν ὑπεδύοντο τὴν πρᾶξιν, μάλιστα δ' οἱ Βοΐοι, διὰ τὸ συντερμονεῖν τῇ τῶν Ῥωμαίων χώρᾳ· νομίσαντες, ἐχ ὑπὲρ ἡγεμονίας ἔτι καὶ δυναστείας Ῥωμαίες τὸν πρὸς αὐτὲς ποιήσασθαι πόλεμον, ἀλλ' ὑπὲρ ὁλοσχερῦς ἐξαναστάσεως καὶ καταφθορᾶς.

Lex agraria C. Flaminii.

Gravis belli Gallici origo.

Διόπερ εὐθέως τὰ μέγιστα τῶν ἐθνῶν, τό τε τῶν Ἰσόμβρων καὶ Βοίων, συμφρονήσαντα, διεπέμποντο πρὸς τὲς κατὰ τὰς Ἄλπεις καὶ τὸν Ῥοδανὸν ποταμὸν κατοικῦντας Γαλάτας, προσαγορευομένες δὲ διὰ τὸ μισθῦ στρατεύειν Γαισάτας· ἡ γὰρ λέξις αὕτη τῦτο σημαίνει κυρίως. ὧν τοῖς βασιλεῦσι, Κογκολιτάνῳ καὶ Ἀνηροέστῳ, παραυτίκα μὲν χρυσίε προτείναντες πλῆθος, εἰς τὸ μέλλον δὲ ὑποδεικνύντες τὸ μέγεθος τῆς Ῥωμαίων εὐδαιμονίας, καὶ τὸ πλῆθος τῶν ὑπαρξόντων αὐτοῖς ἀγαθῶν ἐὰν κρατήσωσι, προετρέποντο καὶ παρώξυνον πρὸς τὴν ἐπὶ Ῥωμαίες στρατείαν. ῥᾳδίως δ' ἔπεισαν, ἅμα τοῖς προειρημένοις διδόντες μὲν τὰ πιστὰ περὶ τῆς αὐτῶν συμμαχίας, ἀναμιμνήσκοντες δὲ τῆς τῶν ἰδίων προγόνων πράξεως αὐτὲς· ἐν ᾗ ἐκεῖνοι στρατεύσαντες, ἐ μόνον ἐνίκησαν μαχόμενοι Ῥωμαίες, ἀλλὰ καὶ μετὰ τὴν μάχην ἐξ ἐφόδε κατέσχον αὐτὴν τὴν Ῥώμην· γενόμενοι δὲ καὶ τῶν ὑπαρχόντων ἁπάντων ἐγκρατεῖς, καὶ τῆς πόλεως αὐτῆς ἑπτὰ μῆνας κυριεύσαντες, τέλος ἐθελοντὶ καὶ μετὰ χάριτος παραδόντες τὴν πόλιν, ἀθραυστοι καὶ ἀσινεῖς ἔχοντες τὴν ὠφέλειαν, εἰς τὴν οἰκείαν

cap. 22. Insubres & Boji concitant Gæsatas.

Digitized by Google

κείαν ἐπανῆλθον. Ὧν ἀκούοντες οἱ περὶ αὐτοὺς ἡγεμόνες, οὕτω παρωρμήθησαν ἐπὶ τὴν στρατείαν, ὥστε μηδέ ποτε μήτε πλείους, μήτ' ἐνδοξοτέρους, μήτε μαχιμωτέρους ἄνδρας ἐξελθεῖν ἐκ τούτων τῶν τόπων τῆς Γαλατίας. Κατὰ δὲ τοὺς καιροὺς τούτους Ῥωμαῖοι, τὰ μὲν ἀκούοντες, τὰ δὲ καταμαντευόμενοι τὸ μέλλον, εἰς φόβους ἐνέπιπτον συνεχεῖς καὶ ταραχὰς, ἐπὶ τοσοῦτον, ὥστε ποτὲ μὲν στρατόπεδα καταγράφειν, καὶ σίτου καὶ τῶν ἐπιτηδείων ποιεῖσθαι παρασκευὰς, ποτὲ δὲ καὶ τὰς δυνάμεις ἐξάγειν ἐπὶ τοὺς ὅρους, ὡς ἤδη παρόντων εἰς τὴν χώραν πολεμίων, οὐδέπω κεκινηκότων ἐκ τῆς οἰκείας τῶν Κελτῶν.

Metuunt Romani.

Οἱ δὲ Γαισάται Γαλάται συστησάμενοι δύναμιν πολυτελῆ καὶ βαρεῖαν, ἧκον, ὑπερβάντες τὰς Ἄλπεις, εἰς τὸν Πάδον ποταμὸν, ἔτει μετὰ τὴν τῆς χώρας διάδοσιν ὀγδόῳ. τὸ μὲν οὖν τῶν Ἰσόμβρων καὶ Βοίων γένος, ἔμεινε γενναίως ἐν ταῖς ἐξ ἀρχῆς ἐπιβολαῖς· οἱ δὲ Οὐένετοι καὶ Γονομάνοι, διαπρεσβευσαμένων Ῥωμαίων, τούτοις εἵλοντο συμμαχεῖν. διὸ καὶ μέρος τι τῆς δυνάμεως καταλιπεῖν ἠναγκάσθησαν οἱ βασιλεῖς τῶν Κελτῶν, φυλακῆς χάριν τῆς χώρας πρὸς τὸν ἀπὸ τούτων φόβον. Αὐτοὶ δὲ ἐξάραντες παντὶ τῷ στρατεύματι κατατεθαῤῥηκότως ὥρμησαν, ποιούμενοι τὴν πορείαν ὡς ἐπὶ Τυῤῥηνίας, ἔχοντες πεζοὺς μὲν εἰς πεντακισμυρίους, ἱππεῖς δὲ καὶ συνωρίδας, εἰς δισμυρίους. Ῥωμαῖοι δ', ὡς θᾶττον ἤκουσαν τοὺς Κελτοὺς ὑπερβεβληκέναι τὰς Ἄλπεις, Λεύκιον μὲν Αἰμίλιον ὕπατον, μετὰ δυνάμεως ἐξαπέστειλαν ὡς ἐπ' Ἀριμίνου, τηρήσοντα ταύτῃ τῶν ἐναντίων τὴν ἔφοδον, ἕνα δὲ τῶν πελεκοφόρων εἰς Τυῤῥηνίαν. ὁ μὲν γὰρ ἕτερος τῶν ὑπάτων Γάϊος Ἀτίλιος προεξεληλυθὼς ἔτυχεν εἰς Σαρδόνα μετὰ τῶν στρατοπέδων. οἱ δ' ἐν τῇ Ῥώμῃ πάντες περιδεεῖς ἦσαν, μέγαν καὶ φοβερὸν αὐτοῖς ὑπολαμβάνοντες ἐπιφέρεσθαι κίνδυνον. ἔπασχον δὲ τοῦτ' εἰκότως, ἔτι περὶ Γαλατῶν ἐγκαθημένου ταῖς ψυχαῖς αὐτῶν τοῦ παλαιοῦ φόβου. Διὸ καὶ πρὸς ταύτην ἀναφέροντες τὴν ἔννοιαν, τὰ μὲν συνήθροιζον, τὰ δὲ κατέγραφον στρατόπεδα, τοῖς δ' ἑτοίμοις εἶναι παρήγγελλον τῶν συμμάχων. καθόλου δὲ τοῖς ὑποτεταγμένοις ἀναφέρειν ἐπέταξαν ἀπογραφὰς τῶν ἐν ταῖς ἡλικίαις, σπουδάζοντες εἰδέναι τὸ σύμπαν πλῆθος τῆς ὑπαρ-

cap. 23. Erumpit *bellum Gallicum Cisalpinum.*

Veneti & Cenomani favent Romanis.

Copiae hostium.

Ingentes apparatus Romanorum.

Digitized by Google

ὑπαρχούσης αὐτοῖς δυνάμεως. μετὰ μὲν δὴ τῶν ὑπάτι ἐξεληλυθέναι τὸ πλεῖστον ἐσπούδαζον καὶ ἄριστον τῆς δυνι μεως. σίτου δὲ καὶ βελῶν καὶ τῆς ἄλλης ἐπιτηδειότητι πρὸς πόλεμον τηλικαύτην ἐποιήσαντο παρασκευὴν, ἡλίκη οὐδείς πω μνημονεύει πρότερον. συνηργεῖτο δ' αὐτοῖς πά: τα καὶ πανταχόθεν ἑτοίμως. καταπεπληγμένοι γὰρ τὴν Ἰταλίαν οἰκοῦντες τὴν τῶν Γαλατῶν ἔφοδον, οὐκ ἔ Ῥωμαίοις ἡγοῦντο συμμαχεῖν, οὐδὲ περὶ τῆς τούτων ἡγεμι νίας γίγνεσθαι τὸν πόλεμον· ἀλλὰ περὶ σφῶν ἐνόμιζ ἕκαστοι, καὶ τῆς ἰδίας πόλεως καὶ χώρας ἐπιφέρεσθαι τ κίνδυνον. διόπερ ἑτοίμως τοῖς παραγγελλομένοις ὑπήκοι

cap. 24. Copiæ Romanorum & sociorum.

Ἅμα μὲν οὖν τοῖς ὑπάτοις ἐξεληλύθει τέτταρα στρα τόπεδα Ῥωμαϊκὰ, πεντάκις μὲν χιλίους καὶ διακοσίους πε ζοὺς, ἱππεῖς δὲ τριακοσίους ἔχον ἕκαστον. σύμμαχοι δὲ με ἑκατέρων ἦσαν οἱ συνάμφω, πεζοὶ μὲν τρισμύριοι, δισχί λιοι δ' ἱππεῖς. τῶν δ' ἐκ τοῦ καιροῦ προσβοηθησάντων ει τὴν Ῥώμην Σαβίνων καὶ Τυῤῥηνῶν, ἱππεῖς μὲν ἦσαν ει τετρακισχιλίους, πεζοὶ δὲ πλείους τῶν πεντακισμυρίων. το τους μὲν ἀθροίσαντες, ὡς ἐπὶ Τυῤῥηνίας προεκάθισαν, ἐ ξαπέλεκυν αὐτοῖς ἡγεμόνα συστήσαντες. οἱ δὲ τὸν Ἀπέν νινον κατοικοῦντες Ὄμβροι καὶ Σαρσινάτοι συνήχθησαν ει δισμυρίους· μετὰ δὲ τούτων Οὐένετοι καὶ Κενομάνοι δισμύ ριοι. τούτους δ' ἔταξαν ἐπὶ τῶν ὅρων τῆς Γαλατίας, ὡς ἂν ἐμβαλόντες εἰς τὴν τῶν Βοίων χώραν, ἀντιπερισπῶσι τοὺς ἐξεληλυθότας. τὰ μὲν οὖν προκαθήμενα στρατόπεδα τῆς χώρας ταῦτα ἦν. Ἐν δὲ τῇ Ῥώμῃ διέτριβον ἡτοι μασμένοι, χάριν τῶν συμβαινόντων ἐν τοῖς πολέμοις, ἐ φεδρείας ἔχοντες τάξιν, Ῥωμαίων μὲν αὐτῶν πεζοὶ δι σμύριοι, μετὰ δὲ τούτων ἱππεῖς χίλιοι καὶ πεντακόσιοι· τῶν δὲ συμμάχων, πεζοὶ μὲν τρισμύριοι, δισχίλιοι δ' ἱπ πεῖς. Καταγραφαὶ δὲ ἀνηνέχθησαν, Λατίνων μὲν ὀκτα κισμύριοι πεζοὶ, πεντακισχίλιοι δ' ἱππεῖς. Σαυνιτῶν δὲ πεζοὶ μὲν ἑπτακισμύριοι, μετὰ δὲ τούτων ἱππεῖς ἑπτακισ χίλιοι. καὶ μὴν Ἰαπύγων καὶ Μεσσαπίων, συνάμφω, πεζοὶ μὲν πέντε μυριάδες, ἱππεῖς δὲ μύριοι σὺν ἑξακισ χιλίοις. Λευκανῶν δὲ πεζοὶ μὲν τρισμύριοι, τρισχίλιοι δ' ἱππεῖς. Μάρσων δὲ καὶ Μαῤῥουκίνων, καὶ Φρεντανῶν, ἔτι δὲ Οὐεστίνων, πεζοὶ μὲν δισμύριοι, τετρακισχίλιοι δ' ἱππεῖς.

ἱππεῖς. ἔτι δὲ μὴν καὶ ἐν Σικελίᾳ καὶ Τάραντι στρατόπεδα δύο παρεφήδρευεν· ὧν ἑκάτερον ἦν ἀνὰ τετρακισχιλίους καὶ διακοσίους πεζοὺς, ἱππεῖς δὲ διακοσίους. Ῥωμαίων γε καὶ Καμπανῶν ἡ πλῆθυς, πεζῶν μὲν εἰς εἴκοσι καὶ πέντε κατελέχθησαν μυριάδες· ἱππέων δὲ, ἐπὶ ταῖς δύο μυριάσιν ἐπῆσαν ἔτι τρεῖς χιλιάδες. ὥστ' εἶναι τὸ κεφάλαιον τῶν μὲν προκαθημένων τῆς Ῥώμης δυνάμεων πεζοὶ μὲν ὑπὲρ πεντεκαίδεκα μυριάδες, ἱππεῖς δὲ πρὸς ἑξακισχιλίους· τὸ δὲ σύμπαν πλῆθος τῶν δυναμένων ὅπλα βαστάζειν, αὐτῶν τε Ῥωμαίων καὶ τῶν συμμάχων, πεζῶν μὲν ὑπὲρ τὰς ἑβδομήκοντα μυριάδας, ἱππέων δὲ εἰς ἑπτὰ μυριάδες.

Οἱ δὲ Κελτοὶ, κατάραντες εἰς τὴν Τυῤῥηνίαν, ἐπεπορεύοντο τὴν χώραν, πορθοῦντες ἀδεῶς· οὐδενὸς δ' αὐτοῖς ἀντιταττομένου, τέλος ἐπ' αὐτὴν ὥρμησαν τὴν Ῥώμην. ἤδη δ' αὐτῶν περὶ πόλιν ὄντων, ἣ καλεῖται μὲν Κλούσιον, ἀπέχει δ' ἡμερῶν τριῶν ὁδὸν ἀπὸ τῆς Ῥώμης, προσαγγέλλεται, διότι κατόπιν αὐτοῖς ἕπονται καὶ συνάπτουσιν αἱ προκαθήμεναι τῶν Ῥωμαίων ἐν τῇ Τυῤῥηνίᾳ δυνάμεις. οἱ δ', ἀκούσαντες, ἐξ ὑποστροφῆς ἀπήντων, σπεύδοντες τούτοις συμβαλεῖν. ἐγγίσαντες δ' ἀλλήλοις ἤδη περὶ δυσμὰς ἡλίου, τότε μὲν ἐν συμμέτρῳ διαστήματι καταστρατοπεδεύσαντες ηὐλίσθησαν ἀμφότεροι. τῆς δὲ νυκτὸς ἐπιγενομένης, πῦρ ἀνακαύσαντες οἱ Κελτοὶ, τοὺς μὲν ἱππεῖς ἀπέλιπον· συντάξαντες, ἅμα τῷ φωτὶ, συμφανεῖς γενομένους τοῖς πολεμίοις, ὑποχωρεῖν κατὰ τὸν αὐτὸν στίβον. αὐτοὶ δὲ λαθραίαν ποιησάμενοι τὴν ἀποχώρησιν ὡς ἐπὶ πόλιν Φαίσολα, αὐτοῦ παρενέβαλον· πρόθεσιν ἔχοντες, ἅμα μὲν ἐκδέχεσθαι τοὺς ἑαυτῶν ἱππεῖς, ἅμα δὲ παραδόξως ἐνοχλῆσαι τὴν τῶν ὑπεναντίων ἔφοδον. Οἱ δὲ Ῥωμαῖοι, τῆς ἡμέρας ἐπιγενομένης, συνιδόντες τοὺς ἱππεῖς αὐτοὺς, καὶ νομίσαντες τοὺς Κελτοὺς ἀποδεδρακέναι, κατὰ σπουδὴν ἠκολούθουν τοῖς ἱππεῦσι κατὰ τὴν ἐκείνων ἀποχώρησιν. ἅμα δὲ τῷ συνεγγίζειν τοῖς πολεμίοις, διαναστάντων τῶν Κελτῶν, καὶ συμπεσόντων αὐτοῖς, ἦν ἀγὼν τὰς ἀρχὰς ἐξ ἀμφοῖν βίαιος. τέλος δὲ, καθυπερεχόντων τῶν Κελτῶν τῇ τόλμῃ καὶ τῷ πλήθει, συνέβη διαφθαρῆναι μὲν τῶν Ῥωμαίων οὐκ ἐλάττους ἑξακισχιλίων, τοὺς δὲ λοιποὺς φεύ-

cap. 25. Galli Etruriam populantur.

Cæduntur Romani ad Fæsulam.

Digitized by Google

φεύγειν· ὧν οἱ πλείες πρός τινα τόπον ἐρυμνὸν ἀποχωρήσαντες ἔμενον. ὃς τὸ μὲν πρῶτον οἱ Κελτοὶ πολιορκεῖν ἐπεβάλοντο· κακῶς δ' ἀπαλλάττοντες ἐκ τῆς προγεγενημένης ἐν τῇ νυκτὶ πορείας καὶ κακοπαθείας καὶ ταλαιπωρίας ὥρμησαν πρὸς ἀνάπαυσιν καὶ θεραπείαν, φυλακὴν ἀπολιπόντες τῶν ἰδίων ἱππέων περὶ τὸν λόφον· πρόθεσιν ἔχοντες, κατὰ τὴν ἐπιῦσαν πολιορκεῖν τὺς συμπεφευγότας ἐὰν μὴ παραδῶσιν ἑαυτὺς ἑκυσίως.

cap. 26. Succurrit L. Aemilius & servat reliques.

Κατὰ δὲ τὸν καιρὸν τῦτον Λεύκιος Αἰμίλιος, ὁ προκαθήμενος ἐπὶ τῶν κατὰ τὸν Ἀδρίαν τόπων, ἀκύσας τὺς Κελτὺς διὰ Τυῤῥηνίας ἐμβεβλητότας συνεγγίζειν τῇ Ῥώμῃ, παρῆν βοηθῶν καὶ κατὰ σπυδὴν εὐτυχῶς εἰς δέοντι καιρόν. καταστρατοπεδεύσαντος δ' αὐτῦ σύνεγγυς τῶν πολεμίων, κατιδόντες τὰ πυρὰ καὶ νοήσαντες τὸ γεγονὸς οἱ συμπεφευγότες ἐπὶ τὸν λόφον, ταχέως ἀναθαῤῥήσαντες ἐξαπέστειλαν αὐτῶν τινὰς τῆς νυκτὸς ἀνόπλυς διὰ τῆς ὕλης, ἀναγγελῦντας τῷ στρατηγῷ τὸ συμβεβηκός. ὁ δὲ διακύσας, καὶ θεωρῶν ὐδὲ διαβύλιον αὐτῷ καταλειπόμενον ὑπὲρ τῶν ἐνεστώτων, τοῖς μὲν χιλιάρχοις ἅμα τῷ φωτὶ παρήγγειλε τὺς πεζὺς ἐξάγειν· αὐτὸς δὲ τὺς ἱππεῖς ἀναλαβὼν, καθηγεῖτο τῆς δυνάμεως, ποιύμενος τὴν πορείαν ἐπὶ τὸν προειρημένον βυνόν. Οἱ δὲ τῶν Γαλατῶν ἡγεμόνες ἀφορῶντες τὰ πυρὰ τῆς νυκτὸς, καὶ συλλογιζόμενοι τὴν παρυσίαν τῶν πολεμίων, συνήδρευον. οἷς Ἀνηροέστης ὁ βασιλεὺς γνώμην εἰσέφερε, λέγων, ὅτι δεῖ τοσαύτης λείας ἐγκρατεῖς γεγονότας· (ἦν γὰρ, ὡς ἔοικε, καὶ τὸ τῶν σωμάτων καὶ θρεμμάτων πλῆθος, ἔτι δὲ τῆς ἀποσκευῆς, ἧς εἶχον, ἀμύθητον·) διόπερ ἔφη, δεῖν μὴ κινδυνεύειν ἔτι, μηδὲ παραβάλλεσθαι τοῖς ὅλοις, ἀλλ' εἰς τὴν οἰκείαν ἀδεῶς ἐπανάγειν· ταῦτα δ' ἀποσκευασαμένυς, καὶ γενομένυς εὐζώνυς, αὖθις ἐγχειρεῖν ὁλοσχερῶς, ἐὰν δοκῇ, τοῖς Ῥωμαίων πράγμασι. δόξαντος δὲ σφίσι κατὰ τὴν Ἀνηροέστυ γνώμην χρήσασθαι τοῖς παρῦσιν, ὗτοι μὲν τῆς νυκτὸς ταῦτα βυλευσάμενοι, πρὸ φωτὸς ἀναζεύξαντες, προῆγον παρὰ θάλατταν, διὰ τῆς Τυῤῥηνῶν χώρας. Ὁ δὲ Λεύκιος, ἀναλαβὼν ἐκ τῦ βυνῦ τὸ διασωζόμενον τῦ στρατοπέδυ μέρος ἅμα ταῖς ἰδίαις δυνάμεσι, τὸ μὲν διακινδυνεύειν ἐκ παρατάξεως ὐδαμῶς ἔκρινε συμφέρειν, ἐπιτη-

Domum repetunt Galli.

ρεῖν

ρεῖν δὲ μᾶλλον καιρὲς καὶ τόπες εὐφυεῖς, ἑπόμενος, ἐάν πε τι βλάψαι τὲς πολεμίες ἢ τῆς λείας ἀποσπάσαι δυνηθῇ.

cap. 27. Abeuntibus occurrit C. Atilius Cos. ex Sardinia rediens.

Κατὰ δὲ τὲς καιρὲς τέτες ἐκ Σαρδόνος μετὰ τῶν ςρατοπέδων Γάϊος Ἀτίλιος ὕπατος εἰς Πίσας καταπεπλευκὼς, προῆγε μετὰ τῆς δυνάμεως εἰς Ῥώμην, ἐναντίαν ποιέμενος τοῖς πολεμίοις τὴν πορείαν. ἤδη δὲ περὶ Τελαμῶνα τῆς Τυῤῥηνίας τῶν Κελτῶν ὑπαρχόντων, οἱ προνομεύοντες ἐξ αὐτῶν ἐμπεσόντες εἰς τὲς παρὰ τῦ Γαΐε προπορευσαμένες, ἑάλωσαν· καὶ τά τε προγεγονότα διεσάφεν ἀνακρινόμενοι τῷ ςρατηγῷ, καὶ τὴν παρεσίαν ἀμφοτέρων τῶν ςρατοπέδων ἀνήγγελλον· σημαίνοντες, διότι τελείως σύνεγγύς εἰσιν οἱ Κελτοὶ, καὶ τέτων κατόπιν οἱ περὶ τὸν Λεύκιον. Ὁ δὲ, τὰ μὲν ξενιθεὶς ἐπὶ τοῖς προσπίπτεσι, τὰ δ' εὔελπις γενόμενος ἐπὶ τῷ δοκεῖν μέσες κατὰ πορείαν ἀπειληφέναι τὲς Κελτὲς, τοῖς μὲν χιλιάρχοις παρήγγειλε τάττειν τὰ ςρατόπεδα, καὶ βάδην εἰς τ᾽ ἔμπροσθεν προάγειν, καθόσον ἂν οἱ τόποι προσδέχωνται τὴν μετωπηδὸν ἔφοδον. αὐτὸς δὲ, συνθεωρήσας εὐκαίρως λόφον κείμενον ὑπὲρ τὴν ὁδὸν, ὑφ' ὃν ἔδει παρατορευθῆναι τὲς Κελτὲς, ἀναλαβὼν τὲς ἱππεῖς, ὥρμησε σπεύδων προκαταλαβέσθαι τὴν ἀκρολοφίαν, καὶ πρῶτος κατάρξαι τῦ κινδύνε· πεπεισμένος, τῆς ἐπιγραφῆς τῶν ἐκβαινόντων πλεῖςον ἔτω κληρονομήσειν. Οἱ δὲ Κελτοὶ, τὸ μὲν πρῶτον τὴν παρεσίαν τῶν περὶ τὸν Ἀτίλιον ἀγνοῦντες, ἐκ δὲ τῦ συμβαίνοντος ὑπολαμβάνοντες, τὲς περὶ τὸν Αἰμίλιον περιπεπορεῦσθαι τὴν νύκτα τοῖς ἱππεῦσι, καὶ προκαταλαμβάνεσθαι τὲς τόπες, εὐθέως ἐξαπέςελλον τὲς παρ' αὐτῶν ἱππεῖς, καί τινας τῶν εὐζώνων, ἀντιποιησομένες τῶν κατὰ τὸν βενὸν τόπων. ταχὺ δὲ συνέντες τὴν τῦ Γαΐε παρεσίαν ἔκ τινος τῶν ἀχθέντων αἰχμαλώτων, σπεδῇ παρενέβαλλον τὲς πεζὲς, ποιέμενοι τὴν ἔκταξιν ἅμα πρὸς ἑκατέραν τὴν ἐπιφάνειαν, καὶ τὴν ἀπ' ἐρᾶς καὶ τὴν κατὰ πρόσωπον· ὃς μὲν γὰρ ᾔδεσαν ἑπομένες αὐτοῖς, ὃς δὲ κατὰ τὸ ςόμα προσεδόκων ἀπαντήσειν, ἔκ τε τῶν προσαγγελλομένων τεκμαιρόμενοι, καὶ τῶν κατ' αὐτὸν τὸν καιρὸν συμβαινόντων.

Galli inter duos hostes.

cap. 28.

Οἱ δὲ περὶ τὸν Αἰμίλιον ἀκηκοότες μὲν τὸν ἐ
τὰς Πίσας κατάπλουν τῶν στρατοπέδων, οὔπω δὲ προσδο
κῶντες αὐτὰ συνεγγίζειν, τότε σαφῶς ἐκ τοῦ περὶ τὸν λο
φον ἀγῶνος ἔγνωσαν, διότι τελέως ἐγγὺς εἶναι συμβαίν
τὰς οἰκείας αὐτῶν δυνάμεις. διὸ καὶ τοὺς μὲν ἱππεῖς πα
ραυτίκα βοηθήσοντας ἐξαπέστελλον τοῖς ἐν τῷ λόφῳ διαγω
νιζομένοις· αὐτοὶ δὲ κατὰ τὰς εἰθισμένας τάξεις διακοσμή
σαντες τοὺς πεζοὺς, προῆγον ἐπὶ τοὺς ὑπεναντίους. Οἱ δ
Κελτοὶ τοὺς μὲν ἐκ τῶν Ἄλπεων Γαισάτους προσαγορευο
μένους ἔταξαν πρὸς τὴν ἀπ' οὐρᾶς ἐπιφάνειαν, ᾗ προσεδό
κων τοὺς περὶ τὸν Αἰμίλιον, ἐπὶ δὲ τούτοις τοὺς Ἴσομβρας
πρὸς δὲ τὴν κατὰ πρόσωπον, τοὺς Ταυρίσκους, καὶ τοὺς ἐπ
τάδε τοῦ Πάδου κατοικοῦντας Βοίους παρενέβαλον, τὴν ἐναν
τίαν μὲν στάσιν ἔχοντας τοῖς προειρημένοις, βλέποντας δ
πρὸς τὴν τῶν τοῦ Γαΐου στρατοπέδων ἔφοδον. τὰς δ' ἁμά
ξας καὶ συνωρίδας ἐκτὸς ἑκατέρου τοῦ κέρατος παρέστησαν
τὴν δὲ λείαν εἴς τι τῶν παρακειμένων ὀρῶν, φυλακὴ
περιστήσαντες, ἤθροιζον. Γενομένης δ' ἀμφιστόμου τῆς τῶ
Κελτῶν δυνάμεως, οὐ μόνον καταπληκτικὴν, ἀλλὰ κα
πρακτικὴν εἶναι συνέβαινε τὴν τάξιν. οἱ μὲν οὖν Ἴσομ
βρες καὶ Βοῖοι τὰς ἀναξυρίδας ἔχοντες καὶ τοὺς εὐπετεῖ
τῶν σάγων περὶ αὐτοὺς ἐξέταξαν· οἱ δὲ Γαισάται, διά τ
τὴν φιλοδοξίαν καὶ τὸ θάρσος ταῦτ' ἀποῤῥίψαντες, γυμνο
μετ' αὐτῶν τῶν ὅπλων, πρῶτοι τῆς δυνάμεως κατέστησαν
ὑπολαβόντες, οὕτως ἔσεσθαι πρακτικώτατοι, διὰ τὸ τινὰς τῶ
τόπων βατώδεις ὄντας ἐμπλέκεσθαι τοῖς ἐφάμμασι, κα
παραποδίζειν τὴν τῶν ὅπλων χρείαν. Τὸ μὲν οὖν πρῶ
τον, αὐτὸς ὁ κατὰ τὸν λόφον ἐνειστήκει κίνδυνος, ἅπασι
ὢν σύνοπτος, ὡς ἂν ἅμα τοσούτου πλήθους ἱππέων ἀφ' ἑ
κάστου τῶν στρατοπέδων ἀναμὶξ ἀλλήλοις συμπεπτωκότο
ἐν δὲ τούτῳ τῷ καιρῷ συνέβη Γάϊον μὲν τὸν ὕπατον πα
ραβόλως ἀγωνιζόμενον, ἐν χειρῶν νόμῳ τελευτῆσαι τὸ
βίον, τὴν δὲ κεφαλὴν αὐτοῦ πρὸς τοὺς βασιλέας ἐπανενεχθῆ
ναι τῶν Κελτῶν· τοὺς δὲ τῶν Ῥωμαίων ἱππεῖς, κινδυνεύ
σαντας ἐῤῥωμένως, τέλος ἐπικρατῆσαι τοῦ τόπου, καὶ τῶ
ὑπεναντίων. Μετὰ δὲ ταῦτα, τῶν πεζικῶν στρατοπέδω
ἤδη σύνεγγυς ὄντων ἀλλήλοις, ἴδιον ἦν καὶ θαυμαστὸν τ
συμβαῖνον οὐ μόνον τοῖς ἐν αὐτῷ τῷ καιρῷ τότε παροῦσιν

In certamine equitum cadit C. Atilius.

Prælium ad Telamonem.

ἀλλ

ἀλλὰ καὶ τοῖς ποτὲ μετὰ ταῦτα δυναμένοις ὑπὸ τὴν ὄψιν λαμβάνειν ἐκ τῶν λεγομένων τὸ γεγονός.

cap. 29.

Πρῶτον μὲν γὰρ ἐκ τριῶν στρατοπέδων τῆς μάχης συνισταμένης, δῆλον, ὡς ξένην καὶ παρηλλαγμένην εἰκὸς καὶ τὴν ἐπιφάνειαν καὶ τὴν χρείαν φαίνεσθαι τοῦ συντεταγμένου. δεύτερον δὲ, πῶς οὐκ ἂν ἀπορήσαι τις, καὶ νῦν, καὶ τότε παρ' αὐτὸν ὢν τὸν καιρὸν, πότερον οἱ Κελτοὶ τὴν ἐπισφαλεστάτην εἶχον χώραν, ἐξ ἀμφοῖν τοῖν μεροῖν ἅμα τῶν πολεμίων ἐπαγόντων αὐτοῖς; ἢ τοὐναντίον τὴν ἐπιτευκτικωτάτην· ἅμα μὲν ἀγωνιζόμενοι πρὸς ἀμφοτέρους, ἅμα δὲ τὴν ἀφ' ἑκατέρων ἀσφάλειαν ἐκ τῶν ὄπισθεν αὐτοῖς παρασκευάζοντες· τὸ δὲ μέγιστον, ἀποκεκλεισμένης πάσης τῆς εἰς τοὔπισθεν ἀναχωρήσεως, καὶ τῆς ἐν τῷ λείπεσθαι σωτηρίας; ἡ γὰρ τῆς ἀμφιστόμου τάξεως ἰδιότης τοιαύτην ἔχει τὴν χρείαν. Τοὺς γε μὴν Ῥωμαίους, τὰ μὲν, εὐθαρσεῖς ἐποίει τὸ μέσους καὶ πάντοθεν περιειληφέναι τοὺς πολεμίους· τὰ δὲ, πάλιν ὁ κόσμος αὐτοὺς καὶ θόρυβος ἐξέπληττε τῆς τῶν Κελτῶν δυνάμεως. ἀναρίθμητον μὲν γὰρ ἦν τὸ τῶν βυκανητῶν καὶ σαλπιγκτῶν πλῆθος. οἷς ἅμα τοῦ παντὸς στρατοπέδου συμπαιανίζοντος, τηλικαύτην καὶ τοιαύτην συνέβαινε γενέσθαι κραυγὴν, ὥστε μὴ μόνον τὰς σάλπιγγας καὶ τὰς δυνάμεις, ἀλλὰ καὶ τοὺς παρακειμένους τόπους συνηχοῦντας, ἐξ αὐτῶν δοκεῖν προΐεσθαι φωνήν. ἐκπληκτικὴ δ' ἦν καὶ τῶν γυμνῶν προεστώτων ἀνδρῶν ἥ τε ἐπιφάνεια καὶ κίνησις, ὡς ἂν διαφερόντων ταῖς ἀκμαῖς καὶ τοῖς εἴδεσι. πάντες δ' οἱ τὰς πρώτας κατέχοντες σπείρας, χρυσοῖς μανιάκαις καὶ περιχείροις ἦσαν κατακεκοσμημένοι. πρὸς ἃ βλέποντες οἱ Ῥωμαῖοι, τὰ μὲν ἐξεπλήττοντο· τὰ δ' ὑπὸ τῆς τοῦ λυσιτελοῦς ἐλπίδος ἀγόμενοι, διπλασίως παρωξύνοντο πρὸς τὸν κίνδυνον.

cap. 30. Profligantur Gæsatæ a jaculatoribus Romanis.

Πλὴν ἅμα τῷ τοὺς ἀκοντιστὰς, προελθόντας ἐκ τῶν Ῥωμαϊκῶν στρατοπέδων κατὰ τὸν ἐθισμὸν, εἰσακοντίζειν ἐνεργοῖς καὶ πυκνοῖς τοῖς βέλεσι· τοῖς μὲν ὀπίσω τῶν Κελτῶν, πολλὴν εὐχρηστίαν οἱ σάγοι μετὰ τῶν ἀναξυρίδων παρεῖχον· τοῖς δὲ γυμνοῖς προεστῶσι, παρὰ τὴν προσδοκίαν τοῦ πράγματος συμβαίνοντος, τἀναντία πολλὴν ἀπορίαν καὶ δυσχρηστίαν παρεῖχε τὸ γιγνόμενον. οὐ γὰρ δυναμένου τοῦ Γαλατικοῦ θυρεοῦ τὸν ἄνδρα περισκέπειν, ὅσω-

σῳ γυμνὰ καὶ μείζω τὰ σώματα ἦν, τοσέτῳ συνέβαινε μᾶλλον τὰ βέλη πίπτειν ἔνδον. τέλος δ᾽, ἐ δυνάμενοι μὲν ἀμύναθαι τὲς ἀκοντίζοντας, διὰ τὴν ἀπόςασιν, καὶ τὸ πλῆθος τῶν πιπτόντων βελῶν· περικαῆντες δὲ, καὶ δυσχρηςέμενοι τοῖς παρᾶσιν· οἱ μὲν, εἰς τὲς πολεμίες ὑπὸ τᾶ θυμᾶ καὶ τῆς ἀλογιςίας εἰκῆ προσπίπτοντες, καὶ διδόντες σφᾶς αὐτὲς, ἑκεσίως ἀπέθνησκον, οἱ δ᾽ εἰς τὲς φίλες ἀναχωρᾶντες ἐπὶ πόδα, καὶ προδήλως ἀποδειλιῶντες, διέςρεφον τὲς κατόπιν. τὸ μὲν ἆν τῶν Γαισατῶν φρόνημα παρὰ τοῖς ἀκοντιςαῖς, τέτῳ τῷ τρόπῳ κατελύθη. Τὸ δὲ τῶν Ἰσόμβρων καὶ Βοίων, ἔτι δὲ Ταυρίσκων πλῆθος, ἅμα τῷ τὲς Ῥωμαίες, δεξαμένες τὲς ἑαυτῶν ἀκοντιςὰς, προσβάλλειν σφίσι τὰς σπείρας, συμπεσὸν τοῖς πολεμίοις ἐκ χειρὸς, ἐποίει μάχην ἰσχυράν. καὶ διακοπτόμενοι, παρέμενον ἐπ᾽ ἴσον ταῖς ψυχαῖς· αὐτῷ τέτῳ καὶ καθόλε καὶ κατ᾽ ἄνδρα λειπόμενοι ταῖς τῶν ὅπλων κατασκευαῖς. οἱ μὲν ἆν θυρεοὶ πρὸς ἀσφάλειαν, αἱ δὲ μάχαιραι πρὸς πρᾶξιν μεγάλην διαφορὰν **** ἔχειν, τὴν δὲ Γαλατικὴν καταφορὰν ἔχειν μόνον. ἐπεὶ δ᾽ ἐξ ὑπερδεξίε καὶ κατὰ κέρας οἱ τῶν Ῥωμαίων ἱππεῖς ἐμβαλόντες ἀπὸ τᾶ λόφε προσέφερον τὰς χεῖρας ἐῤῥωμένως, τόθ᾽ οἱ μὲν πεζοὶ τῶν Κελτῶν ἐν αὐτῷ τῷ τῆς παρατάξεως τόπῳ κατεκόπησαν, οἱ δ᾽ ἱππεῖς πρὸς φυγὴν ὥρμησαν.

Reliquus Gallorum exercitus armorum genere victus cæditur.

cap. 31.

Ἀπέθανον μὲν ἆν τῶν Κελτῶν εἰς τετρακισμυρίες, ἑάλωσαν δ᾽ ἐκ ἐλάττες μυρίων· ἐν οἷς καὶ τῶν βασιλέων Κογκολιτάνος. ὁ δ᾽ ἕτερος αὐτῶν, Ἀνηρόεςος, εἴς τινα τόπον συμφυγὼν μετ᾽ ὀλίγων, προσήνεγκε τὰς χεῖρας αὐτῷ καὶ τοῖς ἀναγκαίοις. Ὁ δὲ ςρατηγὸς τῶν Ῥωμαίων, τὰ μὲν σκύλα συναθροίσας, εἰς τὴν Ῥώμην ἀπέςειλε, τὴν δὲ λείαν ἀπέδωκε τοῖς προσήκεσι. αὐτὸς δ᾽ ἀναλαβὼν τὰ ςρατόπεδα, καὶ διελθὼν παρ᾽ αὐτὴν τὴν Λιγυςικὴν, εἰς τὴν τῶν Βοίων ἐνέβαλε χώραν. πληρώσας δὲ τὰς ὁρμὰς τῶν ςρατοπέδων τῆς ὠφελείας, ἐν ὀλίγαις ἡμέραις ἧκε μετὰ τῶν δυνάμεων εἰς τὴν Ῥώμην. καὶ τὸ μὲν Καπιτώλιον ἐκόσμησε ταῖς τε σημαίαις καὶ τοῖς μανιάκαις· τᾶτο δ᾽ ἐςὶ χρυσᾶν ψέλλιον, ὃ φορᾶσι περὶ τὰς χεῖρας καὶ τὸν τράχηλον οἱ Γαλάται. τοῖς δὲ λοιποῖς σκύ-

L. Aemilius persequitur victoriam.

Digitized by Google

σκύλοις καὶ τοῖς αἰχμαλώτοις, πρὸς τὴν εἴσοδον ἐχρήσατο τὴν ἑαυτοῦ, καὶ πρὸς τὴν τοῦ θριάμβου διακόσμησιν. Ἡ μὲν οὖν βαρυτάτη τῶν Κελτῶν ἔφοδος οὕτω καὶ τούτῳ τῷ τρόπῳ διεφθάρη· πᾶσι μὲν Ἰταλιώταις, μάλιστα δὲ Ῥωμαίοις, μέγαν καὶ φοβερὸν ἐπικρεμάσασα κίνδυνον. Ἀπὸ δὲ τοῦ κατορθώματος τούτου κατελπίσαντες Ῥωμαῖοι, δυνήσεσθαι τοὺς Κελτοὺς ἐκ τῶν τόπων τῶν περὶ τὸν Πάδον ὁλοσχερῶς ἐκβαλεῖν, τούς τε μετὰ ταῦτα κατασταθέντας ὑπάτους, Κόϊντον Φούλβιον καὶ Τίτον Μάλλιον, ἀμφοτέρους, καὶ τὰς δυνάμεις μετὰ παρασκευῆς μεγάλης, ἐξαπέστειλαν ἐπὶ τοὺς Κελτούς. οὗτοι δὲ τοὺς μὲν Βοίους ἐξ ἐφόδου καταπληξάμενοι, συνηνάγκασαν εἰς τὴν Ῥωμαίων ἑαυτοὺς δοῦναι πίστιν. τὸν δὲ λοιπὸν χρόνον τῆς στρατείας, ἐπιγενομένων ὄμβρων ἐξαισίων, ἔτι δὲ λοιμικῆς διαθέσεως ἐμπεσούσης αὐτοῖς, ἐς τέλος ἄπρακτον εἶχον.

Novi Coss. Bojos in deditionem accipiunt.

Μετὰ δὲ τούτους κατασταθέντες Πόπλιος Φούριος καὶ Γάϊος Φλαμίνιος, αὖθις ἐνέβαλον εἰς τὴν Κελτικὴν, διὰ τῆς τῶν Ἀναμάρων χώρας· ὃις συμβαίνει, μὴ μακρὰν ἀπὸ Πλακεντίας ἔχειν τὴν οἴκησιν. οὓς εἰς τὴν φιλίαν προσαγαγόμενοι, διέβησαν εἰς τὴν τῶν Ἰσόμβρων γῆν, κατὰ τὰς συῤῥοίας τοῦ τε Ἀδόα καὶ Πάδου ποταμοῦ. λαβόντες δὲ πληγὰς περί τε τὴν διάβασιν, καὶ περὶ τὴν στρατοπεδείαν, παραυτίκα μὲν ἔμειναν· μετὰ δὲ ταῦτα σπεισάμενοι, καθ᾽ ὁμολογίαν ἀνέλυσαν ἐκ τῶν τόπων. περιελθόντες δὲ πλείους ἡμέρας, καὶ διελθόντες τὸν Κλούσιον ποταμὸν, ἦλθον εἰς τὴν τῶν Γονομάνων χώραν, καὶ προσλαβόντες τούτους, ὄντας συμμάχους, ἐνέβαλον πάλιν ἀπὸ τῶν κατὰ τὰς Ἄλπεις τόπων εἰς τὰ τῶν Ἰσόμβρων πεδία, καὶ τήν τε γῆν ἐδῄουν, καὶ τὰς κατοικίας αὐτῶν ἐξεπόρθουν. Οἱ δὲ τῶν Ἰσόμβρων προεστῶτες, θεωροῦντες ἀμετάθετον οὖσαν τὴν ἐπιβολὴν τῶν Ῥωμαίων, ἔκριναν τῆς τύχης λαβεῖν πεῖραν, καὶ διακινδυνεῦσαι πρὸς αὐτοὺς ὁλοσχερῶς. συναθροίσαντες οὖν ἁπάσας ἐπὶ ταὐτὸν, καὶ τὰς χρυσᾶς σημαίας τὰς ἀκινήτους λεγομένας καθελόντες ἐκ τοῦ τῆς Ἀθηνᾶς ἱεροῦ, καὶ τἄλλα παρασκευασάμενοι δεόντως· μετὰ ταῦτα τεθαῤῥηκότως καὶ καταπληκτικῶς ἀντεστρατοπέδευσαν τοῖς πολεμίοις, ὄντες τὸ πλῆθος εἰς πέντε μυριάδας. Οἱ δὲ Ῥωμαῖοι, τὰ μὲν, ὁρῶντες σφᾶς ἐλάτ-

cap. 32. P. Furius & C.Flaminius Insubribus inferunt bellum.

Digitized by Google

Cenomanorum auxilia suspecta Romanis.

ἐλάττους ὄντας παρὰ πολὺ τῶν ἐναντίων, ἐβούλοντο συγχρηθῆναι ταῖς τῶν συμμαχούντων αὐτοῖς Κελτῶν δυνάμεσι· τὰ δὲ, συλλογισάμενοι τήν τε Γαλατικὴν ἀθεσίαν, καὶ διότι πρὸς ὁμοφύλους τῶν προσλαμβανομένων μέλλουσι ποιεῖσθαι τὸν κίνδυνον, εὐλαβοῦντο τοιούτοις ἀνδράσι τοιούτου καιροῦ καὶ πράγματος κοινωνεῖν. τέλος δ' οὖν αὐτοὶ μὲν ὑπέμειναν ἐντὸς τοῦ ποταμοῦ, τοὺς δὲ τῶν Κελτῶν σφίσι συνόντας, διαβιβάσαντες εἰς τὸ πέραν, ἀνέσπασαν τὰς ἐπὶ τοῦ ῥείθρου γεφύρας· ἅμα μὲν ἀσφαλιζόμενοι τὰ πρὸς ἐκείνους, ἅμα δὲ μίαν ἑαυτοῖς ἀπολείποντες ἐλπίδα τῆς σωτηρίας τὴν ἐν τῷ νικᾶν, διὰ τὸ κατόπιν αὐτοῖς ἄβατον ὄντα παρακεῖσθαι τὸν προειρημένον ποταμόν. πράξαντες δὲ ταῦτα, πρὸς τὸ διακινδυνεύειν ἦσαν.

cap. 33. Vincuntur Insubres.

Δοκοῦσι δ' ἐμφρόνως κεχρῆσθαι τῇ μάχῃ ταύτῃ Ῥωμαῖοι· τῶν χιλιάρχων ὑποδειξάντων, ὡς δεῖ ποιεῖσθαι τὸν ἀγῶνα κοινῇ καὶ κατ' ἰδίαν ἑκάστους. συνεωρακότες γὰρ ἐκ τῶν προγεγονότων κινδύνων, ὅτι τοῖς τε θυμοῖς κατὰ τὴν πρώτην ἔφοδον, ἕως ἂν ἀκέραιον ᾖ, φοβερώτατόν ἐστι πᾶν τὸ Γαλατικὸν φῦλον· αἵ τε μάχαιραι ταῖς κατασκευαῖς, καθάπερ εἴρηται πρότερον, μίαν ἔχουσι τὴν πρώτην καταφορὰν καιρίαν, ἀπὸ δὲ ταύτης εὐθέως ἀποξυστροῦνται, καμπτόμεναι κατὰ μῆκος καὶ κατὰ πλάτος ἐπὶ τοσοῦτον, ὥστε, ἂν μὴ δῷ τις ἀναστροφὴν τοῖς χρωμένοις, ἐρείσαντες πρὸς τὴν γῆν ἀπευθῦναι τῷ ποδὶ, τελέως ἄπρακτον εἶναι τὴν δευτέραν πληγὴν αὐτῶν· ἀναδόντες οὖν οἱ χιλίαρχοι τὰ τῶν τριαρίων δόρατα τῶν κατόπιν ἐφεστώτων ταῖς πρώταις σπείραις, καὶ παραγγείλαντες ἐκ μεταλήψεως τοῖς ξίφεσι χρῆσθαι, συνέβαλον ἐκ παρατάξεως κατὰ πρόσωπον τοῖς Κελτοῖς. ἅμα δὲ τῷ, πρὸς τὰ δόρατα ταῖς πρώταις καταφοραῖς χρωμένων τῶν Γαλατῶν, ἀχρειωθῆναι τὰς μαχαίρας· συνδραμόντες εἰς τὰς χεῖρας, τοὺς μὲν Κελτοὺς ἀπράκτους ἐποίησαν, ἀφελόμενοι τὴν ἐκ διάρσεως αὐτῶν μάχην, ὅπερ ἴδιόν ἐστι Γαλατικῆς χρείας, διὰ τὸ μηδαμῶς κέντημα τὸ ξίφος ἔχειν· αὐτοὶ δ' οὐκ ἐκ καταφορᾶς, ἀλλ' ἐκ διαλήψεως ὀρθαῖς χρώμενοι ταῖς μαχαίραις, πρακτικοῦ τοῦ κεντήματος περὶ αὐτὰς ὑπάρχοντος, τύπτοντες εἰς τὰ στέρνα καὶ τὰ πρόσωπα, καὶ πληγὴν ἐπὶ πληγῇ φέροντες, διέφθειραν τοὺς πλείστους τῶν

παρα-

Digitized by Google

παραταξαμένων, διὰ τὴν τῶν χιλιάρχων πρόνοιαν. Ὁ μὲν γὰρ στρατηγὸς Φλαμίνιος οὐκ ὀρθῶς δοκεῖ κεχρῆσθαι τῷ προειρημένῳ κινδύνῳ. παρ' αὐτὴν γὰρ τὴν ὀφρὺν τοῦ ποταμοῦ ποιησάμενος τὴν ἔκταξιν, διέφθειρε τὸ τῆς Ῥωμαϊκῆς μάχης ἴδιον, οὐχ ὑπολειπόμενος τόπον πρὸς τὴν ἐπὶ πόδα ταῖς σπείραις ἀναχώρησιν. ει γὰρ συνέβη βραχὺ μόνον πιεσθῆναι τῇ χώρᾳ τοὺς ἄνδρας κατὰ τὴν μάχην, ῥίπτειν ἂν εις τὸν ποταμὸν αὐτοὺς ἔδει, διὰ τὴν ἀστοχίαν τοῦ προεστῶτος. οὐ μὴν, ἀλλά γε πολὺ νικήσαντες ταῖς σφετέραις ἀρεταῖς, καθάπερ εἶπον, καὶ παμπληθοῦς μὲν λείας, οὐκ ὀλίγων δὲ σκύλων κρατήσαντες, ἐπανῆλθον εις τὴν Ῥώμην.

Cap. 34. Pax negatur Insubribus.

Τῷ δ' ἑξῆς ἔτει, διαπρεσβευσαμένων τῶν Κελτῶν ὑπὲρ ειρήνης, καὶ πᾶν ποιήσειν ὑπισχνουμένων, ἔσπευσαν οι κατασταθέντες ὕπατοι, Μάρκος Κλαύδιος, καὶ Γνάϊος Κορνήλιος, τοῦ μὴ συγχωρηθῆναι τὴν ειρήνην αὐτοῖς. οι δ', ἀποτυχόντες, καὶ κρίναντες ἐξελέγξαι τὰς τελευταίας ἐλπίδας, αὖθις ὥρμησαν ἐπὶ τὸ μισθοῦσθαι τῶν περὶ τὸν Ῥοδανὸν Γαισατῶν Γαλατῶν εις τρισμυρίους· οὓς παραλαβόντες εἶχον ἐν ἑτοίμῳ, καὶ προσεδόκων τὴν τῶν πολεμίων ἔφοδον. οι δὲ τῶν Ῥωμαίων στρατηγοί, τῆς ὥρας ἐπιγενομένης, ἀναλαβόντες τὰς δυνάμεις, ἦγον εις τὴν τῶν Ἰσόμβρων χώραν. Παραγενόμενοι δὲ καὶ στρατοπεδεύσαντες περὶ πόλιν Ἀχέῤῥας, ἣ μεταξὺ κεῖται τοῦ Πάδου καὶ τῶν Ἀλπεινῶν ὀρῶν, ἐπολιόρκουν ταύτην. οι δ' Ἴσομβρες, βοηθεῖν μὲν οὐ δυνάμενοι, διὰ τὸ προκαταληφθῆναι τοὺς ευφυεῖς τόπους· σπεύδοντες δὲ λῦσαι τὴν πολιορκίαν τῶν Ἀχεῤῥῶν, μέρος τι τῆς δυνάμεως διαβιβάσαντες τὸν Πάδον εις τὴν τῶν Ἄνδρων χώραν, ἐπολιόρκουν τὸ προσαγορευόμενον Κλαστίδιον. προσπεσόντος δὲ τοῦ συμβαίνοντος τοῖς στρατηγοῖς, ἀναλαβὼν τοὺς ἱππεῖς Μάρκος Κλαύδιος, καὶ τῶν πεζικῶν, ἠπείγετο σπεύδων βοηθῆσαι τοῖς πολιορκουμένοις. οι δὲ Κελτοί, πυθόμενοι τὴν παρουσίαν τῶν ὑπεναντίων, λύσαντες τὴν πολιορκίαν, ὑπήντων καὶ παρετάξαντο. τῶν δὲ Ῥωμαίων αὐτοῖς τοῖς ἱππεῦσιν ἐξ ἐφόδου τολμηρῶς σφίσι προσπεσόντων, τὰς μὲν ἀρχὰς ἀντεῖχον· μετὰ δὲ ταῦτα περιϊσταμένων καὶ κατὰ νώτου καὶ κατὰ κέρας, δυσχρηστούμενοι τῇ μάχῃ, τέλος

Acerras obsident Coss.

Marcellus prælio vincit ad Clastidium.

λος ἐτράπησαν ὑπ' αὐτῶν τῶν ἱππέων. καὶ πολλοὶ μὲν εἰς τὸν ποταμὸν ἐμπεσόντες, ὑπὸ τοῦ ῥεύματος διεφθάρησαν, οἱ δὲ πλείους ὑπὸ τῶν πολεμίων κατεκόπησαν. Ἔλαβον δὲ καὶ τὰς Ἀχέῤῥας οἱ Ῥωμαῖοι, σίτου γεμούσας ἐκχωρησάντων εἰς τὸ Μεδιόλανον τῶν Γαλατῶν· ὅσπερ ἐστὶ κυριώτατος τόπος τῆς τῶν Ἰσόμβρων χώρας. Οἷς ἐκ ποδὸς ἐπακολουθήσαντος τοῦ Γναΐου, καὶ προσβαλόντος ἄφνω πρὸς τὸ Μεδιόλανον, τὰ μὲν πρῶτον ἡσυχίαν ἔσχον· ἀπολυομένου δ' αὐτοῦ πάλιν εἰς τὰς Ἀχέῤῥας, ἐπεξελθόντες καὶ τῆς οὐραγίας ἁψάμενοι θρασέως, πολλοὺς μὲν νεκροὺς ἐποίησαν, μέρος δέ τι καὶ φυγεῖν αὐτῶν ἠνάγκασαν· ἕως ὁ Γναΐος ἀνακαλεσάμενος τοὺς ἐκ τῆς πρωτοπορείας, παρώρμησε στῆναι, καὶ συμβαλεῖν τοῖς πολεμίοις. οἱ μὲν οὖν Ῥωμαῖοι, πειθαρχήσαντες τῷ στρατηγῷ, διεμάχοντο πρὸς τοὺς ἐπικειμένους εὐρώστως. οἱ δὲ Κελτοὶ, διὰ τὸ παρὸν εὐτύχημα μείναντες ἐπὶ ποσὸν εὐθαρσῶς, μετ' οὐ πολὺ τραπέντες, ἔφευγον εἰς τὰς παρωρείας. ὁ δὲ Γναΐος ἐπακολουθήσας τήν τε χώραν ἐπόρθει, καὶ τὰ Μεδιόλανον εἷλε κατὰ κράτος.

Cn. Scipio Acerras capit, & Mediolanum.

Οὗ συμβαίνοντος, οἱ προεστῶτες τῶν Ἰσόμβρων, ἀπαγνόντες τὰς τῆς σωτηρίας ἐλπίδας, πάντα τὰ καθ' αὐτοὺς ἐπέτρεψαν τοῖς Ῥωμαίοις. Ὁ μὲν οὖν πρὸς τοὺς Κελτοὺς πόλεμος τοιοῦτον ἔσχε τὸ τέλος· κατὰ μὲν τὴν ἀπόνοιαν καὶ τόλμαν τῶν ἀγωνιζομένων ἀνδρῶν, ἔτι δὲ κατὰ τὰς μάχας καὶ τὸ πλῆθος τῶν ἐν αὐταῖς ἀπολλυμένων καὶ παραταττομένων, οὐδενὸς καταδεέστερος τῶν ἱστορημένων· κατὰ δὲ τὰς ἐπιβολὰς καὶ τὴν ἀκρισίαν τοῦ κατὰ μέρος χειρισμοῦ, τελέως εὐκαταφρόνητος· διὰ τὸ μὴ τὸ πλεῖον, ἀλλὰ συλλήβδην ἅπαν τὸ γιγνόμενον ὑπὸ τῶν Γαλατῶν, θυμῷ μᾶλλον ἢ λογισμῷ βραβεύεσθαι. Περὶ ὧν ἡμεῖς, συνθεωρήσαντες μετ' ὀλίγον χρόνον αὐτοὺς ἐκ τῶν περὶ τὸν Πάδον ἐξωθέντας, πλὴν ὀλίγων τόπων τῶν ὑπ' αὐτὰς τὰς Ἄλπεις κειμένων, οὐκ ᾠήθημεν δεῖν οὔτε τὴν ἐξ ἀρχῆς ἔφοδον αὐτῶν ἀμνημόνευτον παραλιπεῖν, οὔτε τὰς μετὰ ταῦτα πράξεις, οὔτε τὴν τελευταίαν ἐξανάστασιν.

cap. 35. Deditione Insubrium finitur Bellum Gallicum.

Λείπεται δ' ἡμῖν εἰπεῖν περὶ τῶν Τυῤῥηνῶν. οὗτοι γὰρ τὸ μὲν παλαιὸν ἀνδρείᾳ διενέγκαντες, χώραν πολλὴν κατε-

Diodor. Sic. Lib. V. c. 40. Tyrrheni,

Digitized by Google

κατεκτήσαντο, καὶ πόλεις ἀξιολόγους καὶ πολλὰς ἔκτισαν. ὁμοίως δὲ καὶ ναυτικαῖς δυνάμεσιν ἰσχύσαντες, καὶ πολλοὺς χρόνους θαλαττοκρατήσαντες, τὸ μὲν παρὰ τὴν Ἰταλίαν πέλαγος ἀφ' ἑαυτῶν ἐποίησαν Τυῤῥηνικὸν προσαγορευθῆναι· τὰ δὲ κατὰ τὰς πεζικὰς δυνάμεις ἐκπονήσαντες, τήν τε σάλπιγγα λεγομένην ἐξεῦρον, εὐχρηστοτάτην μὲν εἰς τοὺς πολέμους, ἀπ' ἐκείνων δ' ὀνομασθεῖσαν Τυῤῥηνήν. τό, τε περὶ τοὺς ἡγουμένους στρατηγοὺς ἀξίωμα κατεσκεύασαν, περιθέντες τοῖς ἡγουμένοις ῥαβδούχους, καὶ δίφρον ἐλεφάντινον, καὶ περιπόρφυρον τήβενναν. ἔν τε ταῖς οἰκίαις τὰ περίστοα, πρὸς τὰς τῶν θεραπευόντων ὄχλων ταραχὰς ἐξεῦρον εὐχρηστίαν. ὧν τὰ πλεῖστα Ῥωμαῖοι μιμησάμενοι καὶ πρὸς τὸ κάλλιστον αὐξήσαντες, μετήνεγκαν ἐπὶ τὴν ἰδίαν πολιτείαν. γράμματά τε καὶ φυσιολογίαν καὶ θεολογίαν ἐξεπόνησαν ἐπὶ πλεῖον, καὶ τὰ περὶ τὴν κεραυνοσκοπίαν μάλιστα πάντων ἀνθρώπων ἐξειργάσαντο. διὸ καὶ μέχρι τῶν νῦν χρόνων οἱ τῆς οἰκουμένης σχεδὸν ὅλης ἡγούμενοι θαυμάζουσί τε τοὺς ἄνδρας, καὶ κατὰ τὰς ἐν τοῖς κεραυνοῖς διοσημείας τούτοις ἐξηγηταῖς χρῶνται. χώραν δὲ νεμόμενοι πάμφορον, καὶ ταύτην ἐξεργαζόμενοι, καρπῶν ἀφθονίαν ἔχουσιν, οὐ μόνον πρὸς τὴν ἀρκοῦσαν διατροφὴν, ἀλλὰ καὶ πρὸς ἀπόλαυσιν δαψιλῆ καὶ τρυφὴν ἀνήκουσαν. παρατίθενται γὰρ δὶς τῆς ἡμέρας τραπέζας πολυτελεῖς, καὶ τἄλλα τὰ πρὸς τὴν ὑπερβάλλουσαν τρυφὴν οἰκεῖα· στρωμνὰς μὲν ἀνθινὰς κατασκευάζοντες, ἐκπωμάτων δ' ἀργυρῶν παντοδαπῶν πλῆθος, καὶ τῶν διακονούντων οἰκετῶν οὐκ ὀλίγον ἀριθμὸν ἡτοιμακότες. καὶ τούτων οἱ μὲν εὐπρεπείᾳ διαφέροντές εἰσιν, οἱ δ' ἐσθῆσι πολυτελεστέραις ἢ κατὰ δουλικὴν ἀξίαν κεκόσμηνται. οἰκήσεις τε παντοδαπὰς ἰδιαζούσας ἔχουσι παρ' αὐτοῖς οὐ μόνον οἱ θεράποντες, ἀλλὰ καὶ τῶν ἐλευθέρων οἱ πλείους. καθόλου δὲ τὴν μὲν ἐκ παλαιῶν χρόνων παρ' αὐτοῖς ζηλουμένην ἀλκὴν ἀποβεβλήκασιν, ἐν πότοις καὶ ῥᾳθυμίαις ἀνάνδροις βιοῦντες, οὐκ ἀλόγως τὴν τῶν πατέρων δόξαν ἐν τοῖς πολέμοις ἀποβεβλήκασι. συνεβάλλετο δ' αὐτοῖς πρὸς τὴν τρυφὴν οὐκ ἐλάχιστον καὶ ἡ τῆς χώρας ἀρετή. πάμφορον γὰρ καὶ παντελῶς εὔγειον νεμόμενοι χώραν, παντὸς καρποῦ πλῆθος ἀποθησαυρίζουσιν. καθόλου γὰρ ἡ Τυῤ-

ῥηνία

classe, multarum artium atque instrumentorum inventione, agricultura praestantes.

ῥηνία παντελῶς εὔγειος ὖσα, πεδίοις ἀναπεπταμένοις ἐγκάθηται, καὶ βυνοειδέσιν ἀναςήμασι τόπων διείληπται γεωργησίμοις. ὑγρὰ δὲ μετρίως ἐςὶν, ὐ μόνον κατὰ τὴν χειμερινὴν ὥραν, ἀλλὰ καὶ κατὰ τὸν τῦ θέρυς καιρόν.

---

b) De rebus populorum Magnae Graeciae,

(s. *partis Italiae inferioris, h. e. Lucaniae, Brutii, Apuliae, Calabriae et Siciliae.*)

Strabo, Lib. VI. c. 1. Lucania et Brettiorum ager.

Ἐςι δ᾽ ἡ μὲν Λευκανία μεταξὺ τῆς τε παραλίας τῆς Τυῤῥηνικῆς καὶ τῆς Σικελικῆς· τῆς μὲν ἀπὸ τῦ Σιλάριδος μέχρι Λάυ, τῆς δ᾽ ἀπὸ Μεταποντίυ μέχρι Θυρίων· κατὰ δὲ τὴν ἤπειρον ἀπὸ Σαννιτῶν μέχρι τῦ ἰσθμῦ τῦ ἀπὸ Θυρίων εἰς Κηρίλλυς, πλησίον Λάυ· ςάδιοι δ᾽ εἰσὶ τῦ ἰσθμῦ τ. Ὑπὲρ δὲ τύτων, Βρέττιοι, χεῤῥόνησον οἰκῦντες· ἐν ταύτῃ δ᾽ ἄλλη περιείληπται χεῤῥόνησος ἡ τὸν ἰσθμὸν ἔχυσα τὸν ἀπὸ Σκυλλητίυ ἐπὶ τὸν Ἱππωνιάτην κόλπον. Ὠνόμαςαι δὲ τὸ ἔθνος ὑπὸ Λευκανῶν· Βρεττίυς γὰρ καλῦσι τὺς ἀποςάτας· ἀπέςησαν δ᾽, ὥς φασὶ, ποιμαίνοντες αὐτοῖς πρότερον, εἶθ᾽ ὑπὸ ἀνέσεως ἐλευθεριάσαντες, ἡνίκα ἐπεςράτευσε Δίων Διονυσίῳ, καὶ ἐτάραξεν ἅπαντας πρὸς ἅπαντας. Τὰ καθόλυ μὲν δὴ ταῦτα περὶ Λευκανῶν καὶ Βρεττίων λέγομεν. Πρὶν δὲ τὺς Ἕλληνας ἐλθεῖν, ὐδ᾽ ἦσάν πω Λευκανοί· Χῶνες δὲ καὶ Οἰνῶτροι τὺς τόπυς ἐνέμοντο. Τῶν δὲ Σαυνιτῶν αὐξηθέντων ἐπιπολὺ, καὶ τὺς Χῶνας καὶ τὺς Οἰνώτρυς ἐκβαλόντων, Λευκανὺς δ᾽ εἰς τὴν μερίδα ταύτην ἀποικισάντων, ἅμα δὲ καὶ Ἑλλήνων τὴν ἑκατέρωθεν παραλίαν μέχρι πορθμῦ κατεχόντων, πολὺν χρόνον ἐπολέμυν οἵ τε Ἕλληνες καὶ οἱ βάρβαροι πρὸς ἀλλήλυς. Οἱ δὲ Ἕλληνες ὕςερον μέν γε καὶ τῆς μεσογαίας πολλὴν ἀφῄρηντο, ἀπὸ τῶν Τρωϊκῶν ἀρξάμενοι χρόνων· καὶ δὴ ἐπὶ τοσῦτον ηὔξαντο, ὥςε τὴν μεγάλην Ἑλλάδα ταύτην ἔλεγον καὶ τὴν Σικελίαν. Μετὰ δὲ ταῦτα οἱ τῆς Σικελίας τύραννοι, καὶ μετὰ τύτυς οἱ Καρχηδόνιοι, τοτὲ μὲν περὶ τῆς Σικελίας πολεμῦντες πρὸς Ῥωμαίυς, τοτὲ δὲ περὶ αὐτῆς τῆς Ἰταλίας, ἅπαντας τὺς ταύτῃ κακῶς διέθηκαν τὺς Ἕλληνας. Νυνὶ δὲ πλὴν Τά-

ραν-

Digitized by Google

ραντος καὶ Ῥηγίου, καὶ Νεαπόλεως, ἐκβεβαρβαρῶσθαι συμβέβηκεν ἅπαντα, καὶ τὰ μὲν Λευκανοὺς καὶ Βρεττίους κατέχειν, τὰ δὲ Καμπανούς· καὶ τούτους λόγῳ, τὸ δ' ἀληθὲς Ῥωμαίους· καὶ γὰρ αὐτοὶ Ῥωμαῖοι γεγόνασιν. Διὰ δὲ τὴν δόξαν τῶν Ἑλλήνων ταύτην τὴν χώραν κατεχόντων, ἄξιον καὶ ἐπὶ πλέον αὐτῶν μνησθῆναι.

Ibidem. Lib. V. c. 4. Chalcidensium et Cymæorum coloniæ.

Χαλκιδέων δὲ καὶ Κυμαίων παλαιότατον κτίσμα ἐστι Κύμη. Πασῶν γάρ ἐστι, πρεσβυτάτη τῶν τε Σικελικῶν καὶ τῶν Ἰταλιωτίδων. Οἱ δὲ τὸν στόλον ἄγοντες, Ἱπποκλῆς ὁ Κυμαῖος, καὶ Μεγασθένης ὁ Χαλκιδεὺς, διωμολογήσαντο πρὸς σφᾶς αὐτοὺς, τῶν μὲν ἀποικίαν εἶναι, τῶν δὲ τὴν ἐπωνυμίαν· ὅθεν νῦν μὲν προσαγορεύεται Κύμη, κτίσαι δ' αὐτὴν Χαλκιδεῖς δοκοῦσι. Πρότερον μὲν οὖν ηὐτύχει, καὶ τὸ Φλέγραιον καλούμενον, ἐν ᾧ τὰ περὶ τοὺς Γίγαντας μυθεύουσιν, οὐκ ἄλλοθεν, ὡς εἰκὸς, ἀλλ' ἐκ τοῦ περιμάχητον τὴν γῆν εἶναι δι' ἀρετήν· ὕστερον δε οἱ Καμπανοὶ κύριοι καταστάντες τῆς πόλεως, ὕβρισαν εἰς τοὺς ἀνθρώπους πολλά· καὶ δὴ ταῖς γυναιξὶν αὐτῶν συνῴκησαν αὐτοί. Ὅμως δ' οὖν ἔτι σώζεται πολλὰ ἴχνη τοῦ Ἑλληνικοῦ κόσμου, καὶ τῶν ἱερῶν, καὶ τῶν νομίμων. Ὠνομάσθαι δ' ἔνιοι Κύμην ἀπὸ τῶν κυμάτων φασί· ῥαχιώδης γὰρ καὶ προσεχὴς ὁ πλησίον αἰγιαλός. Εἰσὶ δὲ καὶ κητεῖαι παρ' αὐτοῖς ἄρισται. Ἐν δὲ τῷ κόλπῳ τούτῳ καὶ ὕλη τίς ἐστι θαμνώδης, ἐπὶ πολλοὺς ἐκτεινομένη σταδίους, ἄνυδρος καὶ ἀμμώδης, ἣν Γαλλιναρίαν ὕλην καλοῦσιν. Ἐνταῦθα τὰ λῃστήρια συνεστήσαντο οἱ Πομπηΐου Σέξτου ναύαρχοι, καθ' ὃν καιρὸν Σικελίαν ἀπέστησεν ἐκεῖνος.

Ibidem. Lib. VI. c. 1. Temesa.

Ἀπὸ δὲ Λάου πρώτη πόλις ἐστὶ τῆς Βρεττίας Τεμέση. Τέμψαν δ' οἱ νῦν καλοῦσιν, Αὐσόνων κτίσμα· ὕστερον δὲ καὶ Αἰτωλῶν τῶν μετὰ Θόαντος, οὓς ἐξέβαλον Βρέττιοι. Βρεττίους δὲ ἐπέτρεψαν Ἀννίβας τε καὶ Ῥωμαῖοι. — Κτίσμα δ' ἐστὶ τὸ Ῥήγιον Χαλκιδέων, οὓς κατὰ χρησμὸν δεκατευθέντας τῷ Ἀπόλλωνι δι' ἀφορίαν, ὕστερον ἐκ Δελφῶν ἀποικῆσαι δεῦρο φασί, παραλαβόντας καὶ ἄλλους τῶν οἴκοθεν· ὡς δ' Ἀντίοχος φησί, Ζαγκλαῖοι μετεπέμψαντο τοὺς Χαλκιδέας, καὶ οἰκιστὴν Ἀντίμνηστον συνέστησαν ἐκείνων. Ἦσαν δὲ τῆς ἀποικίας καὶ οἱ Μεσσηνίων φυγάδες τῶν ἐν Πελοποννήσῳ, καταστασιασθέντες ὑπὸ τῶν μὴ βουλομένων

Rhegium.

δοῦναι

δοῦναι δίκας, ὑπὲρ τῆς Φθορᾶς τῶν παρθένων τῆς ἐν Λίμναις γενομένης τοῖς Λακεδαιμονίοις, ἃς καὶ αὐτοὶ ἐβιάσαντο πεμφθείσας ἐπὶ τὴν ἱερουργίαν, καὶ τοὺς ἐπιβοηθοῦντας ἀπέκτειναν. Παραχωρήσαντες οὖν εἰς Μάκιστον οἱ Φυγάδες, πέμπουσιν εἰς θεοῦ, μεμφόμενοι τὸν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν, εἰ τοιούτων τυγχάνοιεν, ἀνθ' ὧν ἐτιμώρουν αὐτοῖς, καὶ πυνθανόμενοι, πῶς ἂν σωθεῖεν ἀπολωλότες. Ὁ δ' Ἀπόλλων ἐκέλευσε στέλλεσθαι μετὰ Χαλκιδέων εἰς τὸ Ῥήγιον, καὶ τῇ ἀδελφῇ αὐτοῦ χάριν ἔχειν· οὐ γὰρ ἀπολωλεκέναι αὐτοὺς, ἀλλὰ σεσῶσθαι μέλλοντάς γε δὴ μὴ συναφανισθήσεσθαι τῇ πατρίδι, ἁλωσομένῃ μικρὸν ὕστερον ὑπὸ Σπαρτιατῶν· οἱ δ' ὑπήκουσαν. Διόπερ οἱ τῶν Ῥηγίνων ἡγεμόνες μέχρι Ἀναξίλα τοῦ Μεσσηνίων γένους ἀεὶ καθίσταντο. Ἀντιόχος δὲ τοπαλαιὸν ἅπαντα τὸν τόπον τοῦτον οἰκῆσαι Σικελοὺς Φησὶ καὶ Μόργητας· διᾶραι δ' εἰς τὴν Σικελίαν ὕστερον, ἐκβληθέντας ὑπὸ τῶν Οἰνωτριέων. Φασὶ δέ τινες καὶ τὸ Μοργάντιον ἐντεῦθεν τὴν προσηγορίαν ἀπὸ τῶν Μοργήτων ἔχειν. Ἴσχυσε δὲ μέγιστον ἡ τῶν Ῥηγίνων πόλις, καὶ περιοικίας ἔσχε συχνὰς, ἐπιτείχισμά τε ὑπῆρξεν ἀεὶ τῇ νήσῳ, καὶ πάλαι, καὶ νεωστὶ ἐφ' ἡμῶν, ἡνίκα Σέξτος Πομπήϊος ἀπέστησε τὴν Σικελίαν. — Εἶθ' ἡ πόλις αἱ Λοκροὶ οἱ Ἐπιζεφύριοι, ἐπεὶ Λοκρῶν ἄποικοι τῶν ἐν τῷ Κρισσαίῳ κόλπῳ, μικρὸν ὕστερον τῆς ἀπὸ Κρότωνος καὶ Συρακουσῶν κτίσεως ἀποικισθέντες ὑπὸ Εὐάνθους. Πρῶτοι δὲ νόμοις ἐγγράπτοις χρήσασθαι πεπιστευμένοι εἰσίν· καὶ πλεῖστον χρόνον εὐνομηθέντας, Διονύσιος ἐκπεσὼν ἐκ τῆς Συρακουσίων ἀνομώτατα πάντων διεχρήσατο. Τῆς δὲ τῶν Λοκρῶν νομογραφίας μνησθεὶς Ἔφορος, ἣν Ζάλευκος συνέταξεν, ἔκ τε τῶν Κρητικῶν νομίμων, καὶ Λακωνικῶν, καὶ ἐκ τῶν Ἀρεοπαγιτικῶν, Φησὶν ἐν τοῖς πρώτοις καινίσαι τοῦτον τὸν Ζάλευκον, ὅτι, τῶν πρότερον τὰς ζημίας τοῖς δικασταῖς ἐπιτρεψάντων, ὁρίζειν ἐφ' ἑκάστοις τοῖς ἀδικήμασιν, ἐκεῖνος ἐν τοῖς νόμοις διώρισεν, ἡγούμενος, τὰς μὲν γνώμας τῶν δικαστῶν οὐχὶ τὰς αὐτὰς εἶναι περὶ τῶν αὐτῶν, δεῖν δὲ τὰς αὐτὰς [εἶναι τὰς ζημίας· ὅπερ ἄξιον] ἐπαινεῖν· καὶ τὸ ἁπλουστέρως περὶ τῶν αὐτῶν συμβολαίων διατάξαι. Θουρίους δ' ὕστερον ἀκριβοῦν θέλοντας περὶ τῶν ἄκρων, ἐνδοξοτέρους μὲν γενέσθαι, χείρονας δέ· εὐνομεῖσθαι γὰρ,

Locri Epizephyrii.

γὰρ, ἐ τὰς ἐν τοῖς νόμοις ἅπαντα Φυλαττομένες τὰ τῶν συκοΦαντῶν, ἀλλὰ τὰς ἐμμένοντας τοῖς ἁπλῶς κειμένοις. Τἔτο δὲ καὶ Πλάτων εἴρηκεν, ὅτι παρ' ὃις πλεῖςοι νόμοι, καὶ δίκαι παρὰ τέτοις, καὶ βίοι μοχθηροί· καθάπερ καὶ παρ' ὃις ἰατροὶ πολλοὶ, καὶ νόσες εἰκὸς εἶναι πολλάς. — Εἶθ' Ἀχαιῶν κτίσμα Καυλωνία, πρότερον δ' Αὐλωνία λεγομένη, διὰ τὸν προκείμενον αὐλῶνα· ἔςι δ' ἔρημος. οἱ γὰρ ἔχοντες ἐν Σικελίᾳ ὑπὸ τῶν βαρβάρων ἐξέπεσον, καὶ τὴν ἐκεῖ Καυλωνίαν ἔκτισαν. Μετὰ δὲ ταύτην Σκυλλήτιον, ἄποικος Ἀθηναίων τῶν μετὰ Μενεσθέως, νῦν δὲ Σκυλάκιον καλεῖται. Κροτωνιατῶν δ' ἐχόντων, Διονύσιος Λοκροῖς μέρος ὥρισεν. — Εἶθ' αἱ τῶν Ἀχαιῶν πόλεις, ἃι νῦν ἐκ εἰσὶ πλὴν τῆς Ταραντίνων. Πρώτη δ' ἐςὶ Κρότων ἐν ἑκατὸν καὶ ν ςαδίοις ἀπὸ τἔ Λακινίε· καὶ ποταμὸς Αἴσαρος, καὶ λιμὴν, καὶ ἄλλος ποταμὸς Νέαιθος, ὧν τὴν ἐπωνυμίαν γενέσθαι Φασὶν ἀπὸ τἔ συμβεβηκότος. Καταχθέντας γάρ τινας τῶν ἀπὸ τἔ Ἰλιακἔ ςόλε πλανηθέντων Ἀχαιῶν, ἐκβῆναι λέγεσιν ἐπὶ τὴν κατάσκεψιν τῶν χωρίων. τὰς δὲ συμπλεέσας αὐτοῖς Τρωάδας καταμαθέσας ἔρημα ἀνδρῶν τὰ πλοῖα ἐμπρῆσαι, βαρυνομένας τὸν πλἔν, ὥς' ἀναγκασθῆναι μένειν ἐκείνες, ἅμα καὶ τὴν γῆν σπεδαίαν ὁρῶντας· εὐθὺς δὲ καὶ ἄλλων πλειόνων ἐπιΦανέντων, καὶ ζηλέντων ἐκείνες κατὰ τὸ ὁμόΦυλον, πολλὰς κατοικίας γενέσθαι, ὧν αἱ πλείες ἐπώνυμον τῶν Τρώων ἐγένοντο· καὶ ποταμὸς δὲ ὁ Νέαιθος ἀπὸ τἔ πάθες τὴν προσωνυμίαν ἔσχε. Φησὶ δ' Ἀντίοχος, τἔ θεἔ Φήσαντος Ἀχαιοῖς Κρότωνα κτίζειν, ἀπελθεῖν Μύσκελλον κατασκεψόμενον τὸν τόπον. ἰδόντα δ' ἐκτισμένην ἤδη Σύβαριν, ποταμῷ τῷ πλησίον ὁμώνυμον, κρῖναι ταύτην ἀμείνω· ἀπανερέσθαι δ' ἔν ἀπιόντα τὸν θεὸν, εἰ λῷον ἔιη, ταύτην ἀντ' ἐκείνης κτίζειν· τὸν δὲ ἀντειπεῖν (ἐτύγχανε δὲ ὑπόκυΦος ὢν ὁ Μύσκελλος)·

Μύσκελλε βραχύνωτε πάρεκ σέθεν ἄλλο ματεύων,
Κλάσματα θηρεύεις· δῶρον δ' ὅ τι δῷ τις, ἐπαίνει.

Ἐπανελθόντα δὲ κτίσαι τὴν Κρότωνα, συμπράξαντος καὶ τἔ Ἀρχίε τἔ τὰς Συρακέσας οἰκίσαντος, προσπλεύσαντος κατὰ τύχην, ἡνίκα ὥρμητο, ἐπὶ τὸν τῶν Συρακεσῶν οἰκισμόν. Ὤικεν δ' Ἰάπυγες τὸν Κρότωνα πρότερον, ὡς Ἔφο-

Caulonia.

Scylletium.

Achaicæ coloniæ. Croton.

"Εφορος φησί. Δοκεῖ δ' ἡ πόλις τά τε πολέμια ἀσκῆσαι, καὶ τὰ περὶ τὴν ἄθλησιν· ἐν μιᾷ γοῦν Ὀλυμπιάδι οἱ τῶν ἄλλων προτερήσαντες τῷ σαδίῳ ἑπτὰ ἄνδρες ἅπαντες ὑπῆρξαν Κροτωνιᾶται· ὥς' εἰκότως εἰρῆσθαι δοκεῖ, διότι Κροτωνιατῶν ὁ ἔσχατος πρῶτος ἦν τῶν ἄλλων Ἑλλήνων· καὶ τὴν παροιμίαν δὲ ὑγιέςερον Κρότωνος λέγουσαν, ἐντεῦθεν εἰρῆσθαί φασιν, ὡς τοῦ τόπου πρὸς ὑγιείαν καὶ εὐεξίαν ἔχοντός τι φορὸν διὰ τὸ πλῆθος τῶν ἀθλητῶν· πλείσους οὖν Ὀλυμπιονίκους ἔσχε, καίπερ οὐ πολὺν χρόνον οἰκηθεῖσα διὰ τὸν φθόρον τῶν ἐπὶ Σάγρᾳ πεσόντων ἀνδρῶν, τοσούτων τὸ πλῆθος. Προσέλαβε δὲ τῇ δόξῃ, καὶ τὸ τῶν Πυθαγορείων πλῆθος, καὶ Μίλων, ἐπιφανέςατος μὲν τῶν ἀθλητῶν γεγονὼς, ὁμιλητὴς δὲ Πυθαγόρου, διατρίψαντος ἐν τῇ πόλει πολὺν χρόνον. Φασὶ δὲ, ἐν τῷ συασιτίῳ ποτὲ τῶν φιλοσόφων πονήσαντος ςύλου, τὸν Μίλωνα ὑποδύντα σῶσαι ἅπαντας, ὑποσπάσαι δὲ ἑαυτόν. Τῇ δ' αὐτῇ ῥώμῃ πεποιθότα εἰκὸς καὶ τὴν ἱςορουμένην ὑπό τινων εὑρέσθαι καταςροφὴν τοῦ βίου. λέγεται γοῦν ὁδοιπορῶν ποτὲ δι' ὕλης βαθείας, παραβῆναι τὴν ὁδὸν ἐπιπλέον· εἶθ' εὑρὼν ξύλον μέγα ἐσφηνωμένον, ἐμβαλὼν χεῖρας ἅμα καὶ πόδας εἰς τὴν διάςασιν, βιάζεσθαι πρὸς τὸ διαςῆναι τελέως· τοσοῦτον δ' ἴσχυσε μόνον, ὥς' ἐκπεσεῖν τοὺς σφῆνας, εἶτ' εὐθὺς συμπεσεῖν τὰ μέρη τοῦ ξύλου, ἀπολειφθέντα δ' αὐτὸν ἐν τῇ τοιαύτῃ πάγῃ θηρόβρωτον γενέσθαι. — Ἑφεξῆς δ' ἐςὶν ἐν διακοσίοις ςαδίοις Ἀχαιῶν κτίσμα ἡ Σύβαρις, δυοῖν ποταμῶν μεταξὺ, Κράθιδος καὶ Συβάριδος. Οἰκιςὴς δ' αὐτῆς ὁ Ἰσελικεύς. Τοσοῦτον δ' εὐτυχίᾳ διήνεγκεν ἡ πόλις αὕτη τὸ παλαιὸν, ὡς τεττάρων μὲν ἐθνῶν τῶν πλησίον ὑπῆρξε, πέντε δὲ καὶ εἴκοσι πόλεις ὑπηκόους ἔσχε, τριάκοντα δὲ μυριάσιν ἀνδρῶν ἐπὶ Κροτωνιάτας ἐςράτευσαν, πεντήκοντα δὲ ςαδίων κύκλον συνεπλήρουν οἰκοῦντες ἐπὶ τῷ Κράθιδι. Ὑπὸ μέν τοι τρυφῆς καὶ ὕβρεως τὴν εὐδαιμονίαν ἅπασαν ἀφηρέθησαν ὑπὸ Κροτωνιατῶν, ἐν ἡμέραις ἑβδομήκοντα· ἑλόντες γὰρ τὴν πόλιν, ἐπήγαγον τὸν ποταμὸν, καὶ κατέκλυσαν. Ὕςερον δ' οἱ περιγενόμενοι, συνελθόντες ἐπῴκουν ὀλίγοι· χρόνῳ δὲ καὶ οὗτοι διεφθάρησαν ὑπὸ Ἀθηναίων, καὶ ἄλλων Ἑλλήνων· οἱ συνοικήσοντες μὲν ἐκείνοι

Sybaris, s. Thurii.

ἀφι-

Digitized by Google

ἀφίκοντο· καταφρονήσαντες δὲ αὐτῶν, τὰς μὲν διεχειρώσαντο, τὴν δὲ πόλιν εἰς ἕτερον τόπον μετέθηκαν πλησίον, καὶ Θερίας προσηγόρευσαν ἀπὸ κρήνης ὁμωνύμου. Ὁ μὲν οὖν Συβαρὶς τὰς πίνοντας ἵππους ἀπ' αὐτοῦ, πτυρτικὰς ποιεῖ. διὸ καὶ τὰς ἀγέλας ἀπείργουσιν ἀπ' αὐτοῦ. Ὁ δὲ Κράθις τοὺς ἀνθρώπους ξανθοτριχεῖν ποιεῖ λουομένους, καὶ ἄλλα πολλὰ πάθη ἰᾶται. Θούριοι δ' εὐτυχήσαντες πολὺν χρόνον, ὑπὸ Λευκανῶν ἠνδραποδίσθησαν. Ταραντίνων δ' ἀφελομένων ἐκείνους, ἐπὶ Ῥωμαίους κατέφυγον· οἱ δὲ πέμψαντες συνοίκους ὀλιγανδροῦσι, μετωνόμασαν Κωπιὰς τὴν πόλιν. — Μετὰ δὲ Θουρίους Λαγαρία φρούριον, Ἐπειοῦ καὶ Φωκέων κτίσμα· ὅθεν καὶ ὁ Λαγαριτανὸς οἶνος, γλυκὺς καὶ ἁπαλὸς, καὶ παρὰ τοῖς ἰατροῖς σφόδρα εὐδοκιμῶν. καὶ ὁ Θουρῖνος δὲ, τῶν ἐν ὀνόματι οἴνων ἐστίν. Εἶθ' Ἡρακλεόπολις, μικρὸν ὑπὲρ τῆς θαλάττης· καὶ ποταμοὶ δύο πλωτοὶ Ἄκιρις καὶ Σίρις, ἐφ' οὗ πόλις ἦν ὁμώνυμος Τρωϊκή. χρόνῳ δὲ τῆς Ἡρακλείας ἐντεῦθεν οἰκισθείσης ὑπὸ Ταραντίνων, ἐπίνειον αὕτη τῶν Ἡρακλεωτῶν ὑπῆρξε. Διεῖχε δ' Ἡρακλείας μὲν τέτταρας καὶ εἴκοσι σταδίους, Θουρίων δὲ περὶ λ, καὶ τ. Τῆς δὲ τῶν Τρώων κατοικίας τεκμήριον ποιοῦνται τὸ τῆς Ἀθηνᾶς τῆς Ἰλιάδος ξόανον, ἱδρυμένον αὐτόθι, ὅπερ καταμύσαι μυθεύουσιν ἀποσπωμένων τῶν ἱκετῶν ὑπὸ Ἰώνων τῶν ἑλόντων τὴν πόλιν· τούτους γὰρ ἐπελθεῖν οἰκήτορας φεύγοντας τὴν Λυδῶν ἀρχὴν, καὶ βίᾳ λαβεῖν τὴν πόλιν τῶν Χώνων οὖσαν, καλέσαι δὲ αὐτὴν Πολίειον· δείκνυσθαι δὲ καὶ νῦν καταμύον τὸ ξόανον. Ἰταμὸν μὲν οὖν, καὶ τὸ οὕτω μυθεύειν, ὥστε μὴ μόνον καταμύσαι φαινόμενον, καθάπερ καὶ τὸ ἐν Ἰλίῳ ἀποστραφῆναι κατὰ Κασσάνδρας βιασμὸν, ἀλλὰ καὶ καταμύον δείκνυσθαι. Πολὺ δὲ ἰταμώτερον, τὸ τοσαῦτα ποιεῖν ἐξ Ἰλίου κεκομισμένα ξόανα, ὅσα φασὶν οἱ συγγραφεῖς· καὶ γὰρ ἐν Ῥώμῃ καὶ ἐν Λαουϊνίῳ καὶ ἐν Λουκερίᾳ καὶ ἐν Σειρίτιδι Ἰλιὰς Ἀθηνᾶ καλεῖται, ὡς ἐκεῖθεν κομισθεῖσα. Τινὲς δὲ καὶ Ῥοδίων κτίσμα φασὶ, καὶ Σειρῖτιν, καὶ τὴν ἐπὶ Τεύθραντος Σύβαριν. Φησὶ δ' Ἀντίοχος τοὺς Ταραντίνους, Θουρίοις καὶ Κλεανδρίᾳ τῷ στρατηγῷ φυγάδι ἐκ Λακεδαίμονος πολεμοῦντας περὶ τῆς Σειρίτιδος συμβῆναι, καὶ συνοικῆσαι μὲν κοινῇ, τὴν δ' ἀποικίαν

Lagaria. Heraclea.

κίαν κριθῆναι Ταραντίνων· ὕϛερον δ' Ἡράκλειαν κληθῆναι, μεταβαλῦσαν καὶ ὄνομα καὶ τὸν τόπον. — Ἑξῆς δ' ἐϛὶ Μεταπόντιον, εἰς ἣν ἀπὸ τῦ ἐπινείυ τῆς Ἡρακλείας εἰσὶ ϛάδιοι μ πρὸς τοῖς ἑκατόν. Πυλίων δὲ λέγεται κτίσμα τῶν ἐξ Ἰλίυ πλευσάντων μετὰ Νέϛορος· ὃς ὅτως εὐτυχῆσαι ἀπὸ γεωργίας Φασίν, ὥϛε θέρος χρυσῦν ἐν Δελφοῖς ἀναθεῖναι. Σημεῖον δὲ ποιῦνται τῆς κτίσεως τὸν τῶν Νηληϊδῶν ἐναγισμόν· ἠφανίσθη δ' ὑπὸ Σαυνιτῶν. Ἀντίοχος δὲ Φησίν, ἐκλειφθέντα τὸν τόπον, ἐποικῆσαι τῶν Ἀχαιῶν τινὰς μεταπεμφθέντας ὑπὸ τῶν ἐν Συβάρι Ἀχαιῶν. μεταπεμφθῆναι δὲ κατὰ μῖσος τὸ πρὸς Ταραντίνυς τῶν Ἀχαιῶν, ἵνα μὴ Ταραντῖνοι γειτνιῶντες ἐπιπηδήσαιεν τῷ τόπῳ. Δυοῖν δ' ὀσῶν τῶν πόλεων τῶν Μεταποντίων ἐγγυτέρω τῦ Τάραντος, πεισθῆναι τὺς ἀφιγμένυς ὑπὸ Συβαριτῶν, τὸ Μεταπόντιον κατασχεῖν· τῦτο μὲν γὰρ ἔχοντας, ἕξειν καὶ τὴν Σειρῖτιν· εἰ δ' ἐπὶ τὴν Σειρῖτιν τράποιντο, προσθήσειν τοῖς Ταραντίνοις τὸ Μεταπόντιον ἐν πλευραῖς ὄσι. Πολεμῦντας δ' ὕϛερον πρὸς τὺς Ταραντίνυς καὶ τὺς ὑπερκειμένυς Οἰνωτρὺς, ἐπὶ μέρει διαλυθῆναι τῆς γῆς, ὅπερ γενέσθαι τῆς τότε Ἰταλίας ὅριον καὶ τῆς Ἰαπυγίας.

Metapontum.

cap. 3. Calabria et Apulia.

Τὴν δὲ Ἰαπυγίαν καὶ Μεσσαπίαν καλῦσιν οἱ Ἕλληνες. οἱ δ' ἐπιχώριοι κατὰ μέρη, τὸ μέν τι Σαλεντίνυς καλῦσι, τὸ περὶ τὴν ἄκραν τὴν Ἰαπυγίαν, τὸ δὲ Καλαβρύς. Ὑπὲρ τύτυς πρόσβοροι Πευκέτιοί τέ εἰσι καὶ οἱ Δαύνιοι κατὰ τὴν ἑλλάδα διάλεκτον προσαγορευόμενοι. Οἱ δ' ἐπιχώριοι πᾶσαν τὴν μετὰ τὺς Καλαβρὺς, Ἀπυλίαν καλῦσι· τινὲς δ' αὐτῶν καὶ Ποίδικλοι λέγονται, καὶ μάλιϛα οἱ Πευκέτιοι. Ἔϛι δὲ ἐπιχεῤῥονησιάζυσα ἡ Μεσσαπία, τῷ ἀπὸ Βρεντεσίυ μέχρι Τάραντος ἰσθμῷ κλειομένη, ϛαδίων ι καὶ τ. Ὁ τ' ἐπίπλυς ἐϛὶ περὶ τὴν ἄκραν Ἰαπυγίαν ϛαδίων ὁμῦ τι υ. Τῦ δὲ Μεταποντίυ μὲν διέχει ϛαδίυς περὶ σ· ὁ δὲ πλῦς ἐπ' αὐτὸν πρὸς τὰς ἀνατολάς. Τῦ δὲ κόλπυ παντὸς τῦ Ταραντίνυ τὸ πλέον ἀλιμένυ ὄντος, ἐνταῦθα [λιμὴν] ἐϛι μέγιϛος καὶ κάλλιϛος, γεφύρᾳ κλειόμενος μεγίϛῃ, ϛαδίων δ' ἐϛὶν ρ τὴν περίμετρον· ἐκ δὲ τῦ πρὸς τὸν μυχὸν μέρυς ἰσθμὸν ποιεῖ πρὸς τὴν ἔξω θάλατταν, ὥς' ἐπὶ χεῤῥονήσῳ κεῖσθαι τὴν πόλιν,

Digitized by Google

πόλιν, καὶ τὰ πλοῖα ὑπερνεωλκεῖσθαι ῥᾳδίως, ἑκατέρωθεν ταπεινοῦ ὄντος τοῦ αὐχένος. Ταπεινὸν δὲ καὶ τὸ τῆς πόλεως ἔδαφος, μικρὸν δ' ὅμως ἐπῆρται κατὰ τὴν ἀκρόπολιν. Τὸ μὲν οὖν παλαιὸν τεῖχος κύκλον ἔχει μέγαν· νυνὶ δ' ἐκλέλειπται τὸ πλέον πρὸς τῷ ἰσθμῷ· τὸ δὲ πρὸς τῷ στόματι τοῦ λιμένος, καθ' ὃ καὶ ἡ ἀκρόπολις, συμμένει, μέγεθος ἀξιολόγου πόλεως ἐκπληροῦν. Ἔχει δὲ γυμνάσιόν τε κάλλιστον, καὶ ἀγορὰν εὐμεγέθη, ἐν ᾗ καὶ ὁ τοῦ Διὸς ἵδρυται κολοσσὸς χαλκοῦς, μέγιστος μετὰ τὸν Ῥοδίων. Μεταξὺ δὲ τῆς ἀγορᾶς καὶ τοῦ στόματος ἡ ἀκρόπολις, μικρὰ λείψανα ἔχουσα τοῦ παλαιοῦ κόσμου τῶν ἀναθημάτων· τὰ γὰρ πολλὰ τὰ μὲν κατέφθειραν Καρχηδόνιοι, λαβόντες τὴν πόλιν· τὰ δ' ἐλαφυραγώγησαν Ῥωμαῖοι, κρατήσαντες βιαίως. ὧν ἐστὶ καὶ ὁ Ἡρακλῆς ἐν τῷ Καπιτωλίῳ χαλκοῦς ὁ κολοσσικὸς, Λυσίππου ἔργον, ἀνάθημα Μαξίμου Φαβίου τοῦ ἑλόντος τὴν πόλιν. -- Ἔφορος δ' οὕτω λέγει περὶ τῆς κτίσεως. Ἐπολέμουν Λακεδαιμόνιοι Μεσσηνίοις, ἀποκτείνασι τὸν βασιλέα Τήλεκλον εἰς Μεσσήνην ἀφικόμενον ἐπὶ θυσίαν, ὀμόσαντες, μὴ πρότερον ἐπανήξειν οἴκαδε, πρὶν ἢ Μεσσήνην ἀνελεῖν, ἢ πάντας ἀποθανεῖν· φύλακας δὲ κατέλιπον τῆς πόλεως στρατεύοντες τούς τε νεωτάτους καὶ πρεσβυτάτους τῶν πολιτῶν. Δεκάτῳ δ' ὕστερον ἔτει τοῦ πολέμου, τὰς γυναῖκας τῶν Λακεδαιμονίων συνελθούσας, ἐξ ἑαυτῶν πέμψαι τινὰς παρὰ τοὺς ἄνδρας, τὰς μεμψομένας, ὡς οὐκ ἐπίσης πολεμοῖεν πρὸς τοὺς Μεσσηνίους· οἱ μὲν γὰρ μένοντες τεκνοποιοῦνται· οἱ δὲ χήρας ἀφέντες τὰς γυναῖκας, ἐν τῇ πολεμίᾳ ἐστρατοπεδεύοντο, καὶ κίνδυνος εἴη λειπανδρῆσαι τὴν πατρίδα. Οἱ δὲ ἅμα καὶ τὸν ὅρκον φυλάττοντες, καὶ τὸν τῶν γυναικῶν λόγον ἐν νῷ θέμενοι, πέμπουσι τῆς στρατείας τοὺς εὐρωστοτάτους ἅμα, καὶ νεωτάτους, οὓς ᾔδεισαν οὐ μετασχόντας τῶν ὅρκων διὰ τὸ παῖδας ἔτι ὄντας συνεξελθεῖν τοῖς ἐν ἡλικίᾳ· προσέταξαν δὲ, συγγενέσθαι ταῖς παρθένοις ἁπάσαις ἅπαντας, ἡγούμενοι πολυτεκνήσειν μᾶλλον. γενομένων δὲ τούτων, οἱ μὲν παῖδες ὠνομάσθησαν Παρθενεῖαι. Μεσσήνη δὲ ἑάλω πολεμηθεῖσα ἐννεακαίδεκα ἔτη, καθάπερ καὶ Τυρταῖος φησίν·

Tarentum.

Digitized by Google

Ἄμφω τῶδ' ἐμάχοντ' ἐννεακαίδεκ' ἔτη.
Νωλεμέως αἰεὶ ταλασίφρονα θυμὸν ἔχοντες
Αἰχμηταὶ, πατέρων ἡμετέρων πατέρες.
Εἰκοςῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες,
Φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

Τὴν μὲν ἦν Μεσσηνίαν κατενείμαντο. Ἐπανελθόντες οἴκαδε τὰς Παρθενείας ἐχ ὁμοίως τοῖς ἄλλοις ἐτίμων, ο ἐκ ἐκ γάμε γεγονότας. οἱ συνιςάμενοι μετὰ τῶν Εἰλω των, ἐπεβέλευσαν τοῖς Λακεδαιμονίοις, καὶ συνέθεντ ἆραι σύσσημον ἐν τῇ ἀγορᾷ πῖλον Λακωνικὸν, ἐπειδὰ ἐγχειρῶσι. τῶν δὲ Εἰλώτων τινὲς ἐξαγγείλαντες, τὸ μ ἀντεπιτίθεθαι, χαλεπὸν ἔγνωσαν· καὶ γὰρ πολλὰς εἶναι καὶ πάντας ὁμόφρονας, ὡς ἂν ἀλλήλων ἀδελφὰς νομις μένας, τὰς μέλλοντας δ' αἴρειν τὸ σύσσημον ἐκ τῆς ἀγ ρᾶς ἀπιέναι προσέταξαν. Οἱ μὲν δὴ μεμηνυμένην αἰσθ μενοι τὴν πρᾶξιν ἐπέσχον, οἱ δὲ διὰ τῶν πατέρων ἔπει σαν αὐτὰς εἰς ἀποικίαν ἐξελθεῖν· κἂν μὲν κατάσχωσ ἀρκῶντα τὸν τόπον, μένειν· εἰ δὲ μὴ, τῆς Μεσσηνίας πέμπτον κατανείμαθαι μέρος ἐπανιόντας. Οἱ δὲ ςαλέ τες κατελάβοντο τὰς Ἀχαιὰς, πολεμῶντας τοῖς βαρβ ροις· μετασχόντες δὲ τῶν κινδύνων, κτίζεσι τὴν Τάρα τα. — Ἴσχυσαν δέ ποτε οἱ Ταραντῖνοι καθ' ὑπερβολὴ πολιτευόμενοι δημοκρατικῶς· καὶ γὰρ ναυτικὸν ἐκέκτη μέγιςον τῶν ταύτῃ, καὶ πεζὰς ἔςελλον τρισμυρίας, ἱ πέας δὲ τρισχιλίας, ἱππάρχας δὲ χιλίας. Ἀπεδέξα δὲ καὶ τὴν Πυθαγόρειον φιλοσοφίαν· διαφερόντως δ' Ἀ χύτας, ὃς καὶ προέςη τῆς πόλεως πολὺν χρόνον. Ἐ σχυσε δ' ὕςερον τρυφὴ διὰ τὴν εὐδαιμονίαν, ὥςε τὰς π δήμας ἑορτὰς πλείας ἄγεθαι κατ' ἔτος παρ' αὐτοῖς, ἢ ἡμέρας. Ἐκ δὲ τέτε καὶ χεῖρον ἐπολιτεύοντο. Ἓν τῶν φαύλων πολιτευμάτων τεκμήριόν ἐςι, τὸ ξενικοῖς ς τηγοῖς χρῆθαι· καὶ γὰρ τὸν Μολοττὸν Ἀλέξανδρον τεπέμψαντο ἐπὶ Μεσσαπίας καὶ Λευκανὰς· καὶ ἔτι τερον, Ἀρχίδαμον τὸν Ἀγησιλάε, καὶ ὕςερον Κλεώ μον, καὶ Ἀγαθοκλέα· εἶτα Πύῤῥον, ἡνίκα συνέςησαν Ῥωμαίας. Οὐδ' ἐκείνοις δ' εὐπειθεῖν ἠδύναντο, ὃς ἐ καλῶντο, ἀλλ' εἰς ἔχθραν αὐτὰς καθίςασαν. Ὁ Ἀλέξανδρος τὴν κοινὴν Ἑλλήνων τῶν ταύτῃ πανήγυ

Digitized by Google

ὧν ἔθος ἦν ἐν Ἡρακλείᾳ συντελεῖν τῆς Ταραντίνης, μετάγειν ἐπειρᾶτο εἰς τὴν Θϐρίαν κατὰ ἔχθος· ἐκέλευσε δὲ κατὰ τὸν Ἀκάλανδρον ποταμὸν τειχίζειν τόπον, ὅπϐ ἔσοιντο αἱ σύνοιδοι. Καὶ δὴ συμβᾶσα αὐτῷ κακοπραγία, διὰ τὴν ἐκείνων ἀγνωμοσύνην ἀπαντῆσαι λέγεται. Περί τε τὰ Ἀννίβεια καὶ τὴν ἐλευθερίαν ἀφῃρέθησαν. Ὕστερον δὲ ἀποικίαν Ῥωμαίων δεξάμενοι, καθ᾽ ἡσυχίαν ζῶσι, καὶ βέλτιον, ἢ πρότερον. πρὸς δὲ Μεσσαπίϐς ἐπολέμησαν περὶ Ἡρακλείας, ἔχοντες συνεργϐ̀ς τόν τε τῶν Δαυνίων καὶ τὸν τῶν Πευκετίων βασιλέα. — Ἡ δὲ ἑξῆς τῶν Ἰαπυγίων χώρα παραδόξως ἐστὶν ἀστεία· ἐπιπολῆς γὰρ φαινομένη τραχεῖα, εὑρίσκεται βαθύγειος, σχιζομένη· ἀνυδροτέρα δ᾽ ὖσα εὔβοτος ϐ̓δὲν ἧσσον καὶ εὔδενδρος ὁρᾶται. Εὐάνδρησε δέ ποτε καὶ τϐ̃το σφόδρα τὸ χωρίον σύμπαν, καὶ ἔσχε πόλεις τρισκαίδεκα· ἀλλὰ νῦν πλὴν Τάραντος καὶ Βρεντεσίϐ τ᾽ ἄλλα πολίσματά ἐστιν· ὕτως ἐκπεπόνηνται. — Βρεντέσιον δ᾽ ἐποικῆσαι μὲν λέγονται Κρῆτες, οἱ μετὰ Θησέως ἐπελθόντες ἐκ Κνώσσϐ· εἶθ᾽ οἱ ἐκ τῆς Σικελίας ἀπηρκότες μετὰ τϐ̃ Ἰάπυγος· (λέγεται γὰρ ἀμφοτέρως·) ϐ̓ συμμεῖναι δέ φασιν αὐτϐ̀ς· ἀλλ᾽ ἀπελθεῖν εἰς τὴν Βοττιαίαν. Ὕστερον ἡ πόλις βασιλευομένη πολλὴν ἀπέβαλε τῆς χώρας ὑπὸ τῶν μετὰ Φαλάνθϐ Λακεδαιμονίων· ὅμως δ᾽ ἐκπεσόντα αὐτὸν ἐκ τϐ̃ Τάραντος, ἐδέξαντο οἱ Βρεντέσιοι· καὶ τελευτήσαντα, ἠξίωσαν λαμπρᾶς ταφῆς. Χώραν δ᾽ ἔχϐσι βελτίω τῆς Ταραντίνων· λεπτόγεως γὰρ ἐκείνη, χρηστοκάρπος δέ· μέλι δὲ καὶ ἔρια τῶν λίαν ἐπαινϐμένων ἐστί. Καὶ εὐλίμενον δὲ μᾶλλον τὸ Βρεντέσιον· ἑνὶ γὰρ στόματι πολλοὶ κλείονται λίμενες ἄκλυστοι, πολλῶν κόλπων ἀπολαμβανομένων ἐντός· ὥστ᾽ ἐοικέναι κέρασιν ἐλάφϐ τὸ σχῆμα· ἀφ᾽ ϐ̓ καὶ τὔνομα· σὺν γὰρ τῇ πόλει, κεφαλῇ μάλιστα ἐλάφϐ προσέοικεν ὁ τόπος· τῇ δὲ Μεσσαπίᾳ γλώττῃ Βρεντέσιον ἡ κεφαλὴ τϐ̃ ἐλάφϐ καλεῖται. Ὁ δὲ Ταραντῖνος ϐ̓ παντελῶς ἐστὶν ἄκλυστος, διὰ τὸ ἀναπεπτάσθαι, καί τινα καὶ προσβραχῆ ἔχειν τὰ περὶ τὸν μυχόν. — Ἔτι δὲ τοῖς ἀπὸ τῆς Ἑλλάδος καὶ τῆς Ἀσίας διαίρϐσιν, εὐθύπλϐς μᾶλλον ἐστὶν ἐπὶ τὸ Βρεντέσιον, καὶ δὴ καὶ δεῦρο πάντες καταίρϐσιν, ὅσοι εἰς τὴν Ῥώμην πρόκειται ὁδός. Δύο δ᾽ εἰσί, μία μὲν ἡμιονικὴ διὰ Πευκετίων, ὓς Ποιδίκλϐς καλϐ̃-

Brundusium.

σι,

σι, καὶ Δαυνιτῶν, καὶ Σαυνιτῶν μέχρι Βενεϐέντε· ἐφ' ᾗ ὁδῷ Ἐγνατία πόλις, ἔιτα Κελία, καὶ Νήτιον, καὶ Κανύσιον, καὶ Κερδονία· ἡ δὲ διὰ Τάραντος μικρὸν ἐν ἀριστερᾷ. Ὅσον δὲ μιᾶς ἡμέρας περίοδον κυκλεύσαντι ἡ Ἀππία λεγομένη ἁμαξήλατος μᾶλλον· ἐν ταύτῃ δὲ πόλις Οὐρία τε, καὶ Ὀυενεσία ἡ μὲν μεταξὺ Τάραντος, καὶ Βρεντεσίε· ἡ δ' ἐν μεθορίοις Σαυνιτῶν καὶ Λευκανῶν. Συμβάλλεσι δὲ ἄμφω κατὰ Βενεϐεντον καὶ τὴν Καμπανίαν ἐκ τε Βρεντεσίε. Τἀντεῦθεν δ' ἤδη μέχρι τῆς Ῥώμης, Ἀππία καλεῖται, διὰ Καυδίε, καὶ Καλατίας, καὶ Καπύας, καὶ Κασιλίνε μέχρι Σινεέσσης· τὰ δ' ἐνθένδε ἔιρηται. Ἡ δὲ πᾶσα ἐςὶν ἐκ Ῥώμης ἐις Βρεντέσιον μίλια τξ. Τρίτη δ' ἐςὶν ἐκ Ῥηγίε διὰ Βρεττίων, καὶ Λευκανῶν, καὶ τῆς Σαυνίτιδος ἐις τὴν Καμπανίαν, συνάπτεσα ἐις τὴν Ἀππίαν, μακροτέρα τῆς ἐκ Βρεντεσίε τρισὶν ἢ τέτταρσιν ἡμέραις, διὰ τῶν Ἀπεννίνων ὀρῶν. -- Ὁ δ' ἐις τὴν περαίαν ἐκ τε Βρεντεσίε πλες ἐςὶν, ὁ μὲν ἐπὶ τὰ Κεραύνια, καὶ τὴν ἑξῆς παραλίαν, τῆς τε Ἠπείρε, καὶ τῆς Ἑλλάδος· ὁ δ' ἐις Ἐπίδαμνον, μείζων τε προτέρε· χιλίων γάρ ἐςι καὶ ω ςαδίων· τέτριπται δὲ καὶ ἔτος, διὰ τὸ τὴν πόλιν ἐυφυιῶς κεῖσθαι πρός τε τὰ τῶν Ἰλλυριῶν ἔθνη, καὶ τὰ τῶν Μακεδόνων. Παραπλέοντι δ' ἐκ τε Βρεντεσίε τὴν Ἀδριατικὴν παραλίαν, πόλις ἐςὶν ἡ Ἐγνατία, ἔσα κοινὴ καταγωγὴ πλέοντί τε καὶ πεζεύοντι ἐις Βάριον· ὁ δὲ πλες, νότῳ. Μέχρι δεῦρο μὲν Πευκέτιοι κατὰ θάλατταν, τῇ μεσογαίᾳ δὲ μέχρι Σιλείε· πᾶσα δὲ τραχεῖα, καὶ ὀρεινὴ, πολὺ τῶν Ἀπεννίνων ὀρῶν κοινωνεσα· ἀποίκες δ' Ἀρκάδας δέξασθαι δοκεῖ. Ἐισὶ δ' ἐκ Βρεντεσίε ἐις Βάριον ἑπτακόσιοί πε ςάδιοι· σχεδὸν δ', ἴσον ἑκατέρας Τάρας διέχει. Τὴν δὲ συνεχεῖ Δαύνιοι νέμονται. Ἔιτα Ἄπελοι μέχρι Φρεντανῶν. Ἀνάγκη δὲ, Πευκετίων καὶ Δαυνίων μηδ' ὅλως λεγομένων ὑπὸ τῶν ἐπιχωρίων, πλὴν ἐι τὸ παλαιὸν, ἁπάσης δὲ ταύτης τῆς χώρας Ἀπελίας λεγομένης, νυνὶ μηδὲ τὲς ὅρες ἐπ' ἀκριβὲς λέγεσθαι τῶν ἐθνῶν τέτων· διόπερ ἐδ' ἡμῖν διϊσχυριςέον περὶ ἀυτῶν.

Siciliae brevis descriptio. Ἔςι δ' ἡ Σικελία τρίγωνος τῷ σχήματι· καὶ διὰ τἔτο Τριανακρία μὲν πρότερον, Τρινακὶς δ' ὕςερον προσηγορεύθη, μετονομασθεῖσα ἐυφωνότερον. Τὸ δὲ σχῆμα διορίζεσι

Digitized by Google

ζυσι τρεῖς ἄκραι. Πελωριὰς μὲν ἡ πρὸς τὴν Καινὺν, καὶ τὴν ϛηλίδα, καὶ τὴν Ῥηγίνων ποιῦσα τὸν πορθμόν. Πάχυνος δὲ ἡ ἐκκειμένη πρὸς ἕω, καὶ τῷ Σικελικῷ κλυζομένη πελάγει, βλέπυσα πρὸς τὴν Πελοπόννησον, καὶ τὸν ἐπὶ Κρήτης πόρον. τρίτη δ' ἐϛὶν ἡ προσεχὴς τῇ Λιβύῃ, βλέπυσα πρὸς αὐτὴν ἅμα καὶ τὴν χειμερινὴν δύσιν, Λιλύβαιον. Τῶν δὲ πλευρῶν, ἃς ἀφορίζυσιν αἱ τρεῖς ἄκραι, δύο μὲν εἰσὶ κοῖλαι μετρίως. ἡ δὲ τρίτη, κυρτὴ, ἡ ἀπὸ τῦ Λιλυβαίυ καθήκυσα πρὸς τὴν Πελωριάδα, ἥπερ μεγίϛη ἐϛὶ ϛαδίων χιλίων καὶ ἑπτακοσίων, ὡς Ποσειδώνιος ἔιρηκε, προσθεὶς καὶ ἔικοσι. Τῶν δ' ἄλλων, ἥτ' ἐπὶ Πάχυνον ἀπὸ τῦ Λιλυβαίυ μείζων τῆς ἑτέρας· ἐλαχίϛη δὲ ἡ τῷ πορθμῷ καὶ τῇ Ἰταλίᾳ προσεχὴς, ἡ ἀπὸ τῆς Πελωριάδος ἐπὶ τὸν Πάχυνον, ϛαδίων ὅσον χιλίων ἑκατὸν καὶ τριάκοντα. Τὸν δὲ περίπλυν ὁ Ποσειδώνιος ϛαδίων τεσσαρακοσίων ἐπὶ τοῖς τετρακισχιλίοις ἀποφαίνει. Ἐν δὲ τῇ χωρογραφίᾳ μείζω λέγεται τὰ διαϛήματα, κατὰ μέρος διῃρημένα μιλιασμῷ. Ἔκ γε Πελωριάδος ἐις Μύλας κε· τοσαῦτα δὲ καὶ ἐκ Μυλῶν ἐις τὴν Τυνδαρίδα· ἔιτα ἐις Ἀγάθυρνον λ, καὶ τὰ ἴσα ἐις Ἄλαισα, καὶ πάλιν ἴσα ἐις Κεφαλοίδιον· ταῦτα μὲν πολίχνια· ἐις δ' Ἱμέραν ποταμὸν ιη διὰ μέσης ῥέοντα τῆς Σικελίας· ἔιτ' ἐις Πάνορμον λε. β δὲ καὶ λ ἐις τὸ τῶν Αἰγεϛέων ἐμπορεῖον· λοιπὰ δὲ ἐις Λιλύβαιον λη. ἐντεῦθεν δὲ κάμψαντι ἐπὶ τὸ συνεχὲς πλευρὸν, ἐις μὲν τὸ Ἡράκλειον οε, ἐπὶ δὲ τὸ Ἀκραγαντῖνον ἐμπορεῖον κ, καὶ ἄλλα κ ἐις Καμαρίναν· ἔιτ' ἐπὶ Πάχυνον ν. ἔνθεν πάλιν κατὰ τὸ τρίτον πλευρὸν ἐις μὲν Συρακύσας λϛ. ἐις δὲ Κατάνην ξ. ἔιτ' ἐις Ταυρομένιον λγ. ἔιτ' ἐις Μεσσήνην λ. Πεζῇ δὲ ἐκ μὲν Παχύνυ ἐις Πελωριάδα ρξη. ἐκ δὲ Μεσσήνης ἐις Λιλύβαιον τῇ Οὐαλερίᾳ ὁδῷ λε. — Πόλεις δ' ἐισὶ κατὰ μὲν τὸ πλευρὸν τὸ ποιῦν τὸν πορθμὸν, Μεσσήνη πρῶτον, ἔπειτα Ταυρομένιον, καὶ Κατάνη, καὶ Συράκυσαι. Αἱ δὲ μεταξὺ Κατάνης καὶ Συρακυσῶν ἐκλελοίπασι, Νάξος καὶ Μέγαρα, ὅπυ καὶ αἱ τῶν ποταμῶν ἐκβολαὶ συνελθῦσαι πάντων καταῤῥεόντων ἐκ τῆς Ἄιτνης ἐις εὐλίμενα ϛόματα. Ἐνταῦθα δὲ καὶ τὸ τῆς Ξιφωνίας ἀκρωτήριον. Φησὶ δὲ ταύτας Ἔφορος πρώτας κτισθῆναι πόλεις Ἑλληνίδας ἐν Σικελίᾳ πεντεκαιδεκάτῃ γενεᾷ μετὰ τὰ Τρωϊκά·

Messana, Tauromenium, Catana, Syracusæ.

Digitized by Google

τὰς γὰρ πρότερον δεδιέναι τὰ λῃστήρια τῶν Τυῤῥηνῶν, καὶ τὴν ὠμότητα τῶν ταύτῃ βαρβάρων, ὥστε μηδὲ κατ᾽ ἐμπορίαν πλεῖν. Θεοκλέα δ᾽ Ἀθηναῖον παρενεχθέντα ἀνέμοις εἰς τὴν Σικελίαν, κατανοῆσαι τήν τε οὐδένειαν τῶν ἀνθρώπων, καὶ τὴν ἀρετὴν τῆς γῆς· ἐπανελθόντα δὲ, Ἀθηναίους μὲν μὴ πεῖσαι, Χαλκιδέας δὲ τοὺς ἐν Εὐβοίᾳ συχνοὺς παραλαβόντα, καὶ τῶν Ἰώνων τινὰς, ἔτι δὲ Δωριέων οἱ πλείους ἦσαν Μεγαρεῖς, πλεῦσαι· τοὺς μὲν Χαλκιδέας κτίσαι Νάξον, τοὺς δὲ Δωριέας Μέγαρα, τὴν Ὕβλαν πρότερον καλουμένην. Αἱ μὲν οὖν πόλεις οὐκέτ᾽ εἰσί· τὸ δὲ τῆς Ὕβλης ὄνομα συμμένει διὰ τὴν ἀρετὴν τοῦ Ὑβλαίου μέλιτος. — Τῶν δὲ συμμενουσῶν κατὰ τὸ λεχθὲν πλευρὸν πόλεων, ἡ μὲν Μεσσήνη τῆς Πελωριάδος ἐν κόλπῳ κεῖται, καμπτομένης ἐπιπολὺ πρὸς ἕω, καὶ μασχάλην τινὰ ποιούσης. Ἀπέχει δὲ τοῦ μὲν Ῥηγίου δίαρμα ἑξηκοντασάδιον, τῆς δὲ στηλίδος πολὺ ἔλαττον. Κτίσμα δ᾽ ἐστὶ Μεσσηνίων τῶν ἐν Πελοποννήσῳ, παρ᾽ ὧν τοὔνομα μετήλλαξε, Ζάγκλη πρότερον καλουμένη διὰ τὴν σκολιότητα τῶν τόπων (Ζάγκλιον γὰρ ἐκαλεῖτο τὸ σκολιὸν) Ναξίων οὖσα πρότερον κτίσμα τῶν πρὸς Κατάνῃ· ἐπῴκισαν δ᾽ ὕστερον Μαμερτῖνοι Καμπανῶν τι φῦλον. ἐχρήσαντο δ᾽ ὁρμητηρίῳ Ῥωμαῖοι πρὸς τὸν Σικελικὸν πόλεμον τὸν πρὸς Καρχηδονίους. καὶ μεταταῦτα Πομπήϊος Σέξτος ἐνταῦθα συνεῖχε τὸ ναυτικὸν, πολεμῶν πρὸς τὸν Σεβαςὸν Καίσαρα· ἐντεῦθεν δὲ καὶ τὴν φυγὴν ἐποιήσατο, ἐκπεσὼν ἐκ τῆς νήσου. Δείκνυται δὲ καὶ ἡ Χάρυβδις μικρὸν πρὸ τῆς πόλεως, ἐν τῷ πορθμῷ, βάθος ἐξαίσιον, εἰς ὃ αἱ παλίῤῥοιαι τοῦ πορθμοῦ κατάγουσιν εὐφυῶς τὰ σκάφη τραχηλιζόμενα μετὰ συστροφῆς καὶ δίνης μεγάλης· καταποθέντων δὲ καὶ διαλυθέντων τὰ ναυάγια παρασύρεται πρὸς ἠϊόνα τῆς Ταυρομενίας, ἣν καλοῦσιν ἀπὸ τοῦ συμπτώματος τούτου Κοπρίαν. Τοσοῦτον δ᾽ ἐπεκράτησαν οἱ Μαμερτῖνοι παρὰ τοῖς Μεσσηνίοις, ὥστ᾽ ἐπ᾽ ἐκείνοις ὑπῆρξεν ἡ πόλις· καλοῦσι δὲ Μαμερτίνους μᾶλλον ἅπαντας αὐτοὺς, ἢ Μεσσηνίους, εὐοίνου τε σφόδρα τῆς χώρας οὔσης οὐ Μεσσήνιον καλοῦσι τὸν οἶνον, ἀλλὰ Μαμερτῖνον, τοῖς ἀρίστοις ἐνάμιλλον ὄντα τῶν Ἰταλικῶν. Οἰκεῖται δ᾽ ἱκανῶς ἡ πόλις, μᾶλλον δ᾽ ἡ Κατάνη· καὶ γὰρ οἰκήτορας δέδεκται Ῥωμαίους· ἧττον δ᾽ ἀμφοῖν τὸ Ταυρομένιον. Καὶ ἡ Κατάνη

Aetna s. Catana.

τάνη δ' ἐςὶ Ναξίων τῶν αὐτῶν κτίσμα. Ταυρομένιον δὲ τῶν ἐν Ὕβλη Ζαγκλαίων. Ἀπέβαλε δὲ τὲς οἰκήτορας τὲς ἐξαρχῆς ἡ Κατάνη, κατοικίσαντος ἑτέρες Ἱέρωνος τε Συρακεσίων τυράννε, καὶ προσαγορεύσαντος αὐτὴν Αἰτνὴν ἀντὶ Κατάνης. ταύτης δὲ καὶ Πίνδαρος κτίσορα λέγει αὐτὸν, ὅταν φῆ·

Ξύνες, τί λέγω,
Ζαθέων Ἱέρων ὁμώνυμε πάτερ,
Κτίσορ Αἴτνας.

Κατὰ δὲ τὴν τελευτὴν τε Ἱέρωνος κατελθόντες οἱ Καταναῖοι, τές τε ἐνοίκες ἐξέβαλον, καὶ τὸν τάφον ἀνέσκαψαν τε τύραννε. Οἱ δὲ Αἰτναῖοι παραχωρήσαντες, τὴν Ἴννησαν καλεμένην, τῆς Αἴτνης ὀρεινὴν ᾤκησαν, καὶ προσηγόρευσαν τὸ χωρίον Αἴτνην, διέχον τῆς Κατάνης ςαδίες ὀγδοήκοντα· καὶ τὸν Ἱέρωνα οἰκισὴν ἀπέφηναν. Ὑπέρκειται δὲ μάλιςα τῆς Κατάνης ἡ Αἴτνη, καὶ τῶν περὶ τὲς κρατῆρας παθῶν πλεῖςον κοινωνεῖ. καὶ γὰρ οἱ ῥύακες εἰς τὴν Κατάνην ἐγγυτάτω καταφέρονται. καὶ τὰ περὶ τὲς εὐσεβεῖς ἐκεῖ τεθρύλληται τὸν Ἀμφίνομον καὶ τὸν Ἀναπίαν, οἱ τὲς γονέας ἐπὶ τῶν ὤμων ἀράμενοι διέσωσαν ἐπιφερομένε τε κακε ..... Ὅταν τῷ Ποσειδεῶνι φαίνηται τὰ περὶ τὸ ὄρος, κατατεφρεται πολλῷ βάθει τὰ Καταναίων χωρία· ἡ μὲν ἓν σποδὸς λυπήσασα πρὸς καιρὸν, εὐεργετεῖ τὴν χώραν χρόνοις ὕςερον· εὐάμπελον γὰρ παρέχεται καὶ χρηςόκαρπον, τῆς ἄλλης ἐκ ὁμοίως ἔσης εὐοίνε, τάς τε ῥίζας ἐκφέρει τὰ κατατεφρωθέντα χωρία· πιαίνειν δ' ἐπὶ τοσἒτον τὰ πρόβατα φασὶν, ὥςε πνίγεσθαι· διόπερ ἐκ τῶν ὤτων ἀφαιρἒσιν αἷμα δ' ἡμερῶν μ, ἢ ν. Ὁ δὲ ῥύαξ εἰς πῆξιν μεταβάλλων, ἀπολιθοῖ τὴν ἐπιφάνειαν τῆς γῆς ἐφ' ἱκανὸν βάθος, ὥςε λατομίας εἶναι χρείαν, τοῖς ἀνακαλύψαι βελομένοις τὴν ἐξαρχῆς ἐπιφάνειαν. τακείσης γὰρ ἐν τοῖς κρατῆρσι τῆς πέτρας, εἶτ' ἀναβληθείσης, τὸ ὑπερχυθὲν τῆς κορυφῆς ὑγρὸν, πηλός ἐςι μέλας, ῥέων κατὰ τῆς ὀρεινῆς· εἶτα πῆξιν λαβὼν, γίνεται λίθος μυλίας, τὴν αὐτὴν φυλάττων χρόαν, ἣν ῥέων εἶχε. Καὶ ἡ σποδὸς δὲ καιομένων τῶν λίθων ὡς ἀπὸ τῶν ξύλων γίνεται· καθάπερ ἓν τὸ πήγανον τῇ ξυλίνῃ σποδῷ τρέφεται, τοιἒτον ἔχειν οἰκείωμα πρὸς τὴν ἄμπελον εἰκὸς τὴν Αἰτναίων σπο-

Digitized by Google

Syracusae. ςποδόν. — Τὰς δὲ Συρακȣσας Ἀρχίας μὲν ἔκτισεν ἐκ Κορίνθȣ πλεύσας περὶ τȣς αὐτȣς χρόνȣς, ὅις ᾠκίσθησαν καὶ ἡ Νάξος καὶ τὰ Μέγαρα. Ἅμα δὲ Μύσκελλόν τε Φασὶν ἐις Δελφȣς ἐλθεῖν, καὶ τὸν Ἀρχίαν χρηςηριαζόμενον, ἐρέσθαι τὸν θεὸν, πότερον αἱρȣνται πλȣτον, ἢ ὑγίειαν· τὸν μὲν ȣν Ἀρχίαν ἑλέσθαι τὸν πλȣτον, Μύσκελλον δὲ τὴν ὑγίειαν· τῷ μὲν δὴ Συρακȣσας δȣναι κτίζειν, τῷ δὲ Κρότωνα. καὶ δὴ συμβῆναι Κροτωνιάτας μὲν ȣτως ὑγιεινὴν ὀικῆσαι πόλιν, ὡς ἐιρήκαμεν· Συρακȣσας δὲ ἐπὶ τοσȣτον ἐκπεσεῖν πλȣτȣ, ὥςε καὶ αὐτȣς ἐν παροιμίᾳ διαδοθῆναι λεγόντων πρὸς τȣς ἄγαν πολυτελεῖς, ὡς ȣκ ἂν ἐκγένοιτο αὐτοῖς ἡ Συρακȣσίων δεκάτη. Πλέοντα δὲ τὸν Ἀρχίαν ἐις τὴν Σικελίαν, καταλιπεῖν μετὰ μέρȣς τῆς ςρατείας τȣ τῶν Ἡρακλειδῶν γένȣς Χερσικράτην συνοικιȣντα τὴν νῦν Κέρκυραν καλȣμένην, πρότερον δὲ Σχέριαν. Ἐκεῖνον μὲν ȣν ἐκβαλόντα Λιβυρνȣς κατέχοντας, ὀικῆσαι τὴν νῆσον· τὸν δ' Ἀρχίαν κατασχόντα πρὸς τὸ Ζεφύριον, τῶν Δωριέων ἑυρόντα τινὰς δεῦρο ἀΦιγμένȣς ἐκ τῆς Σικελίας παρὰ τῶν τὰ Μέγαρα κτισάντων, ἀναλαβεῖν αὐτȣς, καὶ κοινῇ κτίσαι τὰς Συρακȣσας μετ' αὐτῶν ἀπιόντα. Ἠυξήθη δὲ καὶ διὰ τὴν τῆς χώρας ἐυδαιμονίαν ἡ πόλις, καὶ διὰ τὴν τῶν λιμένων ἐυΦυΐαν ὁι ἄνδρες ἡγεμονικοὶ κατέςησαν· καὶ συνέβη Συρακȣσίοις τυραννȣμένοις τε δεσπόζειν τῶν ἄλλων, καὶ ἐλευθερωθεῖσιν ἐλευθερȣν τȣς ὑπὸ τῶν βαρβάρων καταδυναςευομένȣς. Ἦσαν γὰρ τῶν βαρβάρων ὁι μὲν ἔνοικοι, τινὲς δ' ἐκ τῆς περαίας ἐπῄεσαν· ȣδένα δὲ τῆς παραλίας ἐίων ὁι Ἕλληνες ἅπτεσθαι, τῆς δὲ μεσογαίας ἀπείργειν παντάπασιν ȣκ ἴσχυον· ἀλλὰ διετέλεσαν μέχρι δεῦρο Σικελοὶ, καὶ Σικανοὶ, καὶ Μόργητες, καὶ ἄλλοι τινὲς νεμόμενοι τὴν νῆσον, ὧν ἦσαν καὶ Ἴβηρες· ȣσπερ πρῶτον Φησὶ τῶν βαρβάρων Ἔφορος λέγεσθαι τῆς Σικελίας ὀικιςάς. Καὶ τὴν Μοργάντιον δὲ, ἐικὸς ὑπὸ τῶν Μοργήτων ᾠκίσθαι· πόλις δ' ἦν αὕτη, νῦν δ' ȣκ ἔςι. Ἐπελθόντες δὲ Καρχηδόνιοι καὶ τȣτȣς ȣκ ἐπαύσαντο κακȣντες, καὶ τȣς Ἕλληνας. ἀντεῖχον δ' ὅμως ὁι Συρακȣσιοι. Ῥωμαῖοι δ' ὕςερον καὶ τȣς Καρχηδονίȣς ἐξέβαλον, καὶ τὰς Συρακȣσας ἐκ πολιορκίας ἕιλον. Ἐφ' ἡμῶν δὲ Πομπηΐȣ τάς τε ἄλλας κακώσαντος πόλεις, καὶ δὴ καὶ τὰς Συρακȣσας,

Digitized by Google

κὔσας, πέμψας ἀποικίαν ὁ Σεβαςὸς Καῖσαρ, πολὺ μέρος τοῦ παλαιοῦ κτίσματος ἀνέλαβε. Πεντάπολις γὰρ ἦν τοπαλαιὸν, ἑκατὸν καὶ ὀγδοήκοντα ςαδίων ἔχων τὸ τεῖχος. Ἅπαντα μὲν δὴ τὸν κύκλον ἐκπληροῦν τοῦτον οὐδὲν ἔδει. τὸ δὲ συνοικούμενον τὸ πρὸς τῇ νήσῳ τῇ Ὀρτυγίᾳ μέρος, ᾠήθη δεῖν οἰκίσαι βέλτιον, ἀξιολόγου πόλεως ἔχον περίμετρον. Ἡ δ' Ὀρτυγία συνάπτει γεφύρᾳ πρὸς τὴν ἤπειρον πρόσγειος οὖσα. Κρήνην δ' ἔχει τὴν Ἀρέθουσαν, ἐξιεῖσαν ποταμὸν εὐθὺς εἰς τὴν θάλατταν. — Τῶν δὲ λοιπῶν τῆς Σικελίας πλευρῶν, ἡ μὲν ἀπὸ τοῦ Παχύνου πρὸς τὸ Λιλύβαιον διήκουσα, ἐκλέλειπται τελέως, ἴχνη τινὰ σώζουσα τῶν ἀρχαίων κατοικιῶν, ὧν ἦν καὶ Καμαρίνα ἄποικος Συρακουσίων. Ἀκράγας δὲ Ἰώνων οὖσα καὶ τὸ ἐπίνειον καὶ Λιλύβαιον, ἔτι συμμένει. Τῇ γὰρ Καρχηδονίᾳ τούτων μάλιςα ὑποπιπτόντων τῶν μερῶν, μακροὶ καὶ συνεχεῖς οἱ πόλεμοι γενόμενοι, τὰ πολλὰ κατέφθειραν. — Ἡ δὲ λοιπὴ καὶ μεγίςη πλευρὰ καίπερ οὐδ' αὐτὴ πολυάνθρωπος οὖσα, ὅμως ἱκανῶς συνοικεῖται. καὶ γὰρ Ἄλαισα, καὶ Τύνδαρις, καὶ τὸ τῶν Αἰγεςέων ἐμπορεῖον, καὶ Κεφαλοίδιον, πολίσματά ἐςι. Πάνορμος δὲ καὶ Ῥωμαίων ἔχει κατοικίαν. Τὴν δὲ Αἰγέςαν κτισθῆναι φασὶν ὑπὸ τῶν μετὰ Φιλοκτήτου διαβάντων εἰς τὴν Κροτωνιᾶτιν, καθάπερ ἐν τοῖς Ἰταλικοῖς εἴρηται, παρ' αὐτοῦ ςαλέντων εἰς τὴν Σικελίαν μετὰ Αἰγέςου τοῦ Τρωός. Ἐν δὲ τῇ μεσογαίᾳ, τὴν μὲν Ἔνναν, ἐν ᾗ τὸ ἱερὸν τῆς Δήμητρος, ἔχουσιν ὀλίγοι, κειμένην ἐπὶ λόφῳ, περιειλημμένην πλατέσιν ὀροπεδίοις ἀροσίμοις πᾶσαν. Ἐκάκωσαν δ' αὐτὴν μάλιςα ἐμπολιορκηθέντες οἱ περὶ Εὔνουν δραπέται, καὶ μόλις ἐξαιρεθέντες ὑπὸ Ῥωμαίων· Ἔπαθον δὲ τὰ αὐτὰ καὶ Καταναῖοι, καὶ Ταυρομενῖται, καὶ ἄλλοι πλείους. Οἰκεῖται δὲ καὶ ὁ Ἔρυξ λόφος ὑψηλὸς, ἱερὸν ἔχων Ἀφροδίτης, τιμώμενον διαφερόντως, ἱεροδούλιον γυναικῶν πλῆρες τοπαλαιὸν· ἃς ἀνέθεσαν κατ' εὐχὴν οἱ τ' ἐκ τῆς Σικελίας καὶ ἔξωθεν πολλοί· νυνὶ δ' ὥσπερ αὐτη ἡ κατοικία, λειπανδρεῖ καὶ τὸ ἱερὸν, καὶ τῶν ἱερῶν σωμάτων ἐκλέλοιπε τὸ πλῆθος. Ἀφίδρυμα δ' ἐςὶ καὶ ἐν Ῥώμῃ τῆς θεοῦ ταύτης τὸ πρὸ τῆς πύλης τῆς Κολλίνης, ἱερὸν Ἀφροδίτης Ἐρυκίνης λεγόμενον, ἔχον καὶ νεὼν, καὶ ςοὰν περικειμένην ἀξιόλογον. Ἡ δ'

Latus Siciliæ a Pachyno ad Lilybæum pertinens.

Reliquum longissimum Siciliæ latus. – Alesæ, Tyndaris, Aegesta, Panormus, etc.

δ' ἄλλη κατοικία καὶ τῆς μεσογαίας ποιμένων ἡ πλείστη γεγένηται. Οὔτε γὰρ Ἱμέραν ἔτι συνοικουμένην ἴσμεν, οὔτε Γέλαν, οὔτε Καλλίπολιν, οὔτε Σελινοῦντα, οὔτ' Εὔβοιαν, οὔτ' ἄλλας πλείους. ὧν τὴν Ἱμέραν μὲν οἱ ἐν Μυλαῖς ἔκτισαν Ζαγκλαῖοι, Καλλίπολιν δὲ Νάξιοι, Σελινοῦντα οἱ αὐτόθι Μεγαρεῖς, Εὔβοιαν δὲ οἱ Λεοντῖνοι. Καὶ τῶν βαρβαρικῶν δ' ἐξελείφθησαν πολλαί, καθάπερ οἱ Καμικοὶ τὸ Κωκάλου βασίλειον, παρ' ᾧ Μίνως δολοφονηθῆναι λέγεται. Τὴν οὖν ἐρημίαν κατανοήσαντες Ῥωμαῖοι, κατακτησάμενοι τά τε ὄρη καὶ τῶν πεδίων τὰ πλεῖστα, ἱπποφορβοῖς καὶ βουκόλοις καὶ ποιμέσι παρέδοσαν· ὑφ' ὧν πολλάκις εἰς κινδύνους κατέστη μεγάλους ἡ νῆσος. τὸ μὲν πρῶτον ἐπὶ λῃστείας τρεπομένων σποράδην τῶν νομέων· εἶτα καὶ κατὰ πλήθη συνισταμένων καὶ πορθούντων τὰς κατοικίας· καθάπερ ἡνίκα οἱ περὶ Εὔνουν τὴν Ἔνναν κατέσχον. Νεωστὶ δ' ἐφ' ἡμῶν εἰς τὴν Ῥώμην ἀνεπέμφθη Σέλουρός τις, Αἴτνης υἱὸς λεγόμενος, στρατιᾶς ἀφηγησάμενος, καὶ λεηλασίαις πυκναῖς καταδεδραμηκὼς τὰ κύκλῳ τῆς Αἴτνης πολὺν χρόνον. τοῦτον δ' ἐν τῇ ἀγορᾷ μονομάχων ἀγῶνος συνεστῶτος, εἴδομεν διασπασθέντα ὑπὸ θηρίων· ἐπὶ πήγματος γάρ τινος ὑψηλοῦ τεθεὶς, ὡς ἂν ἐπὶ Αἴτνης, διαλυθέντος αἰφνιδίως, καὶ συμπεσόντος, κατηνέχθη καὶ αὐτὸς εἰς γαλεάγρας θηρίων εὐδιαλύτους, ἐπίτηδες παρεσκευασμένας ὑπὸ τῷ πήγματι. — Τὴν δὲ τῆς χώρας ἀρετὴν θρυλλουμένην ὑπὸ πάντων, οὐδὲν χείρω τῆς Ἰταλίας ἀποφαινομένων, τί δεῖ λέγειν; σίτῳ δὲ, καὶ μέλιτι, καὶ κρόκῳ, καὶ ἄλλοις τισὶ, κἂν ἀμείνω τὶς φαίη. Πρόσεστι δὲ καὶ τὸ ἐγγύθεν· ὡσανεὶ γὰρ μέρος τι τῆς Ἰταλίας ἐστὶν ἡ νῆσος· καὶ ὑποχορηγεῖ τῇ Ῥώμῃ, καθάπερ ἐκ τῶν Ἰταλικῶν ἀγρῶν, ἕκαστα εὐμαρῶς καὶ ἀταλαιπώρως. Καὶ δὴ καὶ καλοῦσιν αὐτὴν ταμεῖον τῆς Ῥώμης. Κομίζεται γὰρ τὰ γιγνόμενα πάντα, πλὴν ὀλίγων τῶν αὐτόθι ἀναλισκομένων, δεῦρο. ταῦτα δ' ἐστὶν οὐχ οἱ καρποὶ μόνον, ἀλλὰ καὶ τὰ βοσκήματα, καὶ δέρματα, καὶ ἔρια, καὶ τὰ τοιαῦτα. Φησὶ δ' ὁ Ποσειδώνιος, δύο ἀκροπόλεις ἐπὶ θαλάττης δύο τὰς Συρακούσας ἱδρῦσθαι καὶ τὸν Ἔρυκα, μέσης δὲ ἀμφοῖν ὑπερκεῖσθαι τῶν κύκλῳ πεδίων τὴν Ἔνναν. Κεκάκωται δὲ καὶ ἡ Λεοντίνη πᾶσα, Ναξίων οὖσα καὶ αὐτὴ τῶν αὐτόθι. τῶν μὲν γὰρ ἀτυχημάτων

Siciliæ præstantia.

Digitized by Google

μάτων ἐκοινώνησαν ἀεὶ τοῖς Συρακουσίοις, τῶν δ' εὐτυχημάτων οὐκ ἀεί. — Πλησίον δὲ τῶν Κεντορίπων ἐστὶ πόλισμα, ἡ μικρὸν ἔμπροσθεν λεχθεῖσα Αἴτνη, τοὺς ἀναβαίνοντας ἐπὶ τὸ ὄρος δεχομένη, καὶ παραπέμπουσα. ἐντεῦθεν γὰρ ἡ ἀρχὴ τῆς ἀκρωρείας· ἔστι δὲ ψιλὰ τὰ ἄνω χωρία καὶ τεφρώδη, καὶ χιόνος μεστὰ τοῦ χειμῶνος· τὰ κάτω δὲ, δρυμοῖς καὶ φυτείαις διείληπται παντοδαπαῖς. Ἔοικε δὲ λαμβάνειν μεταβολὰς πολλὰς τὰ ἄκρα τοῦ ὄρους διὰ τὴν νομὴν τοῦ πυρὸς, τοτὲ μὲν εἰς ἕνα κρατῆρα συμφερομένου, τοτὲ δὲ σχιζομένου· καὶ τοτὲ μὲν ῥύακας ἀναπέμποντος, τοτὲ δὲ φλόγας καὶ λιγνῦς, ἄλλοτε δὲ καὶ μύδρους ἀναφυσῶντος· ἀνάγκη δὲ τοῖς πάθεσι τούτοις τούς τε ὑπὸ γῆν πόρους συμμεταβάλλειν, καὶ τὰ στόμια ἐνίοτε πλείω κατὰ τὴν ἐπιφάνειαν τὴν πέριξ. Οἱ δ' οὖν νεωστὶ ἀναβάντες διηγοῦντο ἡμῖν, ὅτι καταλάβοιεν ἄνω πεδίον ὁμαλὸν, ὅσον εἴκοσι σταδίων τὴν περίμετρον, κλειόμενον ὀφρύϊ τεφρώδει, τειχίου τὸ ὕψος ἔχοντι, ὥστε δεῖν καθάλλεσθαι τοὺς εἰς τὸ πεδίον προελθεῖν βουλομένους. ὁρᾶν τε τὸ μέσον βουνὸν τεφρώδη τοῦ πεδίου· ὑπὲρ δὲ τοῦ βουνοῦ νέφος ὄρθιον διανεστηκὸς εἰς ὕψος, ὅσον διακοσίων ποδῶν, ἠρεμοῦν, (εἶναι γὰρ καὶ νηνεμίαν·) εἰκάζειν δὲ καπνῷ· δύο δὲ τολμήσαντας προσελθεῖν εἰς τὸ πεδίον, ἐπεὶ δὲ θερμοτέρας ἔβαινον τῆς ἄμμου καὶ βαθυτέρας, ἀναστρέψαι, μηδὲν ἔχοντας περιττότερον φράζειν τῶν φαινομένων τοῖς πόρρωθεν ἀφορῶσι. Νομίζειν δ' ἐκ τῆς τοιαύτης ὄψεως, πολλὰ μυθεύεσθαι, καὶ μάλιστα, ἅ φασί τινες περὶ Ἐμπεδοκλέους, ὅτι καθάλλοιτο εἰς τὸν κρατῆρα, καὶ καταλίποι τοῦ πάθους ἴχνος, τῶν ἐμβάδων τὴν ἑτέραν, ἃς ἐφόρει χαλκᾶς· εὑρεθῆναι γὰρ ἔξω, μικρὸν ἄπωθεν τοῦ χείλους τοῦ κρατῆρος, ὡς ἀνεῤῥιμμένην ὑπὸ τῆς βίας τοῦ πυρός· οὔτε γὰρ προσιτὸν εἶναι τὸν τόπον, οὔθ' ὁρατόν· εἰκάζειν τε μηδὲ καταῤῥιφῆναί τι δύνασθαι ἐκεῖσε, ὑπὸ τῆς ἀντιπνοίας τῶν ἐκ βάθους ἀνέμων, καὶ τῆς θερμότητος, ἣν προαπαντᾶν εὔλογον πόῤῥωθεν πρὶν ἢ τῷ στομίῳ τοῦ κρατῆρος προσπελάσαι· εἰ δὲ καταῤῥιφθείη, φθάνοι ἂν διαφθαρὲν πρὶν ἀναῤῥιφῆναι πάλιν, ὁποῖον παρελήφθη πρότερον. Τὸ μὲν οὖν ἐκλείπειν ποτὲ τὰ πνεύματα καὶ τὸ πῦρ, ἐπιλειπούσης ποτὲ τῆς ὕλης, οὐκ ἄλογον. οὐ μὴν ἐπὶ τοσοῦτόν γε, ὥσπερ ἀντὶ τῆς το-

Digitized by Google

σαύτης βίας, ἐφικτὸν ἀνθρώπῳ γενέσθαι τὸν πλησιασμόν. Ὑπέρκειται δ' ἡ Αἴτνη, μᾶλλον μὲν τῆς κατὰ τὸν πορθμὸν καὶ τὴν Καταναίαν παραλίας, ἀλλὰ καὶ τῆς κατὰ τὸ Τυῤῥηνικὸν πέλαγος καὶ τὰς Λιπαραίων νήσους. νύκτωρ μὲν οὖν καὶ φέγγη φαίνεται λαμπρὰ ἐκ τῆς κορυφῆς, μεθ' ἡμέραν δὲ καπνῷ καὶ ἀχλύϊ κατέχεται. — Ἀνταίρει δὲ τῇ Αἴτνῃ τὰ Νευρώδη ὄρη ταπεινότερα μὲν, πλάτει δὲ πολὺ παραλλάττοντα. Ἅπασα δ' ἡ νῆσος κοίλη, κατὰ γῆς ἐστὶ ποταμῶν καὶ πυρὸς μεστὴ, καθάπερ τὸ Τυῤῥηνικὸν πέλαγος μέχρι τῆς Κυμαίας. Θερμῶν γοῦν ὑδάτων ἐκβολὰς κατὰ πολλοὺς ἔχει τόπους ἡ νῆσος· ὧν τὰ μὲν Σελινούντια κατὰ Ἱμέραν ἁλμυρά ἐστι, τὰ δὲ Αἰγεσταῖα πότιμα. Περὶ Ἀκράγαντα δὲ λίμναι, τὴν μὲν γεῦσιν ἔχουσι θαλάττης, τὴν δὲ φύσιν διάφορον. οὐδὲ γὰρ τοῖς ἀκολύμβοις βαπτίζεσθαι συμβαίνει, ξύλων τρόπον ἐπιπολάζουσιν. Οἱ Παλικοὶ δὲ κρατῆρας ἔχουσιν ἀναβάλλοντας ὕδωρ εἰς θολοειδὲς ἀναφύσημα, καὶ πάλιν εἰς τὸν αὐτὸν δεχομένους μυχόν. Τὸ δὲ περὶ Μάταυρον σπήλαιον ἐντὸς ἔχειν σύριγγα εὐμεγέθη, καὶ ποταμὸν δι' αὐτῆς ῥέοντα ἀφανῆ, μέχρι πολλοῦ διαστήματος· εἶτ' ἀνακύπτοντα πρὸς τὴν ἐπιφάνειαν· καθάπερ Ὀρόντης ἐν τῇ Συρίᾳ, καταδὺς εἰς τὸ μεταξὺ χάσμα Ἀπαμείας καὶ Ἀντιοχείας, ὃ καλοῦσι Χάρυβδιν, ἀνατέλλει πάλιν ἐν μ σταδίοις. Τὰ δὲ παραπλήσια καὶ ὁ Τίγρις ἐν τῇ Μεσοποταμίᾳ, καὶ ὁ Νεῖλος ἐν τῇ Λιβύῃ, μικρὸν ἀπὸ τῶν πηγῶν. Τὸ δὲ περὶ Στύμφαλον ὕδωρ ἐπὶ σ σταδίους ὑπὸ γῆν ἐνεχθὲν ἐν τῇ Ἀργείᾳ, τὸν Ἐρασῖνον ἐκδίδωσι ποταμόν· καὶ πάλιν τὸ πρὸς τὴν Ἀρκαδικὴν Ἀσέαν ὑποβρύχιον ὠσθὲν, ὀψέ ποτε τόν τε Εὐρώταν καὶ τὸν Ἀλφειὸν ἀναδίδωσιν, ὥστε καὶ πιστευθῆναι μυθῶδές τι, ὅτι τῶν ἐπιφημισθέντων στεφάνων ἑκατέρῳ καὶ ῥιφέντων εἰς τὸ κοινὸν ῥεῦμα, ἀναφαίνεται κατὰ τὸν ἐπιφημισμὸν ἑκάτερος ἐν τῷ οἰκείῳ ποταμῷ.

Nevrodes montes.

Cavitas Siciliæ.

Ἐν δὲ ταῖς τῆς Σικελίας πόλεσιν ηὐξήθησαν μάλιστα αἱ Συράκουσαι, καὶ οἱ Συρακούσιοι ἡγεμονικοὶ κατέστησαν, καὶ ἀντεῖχον τοῖς Καρχηδονίοις, τὴν Σικελίαν δεσπόζειν βουλομένοις. Πρῶτος δὴ Γέλων, καθόλου στρατηγίᾳ καὶ συνέσει διαφέρων, ἐνίκησεν αὐτοὺς συντιθεμένους

De rebus Syracusarum.

Gelo vincit Poenos, 478. ante Chr. v. T. I. p. 127.

πρὸς

Digitized by Google

πρὸς Ξέρξην, τῷ καιρῷ τῆς αὐτῆς στρατείας ἐπὶ τὰς Ἕλληνας καταπολεμῆσαι τὰς κατὰ τὴν Σικελίαν Ἕλληνας.

Reges Syracusani, 484 - 468. ante Chr.

Μετὰ ταῦτα κατὰ τὴν Σικελίαν πολλή τις εἰρήνη κατεῖχε τὴν νῆσον, τῶν μὲν Καρχηδονίων εἰς τέλος τεταπεινωμένων, τοῦ δὲ Γέλωνος ἐπιεικῶς προεστηκότος τῶν Σικελιωτῶν, καὶ πολλὴν εὐνομίαν τε καὶ πάντων τῶν ἐπιτηδείων εὐπορίαν παρεχομένου ταῖς πόλεσι. τῶν δὲ Συρακοσίων τὰς μὲν πολυτελεῖς ἐκφορὰς νόμῳ καταλελυκότων, καὶ τὰς εἰωθυίας δαπάνας εἰς τοὺς τελευτῶντας γίνεσθαι περιῃρηκότων, ἐγγεγραμμένων τε ἐν τῷ νόμῳ εἴργεσθαι παντελῶς τὰς τῶν ἐνταφίων σπουδάς· ὁ βασιλεὺς Γέλων βουλόμενος τὴν τοῦ δήμου σπουδὴν ἐν ἅπασι διαφυλάττειν, τὸ περὶ τῆς ταφῆς νόμον ἐφ' ἑαυτοῦ βέβαιον ἐτήρησεν. ὑπὸ γὰρ ἀῤῥωστίας συνεχόμενος, καὶ τοῦ ζῆν ἀπελπίσας, τὴν μὲν βασιλείαν παρέδωκεν Ἱέρωνι τῷ πρεσβυτάτῳ τῶν ἀδελφῶν· περὶ δὲ τῆς ἑαυτοῦ ταφῆς ἐνετείλατο, διαστελλόμενος ἀκριβῶς τηρῆσαι τὸ νόμιμον. διὸ καὶ τελευτήσαντος αὐτοῦ τὴν ἐκφορὰν κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ συνετέλεσεν ὁ διαδεξάμενος τὴν βασιλείαν. ἐτάφη δ' αὐτοῦ τὸ σῶμα κατὰ τὸν ἀγρὸν τῆς γυναικὸς, ἐν ταῖς καλουμέναις ἐννέα τύρσεσιν, οὔσαις τῷ βάρει τῶν ἔργων θαυμασταῖς. ὁ δὲ ὄχλος ἐκ τῆς πόλεως ἅπας συνηκολούθησεν, ἀπέχοντος τοῦ τόπου σταδίους διακοσίους. ἐνταῦθα δ' αὐτοῦ ταφέντος, ὁ μὲν δῆμος τάφον ἀξιόλογον ἐπιστήσας, ἡρωϊκαῖς τιμαῖς ἐτίμησε τὸν Γέλωνα· ὕστερον δὲ τὸ μὲν μνῆμα ἀνεῖλον Καρχηδόνιοι, στρατεύσαντες ἐπὶ Συρακούσας, τὰς δὲ τύρσεις Ἀγαθοκλῆς κατέβαλε διὰ τὸν φθόνον. ἀλλ' ὅμως οὔτε Καρχηδόνιοι διὰ τὴν ἔχθραν, οὔτε Ἀγαθοκλῆς διὰ τὴν ἰδίαν κακίαν, οὔτε ἄλλος οὐδὲ εἷς ἠδυνήθη τοῦ Γέλωνος ἀφελέσθαι τὴν δόξαν. ἡ γὰρ τῆς ἱστορίας δικαία μαρτυρία τετήρηκε τὴν περὶ αὐτοῦ φήμην, κηρύσσουσα εἰς ἅπαντα τὸν αἰῶνα. δίκαιον γὰρ ἅμα καὶ συμφέρον ἐστὶ τῷ κοινῷ βίῳ, διὰ τῆς ἱστορίας τοὺς μὲν πονηροὺς τῶν ἐν ταῖς ἐξουσίαις γεγενημένων βλασφημεῖσθαι, τοὺς δὲ εὐεργετικοὺς τυγχάνειν ἀθανάτου μνήμης· οὕτω γὰρ μάλιστα συμβήσεται πολλοὺς ἐπὶ τὴν κοινὴν εὐεργεσίαν προτρέπεσθαι τῶν μεταγενεστέρων. Γέλων μὲν οὖν ἑπταετῆ χρό-

Diodor. Sic. Lib. XI. c. 38. Recuperata pace Gelo civitatem pacis artibus recreat & auget.

Mox moritur, successore constituto Hierone, fratre natu maximo.

χρόνον ἐβασίλευσεν, Ἱέρων δὲ ὁ ἀδελφὸς αὐτοῦ διαδεξά-
μενος τὴν ἀρχὴν ἐβασίλευσε τῶν Συρακουσίων ἔτη ἕνδεκ
καὶ μῆνας ὀκτώ.

cap. 48. Inter Hieronem&fratrem Polyzelum gravissimæ inimicitiæ,

Αὐτὸς μὲν τὸν ἀδελφὸν Πολύζηλον ὁρῶν εὐδοκιμοῦν
τα παρὰ τοῖς Συρακουσίοις, καὶ νομίζων αὐτὸν ἔφεδρο
ὑπάρχειν τῆς βασιλείας, ἔσπευδεν ἐκποδὼν ποιήσασθαι
αὐτὸς δὲ ξενολογῶν, καὶ περὶ αὐτὸν σύστημα ξένων παρα
σκευάζων, ὑπελάμβανεν ἀσφαλῶς καθέξειν τὴν βασιλεία
διὸ καὶ Συβαριτῶν πολιορκουμένων ὑπὸ Κροτωνιατῶν, κα
δεομένων βοηθῆσαι, στρατιώτας πολλοὺς κατέγραψεν εἰς τὴ
στρατείαν, ἣν παρεδίδου Πολυζήλῳ τἀδελφῷ, νομίζων αὐ
τὸν ὑπὸ τῶν Κροτωνιατῶν ἀναιρεθήσεσθαι· τοῦ δὲ Πολυζή
λου πρὸς τὴν στρατείαν οὐχ ὑπακούσαντος διὰ τὴν ῥηθεῖσα
ὑποψίαν, δι' ὀργῆς εἶχε τὸν ἀδελφόν· καὶ φυγόντα πρὸ
Θήρωνα τὸν Ἀκραγαντίνων τύραννον, καταπολεμῆσαι τοῦτο
παρασκευάζετο. μετὰ δὲ ταῦτα Θρασυδαίου τοῦ Θήρωνο
ἐπιστατοῦντος τῆς τῶν Ἱμεραίων πόλεως βαρύτερον τοῦ κα
θήκοντος, συνέβη τοὺς Ἱμεραίους ἀπαλλοτριωθῆναι παντε
λῶς ἀπ' αὐτοῦ. πρὸς μὲν οὖν τὸν πατέρα πορεύεσθαί τ
καὶ κατηγορεῖν ἀπεδοκίμαζον, νομίζοντες οὐχ ἕξειν ἴσο
ἀκουστήν. πρὸς δὲ τὸν Ἱέρωνα πρέσβεις ἀπέστειλαν κατη
γοροῦντας τοῦ Θρασυδαίου, καὶ ἐπαγγελλομένους τήν τε πόλ
ἐκείνῳ παραδώσειν καὶ συνεπιθήσεσθαι τοῖς περὶ τὸν Θή
ρωνα. ὁ δὲ Ἱέρων κρίνας εἰρηνικῶς διαλύσασθαι πρὸς τὸ
Θήρωνα, προὔδωκε τοὺς Ἱμεραίους, καὶ τὰ βεβουλευμένα λα
θραίως ἐμήνυσεν. διόπερ Θήρων ἐξετάσας τὰ κατὰ τὴ
βουλὴν, καὶ τὴν μήνυσιν ἀληθινὴν εὑρίσκων, πρὸς μὲ
τὸν Ἱέρωνα διελύσατο, καὶ τὸν Πολύζηλον εἰς τὴν πρ
ὑπάρχουσαν εὔνοιαν ἀποκατέστησε· τῶν δὲ Ἱμεραίων τ
ἐναντίους πολλοὺς ὄντας συλλαβὼν ἀποσφάζει.

quæ Theronis studio reconciliantur.

cap. 49. Naxios & Catanæos Leontium migrare Hiero jubet, receptis novis e Peloponneso colonis.

Ἱέρων δὲ τούς τε Ναξίους καὶ τοὺς Καταναίους ἐκ τ
πόλεων ἀναστήσας, ἰδίους οἰκήτορας ἀπέστειλεν, ἐκ μὲν Π
λοποννήσου πεντακισχιλίους ἀθροίσας, ἐκ δὲ Συρακουσῶν ἄ
λους τοσούτους προσθείς· καὶ τὴν μὲν Κατάνην μετωνόμ
σεν Αἴτνην, τὴν δὲ χώραν οὐ μόνον τὴν Καταναίαν, ἀ
λὰ καὶ πολλὴν τῆς ὁμόρου προσθεὶς κατεκληρούχησε, μ
ρίους πληρώσας οἰκήτορας. τοῦτο δ' ἔπραξε, σπεύδων, ἅμ
μὲν ἔχειν βοήθειαν ἑτοίμην ἀξιόλογον πρὸς τὰς ἐπιούσα

χρεία

Digitized by Google

χρείας, ἅμα δὲ καὶ ἐκ τῆς γενομένης μυριάνδρε πόλεως τιμὰς ἔχειν ἡρωϊκάς. τὰς δὲ Ναξίες καὶ τὰς Καταναίες ἐκ τῶν πατρίδων ἀνασαθέντας μετῴκισεν εἰς τὰς Λεοντίνες, καὶ μετὰ τῶν ἐγχωρίων προσέταξε κατοικεῖν τὴν πόλιν. Θήρων δὲ, μετὰ τὴν Ἱμεραίων σφαγὴν, ὁρῶν τὴν πόλιν οἰκητόρων δεομένην, συνῴκισεν εἰς ταύτην τάς τε Δωριεῖς καὶ τῶν ἄλλων τὰς βελομένες ἐπολιτογράφησεν. ἔτοι μὲν ὖν μετ' ἀλλήλων καλῶς πολιτευόμενοι διετέλεσαν ἔτη πεντήκοντα καὶ ὀκτώ. τότε δὲ τῆς πόλεως ὑπὸ Καρχηδονίων χειρωθείσης καὶ κατασκαφείσης, διέμεινεν ἀοίκητος μέχρι τῶν καθ' ἡμᾶς καιρῶν.

Ἱέρων δὲ ἐτελεύτησεν ἐν τῇ Κατάνῃ, καὶ τιμῶν ἡρωϊκῶν ἔτυχεν, ὡς ἂν κτίσης γεγονὼς τῆς πόλεως. ἔτος μὲν ὖν ἄρξας ἔτη ἕνδεκα, κατέλιπε τὴν βασιλείαν Θρασυβέλῳ τῷ ἀδελφῷ, ὃς ἦρξε Συρακεσίων ἐνιαυτὸν ἕνα, μεθ' ὃν ἐξέπεσεν ἐκ τῆς ἀρχῆς.

cap. 66. Hiero moritur. Frater Thrasybulus succedit.

Περὶ ὖ κατὰ μέρος ἀναγράφοντας ἡμᾶς ἀναγκαῖόν ἐσι, βραχὺ τοῖς χρόνοις ἀναδραμόντας, ἀπ' ἀρχῆς ἅπαντα καθαρῶς ἐκθεῖναι.

cap. 67.

Γέλων ὁ Δεινομένες, ἀρετῇ καὶ ςρατηγίᾳ πολὺ τὰς ἄλλες διενέγκας, καὶ Καρχηδονίες καταςρατηγήσας, ἐνίκησε παρατάξει μεγάλῃ τὰς βαρβάρες, καθότι προείρηται· χρησάμενος δὲ ἐπιεικῶς τοῖς καταπολεμηθεῖσι, καὶ καθόλε τοῖς πλησιοχώροις πᾶσι προσενεχθεὶς φιλανθρώπως, μεγάλης ἔτυχεν ἀποδοχῆς παρὰ τοῖς Σικελιώταις. ἔτος μὲν ὖν ὑπὸ παντὸς ἀγαπώμενος διὰ τὴν πρᾳότητα, διετέλεσε τὸν βίον εἰρηνικῶς μέχρι τῆς τελευτῆς. τὴν δὲ βασιλείαν διαδεξάμενος Ἱέρων, ὁ πρεσβύτατος τῶν ἀδελφῶν, ἐχ ὁμοίως ἦρχε τῶν ὑποτεταγμένων. ἦν γὰρ καὶ φιλάργυρος καὶ βίαιος, καὶ καθόλε τῆς ἁπλότητος καὶ καλοκἀγαθίας τἀδελφῦ ἀλλοτριώτατος. διὸ καὶ πλείονες τινὲς ἀφίςαθαι βελόμενοι, παρακατέσχον τὰς ἰδίας ὁρμὰς διὰ τὴν Γέλωνος δόξαν, καὶ τὴν εἰς τὰς ἅπαντας Σικελιώτας εὔνοιαν. μετὰ δὲ τὴν Ἱέρωνος τελευτὴν παραλαβὼν τὴν ἀρχὴν Θρασύβελος ὁ ἀδελφὸς, ὑπερέβαλε τῇ κακίᾳ τὸν πρὸ αὐτῦ βασιλεύσαντα. βίαιος γὰρ ὢν καὶ φονικὸς, πολλὰς μὲν τῶν πολιτῶν ἀνῄρει παρὰ τὸ δίκαιον, ἐκ ὀλίγες δὲ φυγαδεύων ἐπὶ ψευδέσι διαβολαῖς, τὰς ἐσίας εἰς τὸ βασιλικὸν

Ibidem.

Thrasybuli superbia offensi Syracusani bellum movent,

Digitized by Google

κὸν ἀνελάμβανε. καθόλε δὲ μισῶν καὶ μισέμενος ὑπὸ τῶν ἀδικεμένων, μισθοφόρων πλῆθος ἐξενολόγησεν, ἀντίταγμα κατασκευάζων ταῖς πολιτικαῖς δυνάμεσιν. ἀεὶ δὲ μᾶλλον τοῖς πολίταις ἀπεχθανόμενος, καὶ πολλὲς μὲν ὑβρίζων, τὲς δὲ ἀναιρῶν, ἠνάγκασε τὲς ἀδικεμένες ἀποςῆναι. διόπερ οἱ Συρακέσιοι προστησάμενοι τὲς ἡγησομένες, ὥρμησαν ἐπὶ τὴν κατάλυσιν τῆς τυραννίδος πανδημεὶ, καὶ συνταχθέντες ὑπὸ τῶν ἡγεμόνων, ἀντείχοντο τῆς ἐλευθερίας. Θρασύβελος δὲ ὁρῶν τὴν πόλιν ἐπ' αὐτὸν ςρατευομένην, τὸ μὲν πρῶτον ἐπεχείρει λόγῳ καταπαύειν τὴν ςάσιν· ὡς δ' ἑώρα τὴν ὁρμὴν τῶν Συρακεσίων ἀκατάπαυσον ἔσαν, συνήγαγεν ἔκ τε τῆς Κατάνης τὲς κατοικισθέντας ὑφ' Ἱέρωνος, καὶ τὲς ἄλλες συμμάχες, ἔτι δὲ καὶ μισθοφόρων πλῆθος· ὥςε τὲς ἅπαντας γενέσθαι σχεδὸν περὶ τὲς μυρίες πεντακισχιλίες. ἔτος μὲν ἔν τῆς πόλεως κατειληφὼς τὴν ὀνομαζομένην Ἀχραδινὴν καὶ Νῆσον, ὀχυρὰν ἔσαν, καὶ ἐκ τέτων ὁρμώμενος διεπολέμει πρὸς τὲς ἀφεςῶτας.

cap. 68. Οἱ δὲ Συρακέσιοι τὸ μὲν πρῶτον μέρος τῆς πόλεως κατελάβοντο τὴν ὀνομαζομένην Ἰτύκην· ἐκ ταύτης δὲ ὁρμώμενοι, πρεσβευτὰς ἀπέςειλαν εἰς Γέλαν καὶ Ἀκράγαντα καὶ Σελινῆντα, πρὸς δὲ τέτοις εἰς Ἱμέραν, καὶ πρὸς τὰς τῶν Σικελῶν πόλεις τὰς ἐν τῇ μεσογαίῳ κειμένας, ἀξιῆντες κατὰ τάχος συνελθεῖν καὶ συνελευθερῶσαι τὰς Συρακέσας. πάντων δὲ προθύμως ὑπακεόντων, καὶ συντόμως ἀποςειλάντων τῶν μὲν πεζὲς καὶ ἱππεῖς ςρατιώτας, τῶν δὲ ναῦς μακρὰς κεκοσμημένας εἰς ναυμαχίαν, ταχὺ συνήχθη δύναμις ἀξιόχρεως τοῖς Συρακεσίοις. διὸ καὶ τὰς ναῦς καταςήσαντες οἱ Συρακέσιοι, καὶ τὴν πεζὴν δύναμιν ἐκτάξαντες, ἑτοίμες ἑαυτὲς ἀπέδειξαν καὶ πεζῇ καὶ κατὰ θάλατταν βελομένες διαγωνίζεσθαι. ὁ δὲ Θρασύβελος ἐγκαταλειπόμενος ὑπὸ τῶν συμμάχων, καὶ τὰς ἐλπίδας ἐν αὐτοῖς ἔχων τοῖς μισθοφόροις, τῆς μὲν Ἀχραδινῆς καὶ τῆς Νήσε κύριος ἦν, τὸ δὲ λοιπὸν μέρος τῆς πόλεως κατεῖχον οἱ Συρακέσιοι. μετὰ δὲ ταῦτα ὁ μὲν Θρασύβελος ταῖς ναυσὶν ἐπιπλεύσας ἐπὶ τὲς πολεμίες, καὶ λειφθεὶς τῇ ναυμαχίᾳ, συχνὰς μὲν τριήρεις ἀπέβαλε, ταῖς δ' ἄλλαις κατέφυγεν εἰς τὴν Νῆσον. ὁμοίως δὲ καὶ τὴν

Ipsumque victum regno ejiciunt,

πεζὴν

Digitized by Google

πεζὴν δύναμιν προαγηγαγὼν ἐκ τῆς Ἀχραδινῆς, καὶ παραταξάμενος ἐν τοῖς προαςείοις, ἡττήθη, καὶ πολλὰς ἀποβαλὼν, ἠναγκάσθη πάλιν εἰς τὴν Ἀχραδινὴν ἀποχωρῆσαι. τέλος δὲ ἀπογνὺς τὴν τυραννίδα, διεπρεσβεύσατο πρὸς τὰς Συρακουσίους, καὶ συνθέμενος τὰ πρὸς αὐτοὺς, ὑπόσπονδος ἀπῆλθεν εἰς Λοκρούς. οἱ δὲ Συρακούσιοι τοῦτον τὸν τρόπον ἐλευθερώσαντες τὴν πατρίδα, τοῖς μὲν μισθοφόροις συνεχώρησαν ἀπελθεῖν ἐκ τῶν Συρακουσῶν, τὰς δὲ ἄλλας πολιτείας τυραννουμένας ἢ φρουρὰς ἐχούσας ἐλευθερώσαντες, ἀποκατέστησαν ταῖς πόλεσι τὰς δημοκρατίας. ἀπὸ δὲ τούτων τῶν χρόνων εἰρήνην ἔχουσα, πολλὴν ἐπίδοσιν ἔλαβε πρὸς εὐδαιμονίαν, καὶ διεφύλαξε τὴν δημοκρατίαν ἔτη σχεδὸν ἑξήκοντα, μέχρι τῆς Διονυσίου τυραννίδος. Θρασύβουλος δὲ καλῶς θεμελιωθεῖσαν βασιλείαν παραλαβὼν, διὰ τὴν ἰδίαν κακίαν αἰσχρῶς ἀπέβαλε τὴν ἀρχὴν, καὶ φυγὼν εἰς Λοκροὺς, ἐνταῦθα τὸν λοιπὸν χρόνον ἰδιωτεύων κατεβίωσεν.

& libertatem usque ad Dionysii dominatum servant.

Ἄρτι δὲ καταλελυμένης τῆς ἐν ταῖς Συρακούσαις τυραννίδος καὶ πασῶν τῶν κατὰ τὴν νῆσον πόλεων ἠλευθερωμένων, πολλὴν ἐπίδοσιν ἐλάμβανεν ἡ σύμπασα Σικελία πρὸς εὐδαιμονίαν. εἰρήνην γὰρ ἔχοντες οἱ Σικελιῶται, καὶ χώραν ἀγαθὴν νεμόμενοι, διὰ τὸ πλῆθος τῶν καρπῶν ταχὺ ταῖς οὐσίαις ἀνέτρεχον, καὶ τὴν χώραν ἐπλήρωσαν οἰκετῶν καὶ κτηνῶν, καὶ τῆς ἄλλης εὐδαιμονίας, μεγάλας μὲν λαμβάνοντες προσόδους, οὐδὲν δὲ εἰς τοὺς εἰωθότας πολέμους ἀναλίσκοντες. μετὰ δὲ ταῦτα πάλιν εἰς πολέμους καὶ στάσεις ἐνέπεσον, διὰ τοιαύτας τινὰς αἰτίας. καταλύσαντες τὴν Θρασυβούλου τυραννίδα, συνήγαγον ἐκκλησίαν, καὶ περὶ τῆς ἰδίας δημοκρατίας βουλευσάμενοι, πάντες ὁμογνωμόνως ἐψηφίσαντο, Διὸς μὲν ἐλευθερίου κολοσσιαῖον ἀνδριάντα κατασκευάσαι, κατ' ἐνιαυτὸν δὲ θύειν ἐλευθέρια, καὶ ἀγῶνας ἐπιφανεῖς ποιεῖν κατὰ τὴν αὐτὴν ἡμέραν, ἐν ᾗ τὸν τύραννον καταλύσαντες, ἠλευθέρωσαν τὴν πατρίδα· θύειν δ' ἐν τοῖς ἀγῶσι τοῖς θεοῖς ταύρους τετρακοσίους καὶ πεντήκοντα, καὶ τούτους δαπανᾶν εἰς τὴν τῶν πολιτῶν εὐωχίαν. τὰς δὲ ἀρχὰς ἁπάσας τοῖς ἀρχαίοις πολίταις ἀπένεμον· τοὺς δὲ ξένους τοὺς ἐπὶ Γέλωνος πολιτευθέντας οὐκ ἠξίουν μετέχειν ταύτης τῆς τιμῆς,

cap. 72.
Democratia Syracusana.
466-412. ante Chr.
Sicilia post exactos reges lætior.
460. ante Chr.

Sed peregrini, a Gelone in civitatem recepti, cum magistratibus excluderentur, novis tumultibus rempubl. perturbant.

ἔιτε ἐκ ἀξίας κρίναντες, ἔιτε καὶ ἀπιςῦντες, μή ποτε συντεθραμμένοι τυραννίδι, καὶ μονάρχῳ συνεςρατευμένοι, νεωτερίζειν ἐπιχειρήσωσι. ὅπερ καὶ συνέβη γενέϑαι· τῦ γὰρ Γέλωνος πλείονας τῶν μυρίων πολιτογραφήσαντος ξένυς μιϑοφόρυς, ἐκ τύτων περιελείποντο πλείυς τῶν ἑπτακισχιλίων κατὰ τὺς ὑποκειμένυς καιρύς.

cap. 74. Ὅυτοι τῆς ἐκ τῶν ἀρχαιρεσιῶν τιμῆς ἀπελαυνόμενοι, χαλεπῶς ἔφερον, καὶ συμφρονήσαντες, ἀπέςησαν τῶν Συρακυσίων, καὶ τῆς πόλεως κατελάβοντο τήν τε Ἀχραδινὴν καὶ τὴν Νῆσον· ἀμφοτέρων τῶν τόπων τύτων ἐχόντων ἴδιον τεῖχος, καλῶς κατεσκευασμένον. ὁι δὲ Συρακύσιοι πάλιν ἐμπεσόντες ἐις ταραχὴν, τὸ λοιπὸν τῆς πόλεως κατεῖχον, καὶ τὸ πρὸς τὰς Ἐπιπολὰς τετραμμένον ἀυτῆς ἐπετείχισαν, καὶ πολλὴν ἀσφάλειαν ἑαυτοῖς κατεσκεύασαν. ἐυϑὺ γὰρ τῆς ἐπὶ τὴν χώραν ἐξόδυ τὺς ἀφεςηκότας ἐυχερῶς ἔιργον, καὶ ταχὺ τῶν ἐπιτηδείων ἐποίησαν ἀπορεῖν. ὁι δὲ ξένοι τοῖς μὲν πλήϑεσιν ἐλείποντο τῶν Συρακυσίων, ταῖς δὲ ἐμπειρίαις ταῖς κατὰ πόλεμον πολὺ προεῖχον· διὸ καὶ γινομένων κατὰ τὴν πόλιν ἐπιϑέσεων καὶ κατὰ μέρος συμπλοκῶν, ταῖς μὲν μάχαις ὁι ξένοι ἐπροτέρυν, ἐιργόμενοι δὲ τῆς χώρας, ἐλείποντο ταῖς παρασκευαῖς, καὶ τροφῆς ἐσπάνιζον.

cap. 76. Peregrini devicti. ante Chr. 459. Καὶ ναυμαχίᾳ μὲν ἐνίκησαν ὁι Συρακύσιοι τὺς ἀποςάντας, πεζῇ δ᾽ ὐκ ἴσχυον ἐκβαλεῖν τῆς πόλεως διὰ τὴν ὀχυρότητα τῶν τόπων. μετὰ δὲ ταῦτα παρατάξεως γενομένης ἐπὶ τῆς χώρας, καὶ τῶν ἀγωνιζομένων παρ᾽ ἀμφοτέροις ἐκϑύμως κινδυνευόντων, πεσεῖν συνέβη ὐκ ὀλίγυς παρ᾽ ἀμφοτέροις, νικῆσαι δὲ τὺς Συρακυσίυς. μετὰ δὲ τὴν μάχην ὁι Συρακύσιοι τὺς μὲν ἐπιλέκτυς, ὄντας ἑξακοσίυς, ἀιτίυς γενομένυς τῆς νίκης, ἐςεφάνωσαν, ἀριςεῖα δόντες ἀργυρίυ μνᾶν ἑκάςῳ.

Alii per Siciliam tumultus. Ἅμα δὲ τύτοις πραττομένοις, Δυκέτιος μὲν ὁ τῶν Σικελῶν ἡγεμὼν χαλεπῶς ἔχων τοῖς τὴν Κατάνην ὀικῦσι, διὰ τὴν ἀφαίρεσιν τῆς τῶν Σικελῶν χώρας, ἐςράτευσεν ἐπ᾽ ἀυτύς. ὁμοίως δὲ καὶ τῶν Συρακυσίων ςρατευσάντων ἐπὶ τὴν Κατάνην, ὗτοι μὲν κοινῇ κατεκληρύχησαν τὴν χώραν, καὶ κατοικιϑέντες ὑφ᾽ Ἱέρωνος τῦ δυνάςυ, ἐπολέμυν· ἀντιταχϑέντων δὲ τῶν ἐν τῇ Κατάνῃ, καὶ λειφϑέντων πλείοσι μάχαις, ὗτοι μὲν ἐξέπεσον

ἐκ

ἐκ τῆς Κατάνης, καὶ τὴν νῦν ἔσαν Αἴτνην ἐκτήσαντο, πρὸ τέτε καλεμένην Ἐννησίαν. οἱ δ' ἐξ ἀρχῆς ἐκ τῆς Κατάνης ὄντες ἐκομίσαντο πολλῷ χρόνῳ τὴν πατρίδα. τέτων δὲ πραχθέντων, οἱ κατὰ τὴν Ἱέρωνος δυναςείαν ἐκπεπτωκότες ἐκ τῶν ἰδίων πόλεων, ἔχοντες τὲς συναγωνιζομένες, κατῆλθον εἰς τὰς πατρίδας, καὶ τὲς ἀδίκως τὰς ἀλλοτρίας πόλεις ἀφῃρημένες ἐξέβαλον ἐκ τῶν πόλεων. τέτων δ' ἦσαν Γελῷοι καὶ Ἀκραγαντῖνοι καὶ Ἱμεραῖοι. παραπλησίως δὲ τέτοις καὶ Ῥηγῖνοι μετὰ Ζαγκλαίων τὲς Ἀναξίλε παῖδας δυναςεύοντας ἐκβαλόντες, ἠλευθέρωσαν τὰς πατρίδας. μετὰ δὲ ταῦτα Καμαρίναν μὲν Γελῷοι κατοικίσαντες ἐξ ἀρχῆς κατεκληρέχησαν· αἱ δὲ πόλεις σχεδὸν ἅπασαι πρὸς τὴν κατάλυσιν τῶν πολεμίων ὁρμήσασαι, καὶ κοινὸν δόγμα ποιησάμεναι πρὸς τὲς κατοικῦντας ξένες, διελύθησαν, καὶ τὲς φυγάδας καταδεξάμεναι, τοῖς ἀρχαίοις πολίταις τὰς πόλεις ἀπέδοσαν· τοῖς δὲ ξένοις τοῖς διὰ τὰς δυναςείας ἀλλοτρίας τὰς πόλεις ἔχεσι, κατοικεῖν ἅπαντας ἐν τῇ Μεσσηνίᾳ. αἱ μὲν ἦν κατὰ τὴν Σικελίαν ἐν ταῖς πόλεσι ςάσεις καὶ ταραχαὶ τῦτον τὸν τρόπον κατελύθησαν· αἱ δὲ πόλεις τὰς ἀπαλλοτρίες πολιτείας ἀπολαβῦσαι σχεδὸν ἅπασαι, τὰς ἰδίας χώρας κατεκληρέχησαν τοῖς πολίταις πᾶσιν. *sedantur.*

cap. 86. Sicilia bello inter Egestanos ac Lilybæos, tum aliis dissidiis internis turbata. ante Chr. 452.

Μετὰ δὲ ταῦτα Ἐγεςαίοις καὶ Λιλυβαίοις ἐνέςη πόλεμος περὶ χώρας τῆς πρὸς τῷ Μαζάρῳ ποταμῷ. γενομένης δὲ μάχης ἰσχυρᾶς, συνέβη πολλὲς παρ' ἀμφοτέροις ἀναιρεθῆναι, καὶ τῆς φιλοτιμίας μὴ λῆξαι τὰς πόλεις. μετὰ δὲ τὴν πολιτογραφίαν τὴν ἐν ταῖς πόλεσι γενομένην, καὶ τὸν ἀναδασμὸν τῆς χώρας, πολλῶν εἰκῇ καὶ ὡς ἔτυχε πεπολιτογραφημένων, ἐνόσεν αἱ πόλεις, καὶ πάλιν εἰς πολιτικὰς ςάσεις καὶ ταραχὰς ἐνέπιπτον· μάλιςα δὲ τὸ κακὸν ἐπεπόλασεν ἐν ταῖς Συρακέσαις. Τυνδαρίδης γάρ τις τὔνομα, θράσες καὶ τόλμης γέμων ἄνθρωπος, τὸ μὲν πρῶτον πολλὲς τῶν πενήτων ἀνελάμβανε, καὶ σωματοποιῶν τέτες, ἑαυτῷ πρὸς τυραννίδα ἑτοίμες ἐποίει δορυφόρες. μετὰ δὲ ταῦτα ἤδη φανερὸς ὤν, ὅτι δυναςείας ὀρέγεται, θανάτε κρίσιν ὑποσχὼν, κατεδικάσθη· ἀπαγομένε τε εἰς τὸ δεσμωτήριον, οἱ πολυωρηθέντες ὑπ' αὐτῦ συνεςράφησαν, καὶ τοῖς ἀπάγεσι τὰς

 χεῖρας

Digitized by Google

χεῖρας ἐπέφερον. ταραχῆς δὲ γενομένης κατὰ τὴν πόλιν, συνεςράφησαν οἱ χαριέςατοι τῶν πολιτῶν, καὶ τὲς νεωτερίσαντας συναρπάσαντες ἅμα τῷ Τυνδαρίωνι, ἀνεῖλον. πλεονάκις δὲ τέτε γενομένε, καὶ τῶν ἀνδρῶν τυραννίδος ἐπιθυμέντων, ὁ δῆμος ἐπηνέχθη μιμήσαθαι τὲς Ἀθηναίες, καὶ νόμον θεῖναι παραπλήσιον τῷ παρ᾽ ἐκείνοις γεγραμμένῳ περὶ ὀςρακισμε.

Ad opprimendam regnandi libidinem Syracusani,

cap. 87. instar ostracismi Attici, petalismum adhibuere.

Παρὰ γὰρ Ἀθηναίοις ἕκαςον τῶν πολιτῶν ἔδει γράφειν εἰς ὄςρακον τἔνομα τε δοκεντος μάλιςα δύναθαι τυραννεῖν τῶν πολιτῶν· παρὰ δὲ τοῖς Συρακεσίοις εἰς πέταλον ἐλαίας γράφεθαι τὸν δυνατώτατον τῶν πολιτῶν· διαριθμηθέντων δὲ τῶν πετάλων, τὸν πλεῖςα πέταλα λαβόντα φεύγειν πενταετῆ χρόνον. τέτῳ γὰρ τῷ τρόπῳ διελάμβανον ταπεινώσειν τὰ φρονήματα τῶν πλεῖςον ἰσχυόντων ἐν ταῖς πατρίσι. καθόλε γὰρ ἐ πονηρίας κόλασιν ἐλάμβανον παρὰ τῶν παρανομέντων, ἀλλὰ δυνάμεως καὶ αὐξήσεως τῶν ἀνδρῶν ἐποίεν ταπείνωσιν. οἱ μὲν ἐν Ἀθηναῖοι τἔτο τὸ γένος τῆς νομοθεσίας ὠνόμασαν ἀπὸ τε συμβεβηκότος ὀςρακισμὸν, οἱ δὲ Συρακέσιοι πεταλισμόν. ἔτος δὲ ὁ νόμος διέμεινε παρὰ μὲν τοῖς Ἀθηναίοις ἐπὶ πολὺν χρόνον, παρὰ δὲ τοῖς Συρακεσίοις κατελύθη ταχὺ, διὰ τοιαύτας τινὰς αἰτίας. τῶν μεγίςων ἀνδρῶν φυγαδευομένων, οἱ χαριέςατοι τῶν πολιτῶν, καὶ δυνάμενοι διὰ τῆς ἰδίας ἀρετῆς πολλὰ τῶν κοινῶν ἐπανορθεν, ἀφίςαντο τῶν δημοσίων πράξεων, καὶ διὰ τὸν ἀπὸ τε νόμε φόβον ἰδιωτεύοντες διετέλεν. ἐπιμελέμενοι δὲ τῆς ἰδίας ἐσίας, εἰς τρυφὴν ἀπέκλινον· οἱ δὲ πονηρότατοι τῶν πολιτῶν, καὶ τόλμῃ διαφέροντες, ἐφρόντιζον τῶν δημοσίων, καὶ τὰ πλήθη πρὸς νεωτερισμὸν καὶ ταραχὴν προετρέποντο. διόπερ ςάσεων γενομένων πάλιν, καὶ τῶν πολλῶν εἰς διαφορὰς ἐκτρεπομένων, πάλιν ἡ πόλις εἰς συνεχεῖς καὶ μεγάλας ἐνέπιπτε ταραχάς. ἐπεπόλαζε γὰρ δημαγωγῶν πλῆθος καὶ συκοφαντῶν, καὶ λόγε δεινότης ὑπὸ τῶν νεωτέρων ἠσκεῖτο, καὶ καθόλε πολλοὶ τὰ φαῦλα τῶν ἐπιτηδευμάτων ἀντὶ τῆς παλαιᾶς καὶ σπεδαίας ἀγωγῆς ἠλλάττοντο· καὶ ταῖς μὲν ἐσίαις διὰ τὴν εἰρήνην προέκοπτον, τῆς δ᾽ ὁμονοίας καὶ τε δικαιοπραγεῖν ὀλίγη τις ἐγίνετο φροντίς.

διό-

διόπερ οἱ Συρακέσιοι μεταγνόντες τὸν περὶ τῦ πεταλισμῦ νόμον κατέλυσαν, ὀλίγον χρόνον αὐτῷ χρησάμενοι.

Μετὰ δὲ ταῦτα οἱ Συρακέσιοι πολλὰς τῶν Σικελῶν πόλεις ὑπηκόους ποιησάμενοι, ἑκατὸν μὲν τριήρεις ἐναυπηγήσαντο, τὸν δὲ τῶν ἱππέων ἀριθμὸν ἐποίησαν διπλάσιον. ἐπεμελήθησαν δὲ καὶ τῆς πεζικῆς δυνάμεως, καὶ χρημάτων παρασκευὰς ἐποιῦντο, φόρους ἀδροτέρους τοῖς ὑποτεταγμένοις Σικελοῖς ἐπιτιθέντες. ταῦτα δ' ἔπραττον διανοῦμενοι πᾶσαν Σικελίαν ἐκ τῦ κατ' ὀλίγον κατακτήσασθαι.

Ibidem. Lib.XII. c.30. Syracusani magnam partem Siciliæ subigunt, copias & classem augent. ante Chr.438.

Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Εὐκλείδε, κατὰ τὴν Σικελίαν Λεοντῖνοι, Χαλκιδέων μὲν ὄντες ἄποικοι, συγγενεῖς δὲ Ἀθηναίων ἔτυχον ὑπὸ Συρακεσίων πολεμέμενοι. πιεζόμενοι δὲ τῷ πολέμῳ, καὶ διὰ τὴν ὑπεροχὴν τῶν Συρακεσίων κινδυνεύοντες ἁλῶναι κατὰ κράτος, ἐξέπεμψαν πρέσβεις εἰς τὰς Ἀθήνας, ἀξιῦντες τὸν δῆμον βοηθῆσαι τὴν ταχίστην, καὶ τὴν πόλιν ἑαυτῶν ἐκ τῶν κινδύνων ῥύσασθαι. ἦν δὲ τῶν ἀπεσαλμένων ἀρχιπρεσβευτὴς Γοργίας ὁ ῥήτωρ, δεινότητι λόγε πολὺ προέχων πάντων τῶν καθ' ἑαυτόν. ὗτος καὶ τέχνας ῥητορικὰς πρῶτος ἐξεῦρε, καὶ κατὰ τὴν σοφισείαν τοσῦτον τὺς ἄλλυς ὑπερέβαλεν, ὥστε μισθὸν λαμβάνειν παρὰ τῶν μαθητῶν μνᾶς ἑκατόν. ὗτος ὖν καταντήσας εἰς τὰς Ἀθήνας, καὶ παραχθεὶς εἰς τὸν δῆμον, διελέχθη τοῖς Ἀθηναίοις περὶ τῆς συμμαχίας, καὶ τῷ ξενίζοντι τῆς λέξεως ἐξέπληξε τὺς Ἀθηναίυς, ὄντας εὐφυεῖς καὶ φιλολόγυς. πρῶτος γὰρ ἐχρήσατο τῆς λέξεως σχηματισμοῖς περιττοτέροις, καὶ τῇ φιλοτεχνίᾳ διαφέρυσιν ἀντιθέτοις καὶ ἰσοκώλοις καὶ παρίσοις καὶ ὁμοτελεύτοις καί τισιν ἑτέροις τοιύτοις, ἃ τότε μὲν διὰ τὸ ξένον τῆς κατασκευῆς ἀποδοχῆς ἠξιῦτο, νῦν δὲ περιεργίαν ἔχειν δοκεῖ, καὶ φαίνεται καταγέλασον, πλεονάκις καὶ κατακόρως τιθέμενον. τέλος πείσας τὺς Ἀθηναίυς συμμαχῆσαι τοῖς Λεοντίνοις, ὗτος μὲν θαυμαθεὶς ἐν ταῖς Ἀθήναις ἐπὶ τέχνῃ ῥητορικῇ, τὴν εἰς Λεοντίνυς ἐπάνοδον ἐποιήσατο.

cap. 53. Leontini a Syracusanis bello petiti, Athenienſium implorant auxilium, ante Chr.425

Ἀθηναῖοι δὲ καὶ πάλαι μὲν ἦσαν ἐπιθυμηταὶ τῆς Σικελίας, διὰ τὴν ἀρετὴν τῆς χώρας, καὶ τότε δ' ἀσμένως προσδεξάμενοι τὺς τῦ Γοργίυ λόγυς, ἐψηφίσαντο συμμαχίαν

cap. 54. qui, Siciliæ occupandæ studio incita-

Digitized by Google

ti, Leontinis classem ultro auxilio mittunt.

χίαν ἐκπέμπειν τοῖς Λεοντίνοις, πρόφασιν μὲν φέροντες τὴν τῶν συγγενῶν χρείαν καὶ δέησιν, τῇ δ' ἀληθείᾳ τὴν νῆσον σπεύδοντες κατακτήσασθαι. καὶ γὰρ ἐ πολλοῖς ἔτεσι πρότερον τῶν τε Κορινθίων καὶ τῶν Κερκυραίων διαπολεμέντων μὲν πρὸς ἀλλήλες, φιλοτιμηθέντων δ' ἀμφοτέρων συμμάχες λαβεῖν τὲς Ἀθηναίες, προέκρινεν ὁ δῆμος συμμαχεῖν τοῖς Κερκυραίοις, διὰ τὸ τὴν Κέρκυραν εὐφυῶς κεῖσθαι πρὸς τὸν εἰς Σικελίαν πλἕν. καθόλε γὰρ οἱ Ἀθηναῖοι κατακτησάμενοι τὴν τῆς θαλάττης ἡγεμονίαν, καὶ μεγάλας πράξεις ἐπιτελεσάμενοι, συμμάχων τε πολλῶν εὐπόρεν, καὶ δυνάμεις ἐπιτελεσάμενοι, μεγίσας ἐκέκτηντο πόλεις· καὶ χρημάτων τε πλῆθος ἕτοιμον παρέλαβον, μετακομίσαντες ἐκ Δήλε τὰ κοινὰ χρήματα τῶν Ἑλλήνων, ὄντα πλείω τῶν μυρίων ταλάντων· ἡγεμόσι τε μεγάλοις καὶ διὰ ϛρατηγίαν δεδοκιμασμένοις ἐχρήσαντο, καὶ διὰ τέτων ἁπάντων ἤλπιζον καταπολεμήσειν μὲν τὲς Λακεδαιμονίες, πάσης δὲ τῆς Ἑλλάδος τὴν ἡγεμονίαν περιπεποιημένοι, ἀνθέξεσθαι τῆς Σικελίας. διὰ ταύτας ἐν τὰς αἰτίας ψηφισάμενοι βοηθεῖν τοῖς Λεοντίνοις, ἐξέπεμψαν εἰς τὴν Σικελίαν ναῦς ἑκατὸν, καὶ ϛρατηγὲς Λάχητα καὶ Χαροιάδην. ἕτοι δὲ πλεύσαντες εἰς τὸ Ῥήγιον, προσελάβοντο ναῦς ἑκατὸν παρὰ τῶν Ῥηγίνων καὶ τῶν Χαλκιδέων ἀποίκων· ἐντεῦθεν δ' ὁρμώμενοι, τὸ μὲν πρῶτον τὰς Λιπαραίων νήσες κατέδραμον, (διὰ τὸ συμμαχεῖν τὲς Λιπαραίες τοῖς Συρακεσίοις·) μετὰ δὲ ταῦτα ἐπὶ Λοκρὲς πλεύσαντες, καὶ πέντε νεῶν Λοκρίδων κυριεύσαντες, Φρέριον ἐπολιόρκησαν. ἐπιβοηθησάντων δὲ τῶν πλησιοχώρων Σικελῶν τοῖς Μυλαίοις, ἐγένετο μάχη, καθ' ἣν Ἀθηναῖοι νικήσαντες ἀπέκτειναν μὲν πλείες τῶν χιλίων, ἐζώγρησαν δὲ ἐκ ἐλάττες τῶν ἑξακοσίων. εὐθὺς δὲ καὶ τὸ Φρέριον ἐκπολιορκήσαντες κατέσχον. τέτων δὲ πραττομένων, κατέπλευσαν νῆες τετταράκοντα, ἃς ἀπέϛειλεν ὁ δῆμος, κρίνων γενναιότερον ἅπτεσθαι τῆ πολέμε. ἡγεῖτο δ' αὐτῶν Εὐρυμέδων καὶ Σοφοκλῆς.

Sed res legatione transacta.

ἀθροισθεισῶν δὲ τῶν τριήρων εἰς ἕνα τόπον, ἀξιόλογος ἤδη ϛόλος κατεσκεύαϛο, συγκείμενος ἐκ τριήρων πεντήκοντα καὶ διακοσίων. τῆ δὲ πολέμε χρονίζοντος, οἱ Λεοντῖνοι διαπρεσβευσάμενοι πρὸς τὲς Συρακεσίες διελύθησαν. διόπερ αἱ μὲν τῶν Ἀθηναίων τριήρεις ἀπέπλευσαν εἰς τὴν οἰκείαν·

Digitized by Google

οἰκείαν· οἱ δὲ Συρακούσιοι τοῖς Λεοντίνοις μεταδόντες τῆς πολιτείας, ἅπαντας Συρακουσίους ἐποίησαν, καὶ τὴν πόλιν φρούριον ἀπέδειξαν τῶν Συρακουσίων.

Μετ' οὐ πολὺ δὲ κατὰ τὴν Σικελίαν Ἐγεσαῖοι πρὸς Σελινουντίους ἐπολέμησαν περὶ χώρας ἀμφισβητησίμου, ποταμοῦ τὴν χώραν τῶν διαφερομένων πόλεων ὁρίζοντος. Σελινούντιοι δὲ διαβάντες τὸ ῥεῖθρον, τὸ μὲν πρῶτον τῆς παραποταμίας βίᾳ κατέσχον· μετὰ δὲ ταῦτα καὶ τῆς προσκειμένης χώρας πολλὴν ἀποτεμόμενοι, κατεφρόνησαν τῶν ἠδικημένων. οἱ δ' Ἐγεσαῖοι παροξυνθέντες, τὸ μὲν πρῶτον διὰ τῶν λόγων πείθειν ἐπεβάλοντο, μὴ ἐπιβαίνειν τῆς ἀλλοτρίας γῆς· ὡς δὲ οὐδεὶς αὐτοῖς προσεῖχεν, ἐστράτευσαν ἐπὶ τοὺς κατέχοντας τὴν χώραν, καὶ πάντας ἐκβαλόντες ἐκ τῶν ἀγρῶν, αὐτοὶ τὴν χώραν κατέσχον. γενομένης δὲ διαφορᾶς μεγάλης ἀμφοτέραις ταῖς πόλεσι, στρατιώτας ἀθροίσαντες, διὰ τῶν ὅπλων ἐποιοῦντο τὴν κρίσιν. διόπερ ἀμφοτέρων παραταξαμένων, ἐγένετο μάχη καρτερὰ, καθ' ἣν Σελινούντιοι νικήσαντες, ἀπέκτειναν τῶν Ἐγεσαίων οὐκ ὀλίγους. οἱ δ' Ἐγεσαῖοι ταπεινωθέντες, καὶ καθ' ἑαυτοὺς οὐκ ὄντες ἀξιόμαχοι, τὸ μὲν πρῶτον Ἀκραγαντίνους καὶ Συρακουσίους ἔπειθον συμμαχῆσαι· ἀποτυχόντες δὲ τούτων, ἐξέπεμψαν πρεσβευτὰς εἰς τὴν Καρχηδόνα, δεόμενοι βοηθῆσαι. οὐ προσεχόντων δ' αὐτῶν, ἐζήτουν τινὰ διαπόντιον συμμαχίαν· ὅις συνήργησε ταυτόματον.

> cap. 82. Egestani & Selinuntii de finibus concertant. ante Chr. 414.

> Egestani proelio victi,

Λεοντίνων γὰρ ὑπὸ Συρακουσίων ἐκ τῆς πόλεως μετῳκισμένων, καὶ τὴν πόλιν καὶ τὴν χώραν ἀποβεβληκότων, οἱ φυγάδες αὐτῶν συστραφέντες, ἔκριναν πάλιν αὐτοὺς Ἀθηναίους προσλαβέσθαι συμμάχους, ὄντας συγγενεῖς. περὶ δὲ τούτων κοινολογησάμενοι τοῖς ἔθνεσιν, ὅις συνεφρόνησαν, κοινῇ πρέσβεις ἐξέπεμψαν πρὸς Ἀθηναίους, ἀξιοῦντες μὲν βοηθῆσαι ταῖς πόλεσιν αὐτῶν ἀδικουμέναις, ἐπαγγειλάμενοι δὲ συγκατασκευάσειν αὐτοῖς τὰ κατὰ τὴν Σικελίαν πράγματα. παραγενομένων οὖν εἰς τὰς Ἀθήνας τῶν πρέσβεων, καὶ τῶν μὲν Λεοντίνων τὴν συγγένειαν προφερομένων καὶ τὴν προϋπάρχουσαν συμμαχίαν, τῶν δ' Ἐγεσαίων ἐπαγγελλομένων χρημάτων τε πλῆθος δώσειν εἰς τὸν πόλεμον καὶ συμμαχήσειν κατὰ τῶν Συρακουσίων· ἔδοξε τοῖς Ἀθηναίοις ἐκπέμψαι τινὰς τῶν ἀρίστων ἀνδρῶν, καὶ

> cap. 83. Atheniensium implorant auxilium.

Digitized by Google

καὶ διασκέψαθαι τὰ κατὰ τὴν νῆσον καὶ τὰς Ἐγεςαίὰς. παραγενομένων ὖν τύτων εἰς τὴν Ἐγέςαν, οἱ μὲν Ἐγεςαῖοι χρημάτων πλῆθος ἐπέδειξαν, τὰ μὲν οἴκοθεν, τὰ δὲ παρὰ τῶν ἀςυγειτόνων χρησάμενοι, Φαντασίας ἕνεκεν. ἀπελθόντων δὲ τῶν πρέσβεων, καὶ τὴν εὐπορίαν τῶν Ἐγεςαίων ἀπαγγειλάντων, συνῆλθεν ὁ δῆμος περὶ τύτων. προτεθείσης δὲ τῆς βυλῆς περὶ τῦ ςρατεύειν ἐπὶ Σικελίαν, Νικίας μὲν ὁ Νικηράτυ, θαυμαζόμενος ἐπ' ἀρετῇ παρὰ τοῖς πολίταις, συνεβύλευε, μὴ ςρατεύειν ἐπὶ Σικελίαν. μὴ γὰρ δυνατὸν ὑπάρχειν ἅμα τε Λακεδαιμονίοις διαπολεμεῖν, καὶ δυνάμεις μεγάλας ἐκπέμπειν διαποντίυς· καὶ τῶν Ἑλλήνων μὴ δυναμένυς κτήσαθαι τὴν ἡγεμονίαν, ἐλπίζειν τὴν μεγίςην τῶν κατὰ τὴν οἰκυμένην νήσων περιποιήσαθαι; καὶ Καρχηδονίυς μὲν ἔχοντας μεγίςην ἡγεμονίαν, καὶ πολλάκις ὑπὲρ τῆς Σικελίας πεπολεμηκότας, μὴ δεδυνῆθαι κρατῆσαι τῆς νήσυ, τὺς δὲ Ἀθηναίυς πολὺ λειπομένυς τῇ δυνάμει τῶν Καρχηδονίων, δορύκτητον ποιήσαθαι τὴν κρατίςην τῶν νήσων;

Nicias quidem bellum in Sicilia suscipere dissuadet;

Πολλὰ δὲ καὶ ἄλλα διαλεχθέντος αὐτῦ περὶ τῆς προκειμένης ὑποθέσεως οἰκεῖα, τῆς ἐναντίας γνώμης προεςηκὼς Ἀλκιβιάδης, ἐπιΦανέςατος Ἀθηναίων, ἔπεισε τὸν δῆμον ἐπανελέθαι τὸν πόλεμον. ἦν γὰρ ὁ ἀνὴρ ὖτος δεινότατος μὲν εἰπεῖν τῶν πολιτῶν, εὐγενείᾳ δὲ καὶ πλύτῳ καὶ ςρατηγίᾳ διωνομασμένος. εὐθὺς ὖν ὁ δῆμος ςόλον ἀξιόχρεων κατεσκεύασε, τριάκοντα μὲν τριήρεις παρὰ τῶν συμμάχων λαβὼν, ἰδίας δ' ἑκατὸν καταρτίσας· ταύτας τε κοσμήσας πᾶσι τοῖς εἰς πόλεμον χρησίμοις, κατέλεξεν ὁπλίτας εἰς πεντακισχιλίυς, ςρατηγὺς δὲ τρεῖς ἐχειροτόνησεν ἐπὶ ταύτην τὴν ςρατηγίαν, Ἀλκιβιάδην καὶ Νικίαν καὶ Λάμαχον. — Τὰς δὲ συμΦορὰς τύτυ τῦ πολέμυ καὶ τὴν αὐτῦ κατάλυσιν εἰς Ἀθηναίων Φθορὰν, ἀνεγράψαμεν ἤδη ἐν τῇ περὶ τῦ πολέμυ Πελοποννησιακῦ περικοπῇ.

cap. 84. sed auctore Alcibiade Athenienses nihilominus bellum ibi gerere decernunt.

cf. Tom. II. p. 398-437.

Συρακύσιοι δὲ καταλελυκότες τὸν πρὸς Ἀθηναίυς πόλεμον, τὺς μὲν Λακεδαιμονίυς συμμαχήσαντας, ὧν ἦρχε Γύλιππος, ἐτίμησαν τοῖς ἐκ τῦ πολέμυ λαΦύροις, συναπέςειλαν δ' αὐτοῖς εἰς Λακεδαίμονα συμμαχίαν, εἰς τὸν πρὸς Ἀθηναίυς πόλεμον, τριάκοντα καὶ πέντε τριήρεις, ὧν ἦρχεν Ἑρμοκράτης ὁ πρωτεύων τῶν πολιτῶν. αὐτοὶ δὲ

Ibidem. L. XIII. c. 34. Syracusani, finito cum Atheniens. bello, Lacedaemoniis auxilia partemque

δὲ τὰς ἐκ τοῦ πολέμου γενομένας ὠφελείας ἀθροίσαντες, τοὺς μὲν ναοὺς ἀναθήμασι καὶ σκύλοις ἐκόσμησαν, τῶν δὲ στρατιωτῶν τοὺς ἀριστεύσαντας ταῖς προσηκούσαις δωρεαῖς ἐτίμησαν. μετὰ δὲ ταῦτα τῶν δημαγωγῶν ὁ πλεῖστον παρ' αὐτοῖς ἰσχύσας Διοκλῆς, ἔπεισε τὸν δῆμον μεταστῆσαι τὴν πολιτείαν εἰς τὸ κλήρῳ τὰς ἀρχὰς διοικεῖσθαι, ἑλέσθαι δὲ καὶ νομοθέτας εἰς τὸ τὴν πολιτείαν διατάξαι, καὶ νόμους καινοὺς ἰδίᾳ συγγράψαι.

prædæ mittunt.
ante Chr. 410.

Nova reip. Syracusanorum constitutio per Dioclem.

cap. 35.
Dioclis elogium.

Διόπερ οἱ Συρακούσιοι τοὺς φρονήσει διαφέροντας τῶν πολιτῶν εἵλοντο νομοθέτας, ὧν ἦν ἐπιφανέστατος Διοκλῆς. τοσοῦτο γὰρ τῶν ἄλλων διήνεγκε συνέσει καὶ δόξῃ, ὥστε τῆς νομοθεσίας ὑπὸ πάντων κοινῇ γραφείσης, ὀνομασθῆναι τοὺς νόμους Διοκλέους. οὐ μόνον δὲ τὸν ἄνδρα τοῦτον ζῶντα ἐθαύμασαν οἱ Συρακούσιοι, ἀλλὰ καὶ τελευτήσαντα τιμαῖς ἡρωϊκαῖς ἐτίμησαν, καὶ νεὼν ᾠκοδόμησαν δημοσίᾳ, τὸν ὕστερον ὑπὸ Διονυσίου κατὰ τὴν τειχοποιΐαν καθαιρεθέντα. ἐθαυμάσθη δὲ ὁ ἀνὴρ οὗτος καὶ παρὰ τοῖς ἄλλοις Σικελιώταις. πολλαὶ γοῦν τῶν κατὰ τὴν νῆσον πόλεων χρώμεναι διετέλεσαν τοῖς τούτου νόμοις, μέχρις ὅτου πάντες οἱ Σικελιῶται τῆς Ῥωμαίων πολιτείας ἠξιώθησαν. οἱ δ' οὖν Συρακούσιοι κατὰ τοὺς νεωτέρους χρόνους κατὰ μὲν Τιμολέοντα νομοθετήσαντος αὐτοῖς Κεφάλου, κατὰ δὲ τὸν Ἱέρωνα τὸν βασιλέα Πολυδώρου, οὐδέτερον αὐτῶν ὠνόμασαν νομοθέτην, ἀλλ' ἢ ἐξηγητὴν τοῦ νομοθέτου· διὰ τὸ τοὺς νόμους γεγραμμένους ἀρχαίᾳ διαλέκτῳ δοκεῖν εἶναι δυσκατανοήτους. μεγάλης δὲ οὔσης κατὰ τὴν νομοθεσίαν ἀναθεωρήσεως, μισοπόνηρος μὲν φαίνεται, διὰ τὸ πάντων τῶν νομοθετῶν πικρότατα πρόστιμα θεῖναι κατὰ πάντων τῶν ἀδικούντων· δίκαιος δ', ἐκ τοῦ περιττότερον τῶν πρὸ αὐτοῦ κατ' ἀξίαν ἑκάστῳ τὸ ἐπιτίμιον ὑπάρξαι· πραγματικὸς δὲ καὶ πολύπειρος, ἐκ τοῦ πᾶν ἔγκλημά τε καὶ πρᾶγμα δημόσιόν τε καὶ ἰδιωτικὸν ἀμφισβητούμενον ὡρισμένης ἀξιῶσαι τιμωρίας. ἔστι δὲ καὶ κατὰ τὴν λέξιν σύντομος, καὶ πολλὴν τοῖς ἀναγινώσκουσιν ἀπολιπὼν ἀναθεώρησιν. ἐμαρτύρησε δ' αὐτοῦ τὴν ἀρετὴν καὶ σκληρότητα τῆς ψυχῆς ἡ περὶ τὴν τελευτὴν περιπέτεια.

cap. 43.
Egestani de agro cum Se-

Περὶ δὲ τούτους τοὺς χρόνους Ἐγεσταῖοι κατὰ τὴν Σικελίαν σύμμαχοι γεγενημένοι τοῖς Ἀθηναίοις κατὰ Συρακουσίων,

Digitized by Google

linuntiis ambigentes, ante Chr. 408.

κεσίων, καταλυθέντος τȣ̃ πολέμȣ περιδεεῖς καθειςήκεισαν. ἤλπιζον γὰρ (ὅπερ ἦν εἰκὸς) τιμωρίαν δώσειν τοῖς Σικελιώταις, ὑπὲρ ὧν εἰς αὐτȣ̀ς ἐξήμαρτον. τῶν δὲ Σελινȣντίων περὶ τῆς ἀμφισβητησίμȣ χώρας πολεμȣ́ντων αὐτȣ̀ς, ἑκȣσίως ἐξεχώρȣν, εὐλαβȣ́μενοι μὴ διὰ ταύτην τὴν πρόφασιν οἱ Συρακȣ́σιοι συνεπιλάβωνται τȣ̃ πολέμȣ τοῖς Σελινȣντίοις, καὶ κινδυνεύσωσιν ἄρδην ἀπολέσαι τὴν πατρίδα. ἐπεὶ δ' οἱ Σελινȣ́ντιοι, χωρὶς τῆς ἀμφισβητησίμȣ, πολλὴν τῆς παρακειμένης ἀπετέμοντο, τηνικαῦθ' οἱ τὴν Ἔγεςαν οἰκȣ̃ντες, πρέσβεις ἀπέςειλαν εἰς Καρχηδόνα, δεόμενοι βοηθῆσαι, καὶ τὴν πόλιν αὐτοῖς ἐγχειρίζοντες. καταπλευσάντων δὲ τῶν πεμφθέντων, καὶ τῇ γερȣσίᾳ τὰς παρὰ τȣ̃ δήμȣ δεδομένας ἐντολὰς εἰπόντων, ȣ̓ μετρίως διηπόρησαν οἱ Καρχηδόνιοι. ἅμα μὲν γὰρ ἐπεθύμȣν παραλαβεῖν τὴν πόλιν εὔκαιρον, ἅμα δ' ἐφοβȣ̃ντο τȣ̀ς Συρακȣσίȣς, ἑωρακότες προσφάτως καταπεπολεμημένας τὰς τῶν Ἀθηναίων δυνάμεις. ȣ̓ μὴν ἀλλὰ καὶ τȣ̃ παρ' αὐτοῖς πρωτεύοντος παραλαβεῖν τὴν πόλιν, τοῖς μὲν πρεσβευταῖς ἀπεκρίθησαν βοηθήσειν, εἰς δὲ τὴν τȣ́των διοίκησιν, ἂν ᾖ χρεία πολεμεῖν, κατέςησαν ςρατηγὸν τὸν Ἀννίβαν, κατὰ νόμȣς τότε βασιλεύοντα. ȣ̓̃τος δὲ ἦν υἱωνὸς μὲν τȣ̃ πρὸς Γέλωνα πολεμήσαντος Ἀμίλκȣ, καὶ πρὸς Ἱμέρᾳ τελευτήσαντος· υἱὸς δὲ Γέσκωνος, ὃς διὰ τὴν τȣ̃ πατρὸς ἧτταν ἐφυγαδεύθη, καὶ κατεβίωσεν ἐν τῇ Σελινȣ̃ντι. ὁ δ' ȣ̓̃ν Ἀννίβας, ὢν μὲν καὶ φύσει μισέλλην, ὅμως δὲ τὰς τῶν προγόνων ἀτιμίας διορθώσασθαι βȣλόμενος, ἔσπευδε δι' ἑαυτȣ̃ τι κατασκευάσαι χρήσιμον τῇ πατρίδι. θεωρῶν ȣ̓̃ν τȣ̀ς Σελινȣντίȣς ȣ̓κ ἀρκȣμένȣς τῇ παραχωρήσει τῆς ἀμφισβητησίμȣ χώρας, πρέσβεις ἀπέςειλε μετὰ τῶν Ἐγεςαίων πρὸς Συρακȣσίȣς, ἐπιτρέπων αὐτοῖς τὴν κρίσιν τȣ́των· τῷ μὲν λόγῳ προσποιȣ́μενος δικαιοπραγεῖν, τῇ δ' ἀληθείᾳ νομίζων, ἐκ τȣ̃ μὴ βȣ́λεσθαι τȣ̀ς Σελινȣντίȣς διακριθῆναι, μὴ συμμαχήσειν αὐτοῖς τȣ̀ς Συρακȣσίȣς. ἀποςειλάντων δὲ καὶ Σελινȣντίων πρέσβεις, διακριθῆναι μὲν μὴ βȣλομένων, πολλὰ δὲ πρὸς τȣ̀ς παρὰ Καρχηδονίων καὶ τῶν Ἐγεςαίων πρέσβεις ἀντειπόντων, τέλος ἔδοξε τοῖς Συρακȣσίοις ψηφίσασθαι τηρεῖν πρὸς μὲν Σελινȣντίȣς τὴν συμμαχίαν, πρὸς δὲ Καρχηδονίȣς τὴν εἰρήνην.

Carthaginienses in auxilium vocant.

Μετὰ

Digitized by Google

cap. 44.

Μετὰ δὲ τὴν ἐπάνοδον τῶν πρεσβευτῶν, Καρχηδόνιοι μὲν τοῖς Ἐγεσταίοις ἀπέστειλαν Λίβυάς τε πεντακισχιλίους καὶ τῶν Καμπανῶν ὀκτακοσίους· οὗτοι δ' ἦσαν ὑπὸ τῶν Χαλκιδέων τοῖς Ἀθηναίοις εἰς τὸν πρὸς Συρακουσίους πόλεμον μεμισθωμένοι, καὶ μετὰ τὴν ἧτταν καταπεπλευκότες, οὐκ εἶχον τοὺς μισθοδοτήσοντας· οἱ δὲ Καρχηδόνιοι πᾶσιν ἵππους ἀγοράσαντες, καὶ μισθοὺς ἀξιολόγους δόντες, εἰς τὴν Ἔγεσταν κατέστησαν. οἱ δὲ Σελινούντιοι κατ' ἐκείνους τοὺς χρόνους εὐδαιμονοῦντες, καὶ τῆς πόλεως αὐτοῖς πολυάνδρου οὔσης, κατεφρόνουν τῶν Ἐγεσταίων· καὶ τὸ μὲν πρῶτον ἐν τάξει τὴν ὅμορον χώραν ἐπόρθουν, πολὺ προέχοντες ταῖς δυνάμεσι, μετὰ δὲ ταῦτα καταφρονήσαντες, κατὰ πᾶσαν τὴν χώραν ἐσκεδάσθησαν. οἱ δὲ τῶν Ἐγεσταίων στρατηγοὶ παρατηρήσαντες αὐτούς, ἐπέθεντο μετὰ τῶν Καρχηδονίων καὶ τῶν Καμπανῶν. ἀπροσδοκήτου δὲ τῆς ἐφόδου γενομένης, ῥᾳδίως ἐτρέψαντο τοὺς Σελινουντίους· καὶ τῶν μὲν στρατιωτῶν ἀνεῖλον περὶ χιλίους, τῆς δὲ λείας πάσης ἐκυρίευσαν. μετὰ δὲ τὴν μάχην εὐθέως ἀπέστειλαν πρέσβεις, οἱ μὲν Σελινούντιοι πρὸς Συρακουσίους, οἱ δ' Ἐγεσταῖοι πρὸς Καρχηδονίους, περὶ βοηθείας. ἑκατέρων δ' ἐπαγγειλαμένων συμμαχήσειν, ὁ μὲν Καρχηδονιακὸς πόλεμος ταύτην ἔλαβε τὴν ἀρχήν. οἱ δὲ Καρχηδόνιοι προορώμενοι τὸ μέγεθος τοῦ πολέμου, τὴν ἐπιτροπὴν ἔδωκαν Ἀννίβᾳ τῷ στρατηγῷ περὶ τοῦ μεγέθους τῆς δυνάμεως, καὶ πάντα προθύμως ὑπηρέτουν. ὁ δὲ Ἀννίβας τό τε θέρος ἐκεῖνο καὶ τὸν συνάπτοντα χειμῶνα, πολλοὺς μὲν ἐξ Ἰβηρίας ἐξενολόγησεν, οὐκ ὀλίγους δὲ καὶ τῶν πολιτῶν κατέγραφεν. ἐπῄει δὲ καὶ τὴν Λιβύην, ἐπιλεγόμενος ἐξ ἁπάσης πόλεως τοὺς κρατίστους, καὶ ναῦς παρεσκευάζετο, διανοούμενος, τῆς ἐαρινῆς ὥρας ἐνισταμένης διαβιβάζειν τὰς δυνάμεις.

Syracusanos cum Selinuntii in suas partes trahunt, exoritur *bellum Carthaginiense* in Sicilia, gestum ab Hannibale.

cap. 54. Jam Hannibal, adve<ta classe & expositis copiis, bellum in Sicilia urget.

Ἀννίβας οὖν ὁ τῶν Καρχηδονίων στρατηγὸς τούς τ' ἐξ Ἰβηρίας ξενολογηθέντας, καὶ τοὺς ἐκ τῆς Λιβύης καταγραφέντας στρατιώτας συνήγαγε· καὶ μακρὰς μὲν ἑξήκοντα ναῦς ἐπλήρωσε, τὰ δὲ φορτηγὰ πλοῖα περὶ χίλια πεντακόσια παρεσκευάσατο· ἐν τούτοις τήν τε δύναμιν διεκόμιζε καὶ τὰ πρὸς τὰς πολιορκίας μηχανήματα, καὶ βέλη, καὶ τὴν ἄλλην παρασκευὴν ἅπασαν. περαιωθεὶς δὲ

μετὰ

μετὰ τȣ̃ ϛόλȣ τὸ Λιβυκὸν πέλαγος, κατέπλευσε τῆς Σικελίας ἐπὶ τὴν ἄκραν τὴν ἀπέναντι τῆς Λιβύης, καλȣμένην Λιλύβαιον. καθ᾽ ὃν δὴ χρόνον τῶν Σελινȣντίων τινὲς ἱππέων περὶ τȣ̀ς τόπȣς διατρίβοντες, καὶ τὸ μέγεθος τȣ̃ καταπλέοντος ϛόλȣ θεασάμενοι, ταχέως τοῖς πολίταις τὴν τῶν πολεμίων παρȣσίαν ἐδήλωσαν. καὶ οἱ μὲν Σελινȣ́ντιοι τȣ̀ς βιβλιαφόρȣς παραχρῆμα πρὸς τȣ̀ς Συρακȣσίȣς ἀπέϛειλαν, δεόμενοι βοηθεῖν.

cap. 56. Οἱ δὲ Συρακȣ́σιοι, πυθόμενοι τὰ περὶ τὴν πολιορκίαν, πρὸς μὲν Χαλκιδεῖς πόλεμον ἔχοντες, διελύσαντο· τὰς δ᾽ ἀπὸ τῆς χώρας δυνάμεις ἀθροίζοντες, μεγάλην ποιȣ́μενοι παρασκευὴν ἐχρόνιζον, νομίζοντες πολιορκηθήσεσθαι τὴν πόλιν, ἀλλ᾽ ȣ̓κ ἀναρπασθήσεσθαι.

cap. 59. Μετὰ δὲ ταῦτα εἰς τὸν Ἀκράγαντα κατήντησαν ϛρατιῶται τρισχίλιοι παρὰ Συρακȣσίων ἐπίλεκτοι, προαπεϛαλμένοι κατὰ σπȣδὴν ἐπὶ τὴν βοήθειαν. πυθόμενοι δὲ τὴν πόλιν ἡλωκυῖαν, πρέσβεις ἀπέϛειλαν, παρακαλȣ̃ντες τὸν Ἀννίβαν, τȣ́ς τε αἰχμαλώτȣς ἀπολυτρῶσαι, καὶ τῶν θεῶν τȣ̀ς ναȣ̀ς ἐᾶσαι. ὁ δ᾽ Ἀννίβας ἀπεκρίθη, τȣ̀ς μὲν Σελινȣντίȣς, μὴ δυναμένȣς τηρεῖν τὴν ἐλευθερίαν, πεῖραν

ante Chr. 407. τῆς δȣλείας λήψεσθαι· τȣ̀ς δὲ θεȣ̀ς ἐκτὸς Σελινȣ̃ντος οἴχεσθαι, προσκόψαντας τοῖς ἐνοικȣ̃σιν. ὁ δὲ Ἀννίβας περιελὼν τὰ τείχη τῆς Σελινȣ̃ντος, ἀνέζευξε μετὰ πάσης τῆς δυνάμεως ἐπὶ τὴν Ἱμέραν, ἐπιθυμῶν μάλιϛα ταύτην κατασκάψαι τὴν πόλιν. διὰ ταύτην γὰρ ὁ μὲν πατὴρ αὐτȣ̃ φυγὰς ἦν, ὁ δὲ προπάτωρ Ἀμίλκας πρὸς ταύτῃ καταϛρατηγηθεὶς ὑπὸ Γέλωνος ἀνῃρέθη, καὶ μετ᾽ αὐτȣ̃ πεντεκαίδεκα μυριάδες ϛρατιωτῶν ἀνῃρέθησαν, ἄλλαι δὲ ȣ̓κ ἐλάττȣς τȣ́των ἠχμαλωτίσθησαν. παρεγένοντο δὲ τοῖς Ἱμεραίοις εἰς τὴν βοήθειαν οἵ τ᾽ ἐξ Ἀκράγαντος Συρακȣ́σιοι, καί τινες τῶν ἄλλων συμμάχων, οἱ πάντες εἰς τετρακισχιλίȣς, ὧν Διοκλῆς ὁ Συρακȣ́σιος εἶχε τὴν ἡγεμονίαν.

cap. 61. Τῆς δὲ μάχης πρώτης ἤδη τέλος ἐχȣ́σης, κατέπλευσαν πρὸς τὴν Ἱμέραν πέντε πρὸς ταῖς εἴκοσι τριήρεις παρὰ τῶν Σικελιωτῶν, ἃς πρότερον μὲν ἀπεϛάλκεισαν τοῖς Λακεδαιμονίοις ἐπὶ συμμαχίαν· τότε δ᾽ ἀνέϛρεψαν ἀπὸ τῆς ϛρατείας. διεδόθη δὲ καὶ φήμη τις κατὰ τὴν πόλιν,

ὅτι

ὅτι Συρακούσιοι μὲν πανδημεὶ μετὰ τῶν συμμάχων πορεύονται τοῖς Ἱμεραίοις βοηθήσειν, Ἀννίβας δὲ μέλλοι τὰς ἐν Μοτύῃ τριήρεις πληρῶν τῶν κρατίστων ἀνδρῶν, καὶ περιπλεύσας ἐπὶ Συρακούσας, ἔρημον τὴν πόλιν τῶν ἀμυνομένων καταλαβέσθαι. διόπερ Διοκλῆς ὁ τῶν ἐν Ἱμέρᾳ στρατηγὸς συνεβούλευσε τοῖς ναυάρχοις τὴν ταχίστην ἐκπλεῖν εἰς Συρακούσας, ἵνα μὴ συμβῇ κατὰ κράτος ἁλῶναι τὴν πόλιν, ἀπολωλότων ἐν τῇ μάχῃ τῶν κρατίστων ἀνδρῶν. διόπερ ἐφαίνετο συμφέρειν αὐτοῖς ἐκλιπεῖν τὴν πόλιν, καὶ τοὺς μὲν ἡμίσεις εἰς τὰς τριήρεις ἐμβιβάσαι, (ταύτας γὰρ κατακομιεῖν αὐτοὺς, μέχρις ἂν ἐκτὸς τῆς Ἱμεραίας γένωνται χώρας) τοῖς δ' ἡμίσεσι τηρεῖν, ἕως ἂν πάλιν αἱ τριήρεις ἐπιστρέψωσι. τῶν δ' Ἱμεραίων σχετλιαζόντων μὲν ἐπὶ τοῖς λεγομένοις, οὐκ ἐχόντων δὲ ὃ πράξειαν ἕτερον, αἱ μὲν τριήρεις νυκτὸς ἐπληροῦντο κατὰ σπουδὴν ἀναμὶξ γυναικῶν τε καὶ παίδων, ἔτι δὲ τῶν ἄλλων σωμάτων ἐπὶ τούτων ἀποπλεόντων ὡς ἐπὶ Μεσσήνην. Διοκλῆς δὲ τοὺς ἰδίους στρατιώτας ἀναλαβὼν, καὶ τοὺς πεσόντας ἐν τῇ μάχῃ καταλιπὼν, ὥρμησεν ἐπ' οἴκου τὴν πορείαν ποιούμενος. πολλοὶ δὲ τῶν Ἱμεραίων μετὰ τέκνων καὶ γυναικῶν ἐξώρμησαν σὺν τοῖς περὶ τὸν Διοκλῆν, μὴ δυναμένων χωρῆσαι τῶν τριήρων τὸν ὄχλον.

Οἱ δ' ἐν τῇ πόλει καταλειφθέντες διενυκτέρευον μὲν ἐν τοῖς ὅπλοις ἐπὶ τῶν τειχῶν. ἅμα δ' ἡμέρᾳ τῶν Καρχηδονίων περιστρατοπεδευσάντων τὴν πόλιν, καὶ πυκνὰς προσβολὰς ποιουμένων, οἱ καταλειφθέντες τῶν Ἱμεραίων ἀφειδῶς ἠγωνίζοντο, προσδοκῶντες τὴν νεῶν παρουσίαν. ἐκείνην μὲν οὖν τὴν ἡμέραν διεκαρτέρησαν· τῇ δ' ὑστεραίᾳ τῶν τριήρων ἐπιφαινένων ἤδη, συνέβαινε τὸ μὲν τεῖχος πεσεῖν ὑπὸ τῶν μηχανῶν, τοὺς δ' Ἴβηρας ἀθρόους παρεισπεσεῖν εἰς τὴν πόλιν. τῶν δὲ βαρβάρων οἱ μὲν ἠμύνοντο τοὺς παραβοηθοῦντας τῶν Ἱμεραίων, οἱ δὲ, καταλαμβανόμενοι τὰ τείχη, παρεδέχοντο τοὺς ἰδίους. κατὰ κράτος οὖν ἁλούσης τῆς πόλεως, ἐπὶ πολὺν χρόνον οἱ βάρβαροι πάντας ἐφόνευον τοὺς καταλαμβανομένους ἀσυμπαθῶς· τοῦ δ' Ἀννίβα ζωγρεῖν παραγγείλαντος, ὁ μὲν φόνος ἔληξεν, ἡ δ' ἐκ τῶν οἰκιῶν εὐδαιμονία διεφορεῖτο. ὁ δ' Ἀννίβας τὰ μὲν ἱερὰ συλήσας, καὶ τοὺς καταφυγόντας ἱκέτας

cap. 62.

Digitized by Google

ἱκέτας ἀποσπάσας ἐνέπρησε, καὶ τὴν πόλιν ἐις ἔδαφος κατέσκαψεν, οἰκιϑεῖσαν ἔτη διακόσια τεσσαράκοντα. τῶν δ᾽ αἰχμαλώτων γυναῖκάς τε καὶ παῖδας διαδὺς ἐις τὸ στρατόπεδον παρεφύλαττε· τῶν δ᾽ ἀνδρῶν τὺς ἁλόντας ἐις τρισχιλίυς ὄντας παρήγαγεν ἐπὶ τὸν τόπον, ἐν ᾧ πρότερον Ἀμίλκας ὁ πάππος αὐτῦ ὑπὸ Γέλωνος ἀνῃρέϑη, καὶ πάντας αἰκισάμενος κατέσφαξε. μετὰ δὲ ταῦτα διαλύσας τὸ στρατόπεδον, τὺς μὲν ἀπὸ Σικελίας συμμάχυς ἀπέστειλεν ἐις τὰς πατρίδας, μεϑ᾽ ὧν καὶ Καμπανοὶ συνηκολύϑησαν, ἐγκαλῦντες μὲν τοῖς Καρχηδονίοις, ὡς αἰτιώτατοι μὲν τῶν ἐυημερημάτων γεγενημένοι, ὐκ ἀξίας δὲ χάριτας ἐιληφότες τῶν πεπραγμένων. ὁ δ᾽ Ἀννίβας ἐις τὰς μακρὰς ναῦς καὶ φορτηγὺς ἐμβιβάσας τὴν δύναμιν, καὶ τὺς ἱκανὺς τοῖς συμμάχοις ἀπολιπὼν στρατιώτας, ἐξέπλευσεν ἐκ τῆς Σικελίας. ἐπεὶ δ᾽ ἐις Καρχηδόνα κατέπλευσε μετὰ πολλῶν λαφύρων, ἀπήντων αὐτῷ πάντες δεξιύμενοι καὶ τιμῶντες, ὡς ἐν ὀλίγῳ χρόνῳ μείζονα πράξαντα τῶν πρότερον στρατηγῶν.

Hannibal præda onustus Carthaginem redit.

cap. 80. Hannibal novam expeditionem in Siciliam parat, ante Chr. 404. ob senectutem Imilcone adjuncto socio.

Καρχηδόνιοι δὲ, τοῖς περὶ Σικελίαν ἐυτυχήμασι μετεωριζόμενοι, καὶ σπεύδοντες, ἁπάσης τῆς νήσυ κυριεῦσαι, μεγάλας δυνάμεις ἐψηφίσαντο παρασκευάζεσϑαι. ἑλόμενοι δὲ στρατηγὸν Ἀννίβαν, τὸν κατασκάψαντα τήν τε τῶν Σελινυντίων καὶ τὴν τῶν Ἱμεραίων πόλιν, ἅπασαν αὐτῷ τὴν κατὰ τὸν πόλεμον ἐξυσίαν ἐπέτρεψαν. παραιτυμένυ δὲ διὰ τὸ γῆρας, προσκατέστησαν καὶ ἄλλον στρατηγὸν, Ἰμίλκωνα τὸν Ἄννωνος, ἐκ τῆς αὐτῆς ὄντα συγγενείας. ὗτοι δὲ κοινῇ συνεδρεύσαντες, ἔπεμψάν τινας τῶν ἐν ἀξιώματι παρὰ τοῖς Καρχηδονίοις ὄντων μετὰ πολλῶν χρημάτων, τὺς μὲν ἐις Ἰβηρίαν, τὺς δ᾽ ἐις τὰς Βαλλιαρίδας νήσυς, παρακελευσάμενοι ξε.ολογεῖν ὡς πλείστυς. αὐτοὶ δ᾽ ἐπῄεσαν τὴν Λιβύην, καταγράφοντες στρατιώτας Λίβυας καὶ Φοίνικας, καὶ τῶν πολιτῶν τὺς κρατίστυς. μετεπέμποντο δὲ καὶ παρὰ τῶν συμμαχύντων αὐτοῖς ἐϑνῶν καὶ βασιλέων στρατιώτας Μαυρυσίυς καὶ Νομάδας, καί τινας τῶν οἰκύντων τὰ πρὸς τὴν Κυρήνην κεκλιμένα μέρη. ἐκ δὲ τῆς Ἰταλίας μισϑωσάμενοι Καμπανὺς, διεβίβασαν ἐις Λιβύην. ᾔδεισαν γὰρ τὴν μὲν χρείαν αὐτῶν μεγάλα συμβαλλομένην, τὺς δ᾽ ἐν Σικελίᾳ καταλελειμμένυς Καμπανὺς,

Digitized by Google

νὲς, διὰ τὸ προσκεκόφθαι τὲς Καρχηδονίες, μετὰ τῶν Σικελιωτῶν ταχθησομένες. τέλος δὲ τῶν δυνάμεων ἀθροιθεισῶν εἰς Καρχηδόνα, συνήχθησαν αὐτοῖς οἱ πάντες σὺν ἱππεῦσιν, ἐ πολλῷ πλείες, ὡς μὲν Τίμαιος, τῶν δώδεκα μυριάδων, ὡς δ' Ἔφορος, τριάκοντα μυριάδων. Καρχηδόνιοι μὲν ἒν τὰ πρὸς τὴν διάβασιν ἑτοιμάζοντες, τάς τε τριήρεις πάσας κατήρτιζον, καὶ φορτηγὰ πλοῖα συνήγαγον πλείω τῶν χιλίων. προαποςειλάντων δ' αὐτῶν εἰς Σικελίαν τεσσαράκοντα τριήρεις, οἱ Συρακέσιοι κατὰ τάχος ταῖς παραπλησίαις ναυσὶν ἐπεφάνησαν ἐν τοῖς περὶ τὸν Ἔρυκα τόποις. γενομένης δὲ ναυμαχίας ἐπὶ πολὺν χρόνον, πεντεκαίδεκα μὲν τῶν Φοινισσῶν νεῶν διεφθάρησαν, αἱ δ' ἄλλαι νυκτὸς ἐπιγενομένης διέφυγον εἰς τὸ πέλαγος. ἀπαγγελθείσης δὲ τῆς ἥττης τοῖς Καρχηδονίοις, Ἀννίβας ὁ ςρατηγὸς ἐξέπλευσε μετὰ νεῶν πεντήκοντα. ἔσπευδε γὰρ, τὲς μὲν Συρακεσίες κωλῦσαι, χρήσασθαι τῷ προτερήματι, ταῖς δὲ ἰδίαις δυνάμεσιν ἀσφαλῆ παρασκευάσαι τὸν κατάπλεν.

Præmissæ XL naves prœlio apud Erycem a Syracusanis funduntur.

Ipse cum L navibus sequitur.

Διαβοηθείσης δὲ τῆς Ἀννίβα βοηθείας κατὰ τὴν νῆσον, ἅπαντες προσεδόκων, καὶ τὰς δυνάμεις εὐθέως διαβιβασθήσεσθαι. αἱ δὲ πόλεις τὸ μέγεθος τῆς παρασκευῆς ἀκέσασαι, καὶ συλλογιζόμεναι τὸν ἀγῶνα περὶ τῶν ὅλων ἐσόμενον, ἐ μετρίως ἠγωνίων. οἱ μὲν ἒν Συρακέσιοι πρός τε τὲς κατ' Ἰταλίαν Ἕλληνας καὶ πρὸς Λακεδαιμονίες περὶ συμμαχίας διεπέμποντο· ἐπέςελλον δὲ καὶ πρὸς τὰς ἐν Σικελίᾳ πόλεις, πρὸς τὲς παρορμήσοντας τὰ πλήθη πρὸς τὸν ὑπὲρ τῆς κοινῆς ἐλευθερίας κίνδυνον. Ἀκραγαντῖνοι δὲ ὁρῶντες τὴν τῶν Καρχηδονίων ἐπικράτειαν, διελάμβανον, ὅπερ ἦν, ἐπ' αὐτὲς πρώτες ἥξειν τὸ τῆ πολέμε βάρος. ἔδοξεν ἒν αὐτοῖς τόν τε σῖτον καὶ τὲς ἄλλες καρπὲς, ἔτι δὲ τὰς κτήσεις ἁπάσας ἀπὸ τῆς χώρας κατακομίζειν ἐντὸς τῶν τειχῶν. κατ' ἐκείνες δὲ τὲς καιρὲς τήν τε χώραν καὶ τὴν πόλιν τῶν Ἀκραγαντίνων συνέβαινεν εὐδαιμονίας ὑπάρχειν πλήρη. περὶ ἧς ἐκ ἀνάρμοσόν μοι φαίνεται διελθεῖν. καὶ γὰρ ἀμπελῶνες τοῖς μεγέθεσι καὶ τῷ κάλλει διαφέροντες, καὶ τὸ πλεῖςον τῆς χώρας ἐλαίαις κατάφυτον, ἐξ ἧς παμπληθῆ κομιζόμενοι καρπὸν ἐπώλεν εἰς Καρχηδόνα· ἔπω γὰρ κατ' ἐκείνες τὲς χρόνες τῆς Λιβύης πεφυτευμένης, οἱ τὴν Ἀκραγαντίνην νεμόμενοι, τὸν ἐκ τῆς

cap. 81. Syracusani & Agrigentini exterorum auxilia appetunt.

Λιβύης

Digitized by Google

Λιβύης ἀντιφορτιζόμενοι πλοῦτον, οὐσίας ἀπίστους τοῖς μεγέθεσιν ἐκέκτηντο.

cap. 91.

Ob urbis Agrigentinæ cladem maxima per universam Siciliam consternatio orta,

Οἱ δὲ Καρχηδόνιοι τὰς δυνάμεις διαβιβάσαντες εἰς τὴν Σικελίαν, ἀνέζευξαν ἐπὶ τὴν πόλιν τῶν Ἀκραγαντίνων, καὶ ὀκτὼ μῆνας ἐπολιόρκησαν αὐτήν. Ἀμίλκας δὲ μικρὸν πρὸ τῆς χειμερινῆς τροπῆς κυριεύσας αὐτῆς, οὐκ εὐθὺς κατέσκαψεν, ὅπως αἱ δυνάμεις ἐν ταῖς οἰκίαις παραχειμάσωσι. τῆς δὲ περὶ τὴν Ἀκράγαντα συμφορᾶς διαγγελθείσης, τοσοῦτος κατέσχε τὴν νῆσον φόβος, ὥστε τῶν Σικελιωτῶν τοὺς μὲν εἰς Συρακούσας μεθίσταθαι, τοὺς δὲ εἰς τὴν Ἰταλίαν τέκνα καὶ γυναῖκας καὶ τὴν ἄλλην κτῆσιν ἀποσκευάζεσθαι.

& præsertim contra Syracusanorum duces indignatio.

οἱ δὲ διαφυγόντες τὴν αἰχμαλωσίαν Ἀκραγαντῖνοι, παραγενηθέντες εἰς Συρακούσας, κατηγόρουν τῶν στρατηγῶν, φάσκοντες διὰ τὴν ἐκείνων προδοσίαν ἀπολωλέναι τὴν πατρίδα. συνέβαινε δὲ καὶ ὑπὸ τῶν ἄλλων Σικελιωτῶν ἐπιτιμήσεως τυγχάνειν τοὺς Συρακουσίους, ὅτι τοιούτους προστάτας αἱροῦνται, δι' οὓς ἀπολέσθαι κινδυνεύει πᾶσα Σικελία. οὐ μὴν συναχθείσης ἐκκλησίας ἐν Συρακούσαις, καὶ μεγάλων φόβων ἐπικρεμαμένων, οὐθεὶς ἐτόλμα περὶ τοῦ πολέμου συμβουλεύειν.

Hac Dionysius, vilissimæ sortis homo, in sua commoda usus, summum imperium & Syracusanorum tyrannidem consequitur.

ἀπορουμένων δὲ πάντων, παρελθὼν Διονύσιος ὁ Ἑρμοκράτους, τῶν μὲν στρατηγῶν κατηγόρησεν, ὡς προδιδόντων τὰ πράγματα τοῖς Καρχηδονίοις· τὰ δὲ πλήθη παρώξυνε πρὸς τὴν αὐτῶν τιμωρίαν, παρακαλῶν, μὴ περιμεῖναι τὸν κατὰ τοὺς νόμους κλῆρον, ἀλλ' ἐκ χειρὸς εὐθέως ἐπιθεῖναι τὴν δίκην. τῶν δ' ἀρχόντων ζημιούντων τὸν Διονύσιον κατὰ τοὺς νόμους, ὡς θορυβοῦντα, Φίλιστος, ὁ τὰς ἱστορίας ὕστερον συγγράψας, οὐσίαν ἔχων μεγάλην, ἐξέτισε τὰ πρόστιμα, καὶ τῷ Διονυσίῳ παρεκελεύετο λέγειν, ὅσα προῃρεῖτο. καὶ προσέτι εἰπόντος, ὅτι καθ' ὅλην τὴν ἡμέραν ἂν ζημιοῦν ἐθέλωσιν, ἐκτίσειν τἀργύριον ὑπὲρ αὐτοῦ, τὸ λοιπὸν θαῤῥήσας ἀνέσειε τὰ πλήθη, καὶ τὴν ἐκκλησίαν συνταράττων, διέβαλλε τοὺς στρατηγοὺς, ὅτι χρήμασι πεισθέντες ἐγκατέλιπον τὴν τῶν Ἀκραγαντίνων σωτηρίαν. συγκατηγόρησε δὲ καὶ τῶν ἄλλων τῶν ἐπισημοτάτων πολιτῶν, συνιστὰς αὐτοὺς οἰκείους ὄντας ὀλιγαρχίας. διόπερ συνεβούλευεν αἱρεῖσθαι στρατηγοὺς τοὺς μὴ δυνατωτάτους, ἀλλὰ τοὺς εὐνουστάτους καὶ δημοτικοὺς μᾶλλον. ἐκείνους μὲν γὰρ δεσποτικῶς ἄρχοντας τῶν πολιτῶν,

Digitized by Google

λιτῶν, καταφρονεῖν τῶν πολλῶν, καὶ τὰς τῆς πατρίδος συμφορὰς ἰδίας ἡγεῖσθαι προσόδους· τοὺς δὲ ταπεινοτέρους οὐδὲν πράξειν τῶν τοιούτων, δεδιότας τὴν περὶ αὐτοὺς ἀσθένειαν.

cap. 92.

Πάντα δὲ πρὸς τὴν τῶν ἀκουόντων προαίρεσιν καὶ τὴν ἰδίαν ἐπιβολὴν δημηγορήσας, οὐ μετρίως ἐξῆρε τὸν τῶν ἐκκλησιαζόντων θυμόν. ὁ γὰρ δῆμος καὶ πάλαι μισῶν τοὺς στρατηγοὺς, διὰ τὸ δοκεῖν προστάσθαι τοῦ πολέμου, τότε διὰ τῶν λόγων παροξυνθεὶς, παραυτίκα τοὺς μὲν ἔλυσε τῆς ἀρχῆς, ἑτέρους δ' εἵλετο στρατηγοὺς, ἐν οἷς καὶ τὸν Διονύσιον· ὃς ἐν ταῖς πρὸς Καρχηδονίους μάχαις ἀνδρίᾳ δόξας διενηνοχέναι περίβλεπτος ἦν παρὰ τοῖς Συρακουσίοις. διὸ καὶ μετεωρισθεὶς ταῖς ἐλπίσι, πᾶν ἐμηχανήσατο πρὸς τὸ γενέσθαι τῆς πατρίδος τύραννος. μετὰ γὰρ τὴν παράληψιν τῆς ἀρχῆς, οὔτε συνήδρευσεν ἅμα τοῖς στρατηγοῖς, οὔθ' ὅλως συνήει. ταῦτα δὲ πράττων, διεδίδου λόγον, ὡς διαπεμπομένων αὐτῶν πρὸς τοὺς πολεμίους. οὕτω γὰρ μάλιστα ἤλπιζεν, ἐκείνων μὲν περιαιρεθήσεσθαι τὴν ἐξουσίαν, ἑαυτῷ δὲ μόνῳ περιστήσειν τὴν στρατηγίαν. ταῦτα δ' αὐτοῦ πράττοντος, οἱ μὲν χαριέστατοι τῶν πολιτῶν ὑπώπτευον τὸ γενόμενον, καὶ κατὰ πάσας τὰς συνόδους ἐβλασφήμουν αὐτόν· ὁ δὲ δημοτικὸς ὄχλος, ἀγνοῶν τὴν ἐπιβολὴν, ἐπῄνει, καὶ μόλις ἔφασκε τὴν πόλιν προστάτην εὑρηκέναι βέβαιον. οὐ μὴν ἀλλὰ πολλάκις ἐκκλησίας συναγομένης περὶ τῆς εἰς τὸν πόλεμον παρασκευῆς, θεωρήσας τοὺς Συρακουσίους καταπεπληγμένους τὸν ἀπὸ τῶν πολεμίων φόβον, συνεβούλευε κατάγειν τοὺς φυγάδας. ἄτοπον γὰρ ὑπάρχειν, ἐκ μὲν Ἰταλίας καὶ Πελοποννήσου μεταπέμπεσθαι βοήθειαν παρὰ τῶν ἀλλοτρίων· τοὺς δὲ πολίτας μὴ βούλεσθαι πρὸς τοὺς ἰδίους συμπαραλαμβάνειν· οὓς, τῶν πολεμίων μεγάλας δωρεὰς ὑπισχνουμένων, ἂν συστρατεύσωσι, προαιρεῖσθαι μᾶλλον ἐπὶ ξένης ἀλωμένους ἀποθανεῖν, ἤπερ ἀλλότριόν τι κατὰ τῆς πατρίδος βουλεύσασθαι. καὶ γὰρ εἰ διὰ τὰς γεγενημένας ἐν τῇ πόλει στάσεις φυγόντας, νῦν γε τυχόντας ταύτης τῆς εὐεργεσίας, προθύμως ἀγωνιεῖσθαι, τοῖς εὖ ποιήσασιν ἀποδιδόντας χάριτας. πρὸς δὲ τὴν ὑπόθεσιν ταύτην πολλὰ διαλεχθεὶς οἰκεῖα τοῖς πράγμασι, συμψήφους ἔλαβε τοὺς Συρακουσίους. οὐδὲ γὰρ τῶν συναρχόν-

Digitized by Google

χόντων ὐδεὶς ἐτόλμα περὶ τύτων ἀντειπεῖν διά τε τὴν τῦ πλήθυς ὁρμὴν, καὶ διὰ τὸ θεωρεῖν ἑαυτῷ μὲν περιεσομένην τὴν ἀπέχθειαν, ἐκείνῳ δὲ τὴν παρὰ τῶν ἐυεργετηθέντων χάριν. τῦτο δ' ἔπραξεν ὁ Διονύσιος, ἐλπίζων, ἰδίυς ἕξειν τὺς φυγάδας, ἀνθρώπυς μεταβολῆς ἐπιθυμῦντας, καὶ πρὸς τὴν ἐπίθεσιν τῆς τυραννίδος ἐυθέτως διακειμένυς. ἤμελλον γὰρ ἡδέως ὄψεσθαι τῶν ἐχθρῶν φόνυς, δημεύσεις τῶν ὐσιῶν, ἑαυτοῖς ἀποκαθεσαμένα τὰ χρήματα. καὶ τέλος κυρωθείσης τῆς περὶ τῶν φυγάδων γνώμης, ὗτοι μὲν ἐυθὺς ἐις τὴν πατρίδα κατῆλθον.

cap. 93. Ἐκ δὲ τῆς Γέλας ἐνεχθέντων γραμμάτων, ὅπως ἀποςαλῶσι ςρατιῶται πλείυς, ἔλαβεν ὁ Διονύσιος οἰκείαν ἔφοδον τῆς ἰδίας προαιρέσεως. ἀποςαλεὶς γὰρ μετὰ ςρατιωτῶν πεζῶν μὲν δισχιλίων, ἱππέων δὲ τετρακοσίων, ἦλθε συντόμως ἐις τὴν πόλιν τῶν Γελώων, ἣν τότε παρεφύλαττε Δέξιππος ὁ Λακεδαιμόνιος, καταςαθεὶς ὑπὸ Συρακυσίων. ὁ δ' ὖν Διονύσιος καταλαβὼν τὺς ἐυπορωτάτυς ςασιάζοντας πρὸς τὸν δῆμον, καὶ κατηγορήσας αὐτῶν ἐν ἐκκλησίᾳ καὶ κατακρίνας, αὐτὺς μὲν ἀπέκτεινε, τὰς δ' ὐσίας αὐτῶν ἐδήμευσεν. ἐκ δὲ τῶν χρημάτων τύτων τοῖς μὲν φρυρῦσι τὴν πόλιν, ὧν ἡγεῖτο Δέξιππος, ἀπέδωκε τὺς ὀφειλομένυς μισθὺς· τοῖς δὲ μετ' αὐτῦ παραγεγονόσιν ἐκ Συρακυσῶν ἐπηγγείλατο, διπλῦς ποιήσειν τὺς μισθὺς, ὧν ἡ πόλις ἔταξε. διὰ δὲ τύτυ τῦ τρόπυ τύς τε ἐν Γέλᾳ ςρατιώτας καὶ τὺς μεθ' ἑαυτῦ ταῖς ἐυνοίαις ἰδίυς κατέςησεν. ἐπῃνεῖτο δὲ καὶ ὑπὸ τῦ δήμυ τῶν Γελώων, ὡς ἄιτιος αὐτοῖς γεγενημένος τῆς ἐλευθερίας· τοῖς γὰρ δυνατωτάτοις φθονῦντες, τὴν ἐκείνων ὑπεροχὴν, δεσποτείαν ἑαυτῶν ἀπεκάλυν. διόπερ ἐξέπεμψαν πρέσβεις τὺς ἐπαινῦντας ἐν Συρακύσαις, καὶ τὰ ψηφίσματα φέροντας, ἐν ἄις αὐτὸν μεγάλαις δωρεαῖς ἐτίμησαν. ὁ δὲ Διονύσιος ἐπεβάλετο μὲν τὸν Δέξιππον πείθειν κοινωνῆσαι τῆς ἐπιβολῆς· ἐπεὶ δ' ὐ συγκατετίθετο, μετὰ τῶν ἰδίων ςρατιωτῶν ἕτοιμος ἦν, ἀνακάμπτειν ἐις Συρακύσας. ὁι δὲ Γελῶοι πυνθανόμενοι, τὺς Καρχηδονίυς μέλλειν μετὰ πάσης τῆς δυνάμεως ἐπὶ πρώτην ςρατεύειν τὴν Γέλαν, ἐδέοντο τῦ Διονυσίυ, μεῖναι, καὶ μὴ περιϊδεῖν αὐτὺς τὰ αὐτὰ τοῖς Ἀκραγαντίνοις παθόντας. ὁις ἐπαγγειλάμενος

Digitized by Google

ὁ Διονύσιος, συντόμως ἥξειν μετὰ πλείονος δυνάμεως, ἐξώρμησεν ἐκ τῆς Γέλας μετὰ τῶν ἰδίων στρατιωτῶν.

Θέας δ' ὄσης ἐν ταῖς Συρακούσαις, τὴν ὥραν τῆς ἀπαλλαγῆς τῶν ἐκ τοῦ θεάτρου παρῆν εἰς τὴν πόλιν. συνδραμόντων δὲ τῶν ὄχλων ἐπ' αὐτὸν, καὶ πυνθανομένων περὶ τῶν Καρχηδονίων, ἀγνοεῖν αὐτοὺς ἔφη, διότι τῶν ἔξωθεν πολεμιωτέρους ἔχουσι τοὺς ἔνδον τῶν κοινῶν προεστῶτας, οἷς οἱ μὲν πολῖται πιστεύοντες ἑορτάζουσιν, αὐτοὶ δὲ διαφοροῦντες τὰ δημόσια, τοὺς στρατιώτας ἀμίσθους πεποιήκασι· καὶ τῶν πολεμίων ἀνυπερβλήτους ποιουμένων τὰς εἰς τὸν πόλεμον παρασκευὰς, καὶ μελλόντων ἐπὶ Συρακούσας τὴν δύναμιν ἄγειν, τούτων δ' οὐδ' ἡντινοῦν ποιούμενοι φροντίδα. δι' ἣν αἰτίαν ταῦτα πράττουσιν, εἰδέναι μὲν καὶ πρότερον, νῦν δὲ σαφέστερον ἀνεγνωκέναι. Ἰμίλκωνα γὰρ πρὸς αὐτὸν ἀπεσταλκέναι κήρυκα, πρόφασιν μὲν ὑπὲρ τῶν αἰχμαλώτων, παρακαλεῖν δὲ, πλείω τῶν συναρχόντων περιποιησάμενον, μηδὲν τῶν πραττομένων πολυπραγμονεῖν, μηδ' ἀντιπράττειν, ἐπειδὴ συνεργεῖν οὐ προαιρεῖται· μηκέτ' οὖν βούλεσθαι στρατηγεῖν, ἀλλὰ καὶ παρεῖναι τὴν ἀρχὴν ἀποθησόμενος. οὐ γὰρ ἀνεκτὸν εἶναι, τῶν ἄλλων πωλούντων τὴν πατρίδα, μόνον κινδυνεύειν μετὰ τῶν πολιτῶν· ἀλλὰ καὶ δόξειν μετεσχηκέναι τῆς προδοσίας. παροξυνθέντων δὲ ἐπὶ τοῖς ῥηθεῖσι, καὶ τοῦ λόγου διὰ πάσης τῆς δυνάμεως ῥυέντος, τότε μὲν εἰς ἕκαστος ἀγωνιῶν εἰς οἶκον ἐχωρίσθη· τῇ δ' ὑστεραίᾳ συναχθείσης ἐκκλησίας, ἐν ᾗ τῶν ἀρχόντων πολλὰ κατηγορήσας, οὐ μετρίως εὐδοκίμησε, τὸν δὲ δῆμον κατὰ τῶν στρατηγῶν παρώξυνε. τέλος δὲ τῶν καθημένων τινὲς ἀνεβόησαν, στρατηγὸν αὐτὸν αὐτοκράτορα καθιστάναι, καὶ μὴ περιμένειν ἄχρις ἂν οἱ πολέμιοι τοῖς τείχεσιν ἐπισείωσι. χρείαν γὰρ ἔχειν τὸ μέγεθος τοῦ πολέμου τοιούτου στρατηγοῦ, δι' οὗ δυνατὸν εἶναι εὐπορεῖν τοῖς πράγμασι. τὰ δὲ περὶ τῶν προδοτῶν ἐν ἐκκλησίᾳ βουλεύεσθαι· τῶν γὰρ ἐνεστώτων καιρῶν ἀλλότριον εἶναι. καὶ πρότερον δὲ Καρχηδονίων τὰς τριάκοντα μυριάδας περὶ τὴν Ἱμέραν νενικῆσθαι, στρατηγοῦντος Γέλωνος αὐτοκράτορος. ταχὺ δὲ, τῶν πολλῶν, ὥσπερ εἰώθασιν, ἐπὶ τὸ χεῖρον ῥεπόντων, ὁ Διονύσιος ἀπεδείχθη στρατηγὸς αὐτοκράτωρ.

cap. 94.

Digitized by Google

cap. 95. Ἐπεὶ δ' οὖν αὐτῷ τὰ πράγματα κατὰ νοῦν ἠκολούθει, ψήφισμα ἔγραψε, τοὺς μισθοὺς διπλασίους εἶναι. πάντας γὰρ, ἔφησε, τούτου γενομένου, προθυμοτέρους ἔσεσθαι πρὸς τὸν ἀγῶνα, καὶ περὶ τῶν χρημάτων παρεκάλει μηθὲν ἀγωνιᾷν· ἔσεσθαι γὰρ αὐτῶν τὸν πόρον ῥᾴδιον. διαλυθείσης δὲ τῆς ἐκκλησίας, οὐκ ὀλίγοι τῶν Συρακουσίων κατηγόρουν τῶν πραχθέντων, ὥσπερ οὐκ αὐτοὶ ταῦτα κεκυρωκότες· τοῖς γὰρ λογισμοῖς εἰς ἑαυτοὺς ἐρχόμενοι, τὴν ἐσομένην δυναστείαν ἀνεθεώρουν. οὗτοι μὲν οὖν βεβαιῶσαι βουλόμενοι τὴν ἐλευθερίαν, ἔλαθον ἑαυτοὺς δεσπότην τῆς πατρίδος καθεστακότες. ὁ δὲ Διονύσιος τὴν μετάνοιαν τῶν ὄχλων φθάσαι βουλόμενος, ἐπεζήτει, δι' οὗ τρόπου δύναιτο φύλακας αἰτήσασθαι τοῦ σώματος· τούτου γὰρ συγχωρηθέντος, ῥᾳδίως ἤμελλε κυριεύσειν τῆς τυραννίδος. εὐθὺς οὖν παρήγγειλε τοὺς ἐν ἡλικίᾳ πάντας, ἕως ἐτῶν τεσσαράκοντα, λαβόντας ἐπισιτισμὸν ἡμερῶν τριάκοντα, καταντᾷν μετὰ τῶν ὅπλων εἰς Λεοντίνους. αὕτη δ' ἡ πόλις τότε φρούριον ἦν τοῖς Συρακουσίοις, πλῆρες ὑπάρχον φυγάδων καὶ ξένων ἀνθρώπων· ἤλπιζε γὰρ τούτους συναγωνιστὰς ἕξειν, ἐπιθυμοῦντας μεταβολῆς· τῶν δὲ Συρακουσίων τοὺς πλείστους οὐδ' ἥξειν εἰς Λεοντίνους. οὐ μὴν ἀλλὰ νυκτὸς ἐπὶ τῆς χώρας στρατοπεδεύων, καὶ προσποιηθεὶς ἐπιβουλεύεσθαι, κραυγὴν ἐποίησε καὶ θόρυβον διὰ τῶν ἰδίων οἰκετῶν· τοῦτο δὲ πράξας συνέφυγεν εἰς τὴν ἀκρόπολιν, καὶ διενυκτέρευσε πυρὰ καίων, καὶ τοὺς γνωριμωτάτους τῶν στρατιωτῶν μεταπεμπόμενος. ἅμα δ' ἡμέρᾳ τοῦ πλήθους ἀθροισθέντος εἰς Λεοντίνους, πολλὰ πρὸς τὴν τῆς ἐπιβουλῆς ὑπόθεσιν πιθανολογήσας, ἔπεισε τοὺς ὄχλους, δοῦναι φύλακας αὐτῷ τῶν στρατιωτῶν ἑξακοσίους, οὓς ἂν προαιρῆται. λέγεται δὲ τοῦτο πρᾶξαι τὸν Διονύσιον, ὑπομιμούμενον Πεισίστρατον τὸν Ἀθηναῖον. καὶ γὰρ ἐκεῖνόν φασιν ἑαυτὸν κατατραυματίσαντα προελθεῖν εἰς τὴν ἐκκλησίαν ὡς ἐπιβεβουλευμένον, καὶ διὰ τοῦτο φυλακὴν λαβεῖν παρὰ τῶν πολιτῶν, ᾗ χρησάμενον τὴν τυραννίδα περιπεποιῆσθαι. καὶ τότε Διονύσιος τῇ παραπλησίᾳ μηχανῇ τὸ πλῆθος ἐξαπατήσας, ἐνήργει τὰ τῆς τυραννίδος.

cap. 96. Εὐθὺς γὰρ τοὺς χρημάτων μὲν ἐνδεεῖς, τῇ δὲ ψυχῇ θρασεῖς ἐπιλέξας ὑπὲρ τοὺς χιλίους, ὅπλοις τε πολυτελέσι

λέσι καθώπλισε, καὶ ταῖς μεγίςαις ἐπαγγελίαις ἐμετεώρισε· τὰς δὲ μισθοφόρους ἀνακαλούμενος, καὶ φιλανθρώποις λόγοις χρώμενος, ἰδίους κατεσκεύαζε. μετετίθει δὲ καὶ τὰς τάξεις, τοῖς πιςοτάτοις τὰς ἡγεμονίας παραδιδούς. καὶ Δέξιππον τὸν Λακεδαιμόνιον ἀπέλυσεν εἰς τὴν Ἑλλάδα. ὑφεωρᾶτο γὰρ τὸν ἄνδρα τοῦτον, μὴ καιροῦ λαβόμενος ἀνακτήσηται τοῖς Συρακουσίοις τὴν ἐλευθερίαν. μετεπέμψατο δὲ καὶ τοὺς ἐν Γέλᾳ μισθοφόρους, καὶ πανταχόθεν συνῆγε τοὺς φυγάδας καὶ ἀσεβεῖς, ἐλπίζων, διὰ τούτων βεβαιοτάτην τηρηθήσεσθαι τὴν τυραννίδα. οὐ μὴν ἀλλὰ παραγενόμενος εἰς Συρακούσας, κατεσκήνωσεν ἐν τῷ ναυςάθμῳ, φανερῶς ἑαυτὸν ἀναδείξας τύραννον. οἱ δὲ Συρακούσιοι βαρέως φέροντες ἠναγκάζοντο τὴν ἡσυχίαν ἔχειν· οὐδὲν γὰρ ἔτι περαίνειν ἠδύναντο· ἥτε γὰρ πόλις ἔγεμεν ὅπλων ξενικῶν, τούς τε Καρχηδονίους ἐδεδοίκεισαν τηλικαύτας ἔχοντας δυνάμεις. ὁ δ' οὖν Διονύσιος εὐθέως ἔγημε τὴν Ἑρμοκράτους θυγατέρα τοῦ καταπολεμήσαντος Ἀθηναίους, καὶ τὴν ἀδελφὴν ἔδωκε Πολυξένῳ τῆς Ἑρμοκράτους γυναικὸς ἀδελφῷ. τοῦτο δ' ἔπραξε βουλόμενος οἰκίαν ἐπίσημον εἰς οἰκειότητα προσλαβέσθαι πρὸς τὸ τὴν τυραννίδα ποιῆσαι βεβαίαν. μετὰ δὲ ταῦτα, συναγαγὼν ἐκκλησίαν, τοὺς ἀντιπράξαντας αὐτῷ τῶν δυνατωτάτων ὄντας Δαφναῖον καὶ Δήμαρχον ἀνεῖλε. Διονύσιος μὲν οὖν ἐκ γραμματέως, καὶ τοῦ τυχόντος ἰδιώτου, τῆς μεγίςης πόλεως τῶν Ἑλληνίδων ἐγενήθη τύραννος: διετήρησε δὲ τὴν δυναςείαν ἄχρι τῆς τελευτῆς, τυραννήσας ἔτη δύο λείποντα τῶν τεσσαράκοντα.

Ἀμίλκας δ', ὁ τῶν Καρχηδονίων ἀφηγούμενος, ἀρχομένου τοῦ θέρους, τὴν μὲν τῶν Ἀκραγαντίνων πόλιν κατέσκαψε, τῶν δ' ἱερῶν ὅσα μὴ καλῶς ὑπὸ τοῦ πυρὸς ἐδόκει διεφθάρθαι, τὰς γλυφὰς καὶ τὰ περιττοτέρως εἰργασμένα περιέκοψεν. αὐτὸς δ' ἀναλαβὼν ἅπασαν τὴν δύναμιν, ἐνέβαλεν εἰς τὴν τῶν Γελώων χώραν. ἐπελθὼν δὲ ταύτην πᾶσαν καὶ τὴν Καμαρίναν, πλήρες ἐποίησε τὸ ςράτευμα παντοίας ὠφελείας. μετὰ δὲ ταῦτα ἐπὶ Γέλαν πορευθείς, παρὰ τὸν ὁμώνυμον ποταμὸν τῇ πόλει κατεςρατοπέδευσε.

cap. 108. Post Agrigentum eversam Hamilcar Gelam petit. ante Chr. 403.

Διονύσιος δὲ ὁ τῶν Συρακουσίων τύραννος μεταπεμψάμενος παρὰ τῶν ἐξ Ἰταλίας Ἑλλήνων βοήθειαν, ἐξῆγε καὶ παρὰ τῶν ἄλλων συμμάχων δύναμιν. ἐπέλεξε δὲ καὶ τῶν

cap. 109. Dionysius Syracusanorum tyrannus, acceptis

Digitized by Google

a Græcis in Italia auxiliis, Gelois auxilio venit, sive *Dionysii cum Carthag. bellum primum.*

τῶν Συρακυσίων τὺς πλείςυς τῶν ἐν ἡλικίᾳ, καὶ τὺς μισθοφόρυς κατέλεξεν εἰς τὸ ςρατόπεδον. εἶχε δὲ τὺς ἅπαντας, ὡς μέν τινες, πεντακισμυρίυς· ὡς δὲ Τίμαιος ἀνέγραψε, πεζὺς μὲν τρισμυρίυς, ἱππεῖς δὲ χιλίυς, ναῦς δὲ καταφράκτυς πεντήκοντα. μετὰ δὲ τοσαύτης δυνάμεως ἐξορμήσας ἐπὶ τὴν βοήθειαν, τοῖς τόποις ὡς ἤγγισε τῆς

T. II. p. 157.

πόλεως, κατεςρατοπέδευσε παρὰ τὴν θάλασσαν. — Τὴν δὲ κατάλυσιν τῦ πρώτυ τύτυ τῶν Καρχηδονίων πρὸς Διονύσιον πολέμυ ἀνεγράψαμεν ἤδη ἐν τῇ περὶ Καρχηδονίων περικοπῇ. — Ἀμίλκας δὲ καὶ Διονύσιος τὴν εἰρήνην ἐπὶ τοῖσδε ἔθεντο.

cap. 114. Pacis conditiones.

Καρχηδονίων εἶναι μὲν τῶν ἐξ ἀρχῆς ἀποίκων ἄλλυς, καὶ Σικανὺς, Σελινυντίυς τε καὶ Ἀκραγαντίνυς, ἔτι δ' Ἱμεραίυς· πρὸς δὲ τύτοις Γελώυς καὶ Καμαριναίυς οἰκεῖν μὲν ἐν ἀτειχίςοις ταῖς πόλεσι, φόρον δὲ τελεῖν τοῖς Καρχηδονίοις· Λεοντίνυς δὲ καὶ Μεσσηνίυς καὶ Σικελὺς ἅπαντας αὐτονόμυς εἶναι. καὶ Συρακυσίυς μὲν ὑπὸ Διονύσιον τετάχθαι· τὰ δὲ αἰχμάλωτα καὶ τὰς ναῦς ἀποδῦναι ἔχοντας τοῖς ἀποβαλῦσι. τῶν συνθηκῶν δὲ γενομένων, Καρχηδόνιοι μὲν εἰς Λιβύην ἐξέπλευσαν, πλεῖον ἢ τὸ ἥμισυ μέρος τῶν ςρατιωτῶν ἀποβαλόντες ὑπὸ τῆς νόσυ. ὐδὲν δ' ἧττον καὶ κατὰ Λιβύην διαμείναντος τῦ λοιμῦ, παμπληθεῖς αὐτῶν τε τῶν Καρχηδονίων, ἔτι δὲ καὶ τῶν συμμάχων διεφθάρησαν.

Ibidem. Lib. XIV. c. 7. Dionysius, munita urbe, & tyrannide multis modis firmata, ante Chr. 402.

Διονύσιος δ', ὁ τῶν Σικελῶν τύραννος; ἐπειδὴ πρὸς Καρχηδονίυς εἰρήνην ἐποιήσατο, περὶ τὴν ἀσφάλειαν τῆς τυραννίδος διενόει τὸ μέλλον γίνεσθαι. ὑπελάμβανε γὰρ, τὺς Συρακυσίυς, ἀπολελυμένυς τῦ πολέμυ, σχολὴν ἕξειν εἰς τὸ τὴν ἐλευθερίαν ἀνακτήσασθαι. θεωρῶν δὲ τῆς πόλεως τὴν Νῆσον ὀχυρωτάτην ὖσαν, καὶ δυναμένην ῥαδίως φυλάττεσθαι, ταύτην μὲν διῳκοδόμησεν ἀπὸ τῆς ἄλλης πόλεως τείχει πολυτελεῖ· καὶ πύργυς ὑψηλὺς καὶ πυκνὺς ἐνῳκοδόμησε, καὶ πρὸ αὐτῆς χρηματιςήρια καὶ ςοὰς δυναμένας ὄχλων ἐπιδέχεσθαι πλῆθος. ᾠκοδόμησε δ' ἐν αὐτῇ πολυτελῶς ὠχυρωμένην ἀκρόπολιν, πρὸς τὰς αἰφνιδίυς καταφυγάς· καὶ συμπεριέλαβε τῷ ταύτης τείχει τὰ πρὸς τῷ μικρῷ λιμένι, τῷ Λακκίῳ καλυμένῳ, νεώρια. ταῦτα δ' ἑξήκοντα τριήρεις χωρῦντα, πύλην εἶχε κλειομένην, δι' ἧς

ἧς κατὰ μίαν τῶν νεῶν εἰσπλεῖν συνέβαινε. τῆς δὲ χώρας τὴν μὲν ἀρίστην ἐξελόμενος ἐδωρήσατο τοῖς τε φίλοις καὶ τοῖς ἐφ' ἡγεμονίας τεταγμένοις, τὴν δ' ἄλλην ἐμέρισεν ἐπίσης ξένῳ τε καὶ πολίτῃ, συμπεριλαβὼν τῷ τῶν πολιτῶν ὀνόματι τοὺς ἠλευθερωμένους δούλους, οὓς ἐκάλει νεοπολίτας. διέδωκε δὲ καὶ τὰς οἰκίας τοῖς ὄχλοις, πλὴν τῶν ἐν τῇ Νήσῳ· ταύτας δὲ τοῖς φίλοις καὶ τοῖς μισθοφόροις ἐδωρήσατο. ἐπεὶ δὲ τὰ κατὰ τὴν τυραννίδα καλῶς ἐδόκει διῳκηκέναι, τὴν δύναμιν ἐξήνεγκεν ἐπὶ τοὺς Σικελοὺς, πάντας μὲν σπεύδων τοὺς αὐτονόμους ὑφ' ἑαυτὸν ποιήσασθαι, μάλιστα δὲ τούτους, διὰ τὸ συμμαχῆσαι πρότερον Καρχηδονίοις. οὗτος μὲν οὖν ἐπὶ τὴν τῶν Ἑρβησινῶν πόλιν στρατεύσας, τὰ πρὸς τὴν πολιορκίαν παρεσκευάζετο. οἱ δὲ συστρατευόμενοι Συρακούσιοι, κύριοι τῶν ὅπλων ὄντες, συστάσεις ἐποιοῦντο, καὶ κατηγόρουν ἀλλήλων, ὅτι τοῖς ἱππεῦσιν οὐ συνεπελάβοντο τῆς καταλύσεως τοῦ τυράννου. ὁ δὲ καθεσταμένος ὑπὸ τοῦ Διονυσίου τῶν στρατιωτῶν ἡγεμὼν, τὸ μὲν πρῶτον ἠπείλησέ τινι τῶν παῤῥησιαζομένων· ἀντειπόντος δ' ἐκείνου, θρασέως ἐπῆλθεν ὡς πατάξων· ἐφ' ᾧ παροξυνθέντες οἱ στρατιῶται, τὸν μὲν ἔπαρχον ὄνομα Δωρικὸν ἀπέκτειναν· τοὺς δὲ πολίτας βοῶντες ἐπὶ τὴν ἐλευθερίαν, μετεπέμποντο τοὺς ἐκ τῆς Αἴτνης ἱππεῖς. οὗτοι γὰρ ἐν ἀρχῇ τῆς τυραννίδος ἐκπεπτωκότες, ᾤκουν τοῦτο τὸ φρούριον.

contra Siculos, qui ab ipso defecerant, ducit Syracusanos.

Sed hi arma vertunt in tyrannum.

Διονύσιος δὲ καταπλαγεὶς τὴν ἀπόστασιν τῶν Συρακουσίων, τὴν μὲν πολιορκίαν ἔλυσε, τὴν δ' εἰς τὰς Συρακούσας ἠπείγετο, σπεύδων καταλαβέσθαι τὴν πόλιν. οὗ φυγόντος, οἱ τὴν ἀπόστασιν ποιησάμενοι, στρατηγοὺς εἵλοντο τοὺς ἀποκτείναντας τὸν ἔπαρχον· καὶ παραλαβόντες τοὺς ἐξ Αἴτνης ἱππεῖς, ἐν ταῖς καλουμέναις Ἐπιπολαῖς ἀντεστρατοπέδευσαν τῷ τυράννῳ, καὶ διέκλεισαν αὐτὸν τῆς ἐπὶ τὴν χώραν ἐξόδου. εὐθὺς δὲ πρός τε Μεσσηνίους καὶ Ῥηγίνους πρέσβεις ἀπέστειλαν, δεόμενοι κατὰ θάλατταν συναντιλαβέσθαι τῆς ἐλευθερίας. εἰώθασι γὰρ αἱ πόλεις αὗται κατ' ἐκεῖνον τὸν καιρὸν τριήρεις πληροῦν οὐκ ἐλάττους ὀγδοήκοντα· ἃς τότε τοῖς Συρακουσίοις αἱ πόλεις ἀπέστειλαν, σπεύδουσαι συνεπιλαβέσθαι τῆς ἐλευθερίας. ἐπεκήρυξαν δὲ καὶ χρημάτων πλῆθος τοῖς ἀνελοῦσι τὸν τύραννον· καὶ τοῖς μεταβαλλομένοις τῶν ξένων ἐπηγγείλαντο μεταδώσειν τῆς πολ-

cap. 8. Tyrannus, Syracusis inclusus, de imperio tuendo desperat.

Digitized by Google

πολιτείας. κατεσκεύασαν δὲ καὶ μηχανήματα, δι᾽ ὧν τὰ τείχη σαλεύοντες ἐξέλωσι, καὶ προσέβαλλον καθ᾽ ἡμέραν τῇ Νήσῳ, καὶ τοὺς μεταβαλλομένους τῶν ξένων φιλανθρώπως ἀπεδέχοντο. Διονύσιος δὲ, τῆς εἰς τὴν χώραν ἐξόδου διακεκλεισμένος, καὶ ὑπὸ τῶν μισθοφόρων ἐγκαταλειπόμενος, συνήγαγε τοὺς φίλους, βουλευσόμενος περὶ τῶν ἐνεστώτων. οὕτω γὰρ τελέως ἀπήλπιστο τὰ τῆς δυναστείας, ὥστε οὐ ζητεῖν αὐτὸν, ὥστε καταπολεμῆσαι τοὺς Συρακουσίους, ἀλλὰ ποῖον ὑπομείνας θάνατον, μὴ παντελῶς ἄδοξον ποιήσῃ τὴν κατάλυσιν τῆς ἀρχῆς. Ἕλωρις μὲν οὖν, εἷς τῶν φίλων, ὡς δ᾽ ἔνιοί φασιν, ὁ ποιητὴς πατὴρ, εἶπεν αὐτῷ, διότι καλὸν ἐντάφιόν ἐστιν ἡ τυραννίς· Πολύξενος δὲ ὁ κηδεστὴς ἀπεφήνατο, δεῖν λαβόντα τὸν ὀξύτατον ἵππον εἰς τὴν τῶν Καρχηδονίων ἐπικράτειαν ἀφιππεῦσαι πρὸς τοὺς Καμπανούς. τούτους γὰρ Ἀμίλκας ἀπολελοίπει φυλακῆς ἕνεκα τῶν κατὰ Σικελίαν τόπων. Φίλιστος δ᾽ ὁ μετὰ ταῦτα τὰς ἱστορίας συνταξάμενος, ἀντειπὼν τῷ Πολυξένῳ, προσήκειν, ἔφη, σοι δεῖν, οὐκ ἐφ᾽ ἵππου θέλοντος ἐκπηδᾷν ἐκ τῆς τυραννίδος, ἀλλὰ τοῦ σκέλους ἑλκόμενον προσπίπτειν. ᾧ προσχὼν ὁ Διονύσιος, ἔκρινε, πᾶν ὑπομεῖναι πρότερον, ἢ τὴν δυναστείαν ἐκλιπεῖν ἑκουσίως. διόπερ ἀποστείλας πρέσβεις πρὸς τοὺς ἀφεστηκότας, τούτους μὲν παρεκάλει, δοῦναι τὴν ἐξουσίαν αὐτῷ, μετὰ τῶν ἰδίων ἀπελθεῖν ἐκ τῆς πόλεως. πρὸς δὲ τοὺς Καμπανοὺς λάθρα διαπεμψάμενος, ὡμολόγησεν αὐτοῖς δώσειν χρήματα, ὅσα ἂν αἰτήσωσιν εἰς τὴν πολιορκίαν.

Impetrata exeundi venia clam Campanorum auxilia sollicitat.

cap. 9.

Τούτων δὲ πραχθέντων, οἱ μὲν Συρακούσιοι τὴν ἐξουσίαν δόντες τῷ τυράννῳ, μετὰ πέντε νεῶν ἀποπλεῖν, ῥαθυμότεροι καθειστήκεισαν. καὶ τοὺς μὲν ἀπέλυσαν πρὸς τὴν πολιορκίαν οὐδὲν χρησίμους ὄντας· τῶν δὲ πεζῶν οἱ πλεῖστοι κατὰ τὴν χώραν ἀντεξήεσαν, ὡς ἤδη καταλελυμένης τῆς τυραννίδος. οἱ δὲ Καμπανοί, ταῖς ἐπαγγελίαις μετεωρισθέντες, τὸ μὲν πρῶτον ἐπ᾽ Ἀγύριον παρεγενήθησαν· ἐκεῖ δὲ τὴν ἀποσκευὴν Ἀγύρι παραθέμενοι τῷ δυναστεύοντι τῆς πόλεως, ἐξώρμησαν ἐπὶ Συρακούσας εὔζωνοι, τὸν ἀριθμὸν ὄντες ἱππεῖς χίλιοι διακόσιοι. ταχὺ δὲ διανύσαντες τὴν ὁδὸν, ἀπροσδοκήτως ἐπεφάνησαν τοῖς Συρακουσίοις, καὶ πολλοὺς αὐτῶν ἀνελόντες, εἰσεβιβάσαντο πρὸς τὸν Διονύσιον. κατέπλευσαν δὲ καὶ τριακόσιοι μισθοφόροι τῷ τυράννῳ κατὰ

Campanorum adventu & libertatem & tyrannidem recuperat Dionysius.

Digitized by Google

τὰ τὸν αὐτὸν καιρόν· ὥςε αὐτὸν ἀνακύψαι ταῖς ἐλπίσιν. οἱ δὲ Συρακούσιοι, πάλιν τῆς δυναςείας ἰσχυροποιουμένης, ἐςασίασαν πρὸς ἀλλήλους, τῶν μὲν ἀποφαινομένων, μένειν καὶ πολιορκεῖν, τῶν δὲ, λύειν τὸ ςρατόπεδον, καὶ τὴν πόλιν ἐκλιπεῖν. ἃ δὴ συνιδὼν ὁ Διονύσιος, ἐξήγαγεν ἐπ' αὐτοὺς τὴν δύναμιν, καὶ τεταραγμένοις ἐπιπεσὼν, ῥαδίως ἐτρέψατο περὶ τὴν Νέαν πόλιν καλουμένην. ἀνῃρέθησαν μὲν οὖν οὐ πολλοί· παριππεύων γὰρ ὁ Διονύσιος ἐκώλυσε φονεύειν τοὺς φεύγοντας. οἱ δὲ Συρακούσιοι παραχρῆμα μὲν κατὰ τὴν χώραν ἐσκεδάσθησαν· μετ' ὀλίγου δὲ πρὸς τοὺς ἱππεῖς ἠθροίσθησαν ὑπὲρ τοὺς ἑπτακισχιλίους. Διονύσιος δὲ τοὺς πεσόντας τῶν Συρακουσίων θάψας, ἀπέςειλε πρέσβεις εἰς Αἴτνην, ἀξιῶν τοὺς φυγάδας διαλύεσθαι, καὶ τὴν πατρίδα κατοικεῖν, διδοὺς πίςιν, μὴ μνησικακήσειν αὐτοῖς. τινὲς μὲν οὖν καὶ τέκνα καὶ γυναῖκας ἀπολελοιπότες, ἠναγκάσθησαν πεισθῆναι τοῖς παρακαλουμένοις· οἱ δὲ λοιποὶ, προφερομένων τῶν πρεσβευτῶν τὴν τοῦ Διονυσίου περὶ τὴν ταφὴν τῶν πεσόντων εὐεργεσίαν, ἔφασαν αὐτὸν ἄξιον εἶναι τυχεῖν τῆς ὁμοίας χάριτος· καὶ τοῖς θεοῖς ηὔχοντο τὴν ταχίςην αὐτὸν ἐπιδεῖν ταύτης τυγχάνοντα. οὗτοι μὲν οὖν οὐδενὶ τρόπῳ βουληθέντες πιςεῦσαι τῷ τυράννῳ, κατέμειναν ἐν Αἴτνῃ, καιρὸν ἐπιτηροῦντες κατ' αὐτοῦ· Διονύσιος δὲ τοῖς μὲν κατελθοῦσι φυγάσι φιλανθρώπως ἐχρήσατο, βουλόμενος καὶ τοὺς ἄλλους προτρέψασθαι, κατελθεῖν εἰς τὴν πατρίδα· τοὺς δὲ Καμπανοὺς ταῖς καθηκούσαις δωρεαῖς τιμήσας ἐξαπέςειλεν ἐκ τῆς πόλεως, ὑφορώμενος αὐτῶν τὴν ἀβεβαιότητα. οἱ πορευθέντες εἰς Ἔντελλαν, καὶ πείσαντες τοὺς ἐν τῇ πόλει, λαβεῖν ἑαυτοὺς συνοίκους, νυκτὸς ἐπιθέμενοι, τοὺς μὲν ἡβῶντας ἀπέσφαξαν, τὰς δὲ γυναῖκας τῶν παρασπονδηθέντων γήμαντες, κατέσχον τὴν πόλιν.

Pars rebellium in gratiam redit, pars fugam petit, novum minitans bellum.

Campani in reditu per fraudem Entellam occupant.

Διονύσιος δ', ἐπειδὴ τὴν πρὸς Καρχηδονίους εἰρήνην ἐποιήσατο, τῶν δὲ κατὰ τὴν πόλιν ςάσεων ἀπήλλακτο, τὰς ὁμόρους τῶν Χαλκιδέων πόλεις ἔσπευδε προσαγαγέσθαι. αὗται δ' ἦσαν, Νάξος, Κατάνη, Λεοντῖνοι. τούτων δ' ἐπεθύμει κυριεῦσαι, διὰ τὸ συνορίζειν αὐτὰς τῇ Συρακούσῃ, καὶ πολλὰς ἀφορμὰς ἔχειν πρὸς τὴν αὔξησιν τῆς δυναςείας. ἐπειδὴ δὲ τὰ κατὰ τὴν δυναςείαν αὐτῷ προεχώρει κατὰ

cap. 14. Dionysius, pacata Syracusar. urbe, finitimas civitates subigere parat.

Digitized by Google

κατὰ γνώμην, διενοεῖτο μὲν, πρὸς Καρχηδονίους ἐκφέρειν πόλεμον.

cap. 44. *Dionysii secundum cum Carthagin. bellum.*

Jam conscribendis militibus operam dat Dionysius. ante Chr. 396.

Διονύσιος δ', ἐπειδὴ τῶν περὶ τὴν ὁπλοποιΐαν καὶ ναυπηγίαν ἔργων τὰ πλεῖστα συντέλειαν εἰλήφει, περὶ τὴν τῶν στρατιωτῶν παρασκευὴν εὐθὺς ἐγένετο. τῶν οὖν Συρακουσίων κατέλεγε τοὺς ἐπιτηδείους εἰς τάξεις, καὶ παρὰ τῶν ὑπ' αὐτὸν τεταγμένων πόλεων μετεπέμπετο τοὺς εὐθέτους. συνήγαγε δὲ καὶ μισθοφόρους ἐκ τῆς Ἑλλάδος, καὶ μάλιστα παρὰ τῶν Λακεδαιμονίων. οὗτοι γὰρ αὐτῷ συναύξοντες τὴν ἀρχὴν, ἔδωκαν ἐξουσίαν, ὅσους βούλοιτο παρ' αὐτῶν ξενολογεῖν. καθόλου δ' ἐκ πολλῶν ἐθνῶν σπεύδων τὸ ξενικὸν στρατόπεδον συνηθροικέναι, καὶ μισθοὺς πολλοὺς ἐπαγγελλόμενος, εὕρισκε τοὺς ὑπακούοντας. μέλλων δὲ μέγαν ἐξεγείρειν πόλεμον, ταῖς κατὰ τὴν νῆσον πόλεσι φιλανθρώπως προσεφέρετο, τὴν εὔνοιαν αὐτῶν ἐκκαλούμενος.

Rheginos & Messenios beneficiis, & oblata amicitia, socios conciliare studet.

τοὺς δὲ παρὰ τὸν πορθμὸν κατοικοῦντας Ῥηγίνους τε καὶ Μεσσηνίους ὁρῶν ἱκανὴν δύναμιν ἔχοντας συντεταγμένην, εὐλαβεῖτο, μή ποτε τῶν Καρχηδονίων διαβάντων εἰς Σικελίαν, ἐκείνοις πρόσθωνται. οὐ μικρὰν γὰρ αἱ πόλεις αὗται ῥοπὴν εἶχον, ὁποτέροις εἰς τὸν πόλεμον συμμαχήσειαν. ἃ δὴ λίαν ἀγωνιῶν ὁ Διονύσιος, τοῖς Μεσσηνίοις ἔδωκε πολλὴν τῆς ὁμόρου χώραν, ἰδίους αὐτοὺς κατασκευάζων ταῖς εὐεργεσίαις.

A Rheginis conjugem petens, repulsam fert.

πρὸς δὲ Ῥηγίνους ἀπέστειλε πρεσβευτὰς, καὶ παρακαλῶν ἐπιγαμίαν ποιήσασθαι, καὶ δοῦναι τῶν πολιτικῶν παρθένων μίαν αὐτῷ συμβιώσασθαι. ἐπηγγέλλετο δ' αὐτοῖς πολλὴν τῆς συνοριζούσης χώρας κατακτήσασθαι, τὴν πόλιν δ' αὐξήσειν ἐφ' ὅσον ἂν αὐτὸς ἰσχύῃ. τῆς γὰρ γυναικὸς αὐτοῦ, θυγατρὸς δ' Ἑρμοκράτους, κατὰ τὴν ἀπόστασιν τῶν ἱππέων ἀνῃρημένης, ἔσπευδε τεκνοποιήσασθαι, διαλαμβάνων, τῇ τῶν γεννηθέντων εὐνοίᾳ βεβαιότατα τηρήσειν τὴν δυναστείαν. οὐ μὴν ἀλλ' ἐν τῷ Ῥηγίῳ συναχθείσης περὶ τούτων ἐκκλησίας, καὶ πολλῶν ῥηθέντων λόγων, ἔδοξε τοῖς Ῥηγίνοις, μὴ δέξασθαι τὴν ἐπιγαμίαν.

Ducit deinde Locrensem,

Διονύσιος δ' ἀποτυχὼν ταύτης τῆς ἐπιβολῆς, περὶ τῶν αὐτῶν ἀπέστειλε τοὺς πρεσβευτὰς πρὸς τὸν δῆμον τῶν Λοκρῶν. ὧν ψηφισαμένων τὴν ἐπιγαμίαν, ἐμνήστευσεν ὁ Διονύσιος Δωρίδα τε τὴν Ξενέτου θυγατέρα, κατ' ἐκεῖνον τὸν χρόνον ὄντος ἐνδοξοτάτου τῶν πολιτῶν. ὀλίγαις δ' ἡμέραις πρὸ τῶν γάμων ἀπέστειλεν εἰς Λο-

Digitized by Google

Λοκρὰς πεντήρη πρῶτον νεναυπηγημένην, ἀργυροῖς καὶ χρυσοῖς κατασκευάσμασι κεκοσμημένην· ἐφ' ἧς διακομίσας τὴν παρθένον εἰς τὰς Συρακούσας, εἰσήγαγεν εἰς τὴν ἀκρόπολιν. ἐμνηστεύσατο δὲ καὶ τῶν πολιτῶν τὴν ἐπισημοτάτην Ἀριστομάχην· ἐφ' ἣν ἀποστείλας λευκὸν τέθριππον, ἤγαγεν εἰς τὴν ἰδίαν οἰκίαν.

mox etiam Syracusanam.

cap. 45.

Περὶ δὲ τὸν αὐτὸν χρόνον ἀμφοτέρας γήμας, συνεχεῖς ἑστιάσεις ἐποιεῖτο τῶν στρατιωτῶν καὶ τῶν πλείστων πόλεων. ἀπετίθετο γὰρ ἤδη τὸ πικρὸν τῆς τυραννίδος, καὶ μεταβαλλόμενος εἰς ἐπιείκειαν, φιλανθρωπότερον ἦρχε τῶν ὑποτεταγμένων, οὔτε φονεύων, οὔτε φυγάδας ποιῶν, καθάπερ εἰώθει. μετὰ δὲ τοὺς γάμους ὀλίγας ἐπιμείνας ἡμέρας, συνήγαγεν ἐκκλησίαν, καὶ παρεκάλει τοὺς Συρακουσίους, πόλεμον ἐξενεγκεῖν πρὸς Καρχηδονίους, ἀποφαίνων αὐτοὺς καθόλου μὲν τοῖς Ἕλλησιν ἐχθροτάτους ὄντας, μάλιστα δὲ τοῖς Σικελιώταις διὰ παντὸς ἐπιβουλεύοντας· καὶ νῦν μὲν ἐφ' ἡσυχίας αὐτοὺς μένειν ἀπεδείκνυε, διὰ τὸν ἐμπεσόντα λοιμὸν, ὃν τοὺς πλείστους τῶν κατὰ Λιβύην διεφθαρκέναι· ἰσχύσαντας δ' αὐτοὺς ἐκ ἀφέξεσθαι τῶν Σικελιωτῶν, οἷς ἐξ ἀρχαίων ἐπιβουλεύουσι. διὸ αἱρετώτερον νῦν εἶναι, πρὸς ἀσθενεῖς αὐτοὺς ὄντας διαπολεμεῖν, ἢ μετὰ ταῦτα πρὸς ἰσχυροὺς διαγωνίζεσθαι. ἅμα δὲ συνίστα, δεινὸν εἶναι, περιορᾶν τὰς Ἑλληνίδας πόλεις ὑπὸ βαρβάρων καταδεδουλωμένας, ἃς ἐπὶ τοσοῦτο συνεπιλήψεσθαι τῶν κινδύνων, ἐφ' ὅσον τῆς ἐλευθερίας τυχεῖν ἐπιθυμοῦσιν. οὐ μὴν ἀλλὰ πολλοὺς λόγους πρὸς ταύτην τὴν προαίρεσιν διαλεχθεὶς, ταχὺ συγκαταίνους ἔλαβε τοὺς Συρακουσίους. οὐ γὰρ ἧττον ἐκείνου τὸν πόλεμον ἔσπευδον γενέσθαι, πρῶτον μὲν μισοῦντες τοὺς Καρχηδονίους, δι' ἐκείνους ἠναγκασμένοι ποιεῖν τὸ προσταττόμενον ὑπὸ τοῦ τυράννου· ἔπειτα δὲ καὶ τὸν Διονύσιον φιλανθρωπότερον ἑαυτοῖς ἤλπιζον χρῆσθαι, φοβούμενον τοὺς πολεμίους καὶ τὴν ἀπὸ τῶν καταδεδουλωμένων ἐπίθεσιν. τὸ δὲ μέγιστον, ἤλπιζον ἑαυτοὺς κυριεύσαντας ὅπλων, ἐὰν ἡ τύχη δῷ καιρὸν, ἀντιλήψεσθαι τῆς ἐλευθερίας.

Tum proposito bello in Carthaginienses, ejusque rationibus oratione explanatis,

Syracusanorum omnium assensum consecutus est.

cap. 46.

Direptæ subito Poenorum in Sicilia naves & bona,

Μετὰ δὲ τὴν ἐκκλησίαν, τοῦ Διονυσίου τὴν ἐξουσίαν δόντος, οἱ Συρακούσιοι τὰ Φοινικικὰ χρήματα διήρπασαν. οὐκ ὀλίγοι γὰρ τῶν Καρχηδονίων ᾤκουν ἐν ταῖς Συρακούσαις, ἀδρὰς ἔχοντες κτήσεις· πολλοὶ δὲ καὶ τῶν ἐμπόρων εἶχον

ἐν

Digitized by Google

ἐν τῷ λιμένι τὰς ναῦς γεμέσας Φορτίων, ὧν ἅπαντα διεΦόρησαν οἱ Συρακέσιοι. παραπλησίως δὲ καὶ οἱ λοιποὶ Σικελιῶται τὲς παρ' αὐτοῖς οἰκῦντας τῶν Φοινίκων ἐκβαλόντες, τὰς κτήσεις διήρπασαν. καίπερ γὰρ τὴν Διονυσίε τυραννίδα μισῦντες, ὅμως ἡδέως ἐκοινώνεν τε πρὸς Καρχηδονίες πολέμε, διὰ τὴν ὠμότητα τῶν ἀνδρῶν. ὧν δὴ χάριν καὶ οἱ τὰς Ἑλληνίδας πόλεις οἰκῦντες ὑπὸ Καρχηδονίες, ἐπειδὴ Φανερῶς ὁ Διονύσιος ἐξέΦερε τὸν πόλεμον, ἐναπεδείξαντο τὸ πρὸς τὲς Φοίνικας μῖσος. ἐ μόνον γὰρ αὐτῶν τὰς ἐσίας διήρπασαν, ἀλλὰ καὶ αὐτὲς συλλαμβάνοντες, πᾶσαν αἰκίαν καὶ ὕβριν εἰς τὰ σώματα αὐτῶν ἀπετίθεντο, μνημονεύοντες ὧν αὐτοὶ κατὰ τὴν αἰχμαλωσίαν ἔπαθον. ἐπὶ τοσῦτον δὲ τῆς κατὰ τῶν Φοινίκων τιμωρίας προέβησαν καὶ τότε καὶ κατὰ τὸν ὕστερον χρόνον, ὥστε τὲς Καρχηδονίες διδαχθῆναι μηκέτι παρανομεῖν εἰς τὲς ὑποπεσόντας. ἐ γὰρ ἠγνόεν, δι' αὐτῶν τῶν ἔργων μαθόντες, ὅτι τοῖς διαπολεμῦσι κοινῆς τῆς τύχης ὑπαρχέσης, ἀμΦοτέρες κατὰ τὰς ἧττας τοιαῦτα ἀνάγκη πάσχειν, οἷα ἂν αὐτοὶ πράξωσιν εἰς τὲς ἀτυχήσαντας.

ipsique crudelissime vexati.

Διονύσιος δὲ, ὁ τῶν Συρακεσίων τύραννος, ἐπειδὴ πάντα τὰ πρὸς τὸν πόλεμον αὐτῷ κατεσκεύαστο κατὰ τὴν ἰδίαν προαίρεσιν, ἐξέπεμψεν εἰς Καρχηδόνα κήρυκα, δὲς ἐπιστολὴν πρὸς τὴν γερεσίαν· ἐν ταύτῃ δὲ γεγραμμένον ἦν, ὅτι Συρακεσίοις δεδογμένον ἦν, πολεμεῖν πρὸς Καρχηδονίες, ἐὰν μὴ τῶν Ἑλληνίδων πόλεων ἐκχωρήσωσιν. ἔτος μὲν ἒν κατὰ τὸ παραγγελθὲν πλεύσας εἰς Λιβύην, τὴν ἐπιστολὴν ἐπέδωκε τῇ γερεσίᾳ. ἧς ἀναγνωσθείσης ἔν τε τῇ συγκλήτῳ, καὶ μετὰ ταῦτ' ἐν τῷ δήμῳ, συνέβη τὲς Καρχηδονίες ἐ μετρίως ἀγωνιᾶν περὶ τε πολέμε. ὅ τε γὰρ λοιμὸς αὐτῶν παμπληθεῖς ἀπεκτάκει, καὶ τοῖς ὅλοις ἦσαν ἀπαρασκεύαστοι. ἐ μὴν ἀλλ' ἔτοι μὲν ἐκαραδόκεν τὴν τῶν Συρακεσίων προαίρεσιν, καὶ μετὰ πολλῶν χρημάτων ἀπέστειλάν τινας τῶν ἐκ τῆς γερεσίας τὲς ξενολογήσοντας ἀπὸ τῆς Εὐρώπης. Διονύσιος δ' ἀναλαβὼν τὲς Συρακεσίες καὶ τὲς μισθοΦόρες, ἔτι δὲ τὲς συμμάχες, ἀνέζευξεν ἐκ Συρακεσῶν, ἐπ' Ἔρυκος τὴν πορείαν ποιέμενος. ἐ μακρὰν γὰρ τε λόΦε τέτε Μοτύη πόλις ἦν, ἄποικος Καρχηδονίων, ᾗ μάλιστα ἐχρῶντο κατὰ τῆς Σικελίας

cap. 47. Indicto bello summa inter Carthaginienses consternatio orta. ante Chr. 395.

Mittunt in Europam, qui milites conducant. Dionysius primo Motyam, Carthagin. coloniam, occupare festinat.

Digitized by Google

κελίας ὁρμητηρίῳ. ταύτης γὰρ κρατήσας, ἤλπιζεν, ἐκ ὀλίγα προτερήσειν τῶν πολεμίων. κατὰ δὲ τὴν ὁδοιπορίαν ἀεὶ παρελάμβανε τὰς ἐκ τῶν Ἑλληνίδων πόλεων, πανδημεὶ καθοπλίζων. συνεστρατεύοντο γὰρ αὐτῷ προθύμως ἅπαντες, μισοῦντες μὲν τὸ βάρος τῆς τῶν Φοινίκων ἐπικρατείας, ἐπιθυμοῦντες δὲ τυχεῖν ποτὲ τῆς ἐλευθερίας. καὶ πρώτους μὲν Καμαριναίους παρέλαβεν, εἶτα Γελώους καὶ Ἀκραγαντίνους· μεθ᾽ οὓς Ἱμεραίους μετεπέμψατο, κατοικοῦντας ἐπὶ θάτερα μέρη τῆς Σικελίας, Σελινουντίους τε παρόδῳ προσαγόμενος, παρεγενήθη πρὸς τὴν Μοτύην μετὰ πάσης τῆς δυνάμεως. εἶχε δὲ πεζοὺς μὲν ὀκτακισμυρίους, ἱππεῖς δὲ πολὺ πλείους τῶν τρισχιλίων· ναῦς δὲ μακρὰς οὐ πολὺ λειπούσας τῶν διακοσίων. συνηκολούθει δὲ καὶ φορτηγὰ πλοῖα γέμοντα πολλῶν μηχανημάτων, ἔτι δὲ τῆς ἄλλης χορηγίας ἁπάσης, ὄντα τὸν ἀριθμὸν οὐκ ἐλάττω πεντακοσίων.

Graecae urbes cunctae auxilia mittunt.

Τηλικαύτης δὲ τῆς παρασκευῆς οὔσης, Ἐρύκινοι μὲν, καταπλαγέντες τὸ μέγεθος τῆς δυνάμεως, καὶ μισοῦντες Καρχηδονίους, προσεχώρησαν τῷ Διονυσίῳ. οἱ δὲ τὴν Μοτύην κατοικοῦντες, προσδεχόμενοι τὴν ἐκ Καρχηδονίαν δύναμιν, οὐ κατεπλήττοντο τὴν Διονυσίου βοήθειαν, ἀλλὰ πρὸς τὴν πολιορκίαν παρεσκευάζοντο. οὐ γὰρ ἠγνόουν τοὺς Συρακουσίους, ὅτι πρῶτον τὴν Μοτύην πορθήσουσι, διὰ τὸ πιστοτάτην εἶναι τοῖς Καρχηδονίοις. αὕτη δ᾽ ἡ πόλις ἦν ἐπί τινος νήσου κειμένη, τῆς Σικελίας ἀπέχουσα σταδίους ἕξ, τῷ δὲ πλήθει καὶ τῷ κάλλει τῶν οἰκιῶν εἰς ὑπερβολὴν πεφιλοτεχνημένη, διὰ τὴν εὐπορίαν τῶν κατοικούντων. εἶχε δὲ καὶ ὁδὸν στενὴν χειροποίητον, φέρουσαν ἐπὶ τὸν τῆς Σικελίας αἰγιαλόν· ἣν οἱ Μοτυηνοὶ τότε διέσκαψαν, ὡς μὴ προσόδους ἔχοιεν κατ᾽ αὐτῶν οἱ πολέμιοι. Διονύσιος δὲ μετὰ τῶν ἀρχιτεκτόνων κατασκεψάμενος τοὺς τόπους, ἤρξατο χώματα κατασκευάζειν ἐπὶ τὴν Μοτύην, καὶ τὰς μὲν μακρὰς ναῦς παρὰ τὸν εἴσπλουν τοῦ λιμένος ἐνεώλκησε, τὰ δὲ φορτηγὰ τῶν πλοίων ὥρμισε παρὰ τὸν αἰγιαλόν. μετὰ δὲ ταῦτα ἐπὶ μὲν τῶν ἔργων κατέλιπεν ἐπιστάτην Λεπτίνην τὸν ναύαρχον, αὐτὸς δὲ μετὰ τῆς πεζῆς στρατιᾶς ὥρμησεν ἐπὶ τὰς τοῖς Καρχηδονίοις συμμαχούσας πόλεις. Σικανοὶ μὲν πάντες, εὐλαβούμενοι τὸ μέγεθος

cap. 48. Erycini Dionysii partibus sponte accedunt; sed Motya ad resistendum se parat.

Leptini obsidionis cura permittitur; pedestrem exercitum Dionysius

Ipse in Punicas urbes ducit.

γεθος τῆς δυνάμεως, προσεχώρησαν τοῖς Συρακουσίοις· τῶν δὲ ἄλλων πόλεων πέντε μόνον διέμειναν τῇ πρὸς Καρχηδονίους φιλίᾳ· αὗται δὲ ἦσαν, Ἀγκύραι, Σολοῦς, Ἔγεστα, Πάνορμος, Ἔντελλα. τὴν μὲν οὖν τῶν Σολεντίνων καὶ Πανορμιτῶν, πρὸς δὲ τούτοις Ἀγκυραίων χώραν ὁ Διονύσιος λεηλατήσας ἐδενδροτόμησε· τήν τε τῶν Ἐγεσταίων καὶ Ἐντελλάνων πολλῇ δυνάμει περιστρατοπεδεύσας, συνεχεῖς ἐποιεῖτο προσβολάς, σπεύδων αὐτῶν μετὰ βίας κυριεῦσαι. καὶ τὰ μὲν περὶ Διονύσιον ἐν τούτοις ἦν.

cap. 49. Naves in portu Syracusano a Poenis subita incursione dirutae.

Ἰμίλκων δὲ, ὁ τῶν Καρχηδονίων στρατηγὸς, αὐτὸς μὲν περὶ τὸν τῶν δυνάμεων ἀθροισμὸν καὶ τὴν ἄλλην ἐγίνετο παρασκευήν· τὸν δὲ ναύαρχον μετὰ δέκα τριήρων ἀπέστειλε, κελεύσας, κατὰ τάχος λάθρα πλεῖν ὡς ἐπὶ Συρακουσίους, καὶ νυκτὸς εἰς τὸν λιμένα πλεύσαντα, διαφθεῖραι τὰ καταλελειμμένα τῶν πλοίων. τοῦτο δ' ἔπραξε, νομίζων, ἀντιπερισπασμόν τινα ποιήσειν, καὶ τὸν Διονύσιον ἀναγκάσειν, μέρος τῶν πλοίων ἀποστέλλειν ἐπὶ Συρακουσίους. ὁ δὲ πεμφθεὶς ναύαρχος συντόμως πράξας τὸ παραγγελθὲν, κατέπλευσε νυκτὸς εἰς τὸν τῶν Συρακουσίων λιμένα, πάντων ἀγνοούντων τὸ γεγενημένον· ἀπροσδοκήτως δ' ἐπιθέμενος, καὶ τοῖς παρορμοῦσι πλοίοις ἐμβολὰς δοὺς, καὶ σχεδὸν ἅπαντα καταλύσας, ἀνέκαμψεν εἰς Καρχηδόνα.

Motyam Dionysius capit.

Διονύσιος δὲ, πᾶσαν τὴν ὑπὸ Καρχηδονίους χώραν δῃώσας, καὶ τοὺς πολεμίους τειχήρεις ποιήσας, ἐπὶ τὴν Μοτύην ἅπασαν ἤγαγε τὴν δύναμιν. ἤλπιζε γὰρ, ταύτης ἐκπολιορκηθείσης, τὰς ἄλλας εὐθέως αὐτὰς παραδώσειν. εὐθὺς οὖν πολλαπλασίους ἄνδρας τοῖς ἔργοις τε προστιθεὶς, ἐχώννυε τὸν μεταξὺ πόρον, καὶ τὰς μηχανὰς ἐκ τοῦ κατὰ λόγον ἅμα τῇ τοῦ χώματος αὐξήσει προσήγαγε τοῖς τείχεσι.

cap. 52.

Οἱ δὲ Μοτυηνοὶ προθυμότερον ἠγωνίζοντο, καὶ μόλις οἱ Σικελιῶται τῷ πλήθει κατεπόνησαν τοὺς ἀνθεστηκότας.

cap. 53.

Μετὰ δὲ ταῦτα φύλακας τῆς πόλεως καταστήσας, Βίτωνα τὸν Συρακούσιον φρούραρχον ἀπέδειξε· τὸ δὲ πλεῖον μέρος ἐκ τῶν Σικελῶν ὑπῆρχε· καὶ Λεπτίνην μὲν τὸν ναύαρχον μετὰ νεῶν εἴκοσι καὶ ἑκατὸν παρατηρεῖν τὴν διάβασιν τῶν Καρχηδονίων. συνέταξε δ' αὐτῷ, τὴν Ἔγεσταν πολιορκεῖν, καθάπερ ἐξ ἀρχῆς πορθεῖν αὐτὰς ἐνεστήσατο.

Leptines cum classe Carthaginienses observat.

αὐτὸς

Digitized by Google

αὐτὸς δὲ, τῦ θέρυς ἤδη λήγοντος, ἀνέζευξε μετὰ τῆς δυνάμεως εἰς Συρακύσας.

cap. 54. Interea Carthaginienses quas possunt maximas copias cogunt. Imilconi summum imperium tradunt. ante Chr. 394.

Οἱ δὲ Καρχηδόνιοι, πυθόμενοι τὸ μέγεθος τῆς τῦ Διονυσίυ δυνάμεως, ἔκριναν πολὺ ταῖς παρασκευαῖς αὐτὸν ὑπερθέσθαι. διόπερ Ἰμίλκωνα βασιλέα κατὰ νόμον καταστήσαντες, ἐκ τῆς Λιβύης ὅλης, ἔτι δ' ἐκ τῆς Ἰβηρίας συνήγαγον δυνάμεις, τὰς μὲν παρὰ τῶν συμμάχων μεταπεμπόμενοι, τὰς δὲ μισθύμενοι· καὶ πέρας, ἤθροισαν μὲν πεζῶν ὑπὲρ τὰς τριάκοντα μυριάδας, ἱππεῖς δὲ τετρακισχιλίυς, χωρὶς τῶν ἁρμάτων· ταῦτα δ' ἦσαν τετρακόσια· ναῦς δὲ μακρὰς μὲν τετρακοσίας, τὰς δὲ τὸν σῖτον καὶ τὰ μηχανήματα καὶ τὴν ἄλλην ὑπηρεσίαν παρακομιζύσας, πλείυς τῶν ἑξακοσίων, καθάπερ φησὶν Ἔφορος. Τίμαιος μὲν γὰρ τὰς ἐκ τῆς Λιβύης περαιωθείσας δυνάμεις ὐ πλείυς φησὶν εἶναι δέκα μυριάδων, καὶ πρὸς ταύταις ἑτέρας τρεῖς ἀποφαίνεται κατὰ Σικελίαν στρατολογηθείσας.

cap. 55. Jam recto cursu Panormum petit Imilco,

Ἰμίλκων δὲ τοῖς κυβερνήταις ἅπασι δὺς βιβλίον ἐπεσφραγισμένον, ἐκέλευσεν ἀνοίγειν ὅταν ἐκπλεύσωσι, καὶ ποιεῖν τὰ γεγραμμένα. τῦτο δ' ἐμηχανήσατο πρὸς τὸ μηδένα τῶν κατασκόπων ἀπαγγεῖλαι τὸν κατάπλυν τῷ Διονυσίῳ· ἦν δὲ γεγραμμένον, ὅπως ἐς Πάνορμον καταπλεύσωσι. διόπερ ἐπιγενομένυ πνεύματος ὐρίυ, καὶ πάντων λυσάντων τὰ πρυμνήσια, τὰ μὲν φορτηγὰ τῶν πλοίων ἔπλει διὰ τῦ πελάγυς, αἱ δὲ τριήρεις ἔπλευσαν εἰς τὴν Λιβύην, παρελέγοντό τε τὴν γῆν. Φορῦ δὲ πνεύματος ὄντος, ὡς ἤδη καταφανεῖς ἦσαν ἀπὸ τῆς Σικελίας αἱ πρῶται πλέυσαι τῶν φορτηγῶν νεῶν, Διονύσιος ἀπέστειλε Λεπτίνην μετὰ τριάκοντα τριήρων, παρακελευσάμενος τύπτειν τοῖς ἐμβόλοις καὶ διαφθείρειν ἁπάσας τὰς καταλαμβανομένας. ὃς μετὰ σπυδῆς ἐκπλεύσας, καὶ ταῖς πρώταις προσμίξας, εὐθέως τινὰς αὐτάνδρυς κατέδυσεν· αἱ δὲ λοιπαὶ, πλήρεις ὖσαι καὶ τὸν ἄνεμον τοῖς ἱστίοις δεχόμεναι, ῥᾳδίως ἐξέφυγον· ὅμως κατέδυσε πεντήκοντα ναῦς στρατιώτας ἐχύσας πεντακισχιλίυς, ἅρματα δὲ διακόσια. Ἰμίλκων δὲ καταπλεύσας εἰς Πάνορμον, καὶ τὴν δύναμιν ἀποβιβάσας, ἦγεν ἐπὶ τὺς πολεμίυς· καὶ τὰς μὲν τριήρεις παραπλεῖν ἐκέλευσεν, αὐτὸς δ' ἐν παρόδῳ διὰ προδοσίας ἑλὼν Ἔρυκα, πρὸς τὴν Μοτύην κατεστρατοπέδευσεν. ὄντος

expositisque ibi copiis Erycem per proditionem,

Digitized by Google

τος δὲ κατὰ τοῦτον τὸν χρόνον τοῦ Διονυσίου περὶ τὴν Ἔ-
γεσταν μετὰ τῆς δυνάμεως, Ἰμίλκων τὴν Μοτύην ἐξεπο-
λιόρκησε.

Motyam vi capit.

cap. 62.

Ἐκ τούτου τοῦ χρόνου οἱ Καρχηδόνιοι μετὰ τύχης με-
γάλης ἐπολέμησαν, καὶ τῶν κατὰ τὴν Σικελίαν σχεδὸν
ἁπασῶν, πλὴν Συρακουσῶν, ἐκράτησαν. Μετὰ δὲ ταῦτα
Ἰμίλκων τοῖς ἀπὸ τῶν πολεμίων σκύλοις κοσμήσας τὰς
ναῦς, κατέπλευσεν εἰς τὸν μέγαν λιμένα τῶν Συρακου-
σίων, καὶ πολλὴν τοῖς ἐν τῇ πόλει κατάπληξιν ἐπέστησε.
εὐθὺς καὶ τὸ πεζὸν στρατόπεδον ἐκ θατέρου μέρους ἀντι-
παρῆγε, συνεστηκὸς, ὡς μέν τινες ἀνέγραψαν, ἐκ τριά-
κοντα μυριάδων πεζῶν, ἱππέων δὲ τρισχιλίων, νεῶν δὲ
μακρῶν διακοσίων. ὁ μὲν οὖν στρατηγὸς τῶν δυνάμεων Ἰ-
μίλκων κατεσκήνωσεν ἐν τῷ Διὸς νεῷ· τὸ δὲ λοιπὸν πλῆ-
θος ἐν τῷ παρακειμένῳ τόπῳ κατεστρατοπέδευσεν, ἀπέχον
τῆς πόλεως σταδίους δώδεκα. μετὰ δὲ ταῦτα Ἰμίλκων ἐξή-
γαγε τὴν στρατιὰν ἅπασαν, καὶ πρὸ τῶν τειχῶν ἔταξε
τὴν δύναμιν, εἰς μάχην προκαλούμενος τοὺς Συρακουσίους.
ἐπέπλευσε δὲ καὶ τοῖς λιμέσιν ἑκατὸν ναυσὶ ταῖς ἀρίσταις,
ὅπως καταπλήξηται τοὺς κατὰ τὴν πόλιν, καὶ συναναγκά-
σῃ, συγχωρεῖν, ἥττους εἶναι καὶ κατὰ θάλατταν. οὐδενὸς
δ' ἐπεξιέναι τολμῶντος, τότε μὲν ἀπῆγε τὴν δύναμιν εἰς
τὴν στρατοπεδείαν, μετὰ δὲ ταῦτα ἐφ' ἡμέρας τριάκοντα
τὴν χώραν ἐπῄει δενδροτομῶν, καὶ πᾶσαν φθείρων· ὅ-
πως ἅμα μὲν τοὺς στρατιώτας πληρώσῃ παντοίας ὠφελείας,
ἅμα δὲ τοὺς ἐντὸς τῶν τειχῶν εἰς ἀθυμίαν καταστήσῃ.

Imilco autem magna classe portum Syracusanorum occupat, simulque pedestrem aciem ante moenia explicat ad pugnam, agros vastat,

cap. 63. templa expilat. Fortuna ejus mox in pejus mutata.

Κατελάβετο δὲ καὶ τὸ τῆς Ἀχραδινῆς προάστειον,
καὶ τοὺς νεὼς τῆς τε Δήμητρος καὶ Κόρης ἐσύλησεν· ὑ-
πὲρ ὧν ταχὺ τῆς εἰς τὸ θεῖον ἀσεβείας ἀξίαν ὑπέσχε
τιμωρίαν. ταχὺ γὰρ αὐτῷ τὰ πράγματα καθ' ἡμέραν
ἐγίνετο χείρω, καὶ τοῦ Διονυσίου θαρροῦντος ἀκροβολισμοὺς
συνίστασθαι, συνέβαινε προτερεῖν τοὺς Συρακουσίους. ἐγίγνον-
το δὲ καὶ τὰς νύκτας ἐν τῷ στρατοπέδῳ παράλογοι ταρα-
χαί, καὶ μετὰ τῶν ὅπλων συνέτρεχον, ὡς τῶν πολεμίων
ἐπιθεμένων τῷ χάρακι. ἐπεγενήθη δὲ καὶ νόσος, ἣ πάν-
των αἰτία κακῶν κατέστη.

cap. 71. Morbi pestilentis atrocitas.

Ἤψατο μὲν οὖν ἡ νόσος πρῶτον τῶν Λιβύων, ἐξ
ὧν πολλῶν ἀποθνησκόντων, τὸ μὲν πρῶτον ἔθαπτον τοὺς
τετε-

Digitized by Google

τετελευτηκότας, μετὰ δὲ ταῦτα διά τε τὸ πλῆθος τῶν νεκρῶν, καὶ διὰ τὸ τὲς νοσοκομῦντας ὑπὸ τῆς νόσε διαρπάζεσθαι, ἐδεὶς ἐτόλμα προσιέναι τοῖς κάμνεσι. παραιρεθείσης ἐν καὶ τῆς θεραπείας, ἀβοήθητος ἦν ἡ συμφορά. διὰ γὰρ τὴν τῶν ἀθάπτων δυσωδίαν, καὶ τὴν ἀπὸ τῶν ἑλῶν σηπεδόνα, πρῶτον μὲν ἤρχετο τῆς νόσε κατάῤῥες, μετὰ δὲ ταῦτα ἐγίνετο περὶ τὸν τράχηλον οἰδήματα· ἐκ δὲ τέτε κατ' ὀλίγον ἠκολέθεν πυρετοὶ, καὶ περὶ τὴν ῥάχιν νεύρων πόνοι, καὶ τῶν σκελῶν βαρύτητες. ἔιτ' ἐπεγίνοντο δυσεντερίαι, καὶ φλύκταιναι περὶ τὴν ἐπιφάνειαν ὅλην τε σώματος. τοῖς μὲν ἐν πλείςοις τοιἔτον ἦν τὸ πάθος· τινὲς δ' ἐις μανίαν καὶ λήθην τῶν ἁπάντων ἔπιπτον, οἱ περιπορευόμενοι τὴν παρεμβολὴν ἐξεςῶτες τε φρονεῖν ἔτυπτον τὲς ἀπαντῶντας. καθόλε δὲ συνέβη καὶ τὴν ἀπὸ τῶν ἰατρῶν βοήθειαν ἄπρακτον ἔιναι, καὶ διὰ τὸ μέγεθος τε πάθες, καὶ τὴν ὀξύτητα τε θανάτε, πεμπταῖοι γὰρ ἢ τὸ πλεῖςον ἑκταῖοι μετήλλαττον, δεινὰς ὑπομένοντες τιμωρίας· ὥσθ' ὑπὸ πάντων μακαρίζεσθαι τὲς ἐν τῷ πολέμῳ τετελευτηκότας. καὶ γὰρ οἱ τοῖς κάμνεσι παρεδρεύοντες ἐνέπιπτον ἐις τὴν νόσον ἅπαντες· ὥςε δεινὴν ἔιναι τὴν συμφορὰν τῶν ἀῤῥωςέντων, μηδενὸς θέλοντος ὑπηρετεῖν τοῖς ἀτυχεσιν. ἐ γὰρ μόνον οἱ μηδὲν προσήκοντες ἀλλήλες ἐγκατέλειπον, ἀλλ' ἀδελφοὶ μὲν ἀδελφὲς, φίλοι δὲ τὲς συνήθεις ἠναγκάζοντο προΐεσθαι, διὰ τὸν ὑπὲρ αὐτῶν φόβον.

Cap. 72. Tanta clade afflictos Poenos subito terra marique adortus Dionysius.

Διονύσιος δὲ ἐπειδὴ τὴν περὶ Καρχηδονίες συμφορὰν ἤκεσεν, ὀγδοήκοντα μὲν ναῦς πληρώσας, Φαρακίδᾳ καὶ Λεπτίνῃ τοῖς ναυάρχοις προσέταξεν, ἅμ' ἡμέρᾳ τὸν ἐπίπλεν ταῖς πολεμικαῖς ναυσὶ ποιήσασθαι· αὐτὸς δ' ἀσελήνε τῆς νυκτὸς ἔσης περιήγαγε τὴν δύναμιν, καὶ περιελθὼν ἐπὶ τὸ τῆς Κυάνης ἱερὸν, ἔλαθε τὲς πολεμίες ἅμ' ἡμέρᾳ προσιὼν τῇ παρεμβολῇ.

Cap. 75. Imilco, clam pro ccc talentis a Dionysio redemta venia cum suis in patriam redeundi, aufugit;

Οἱ δὲ Καρχηδόνιοι κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν ἡττήθησαν· ἡττημένοι δὲ διεπρεσβεύσαντο πρὸς Διονύσιον λάθρα τῶν Συρακεσίων. ἠξίεν δὲ αὐτὸν, ἀφιέναι τὲς περιλειπομένες ἐις Λιβύην διακομισθῆναι, καὶ τὰ κατὰ τὴν παρεμβολὴν αὐτοῖς ὄντα τριακόσια τάλαντα δώσειν ἐπηγγέλλοντο. ὁ δὲ Διονύσιος ἅπαντας μὲν ἀδύνατον ἔι-

ναι Φυγεῖν ἀπεΦαίνετο, τὰς δὲ Καρχηδονίες πολιτικὰς συνεχώρησε μόνες νυκτὸς ἀπελθεῖν λάθρα κατὰ θάλατταν· ἤδει γὰρ τὰς Συρακεσίες καὶ τὰς συμμάχες ἐκ ἐπιτρέψοντας αὐτῷ περὶ τέτων συγχωρεῖν τοῖς πολεμίοις. ταῦτα δ' ἔπραττεν ὁ Διονύσιος, ἐ βελόμενος τελείως ἀπολέσθαι τὴν τῶν Καρχηδονίων δύναμιν, ὅπως οἱ Συρακέσιοι, διὰ τὸν ἀπὸ τέτων Φόβον, μηδέποτε σχολὴν λάβωσιν ἀντέχεσθαι τῆς ἐλευθερίας. ὁ μὲν ἒν Διονύσιος, συνθέμενος εἰς ἡμέραν τετάρτην ἐπὶ νύκτα τὴν Φυγὴν τοῖς Καρχηδονίοις, τὸ ςρατόπεδον ἀπήγαγεν εἰς τὴν πόλιν. ὁ δ' Ἰμίλκων νυκτὸς παρακομίσας εἰς τὴν ἀκρόπολιν τὰ τριακόσια τάλαντα, παρέδωκε τοῖς ἐν τῇ Νήσῳ τεταγμένοις ὑπὸ τῦ τυράννε· αὐτὸς δὲ, ἐπεὶ παρῆν ὁ συγκείμενος χρόνος, νυκτὸς ἐπλήρωσε τετταράκοντα τριήρεις τῶν πολιτικῶν, καὶ καταλιπὼν ἅπαν τὸ ςρατόπεδον, ὥρμησε Φεύγειν. ἤδη δ' αὐτῦ τὸν λιμένα διεκπεπλευκότος, ᾔσθοντό τινες τῶν Κορινθίων τὸν δρασμὸν, καὶ ταχέως ἀπήγγειλαν τῷ Διονυσίῳ. τῦ δὲ τὰς ςρατιώτας τότε καλῦντος εἰς τὰ ὅπλα, καὶ κατὰ σχολὴν τὰς ἡγεμόνας ἀθροίζοντος, ἐκ ἀνέμειναν αὐτὸν οἱ Κορίνθιοι· ταχὺ δ' ἀναχθέντες ἐπὶ τὰς Καρχηδονίες, καὶ πρὸς ἀλλήλες ἐν ταῖς εἰρεσίαις Φιλοτιμέμενοι, τὰς ἐσχάτας Φοινίσσας ναῦς κατέλαβον· ἃς τοῖς ἐμβόλοις συντρίψαντες κατέδυσαν. μετὰ δὲ ταῦτα Διονύσιος μὲν ἐξήγαγε τὴν δύναμιν· οἱ δὲ συμμαχῦντες τοῖς Καρχηδονίοις Σικελοὶ, Φθάσαντες τὰς Συρακεσίες, ἔΦυγον διὰ τῆς μεσογείε, καὶ σχεδὸν πάντες διεσώθησαν εἰς τὰς πατρίδας. καὶ Διονύσιος μὲν, τὰς ὁδὰς διαλαβὼν Φυλακαῖς ἀπήγαγε τὴν δύναμιν ἐπὶ τὴν τῶν πολεμίων ςρατοπεδείαν ἔτι νυκτὸς ἔσης· οἱ δὲ Βάρβαροι, καταλειΦθέντες ὑπὸ τῦ ςρατηγῦ καὶ τῶν Καρχηδονίων, ἔτι δὲ τῶν Σικελῶν, ἠθύμησαν, καὶ καταπλαγέντες ἔΦευγον. οἱ μὲν ἐν ταῖς ὁδοῖς καὶ ταῖς προΦυλακαῖς ἐμπίπτοντες συνελαμβάνοντο, οἱ δὲ πλεῖςοι τὰ ὅπλα ῥιπτῦντες συνήντων, δεόμενοι Φείσασθαι τῦ βίε. μόνοι δὲ Ἴβηρες ἠθροισμένοι μετὰ τῶν ὅπλων ἐπεκηρυκεύοντο περὶ συμμαχίας. Διονύσιος δὲ πρὸς μὲν τέτες σπεισάμενος, κατέταξε τὰς Ἴβηρας εἰς τὰς μισθοΦόρες· τὸ δὲ λοιπὸν πλῆθος ἐζώγρησε, καὶ τὴν λοιπὴν ἀποσκευὴν ἐΦῆκε τοῖς ςρατιώταις διαρπάσαι. Οἱ-

reliquus exercitus similiter fuga dilapsus,

vel cum castris captus & cæsus est.

Οὕτω μὲν οὖν τοῖς Καρχηδονίοις ἡ τύχη τάχιον τὴν μεταβολὴν ἐποίησε, καὶ πᾶσιν ἀνθρώποις ἔδειξεν, ὡς οἱ μεῖζον τοῦ καθήκοντος ἐπαιρόμενοι ταχέως ἐξελέγχουσι τὴν ἰδίαν ἀσθένειαν. ἐκεῖνοι γὰρ τῶν κατὰ τὴν Σικελίαν σχεδὸν ἁπασῶν, πλὴν Συρακουσῶν, κρατοῦντες, καὶ ταύτην ἁλώσεσθαι προσδοκῶντες, ἐξαίφνης ὑπὲρ τῆς ἰδίας πατρίδος ἀγωνιᾷν ἠναγκάσθησαν· καὶ τοὺς τάφους τῶν Συρακουσίων ἀνατρέψαντες, πεντεκαίδεκα μυριάδας ἐπεῖδον ἀτάφους διὰ τὸν λοιμὸν σεσωρευμένους. πυρπολήσαντες δὲ τὴν χώραν τῶν Συρακουσίων, ἐκ μεταβολῆς εὐθὺς εἶδον τὸν ἴδιον στόλον ἐμπυρισθέντα. εἰς δὲ τὸν λιμένα πάσῃ τῇ δυνάμει καταπλέοντες ὑπερηφάνως, καὶ τοῖς Συρακουσίοις ἐπιδεικνύμενοι τὰς ἑαυτῶν εὐτυχίας, ἠγνόουν ἑαυτοὺς μέλλοντας νυκτὸς ἀποδράσεσθαι, καὶ τοὺς συμμάχους ἐκδότους καταλιπεῖν τοῖς πολεμίοις. αὐτὸς δὲ ὁ στρατηγὸς, ὁ ποιησάμενος σκηνὴν ἐν τῷ τοῦ Διὸς ἱερῷ, πρόσοδον δὲ τὸν ἐκ τῶν ἱερῶν συληθέντα πλοῦτον, αἰσχρῶς μετ' ὀλίγων εἰς Καρχηδόνα διέφυγεν, ὅπως μὴ τὸν ὀφειλόμενον τῇ φύσει θάνατον ἀποδοὺς, ἀθῷος γένηται τῶν ἀσεβημάτων, ἀλλ' ἐν τῇ πατρίδι περιβόητον ἔχῃ τὸν βίον, ὑπὸ πάντων ὀνειδιζόμενος. εἰς τοσοῦτο δ' ἦλθεν ἀτυχίας, ὥστε μετὰ τῆς εὐτελεστάτης ἐσθῆτος περιῄει τοὺς κατὰ πόλιν ναοὺς, κατηγορῶν τῆς ἰδίας ἀσεβείας, καὶ περὶ τῶν εἰς θεοὺς ἁμαρτημάτων ὁμολογουμένην διδοὺς τιμωρίαν τῷ δαιμονίῳ. τὸ δὲ τέλος, ἑαυτοῦ καταγνοὺς θάνατον, ἀπεκαρτέρησε, πολλὴν τοῖς πολίταις ἀπολιπὼν δεισιδαιμονίαν.

cap. 76.

Imilco in summa ignominia & miseria vitam inedia finit.

Καρχηδόνιοι δὲ βραδέως ἑαυτοὺς ἐκ τῆς περὶ Συρακούσας συμφορᾶς ἀναλαβόντες, ἔγνωσαν ἀντέχεσθαι τῶν κατὰ Σικελίαν πραγμάτων. κρίναντες δὲ διαγωνίζεσθαι, ναυσὶ μὲν μακραῖς ὀλίγαις διέβησαν, δύναμιν δὲ συνήγαγον ἀπό τε Λιβύης καὶ Σαρδοῦς, ἔτι δὲ τῶν ἐξ Ἰταλίας βαρβάρων. πάντας δ' ἐπιμελῶς καθοπλίσαντες μετὰ τῆς οἰκείας χορηγίας, ἐπεραιώθησαν εἰς τὴν Σικελίαν, οὐκ ἐλάττους ὄντες τῶν ὀκτὼ μυριάδων, ὧν ἡγεῖτο Μάγων. οὗτος μὲν οὖν διὰ Σικελῶν πορευθεὶς, καὶ τὰς πλείστας πόλεις ἀποστήσας τοῦ Διονυσίου, κατεστρατοπέδευσεν ἐν τῇ τῶν Ἀγυριναίων χώρᾳ παρὰ τὸν Χρύσαν ποταμὸν, ἐγγὺς τῆς ὁδοῦ τῆς φερούσης εἰς Μοργαντίναν. τοὺς γὰρ Ἀγυρι-

cap. 95. Carthaginienses vero, receptis viribus, res in Sicilia repetere aggrediuntur. ante Chr. 309.

Coacto exercitu, cui Mago præerat, castra movent usque ad Agyrium.

Digitized by Google

γυριναίες ἐ δυνάμενος εἰς συμμαχίαν προσλαβέθαι, τῆς εἰς τἐμπροθεν ἐπέσῃ πορείας, ἀκέων, τὲς πολεμίες ἐκ Συρακεσῶν ὡρμηκέναι. Διονύσιος δὲ πυθόμενος τὲς Καρχηδονίες διὰ τῆς μεσογείε τὴν πορείαν ποιεμένες, ταχὺ συλλέξας ἒς ἠδύνατο τῶν Συρακεσίων καὶ τῶν μισθοφόρων, ὥρμησε τὲς πάντας ἔχων ἐκ ἐλάττες δισμυρίων.

Sed cum Agyris, Agyrinæorum tyrannus, in Dionysii societate manet,

παραγενόμενος δ' ἐγγὺς τῶν πολεμίων, διεπρεσβεύσατο πρὸς Ἄγυριν τὸν δυνασεύοντα τῶν Ἀγυριναίων. ἒτος δὲ τῶν τότε τυράννων ἐν Σικελίᾳ μεγίσην εἶχε δύναμιν, μετὰ Διονύσιον. τῶν τότε γὰρ περικειμένων ἐρυμάτων σχεδὸν ἁπάντων ἐκυρίευσε, καὶ τῆς πόλεως τῶν Ἀγυριναίων ἦρχε, πολυοχλεμένης κατ' ἐκείνες τὲς καιρές. εἶχε γὰρ πολίτας ἐκ ἐλάττες δισμυρίων. ἦν δὲ καὶ εἰς τἒτο τὸ πλῆθος ἐν τῇ πόλει συνηθροισμένων χρημάτων πολλῶν κατὰ τὴν ἀκρόπολιν παράθεσις, ἣν Ἄγυρις ἠθροίκει, πεφονευκὼς τὲς εὐπορωτάτες τῶν πολιτῶν. ἀλλ' ὁ Διονύσιος μετ' ὀλίγον εἰσελθὼν ἐντὸς τἒ τείχες, ἔπεισε τὸν Ἄγυριν συμμαχῆσαι γνησίως, καὶ πολλὴν ἐπηγγείλατο χώραν τῆς ὁμόρε δωρήσαθαι, κατορθωθέντος τἒ πολέμε. ὁ δ' Ἄγυρις πρῶτον μὲν πάσῃ τῇ Διονυσίε δυνάμει σῖτον καὶ τἄλλα, ὅσα ἦν χρεία, προθύμως ἐδωρήσατο, καὶ πανδημεὶ τὴν δύναμιν ἐξαγαγὼν, ἐςράτευσε μετὰ Διονυσίε, καὶ κοινῇ τοῖς Καρχηδονίοις διεπολέμει.

cap. 96. Mago, summa rerum penuria coactus, pacem petit.

Μάγων δ' ἐν πολεμίᾳ χώρᾳ ςρατοπεδεύων, καὶ τῶν ἀναγκαίων ἐνδεὴς ἀεὶ μᾶλλον γινόμενος, ἐ μετρίως ἠλαττἒτο. καὶ γὰρ οἱ περὶ τὸν Ἄγυριν τῆς χώρας ἔμπειροι καθεςῶτες ἐν ταῖς ἐνέδραις ἐπλεονέκτεν, καὶ τὰς ἀγορὰς τῶν πολεμίων ἀφῃρἒντο. λεγόντων δὲ τῶν Συρακεσίων, διὰ μάχης κρίνειν ὡς τάχιςα τὰ πράγματα, Διονύσιος ἐναντιἒτο, λέγων, χωρὶς κινδύνων τῷ χρόνῳ καὶ τῇ σπάνει καταφθαρήσεθαι τὲς Βαρβάρες· ἐφ' οἷς παροργισθέντες οἱ Συρακέσιοι κατέλιπον τὸν Διονύσιον. ὁ δὲ τὸ μὲν πρῶτον εὐλαβέμενος, ἐπ' ἐλευθερίαν ἐκάλει τὲς οἰκέτας· μετὰ δὲ ταῦτα διαπρεσβευσαμένων τῶν Καρχηδονίων ὑπὲρ εἰρήνης, ὑπακέσας ἀναπομπίμες τοῖς κυρίοις ἐποίησε.

E fœdere Mago e Sicilia discedit, Siculi autem Dionysio

πρὸς δὲ τὲς Καρχηδονίες εἰρήνην ἐποιήσατο. ἦσαν δὲ συνθῆκαι τὰ μὲν ἄλλα παραπλήσιαι ταῖς πρότερον, Σικελὲς δὲ δεῖν ὑπὸ Διονύσιον τετάχθαι, καὶ παραλα-

Digitized by Google

ραλαβεῖν αὐτὸν τὸ Ταυρομένιον. μετὰ δὲ τὰς συνθήκας Μάγων μὲν ἀπέπλευσε, Διονύσιος δὲ παραλαβὼν τὸ Ταυρομένιον, τὲς μὲν πλείςες τῶν ἐκεῖ Σικελῶν ἐξέβαλε, τῶν δ' ἰδίων μιθοφόρων τὲς ἐπιτηδειοτάτες ἐπιλέξας κατῴκισε.

subjiciuntur cum Tauromenio.

Μετὰ δὲ ταῦτα Διονύσιος ὁ τῶν Συρακεσίων δυνάςης, φανερῶς ἑαυτὸν ἀναδείξας ἐπὶ τὴν Ἰταλίαν ςρατευσόμενον, μετὰ πλείςης δυνάμεως ὥρμησεν ἀπὸ Συρακεσῶν. εἶχε δὲ πεζὲς μὲν πλείες τῶν δισμυρίων, ἱππεῖς δὲ περὶ τρισχιλίες· ναῦς δὲ μακρὰς μὲν τεσσαράκοντα, τὰς δὲ τὸν σῖτον κομιζέσας, ἐκ ἐλάττες τριακοσίων. πεμπταῖος δὲ κατανύσας εἰς τὴν Μεσσήνην, αὐτὸς μὲν ἐν τῇ πόλει τὴν δύναμιν ἀνελάμβανε, Θεαρίδην δὲ τὸν ἀδελφὸν ἐπὶ τὰς νήσες τῶν Λιπαραίων ἀπέςειλε μετὰ νεῶν τριάκοντα· πεπυσμένος γὰρ ἦν δέκα ναῦς τῶν Ῥηγίνων περὶ ἐκείνες τὲς τόπες ἔσας. ὁ δὲ Θεαρίδης, ἐκπλεύσας καὶ καταλαβὼν τὴν Ῥηγίνων δεκαναΐαν ἔν τισιν εὐθέτοις τόποις, αὐτάνδρων τῶν σκαφῶν ἐκυρίευσε, καὶ ταχέως εἰς Μεσσήνην πρὸς Διονύσιον ἀπέςρεψε. Διονύσιος δὲ τὲς αἰχμαλώτες εἰς δεσμὰ καταθέμενος, τοῖς Μεσσηνίοις ἔδωκε φυλάττειν· αὐτὸς δὲ περαιώσας τὴν δύναμιν εἰς Καυλωνίαν, περιεςρατοπέδευσε τὴν πόλιν, καὶ τὰς μηχανὰς προσερείσας, πυκνὰς προσβολὰς ἐποιεῖτο· οἱ δὲ κατὰ τὴν Ἰταλίαν Ἕλληνες, ὡς ἐπύθοντο τὰς τε Διονυσίε δυνάμεις περαιεμένας τὸν διείργοντα πορθμὸν, καὶ αὐτοὶ ςρατόπεδα συνήθροιζον. τῆς δὲ τῶν Κροτωνιατῶν πόλεως μάλιςα πολυοχλεμένης, καὶ πλείςες ἐχέσης Συρακεσίες φυγάδας, τέτοις τὴν ἡγεμονίαν τε πολέμε παρέδωκαν. οἱ δὲ Κροτωνιᾶται τὰς πανταχόθεν δυνάμεις ἀθροίσαντες, ςρατηγὸν Ἕλωριν τὸν Συρακέσιον εἵλοντο. ἔτος δὲ πεφευγὼς Διονύσιον, καὶ δοκῶν τόλμαν ἔχειν ἔμπρακτον, πιςότατα πρὸς τὸν τύραννον πολεμήσειν διὰ τὸ μῖσος ὑπείληπτο. ὡς δὲ πάντες οἱ σύμμαχοι παρεγενήθησαν εἰς Κρότωνα, κατὰ τὴν ἑαυτε προαίρεσιν Ἕλωρις διατάξας, ὥρμησε μετὰ πάσης τῆς δυνάμεως ἐπὶ Καυλωνίας. ἅμα γὰρ ἐνόμιζεν, ἐπιφανεὶς λύσειν τὴν πολιορκίαν, ἅμα δὲ καταπεπολεμημένες τὲς πολεμίες ὑπὸ τῶν καθ' ἡμέραν προσβολῶν διαγωνιεῖσθαι. εἶχε δὲ τὲς ἅπαντας πεζὲς μὲν περὶ δισμυρίες πεντακισχιλίες, ἱππεῖς δὲ περὶ δισχιλίες. Δια-

cap. 103. Dionysii in Italiam expeditio. ante Chr. 387.

Græci in Italia Helorim, pulsum a Dionysio in exsilium, copiarum ducem creant.

Digitized by Google

cap. 104. Heloris, obviam factus hosti, pugnam init,

Διανυσάντων δ' αὐτῶν τὸ πλεῖστον τῆς ὁδοῦ, καὶ στρατοπεδευσάντων πρὸς τὸν Ἔλωριν ποταμὸν, ἀνέζευξεν ὁ Διονύσιος ἀπὸ τῆς πόλεως, καὶ συνήντα τοῖς Ἰταλιώταις. ὁ μὲν οὖν Ἔλωρις μετὰ τῶν ἀρίστων πεντακοσίων προηγεῖτο τῆς δυνάμεως. ὁ δὲ Διονύσιος ἔτυχε μὲν ἀπὸ τεσσαράκοντα σταδίων ἐστρατοπεδευκὼς τῶν ἐναντίων, διὰ δὲ τῶν κατασκόπων μαθὼν ἐγγὺς ὄντας τοὺς πολεμίους, ὄρθρου τὴν δύναμιν ἐγείρας, προήγαγεν εἰς τοὔμπροσθεν. ἅμα δ' ἡμέρᾳ τοῖς περὶ τὸν Ἔλωριν ὀλίγοις οὖσιν ἀπαντήσας, ἄφνω προσεμάχετο, καὶ διεσκευασμένην ἔχων τὴν δύναμιν, ἀνοχὴν οὐδ' ἡντινοῦν ἐδίδου τοῖς πολεμίοις. ὁ δ' Ἔλωρις εἰς πολλὴν ἐμπεσὼν ἀπορίαν, αὐτὸς μὲν μεθ' ὧν εἶχεν ὑπέστη τοὺς ἐπιφερομένους, τῶν δὲ φίλων τινὰς ἀπέστειλεν ἐπὶ τὸ στρατόπεδον, ἐπισπεῦσαι τὰ πλήθη παρακελευόμενος. ὧν ταχέως ποιησάντων τὸ προσταχθὲν, οἱ μὲν Ἰταλιῶται, πυθόμενοι τὸν στρατηγὸν καὶ τοὺς μετ' αὐτοῦ κινδυνεύοντας, δρομαῖοι παρῆσαν ἐπὶ τὴν βοήθειαν· ὁ δὲ Διονύσιος ἀθρόᾳ τῇ δυνάμει περιχυθεὶς, τόν θ' Ἔλωριν καὶ τοὺς μετ' αὐτοῦ, γενναίως ἀγωνισαμένους σχεδὸν πάντας ἀνεῖλε. τῶν δ' Ἰταλιωτῶν σποράδην διὰ τὴν σπουδὴν ἐκβοηθούντων, οἱ Σικελιῶται τὰς τάξεις διαφυλάττοντες, ῥᾳδίως τῶν πολεμίων περιεγίνοντο. οὐ μὴν ἀλλ' ἐπὶ μέν τινα χρόνον οἱ κατὰ τὴν Ἰταλίαν Ἕλληνες ὑπέμενον τὸν κίνδυνον, καίπερ ἑαυτῶν πολλοὺς ἀναιρουμένους ὁρῶντες· ὡς δὲ τὴν τοῦ στρατηγοῦ τελευτὴν ἐπύθοντο, καὶ διὰ τὸν θόρυβον ἀλλήλοις ἐμπίπτοντες ἠλαττοῦντο μεγάλως, τότε δὲ τελέως ἀθυμήσαντες ἐτράπησαν.

qua ipse cadit cum plurimis;

reliqui effuse in fugam se dant.

cap. 105. A fuga collectos hostes cunctos, tumulum occupantes, Dionysius ad deditionem cogit.

Πολλῶν δ' ἀναιρουμένων ἐν τῇ κατὰ τὸ πεδίον τροπῇ, κατέφυγε τὸ πλῆθος ἐπί τινα λόφον, ἐρυμνὸν ὄντα πρὸς τὴν πολιορκίαν, ἄνυδρον δὲ καὶ δυνάμενον ῥᾳδίως ὑπὸ τῶν πολεμίων φυλάττεσθαι. ὃν ὁ Διονύσιος περιστρατοπεδεύσας, τήν τε ἡμέραν ἐκείνην καὶ τὴν νύκτα διηγρύπνησεν ἐν τοῖς ὅπλοις, ἐπιμελῶς ταῖς φυλακαῖς χρησάμενος· τῇ δ' ὑστεραίᾳ διὰ τὸ καῦμα καὶ τὴν ἀνυδρίαν οἱ συμπεφευγότες κακῶς ἀπηλλάττοντο. ἐπικηρυκευσαμένων δ' αὐτῶν πρὸς τὸν Διονύσιον, καὶ παρακαλούντων, λύτρα πράξασθαι, οὐ μετρίως ἐν τοῖς εὐημερήμασι γενόμενος, προσέταττεν ἀποθέσθαι τὰ ὅπλα, καὶ σφᾶς αὐτοὺς ἐγχειρίσαι τῷ κρατοῦντι. σκληροῦ δὲ

Digitized by Google

δὲ τοῦ πράγματος ὄντος, μέχρι μέν τινος διεκαρτέρουν· ὡς δ' ὑπὸ τῆς φυσικῆς ἀνάγκης κατεβαροῦντο, παρέδωκαν αὐτοὺς περὶ ὀγδόην ὥραν, ἤδη τὰ σώματα παρειμένοι. Διονύσιος δὲ λαβὼν ῥάβδον, καὶ πατάξας ἐπὶ τοῦ λόφου, ἠρίθμει τοὺς καταβαίνοντας αἰχμαλώτους, ὄντας πλείους τῶν μυρίων. καὶ πάντων αὐτοῦ ὑποπτευόντων τὸ θηριῶδες, τοὐναντίον ἐφάνη πάντων ἐπιεικέστατος. τούς τε γὰρ αἰχμαλώτους ἀφῆκεν αὐτεξουσίους χωρὶς λύτρων, καὶ πρὸς τὰς πλείστας τῶν πόλεων εἰρήνην συνθέμενος, ἀφῆκεν αὐτονόμους. ἐπὶ δὲ τούτοις ἐπαίνου τυχὼν ὑπὸ τῶν εὖ παθόντων, χρυσοῖς στεφάνοις ἐτιμήθη, καὶ σχεδὸν τοῦτ' ἔδοξε πράττειν ἐν τῷ ζῆν κάλλιστον.

His per singularem clementiam dimissis, & civitatibus pace atque libertate concessa, Dionysius omnium gratiam consecutus.

Ἐπὶ δὲ Ῥήγιον ἀναζεύξαντος αὐτοῦ, καὶ μετὰ τῆς δυνάμεως παρεσκευασμένου πολιορκεῖν, διὰ τὴν περὶ τῆς ἐπιγαμίας ὕβριν, ἀγωνία πολλὴ κατεῖχε τοὺς Ῥηγίνους. οὔτε γὰρ συμμάχους, οὔτε δύναμιν ἀξιόμαχον εἶχον· πρὸς δὲ τούτοις, ᾔδεισαν, ὅτι τῆς πόλεως ἁλούσης, οὔτ' ἔλεος οὔτε δέησις αὐτοῖς ἀπελείπετο. διόπερ ἔκριναν, ἀποστεῖλαι πρέσβεις τοὺς δεησομένους μετρίως αὐτοῖς χρήσασθαι, καὶ παρακαλέσαι μηδὲν περὶ αὐτῶν ὑπὲρ ἄνθρωπον βουλεύσασθαι. ὁ δὲ Διονύσιος τριακόσια τάλαντα πραξάμενος, καὶ τὰς ναῦς ἁπάσας παραλαβὼν, οὔσας ἑβδομήκοντα, προσέταξεν ἑκατὸν ὁμήρους δοῦναι. δοθέντων δὲ πάντων, ἀνέζευξεν ἐπὶ Καυλωνίαν· ταύτης δὲ τοὺς μὲν ἐνοικοῦντας ἐν Συρακούσαις μετῴκισε, καὶ πολιτείαν δοὺς, πέντε ἔτη συνεχώρησεν ἀτελεῖς εἶναι· τὴν δὲ πόλιν κατασρέψας, τοῖς Λοκροῖς τὴν χώραν Καυλωνιατῶν ἐδωρήσατο.

cap. 106. Rhegini pacem a Dionysio redimunt.

Caulonia devastata; cives Syracusas migrant.

Μετὰ δὲ ταῦτα πορευθεὶς εἰς Ἱππώνιον μετὰ τῆς δυνάμεως, τοὺς μὲν κατοικοῦντας ἐν αὐτῇ μετῴκισεν εἰς τὰς Συρακούσας· τὴν δὲ πόλιν κατασκάψας, [τοῖς Λοκροῖς] προσεμέρισε τὴν χώραν. κατὰ τὸ συνεχὲς γὰρ ἐφιλοτιμεῖτο τοὺς Λοκροὺς εὖ ποιεῖν, διὰ τὴν συγχωρηθεῖσαν ἐπιγαμίαν· τοὺς δὲ Ῥηγίνους ἐπεθύμει τιμωρήσασθαι, διὰ τὴν περὶ τῆς οἰκειότητος δίκην. καθ' ὃν γὰρ καιρὸν ἀπέστειλε πρὸς αὐτοὺς πρέσβεις, ἀξιῶν αὐτῷ συγχωρηθῆναι τῶν πολιτικῶν παρθένων γαμῆσαι, φασὶ Ῥηγίνους ἀποκριθῆναι δημοσίᾳ τοῖς πρεσβευτοῖσιν, ὡς μόνην αὐτῷ συγχωρῆσαι γαμεῖν τὴν τοῦ δημίου θυγατέρα. διὰ τοῦτο βαρέως φέρων, καὶ δοκῶν

cap. 107. ante Chr. 386.

δοκῶν ὑπερβαλλόντως ὑβρίσθαι, πολὺς ἦν ἐπὶ τῇ κατ' αὐτῶν τιμωρίᾳ. καὶ γὰρ ἐν τῷ πρότερον ἐνιαυτῷ τὴν εἰρήνην συνέθετο πρὸς αὐτοὺς, οὐ τῆς φιλίας ὀρεγόμενος, ἀλλὰ τὴν ναυτικὴν δύναμιν παρελέσθαι βουλόμενος, οὖσαν τριήρων ἑβδομήκοντα. διελάμβανε γὰρ, τῆς κατὰ θάλατταν βοηθείας ἀποκλεισθείσης, ῥαδίως πολιορκήσειν τὴν πόλιν. διόπερ κατὰ τὴν Ἰταλίαν ἐνδιατρίβων, ἐζήτει πρόφασιν εὔλογον, δι' ἧς οὐ παρὰ τὴν ἀξίαν τὴν ἰδίαν δόξει λελυκέναι τὰς συνθήκας.

Quaesita nova inimicitiarum causa,

cap. 108. Dionysius Rhegium oppugnatione urget.

Ἀγαγὼν οὖν πρὸς τὸν πορθμὸν τὰς δυνάμεις, τὰ πρὸς τὴν διάβασιν παρεσκευάζετο· καὶ πρῶτον μὲν ᾔτει τοὺς Ῥηγίνους ἀγορὰς, ἐπαγγελλόμενος ταχέως τὰς δοθείσας ἀποστέλλειν ἐκ Συρακουσῶν· τοῦτο δ' ἔπραττεν, ὅπως, μὴ διδόντων μὲν αὐτῶν, δικαίως δόξῃ τὴν πόλιν ἑλεῖν· δόντων δὲ, νομίζειν ἐξαναλώσειν αὐτῶν τὸν σῖτον, καὶ προσκαθίσας τὴν πόλιν, διὰ τὴν σπάνιν ταχὺ κυριεύσειν αὐτῆς. οἱ δὲ Ῥηγῖνοι τούτων μὲν οὐδὲν ὑπονοοῦντες, τὸ μὲν πρῶτον ἐφ' ἡμέρας τινὰς ἐχορήγουν τὰς τροφὰς λαμπρῶς· ὡς δὲ πλείονα χρόνον ἐνδιέτριβε, ποτὲ μὲν ἀῤῥωστίαν, ποτὲ δὲ ἄλλας προφάσεις ποριζόμενος, ὑπονοήσαντες αὐτοῦ τὴν ἐπιβολὴν, οὐκέτι παρεῖχον τὰς τροφὰς τῷ στρατοπέδῳ. ὁ δὲ Διονύσιος ἐπὶ τούτῳ προσποιηθεὶς ἀγανακτεῖν, τοὺς μὲν ὁμήρους τοῖς Ῥηγίνοις ἀπέδωκε, τὴν δὲ πόλιν περιστρατοπεδεύσας, καθ' ἡμέραν προσβολὰς ἐποιεῖτο. κατεσκεύασε δὲ καὶ μηχανημάτων πολὺ πλῆθος, ἄπιστον τοῖς μεγέθεσι· δι' ὧν τὰ τείχη σαλεύων, ἐφιλοτιμεῖτο κατὰ κράτος ἑλεῖν τὴν πόλιν. οἱ δὲ Ῥηγῖνοι στρατηγὸν ἑλόμενοι Φύτωνα, καὶ πάντας τοὺς ἐν ἡλικίᾳ καθοπλίσαντες, ταῖς τε φυλακαῖς ἐπιμελῶς ἐχρῶντο, καὶ κατὰ τὰς εὐκαιρίας ἐξιόντες, ἐνεπύριζον τὰς τῶν πολεμίων μηχανάς. οὗτοι μὲν οὖν πολλάκις ὑπὲρ τῆς πατρίδος λαμπρῶς ἀγωνιζόμενοι πρὸ τῶν τειχῶν, τήν τε τῶν πολεμίων ὀργὴν ἐξέκαυσαν, καὶ πολλοὺς μὲν ἑαυτῶν ἀπέβαλον, οὐκ ὀλίγους δὲ καὶ τῶν Σικελιωτῶν ἀνεῖλον· καὶ αὐτὸν δὲ τὸν Διονύσιον συνέβη λόγχῃ πληγέντα παρὰ τὸν βουβῶνα, παρ' ὀλίγον μὲν τελευτῆσαι, μόγις δὲ αὐτὸν ἀναλαβεῖν ἐκ τοῦ τραύματος. χρονιζούσης δὲ τῆς πολιορκίας, διὰ τὸ τοὺς Ῥηγίνους ἀνυπέρβλητον εἰσφέρεσθαι σπουδὴν ὑπὲρ τῆς ἐλευθερίας,

Cives, duce Phytone, fortissime pugnant,

ipsumque Dionysium lancea vulnerant.

θερίας, Διονύσιος τὰς μὲν δυνάμεις συνεῖχεν ἐν ταῖς καθ' ἡμέραν προσβολαῖς, καὶ τὴν ἐξ ἀρχῆς πρόθεσιν ὀκ ἐγκατέλειπεν.

Τῶν δ' Ὀλυμπίων ἐγγὺς ὄντων, ἀπέςειλεν εἰς τὸν ἀγῶνα τέθριππα πλείω, διαφέροντα πολὺ τῶν ἄλλων τοῖς τάχεσι, καὶ σκηνὰς εἰς τὴν πανήγυριν διαχρύσες, καὶ πολυτελέσι ποικίλοις ἱματίοις κεκοσμημένας. ἔπεμψε δὲ καὶ ῥαψῳδὲς τὲς κρατίςες, ὅπως ἐν τῇ πανηγύρει τὰ ποιήματα προφερόμενοι, ποιήσωσιν ἔνδοξον τὸν Διονύσιον. σφόδρα γὰρ εἰς τὴν ποιητικὴν ὑπῆρχε μεμηνώς. τέτων δ' ἐπιμελητὴν συνεξέπεμψε Θεαρίδην τὸν ἀδελφόν. ὃς ἐπεὶ παρεγένετο εἰς τὴν πανήγυριν, ἐπὶ μὲν τῷ κάλλει τῶν σκηνῶν καὶ τῷ πλήθει τῶν τεθρίππων ἦν περίβλεπτος· ὡς δ' ἐπέβαλον οἱ ῥαψῳδοὶ προφέρεσθαι τὲ Διονυσίε τὰ ποιήματα, κατ' ἀρχὰς μὲν διὰ τὴν εὐφωνίαν τῶν ὑποκριτῶν συνέδραμε τὰ πλήθη, καὶ πάντες ἐθαύμαζον· μετὰ δὲ ταῦτα, ἀναθεωρῦντες τὴν κακίαν τῶν ποιημάτων, διεγέλων τὸν Διονύσιον, καὶ κατεγίνωσκον ἐπὶ τοσῦτον, ὥςε τινὰς τολμῆσαι διαρπάζειν τὰς σκηνάς. καὶ γὰρ Λυσίας ὁ ῥήτωρ, τότε διατρίβων ἐν Ὀλυμπίᾳ, προετρέπετο τὰ πλήθη, μὴ προσδέχεσθαι τοῖς ἱεροῖς ἀγῶσι τὲς ἐξ ἀσεβεςάτης τυραννίδος ἀπεςαλμένες θεωρές. ὅτε καὶ τὸν Ὀλυμπιακὸν λόγον ἐπιγραφόμενον ἀνέγνω. τῦ δ' ἀγῶνος συντελεμένε, συνέβη κατὰ τύχην τῶν Διονυσίε τεθρίππων τὰ μὲν ἐκπεσεῖν ἐκ τῦ δρόμε, τὰ δ' ἀλλήλοις ἐμπεσόντα συντριβῆναι· παραπλησίως δὲ καὶ τὴν πακομίζυσαν ναῦν τὲς θεωρές, ἀπὸ τῶν ἀγώνων ἀναχθεῖσαν εἰς τὴν Σικελίαν, ἐκπεσεῖν τῆς Ἰταλίας εἰς Τάραντα, διά τινας χειμῶνας. διὸ καί φασι, σωθέντας τὲς ναύτας εἰς Συρακέσας διαγγέλλειν κατὰ τὴν πόλιν, ὅτι διὰ τὴν κακίαν τῶν ποιημάτων, ὀ μόνον οἱ ῥαψῳδῦντες, ἀλλὰ σὺν τέτοις τέθριππα καὶ ἡ ναῦς ἐξέπεσον. ὁ δὲ Διονύσιος, πυθόμενος τὸν τῶν ποιημάτων διασυριγμὸν, καὶ τῶν κολάκων λεγόντων, ὅτι πᾶσι τοῖς καλῶς πραττομένοις φθονῦντες, ἐξ ὑςέρυ θαυμάζυσιν, ὀκ ἀφίςατο τῆς περὶ τὴν ποίησιν σπυδῆς.

cap. 109. In ipso bello vanus Dionysius, rhapsodos cum maximo apparatu ad ludos Olymp. mittit, qui carmina sua recitent.

Sed hi sibilis excepti, & reliqua pompa ludibrio exposita.

Διονυσίε δὲ σχεδὸν ἐνδέκατον μῆνα Ῥήγιον πολιορκῦντος, καὶ τὰς πανταχόθεν βοηθείας ἀποκεκλεικότος, εἰς

cap. 111. Rhegini, diuturna obsidi-

Digitized by Google

one coacti, tyranni arbitrio se dedunt, ante Chr. 385.

εις δεινὴν σπάνιν τῶν ἀναγκαίων οἱ κατὰ τὴν πόλιν παρεγενήθησαν. Φασὶ γὰρ παρὰ τοῖς Ῥηγίνοις κατ᾽ ἐκεῖνον τὸν καιρὸν πέντε μνᾶν γενέθαι τὸν μέδιμνον τοῦ σίτου. καταπονούμενοι δὲ τῇ σιτοδείᾳ, τὸ μὲν πρῶτον τούς τε ἵππους καὶ τἄλλα ὑποζύγια κατέφαγον, μετὰ δὲ ταῦτα δέρματα καθεψᾶντες ἐσιτοῦντο· τὸ δὲ τελευταῖον ἐκ τῆς πόλεως ἐξιόντες, τὴν πρὸς τοῖς τείχεσι βοτάνην ἤσθιον, καθαπερεί τινα θρέμματα. οὕτως ἡ τῆς φύσεως ἀνάγκη τὴν ἀνθρωπίνην δίαιταν εἰς ἀλόγων ζώων τροφὰς καταφυγεῖν ἐβιάζετο. ὁ δὲ Διονύσιος, πυθόμενος τὸ γινόμενον, οὐχ ὅπως ἠλέησε τοὺς ὑπὲρ ἄνθρωπον πάσχειν ἀναγκαζομένους, ἀλλὰ πᾶν τοὐναντίον ἐπαγαγὼν ζεύγη, εἷλε τὴν πόαν τοῦ τόπου, ὥστε τὴν ὕλην ἅπασαν ἀφανισθῆναι. διόπερ ταῖς ὑπερβολαῖς τῶν κακῶν νικώμενοι, παρέδωκαν τὴν πόλιν οἱ Ῥηγῖνοι τῷ τυράννῳ, τὴν πᾶσαν κατ᾽ αὐτῶν ἐπιτρέψαντες ἐξουσίαν. ὁ δὲ Διονύσιος κατὰ μὲν τὴν πόλιν εὗρε σωροὺς νεκρῶν, οἳ διὰ τὴν ἔνδειαν τῆς τροφῆς τετελευτήκασι· καὶ τοὺς ζῶντας δὲ νεκρῶν ἔχοντας διάθεσιν, καὶ παρειμένους τὰ σώματα καταλαβὼν, ἤθροισεν αἰχμαλώτους πλείους τῶν ἑξακισχιλίων. τὸ μὲν οὖν πλῆθος ἀποστείλας εἰς Συρακούσας, ἐκέλευσε τοὺς δόντας ἀργυρίου μνᾶν ἀπολυτροῦσθαι· τοὺς δ᾽ εὐπορῆσαι μὴ δυνηθέντας ἐλαφυροπώλησε.

qui pecunia redemtos liberos esse jubet, ceteros sub corona vendit.

Ibidem. Lib. XV. c. 6. Dionysius ob pacem ac diuturnum otium poëtarum studia sectatur. ante Chr. 384.

Διονύσιος μὲν οὖν ἀπολελυμένος τῶν πρὸς Καρχηδονίους πολέμων, πολλὴν εἰρήνην καὶ σχολὴν εἶχε· διὸ καὶ ποιήματα γράφειν ὑπεστήσατο μετὰ πολλῆς σπουδῆς, καὶ τοὺς ἐν τούτοις δόξαν ἔχοντας μετεπέμπετο, καὶ προτιμῶν αὐτοὺς συνδιέτριβε, καὶ τῶν ποιημάτων ἐπιστάτας καὶ διορθωτὰς εἶχεν. ὑπὸ δὲ τούτων διὰ τὰς εὐεργεσίας τοῖς πρὸς χάριν λόγοις μετεωριζόμενος, ἐκαυχᾶτο πολὺ μᾶλλον ἐπὶ τοῖς ποιήμασιν, ἢ τοῖς ἐν πολέμῳ κατορθώμασι. τῶν δὲ συνόντων αὐτῷ ποιητῶν Φιλόξενος ὁ διθυραμβοποιὸς, μέγιστον ἔχων ἀξίωμα κατὰ τὴν κατασκευὴν τοῦ ἰδίου ποιήματος, κατὰ τὸ συμπόσιον ἀναγνωσθέντων τῶν τοῦ τυράννου ποιημάτων μοχθηρῶν ὄντων, ἐπερωτήθη περὶ τῶν ποιημάτων, τίνα κρίσιν ἔχοι; ἀποκριναμένου δ᾽ αὐτοῦ παῤῥησιωδέστερον, ὁ μὲν τύραννος, προσκόψας τοῖς ῥηθεῖσι, καὶ καταμεμψάμενος, ὅτι διὰ φθόνον ἐβλασφήμησε, προσέταξε

Philoxenus poëta inter familiares inprimis carus;

Digitized by Google

ξε τοῖς ὑπηρέταις, παραχρῆμα ἀπάγειν ἐις τὰς λατομίας. τῇ δ' ὑςεραίᾳ τῶν Φίλων παρακαλέντων, συγγνώμην δῦναι τῷ Φιλοξένῳ, διαλλαγεὶς ἀυτῷ πάλιν τὲς ἀυτὲς παρέλαβεν ἐπὶ τὸ συμπόσιον. προβαίνοντος δὲ τὲ πότε, καὶ πάλιν τὲ Διονυσίε καυχωμένε περὶ τῶν ἰδίων ποιημάτων, καί τινας ςίχες τῶν δοκέντων ἐπιτετεῦχθαι προενεγκαμένε, καὶ ἐπερωτῶντος, ποῖά τινα σοὶ Φαίνεται τὰ ποιήματα ὑπάρχειν; ἄλλο μὲν ἐδὲν ἔιπε, τὲς δ' ὑπηρέτας τὲ Διονυσίε προσκαλεσάμενος, ἐκέλευσεν ἀυτὸν ἀπαγαγεῖν ἐις τὰς λατομίας. τότε μὲν ἒν διὰ τὴν ἐυτραπελίαν τῶν λόγων μειδιάσας ὁ Διονύσιος, ἤνεγκε τὴν παῤῥησίαν, τὲ γέλωτος τὴν μέμψιν ἀμβλύνοντος. μετ' ὀλίγον δὲ τῶν γνωρίμων ἅμα καὶ τὲ Διονυσίε παραιτεμένων τὴν ἄκαιρον παῤῥησίαν, ὁ Φιλόξενος ἐπηγγείλατο παράδοξόν τινα ἐπαγγελίαν. ἔΦη γὰρ, διὰ τῆς ἀποκρίσεως τηρήσειν ἅμα καὶ τὴν ἀλήθειαν καὶ τὴν ἐυδόκησιν τὲ Διονυσίε. καὶ ἐ διεψεύσθη. τὲ γὰρ τυράννε προενεγκαμένε τινὰς ςίχες ἔχοντας ἐλεεινὰ πάθη, καὶ ἐρωτήσαντος, ποῖά τινα Φαίνεται τὰ ποιήματα; ἔιπεν, ὀικτρὰ, διὰ τῆς ἀμΦιβολίας ἀμΦότερα τηρήσας· ὁ μὲν γὰρ Διονύσιος ἐδέξατο τὰ ὀικτρὰ ἔιναι ἐλεεινὰ καὶ συμπαθείας πλήρη, τὰ δὲ τοιαῦτα ἔιναι ποιητῶν ἀγαθῶν ἐπιτεύγματα, ὅθεν ὡς ἐπηνεκότα ἀυτὸν ἀπεδέχετο· ὁι δ' ἄλλοι, τὴν ἀληθινὴν διάνοιαν ἐκδεξάμενοι, πᾶν τὸ ὀικτρὸν ἀποτεύγματος Φύσιν ἐιρῆσθαι διελάμβανον.

> sed ob judicia liberiora & facetias asperiores in latomias damnatus.

Παραπλήσιον δὲ συνέβη καὶ περὶ Πλάτωνα τὸν Φιλόσοφον γενέσθαι. μεταπεμψάμενος γὰρ τὸν ἄνδρα τὲτον, τὸ μὲν πρῶτον ἀποδοχῆς ἠξίε τῆς μεγίςης, ὁρῶν ἀυτὸν παῤῥησίαν ἔχοντα ἀξίαν τῆς ΦιλοσοΦίας· ὕςερον δ' ἔκ τινων λόγων προσκόψας ἀυτῷ, παντελῶς ἀπηλλοτριώθη, καὶ προαγαγὼν ἐις τὸ πρατήριον, ὡς ἀνδράποδον ἀπέδοτο μνῶν ἔικοσιν. ἀλλὰ τὲτον μὲν ὁι Φιλόσοφοι συνελθόντες ἐξηγόρασαν, καὶ ἐξαπέςειλαν ἐις τὴν Ἑλλάδα, Φιλικὴν νεθεσίαν ἐπιΦθεγξάμενοι, διότι δεῖ τὸν Φιλόσοφον τοῖς τυράννοις ἢ ὡς ἥκιςα, ἢ ὡς ἥδιςα ὁμιλεῖν. ὁ δὲ Διονύσιος, τῆς ἐις τὰ ποιήματα σπεδῆς ἐκ ἀΦιςάμενος, ἐις μὲν τὴν Ὀλυμπιακὴν πανήγυριν ἐξαπέςειλε τὲς ἐυΦωνοτάτες τῶν ὑποκριτῶν, διαθησομένες μὲν τοῖς ὄχλοις

> cap. 7. Simile fatum Plato philosophus habuit, a Dionysio inter servitia venditus,
>
> post philosophorum symbolis redemtus.
>
> Poëmata sua Dionysius in panegyri Olymp. reci-

Digitized by Google

tari jubet; sed risu sunt excepta.

ὄχλοις μετ' ᾠδῆς τὰ ποιήματα. οὗτοι δὲ τὸ μὲν πρῶτον διὰ τὴν εὐφωνίαν ἐξέπληττον τοὺς ἀκούοντας· μετὰ δὲ ταῦτα ἀναθεωρήσεως γενομένης, κατεφρονήθησαν, καὶ πολὺν ἀπηνέγκαντο γέλωτα.

Quo audito primo in ægritudinem, deinde in furorem incidit.

ὁ δὲ Διονύσιος, ἀκούσας τὴν τῶν ποιημάτων καταφρόνησιν, ἐνέπεσεν εἰς ὑπερβολὴν λύπης. ἀεὶ δὲ μᾶλλον τοῦ πάθους ἐπίτασιν λαμβάνοντος, μανιώδης διάθεσις κατέσχε τὴν ψυχὴν αὐτοῦ, καὶ φθονεῖν αὐτῷ φάσκων ἅπαντας, τοὺς φίλους ὑπώπτευεν ὡς ἐπιβουλεύοντας· καὶ πέρας, ἐπὶ τοσοῦτο προῆλθε λύπης καὶ παρακοπῆς, ὥστε τῶν φίλων πολλοὺς μὲν ἐπὶ ψευδέσιν αἰτίαις ἀνελεῖν, οὐκ ὀλίγους δὲ καὶ ἐφυγάδευσεν. ἐν οἷς ἦν Φίλιστος καὶ Λεπτίνης ὁ ἀδελφὸς, ἄνδρες διαφέροντες ἀνδρείᾳ, καὶ πολλὰς καὶ μεγάλας χρείας ἐν τοῖς πολέμοις αὐτῷ παρεσχημένοι. οὗτοι μὲν οὖν, φυγόντες εἰς Θουρίους τῆς Ἰταλίας, καὶ παρὰ τοῖς Ἰταλιώταις μεγάλης ἀποδοχῆς τυγχάνοντες, ὕστερον δεηθέντος τοῦ Διονυσίου διηλλάγησαν, καὶ κατελθόντες εἰς τὰς Συρακούσας, εἰς τὴν προϋπάρξασαν εὔνοιαν ἀποκατεστάθησαν· ὁ δὲ Λεπτίνης ἔγημε τὴν Διονυσίου θυγατέρα.

cap. 15. *Tertium Dionysii bellum cum Carthaginiensibus.* Belli causam præbent urbes Siciliæ, a Carthaginiensibus abalienatæ, quas Dionysius in societatem recipit, Carthaginienses vero repetunt. ante Chr. 381.

Μετὰ δὲ ταῦτα Διονύσιος παρασκευασάμενος, πολεμεῖν Καρχηδονίοις, ἐζήτει λαβεῖν πρόφασιν εὔλογον τοῦ πολέμου. ὁρῶν οὖν τὰς ὑπὸ Καρχηδονίους τεταγμένας πόλεις οἰκείως ἐχούσας πρὸς ἀπόστασιν, προσεδέχετο τὰς βουλομένας ἀφίστασθαι, καὶ συμμαχίαν πρὸς αὐτὰς συντιθέμενος, ἐπιεικῶς προσεφέρετο ταύταις. οἱ δὲ Καρχηδόνιοι τὸ μὲν πρῶτον πρέσβεις ἀποστέλλοντες πρὸς τὸν δυνάστην, ἀπῄτουν τὰς πόλεις· μὴ προσέχοντος δὲ αὐτοῦ, συνέβη ταύτην ἀρχὴν γενέσθαι τοῦ πολέμου. Καρχηδόνιοι μὲν πρὸς τοὺς παρόντας συμμαχίαν ποιησάμενοι, κοινῇ τὸν πόλεμον ἐπανείλοντο πρὸς τὸν τύραννον. προορώμενοι δ' ἐμφρόνως τὸ μέγεθος τοῦ πολέμου, τῶν τε πολιτῶν τοὺς εὐθέτους κατέλεγον στρατιώτας, καὶ χρημάτων προχειρισάμενοι πλῆθος, ξενικὰς δυνάμεις μεγάλας ἐμισθοῦντο. καταστήσαντες δὲ στρατηγὸν Μάγωνα τὸν βασιλέα, πολλὰς μυριάδας στρατιωτῶν ἐπεραίωσαν εἰς τὴν Σικελίαν καὶ τὴν Ἰταλίαν, διαπολεμεῖν ἀμφοτέρας βουλόμενοι. ὁ δὲ Διονύσιος, καὶ αὐτὸς τὰς δυνάμεις διελόμενος, τῷ μὲν ἑνὶ μέρει πρὸς τοὺς Ἰταλιώτας διηγωνίζετο, τῷ δὲ ἑτέρῳ πρὸς τοὺς Φοίνικας.

Digitized by Google

νικας. πολλαὶ μὲν ὖν κατὰ μέρος ἐγίνοντο μάχαι τοῖς ϛρατοπέδοις, καὶ συμπλοκαὶ μικραί τε καὶ συνεχεῖς, ἐν αἷς ὐδὲν ἀξιόλογον ἔργον συνετελέσθη· δύο δὲ παρατάξεις ἐγένοντο μεγάλαι καὶ περιβόητοι, καὶ τῇ μὲν πρώτῃ Διονύσιος θαυμαϛῶς ἀγωνισάμενος περὶ τὰ καλύμενα Κάβαλα, ἐπροτέρησε, καὶ πλείυς μὲν τῶν μυρίων ἀνεῖλε τῶν Βαρβάρων, ὐκ ἐλάττυς δὲ τῶν πεντακισχιλίων ἐζώγρησε· τὸ δ' ἄλλο πλῆθος ἠνάγκασε καταφυγεῖν ἐπί τινα λόφον ἐρυμνὸν καὶ ἄνυδρον παντελῶς. ἔπεσε δὲ καὶ Μάγων ὁ βασιλεὺς αὐτῶν, ἀγωνισάμενος λαμπρῶς. οἱ δὲ Φοίνικες, καταπλαγέντες τὸ μέγεθος τῆς συμφορᾶς, εὐθὺς διεπρεσβεύσαντο περὶ διαλύσεων. ὁ δὲ Διονύσιος ἀπεφήνατο μίαν αὐτοῖς ἶναι σύλλυσιν, ἐὰν ἐκχωρήσωσι τῶν κατὰ τὴν Σικελίαν πόλεων, καὶ τὰ δαπανηθέντα χρήματα κατὰ τὸν πόλεμον ἐκτίσωσι.

Carthaginienses, magno proelio fusi, de pace legatos mittunt.

Βαρείας δὲ καὶ ὑπερηφάνυ τῆς ἀποκρίσεως δοκύσης ὑπάρχειν, οἱ Καρχηδόνιοι τῇ συνήθει πανυργίᾳ κατεϛρατήγησαν τὸν Διονύσιον. προσποιηθέντες ὖν εὐδοκεῖσθαι ταῖς ὁμολογίαις, ἔφησαν αὐτὺς μὲν μὴ ὑπάρχειν κυρίυς τῆς τῶν πόλεων παραδόσεως· ἵνα δὲ τοῖς ἄρχυσι διαλεχθῶσι περὶ τύτων, ἠξίωσαν τὸν Διονύσιον ὀλίγας ἡμέρας ἀνοχὰς ποιήσασθαι. συγχωρήσαντος δὲ τῦ δυνάϛυ, καὶ τῶν ἀνοχῶν γενομένων, ὁ μὲν Διονύσιος περιχαρὴς ἦν, ὡς αὐτίκα μάλα τὴν Σικελίαν πᾶσαν παραληψόμενος· οἱ δὲ Καρχηδόνιοι Μάγωνα μὲν τὸν βασιλέα μεγαλοπρεπῶς ἔθαψαν, ἀντὶ δὲ ἐκείνυ ϛρατηγὸν κατέϛησαν τὸν υἱὸν αὐτῦ, νέον μὲν παντελῶς ὄντα, φρονήματος δ' εὐγενῦς ὄντα, καὶ διάφορον ἀνδρείᾳ. ὗτος δὲ πάντα τὸν τῶν ἀνοχῶν χρόνον διετέλεσε διατάσσων καὶ γυμνάζων τὴν δύναμιν. διὰ δὲ τῆς τῶν ἔργων ἀθλήσεως, καὶ τῆς τῶν λόγων παρακλήσεως, καὶ γυμνασίας ἐν τοῖς ὅπλοις, εὐπειθῆ καὶ δυνατὴν ἐποίησε τὴν ϛρατιάν. ὡς δ' ὁ τῆς ὁμολογίας διῆλθε χρόνος, ἀμφότεροι τὰς δυνάμεις ἐκτάξαντες, συγκατέβησαν προθύμως ἐπὶ τὴν μάχην. γενομένης δὲ παρατάξεως ἰσχυρᾶς περὶ τὸ καλύμενον Κρόνιον, τὸ δαιμόνιον ἐναλλὰξ τῇ νίκῃ τὴν ἧτταν τῶν Καρχηδονίων διωρθώσατο. οἱ μὲν γὰρ προνενικηκότες, διὰ τὴν προγεγενημένην εὐημερίαν μεγαλαυχῦντες, παραδόξως ἐσφάλησαν·

cap. 16. Dum induciæ fiunt ad pacis conditiones durissimas expediendas,

Carthaginienses novas vires colligunt,

& circa Cronium proelio victoriam reportant.

οἱ

οἱ δὲ διὰ τὴν ἧτταν πεπτωκότες ταῖς ἐλπίσιν, ἀπροσδόκητον καὶ μεγάλην εὐημερίαν ἀπηνέγκαντο.

cap. 17. Quo facto Poeni victo hosti multo aequiores se praebent.

Οἱ δὲ Καρχηδόνιοι, μεγάλῃ παρατάξει νικήσαντες, ἀνεχώρησαν εἰς Πάνορμον. ἀνθρωπίνως δὲ τὴν εὐημερίαν ἐνεγκόντες, ἀπέστειλαν πρεσβευτὰς, δόντες ἐξουσίαν τῷ Διονυσίῳ καταλύσασθαι τὸν πόλεμον. ἀσμένως δὲ τοῦ τυράννου προσδεξαμένου τοὺς λόγους, ἐγένοντο διαλύσεις, ὥστε ἔχειν ἀμφοτέρους ὧν πρότερον ὑπῆρχον κύριοι· ἐξαίρετον δ' ἔλαβον οἱ Καρχηδόνιοι τὴν τῶν Σελινουντίων πόλιν τε καὶ χώραν, καὶ τῆς Ἀκραγαντίνης μέχρι τοῦ Ἁλύκου καλουμένου ποταμοῦ· ἔτισε δὲ Διονύσιος τοῖς Καρχηδονίοις τάλαντα χίλια.

cap. 73. Dionysius bellum in Carthaginienses redintegrat, ante Chr. 366.

Μετὰ δὲ ταῦτα ἔχων δυνάμεις ἀξιολόγους, καὶ τοὺς Καρχηδονίους ὁρῶν οὐκ εὖ διακειμένους πρὸς τὸν πόλεμον, διά τε τὴν γεγενημένην παρ' αὐτοῖς λοιμικὴν νόσον, καὶ τὴν ἀπόστασιν τῶν Λιβύων, ἔγνω στρατεύειν ἐπ' αὐτούς. οὐκ ἔχων δὲ πρόφασιν ἀξιόλογον τῆς διαφορᾶς, προσεποιήθη, κατὰ τὴν ἐπικράτειαν τοὺς Φοίνικας ἐπιβεβηκέναι τῆς ὑπ' αὐτὸν χώρας. παρασκευασάμενος οὖν πεζοὺς μὲν τρισμυρίους, ἱππεῖς δὲ τρισχιλίους, τριήρεις δὲ τριακοσίας καὶ τὴν ἁρμόζουσαν τῇ δυνάμει ταύτῃ παρασκευὴν, ἐνέβαλεν εἰς τὴν ὑπὸ Καρχηδονίους χώραν· καὶ Σελινοῦντα μὲν καὶ Ἔντελλαν εὐθὺς προσηγάγετο, καὶ τὴν χώραν πᾶσαν πορθήσας, καὶ τῆς πόλεως τῶν Ἐρυκίνων ἐγκρατὴς γενόμενος, ἐπολιόρκησε Λιλύβαιον. πολλῶν δ' ὄντων ἐν αὐτῷ στρατιωτῶν, τὴν πολιορκίαν ἔλυσεν. ἀκούσας δὲ τὰ νεώρια τῶν Καρχηδονίων ἐμπεπρῆσθαι, καὶ δόξας, πάντα τὸν στόλον αὐτῶν διεφθάρθαι, κατεφρόνησε, καὶ τῶν ἰδίων τριήρων ἑκατὸν μὲν καὶ τριάκοντα τὰς ἀρίστας ἀπέστειλεν εἰς τὸν τῶν Ἐρυκίνων λιμένα, τὰς δ' ἄλλας ἁπάσας ἐξέπεμψεν εἰς τὰς Συρακούσας.

eorumque agros invadit.

Sed hi, celeriter missa classe, ejus conatus reprimunt.

οἱ δὲ Καρχηδόνιοι παραδόξως διακοσίας ναῦς πληρώσαντες, ἐπέπλευσαν ταῖς ὁρμούσαις ἐν τῷ λιμένι τῶν Ἐρυκίνων· ἀνελπίστου δὲ τῆς ἐπιθέσεως γενομένης, ἀπήγαγον τῶν τριήρων τὰς πλείστας. μετὰ δὲ ταῦτα, τοῦ χειμῶνος ἐνστάντος, ἀνοχὰς ποιησάμενοι, διεχωρίσθησαν εἰς τὰς οἰκείας ἑκάτεραι πόλεις· μετ' ὀλίγον δὲ χρόνον Διονύσιος εἰς ἀῤῥωστίαν ἐμπεσὼν ἐτελεύτησε, δυναστεύσας ἔτη τριάκοντα καὶ ὀκτώ· τὴν δὲ ἀρχὴν διαδεξάμενος ὁ υἱὸς Διονύσιος ἐτυράννευσεν ἔτη δώδεκα.

Mox Dionysius moritur: sequitur Dionysius filius.

Συν

Digitized by Google

Ουκ ἀνοίκειον δ' ἐςὶ τῆς ὑποκειμένης ἱςορίας διελθεῖν τάς τε αἰτίας τῆς τελευτῆς, καὶ τὰ συμβάντα τύτῳ τῷ δυνάςῃ περὶ τῆς τῦ βίυ καταςροφῆς. Διονυσίυ τοίνυν δεδιδαχότος Ἀθήνησι Ληναίοις τραγῳδίαν, καὶ νικήσαντος, τῶν ἐν τῷ χορῷ τις ᾄδων, ὑπολαβὼν τιμηθήσεσθαι λαμπρῶς, ἐὰν πρῶτος ἀπαγγείλῃ τὴν νίκην, διέπλευσεν εἰς τὴν Κόρινθον. καταλαβὼν δ' ἐκεῖ ναῦν ἐκπλέυσαν εἰς Σικελίαν, καὶ μετεμβὰς εἰς ταύτην, ὐρίοις ἐχρήσατο πνεύμασι, καὶ καταπλεύσας εἰς Συρακύσας, συντόμως ἀπήγγειλε τῷ τυράννῳ τὴν νίκην. ὁ δὲ Διονύσιος τῦτον μὲν ἐτίμησεν, αὐτὸς δὲ περιχαρὴς ἐγένετο, καὶ τοῖς θεοῖς εὐαγγέλια θύσας, πότυς καὶ μεγάλας εὐωχίας ἐπετέλεσεν. ἑςιῶν δὲ λαμπρῶς τὺς φίλυς, καὶ κατὰ τὺς πότυς φιλοτιμότερον τῇ μέθῃ δὺς ἑαυτὸν, εἰς ἀῤῥωςίαν σφοδροτέραν ἐνέπεσε, διὰ τὸ πλῆθος τῶν ἐμφορηθέντων ὑγρῶν. ἔχων δὲ παρὰ θεῶν λόγιον, τότε τελευτήσειν, ὅταν τῶν κρειττόνων περιγένηται, τὸν χρησμὸν ἀνέφερεν ἐπὶ τὺς Καρχηδονίυς, ὑπολαμβάνων, τύτυς κρείττυς ἑαυτῦ εἶναι. διὸ καὶ πρὸς αὐτὺς πλεονάκις πεπολεμηκὼς, εἰώθει κατὰ τὰς νίκας ὑποφεύγειν καὶ ἑκυσίως ἡττᾶσθαι, ἵνα μὴ δόξῃ τῶν ἰσχυροτέρων γεγονέναι κρείττων. ὐ μὴν ἠδυνήθη γε τῇ πανυργίᾳ κατασοφίσασθαι τὴν ἐκ τῆς πεπρωμένης ἀνάγκην, ἀλλὰ ποιητὴς ὢν κακὸς καὶ διακριθεὶς ἐν Ἀθήναις, ἐνίκησε τὺς κρείττονας ποιητάς. εὐλόγως ὖν, κατὰ τὸν χρησμὸν, διὰ τὸ περιγενέσθαι τῶν κρειττόνων, ἐπακολυθῦσαν ἔσχε τὴν τῦ βίυ τελευτήν. ὁ δὲ Διονύσιος ὁ νεώτερος διαδεξάμενος τὴν τυραννίδα, πρῶτον τὰ πλήθη συναγαγὼν εἰς ἐκκλησίαν, παρεκάλεσε τοῖς οἰκείοις λόγοις, τηρεῖν τὴν πατροπαράδοτον πρὸς αὐτὸν εὔνοιαν· ἔπειτα τὸν πατέρα μεγαλοπρεπῶς θάψας κατὰ τὴν ἀκρόπολιν πρὸς ταῖς βασιλίσι καλυμέναις πύλαις, ἠσφαλίσατο τὰ κατὰ τὴν ἀρχήν.

cap. 74. Adjicitur mortis causa Dionysii. Athenis carmine victor proclamatus, præ gaudio vino nimis indulgens occubuit. Oraculo ipsi prædictum erat, tum moriturum, cum se meliores vicisset.

Αὐτὸς δὲ ἄπρακτος ὢν, καὶ πολὺ τῦ πατρὸς καταδεέςερος, προσεποιεῖτο, διὰ τὴν ἀπραγίαν εἰρηνικὸς εἶναι, καὶ πρᾶος τὸν τρόπον. διόπερ πρὸς Καρχηδονίυς διαδεδεγμένος τὸν πόλεμον, πρός τε τύτυς εἰρήνην συνέθετο· καὶ πρὸς Λευκανὺς ὁμοίως διαπολεμήσας ἀργῶς ἐπί τινα χρόνον, καὶ ταῖς τελευταίαις μάχαις ἐπὶ τῦ προτερήματος γενόμενος, ἀσμένως πρὸς αὐτὺς κατελύσατο τὸν πόλεμον. κατὰ

Ibidem. Lib. XVI. c. 5. Dionysius junior regnum, a patre acceptum, desidia & inertia disperdit.

Digitized by Google

κατὰ δὲ τὴν Ἀπυλίαν δύο πόλεις ἔκτισε, βυλόμενος ἀσφαλῆ τοῖς πλέυσι τὸν Ἰόνιον πόρον ποιῆσαι. οἱ γὰρ τὴν παραθαλαττίαν οἰκῦντες Βάρβαροι, λῃςρίσι πολλαῖς πλέοντες, ἄπλυν τοῖς ἐμπόροις παρασκεύαζον πᾶσαν τὴν περὶ τὸν Ἀδρίαν θάλατταν. μετὰ δὲ ταῦτα δὺς ἑαυτὸν ἐις βίον ἐιρηνικὸν, ἐξέλυσε μὲν τῶν ςρατιωτῶν τὰς ἐν τοῖς πολέμοις γυμνασίας· μεγίςην δὲ τῶν κατὰ τὴν Ἐυρώπην δυναςειῶν παραλαβὼν τὴν ἀρχὴν, καὶ τὴν ὑπὸ τῦ πατρὸς λεγομένην ἀδάμαντι δεδέσθαι τυραννίδα, διὰ τὴν ἰδίαν ἀνανδρίαν παραδόξως ἀπέβαλε. τὰς δὲ αἰτίας τῆς καταλύσεως καὶ τὰς κατὰ μέρος πράξεις ἀναγράφειν πειρασόμεθα.

cap. 6. Dion ob multiplices virtutes tyranno invisus & neci destinatus,

Ὁ πρεσβύτερος Διονύσιος ἐκ δυεῖν γυναικῶν ἦν πεπαιδοποιημένος, ἐκ μὲν τῆς πρώτης Λοκρίδος ὔσης τὸ γένος, Διονύσιον τὸν διαδεξάμενον τὴν τυραννίδα, ἐκ δὲ τῆς δευτέρας, Ἱππαρίνυ θυγατρὸς ὔσης, ἐυδοκιμωτάτυ Συρακυσίων, δύο παῖδας, Ἱππαρῖνον καὶ Ναρσαῖον. ἐτύγχανε δὲ τῆς δευτέρας γυναικὸς ἀδελφὸς ὢν Δίων, ἀνὴρ ἐν φιλοσοφίᾳ μεγάλην ἔχων προκοπὴν, καὶ κατ᾽ ἀνδρείαν καὶ ςρατηγίαν πολὺ προέχων τῶν κατ᾽ αὐτὸν Συρακυσίων. ὗτος δὲ διὰ τὴν ἐυγένειαν καὶ τὴν λαμπρότητα τῆς ψυχῆς ἐις ὑποψίαν ἦλθε τῷ τυράννῳ, δόξας ἀξιόχρεως ἔιναι καταλῦσαι τὴν τυραννίδα. φοβύμενος ὖν αὐτὸν ὁ Διονύσιος, ἔκρινεν, ἐκποδὼν ποιήσασθαι τὸν ἄνδρα, συλλαβὼν ἐπὶ θανάτῳ. ὁ δὲ Δίων αἰσθόμενος, τὸ μὲν πρῶτον ἐκρύφθη παρά τισι τῶν φίλων· μετὰ δὲ ταῦτα ἔφυγεν ἐκ τῆς Σικελίας ἐις Πελοπόννησον, ἔχων μεθ᾽ ἑαυτῦ τὸν ἀδελφὸν Μεγακλῆν, καὶ Χαρικλείδην τὸν ἐπὶ τῶν ςρατιωτῶν τεταγμένον ὑπὸ τῦ τυράννυ. καταπλεύσας δ᾽ ἐις τὴν Κόρινθον, τὺς μὲν Κορινθίυς ἠξίυ, συνεπιλαβέσθαι τῆς ἐλευθερίας τῶν Συρακυσίων· αὐτὸς δὲ μισθοφόρυς συνῆγε, καὶ πανοπλίας συνήθροιζε. ταχὺ δὲ πολλῶν ὑπακυόντων, πανοπλίας τε παρεσκευάσατο καὶ μισθοφόρυς συχνὺς, καὶ φορτηγὺς δύο ναῦς μισθωσάμενος, τά τε ὅπλα καὶ τὺς μισθοφόρυς ἐνθέμενος, αὐτὸς μὲν ταύτας τὰς φορτίδας ἔχων ἐξέπλευσεν ἐκ Ζακύνθυ τῆς πρὸς Κεφαλληνίαν, ἐις τὴν Σικελίαν· Χαρικλείδην δὲ ἀπέλιπε τριήρεις τινὰς καὶ ἑτέρας φορτηγὺς ἄξοντα κατόπιν ἐις τὰς Συρακύσας. Ἐλα-

in Peloponnesum aufugit, & Corinthi naves militesque comparat,

ad liberandam patriam in Siciliam transmissos.

Ἐλαχίσαις δὲ τῶν πρὸ αὐτῦ πάντων χρησάμενος ἀφορμαῖς, μεγίσην δυναςείαν τῶν κατὰ τὴν Εὐρώπην κατέλυσεν ἀνελπίςως. τίς γὰρ ἂν πιςεύσειεν, ὅτι δυσὶ φορτηγοῖς ναυσὶ καταπλεύσας, περιεγένετο δυνάςυ, ναῦς μὲν μακρὰς ἔχοντος τετρακοσίας, ςρατιώτας δὲ πεζὰς μὲν εἰς δέκα μυριάδας, ἱππεῖς δὲ μυρίȣς· ὅπλων δὲ καὶ σίτȣ καὶ χρημάτων τοσαύτην παρασκευὴν, ὅσην εἰκὸν ἦν κεκτῆσθαι τὸν μέλλοντα χορηγήσειν δαψιλῶς ταῖς προειρημέναις δυνάμεσι· χωρὶς δὲ τῶν εἰρημένων, πόλιν μὲν ἔχοντα μεγίςην τῶν Ἑλληνίδων, λιμένας δὲ καὶ νεώρια καὶ κατεσκευασμένας ἀκροπόλεις ἀναλώτȣς, ἔτι δὲ συμμάχων δυνατῶν ἔχοντα πλῆθος; Αἰτία δ' ὑπῆρχε τῷ Δίωνι τῶν προειρημένων μάλιςα μὲν ἡ ἰδία λαμπρότης τῆς ψυχῆς καὶ ἀνδρεία, καὶ ἡ τῶν ἐλευθερῦσθαι μελλόντων εὔνοια· τὸ δὲ τȣ́των ἁπάντων μεῖζον, ἥ τε ἀνανδρία τȣ̃ τυράννȣ, καὶ τὸ τῶν ἀρχομένων πρὸς αὐτὸν μῖσος. πάντα γὰρ ταῦτα πρὸς ἕνα καιρὸν συνδραμόντα, παραδόξως τὰς ἀπιςȣμένας πράξεις πρὸς τέλος ἤγαγεν. ἡμεῖς δ' ἀφέμενοι τȣ́των τῶν λόγων, ἐπὶ τὴν ἀναγραφὴν τῶν κατὰ μέρος πεπραγμένων τρεψόμεθα. Δίων γὰρ ἐκ Ζακύνθȣ τῆς πρὸς Κεφαλληνίαν δυσὶ φορτίσι ναυσὶν ἀναχθεὶς, κατέπλευσε τῆς Ἀκραγαντίνης εἰς τὴν ὀνομαζομένην Μίνωαν. αὕτη δὲ τὸ μὲν παλαιὸν ὑπὸ Μίνωος ἐκτίσθη τȣ̃ βασιλέως Κρητῶν, καθ' ὃν καιρὸν ζητῶν Δαίδαλον ἐπεξενώθη Κωκάλῳ τῷ βασιλεῖ τῶν Σικανῶν· κατὰ δὲ τȣ̀ς ὑποκειμένȣς καιρȣ̀ς ἡ μὲν πόλις αὕτη τοῖς Καρχηδονίοις ὑπήκȣσεν, ὁ δὲ ἐπιςάτης αὐτῆς, ὄνομα Πάραλος, φίλος ὢν Δίωνος, προθύμως ὑπεδέξατο αὐτόν. ὁ δὲ Δίων, ἐξελόμενος ἐκ τῶν φορτηγῶν πανοπλίας πεντακισχιλίας, τῷ Παράλῳ παρέδωκε, καὶ παρεκάλεσεν αὐτὸν, ἁμάξαις παρακομίσαι πρὸς τὰς Συρακȣ́σας· αὐτὸς δὲ τȣ̀ς μισθοφόρȣς παραλαβὼν, ὄντας χιλίȣς, προῆγεν ἐπὶ τὰς Συρακȣ́σας· ἐν παρόδῳ δὲ τȣ̀ς Ἀκραγαντίνȣς καὶ Γελώȣς καί τινας τῶν τὴν μεσόγειον οἰκȣ́ντων Σικανῶν τε καὶ Σικελῶν, ἔτι δὲ Καμαριναίȣς καὶ Μαδιναίȣς πείσας, συνελευθερῶσαι τȣ̀ς Συρακȣσίȣς, προῆγεν ἐπὶ τὴν κατάλυσιν τȣ̃ τυράννȣ. πολλῶν δὲ πανταχόθεν συῤῥυέντων μετὰ τῶν ὅπλων, ταχὺ πλείȣς τῶν δισμυρίων ςρατιωτῶν ἠθροίσθησαν. ȣ̓δὲν δ' ἧττον καὶ πολλοὶ

cap. 9. *Bellum Dionis in Dionysium, Siciliae tyrannum.* ante Chr. 355.

E Zazyntho ad Minoam urbem advectum Dionem

recipit Paralus, Carthag. praefectus, ejus amicus.

Ultro ad eum deficiunt Siciliae populi

His se jungunt Græci ex Italia.

λοὶ τῶν ἐκ τῆς Ἰταλίας Ἑλλήνων καὶ Μεσσηνίων μετεπέμφθησαν, καὶ πάντες σὺν πολλῇ προθυμίᾳ κατὰ σπεδὴν ἧκον.

cap. 10.

Ὡς δ' ἐπὶ τὰς ὅρες τῆς Συρακεσίας ὁ Δίων ἦν, ἀπήντα πρὸς αὐτὸν πλῆθος ἀνόπλων ἀνθρώπων ἔκ τε τῆς χώρας καὶ τῆς πόλεως. ἀπίςως γὰρ διακείμενος ὁ Διονύσιος πρὸς τὰς Συρακεσίες, πολλῶν τὰ ὅπλα παρῃρεῖτο. κατὰ δὲ τῦτον τὸν καιρὸν ὁ μὲν τύραννος περὶ τὰς νεοκτίςες πόλεις κατὰ τὸν Ἀδρίαν διέτριβε μετὰ πολλῶν δυνάμεων. οἱ δ' ἐπὶ τῆς φυλακῆς τῶν Συρακεσῶν ἀπολειφθέντες ἡγεμόνες, τὸ μὲν πρῶτον ἐπειρῶντο μετακαλεῖσθαι τὰς Συρακεσίες ἀπὸ τῆς ἀποςάσεως. ἀκατασχέτε δὲ τῆς ὁρμῆς τῶν ὄχλων ἔσης, ἐπιγνόντες τὰς μισθοφόρες καὶ τὰς τὰ τῦ δυνάςε φρονῦντας, ἤθροισαν, καὶ τὰς τάξεις πληρώσαντες, τοῖς ἀφεςηκόσιν ἐπιθέσθαι διέγνωσαν. Δίων δὲ τοῖς μὲν ἀνόπλοις τῶν Συρακεσίων διέδωκε τὰς πεντακισχιλίας πανοπλίας, τὰς δὲ ἄλλες ἐκ τῶν δυνατῶν τοῖς παρατυχῦσιν ὅπλοις συνεσκεύασε. συναγαγὼν δ' ἅπαντας εἰς κοινὴν ἐκκλησίαν, ἀπεφαίνετο μὲν, ἑαυτὸν ἥκειν ἐπὶ τὴν ἐλευθέρωσιν τῶν Σικελιωτῶν, παρεκάλει δὲ, ςρατηγὰς αἱρεῖσθαι τὰς εὐθέτες πρὸς τὴν ἀποκατάςασιν τῆς αὐτονομίας, καὶ τὴν κατάλυσιν τῆς ὅλης τυραννίδος. Τὸ δὲ πλῆθος, ὥσπερ ἀπὸ μιᾶς φωνῆς, ἀνεβόησε, ςρατηγὰς αἱρεῖσθαι τόν τε Δίωνα καὶ τὸν ἀδελφὸν αὐτῦ Μεγακλῆν αὐτοκράτορας. εὐθὺς ἂν ἀπὸ τῆς ἐκκλησίας ἐκτάξας τὴν δύναμιν, προσῆγε τῇ πόλει. ὐδενὸς δ' ἀντιποιεμένε τῶν ὑπαίθρων, ἀδεῶς εἰσῆλθεν ἐντὸς τῦ τείχες, καὶ διὰ τῆς Ἀχραδινῆς πορευθεὶς εἰς τὴν ἀγορὰν, κατεςρατοπέδευσεν, ὐδενὸς τολμῶντος ἐπεξιέναι. ὁ δὲ σύμπας ἀριθμὸς ἦν τῶν μετὰ Δίωνος ςρατιωτῶν ὐκ ἐλάττες τῶν πεντακισμυρίων. ὗτοι δὲ πάντες ἐςεφανωμένοι κατῆλθον εἰς τὴν πόλιν, προηγεμένε τῦ τε Δίωνος καὶ τῦ Μεγακλέες, καὶ μετὰ τύτων τριάκοντα Συρακεσίων, οἱ μόνοι τῶν κατὰ τὴν Πελοπόννησον φυγάδων Συρακεσίοις μετασχεῖν τῶν κινδύνων ἠθέλησαν.

Dionysius quamvis aciem contra instruxisset, tamen Dion, cui populus favebat, urbem Syracusas occupat.

cap. 11. Syracusani omnes Dionem cum summa congratulatione recipiunt.

Τῆς δὲ πόλεως πάσης μετημφιασμένης ἀντὶ τῆς δυλείας τὴν ἐλευθερίαν, καὶ τὸ σκυθρωπὸν τῆς τυραννίδος εἰς πανηγυρικὴν ἱλαρότητα τῆς τύχης ἀγέσης, πᾶσα οἰκία θυσιῶν καὶ χαρᾶς ἔγεμε, τῶν ἰδιωτῶν ἐπὶ ταῖς ἰδίαις ἑςίαις

Digitized by Google

αις θυμιάντων, καὶ περὶ μὲν τῶν παρόντων ἀγαθῶν εὐχαριστούντων τοῖς θεοῖς, περὶ δὲ τῶν μελλόντων εὐχὰς ἀγαθὰς ποιουμένων. ἐγένετο δὲ καὶ τῶν γυναικῶν ἐπὶ ταῖς ἀνελπίστοις εὐημερίαις ὀλολυγμὸς πολὺς, καὶ κατὰ πᾶσαν τὴν πόλιν συνδρομαί. οὐδεὶς δ' ἦν ἐλεύθερος, οὐ δοῦλος, οὐ ξένος, ὃς οὐκ ἔσπευδεν, ἰδεῖν τὸν Δίωνα καὶ τὴν ἀρετὴν τἀνδρός· πάντες δ' ἀπεδέχοντο μειζόνως ἢ κατ' ἄνθρωπον. καὶ τοῦτ' εὐλόγως ἔπασχον διὰ τὸ μέγεθος καὶ παράδοξον τῆς μεταβολῆς. πεντηκονταετοῦς γὰρ δουλείας πεπειραμένοι, καὶ τῆς ἐλευθερίας διὰ τὸν χρόνον ἐπιλελησμένοι, δι' ἑνὸς ἀνδρὸς ἀρετὴν ἀπελύθησαν τῆς συμφορᾶς. Διονύσιος δὲ κατὰ τούτους τοὺς καιροὺς αὐτὸς μὲν ἔτυχε διατρίβων περὶ Καυλωνίαν τῆς Ἰταλίας, Φίλιστον δὲ τὸν στρατηγὸν περὶ τὸν Ἀδρίαν ὄντα μετεπέμψατο μετὰ τῆς ναυτικῆς δυνάμεως, καὶ προσέταξε εἰς τὰς Συρακούσας πλεῖν. ἀμφοτέρων δ' εἰς τὸν αὐτὸν τόπον ἐλθεῖν σπευδόντων, ὁ μὲν Διονύσιος ἧκεν εἰς τὰς Συρακούσας, ἡμέραις ὕστερον ἑπτὰ τῆς Δίωνος καθόδου. εὐθὺς οὖν καταστρατηγῆσαι βουλόμενος τοὺς Συρακουσίους, περὶ διαλύσεως ἐπρεσβεύετο, καὶ πολλὰς ἐμφάσεις ἐδίδου, παραδώσειν τὴν τυραννίδα τῷ δήμῳ, καὶ τῆς δημοκρατίας ἀλλάξεσθαι τιμὰς ἀξιολόγους· ἠξίου τε πρέσβεις ἀποστεῖλαι πρὸς αὐτὸν, μεθ' ὧν συνεδρεύσας καταλύσηται τὸν πόλεμον. οἱ μὲν οὖν Συρακούσιοι, μετεωρισθέντες ταῖς ἐλπίσιν, ἐξαπέστειλαν πρέσβεις τοὺς ἀξιολογωτάτους τῶν ἀνδρῶν. ὁ δὲ Διονύσιος τούτοις μὲν φυλακὴν περιστήσας, ἀνεβάλετο τὴν ἔντευξιν· αὐτὸς δ' ὁρῶν τοὺς Συρακουσίους, διὰ τὴν ἐλπίδα τῆς εἰρήνης, τά τε περὶ τὰς φυλακὰς ῥαθύμως ἔχοντας, καὶ τὰ πρὸς μάχην ἀπαρασκεύους, ἄφνω τὰς πύλας τῆς κατὰ τὴν Νῆσον ἀκροπόλεως ἀνοίξας, ἐξεχύθη συντεταγμένῃ τῇ δυνάμει.

His auditis Dionysius, tum circa Cauloniam Italiæ commorans, Syracusas redit,

legatosque de componendis rebus mittit accipitque.

Τῶν δὲ Συρακουσίων κατεσκευακότων ἀπὸ θαλάττης εἰς θάλατταν διατειχίσματα, προσέπεσον οἱ μισθοφόροι τῷ τείχει μετὰ πολλῆς βοῆς καὶ καταπλήξεως· καὶ πολλοὺς μὲν τῶν φυλάκων ἀνεῖλον, τοῦ δὲ τείχους ἐντὸς γενόμενοι, πρὸς τοὺς ἐκβοηθοῦντας διηγωνίζοντο. ὁ δὲ Δίων ἀνελπίστως παρεσπονδημένος, μετὰ τῶν ἀρίστων στρατιωτῶν ἀπήντα τοῖς πολεμίοις· καὶ συνάψας μάχην, πολὺν ἐποίει φόνον ἐν τειδίῳ. ὀλίγῳ δὲ διαστήματι τῆς διατειχίσεως μάχης οὔσης, συνέ-

cap. 12. Intra tempus induciarum contra fidem cum Dionysius Syracusanos adortus esset, ventum est ad prœlium atrocissimum,

Digitized by Google

συνέδραμε πλῆθος στρατιωτῶν εἰς στενὸν τόπον. διὸ καὶ παρ' ἀμφοτέροις οἱ ταῖς ἀνδραγαθίαις πρωτεύοντες συγκατέβησαν εἰς τὸν κίνδυνον· καὶ τῶν μὲν τῦ Διονυσίυ μισθοφόρων διὰ τὸ μέγεθος τῶν ἐπαγγελιῶν, τῶν δὲ Συρακυσίων διὰ τὴν ἐλπίδα τῆς ἐλευθερίας εἰς ὑπερβάλλυσαν φιλοτιμίαν ἐκτραπέντων, τὸ μὲν πρῶτον ἰσόῤῥοπος ἦν ἡ μάχη, τῆς παρ' ἀμφοτέροις ἀρετῆς ὔσης ἰσομάχυ, καὶ πολλοὶ μὲν ἔπιπτον, ὐκ ὀλίγοι δὲ κατετιτρώσκοντο, πάσας τὰς πληγὰς ἐναντίας λαμβάνοντες· (οἱ μὲν γὰρ πρωτοστάται τὸν ὑπὲρ τῶν ἄλλων θάνατον ὑπέμενον εὐψύχως, οἱ δ' ἐπιτεταγμένοι τὺς πίπτοντας ὑπερασπίζοντες, καὶ τοῖς δεινοῖς ἐγκαρτερῦντες, τὺς ἐσχάτυς κινδύνυς ὑπὲρ τῆς νίκης ἀνεδέχοντο) μετὰ δὲ ταῦτα Δίων μὲν ἀριστεῦσαι βυλόμενος ἐν τῇ μάχῃ, καὶ σπεύδων, δι' ἑαυτῦ περιποιήσασθαι τὴν νίκην, εἰς μέσυς ἐβιάσατο τὺς πολεμίυς· ἡρωϊκῶς δ' ἀγωνιζόμενος, πολλὺς μὲν ἐφόνευσε, τὴν δ' ὅλην σύνταξιν τῶν μισθοφόρων διακόψας, ἐναπελείφθη μόνος τῷ πλήθει· πολλῶν δ' ἐπ' αὐτὸν ῥιφέντων βελῶν εἴς τε τὴν ἀσπίδα καὶ τὸ κράνος, ταῦτα μὲν ἐξέφυγε διὰ τὴν τῶν ὅπλων κατασκευήν· εἰς δὲ τὸν δεξιὸν βραχίονα τρωθεὶς, συγκατηνέχθη τῷ βάρει τῆς πληγῆς, καὶ τοῖς πολεμίοις παρ' ὀλίγον ὑποχείριος ἐγένετο. οἱ δὲ Συρακύσιοι, δείσαντες ὑπὲρ τῆς κατὰ τὸν στρατηγὸν σωτηρίας, ἐπέῤῥαξαν τοῖς μισθοφόροις βαρείᾳ συντάξει· καὶ τὸν μὲν Δίωνα καταπονύμενον ἐξήρπασαν ἐκ τῶν κινδύνων, τὺς δὲ πολεμίυς βιασάμενοι φυγεῖν ἠνάγκασαν. ὁμοίως δὲ καὶ κατὰ τὸν ἄλλον τόπον τῦ τείχυς προτερύντων τῶν Συρακυσίων, οἱ τῦ τυράννυ μισθοφόροι συνεδιώχθησαν ἐντὸς πυλῶν τῶν ἐν τῇ Νήσῳ. ἐπιφανεῖ δὲ μάχῃ νικήσαντες οἱ Συρακύσιοι, καὶ τὴν ἐλευθερίαν βεβαίως κτησάμενοι, τρόπαιον ἔστησαν κατὰ τῦ τυράννυ.

in quo Dionis virtus eminet, qua hostem cum magna clade in fugam agit.

Μετὰ δὲ ταῦτα Διονύσιος μὲν ἐπταικὼς, καὶ τὴν δυναστείαν ἀπογιγνώσκων ἤδη, ἐν μὲν ταῖς ἀκροπόλεσιν ἀπέλιπε φρυρὰς ἀξιολόγυς, αὐτὸς δὲ τὺς τετελευτηκότας ὀκτακοσίυς ὄντας, λαβὼν τὴν ἀναίρεσιν αὐτῶν, ἔθαψε λαμπρῶς, χρυσοῖς μὲν στεφάνοις ἐστεφανωμένυς, πορφυρίσι δὲ καλαῖς περιβεβλημένυς. ἤλπιζε γὰρ διὰ τῆς τύτων σπυδῆς προτρέψασθαι τὺς ἄλλυς εἰς τὸ προθύμως κινδυ-

cap. 12. Dionysius, honore cæsis habito & distributis inter milites præmiis, studium pro se accendit:

δουλεύειν ὑπὲρ τῆς τυραννίδος. τὰς δ' ἀνδραγαθήσαντας μεγάλαις δωρεαῖς ἐτίμησε. πρὸς δὲ τὰς Συρακουσίους διεπέμπετο περὶ διαλύσεως. ὁ δὲ Δίων, περὶ μὲν τῶν πρεσβειῶν ἀεί τινας εὐλόγους προφάσεις ποριζόμενος, ἀνεβάλλετο. ἐν τούτῳ δὲ λοιπὸν τοῦ τείχους κατασκευάσας μεθ' ἡσυχίας, τότε τὰς πρεσβείας μετεπέμπετο, κατεστρατηγηκὼς τοὺς πολεμίους ταῖς τῆς εἰρήνης ἐλπίσι. γενομένων δὲ λόγων περὶ συλλύσεως, ὁ Δίων ἀπεκρίθη τοῖς πρέσβεσι, μίαν εἶναι σύλλυσιν, ἐὰν ἀποθέμενος τὴν τυραννίδα, βούληται τυχεῖν τιμῶν τινῶν. ὁ δὲ Διονύσιος, ὑπερηφάνου τῆς ἀποκρίσεως γενομένης, συναγαγὼν τοὺς ἡγεμόνας ἐβουλεύετο, πῶς χρὴ τοὺς Συρακουσίους ἀμύνασθαι· πάντων δ' εὐπορῶν, πλὴν σίτου, καὶ θαλαττοκρατῶν, ἐλῄστευε τὴν χώραν, καὶ τὰς τροφὰς ἐκ τῶν προνομῶν κακῶς ποριζόμενος, ἐξαπέστειλε ναῦς φορτίδας καὶ χρήματα πρὸς τὸν τοῦ σίτου καταγορασμόν. οἱ δὲ Συρακούσιοι ναῦς μακρὰς πολλὰς ἔχοντες, καὶ κατὰ τοὺς εὐκαίρους τόπους ἐπιφαινόμενοι, πολλὴν τῆς ὑπὸ τῶν ἐμπόρων κομιζομένης ἀγορᾶς παρῃροῦντο.

tunc mittit, qui de pace agant.

Dion autem hanc unam proponit, ut principatu abeat.

Interea res in mutuis prædationibus subsistit.

Φίλιστος δὲ ὁ Διονυσίου στρατηγὸς, πλεύσας εἰς Ῥήγιον, διεκόμισε τοὺς ἱππεῖς εἰς Συρακούσας, ὄντας πλείους τῶν πεντακοσίων. προσθεὶς δὲ τούτοις ἱππεῖς τε ἄλλους πλείονας, καὶ πεζοὺς δισχιλίους, ἐστράτευσεν ἐπὶ Λεοντίνους, ἀφεστηκότας ἀπὸ Διονυσίου. νυκτὸς δὲ παρεισπεσὼν ἐντὸς τοῦ τείχους, κατελάβετο μέρος τῆς πόλεως: γενομένης δὲ μάχης ἰσχυρᾶς, καὶ τῶν Συρακουσίων βοηθησάντων, ἡττηθεὶς ἐξέπεσεν ἐκ τῶν Λεοντίνων. Ἡρακλείδης δὲ ὁ καταλελειμμένος ὑπὸ Δίωνος ναύαρχος τῶν μακρῶν νεῶν ἐν Πελοποννήσῳ, διά τινας χειμῶνας ἐμποδισθεὶς ὑστέρησε τῆς καθόδου τῶν περὶ τὸν Δίωνα, καὶ τῆς τῶν Συρακουσίων ἐλευθερώσεως· ἧκε δ' ἄγων ναῦς μὲν μακρὰς εἴκοσι, χιλίους δὲ στρατιώτας καὶ πεντακοσίους. ὢν δὲ ἀνὴρ ἐπισημότατος, καὶ δόξης ἄξιος ὑπάρχειν, ᾑρέθη ναύαρχος ὑπὸ τῶν Συρακουσίων, καὶ μετὰ Δίωνος τεταγμένος, διεπολέμει πρὸς Διονύσιον. μετὰ δὲ ταῦτα Φίλιστος ἀποδειχθεὶς στρατηγὸς, καὶ καταρτίσας τριήρεις ἑξήκοντα, πρὸς Συρακουσίους ἐναυμάχησεν, ἔχοντας ναῦς παραπλησίους τὸν ἀριθμόν. γενομένου δ' ἀγῶνος καρτεροῦ, καὶ τοῦ

cap. 16. Philistus, Dionysii imperator, Leontinorum urbe expulsus, ante Chr. 354.

mox summus classis prætor creatus, cum Heraclide, Syrac. navarcho, mari confligatur.

τῦ Φιλίςυ τὸ μὲν πρῶτον διὰ τῆς ἰδίας ἀνδραγαθίας προτερῦντος, ὕςερον δὲ ἀπποληφθέντος ὑπὸ τῶν πολεμίων, οἱ μὲν Συρακόσιοι πανταχόθεν κυκλώσαντες τὰς ναῦς, ἐφιλοτιμῦντο ζωγρίᾳ λαβεῖν τὸν ςρατηγόν. ὁ δὲ Φίλιςος, εὐλαβηθεὶς τὴν ἐκ τῆς αἰχμαλωσίας αἰκίαν, ἑαυτὸν ἀπέσφαξεν, πλείςας μὲν καὶ μεγίςας χρείας παρεσχημένος τοῖς τυράννοις, πιςότατος δὲ τῶν φίλων τοῖς δυνάςαις γεγονώς. οἱ δὲ Συρακόσιοι νικήσαντες τῇ ναυμαχίᾳ, τὸ μὲν σῶμα τῦ Φιλίςυ διαμερίσαντες, καὶ δι' ὅλης τῆς πόλεως ἑλκύσαντες, ἄταφον ἐξέῤῥιψαν· Διονύσιος δὲ τὸν μὲν πρακτικώτατον τῶν φίλων ἀποβαλὼν, καὶ ςρατηγὸν μὲν ἕτερον ἀξιόχρεων ὐκ ἔχων, αὐτὸς δ' ὐ δυνάμενος φέρειν τὸ τῦ πολέμυ βάρος, ἐξέπεμψε πρεσβευτὰς πρὸς τὸν Δίωνα· τὸ μὲν πρῶτον τὴν ἡμίσειαν τῆς ἀρχῆς παραδιδὺς, ὕςερον δὲ βυλόμενος ὅλην ἐγχειρίζειν.

Proelio victus Philistus, morte voluntaria perit.

Hac reperterritus Dionysius Dioni regnum offert:

cap. 17. mox, relictis in arce mercenariis, cum thesauris clam in Italiam aufugit.

Τῦ δὲ Δίωνος ἀποκριθέντος, ὅτι τοῖς Συρακυσίοις δίκαιόν ἐςι παραδιδόναι τὴν ἀκρόπολιν ἐπί τισιν ἐξαιρέτοις χρήμασι καὶ τιμαῖς, ὁ μὲν Διονύσιος ἕτοιμος ἦν τὴν ἄκραν παραδιδόναι τῷ δήμῳ, ὥςε τὺς μισθοφόρυς καὶ τὰ χρήματα λαβόντα εἰς τὴν Ἰταλίαν μεταςῆναι· ὁ δὲ Δίων συνεβύλευε τοῖς Συρακυσίοις δέχεσθαι τὰ διδόμενα. ὁ δὲ δῆμος ὑπὸ τῶν ἀκαίρων δημηγόρων πεισθεὶς, ἀντεῖπε, νομίζων κατὰ κράτος ἐκπολιορκήσειν τὸν τύραννον. μετὰ δὲ ταῦτα ὁ μὲν Διονύσιος τὺς ἀρίςυς τῶν μισθοφόρων ἀπέλιπε φυλάξοντας τὴν ἄκραν, αὐτὸς δ' ἐνθέμενος τὰ χρήματα καὶ πᾶσαν τὴν βασιλικὴν παρασκευὴν, ἔλαθεν ἐκπλεύσας, καὶ κατῆρεν εἰς τὴν Ἰταλίαν. οἱ δὲ Συρακόσιοι πρὸς ἀλλήλυς ἐςασίασαν, τῶν μὲν οἰομένων δεῖν τὴν ςρατηγίαν καὶ τὴν τῶν ὅλων ἐξυσίαν ἐγχειρίζειν Ἡρακλείδῃ, διὰ τὸ τῦτον δοκεῖν μήποτ' ἂν ἐπιθέσθαι τυραννίδι· τῶν δὲ ἀποφαινομένων τὸν Δίωνα δεῖν ἔχειν τὴν τῶν ἁπάντων ἡγεμονίαν. πρὸς δὲ τύτοις, πολλῶν ὀφειλομένων μισθῶν τοῖς ἐκ Πελοποννήσυ ξένοις τοῖς ἠλευθερωκόσι τὰς Συρακύσας, καὶ χρημάτων σπανιζύσης τῆς πόλεως, οἱ μὲν μισθοφόροι, τῶν χρημάτων ἀπεςερημένοι, συνεςράφησαν, ὄντες πλείυς τῶν τρισχιλίων· πάντες δ' ἐπίλεκτοι ταῖς ἀρεταῖς, καὶ διὰ τὴν ἄθλησιν τῶν πολεμικῶν ἔργων διαπεπονημένοι, πολὺ τῶν Συρακυσίων ταῖς ἀρεταῖς ὑπερεβάλλοντο. ὁ δὲ Δίων,

Inde dissidia inter Dionem & Syracusanos, tumultus simul mercenariorum oriuntur.

Digitized by Google

Δίων, ἀξιῶμενος ὑπὸ τῶν μισθοφόρων συναποϛῆναι, καὶ παρὰ τῶν Συρακουσίων ὡς κοινῶν ἐχθρῶν λαβεῖν τιμωρίαν, τὸ μὲν πρῶτον ἀντεῖπε, μετὰ δὲ ταῦτα συναναγκαζόμενος ὑπὸ τῆς περιϛάσεως, προσεδέξατο τὴν ἡγεμονίαν τῶν ξένων, καὶ μετ' ἐκείνων ταχθεὶς, ἀνέζευξεν ἐπὶ τοὺς Λεοντίνους. οἱ δὲ Συρακούσιοι συϛραφέντες ἐδίωκον τοὺς μισθοφόρους, καὶ κατὰ τὴν ὁδοιπορίαν συνάψαντες μάχην, καὶ πολλοὺς ἀποβαλόντες ἀπεχώρησαν. ὁ δὲ Δίων λαμπρᾷ μάχῃ νικήσας, οὐδὲν ἐμνησικάκησε τοῖς Συρακουσίοις· ἀποϛειλάντων γὰρ πρὸς αὐτὸν κήρυκα περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως, τήν τε τῶν νεκρῶν ἀναίρεσιν ἔδωκε, καὶ τοὺς ἁλόντας πολλοὺς ὄντας ἀπέλυσεν ἄνευ λύτρων. πολλοὶ γὰρ ἐν τῇ φυγῇ μέλλοντες φονεύεσθαι, διηγόρευον, ἑαυτοὺς εἶναι τῶν τὰ Δίωνος φρονούντων· καὶ πάντες διὰ ταύτην τὴν αἰτίαν ἐξέφυγον τὸν θάνατον.

qui duce Dione Syracusanos prœlio fundunt.

Itaque Syracusani Dionis veniam implorare coguntur.

cap. 18.

Postea Dionysius, misso Nypsio cum navibus & commeatu, Syracusis relictum præsidium novis auxiliis auget.

Μετὰ δὲ ταῦτα Διονύσιος μὲν ϛρατηγὸν ἀπέϛειλεν εἰς τὰς Συρακούσας Νύψιον τὸν Νεαπολίτην, ἀνδρείᾳ καὶ συνέσει ϛρατηγικῇ διαφέροντα· συνεξέπεμψε δ' αὐτῷ καὶ φορτηγὰ πλοῖα, σίτου καὶ τῆς ἄλλης ἀγορᾶς γέμοντα. οὗτος μὲν οὖν ἐκ Λοκρῶν ἀναχθεὶς, ἐτέλει τὸν εἰς Συρακούσας πλοῦν· οἱ δὲ κατὰ τὴν ἀκρόπολιν μισθοφόροι τοῦ τυράννου, κατὰ τοῦτον τὸν καιρὸν ἐπιλιπόντος τοῦ σίτου, καὶ τῇ σπάνει τῶν ἀναγκαίων δεινῶς πιεζόμενοι, μέχρι μέν τινος ὑπέμενον εὐψύχως τὴν ἔνδειαν, τῆς δὲ φύσεως ὑπὸ τῆς ἀνάγκης ἡττωμένης, καὶ τῆς σωτηρίας ἀπογιγνωσκομένης, συνδραμόντες εἰς ἐκκλησίαν νυκτὸς, ἐψηφίσαντο παραδοῦναι τὴν ἀκρόπολιν καὶ σφᾶς αὐτοὺς τοῖς Συρακουσίοις ἅμ' ἡμέρᾳ. ἤδη δὲ τῆς νυκτὸς ληγούσης, οἱ μὲν μισθοφόροι κήρυκας ἐξέπεμπον πρὸς τοὺς Συρακουσίους περὶ τῆς διαλύσεως· ὁ δὲ Νύψιος διαφαινούσης ἤδη τῆς ἡμέρας κατέπλευσε μετὰ τοῦ ϛόλου, καὶ καθωρμίσθη περὶ τὴν Ἀρέθουσαν. διόπερ τῆς ἐνδείας παραχρῆμα μεταβαλούσης εἰς πολλὴν δαψίλειαν τῶν ἐπιτηδείων, ὁ μὲν ϛρατηγὸς Νύψιος ἐκβιβάσας τοὺς ϛρατιώτας, κοινὴν ἐκκλησίαν συναγαγὼν, καὶ διαλεχθεὶς οἰκείως τοῖς παροῦσι καιροῖς, προθύμους κατεσκεύασε πρὸς τοὺς μέλλοντας κινδύνους. ἡ μὲν οὖν ἀκρόπολις ἤδη παραδιδομένη τοῖς Συρακουσίοις, τὸν εἰρημένον τρόπον ἀνελπίϛως διεφυλάχθη· οἱ δὲ Συρακούσιοι πλη-

Syracusani, proelio navali victoriam consecuti, indulgent conviviis & languescunt.

πληρώσαντες ἁπάσας τὰς τριήρεις, ἐπέπλευσαν τοῖς πολεμίοις ἔτι περὶ τὴν ἐξαίρεσιν τῆς ἀγορᾶς διατρίβουσιν. ἀπροσδοκήτου δὲ τῆς ἐφόδου γενομένης, καὶ τῶν κατὰ τὴν ἀκρόπολιν μισθοφόρων τεθορυβημένως ἀντιταχθέντων ταῖς πολεμικαῖς τριήρεσιν, ἐγένετο ναυμαχία, καθ᾽ ἣν οἱ Συρακούσιοι ἐπροτέρησαν, καί τινας μὲν τῶν νεῶν κατέδυσαν, τινῶν δ᾽ ἐγκρατεῖς κατέστησαν, τὰς δὲ λοιπὰς πρὸς τὴν γῆν κατεδίωξαν· μετεωρισθέντες δ᾽ ἐπὶ τῷ προτερήματι, τοῖς μὲν θεοῖς μεγαλοπρεπῶς ἔθυσαν ἐπινίκια, αὐτοὶ δ᾽ εἰς εὐωχίας καὶ πότους ἐκτραπέντες, καταφρονοῦντες τῶν ἡττημένων, ῥαθύμως εἶχον τὰ περὶ τὰς φυλακάς.

cap. 19. Hac usus opportunitate Nypsius hostem opprimit,

Νύψιος δ᾽ ὁ τῶν μισθοφόρων στρατηγὸς, ἀναμαχέσασθαι καὶ ἀναλαβεῖν βουλόμενος τὴν ἧτταν, νυκτὸς ἐκτεταγμένῃ τῇ δυνάμει παραδόξως προσέπεσε τῷ κατεσκευασμένῳ τείχει. εὑρὼν δὲ τοὺς φύλακας διὰ τὴν καταφρόνησιν καὶ μέθην εἰς ὕπνον τετραμμένους, προσέθηκε τὰς παρεσκευασμένας κλίμακας πρὸς τὴν χρείαν. διὰ δὲ τούτων οἱ κράτιστοι τῶν μισθοφόρων ἀνέβησαν ἐπὶ τὸ τεῖχος,

urbem capit,

καὶ τοὺς φύλακας φονεύσαντες, ἀνέῳξαν τὰς πύλας. εἰσπεσόντων δὲ τῶν στρατιωτῶν εἰς τὴν πόλιν, οἱ μὲν στρατηγοὶ τῶν Συρακουσίων ἐκ τῆς μέθης μεθύοντες ἐπειρῶντο βοηθεῖν, ἐμποδιζόμενοι δὲ ταῖς ὁρμαῖς διὰ τὸν οἶνον, οἱ μὲν ἀνῃρέθησαν, οἱ δ᾽ ἔφυγον. κατειλημμένης δὲ τῆς πόλεως, καὶ τῶν ἐκ τῆς ἀκροπόλεως στρατιωτῶν σχεδὸν ἁπάντων εἰσπεσόντων ἐντὸς τοῦ περιτειχίσματος, τῶν δὲ Συρακουσίων διὰ τὸ παράδοξον καὶ τὴν ἀταξίαν ἐκπεπληγμένων, πολὺς ἐγίνετο φόνος. τῶν δὲ τοῦ τυράννου στρατιωτῶν πλειόνων ἢ μυρίων ὄντων, καὶ συντεταγμένων καλῶς, οὐδεὶς τὸ βάρος αὐτῶν ὑπομεῖναι δυνατὸς ἦν, ἅτε τοῦ θορύβου καὶ τῆς ταραχῆς, ἔτι δὲ ἀναρχίας τοὺς ἐλαττουμένους ἐμποδιζούσης.

& largam prædam aufert.

κρατηθείσης δὲ τῆς ἀγορᾶς ὑπὸ τῶν πολεμίων, εὐθὺς ἐπὶ τὰς οἰκίας οἱ νενικηκότες ὥρμησαν· καὶ πολλὰ μὲν χρήματα διεφορεῖτο, οὐκ ὀλίγα δὲ σώματα γυναικῶν καὶ παίδων, ἔτι δ᾽ οἰκετῶν ἐξηνδραποδίζετο· κατὰ δὲ τοὺς στενωποὺς καὶ τὰς ἄλλας ὁδοὺς ἀντιταττομένων Συρακουσίων, ἐγίνοντο συνεχεῖς συμπλοκαὶ, καὶ πολλοὶ μὲν ἀπέθνησκον, οὐκ ὀλίγοι δὲ τραύμασι περιέπιπτον. τὴν μὲν οὖν νύκτα διε-

Digitized by Google

διετέλεσαν ἀλλήλους ἀναιροῦντες, ὡς ἔτυχε, διὰ τὸ σκότος, καὶ πᾶς τόπος νεκρῶν ἔγεμεν.

Ἅμα δ' ἡμέρᾳ τὸ μὲν τῆς συμφορᾶς μέγεθος συνεωράθη, οἱ δὲ Συρακούσιοι, μίαν ἔχοντες σωτηρίαν τὴν ἀπὸ τοῦ Δίωνος βοήθειαν, ἐξαπέστειλαν ἱππεῖς εἰς Λεοντίνους, δεόμενοι τοῦ Δίωνος μὴ περιϊδεῖν τὴν πατρίδα δοριάλωτον γινομένην, καὶ τῶν μὲν ἡμαρτημένων δοῦναι συγγνώμην αὐτοῖς, τὰς δὲ παρούσας δυστυχίας ἐλεήσαντα, διορθώσασθαι τὴν τῆς πατρίδος συμφοράν. ὁ δὲ Δίων, λαμπρὸς ὢν τὴν ψυχὴν, καὶ διὰ τὴν ἐκ φιλοσοφίας παιδείαν ἐξημερωμένος τοὺς λογισμοὺς, οὐκ ἐμνησικάκησε τοῖς πολίταις, ἀλλὰ τοὺς μισθοφόρους πείσας, παραχρῆμα ἀνέζευξε· καὶ διανύσας ὀξέως τὴν εἰς Συρακούσας ὁδὸν, ἧκε πρὸς τὰ Ἑξάπυλα. ἐνταῦθα δὲ διατάξας στρατιώτας, προσῆγε κατὰ τάχος, καὶ κατέλαβεν ἐκ τῆς πόλεως τέκνα μὲν καὶ γυναῖκας καὶ τοὺς γεγηρακότας, ὑπὲρ τοὺς μυρίους. οὗτοι δὲ πάντες ἀπαντῶντες μετὰ δακρύων, ἱκέτευον, ἀμύναι τοῖς ἰδίοις ἀκληρήμασιν. οἱ δὲ τῆς ἀκροπόλεως μισθοφόροι, κεκρατηκότες ἤδη τῆς προθέσεως, τὰς μὲν περὶ τὴν ἀγορὰν οἰκίας διαρπάσαντες ἐνέπρησαν, ἐπὶ δὲ τὰς λοιπὰς ὁρμήσαντες, διήρπαζον τὰς ἐν ταύταις κτήσεις. καθ' ὃν δὴ καιρὸν Δίων κατὰ πολλοὺς τόπους εἰσπεσὼν εἰς τὴν πόλιν, καὶ τοῖς πολεμίοις περὶ τὰς ἁρπαγὰς ἀσχολουμένοις ἐπιθέμενος, πάντας τοὺς περιτυγχάνοντας ἔκτεινε, κομίζοντας ἐπὶ τῶν ὤμων παντοδαπὰς κατασκευάς. διὰ δὲ τὸ παράδοξον τῆς παρουσίας, καὶ τὴν ἀταξίαν καὶ ταραχὴν τῶν διαφορούντων τὰς κτήσεις, εὐχερῶς ἅπαντες ἐχειροῦντο. τέλος δὲ, πλειόνων ἢ τετρακισχιλίων φονευθέντων, τῶν μὲν ἐν ταῖς οἰκίαις, τῶν δ' ἐν ταῖς ὁδοῖς, αἱ λοιποὶ συνέφυγον εἰς τὴν ἀκρόπολιν, καὶ τὰς πύλας κλείσαντες ἐξέφυγον τὸν κίνδυνον. Δίων δὲ κάλλιστον τῶν προγεγενημένων ἔργων ὑπ' αὐτοῦ διαπραξάμενος, τὰς μὲν καιομένας οἰκίας διέσωσε, κατασβέσας τὴν φλόγα, τὸ δὲ περιτείχισμα καλῶς κατασκευασάμενος, μιᾷ πράξει τήν τε πόλιν ὠχύρωσε, καὶ τοὺς πολεμίους ἀποτειχίσας εἶρξε τῆς ἐπὶ τὴν γῆν ἐξόδου, καθαρὰν δὲ τῶν νεκρῶν ποιήσας τὴν πόλιν, καὶ τρόπαιον στήσας, ἔθυσε τοῖς θεοῖς ὑπὲρ τῆς σωτηρίας. συναχθείσης δ' ἐκκλησίας, ὁ μὲν δῆμος εὐχαριστῶν στρατηγὸν ἐχειροτόνησεν αὐτοκράτορα τὸν Δίω-

cap. 20. Consternati Syracusani Dionem advocant;

qui singulari virtute & sollertia hostes ultus, rem restituit,

& apud omnes præcipuam gratiam meret.

Δίωνα, καὶ τιμὰς ἀπένειμεν ἡρωϊκάς· ὁ δὲ Δίων, ἀκολέθως τοῖς πεπραγμένοις, ἐπιεικῶς τὲς μὲν ἐχθρὲς ἅπαντας ἀπέλυσε τῶν ἐγκλημάτων, καὶ τὸ πλῆθος παραμυθησάμενος, εἰς κοινὴν ἤγαγεν ὁμόνοιαν. οἱ δὲ Συρακέσιοι πανδήμοις ἐπαίνοις καὶ ἀποδοχαῖς μεγάλαις ἐτίμων τὸν εὐεργέτην, ὡς μόνον σωτῆρα γεγονότα τῆς πατρίδος.

cap. 31. Dione occiso, Callippus imperium suscipit. ante Chr. 352.

Μετ' ὐ πολὺ δὲ, Δίωνος τῦ ϛρατηγῦ σφαγέντος ὑπὸ Ζακυνθίων τῶν μισθοφόρων, τὴν ἡγεμονίαν διεδέξατο Κάλλιππος, ὁ τέτες πρὸς τὸν φόνον παρασκευάσας, καὶ ἦρξε μῆνας τρεισκαίδεκα.

cap. 36. Hipparinus, pulso Callippo, regnum Syrac. occupat. ante Chr. 351.

Στάσεως δὲ γενομένης τοῖς Δίωνος φίλοις πρὸς Κάλλιππον, οἱ μὲν τῦ Δίωνος φίλοι ἡττηθέντες ἔφυγον εἰς τὲς Λεοντίνες· μετὰ δέ τινα χρόνον Ἱππαρίνε τῦ Διονυσίε καταπλεύσαντος εἰς τὰς Συρακέσας μετὰ δυνάμεως, ὁ μὲν Κάλλιππος ἡττηθεὶς ἐξέπεσε τῆς πόλεως, Ἱππαρῖνος δὲ, ἀνακτησάμενος τὴν πατρῴαν ἦρξεν ἔτη δύο.

cap. 65. Syracusani ad compescendos tumultus a Corinthiis Timoleontem imperatorem impetrant. ante Chr. 344.

Μετὰ δὲ ταῦτα οἱ Συρακέσιοι ϛασιάζοντες πρὸς ἀλλήλες, καὶ τυραννίσι πολλαῖς καὶ μεγάλαις καὶ ποικίλαις δελεύειν ἀναγκαζόμενοι, πρέσβεις ἐξέπεμψαν εἰς Κόρινθον, ἀξιῦντες, αὐτοῖς ἀποϛεῖλαι ϛρατηγὸν τὸν ἐπιμελησόμενον τῆς πόλεως, καὶ καταλύσοντα τὴν τῶν τυραννεῖν ἐπιβαλομένων πλεονεξίαν. οἱ δὲ κρίνοντες, δίκαιον εἶναι, τοῖς ἀπογόνοις βοηθεῖν, ἐψηφίσαντο, πέμπειν ϛρατηγὸν Τιμολέοντα Τιμαινέτε, πρωτεύοντα τῶν πολιτῶν ἀνδρείᾳ τε καὶ συνέσει ϛρατηγικῇ, καὶ καθόλε πάσαις ταῖς ἀρεταῖς κεκοσμημένον. ἴδιον δέ τι συνέβη περὶ τὸν ἄνδρα συμπεσεῖν, ὃ συνελάβετο αὐτῷ πρὸς τὴν τῆς ϛρατηγίας αἵρεσιν.

Virtutis & aequitatis studiosus Timoleon, fratrem, tyrannidis appetentem, obtruncaverat.

Τιμοφάνης γὰρ ὁ ἀδελφὸς αὐτῦ, προέχων τῶν Κορινθίων πλέτῳ τε καὶ τόλμῃ, πάλαι μὲν ἦν φανερὸς τυραννίδος ὀρεγόμενος. τότε δὲ τὲς ἀπόρες ἀναλαμβάνων, καὶ πανοπλίας κατασκευαζόμενος, καὶ τὲς πονηροτάτες ἔχων μεθ' ἑαυτῦ, κατὰ τὴν ἀγορὰν περιῄει, ὐ προσποιέμενος, ὅτι τύραννός ἐϛι, τὰ δὲ τῆς τυραννίδος ἔργα διαπραττόμενος. ὁ δὲ Τιμολέων, ἀλλοτριώτατος ὢν μοναρχίας, τὸ μὲν πρῶτον ἐπεχείρει πείθειν τὸν ἀδελφὸν, ἀποϛῆναι τῆς ἐπιβολῆς· ὡς δ' ὐχ ὑπήκεεν, ἀλλ' ἀεὶ καὶ μᾶλλον ἐπετείνετο τῇ τόλμῃ, ἀδυνατῶν αὐτὸν λόγῳ διορθώσασθαι, περιπατῶν κατὰ τὴν ἀγορὰν ἀπέσφαξε. θορύβε

ρύβε δὲ γενομένε, καὶ τῶν πολιτῶν συνδραμόντων, διά τε τὸ παράδοξον καὶ τὴν δεινότητα τῆς πράξεως, στάσις ἐγένετο. οἱ μὲν γὰρ ἔφασαν, δεῖν ὡς ἐμφύλιον φόνον πεπραχότα τὸν Τιμολέοντα τυγχάνειν τῆς ἐκ τῶν νόμων τιμωρίας, οἱ δὲ τἀναντίον ἀπεφαίνοντο, ἐπαινεῖν τὸν ἄνδρα ὡς τυραννοκτόνον· τῆς δὲ γερουσίας συνεδρευούσης ἐν τῷ βουλευτηρίῳ, καὶ τῆς περὶ τὴν πρᾶξιν ἀμφισβητήσεως ἐπὶ τὸ συνέδριον ἀναπεμφθείσης, οἱ μὲν ἐχθροὶ τοῦ Τιμολέοντος κατηγόρουν, οἱ δὲ χαριέστεροι συνηγοροῦντες συνεβούλευον σώζειν τὸν ἄνδρα. ἀκρίτου δ' ἔτι τῆς ζητήσεως οὔσης, κατέπλευσαν ἐκ τῶν Συρακουσῶν οἱ πρέσβεις, καὶ τῇ γερουσίᾳ τὰς ἐντολὰς δηλώσαντες, ἠξίουν τὴν ταχίστην ἀποστεῖλαι τὸν στρατηγόν. ἔδοξεν οὖν τῷ συνεδρίῳ, πέμπειν τὸν Τιμολέοντα, καὶ πρὸς τὸ κατορθῶσαι τὴν πρᾶξιν ξένας τινὰς καὶ παραδόξους αἱρέσεις αὐτῷ προέθηκαν. διεβεβαιώσαντο γάρ, ἐὰν μὲν καλῶς ἄρξῃ τῶν Συρακουσίων, κρίνειν αὐτὸν τυραννοκτόνον· ἐὰν δὲ πλεονεκτικώτερον, ἀδελφοῦ φονέα. ὁ δὲ Τιμολέων οὐχ οὕτω διὰ τὸν ἐπικρεμασθέντα φόβον ὑπὸ τῆς γερουσίας, ὡς διὰ τὴν ἀρετὴν, καλῶς καὶ συμφερόντως προέστη τῶν κατὰ τὴν Σικελίαν πραγμάτων. Καρχηδονίους μὲν γὰρ κατεπολέμησε, τὰς δὲ κατεσκαμμένας ὑπὸ τῶν Βαρβάρων Ἑλληνίδας πόλεις ἀποκατέστησε, πᾶσαν δὲ Σικελίαν ἠλευθέρωσε· καθόλου δὲ τὰς Συρακούσας καὶ τὰς Ἑλληνίδας πόλεις παραλαβὼν ἐρήμους, ἐποίησε πολυανθρωπίᾳ διενεγκεῖν.

Res Siciliæ Timoleon egregie defendit & restituit.

Ἐπ' ἄρχοντος μὲν οὖν Ἀθήνησιν Εὐβούλου Τιμολέων παρεσκευάζετο πρὸς τὸν εἰς τὴν Σικελίαν ἔκπλουν. ἑπτακοσίους μὲν οὖν ξένους ἐμισθώσατο, στρατιωτῶν δὲ τέσσαρας τριήρεις πληρώσας, καὶ ταχυναυτούσας τρεῖς, ἐξέπλευσεν ἐκ Κορίνθου. ἐν παράπλῳ δὲ παρὰ Λευκαδίων καὶ Κερκυραίων τρεῖς ναῦς προσλαβόμενος, ἐπεραιοῦτο δέκα ναυσὶ τὸν Ἰόνιον καλούμενον πόρον. καταπλεύσαντος δὲ τοῦ στόλου χωρὶς κινδύνων εἰς τὸ Μεταπόντιον τῆς Ἰταλίας, ἐπικατέπλευσε Καρχηδονία τριήρης, ἔχουσα πρεσβευτὰς Καρχηδονίους. οὗτοι δ' ἐντυχόντες τῷ Τιμολέοντι, διεμαρτύραντο, μὴ κατάρχειν πολέμου, μηδ' ἐπιβαίνειν τῇ Σικελίᾳ. ὁ δὲ Τιμολέων, ἐπικαλουμένων αὐτὸν τῶν Ῥηγίνων, καὶ συμμαχήσειν ἐπαγγελλομένων, ἐξέπλευσεν εὐθέως ἐκ τοῦ Μετα-

cap. 66. Timoleontis navium apparatus. ante Chr. 343.

Poenis obviis Timoleon feliciter elapsus.

Digitized by Google

Μεταποντίε, σπεύδων, φθάσαι τὴν περὶ αὐτὸν φήμην. σφόδρα γὰρ ἐυλαβεῖτο, μή ποτε Καρχηδόνιοι θαλασσοκρατῦντες κωλύσωσιν αὐτὸν ἐις Σικελίαν διαπλεῦσαι. ἔτος μὲν ἔν κατὰ σπεδὴν ἐτέλει τὸν ἐις Ῥήγιον πλῦν.

cap. 67. Poenorum machinationes, socii, tum alii, tum Hicetas, Syracusanorum princeps, copiae, & in Siciliae urbes expeditiones.

Καρχηδόνιοι δὲ βραχὺ πρὸ τέτων τῶν καιρῶν πυθόμενοι τὸ μέγεθος τῦ κατὰ Σικελίαν ἐσομένε πολέμε, ταῖς μὲν κατὰ Σικελίαν συμμαχίσι πόλεσι φιλανθρώπως προσεφέροντο, καὶ πρὸς τὲς κατὰ τὴν νῆσον τυράννες τὴν διαφορὰν καταλύσαντες, φιλίαν συνέθεντο, μάλιςα δὲ πρὸς Ἱκέταν τὸν τῶν Συρακεσίων δυναςεύοντα, διὰ τὸ τῦτον πλεῖον ἰσχύειν. αυτοὶ δὲ πολλὴν δύναμιν ναυτικήν τε καὶ πεζικὴν παρασκευασάμενοι, διεβίβασαν ἐις Σικελίαν, Ἄννωνα ςρατηγὸν ἐπιςήσαντες. ἐιχον δὲ μακρὰς ναῦς ἑκατὸν καὶ πεντήκοντα, ςρατιώτας δὲ πεζὲς μὲν πεντακισμυρίες, ἅρματα δὲ τριακόσια, συνωρίδας δὲ ὑπὲρ τὰς δισχιλίας, χωρὶς δὲ τέτων, ὅπλα καὶ βέλη παντοδαπὰ, καὶ μηχανὰς πολιορκητικὰς παμπληθεῖς, καὶ σῖτε καὶ τῶν ἄλλων ἐπιτηδείων πλῆθος ἀνυπέρβλητον. ἐπὶ πρώτην δὲ τὴν τῶν Ἐντελλίνων πόλιν ἐλθόντες, τήν τε χώραν ἐδήωσαν, καὶ τὲς ἐγχωρίες ἐις πολιορκίαν συνέκλεισαν. οἱ δὲ τὴν πόλιν κατοικῦντες Καμπανοὶ, καταπλαγέντες τὸ μέγεθος τῆς δυνάμεως, ἐξέπεμψαν ἐις τὰς ἄλλας πόλεις τὰς ἀλλοτρίως διακειμένας πρὸς Καρχηδονίες, περὶ βοηθείας. τῶν μὲν ἔν ἄλλων ἐδεὶς ὑπήκεσεν. οἱ δὲ τὴν Γαλερίαν πόλιν οἰκῦντες ἐξέπεμψαν αὐτοῖς ςρατιώτας ὁπλίτας χιλίες. τέτοις δ᾽ ὑπαντήσαντες οἱ Φοίνικες, καὶ περιχυθέντες τῷ πλήθει, πάντας κατέκοψαν. οἱ δὲ τὴν Ἄιτνην κατοικῦντες Καμπανοὶ τὸ μὲν πρῶτον παρεσκευάζοντο συμμαχίαν ἐκπέμπειν ἐις τὴν Ἔντελλαν, διὰ τὴν συγγένειαν· μετὰ δὲ ταῦτα τὴν τῶν Γαλερινῶν συμφορὴν ἀκέσαντες, ἔκριναν, ἡσυχίαν ἄγειν.

cap. 68. De Syracusis concertant Dionysius & Hicetas.

Τῦ δὲ Διονυσίε κυριεύοντος τῶν Συρακεσῶν, Ἱκέτας ἔχων περὶ αὐτὸν ἀξιόλογον δύναμιν, ἐςράτευσεν ἐπὶ τὰς Συρακέσας. καὶ τὸ μὲν πρῶτον χάρακα βαλόμενος περὶ τὸ Ὀλύμπιον, διεπολέμει τῷ κρατῦντι τῆς πόλεως Διονυσίῳ τῷ τυράννῳ. χρονιζέσης δὲ τῆς πολιορκίας, καὶ τῶν ἐπιτηδείων ἐκλειπόντων, ὁ μὲν Ἱκέτας ἀνέζευξεν ἐις Λεοντίνες· (ἐκ ταύτης γὰρ ὡρμᾶτο τῆς πόλεως) ὁ δὲ Διο-

Digitized by Google

Διονύσιος ἐπακολουθήσας αὐτοῖς, καὶ καταλαβὼν τὴν ὑραγίαν, συνεςήσατο μάχην. ὁ δ' Ἱκέτας ἐπιςρέψας ἐπὶ τὸν Διονύσιον, συνῆψε μάχην, καὶ πλείους τῶν τρισχιλίων μισθοφόρων ἀνελὼν, τοὺς λοιποὺς φυγεῖν ἠνάγκασεν. ὀξεῖ δὲ τῷ διωγμῷ χρησάμενος, καὶ συνεισπεσὼν τοῖς φεύγουσιν εἰς τὴν πόλιν, ἐκράτησε τῶν Συρακουσῶν πλὴν τῆς Νήσου. καὶ τὰ μὲν περὶ τὸν Ἱκέταν καὶ Διονύσιον ἐν τούτοις ἦν. Τιμολέων δὲ μετὰ τὴν κατάληψιν τῶν Συρακουσῶν τρισὶν ἡμέραις ὕςερον κατέπλευσεν εἰς τὸ Ῥήγιον, καὶ καθωρμίσθη πλησίον τῆς πόλεως. ἐπικαταπλευσάντων δὲ καὶ τῶν Καρχηδονίων εἴκοσι τριήρεσι, καὶ τῶν Ῥηγίνων συνεργούντων τῷ Τιμολέοντι, καὶ κοινὴν ἐκκλησίαν ἐν τῇ πόλει συναγαγόντων, καὶ περὶ συλλύσεως δημηγορούντων, οἱ μὲν Καρχηδόνιοι, διαλαβόντες, τὸν Τιμολέοντα πεισθήσεσθαι, τὸν εἰς Κόρινθον ἀπόπλουν ποιήσασθαι, ῥαθύμως εἶχον τὰ κατὰ τὰς φυλακάς· ὁ δὲ Τιμολέων οὐδεμίαν ἔμφασιν διδοὺς τοῦ δρασμοῦ, αὐτὸς μὲν πλησίον τοῦ βήματος ἔμεινε, λάθρα δὲ παρήγγειλε τὰς ἐννέα ναῦς ἀποπλεῦσαι τὴν ταχίςην. περισπωμένων δὲ τῶν Καρχηδονίων ταῖς ψυχαῖς περὶ τοὺς ἐγκαθέτως δημηγοροῦντας μακρῶς τῶν Ῥηγίνων, ἔλαθεν ὁ Τιμολέων διαδρὰς ἐπὶ τὴν ὑπολελειμμένην ναῦν, καὶ ταχέως ἐξέπλευσεν. οἱ δὲ Καρχηδόνιοι καταςρατηγηθέντες, ἐπεβάλοντο, διώκειν τοὺς περὶ τὸν Τιμολέοντα. ἐκείνων δὲ προειληφότων ἱκανὸν διάςημα, καὶ τῆς νυκτὸς ἐπιλαβούσης, ἔφθασαν οἱ περὶ τὸν Τιμολέοντα ἀποπλεύσαντες εἰς τὸ Ταυρομένιον. ὁ δὲ τῆς πόλεως ταύτης ἡγούμενος, διαπαντὸς πεφρονηκὼς τὰ τῶν Συρακουσίων, Ἀνδρόμαχος, φιλοφρόνως ὑπεδέξατο τοὺς διωκομένους, καὶ πολλὰ συνεβάλετο πρὸς τὴν σωτηρίαν αὐτῶν. Μετὰ δὲ ταῦτα, ὁ μὲν Ἱκέτας ἀναλαβὼν τῶν ςρατιωτῶν τοὺς ἀρίςους πεντακισχιλίους, ἐςράτευσεν ἐπὶ τοὺς Ἀδρανίτας, ἀντιπράττοντας αὐτῷ, καὶ πλησίον τῆς πόλεως κατεςρατοπέδευσεν. ὁ δὲ Τιμολέων, προσλαβόμενος παρὰ τῶν Ταυρομενίων ςρατιώτας, ἀνέζευξεν ἐκ τοῦ Ταυρομενίου, τοὺς ἅπαντας ἔχων οὐ πλείους τῶν χιλίων. ἐπερχομένης δὲ τῆς νυκτὸς ἀφορμήσας, καὶ διανύσας ἐπὶ τὸ Ἀδρανὸν δευτεραῖος, ἀνελπίςως ἐπέθετο τοῖς περὶ τὸν Ἱκέταν δειπνοποιουμένοις. παρεισπεσὼν δ' εἰς τὴν παρεμβολὴν,

Timoleon, iterum Pœnis elapsus, Tauromenium fugit,

unde in Hicetam & Syracusas ex improviso impetum facit

βολὴν, καὶ φονεύσας πλείους τῶν τριακοσίων, ζωγρήσας δὲ περὶ ἑξακοσίους, τῆς παρεμβολῆς ἐκράτησε. τούτῳ δὲ τῷ στρατηγήματι ἕτερον ἐπεισάγων, παραχρῆμα ἐπὶ τοὺς Συρακούσας ἀφώρμησε, καὶ δρομαῖος τὴν ὁδὸν διανύσας, ἀπροσδοκήτως προσέπεσε ταῖς Συρακούσαις, καταταχήσας τοὺς ἀπὸ τῆς τροπῆς φεύγοντας.

cap. 69. Syracusæ divisæ inter Dionysium, Hicetam, Timoleontem & Pœnos. ante Chr. 342.

Ἐν δὲ ταῖς Συρακούσαις πολλὴ ταραχὴ κατεῖχε τὴν πόλιν, Διονυσίου μὲν τὴν Νῆσον ἔχοντος, Ἱκέτα δὲ τῆς Ἀχραδινῆς καὶ Νέας πόλεως κυριεύοντος, Τιμολέοντος δὲ τὰ λοιπὰ τῆς πόλεως παρειληφότος, καὶ Καρχηδονίων τριήρεσι μὲν ἑκατὸν καὶ πεντήκοντα καταπεπλευκότων εἰς τὸν μέγαν λιμένα, πεζοῖς δὲ στρατιώταις πεντακισμυρίοις κατεστρατοπεδευκότων. διόπερ τῶν περὶ τὸν Τιμολέοντα καταπεπληγμένων τὸ πλῆθος τῶν πολεμίων, ἄλογός τις καὶ παράδοξος ἐγένετο μεταβολή. πρῶτον μὲν γὰρ Μάμερκος ὁ τῶν Καταναίων τύραννος, δύναμιν ἀξιόλογον ἔχων, προσέθετο τῷ Τιμολέοντι· ἔπειτα πολλὰ τῶν φρουρίων ὀρεγόμενα τῆς ἐλευθερίας ἀπέκλινε πρὸς αὐτόν· τὸ δὲ τελευταῖον, Κορίνθιοι δέκα ναῦς πληρώσαντες, χρήματά τε πορίσαντες, ἐξαπέστειλαν εἰς τὰς Συρακούσας. ὧν πραχθέντων, Τιμολέων μὲν ἐθάῤῥησεν, οἱ δὲ Καρχηδόνιοι φοβηθέντες ἀπέπλευσαν ἐκ τοῦ λιμένος ἀλόγως, καὶ μετὰ πάσης τῆς δυνάμεως εἰς τὴν ἰδίαν ἐπικράτειαν ἀπηλλάγησαν. μονωθέντος δὲ τοῦ Ἱκέτα, Τιμολέων περιγενόμενος τῶν πολεμίων, ἐκράτησε τῶν Συρακουσῶν. εὐθὺς δὲ καὶ τὴν Μεσσήνην μετατιθεμένην πρὸς Καρχηδονίους ἀνεκτήσατο.

Sed Timoleon, novis sociis & copiis auctus, Syracusis aliisque urbibus potitur.

cap. 70. Dionysius, abdicato imperio, privatus Corinthum migrat. ante Chr. 341.

Μετ' οὐ πολὺ δὲ Τιμολέων καταπληξάμενος Διονύσιον τὸν τύραννον, ἔπεισεν αὐτὸν, παραδοῦναι τὴν ἀκρόπολιν, καὶ τὴν ἀρχὴν ἀποθέμενον ἀπελθεῖν εἰς Πελοπόννησον ὑπόσπονδον, ἔχοντα τὰ ἴδια χρήματα. οὗτος μὲν οὖν, δι' ἀνανδρίαν καὶ ταπεινότητα ψυχῆς, τήν τε περιβόητον τυραννίδα, καὶ δεδεμένην, ὡς ἔφασαν, ἀδάμαντι, τὸν εἰρημένον τρόπον ἀπέλιπε, καὶ κατεβίωσεν ἀπορούμενος ἐν Κορίνθῳ· τὸν δ' ἴδιον βίον καὶ τὴν μεταβολὴν ἔσχε παράδειγμα τοῖς καυχωμένοις ἀφρόνως ἐπὶ ταῖς εὐτυχίαις. ὁ γὰρ ἔχων τετρακοσίας τριήρεις, μετ' ὀλίγον ἐν μικρῷ στρογγύλῳ πλοίῳ κατέπλευσεν εἰς τὴν Κόρινθον, περίβλεπτον

ἔχων

Digitized by Google

ἔχων τὴν τῆς μεταβολῆς ὑπερβολήν. Τιμολέων δὲ παραλαβὼν τὴν νῆσον καὶ Φρούρια τὰ Διονυσίῳ πρότερον ὑπακούοντα, τὰς μὲν κατὰ τῆς νήσου ἀκροπόλεις καὶ τὰ τυραννεῖα κατέσκαψε, τοῖς δὲ Φρουρίοις ἀπέδωκε τὴν ἐλευθερίαν. εὐθὺς δὲ καὶ νομογραφεῖν ἤρξατο, τιθεὶς δημοκρατικοὺς νόμους, καὶ τὰ περὶ τῶν ἰδιωτικῶν συμβολαίων δίκαια καὶ τἄλλα πάντα ἀκριβῶς διέταξε, πλείστην Φροντίδα τῆς ἰσότητος ποιούμενος. κατέστησε δὲ καὶ τὴν κατ' ἐνιαυτὸν ἐντιμοτάτην ἀρχὴν, ἣν 'ΑμΦιπολίαν Διὸς 'Ολυμπίου οἱ Συρακούσιοι καλοῦσι. καὶ ᾑρέθη πρῶτος 'ΑμΦίπολος Διὸς 'Ολυμπίου Καλλιμένης. καὶ τὸ λοιπὸν διετέλεσαν οἱ Συρακούσιοι τοὺς ἐνιαυτοὺς ἐπιγράΦοντες τούτοις τοῖς ἄρχουσι, μέχρι τῶνδε τῶν ἱστοριῶν γραΦομένων, καὶ τῆς κατὰ τὴν πολιτείαν ἀλλαγῆς. τῶν γὰρ 'Ρωμαίων μεταδόντων τοῖς Σικελιώταις τῆς πολιτείας, ἡ τῶν 'ΑμΦιπόλων ἀρχὴ ἐταπεινώθη, διαμείνασα ἔτη πλείω τῶν τριακοσίων.

Quo facto Timoleon Syracusanis statum democraticum reddit, novasque leges scribit.

'Εν τούτοις Καρχηδόνιοι μὲν μεγάλας παρασκευὰς εἰς τὸν πόλεμον πεποιημένοι, διεβίβασαν τὰς δυνάμεις εἰς τὴν Σικελίαν. εἶχον δὲ σύμπαντας, σὺν τοῖς προϋπάρχουσιν ἐν τῇ νήσῳ, πεζοὺς μὲν πλείους τῶν ἑπτακισμυρίων, ἱππεῖς δὲ καὶ ἅρματα καὶ συνωρίδας οὐκ ἐλάττους τῶν μυρίων· ναῦς δὲ μακρὰς μὲν διακοσίας, Φορτηγοὺς δὲ, τὰς τοὺς ἵππους τε καὶ βέλη καὶ σῖτον καὶ τἄλλα κομιζούσας, πλείους τῶν χιλίων. Τιμολέων δὲ, πυθόμενος τὸ μέγεθος τῆς τῶν πολεμίων δυνάμεως, οὐ κατεπλάγη τοὺς Βαρβάρους, καίπερ εἰς ὀλίγους στρατιώτας συνεσταλμένος· ἔχων δὲ πόλεμον πρὸς Ἱκέταν, διελύσατο πρὸς αὐτὸν, καὶ προσλαβόμενος τοὺς μετ' αὐτοῦ στρατιώτας, οὐ μετρίως ηὔξησε τὴν ἰδίαν δύναμιν.

cap. 77. Poeni Siciliam magno exercitu invadunt, ante Chr. 338.

Ob eam causam Timoleon cum Hiceta pacem facit.

Ἔδοξε δ' αὐτῷ, τὸν πρὸς τοὺς Φοίνικας ἀγῶνα συστήσασθαι κατὰ τὴν τῶν Καρχηδονίων ἐπικράτειαν, ὅπως τὴν μὲν τῶν συμμάχων χώραν ἀσινῆ διαΦυλάξῃ, τὴν δ' ὑπὸ τοὺς Βαρβάρους οὖσαν καταΦθείρῃ. εὐθὺς οὖν τούς τε μισθοΦόρους καὶ Συρακουσίους καὶ τοὺς ἄλλους συμμάχους ἀθροίσας, καὶ κοινὴν ἐκκλησίαν συναγαγὼν, παρώρμησε τοῖς οἰκείοις λόγοις τὰ πλήθη πρὸς τὸν τῶν ὅλων ἀγῶνα· πάντων δ' ἀποδεξαμένων τοὺς λόγους, καὶ βοώντων, ἄγειν τὴν ταχίστην ἐπὶ τοὺς Βαρβάρους, προῆγεν, ἔχων τοὺς σύμπαντας οὐ πλείους τῶν μυρίων καὶ δισχιλίων. ἤδη δ' αὐτοῦ κατὰ τὴν 'Ακρα-

cap. 78. Timoleon, exhortatus suos, bellum in hostico gerere parat.

Digitized by Google

In ipso itinere seditionem excitat Thrasius, Phocensium olim miles.

κραγαντίνην ὄντος, παραδόξως ἐνέπεσε τῇ στρατιᾷ ταραχὴ καὶ στάσις. τῶν γὰρ μισθοφόρων τις, ὄνομα Θράσιος, σεσυληκὼς τὸ ἐν Δελφοῖς ἱερὸν μετὰ τῶν Φωκέων, ἀπονοίᾳ δὲ καὶ θράσει διαφέρων, ἀκόλουθον τοῖς πρότερον τετολμημένοις πρᾶξιν ἐπετελέσατο. τῶν γὰρ ἄλλων σχεδὸν ἁπάντων τῶν μετασχόντων τῆς εἰς τὸ μαντεῖον παρανομίας, τετευχότων ὑπὸ τοῦ δαιμονίου τῆς προσηκούσης τιμωρίας, καθάπερ μικρῷ πρότερον ἀνεγράψαμεν· μόνος οὗτος διαλεληθὼς τὸ θεῖον, ἐπεχείρησε, τοὺς μισθοφόρους παρορμᾷν πρὸς ἀπόστασιν. ἔφη γὰρ, τὸν Τιμολέοντα παραφρονοῦντα, πρὸς ὁμολογουμένην ἀπώλειαν ἄγειν τοὺς στρατιώτας. ἑξαπλασίους γὰρ ὄντας τοὺς Καρχηδονίους καὶ πάσαις ταῖς παρασκευαῖς ἀνυπερβλήτους ὑπάρχοντας ἐπαγγέλλεται νικήσειν, ἐναποκυβεύων ταῖς τῶν μισθοφόρων ψυχαῖς, οὐδὲ τοὺς ὀφειλομένους μισθοὺς πολλοῦ χρόνου διὰ τὴν ἀπορίαν ἀποδεδωκώς. συνεβούλευεν οὖν, ἀνακάμπτειν εἰς τὰς Συρακούσας, καὶ τοὺς μισθοὺς ἀπαιτεῖν, ἐπὶ δὲ στρατείαν ἀπεγνωσμένην μὴ συνακολουθεῖν.

cap. 79. Sedata seditione & exclusis improbis in hostem movet Timoleon,

Τῶν δὲ μισθοφόρων τοὺς λόγους ἀσμένως δεχομένων, καὶ νεωτερίζειν ἐπιχειρούντων, μόγις, πολλὰ δεηθεὶς αὐτῶν, καὶ δωρεὰς ἐπαγγελόμενος, κατέπαυσε τὴν ταραχήν. ὅμως δὲ τῷ Θρασίῳ χιλίων συνακολουθησάντων, τὴν μὲν τούτων κόλασιν εἰς ἕτερον ἀνεβάλετο καιρὸν, γράψας δὲ πρὸς τοὺς ἐν Συρακούσαις, φίλους προσδέξασθαι αὐτοὺς φιλοφρόνως, καὶ τοὺς μισθοὺς ἀποδοῦναι, τὴν μὲν ταραχὴν πᾶσαν εἰς τέλος κατέσβεσε, τῶν δ' ἀπειθησάντων ἀφείλετο τὴν ἐκ τῆς νίκης εὐδοξίαν. αὐτὸς δὲ τοὺς ἄλλους ταῖς φιλανθρώποις ἐντεύξεσιν εἰς τὴν προϋπάρχουσαν εὔνοιαν ἀποκαταστήσας, προῆγεν ἐπὶ τοὺς πολεμίους οὐ μακρὰν στρατοπεδεύοντας. συναγαγὼν δ' εἰς ἐκκλησίαν τοὺς στρατιώτας, καὶ διὰ τῶν λόγων θάρσος παραστήσας τοῖς πλήθεσι, διῆλθε μὲν τὴν τῶν Φοινίκων ἀνανδρίαν, ὑπέμνησε δὲ τῆς Γέλωνος εὐημερίας. πάντων δὲ καθάπερ τινὶ μιᾷ φωνῇ βοώντων, ἐπιθέσθαι τοῖς Βαρβάροις, καὶ κατάρχεσθαι τῆς μάχης, κατὰ τύχην ὑποζυγίων σέλινα κομιζόντων εἰς τὰς στιβάδας, ὁ Τιμολέων ἔφη, δέχεσθαι τὸν οἰωνὸν τῆς νίκης· τὸν γὰρ Ἰσθμιακὸν στέφανον ἐκ σελίνου συνίστασθαι. οἱ δὲ στρατιῶται, παραγγείλαντος τοῦ Τιμολέον-

& forte oblato bono omine recreatus proelium committit,

λέοντος, ἐκ τῶν σελίνων πλέξαντες ϛεφάνες, καὶ ταῖς κεφαλαῖς περιθέντες, προῆγον μετὰ χαρᾶς, ὡς τῶν θεῶν προσημαινόντων αὐτοῖς τὴν νίκην· ὅπερ καὶ συνέβη γενέσθαι. περιεγένοντο γὰρ ἀνελπίϛως τῶν πολεμίων, ἐ μόνον διὰ τὰς ἰδίας ἀνδραγαθίας, ἀλλὰ καὶ διὰ τὴν τῶν θεῶν συνεργίαν. ὁ μὲν γὰρ Τιμολέων ἐκτάξας τὴν δύναμιν κατέβαινεν ἀπό τινων λόφων ἐπὶ τὸν ποταμὸν, καὶ μυρίων ἤδη διαβεβηκότων, ἐξ ἐφόδε τέτοις ἐπέῤῥαξε, τεταγμένος αὐτὸς ἐπὶ μέσης τῆς φάλαγγος. γενομένης δὲ μάχης καρτερᾶς, καὶ τῶν Ἑλλήνων ὑπερεχόντων ταῖς τε ἀρεταῖς καὶ ταῖς ἐυχειρίαις, πολὺς ἐγίνετο φόνος τῶν Βαρβάρων. ἤδη δὲ φευγόντων τῶν διαβεβηκότων, ἡ πᾶσα δύναμις τῶν Καρχηδονίων περαιωθεῖσα τὸ ῥεῖθρον, διωρθώσατο τὴν τῶν ἰδίων ἧτταν.

hostibus funestum.

Καινοποιηθείσης δὲ τῆς μάχης, καὶ τῶν Φοινίκων τῷ πλήθει περιχεομένων τὲς Ἕλληνας, ἄφνω πολὺς ἐκ τε περιέχοντος ὄμβρος κατεῤῥάγη, καὶ χαλάζης ἐυμεγέθες πλῆθος, ἀϛραπαί τε καὶ βρονταὶ μετὰ μεγάλων πνευμάτων κατέσκηπτον. καὶ τέτων ἁπάντων θυελλοφορεμένων τοῖς μὲν Ἕλλησι κατὰ νώτε, τοῖς δὲ Βαρβάροις κατὰ πρόσωπον, οἱ μὲν περὶ τὸν Τιμολέοντα τὸ σύμπτωμα ῥᾳδίως ὑπέμενον, οἱ δὲ Φοίνικες, τὸ μέγεθος τῆς περιϛάσεως φέρειν ἀδυνατέντες, ἅμα δὲ καὶ τῶν Ἑλλήνων ἐπικειμένων, πρὸς φυγὴν ὥρμησαν. πάντων δ' ἐπὶ τὸν ποταμὸν τρεπομένων, ἀναμὶξ ἱππέων τε καὶ πεζῶν, καὶ τῶν ἁρμάτων ἅμα τέτοις φερομένων, οἱ μὲν, ὑπ' ἀλλήλων συμπατέμενοι καὶ τοῖς τῶν συμμάχων ξίφεσι καὶ λόγχαις περιπειρόμενοι, τὴν συμφορὰν ἔσχον ἀβοήθητον· οἱ δ' ὑπὸ τῶν παρὰ τοῖς πολεμίοις ἱππέων ἐις τὸ τε ποταμε ῥεῖθρον ἀγεληδὸν συνελαυνόμενοι, καὶ κατὰ νώτε τὰς πληγὰς λαμβάνοντες, ἀπέθνησκον. πολλοὶ δὲ ἄνευ πολεμίας πληγῆς διεφθείροντο, σωρευομένων τῶν σωμάτων, διά τε τὸν φόβον καὶ τὸ πλῆθος, καὶ διὰ τὰς ἐν τῷ ῥείθρῳ δυσχερείας. τὸ δὲ μέγιϛον, λάβρων γεγενημένων τῶν ὄμβρων, ὁ ποταμὸς βιαιοτέρῳ τῷ ῥεύματι καταφερόμενος πολλὲς ἐβάπτιζε, καὶ μετὰ τῶν ὅπλων διανηχομένες διέφθειρε. τέλος δὲ τῶν Καρχηδονίων οἱ μὲν τὸν ἱερὸν λόχον ἀναπληρέντες, καὶ τὸν μὲν ἀριθμὸν ὄν-

cap. 80. Iterato proelio, horrida tempestas Poenis maxime infesta fuit:

quo factum, ut fœdam cladem paterentur & effuse fugerent, relicta ingenti præda.

τες δισχίλιοι καὶ πεντακόσιοι, ταῖς δ' ἀρεταῖς καὶ δόξαις, ἔτι δὲ ταῖς ἐσίαις πρωτεύοντες, ἅπαντες ἀγωνισάμενοι λαμπρῶς κατεκόπησαν. τῶν δ' ἄλλων τῶν συστρατευομένων αὐτοῖς ἀπέθανον πλείες τῶν μυρίων, αἰχμάλωτοι δὲ ἐλήφθησαν ἐκ ἐλάττες τῶν μυρίων καὶ πεντακισχιλίων. τῶν δὲ ἁρμάτων τὰ μὲν πολλὰ συνετρίβη κατὰ τὸν ἀγῶνα, διακόσια δ' ἥλω· τὰ δὲ σκευοφόρα καὶ τὰ ζεύγη καὶ τὰ πλήθη τῶν ἁμαξῶν ὑποχείρια τοῖς Ἕλλησιν ἐγένετο· τῶν δ' ὅπλων τὰ πολλὰ μὲν ὑπὸ τε ποταμε διεφθάρη. ἐπὶ δὲ τὴν τε Τιμολέοντος σκηνὴν χίλιοι μὲν θώρακες, ἀσπίδες δὲ πλείες τῶν μυρίων ἀπηνέχθησαν. τέτων δ' ὕστερον τὰ μὲν ἐν τοῖς ἐν Συρακέσαις ναοῖς ἀνετέθη, τὰ δὲ τοῖς συμμάχοις διεμερίσθη, τινὰ δ' εἰς Κόρινθον Τιμολέων ἀπέστειλε, προστάξας, εἰς τὸ τε Ποσειδῶνος ἱερὸν ἀναθεῖναι.

cap. 81. Præda militibus in præmium permissa.

Πολλῶν δὲ χρημάτων καταληφθέντων (διὰ τὸ καὶ τὲς Καρχηδονίες ἐσχηκέναι πλῆθος ἐκπωμάτων ἀργυρῶν τε καὶ χρυσῶν, ἔτι δὲ τὸν ἄλλον κόσμον ὑπερβάλλοντα, διὰ τὸ μέγεθος τῆς παρ' αὐτοῖς εὐπορίας) ἅπαντα συνεχώρησε τοῖς στρατιώταις ἔχειν, ἔπαθλα τῆς ἀνδραγαθίας. τῶν δὲ Καρχηδονίων οἱ διαφυγόντες τὸν ἐν τῇ μάχῃ κίνδυνον, μόλις εἰς τὸ Λιλύβαιον διεσώθησαν. τοσαύτη δὲ αὐτὲς κατάπληξις καὶ δέος κατεῖχεν, ὥστε μὴ τολμᾷν, εἰς τὰς ναῦς ἐμβαίνειν, μηδ' ἀποπλεῖν εἰς τὴν Λιβύην, ὡς διὰ τὴν τῶν θεῶν ἀλλοτριότητα πρὸς αὐτὲς ὑπὸ τε Λιβυκε πελάγες καταποθησομένες. οἱ δ' ἐν τῇ Καρχηδόνι πυθόμενοι τὸ μέγεθος τῆς συμφορᾶς, συνετρίβησαν ταῖς ψυχαῖς, καὶ συντόμως ὑπελάμβανον ἥξειν ἐπ' αὐτὲς τὸν Τιμολέοντα μετὰ τῆς δυνάμεως. εὐθὺς δὲ Γέσκωνα τὸν Ἄννωνος πεφυγαδευμένον κατήγαγον, καὶ στρατηγὸν ἀπέδειξαν, διὰ τὸ δοκεῖν τόλμῃ τε καὶ στρατηγίᾳ διαφέρειν. αὐτοὶ δ' ἔκριναν πολιτικοῖς μὲν σώμασι μὴ διακινδυνεύειν, μισθοφόρες δὲ ἀλλοεθνεῖς ἀθροίζειν, καὶ μάλιστα Ἕλληνας. ὑπακέσεσθαι δ' αὐτοῖς πρὸς τὴν στρατείαν πολλὲς ὑπελάμβανον, διὰ τὸ μέγεθος τῆς μισθοφορᾶς καὶ τὴν εὐπορίαν τῆς Καρχηδόνος. εἰς δὲ τὴν Σικελίαν τὲς εὐθέτες πρέσβεις ἐξέπεμψαν, προστάξαντες, ἐφ' οἷς ἂν ᾖ δυνατὸν συνθέσθαι τὴν εἰρήνην.

Poeni Lilybæum se recipiunt.

Carthaginienses, impetum in ipsam Libyam metuentes, legatos de impetranda pace mittunt.

Τιμο

Digitized by Google

Τιμολέων δὲ ἐπανελθὼν εἰς Συρακούσας, πρῶτον μὲν τοὺς ἐγκαταλιπόντας μισθοφόρους τοὺς μετὰ Θρασίου πάντας ἐκ τῆς πόλεως ἐξέβαλεν, ὡς προδότας ὄντας. οὗτοι δ' εἰς τὴν Ἰταλίαν διαβάντες, καὶ χωρίον τι παραθαλάττιον ἐν τῇ Βρεττίᾳ καταλαβόμενοι, διήρπασαν. οἱ δὲ Βρέττιοι παροξυνθέντες, εὐθὺς μετὰ δυνάμεως πολλῆς ἐστράτευσαν ἐπ' αὐτοὺς, καὶ τὸ χωρίον ἐκπολιορκήσαντες, ἅπαντας κατηκόντισαν. οἱ μὲν οὖν καταλιπόντες τὸν Τιμολέοντα μισθοφόροι, τῆς ἰδίας παρανομίας ἔπαθλον, τοιαύτης συμφορᾶς ἔτυχον. ὁ δὲ Τιμολέων Ποσούμιον τὸν Τυῤῥηνὸν, δώδεκα λῃστρίσι τοὺς πλέοντας λῃϊζόμενον, καὶ καταπλεύσαντα εἰς Συρακούσας, ὡς φίλον συλλαβὼν ἐθανάτωσεν. ὑπεδέξατο δὲ καὶ τοὺς ὑπὸ Κορινθίων ἐκπεμφθέντας οἰκήτορας φιλοφρόνως, ὄντας τὸν ἀριθμὸν πεντακισχιλίους. μετὰ δὲ ταῦτα τῶν Καρχηδονίων διαπρεσβευσαμένων, καὶ πολλὰ δεηθέντων, συνεχώρησεν αὐτοῖς τὴν εἰρήνην, ὥστε τὰς μὲν Ἑλληνίδας πόλεις ἁπάσας ἐλευθέρας εἶναι, τὸν δὲ Λύκον καλούμενον ποταμὸν ὅριον εἶναι τῆς ἑκατέρων ἐπικρατείας· μὴ ἐξεῖναι δὲ Καρχηδονίοις βοηθῆσαι τοῖς τυράννοις πολεμοῦσι πρὸς Συρακουσίους. μετὰ δὲ ταῦτα τὸν μὲν Ἱκέταν καταπολεμήσας ἔθαψε, τοὺς δὲ ἐν Αἴτνῃ Καμπανοὺς ἐκπολιορκήσας διέφθειρε· καὶ Νικόδημον μὲν τὸν Κεντοριπίνων τύραννον καταπληξάμενος ἐξέβαλεν ἐκ τῆς πόλεως· Ἀπολλωνιάδην δὲ τὸν Ἀγυριναίων δυνάστην παύσας τῆς τυραννίδος, τοὺς ἐλευθερωθέντας, Συρακουσίους ἐποίησε. καθόλου δὲ πάντας τοὺς κατὰ τὴν νῆσον τυράννους ῥιζολογήσας, καὶ τὰς πόλεις ἐλευθερώσας, εἰς τὴν συμμαχίαν προσεδέξατο. κηρύξαντος δ' αὐτοῦ κατὰ τὴν Ἑλλάδα, διότι οἱ Συρακούσιοι διδόασι χώραν καὶ οἰκίας τοῖς βουλομένοις μετέχειν τῆς ἐν Συρακούσαις πολιτείας, πολλοὶ πρὸς τὴν κληρουχίαν Ἕλληνες ἀπήντησαν· τέλος δὲ οἰκήτορες ἀπεδείχθησαν εἰς μὲν τὴν Συρακουσίαν τὴν ἀδιαίρετον τετρακισμύριοι, εἰς δὲ τὴν Ἀγυριναίαν μύριοι, διὰ τὸ μέγεθος καὶ κάλλος τῆς χώρας. εὐθὺς δὲ καὶ τοὺς προϋπάρχοντας νόμους ἐν ταῖς Συρακούσαις, οὓς συνέγραψε Διοκλῆς, διώρθωσε· καὶ τοὺς μὲν περὶ τῶν ἰδιωτῶν συμβολαίων ἢ κληρονομιῶν εἴασεν ἀμεταθέτους, τοὺς δὲ περὶ τῶν δημοσίων νενομοθετημένους, πρὸς τὴν ἰδίαν ὑπό-

cap. 82. Timoleon, Syracusas repetens, Thrasium & seditiosos socios urbe expellit: ante Chr. 337.

Postumium piratam exstinguit.

Novi coloni a Corinthiis missi.

Pax cum Poenis, pacisque conditiones.

Hicetam captum Timoleon morte afficit.

Ubique residuos tyrannos exstirpat,

novos colonos e Graecia advocat,

novasque leges scribit, adhibito Cephalo Corinthio.

Digitized by Google

ὑπόστασιν, ὥς ποτ' ἐδόκει συμφέρειν, διώρθωσεν. ἐπιστάτης δ' ἦν καὶ διορθωτὴς τῆς νομοθεσίας Κέφαλος ὁ Κορίνθιος, ἀνὴρ ἐν παιδείᾳ καὶ συνέσει δεδοξασμένος. ἀπὸ δὲ τούτων γενόμενος, τοὺς μὲν Λεοντίνους εἰς Συρακούσας μετῴκισεν, εἰς δὲ τὴν Καμαριναίαν οἰκήτορας προσθεὶς, ἐπηύξησε τὴν πόλιν.

cap. 83. Sicilia exinde florentissima, artisque operibus ornatissima.

Καθόλου δὲ πάντα τὰ κατὰ τὴν Σικελίαν εἰρηνικῶς καταστήσας, ἐποίησε τὰς πόλεις ταχὺ λαβεῖν πολλὴν αὔξησιν πρὸς εὐδαιμονίαν. ἐκ πολλοῦ γὰρ χρόνου, διὰ τὰς στάσεις καὶ τοὺς ἐμφυλίους πολέμους, ἔτι δὲ τὸ πλῆθος τῶν ἐπανισταμένων ἀεὶ τυράννων, αἱ μὲν πόλεις ἔρημοι τῶν οἰκητόρων ἦσαν, αἱ δὲ χῶραι διὰ τὴν ἀργίαν ἐξηγρίωντο, καὶ καρπῶν ἡμέρων ἄποροι καθειστήκεισαν. τότε δὲ, διὰ τὸ πλῆθος τῶν ἐπιπολασάντων οἰκητόρων, καὶ διὰ τὴν πολυχρόνιον ἐπιγεγενημένην εἰρήνην, ἐξημερωθεῖσαι ταῖς ἐργασίαις πολλοὺς καὶ παντοδαποὺς ἐξήνεγκαν καρπούς. τούτους δ' οἱ Σικελιῶται λυσιτελῶς πιπράσκοντες τοῖς ἐμπόροις, ταχὺ προσανέδραμον ταῖς οὐσίαις. τοιγαροῦν διὰ τὴν ἐκ τούτων εὐπορίαν πολλὰ καὶ μεγάλα κατεσκευάσθη κατ' ἐκείνους τοὺς χρόνους ἀναθήματα, ἐν μὲν ταῖς Συρακούσαις ὁ κατὰ τὴν Νῆσον οἶκος ὁ ἑξηκοντάκλινος ὀνομαζόμενος, τῶν κατὰ τὴν Σικελίαν ἔργων ὑπεραίρων τῷ μεγέθει καὶ τῇ κατασκευῇ, ὃν κατεσκεύασε μὲν Ἀγαθοκλῆς ὁ δυνάστης, διὰ δὲ τὸ βάρος τῶν ἔργων ὑπεραίρων τοὺς τῶν θεῶν ναοὺς, ἐπισημασίας ἔτυχεν ὑπὸ τοῦ δαιμονίου κεραυνωθείς· οἵ τε παρὰ τὸν μικρὸν λιμένα πύργοι, τὰς μὲν ἐπιγραφὰς ἔχοντες ἐξ ἑτερογενῶν λίθων, σημαίνοντες δὲ τὴν τοῦ κατασκευάσαντος αὐτοὺς προσηγορίαν Ἀγαθοκλέους. ὁμοίως δὲ τούτοις μικρὸν ὕστερον ὑπὸ Ἱέρωνος τοῦ βασιλέως τό τε κατὰ τὴν ἀγορὰν Ὀλύμπιον, καὶ ὁ πλησίον τοῦ θεάτρου βωμὸς, τὸ μὲν μῆκος ὢν σταδίου, τὸ δ' ὕψος καὶ πλάτος ἔχων τούτῳ κατὰ λόγον. ἐν δὲ ταῖς ἐλάττοσι πόλεσιν, ἐν αἷς ἡ τῶν Ἀγυριναίων καταριθμεῖται, μετασχοῦσα τῆς τότε κληρουχίας διὰ τὴν προειρημένην ἐκ τῶν καρπῶν εὐπορίαν, θέατρον μὲν κατεσκεύασε μετὰ τὸ τῶν Συρακουσίων κάλλιστον τῶν κατὰ Σικελίαν, θεῶν τε ναοὺς καὶ βουλευτήριον καὶ ἀγορὰν, ἔτι δὲ πύργων ἀξιολόγων κατασκευὰς, καὶ τάφους πυραμίδων πολλῶν καὶ μεγάλων, διαφόρων ταῖς φιλοτεχνίαις.

Μετ'

Digitized by Google

Μετ' ὀ πολὺ δὲ, Τιμολέων ὁ Κορίνθιος, ἅπαντα τοῖς Συρακουσίοις καὶ τοῖς Σικελιώταις κατωρθωκὼς, ἐτελεύτησε, στρατηγήσας ἔτη ὀκτώ. οἱ δὲ Συρακούσιοι μεγάλως ἀποδεδεγμένοι τὸν ἄνδρα, διά τε τὴν ἀρετὴν καὶ τὸ μέγεθος τῶν εὐεργεσιῶν, μεγαλοπρεπῶς ἔθαψαν αὐτὸν, καὶ κατὰ τὴν ἐκφορὰν ἀθροισθέντος τοῦ πλήθους, τόδε τὸ ψήφισμα ἀνηγόρευσεν ὁ δῆμος τῶν Συρακουσίων, Τιμολέοντα τιμᾶν ἐτήσιον, τοῦτον δὲ θάπτειν ἀπὸ διακοσίων μνῶν, τιμᾶσθαι δὲ εἰς τὸν ἅπαντα χρόνον ἀγῶσι μουσικοῖς καὶ ἱππικοῖς καὶ γυμνικοῖς, ὅτι τοὺς βαρβάρους καταπολεμήσας, καὶ τὰς μεγίστας τῶν Ἑλληνίδων πόλεων οἰκίσας, αἴτιος ἐγενήθη τῆς ἐλευθερίας τοῖς Σικελιώταις.

cap. 90. Timoleon moritur. ante Chr. 335.

Μετὰ δὲ ταῦτα Ἀγαθοκλῆς ὁ Συρακούσιος τύραννος ἐγένετο τῆς πόλεως. ἕνεκα δὲ τοῦ σαφεστέρας τὰς κατὰ μέρος πράξεις γενέσθαι, βραχέα προσαναληψόμεθα περὶ τοῦ προειρημένου δυνάστου. Καρκῖνος ὁ Ῥηγῖνος, φυγὰς γενόμενος ἐκ τῆς πατρίδος, κατῴκησεν ἐν Θέρμοις τῆς Σικελίας, τεταγμένης τῆς πόλεως ταύτης ὑπὸ Καρχηδονίους. ἐμπλακεὶς δὲ τῶν ἐγχωρίων τινὶ γυναικὶ, καὶ ποιήσας αὐτὴν ἔγκυον, συνεχῶς κατὰ τοὺς ὕπνους ἐταράττετο. διόπερ ἀγωνιῶν ὑπὲρ τῆς παιδοποιΐας, ἔδωκεν ἐντολὰς Καρχηδονίοις τισὶ θεωροῖς ἀναγομένοις εἰς Δελφοὺς, ἐπερωτῆσαι τὸν θεὸν περὶ τοῦ γεννησομένου βρέφους. ὧν ἐπιμελῶς τὸ παρακληθὲν πραξάντων, ἐξέπεσε χρησμὸς, ὅτι μεγάλων ἀτυχημάτων ὁ γεννηθεὶς αἴτιος ἔσται Καρχηδονίοις καὶ πάσῃ Σικελίᾳ· ἃ δὴ πυθόμενος καὶ φοβηθεὶς, ἐξέθηκε τὸ παιδίον δημοσίᾳ, καὶ τοὺς τηρήσοντας, ἵνα τελευτήσῃ, παρακατέστησε. διελθουσῶν δέ τινων ἡμερῶν, τὸ μὲν οὐκ ἀπέθνησκεν· οἱ τεταγμένοι δ' ἐπὶ τῆς φυλακῆς ὠλιγώρουν. καθ' ὃν δὴ χρόνον ἡ μήτηρ νυκτὸς παρελθοῦσα, λάθρα τὸ παιδίον ἀνείλετο, καὶ πρὸς αὑτὴν μὲν οὐκ ἀπήνεγκε, φοβουμένη τὸν ἄνδρα, πρὸς δὲ τὸν ἀδελφὸν Ἡρακλείδην καταθεμένη, προσηγόρευσεν Ἀγαθοκλέα, τὴν ὁμωνυμίαν εἰς τὸν ἑαυτῆς ἀνενέγκασα πατέρα. παρ' ᾧ τρεφόμενος ὁ παῖς, ἐξέβη τήν τε ὄψιν εὐπρεπὴς, καὶ τὸ σῶμα εὔρωστος πολὺ μᾶλλον ἢ κατὰ τὴν ἡλικίαν. ἑπταέτους δ' ὄντος αὐτοῦ, παρακληθεὶς ὁ Καρκῖνος ὑφ' Ἡρακλείδου πρός τινα θυσίαν, καὶ θεασάμενος τὸν Ἀγαθοκλέα παίζοντα μετά τινων

Ibidem. Lib. XIX. c. 2. Agathoclis natales portentosi. ante Chr. 315.

Thermis in Sicilia natus a patre Carcino ob somnium exponitur,

patreque inscio, a matre in domo fratris Heraclidis servatur.

Septennem recipit pater,

νων ἡλικιωτῶν, ἐθαύμαζε τό τε κάλλος καὶ τὴν ῥώμην. τῆς δὲ γυναικὸς εἰπέσης, ὅτι τηλικῦτος ἂν ἦν ὁ ἐκτεθεὶς, εἴπερ ἐτράφη, μεταμέλεσθαί τε ἔφη τοῖς πραχθεῖσι, καὶ συνεχῶς ἐδάκρυεν. εἶθ' ἡ μὲν γνῦσα τὴν ὁρμὴν τἀνδρὸς συμφωνῦσαν τοῖς πεπραγμένοις, ἐξέθηκε πᾶσαν τὴν ἀλήθειαν. ὁ δ' ἀσμένως προσδεξάμενος τὸς λόγος, τὸν μὲν υἱὸν ἀπέλαβε, τὸς δὲ Καρχηδονίες φοβέμενος, μετῴκησεν εἰς Συρακύσας πανοίκιος· πένης δ' ὢν, ἐδίδαξε τὸν Ἀγαθοκλέα τὴν κεραμευτικὴν τέχνην, ἔτι παῖδα τὴν ἡλικίαν ὄντα. καθ' ὃν δὴ χρόνον Τιμολέων μὲν ὁ Κορίνθιος νικήσας τὴν ἐπὶ τῷ Κριμισσῷ μάχην τὸς Καρχηδονίες, μετέδωκε τῆς ἐν Συρακύσαις πολιτείας πᾶσι τοῖς βυλομένοις. ὁ δὲ Καρκῖνος μετ' Ἀγαθοκλέυς πολιτογραφηθεὶς, καὶ μετὰ ταῦτα ὀλίγον βιώσας χρόνον, ἐτελεύτησεν. ἡ δὲ μήτηρ ἀνέθηκε λιθίνην εἰκόνα τῦ παιδὸς ἔν τινι τεμένει, πρὸς ἣν μελισσῶν ἑσμὸς προσκαθίσας ἐκηροπλάστησεν ἐπὶ τῶν ἰσχίων. τῦ δὲ σημείυ προσενεχθέντος τοῖς περὶ ταῦτ' ἀσχολυμένοις, ἀπεφήναντο πάντες, κατὰ τὴν ἀκμὴν ἥξειν αὐτὸν εἰς μεγάλην ἐπιφάνειαν. ὅπερ καὶ συνετελέσθη.

& Syracusis figulinam docet.

Portentum novum eum insignem facit.

cap. 3. Damas, nobilis Syracusanus, primus Agathoclem fovet, & ad dignitatem militarem evehit.

Δάμας γάρ τις τῶν ἐνδόξων ἀριθμέμενος ἐν Συρακύσαις ἐρωτικῶς διετέθη πρὸς τὸν Ἀγαθοκλέα, καὶ τὸ μὲν πρῶτον δαψιλῶς ἅπαντα χορηγῶν, αἴτιος ἐγένετο σύμμετρον αὐτὸν ὐσίαν συλλέξασθαι· μετὰ δὲ ταῦτα αἱρεθεὶς ἐπ' Ἀκράγαντα στρατηγὸς, ἐπειδὴ τῶν χιλιάρχων τις ἀπέθανε, τῦτον εἰς τὸν ἐκείνυ τόπον κατέστησεν. ὁ δὲ καὶ πρὸ τῆς στρατείας μὲν ἦν πολὺ σεμνὸς, διὰ τὸ μέγεθος τῶν ὅπλων· (ἐπετήδευσε γὰρ ἐν ταῖς ἐξοπλισίαις φέρειν πανοπλίαν τηλικαύτην τὸ μέγεθος, ὥστε μηδένα τῶν ἄλλων δύνασθαι ῥᾳδίως χρῆσθαι τῷ βάρει τῶν ὅπλων) πολὺ δ' ἔτι μᾶλλον γενόμενος χιλίαρχος περιεποιήσατο δόξαν, φιλοκίνδυνος μὲν ὢν καὶ παράβολος ἐν ταῖς μάχαις, ἰταμὸς δὲ καὶ πρόχειρος ἐν ταῖς δημηγορίαις. τῦ δὲ Δάμαντος νόσῳ τελευτήσαντος, καὶ τὴν ὐσίαν καταλιπόντος τῇ γυναικὶ, ταύτην ἔγημε, καὶ τῶν πλυσιωτάτων εἷς ἠριθμεῖτο. μετὰ δὲ ταῦτα Κροτωνιάταις πολιορκυμένοις ὑπὸ Βρεττίων οἱ Συρακύσιοι δύναμιν ἁδρὰν ἔπεμψαν, ἧς ἐστρατήγει μὲν μεθ' ἑτέρων Ἄντανδρος ὁ Ἀγαθοκλέυς ἀδελφός· τῶν δ' ὅλων εἶχον τὴν ἡγεμονίαν Ἡρακλείδης καὶ Σωσίστρατος, ἄνδρες

Militat deinde inter Syracusanorum auxilia, Crotoniatis contra Bruttios missa.

ἐν

ἐν ἐπιβουλαῖς καὶ φόνοις καὶ μεγάλοις ἀσεβήμασι γεγονότες τὸν πλείω τοῦ βίου· συνεστρατεύετο δ' αὐτοῖς, καὶ Ἀγαθοκλῆς, ἐγνωσμένος ὑπὸ τοῦ δήμου, καὶ τεταγμένος ἐπὶ χιλιαρχικῆς ἡγεμονίας· ὃς τὸ μὲν πρῶτον ἐν ταῖς πρὸς τοὺς βαρβάρους μάχαις γενόμενος κράτιστος, ὑπὸ τῶν περὶ Σωσίστρατον ἀφῃρέθη τὴν τῶν ἀριστείων τιμὴν διὰ τὸν φθόνον· ἐφ' οἷς περιαλγὴς γενόμενος, αὐτοὺς διεγνωκότας ἐπιθέσθαι τυραννίδι κατηγόρησεν ἐν τῷ δήμῳ. οὐ προσεχόντων δὲ τῶν Συρακουσίων ταῖς διαβολαῖς, οἱ μὲν περὶ Σωσίστρατον ἐδυνάστευσαν τῆς πατρίδος μετὰ τὴν ἐκ Κρότωνος ἐπάνοδον.

Agathocli virtutis præmia, pugnis parta, invidet Sosistratus.

Ὁ δ' Ἀγαθοκλῆς ἀλλοτρίως ἔχων τὰ πρὸς αὐτοὺς, τὸ μὲν πρῶτον κατέμενεν ἐν Ἰταλίᾳ μετὰ τῶν κοινοπραγούντων· καὶ καταλαμβάνεσθαι τὴν τῶν Κροτωνιατῶν πόλιν ἐπιχειρήσας, ἐξέπεσε, καὶ μετ' ὀλίγων εἰς Τάραντα διεσώθη. ταχθεὶς δὲ παρὰ τοῖς Ταραντίνοις ἐν τῇ τῶν μισθοφόρων τάξει, καὶ πολλαῖς καὶ παραβόλοις ἐγχειρῶν πράξεσιν, εἰς ὑποψίαν ἦλθε καινοτομεῖν. διόπερ ἀπολυθεὶς καὶ ταύτης τῆς στρατείας, συνήθροισε τοὺς κατὰ τὴν Ἰταλίαν φυγάδας, καὶ Ῥηγίνοις πολεμουμένοις ὑπὸ τῶν περὶ τὸν Ἡρακλείδην καὶ Σωσίστρατον ἐβοήθησεν. ἔπειτα τῆς ἐν Συρακούσαις δυναστείας καταλυθείσης, καὶ τῶν περὶ τὸν Σωσίστρατον φυγόντων, κατῆλθεν εἰς τὴν πατρίδα. συνεκπεσόντων δὲ τοῖς δυνάσταις πολλῶν ἐνδόξων ἀνδρῶν, ὡς ἂν τῆς ὀλιγαρχίας κεκοινωνηκότων τῆς τῶν ἑξακοσίων τῶν ἐπιφανεστάτων, ἐνέστη πόλεμος τοῖς φυγάσι πρὸς τοὺς ἀντεχομένους τῆς δημοκρατίας. συμμαχούντων δὲ τῶν Καρχηδονίων τοῖς περὶ τὸν Σωσίστρατον φυγάσιν, ἐγίνοντο κίνδυνοι συνεχεῖς, καὶ παρατάξεις ἀνδρῶν καὶ δυνάμεων· ἐν αἷς Ἀγαθοκλῆς, ποτὲ μὲν ἰδιώτης ὢν, ποτὲ δὲ ἐφ' ἡγεμονίας τεταγμένος, ὑπελήφθη δραστικὸς εἶναι καὶ φιλότεχνος ἐκ τοῦ πρὸς ἕκαστον τῶν καιρῶν ἐπινοεῖσθαί τι τῶν χρησίμων· ὧν ἓν ἔπραξε καὶ μάλα μνήμης ἄξιον. στρατοπεδευόντων γάρ ποτε τῶν Συρακουσίων πλησίον τῆς Γέλας, αὐτὸς μὲν νυκτὸς παρεισέπεσεν εἰς τὴν πόλιν μετὰ χιλίων στρατιωτῶν. οἱ δὲ περὶ τὸν Σωσίστρατον ἐπιφανέντες μετὰ μεγάλης καὶ τεταγμένης δυνάμεως, ἐτρέψαντο τοὺς παρεισπεπτωκότας, καὶ κατέβαλον εἰς τριακοσίους. τῶν δ' ἄλλων

cap. 4. Eo offensus Agathocles ad tempus patria abstinet.

Postea, Sosistrato in exsilium misso, reversus in patriam,

rebus in bello strenue gestis magnam consecutus est famam.

λων ἐπιβαλομένων μὲν φεύγειν διά τινος στενοῦ τόπου, καὶ τὴν σωτηρίαν ἀπεγνωκότων, παραδόξως αὐτοὺς Ἀγαθοκλῆς ἐκ τῶν κινδύνων ἐῤῥύσατο. αὐτὸς μὲν γὰρ λαμπρότατα πάντων ἀγωνισάμενος, ἑπτὰ τραύμασι περιέπεσε, καὶ διὰ τὸ πλῆθος τοῦ ῥυέντος αἵματος τὸ σῶμα παρελύετο. τῶν δὲ πολεμίων ἐπικειμένων, παρήγγειλε καὶ τοῖς σαλπιγκταῖς, ἐπ' ἀμφότερα τὰ μέρη τοῦ τείχους παρελθόντας, σημαίνειν τὸ πολεμικόν. ὧν ταχέως τὸ ῥηθὲν πραξάντων, οἱ προσβοηθήσαντες ἐκ τῆς Γέλας, τὸ μὲν ἀληθὲς διὰ τὸ σκότος οὐκ ἠδύναντο συνιδεῖν. ὑπολαβόντες δὲ τὴν ἄλλην δύναμιν τῶν Συρακουσίων κατ' ἀμφότερα τὰ μέρη παρεισπεπτωκέναι, τοῦ μὲν ἔτι διώκειν ἀπέστησαν· διελόμενοι δὲ τὰς τάξεις διχῆ, ταχέως ἐβοήθουν, συντρέχοντες πρὸς τὸν ἦχον τῶν σαλπιγκτῶν. ἐν τοσούτῳ δὲ τυχόντες ἀνοχῆς οἱ περὶ τὸν Ἀγαθοκλέα, μετὰ πάσης ἀσφαλείας διεσώθησαν εἰς τὸν χάρακα. ἐνταῦθα μὲν οὖν τοῦτον τὸν τρόπον καταστρατηγήσας τοὺς πολεμίους, οὐ μόνον τοὺς σὺν αὐτῷ παραδόξως ἔσωσεν, ἀλλὰ καὶ τῶν συμμάχων ἑπτακοσίους ἄνδρας.

cap. 5. Ob affectatae tyrannidis suspicionem & instans mortis periculum Agathocles aufugit.

Μετὰ δὲ ταῦτα ἐν ταῖς Συρακούσαις αἱρεθέντος Ἀκεστορίδου τοῦ Κορινθίου στρατηγοῦ, δόξας ἐπιθέσθαι τυραννίδι διὰ τὴν σύνεσιν, ἐξέφυγε τὸν κίνδυνον. ὁ μὲν γὰρ Ἀκεστορίδης εὐλαβηθεὶς τὴν στάσιν, καὶ διὰ τοῦτο οὐ βουλόμενος αὐτὸν φανερῶς ἀνελεῖν, ἐκέλευεν ἐκ τῆς πόλεως μεταστῆναι, καὶ τοὺς νυκτὸς κατὰ τὴν ὁδὸν ἀποκτενοῦντας ἐξαπέστειλεν. Ἀγαθοκλῆς δὲ καταστοχασάμενος πιθανῶς τὴν ἐπίνοιαν τοῦ στρατηγοῦ, τῶν παίδων ἐξελέξατο τὸν ἑαυτῷ μάλιστα ἐοικότα καὶ κατὰ τὸ μέγεθος τοῦ σώματος καὶ κατὰ τὴν ὄψιν· τούτῳ δὲ δοὺς τὴν ἑαυτοῦ πανοπλίαν καὶ τὸν ἵππον, ἔτι δὲ τὴν ἐσθῆτα, παρεκρούσατο τοὺς ἐπὶ τὴν ἀναίρεσιν ἀποσταλέντας. αὐτὸς δὲ ῥάκη περιβαλόμενος, ἀνοδίᾳ τὴν ὁδοιπορίαν ἐποιήσατο. ἐκεῖνοι δὲ ἀπὸ τῶν ὅπλων καὶ τῶν ἄλλων συσσήμων ὑπολαβόντες, εἶναι τὸν Ἀγαθοκλέα, καὶ τἀκριβὲς διὰ τὸ σκότος οὐ συνιδόντες, τὸν μὲν φόνον ἐπετέλεσαν, τῆς δὲ προκεχειρισμένης πράξεως διήμαρτον.

& privatus exercitum cogit:

μετὰ δὲ ταῦτα τῶν Συρακουσίων καταδεξαμένων τοὺς μετὰ Σωσιστράτου φυγάδας, καὶ πρὸς Καρχηδονίους εἰρήνην συνθεμένων, Ἀγαθοκλῆς φυγὰς ὢν ἰδίαν δύναμιν ἐν τῇ μεσογείᾳ συνεστήσατο. γενόμενος δὲ φοβερὸς οὐ μόνον τοῖς

πολι-

Digitized by Google

πολίταις, ἀλλὰ καὶ τοῖς Καρχηδονίοις, ἐπείδη, κατελθεῖν ἐις τὴν πατρίδα, καὶ παραχθεὶς ἐις τὸ τῆς Δήμητρος ἱερὸν ὑπὸ τῶν πολιτῶν, ὤμοσε, μηδὲν ἐναντιωθήσεσθαι τῇ δημοκρατίᾳ. προσποιηθεὶς δὲ, τῆς δημοκρατίας προΐςασθαι, καὶ δημαγωγήσας ποικίλως τὰ πλήθη, ςρατηγὸς κατεςάθη καὶ Φύλαξ τῆς ἐιρήνης, μέχρι ἂν γνησίως ὁμονοήσωσιν ὁι συνεληλυθότες ἐις τὴν πόλιν. ἐις πολλὰ γὰρ μέρη συνέβαινε διαιρεῖσθαι τὰς ἑταιρίας τῶν συνιόντων, καὶ πρὸς ἀλλήλους ἑκάςοις ἔιναι μεγάλας διαφοράς. μέγιςον δ' ἦν ἀντίταγμα τοῖς περὶ τὸν Ἀγαθοκλέα τὸ τῶν ἑξακοσίων συνέδριον, μετὰ τὴν ὀλιγαρχίαν ὑφηγημένον τῆς πόλεως. ὁι προέχοντες γὰρ τῶν Συρακουσίων καὶ ταῖς δόξαις καὶ ταῖς ὀυσίαις ἐν τούτοις ὑπῆρχον καταλελεγμένοι.

mox invitatus in patriam redit, & imperator pacisque custos constituitur.

Ὁ δ' οὖν Ἀγαθοκλῆς ἐπιθυμητὴς ὢν δυναςείας, πολλὰς ἀφορμὰς ἔσχεν ἐις τὸ συντελέσαι τὸ βουλευθέν. ὀυ μόνον γὰρ ςρατηγὸς ὢν, κύριος τῆς δυνάμεως ἦν, ἀλλὰ καὶ προσαγγελθέντος, ὅτι τινὲς τῶν ἀποςατῶν ἐν τῇ μεσογείῳ πρὸς Ἐρβίτῃ συνάγουσι δύναμιν, ἐξουσίαν ἔλαβεν ἀνυπόπτως, καταγράφειν, ὀυς προαιροῖτο ςρατιώτας. διὸ καὶ προσποιηθεὶς ςρατεύειν ἐπὶ τὴν Ἐρβίταν, κατέλεξεν ἐις τάξεις τούς τε ἐκ Μοργαντίνης καὶ τῶν ἄλλων τῶν ἐν τῇ μεσογείῳ πόλεων, καὶ τοὺς ἀυτῷ πρότερον συμπορευθέντας πρὸς Καρχηδονίους. ὀυτοι γὰρ πάντες πρὸς Ἀγαθοκλέα μὲν ἐυνούςατα διέκειντο, πολλὰ προευεργετημένοι κατὰ τὰς ςρατείας· πρὸς δὲ τοὺς ἐν Συρακούσαις ὀλιγαρχίας κεκοινωνηκότας ἑξακοσίους ἀεὶ πολεμικῶς ἔιχον, καὶ καθόλου τὸν δῆμον ἐμίσουν, ἀναγκαζόμενοι, ποιεῖν τὸ προσταττόμενον. τούτων δ' ὄντων μὲν τὸν ἀριθμὸν ἐις τρισχιλίους, ταῖς δ' ὁρμαῖς καὶ ταῖς προαιρέσεσιν ἐυθετωτάτων πρὸς τὴν κατάλυσιν τῆς δημοκρατίας, προσεπελέξατο καὶ τῶν πολιτῶν τοὺς διὰ πενίαν καὶ φθόνον ἐναντιουμένους ταῖς τῶν ἰσχυόντων ἐπιφανείαις. ὡς δ' ἀυτῷ πάντ' ἦν ἐυτρεπῆ, τοῖς μὲν ςρατιώταις παρήγγειλεν, ἀπαντᾶν ἅμ' ἡμέρᾳ ἐις τὸ Τιμολεόντιον· ἀυτὸς δὲ μεταπεμπόμενος τοὺς περὶ Πείσαρχον καὶ Δεκλέα, τοὺς δοκοῦντας προεςάναι τῆς τῶν ἑξακοσίων ἑταιρίας, ὡς περὶ τῶν κοινῇ συμφερόντων διαλεξόμενος, ἐπειδὴ παρεγένοντο παραλαβόντες τῶν φίλων ἐις τεσσαράκοντα, προσποιηθεὶς, ἑαυτὸν ἐπι-

cap. 6. Jam vero exercitu potitus, aucta factione ususque alia multiplici opportunitate,

primo senatum DC virorum per insidias obtruncat,

ἐπιβελεύεσθαι, συνελάμβανεν ἅπαντας· καὶ κατηγόρησε μὲν αὐτῶν ἐν τοῖς ςρατιώταις, φήσας, ὑπὸ τῶν ἑξακοσίων ἁρπάζεσθαι διὰ τὴν πρὸς τὸν δῆμον εὔνοιαν· καὶ κατωδύρετο τὴν περὶ αὐτὸν τύχην. παροξυνομένε δὲ τε πλήθες, καὶ βοῶντος μηκέτι μέλλειν, ἀλλ' ἐκ χειρὸς ἐπιθεῖναι τοῖς ἀδικήσασι τὴν δίκην, τοῖς μὲν σαλπιγκταῖς παρήγγειλε σημαίνειν τὸ πολεμικὸν, τοῖς δὲ ςρατιώταις ἀναιρεῖν τὲς αἰτίες, καὶ διαρπάζειν τὰς κτήσεις τῶν ἑξακοσίων, καὶ τῶν τέτοις κοινοπραγέντων. ὁρμησάντων δὲ πάντων ἐπὶ τὴν ἁρπαγὴν, ἡ πόλις ἐπληρώθη ταραχῆς καὶ μεγάλων ἀτυχημάτων. οἱ μὲν γὰρ χαριέςατοι τῶν πολιτῶν, ἀγνοῦντες τὸν κατ' αὐτῶν κεκυρωμένον ὄλεθρον, ἐξεπήδων ἐκ τῶν οἰκιῶν εἰς τὰς ὁδὲς, μαθεῖν σπεύδοντες τὸν θόρυβον· οἱ δὲ ςρατιῶται, τὰ μὲν διὰ τὴν πλεονεξίαν, τὰ δὲ διὰ τὸν θυμὸν ἠγριωμένοι τὰς ψυχὰς, ἀνήρεν τὲς διὰ τὴν ἄγνοιαν γυμνὰ τὰ σώματα τῶν ἀμυνομένων ὅπλων παρεχομένες.

deinde bonis eorum prædæ datis vilissimum quemque sibi amicum facit,

cap. 7. tum cædibus totam urbem implet,

Διαληφθέντων δὲ τῶν ςενωπῶν κατὰ μέρος ὑπὸ τῶν ςρατιωτῶν, οἱ μὲν κατὰ τὰς ὁδὲς, οἱ δ' ἐν ταῖς οἰκίαις ἐφονεύοντο. πολλοὶ δ' ἐν καὶ τῶν μηδ' ὁτιὲν διαβεβλημένων ἀνῃρῦντο, δεόμενοι μαθεῖν τὴν αἰτίαν τῆς ἀπωλείας. καθωπλισμένον γὰρ πλῆθος, ἐξεσίαν προσλαβὸν, ἐ διέκρινε φίλον ἢ πολέμιον· ἀλλὰ παρ' ὃ πλέον ὠφεληθήσεσθαι διειλήφει, τῦτον ἐχθρὸν ἡγεῖτο. διὸ καὶ παρῆν, ὁρᾷν πᾶσαν τὴν πόλιν πεπληρωμένην ὕβρεως καὶ φόνων καὶ παντοίων ἀνομημάτων. οἱ μὲν γὰρ, διὰ τὰς προϋπαρχέσας ἔχθρας, ἐδεμιᾶς ἐπηρείας ἀπείχοντο κατὰ τῶν μισεμένων, ἔχοντες ἐξεσίαν, διατιθέναι πᾶν τὸ κεχαρισμένον τῷ θυμῷ· οἱ δὲ, ταῖς τῶν εὐπόρων σφαγαῖς οἰόμενοι τὰς ἰδίας εὐπορίας ἐπανορθώσασθαι, πᾶν ἐμηχανῶντο πρὸς τὸν κατ' αὐτῶν ὄλεθρον. οἱ μὲν γὰρ τὰς αὐλείες θύρας ἐξέκοπτον, οἱ δὲ διὰ κλιμάκων ἐπὶ τὰς ὀροφὰς προσανέβαινον, ἄλλοι δὲ διηγωνίζοντο πρὸς τὲς ἀπὸ τῶν ςεγῶν ἀμυνομένες. ἐ μὴν ἐδὲ τοῖς εἰς τὰ τεμένη καταφυγῦσιν ἡ τῶν θεῶν ἱκετεία παρείχετο τὴν ἀσφάλειαν, ἀλλ' ἡ πρὸς θεὲς εὐσέβεια ἐνικᾶτο πρὸς ἀνθρώπων. καὶ ταῦτ' ἐτόλμων ἐν εἰρήνῃ καὶ πατρίδι παρανομεῖν Ἕλληνες καθ' Ἑλλήνων, οἰκεῖοι κατὰ συγγενῶν,

νῶν, ἐ φύσιν, ἐ σπονδὰς, ἐ θεὲς ἐντρεπόμενοι, ἐφ' ὃις ἐχ ὅτι φίλος, ἀλλὰ καὶ παντελῶς ἐχθρὸς, μέτριός γε τὴν ψυχὴν, ἐκ ἔςιν ὅςις ἐκ ἂν τὴν τῶν πασχόντων τύχην ἐλεήσειεν.

Πᾶσαι μὲν γὰρ αἱ πύλαι τῆς πόλεως ἐκλείσθησαν, πλείες δὲ τῶν τετρακισχιλίων ἀνῃρέθησαν αὐθημερὸν, τῦτο μόνον ἐγκληθέντες, ὅτι χαριέςεροι τῶν ἄλλων ἦσαν. τῶν δὲ φυγόντων ὁι μὲν ἐπὶ τὰς πύλας ὁρμήσαντες συνελήφθησαν, ὁι δὲ κατὰ τῶν τειχῶν ῥίπτοντες ἑαυτὲς, ἐις τὰς ἀςυγείτονας πόλεις διεσώθησαν· τινὲς δὲ διὰ τὸν φόβον ἀπρονοήτως ἀλλόμενοι, κατεκρημνίσθησαν· τὸ δὲ πλῆθος ἦν τῶν ἐκπεσόντων ἐκ τῆς πατρίδος ὑπὲρ τὲς ἑξακισχιλίες, ὧν ὁι πλεῖςοι κατέφυγον πρὸς τὲς Ἀκραγαντίνες, κἀκεῖ τῆς καθηκέσης ἐπιμελείας ἠξιώθησαν· ὁι δὲ περὶ τὸν Ἀγαθοκλέα, διημερεύσαντες ἐν τοῖς τῶν πολιτῶν φόνοις, ἔτε τῆς ἐις γυναῖκας ὕβρεως καὶ παρανομίας ἀπέσχοντο· ἀλλὰ παρὰ τῶν ἐκπεφευγότων τὸν θάνατον ἱκανὴν ὑπελάμβανον λήψεσθαι τιμωρίαν τὴν ἐις τὲς συγγενεῖς ἐπήρειαν. δεινότερα γὰρ θανάτε τὲς μὲν ἄνδρας καὶ πατέρας ἐικὸς ἦν πείσεσθαι, γυναικῶν ὕβρεις καὶ παρθένων ἀισχύνας ἀναλογιζομένες. ἀφ' ὧν ἡμῖν περιαιρετέον ἐςὶ τὴν ἐπίθετον καὶ συνήθη τοῖς συγγραφεῦσι τραγῳδίαν, μάλιςα μὲν διὰ τὸν τῶν παθόντων ἔλεον, ἔπειτα καὶ διὰ τὸ μηθένα τῶν ἀναγινωσκόντων ἐπιζητεῖν ἀκῦσαι τὰ κατὰ μέρος, ἐν ἑτοίμῳ τῆς γνώσεως ἔσης. ὁι γὰρ μεθ' ἡμέραν ἐν ταῖς ὁδοῖς καὶ κατὰ τὴν ἀγορὰν σφάττειν τολμῶντες τὲς μηδὲν ἀδικῦντας, ἐ προσδέονται τῦ δηλώσοντος τί νύκτωρ ἔπραττον καθ' ἀυτὲς ἐν ταῖς ὀικίαις, καὶ πῶς προσεφέροντο παρθένοις ὀρφαναῖς καὶ γυναιξὶν, ἐρήμοις μὲν ἔσαις τῶν βοηθέντων, πεπτωκυίαις δ' ὑπ' ἐξεσίαν ἀυτοκράτορα τῶν ἐχθίςων. ὁ δ' Ἀγαθοκλῆς, δυεῖν ἡμερῶν διελθεσῶν, ἐπειδή ποτ' ἐπληρώθη τῦ κατὰ τῶν πολιτῶν φόνε, τὲς ζωγρηθέντας ἀθροίσας, Δεινοκράτην μὲν ἀφῆκε, διὰ τὴν προγεγενημένην φιλίαν, τῶν ἄλλων δὲ τὲς μὲν ἀλλοτριώτατα διακειμένες ἀνεῖλε, τὲς δὲ λοιπὲς ἐφυγάδευσε.

cap. 8.

Μετὰ δὲ ταῦτα συναγαγὼν ἐκκλησίαν, κατηγόρησε μὲν τῶν ἑξακοσίων καὶ τῆς ὑπ' ἀυτῶν προγεγενημένης ὀλι-

cap. 9. denique vi atque dolo civi-

Digitized by Google

tatis principatum solus obtinet.

ὀλιγαρχίας· καθαρὰν δὲ φήσας τὴν πόλιν πεποιηκέναι τῶν δυναςεύειν ἐπιχειρούντων, ἀπεφαίνετο, τῷ δήμῳ τὴν αὐτονομίαν εἰλικρινῆ παραδιδόναι, καὶ βούλεσθαί ποτε τῶν πόνων ἀπολυθεὶς ἰδιωτεύειν, ἴσος ὢν πᾶσι. καὶ ταῦτα λέγων, τὸ μὲν χλαμύδιον ἑαυτοῦ περιέσπασε, τὸ δ' ἱμάτιον μεταλαβὼν ἀπῄει, τῶν πολλῶν ἑαυτὸν ἀποδείξας ἕνα. ταῦτα δ' ἔπραττε, τὸν δημοτικὸν ὑποκρινόμενος, καὶ σαφῶς εἰδὼς τοὺς πλείους τῶν ἐκκλησιαζόντων μετεσχηκότας τῶν ἀσεβημάτων, καὶ διὰ τοῦτο μηδέ ποτ' ἂν βουληθέντας, ἄλλῳ τὴν ςρατηγίαν ἐγχειρίσαι. εὐθὺς γοῦν οἱ διαπεφορηκότες τὰ τῶν ἠτυχηκότων ἐβόων, μὴ καταλιπεῖν ἑαυτοὺς, ἀλλὰ προσδέξασθαι τὴν τῶν ὅλων ἐπιμέλειαν. ὁ δὲ τὸ μὲν πρῶτον ἡσυχίαν εἶχεν, εἶτα τοῦ πλήθους βιαιότερον ἐγκειμένου, προσδέξασθαι μὲν ἔφησε τὴν ςρατηγίαν, μὴ μέντοιγε μετ' ἄλλων ἄρξειν. οὐ γὰρ ὑπομένειν, ὧν ἂν ἕτεροι παρανομήσωσι, τούτων αὐτὸν συνάρχοντα λόγον ἀποδιδόναι κατὰ τοὺς νόμους. συγχωρήσαντος δὲ τοῦ πλήθους, μοναρχεῖν, οὗτος μὲν ἐχειροτονήθη ςρατηγὸς αὐτοκράτωρ, καὶ τὸ λοιπὸν φανερῶς ἐδυνάςευε, καὶ τῆς πόλεως ἐπιμέλειαν ἐποιεῖτο. τῶν δ' ἀκεραίων Συρακουσίων οἱ μὲν διὰ τὸν φόβον ἠναγκάζοντο καρτερεῖν, οἱ δὲ, ὑπὸ τοῦ πλήθους κατισχυόμενοι, τὴν ἔχθραν εἰς κενὸν οὐκ ἐτόλμων ἐνδείκνυσθαι· πολλοὶ δὲ καὶ τῶν ἀπόρων καὶ καταχρέων ἄσμενοι τὴν μεταβολὴν προσεδέξαντο. ἐπηγγέλλετο γὰρ Ἀγαθοκλῆς κατὰ τὴν ἐκκλησίαν, καὶ χρεῶν ἀποκοπὰς ποιήσασθαι, καὶ τοῖς πένησι χώραν δωρήσασθαι. ἀπὸ δὲ τούτων γενόμενος, τοῦ μὲν ἔτι φονεύειν ἢ κολάζειν τινὰς ἀπέςη· μεταβαλόμενος δ' εἰς τοὐναντίον, εὐγνωμόνως τοῖς πλήθεσι προσεφέρετο. καὶ πολλοὺς μὲν εὐεργετῶν, οὐκ ὀλίγους δ' ἐπαγγελίαις μετεωρίζων, πάντας δὲ λόγοις φιλανθρώποις δημαγωγῶν, οὐ μετρίας ἀποδοχῆς ἐτύγχανεν. ἔχων δὲ τηλικαύτην δυναςείαν, οὔτε διάδημα ἀνέλαβεν, οὔτε δορυφόρους εἶχεν, οὔτε δυσεντευξίαν ἐζήλωσεν, ἅπερ εἰώθασι ποιεῖν σχεδὸν ἅπαντες οἱ τύραννοι· ἐπεμελήθη δὲ καὶ τῶν προσόδων, καὶ τῆς τῶν ὅπλων καὶ βελῶν παρασκευῆς· ἔτι δὲ πρὸς ταῖς ὑπαρχούσαις μακραῖς ναυσὶν ἑτέρας ἐναυπηγήσατο· προσεπελάβετο δὲ καὶ τῶν ἐν τῇ μεσογείῳ χωρίων καὶ πόλεων τὰς πλείςας,

καὶ

Digitized by Google

καὶ ἰσχυρὰν κατεσκευάσατο τὴν δυναςείαν. καὶ γὰρ συμμάχων πλῆθος καὶ προσόδυς ἀδρὰς, καὶ ςρατόπεδον ἀξιόλογον περιεποιήσατο. χωρὶς γὰρ τῶν συμμάχων καὶ τῶν ἄλλων τῶν ἐκ Συρακυσῶν καταγραφέντων εἰς τὴν ςρατείαν, μισθοφόρυς ἐπιλέκτυς εἶχε, πεζὺς μὲν μυρίυς, ἱππεῖς δὲ τρισχιλίυς πεντήκοντα. ἐποιήσατο δὲ καὶ παρασκευὴν ὅπλων καὶ βελῶν παντοδαπῶν, εἰδὼς τὺς Καρχηδονίυς ἐπιτετιμηκότας τῷ Ἀμίλκᾳ περὶ τῶν συνθηκῶν, συντόμως δὲ πρὸς αὐτὸν τὸν πόλεμον ἐξοίσοντας.

cap. 72. Præsertim Carthaginiensibus minus fidens. ante Chr. 312.

Ἀεὶ δὲ μᾶλλον αὐξομένυ Ἀγαθοκλέυς, καὶ δυνάμεις ἁδροτέρας ἀθροίζοντος, Καρχηδόνιοι πυνθανόμενοι τὸν δυνάςην συσκευαζόμενον τὰς ἐν τῇ νήσῳ πόλεις, ταῖς δὲ δυνάμεσιν ὑπερέχοντα τῶν σφετέρων ςρατηγῶν, ἔδοξαν, ἐνεργέςερον ἅψασθαι τῦ πολέμυ. εὐθὺς ὖν τριήρεις μὲν κατήρτυσαν τριάκοντα πρὸς ταῖς ἑκατὸν, ςρατηγὸν δὲ προχειρισάμενοι τῶν παρ᾽ αὐτοῖς ἐπιφανεςάτων Ἀμίλκαν, ἔδωκαν αὐτῷ τῶν μὲν πολιτικῶν ςρατιωτῶν δισχιλίυς, ἐν οἷς ἦσαν πολλοὶ καὶ τῶν ἐπιφανῶν· τῶν δ᾽ ἀπὸ τῆς Λιβύης μυρίυς· ἐκ δὲ τῆς Τυῤῥηνίας μισθοφόρυς χιλίυς, καὶ ζευγίππας διακοσίυς· ἔτι δὲ Βαλιάρας σφενδονήτας χιλίυς· ὁμοίως δὲ χρημάτων πλῆθος, καὶ βελῶν, καὶ σίτυ, καὶ τῶν ἄλλων τῶν εἰς πόλεμον χρησίμων τὴν καθήκυσαν παρασκευήν. ἀναχθέντος δὲ ἐκ τῆς Καρχηδόνος τῦ ςόλυ παντὸς, καὶ γενομένυ πελαγίυ, χειμὼν ἐξαίφνης ἐπιπεσὼν ἑξήκοντα μὲν τριήρεις ἠφάνισε, διακόσια δὲ τῶν σιτηγῶν πλοίων διέφθειρεν· ὁ δὲ λοιπὸς ςόλος μεγάλοις περιπεσὼν χειμῶσι, μόλις διεσώθη πρὸς τὴν Σικελίαν. ἀπώλοντο δὲ καὶ τῶν ἐπιφανῶν Καρχηδονίων ὐκ ὀλίγοι, δι᾽ ὓς συνέβη τὴν πόλιν δημόσιον ἄρασθαι πένθος. εἰώθασι γὰρ, ἐπειδὰν μείζων τις ἀτυχία γένηται περὶ τὴν πόλιν, μέλασι ῥακίοις κατακαλύπτειν τὰ τείχη. Ἀμίλκας δ᾽ ὁ ςρατηγὸς, ἀναλαβὼν τὺς διασωθέντας ἐκ τῦ χειμῶνος, μισθοφόρυς συνῆγε, καὶ τῶν κατὰ Σικελίαν συμμάχων ἐςρατολόγει τὺς εὐθέτυς. παρέλαβε δὲ καὶ τὰς προϋπαρχύσας δυνάμεις, καὶ πάντων τῶν εἰς τὸν πόλεμον εὐθέτων ἐπιμέλειαν ποιησάμενος, ἐν ὑπαίθρῳ συνεῖχε τὰ ςρατόπεδα, πεζὺς μὲν ἔχων περὶ τὺς τετρακιςμυρίυς, ἱππεῖς δὲ σχεδὸν πεντακισχιλίυς. ταχὺ δὲ τὴν γεγε-

cap. 106. Cum Agathoclis opes in dies crescerent, ante Chr. 309. Poeni, misso Amilcare cum classe, eas cohibere parant.

Classis naufragio attrita.

Sed reparat vires Amilcar.

Digitized by Google

γεγενημένην ἀτυχίαν διορθωσάμενος, καὶ δόξας ἀγαθὸς εἶναι, τῶν μὲν συμμάχων τὰς ψυχὰς προκαταπεπληγμένας ἀνεκτήσατο, τοῖς δὲ πολεμίοις ἐ τὴν τυχἔσαν ἀγωνίαν ἐπέστησεν.

cap. 107. Agathocles, hostem copiis prævalentem metuens, Geloorum urbem per insidias occupat & domat.

Ἀγαθοκλῆς δὲ, τὰς τῶν Καρχηδονίων δυνάμεις ὁρῶν ὑπερεχέσας τῶν ἑαυτἔ, διέλαβε, τῶν τε Φρερίων ἐκ ὀλίγα μεταθήσεσθαι πρὸς τὲς Φοίνικας, καὶ τῶν πόλεων ὅσαι προσέκοπτον αὐτῷ. μάλιστα δ' εὐλαβεῖτο περὶ τῆς τῶν Γελώων, πυνθανόμενος, ἐν τῇ τέτων χώρᾳ πάσας εἶναι τὰς τῶν πολεμίων δυνάμεις. ἐγένετο δ' αὐτῷ περὶ τἔτον τὸν χρόνον καὶ περὶ τὸν στόλον ἐ μικρὸν ἐλάσσωμα. τῶν γὰρ νεῶν εἴκοσιν ἐπὶ τὸν πορθμὸν ὑποχείριοι τοῖς Καρχηδονίοις κατέστησαν σὺν αὐτοῖς ἀνδράσιν. ἐ μὴν ἀλλὰ κρίνας τὴν τῶν Γελώων πόλιν ἀσφαλίσασθαι Φρερᾷ, Φανερῶς ἐκ ἐτόλμα δύναμιν εἰσαγαγεῖν, ἵνα μὴ Φθάσαι συμβῇ τὲς Γελώες προφάσεως δεομένες, καὶ τὴν πόλιν ἀποβάλῃ μεγάλας ἀΦορμὰς αὐτῷ παρεχομένην. ἀπέστειλεν ἔν κατ' ὀλίγες τῶν στρατιωτῶν, ὡς ἐπί τινας χρείας, ἕως ὅτε συνέβη τῷ πλήθει πολὺ προτερῆσαι τῶν πολιτικῶν. μετ' ὀλίγον δὲ καὶ αὐτὸς παραγενόμενος, προδοσίαν ἐνεκάλεσε καὶ μετάθεσιν τοῖς Γελώοις, εἴτε καὶ κατ' ἀλήθειαν αὐτῶν διανοηθέντων τι πρᾶξαι τοιἔτον, εἴτε καὶ ψευδέσι διαβολαῖς Φυγάδων πεισθεὶς, ἢ καὶ νὴ Δία χρημάτων βελόμενος εὐπορῆσαι· ἀπέσφαξε τῶν Γελώων πλείες τῶν τετρακισχιλίων, καὶ τὰς ἐσίας αὐτῶν ἀνέλαβε. προσέταξε δὲ καὶ τοῖς ἄλλοις Γελώοις πᾶσι, τάτε νομίσματα καὶ τὸν ἄσημον ἄργυρόν τε καὶ χρυσὸν ἀνενεγκεῖν, διαπειλησάμενος, τιμωρήσασθαι τὲς ἀπειθήσαντας. ταχὺ δὲ πάντων πραξάντων τὸ προσταχθὲν διὰ τὸν Φόβον, χρημάτων τε πλῆθος ἤθροισε, καὶ πᾶσι τοῖς ταττομένοις ὑφ' ἑαυτὸν δεινὴν ἐπεποίησε κατάπληξιν. δόξας δ' ὠμότερον κεχρῆσθαι τἔ καθήκοντος τοῖς Γελώοις, τὲς μὲν ἀποσφαγέντας εἰς τὰς ἐκτὸς τῶν τειχῶν τάΦρες συνέχωσεν· ἐν δὲ τῇ πόλει τὴν ἱκανὴν Φρερὰν ἀπολιπὼν, ἀντεστρατοπέδευσε τοῖς πολεμίοις.

cap. 108. Poenorum castra in colle Ecnomo pro-

Κατεῖχον δὲ Καρχηδόνιοι μὲν τὸν Ἔκνομον λόφον, ὅν φασι Φρέριον γεγενῆσθαι Φαλάριδος· ἐν τέτῳ δὲ λέγεται κατεσκευακέναι τὸν τύραννον ταῦρον χαλκἔν, τὸν διαβεβοη-

Digitized by Google

βεβοημένον πρὸς τὰς τῶν βεβασανισμένων τιμωρίας, ὑποκαομένε τε κατασκευάσματος· διὸ καὶ τὸν τόπον Ἔκνομον ἀπὸ τῆς εἰς τὲς ἀτυχἔντας ἀσεβείας προσηγορεῦθαι. ἐκ δὲ θατέρε μέρες Ἀγαθοκλῆς ἕτερον τῶν Φαλάριδος γεγενημένων Φρερίων κατεῖχε, τὸ προσαγορευθὲν ἀπ' ἐκείνε Φαλάριον. καὶ διὰ μέσων μὲν τῶν παρεμβολῶν ἦν ποταμὸς, ὃν ἀμφότεροι πρόβλημα τῶν πολεμίων ἐπεποίηντο. Φῆμαι δὲ κατεῖχον ἐπὶ τῶν προτέρων χρόνων, ὅτι δεῖ περὶ τὸν τόπον τἕτον πλῆθος ἀνθρώπων ἐν μάχῃ διαφθαρῆναι. ἐκ ὄντος δὲ φανερἕ, παρ' ὁποτέροις γενήσεται τὸ ἀτύχημα, συνέβαινε, δεισιδαιμονεῖν τὰ στρατόπεδα, καὶ πρὸς μάχην ὀκνηρῶς ἔχειν. διόπερ ἐπὶ πολὺν χρόνον ἐδέτεροι τὸν ποταμὸν ἐτόλμων διαβαίνειν ἀθρόοις στρατιώταις, ἕως ὅτε παράλογός τις αἰτία προεκαλέσατο αὐτὲς εἰς τὸν ὁλοσχερῆ κίνδυνον. τῶν γὰρ Λιβύων κατατρεχόντων τὴν πολεμίαν, Ἀγαθοκλῆς παρωξύνθη, τὸ παραπλήσιον ποιῆσαι. ἀγόντων δὲ λείαν τῶν Ἑλλήνων, καί τινα τῶν ἀπὸ τῆς παρεμβολῆς ὑποζυγίων ἀπαγαγόντων, ἐπεξῆλθον ἐκ τε τῶν Καρχηδονίων χάρακος οἱ τέτες διώξοντες. ὁ δ' Ἀγαθοκλῆς προϊδόμενος τὸ μέλλον ἔσεθαι, παρὰ τὸν ποταμὸν ἔθηκεν ἐνέδραν ἀνδρῶν ἐπιλέκτων ταῖς ἀρεταῖς. ἕτοι δὲ, τῶν Καρχηδονίων τὲς τὴν λείαν ἄγοντας ἐπιδιωκόντων, καὶ διαβάντων τὸν ποταμὸν, ἐξανέστησαν ἐκ τῆς ἐνέδρας ἄφνω, καὶ προσπεσόντες ἀτάκτοις, ῥαδίως ἐτρέψαντο. φονευομένων δὲ τῶν Βαρβάρων, καὶ πρὸς τὴν ἰδίαν παρεμβολὴν φευγόντων, Ἀγαθοκλῆς νομίσας ἥκειν τὸν καιρὸν τε διαγωνίσαθαι, πᾶσαν ἤγαγε τὴν δύναμιν ἐπὶ τὴν τῶν πολεμίων στρατοπεδείαν. προσπεσὼν δ' ἐν αὐτοῖς ἀπροσδοκήτως, καὶ ταχὺ μέρος τῆς τάφρε χώσας, ἀνέσπασε τὸν χάρακα, καὶ βιαζόμενος εἰς τὴν παρεμβολὴν παρεισέπεσεν. οἱ δὲ Καρχηδόνιοι διά τε τὸ παράδοξον καταπεπληγμένοι, καὶ πρὸς ἔκταξιν ἐ δυνάμενοι λαβεῖν ἀναστροφὴν, ὡς ἔτυχε τοῖς πολεμίοις ἀπήντων, καὶ ἠγωνίζοντο. περὶ δὲ τὴν τάφρον ἀμφοτέρων ἐῤῥωμένως κινδυνευόντων, ταχὺ πᾶς ὁ πλησίον τόπος νεκρῶν κατεστρώθη. οἵ τε γὰρ τῶν Καρχηδονίων ἐπιφανέστατοι, τὴν παρεμβολὴν ὁρῶντες ἁλισκομένην, ἐβοήθεν· οἵ τε περὶ τὸν Ἀγαθοκλέα, τῷ προτερήματι τεθαῤῥηκότες,

pe Himeram fl.
E regione stat Agathocles.

Utrosque a pugna deterret vetus vaticinium.

Sed subito conseritur proelium,

In quo primum Agathocles superior.

τες, καὶ νομίζοντες, ἐνὶ κινδύνῳ καταλύσειν πάντα τὸν πόλεμον, ἐνέκειντο τοῖς Βαρβάροις.

cap. 109. Adhibitis autem funditoribus,

Ὁ δ᾽ Ἀμίλκας, ὁρῶν κατισχυομένους τοὺς ἑαυτοῦ, καὶ τῶν Ἑλλήνων ἀεὶ πλείους παρεισπίπτοντας εἰς τὴν παρεμβολὴν, ἐπέστησε τοὺς σφενδονήτας τοὺς ἐκ τῶν Βαλιαρίδων νήσων, ὄντας οὐκ ἐλάττους τῶν χιλίων. οὗτοι δὲ συνεχεῖς καὶ μεγάλους λίθους ἀφιέντες, πολλοὺς μὲν ἐτραυμάτιζον, οὐκ ὀλίγους δὲ καὶ τῶν βιαζομένων ἀπέκτεινον· τῶν δὲ πλείστων τὰ σκεπάζοντα τῶν ὅπλων συνέτριβον. οἱ γὰρ ἄνδρες οὗτοι μναιαίους λίθους βάλλειν εἰωθότες, μεγάλα συμβάλλονται πρὸς νίκην ἐν τοῖς κινδύνοις, ἅτε ἂν ἐκ παίδων παρ᾽ αὐτοῖς τῆς ἐν ταῖς σφενδόναις γυμνασίας διαπονουμένης. τούτῳ δὲ τῷ τρόπῳ τοὺς Ἕλληνας ἐκ τῆς παρεμβολῆς ἐκβαλόντες, ἐκράτησαν. πάλιν δὲ οἱ περὶ τὸν Ἀγαθοκλέα κατ᾽ ἄλλους τόπους προσβολὰς ἐποιοῦντο.

novisque ex Africa subvenientibus copiis, pugnæ fortuna inclinat in Poenos.

καὶ δὴ τῆς παρεμβολῆς ἤδη κατὰ κράτος ἁλισκομένης, κατέπλευσε τοῖς Καρχηδονίοις δύναμις ἐκ Λιβύης ἀνέλπιστος. διὸ καὶ ταῖς ψυχαῖς πάλιν θαῤῥήσαντες, οἱ μὲν ἐκ τῆς παρεμβολῆς κατὰ στόμα ἐκινδύνευον, οἱ δὲ παρόντες ἐπὶ τὴν βοήθειαν, κύκλῳ περιΐσταντο τοὺς Ἕλληνας· ὧν τιτρωσκομένων παραδόξως, ἡ μὲν μάχη ταχὺ παλίντροπος ἐγένετο· ἔφευγον δ᾽ οἱ μὲν εἰς τὸν Ἱμέραν ποταμὸν, οἱ δ᾽ εἰς τὴν παρεμβολὴν, τεσσαράκοντα σταδίους ἐχούσης τῆς ἀποχωρήσεως, καὶ ταῦτα σχεδὸν πάσης πεδινῆς οὔσης, ἐπεδίωκον τῶν Βαρβάρων ἱππεῖς οὐκ ἐλάσσονες ὄντες πεντακισχιλίων. διὸ καὶ συνέβη τὸν μεταξὺ τόπον νεκρῶν πληρωθῆναι, πολλὰ συμβαλλομένου καὶ τοῦ ποταμοῦ πρὸς τὴν τῶν Ἑλλήνων ἀπώλειαν. ὑπὸ κύνα γὰρ οὔσης τῆς ὥρας, καὶ τοῦ διωγμοῦ περὶ μέσον ἡμέρας γινομένου, οἱ πολλοὶ τῶν φευγόντων διά τε τὸ καῦμα καὶ τὴν ἐκ τῆς φυγῆς κακοπάθειαν ἔνδιψοι γινόμενοι, λάβρως ἔπινον, καὶ ταῦθ᾽ ἁλυκοῦ τοῦ ῥεύματος ὄντος. διόπερ οὐκ ἐλάττους τῶν ἐν τῷ διωγμῷ σφαγέντων εὑρέθησαν παρὰ τὸν ποταμὸν τετελευτηκότες ἄτρωτοι. ἔπεσον δ᾽ ἐν τῇ μάχῃ ταύτῃ τῶν μὲν Βαρβάρων περὶ πεντακοσίους, τῶν δ᾽ Ἑλλήνων οὐκ ἐλάττους ἑπτακισχιλίων.

Agathocles, accepta clade, fugit.

cap. 110. Agathocles primo fuga

Ἀγαθοκλῆς δὲ τηλικαύτῃ συμφορᾷ περιπεσὼν, τοὺς ἐκ τῆς τροπῆς διασωθέντας ἀνέλαβε, καὶ τὴν παρεμβολὴν

λὴν ἐμπρήσας, εἰς Γέλαν ἀπεχώρησε. διαδόντος δ' αὐτοῦ λόγον, ὡς κατὰ σπουδὴν, εἰς Συρακούσας ἀναζευγνύειν διέγνωκε, τριακόσιοι τῶν ἐκ Λιβύης ἱππέων κατὰ τὴν χώραν περιέπεσόν τισι τῶν Ἀγαθοκλέους στρατιωτῶν. ὧν εἰπόντων, ὡς Ἀγαθοκλῆς εἰς Συρακούσας ἀποκεχώρηκεν, εἰσῆλθον εἰς Γέλαν ὡς φίλοι, καὶ διαψευσθέντες τῆς ἐλπίδος, κατηκοντίσθησαν. ὁ δ' Ἀγαθοκλῆς συνέκλεισεν αὑτὸν εἰς τὴν Γέλαν, οὐκ ἀδυνατῶν εἰς Συρακούσας διασωθῆναι, βουλόμενος δὲ περισπάσαι τοὺς Καρχηδονίους πρὸς τὴν πολιορκίαν τῆς Γέλας, ἵν' οἱ Συρακούσιοι πολλὴν ἄδειαν σχῶσι, συγκομίσαι τοὺς καρποὺς, ἀναγκάζοντος τοῦ καιροῦ. ὁ δ' Ἀμίλκας τὸ μὲν πρῶτον ἐπεχείρει πολιορκεῖν τὴν Γέλαν· πυνθανόμενος δ', ἐν ταύτῃ καὶ δύναμιν εἶναι τὴν ἀμυνομένην, καὶ πάντων εὐπορεῖν τὸν Ἀγαθοκλέα, ταύτης μὲν ἀπέστη τῆς ἐπιβολῆς, τὰ δὲ φρούρια καὶ τὰς πόλεις ἐπιπορευόμενος προσήγετο, καὶ πᾶσιν ἐχρῆτο φιλανθρώπως, ἐκκαλούμενος τοὺς Σικελιώτας πρὸς εὔνοιαν. καὶ Καμαριναῖοι μὲν καὶ Λεοντῖνοι, πρὸς δὲ τούτοις Καταναῖοι καὶ Ταυρομενῖται, παραχρῆμα πρέσβεις ἐκπέμψαντες, προσέθεντο Καρχηδονίοις. μετ' ὀλίγας δ' ἡμέρας οἵ τε Μεσσήνιοι καὶ Ἀβακαινῖνοι, καὶ συχναὶ τῶν πόλεων ἀλλήλας φθάνουσαι πρὸς Ἀμίλκαν ἀφίσαντο. τοσαύτη τοῖς ὄχλοις ἐνέπεσεν ὁρμὴ μετὰ τὴν ἧτταν, διὰ τὸ πρὸς τὸν τύραννον μῖσος. ὁ δ' Ἀγαθοκλῆς ἀπαγαγὼν τὴν ὑπολελειμμένην δύναμιν εἰς Συρακούσας, τὰ πεπονηκότα τῶν τειχῶν ἐπεσκεύαζε, καὶ τὸν ἀπὸ τῆς χώρας σῖτον ἀπεκόμιζε, διανοούμενος, τῆς μὲν πόλεως τὴν ἱκανὴν ἀπολιπεῖν φυλακὴν, τῆς δὲ δυνάμεως τὴν κρατίστην μετάγειν εἰς Λιβύην, καὶ μετατιθέναι τὸν πόλεμον εἰς τὴν ἤπειρον ἐκ τῆς νήσου.

Gelam se recipit;

Poeni vero Siculorum multos sibi conciliant.

Tum Agathocles Syracusas redit, & bellum in Africam transferre machinatur.

Αὐτὸς μὲν οὖν ὁρῶν, τοὺς συμμάχους ἅπαντας μεταβεβλημένους, καὶ τοὺς Βαρβάρους, πλὴν Συρακουσῶν, ἁπάσης σχεδὸν Σικελίας κυριεύοντας, καὶ πολὺ προέχοντας ταῖς τε πεζικαῖς καὶ ναυτικαῖς δυνάμεσιν, ἐπετελέσατο πρᾶξιν ἀνέλπιστον καὶ παραβολωτάτην. πάντων γὰρ διειληφότων, μηδ' ἂν ἐγχειρήσειν αὐτὸν, τοῖς Καρχηδονίοις ἀντιταχθῆναι, διενοήσατο, τῆς μὲν πόλεως τὴν ἱκανὴν ἀπολιπεῖν φυλακὴν, τῶν δὲ στρατιωτῶν τοὺς εὐθέτους ἐπιλέξαι,

Ibidem. Lib. XX. c. 3. ante Chr. 308.

καὶ μετὰ τέτων εἰς τὴν Λιβύην διακομιθῆναι. τῦτο γὰρ πράξας, ἤλπιζε, τὲς μὲν ἐν τῇ Καρχηδόνι τετρυφηκότας ἐν εἰρήνῃ πολυχρονίῳ, καὶ διὰ τῦτ' ἀπείρες ὄντας τῶν ἐν ταῖς μάχαις κινδύνων, ὑπὸ τῶν ἐνηθληκότων τοῖς δεινοῖς ῥᾳδίως ἡττηθήσεσθαι· τὲς δὲ κατὰ Λιβύην συμμάχες, βαρυνομένες τοῖς προστάγμασιν ἐκ πολλῶν χρόνων, λήψεσθαι καιρὸν τῆς ἀποςάσεως· τὸ δὲ μέγιςον, διαρπάσειν ἀπροσδοκήτως ἐπιφανεὶς χώραν ἀπόρθητον, καὶ διὰ τὴν τῶν Καρχηδονίων εὐδαιμονίαν πεπληρωμένην παντοίων ἀγαθῶν· τὸ δ' ὅλον, ἀπὸ τῆς πατρίδος καὶ πάσης Σικελίας περισπάσειν τὲς Βαρβάρες, καὶ πάντα τὸν πόλεμον μετάξειν εἰς τὴν Λιβύην. ὅπερ καὶ συνετελέσθη.

cap. 4. Ad expeditionem incertam milites instruit;

Τὴν γὰρ ἐπίνοιαν ταύτην ἐδενὶ τῶν φίλων δηλώσας, τῆς μὲν πόλεως ἐπιμελητὴν Ἀντανδρον τὸν ἀδελφὸν κατέςησε μετὰ τῆς ἱκανῆς φυλακῆς· αὐτὸς δὲ τῶν ςρατιωτῶν ἐπιλέγων τὲς εὐθέτες κατέγραφε, τοῖς μὲν πεζοῖς παραγγέλλων, ἑτοίμες εἶναι μετὰ τῶν ὅπλων, τοῖς δὲ ἱππεῦσι διακελευόμενος, ἔχειν μεθ' ἑαυτῶν χωρὶς τῆς πανοπλίας ὑπηρέσιον καὶ χαλινὸν, ὅπως, ὅταν ἵππων κυριεύσῃ, τὲς ἀναβησομένες ἑτοίμες ἔχειν, τὰ πρὸς τὴν χρείαν ἐξηρτυμένες. κατὰ γὰρ τὴν προγεγενημένην ἧτταν τῶν μὲν πεζῶν ἀπολώλεισαν οἱ πλεῖςς, οἱ δ' ἱππεῖς ὑπῆρχον διασεσωσμένοι σχεδὸν ἅπαντες, ὧν τὲς ἵππες ἐκ ἠδύναντο διακομίζειν εἰς τὴν Λιβύην.

conatibus rerum novarum, quæ opportuna videbantur, opponit;

ἵνα δὲ χωριθέντος αὐτῦ μὴ νεωτερίζωσιν οἱ Συρακέσιοι, διεζεύγνυε τὰς συγγενείας ἀπ' ἀλλήλων, καὶ μάλιςα ἀδελφὲς ἀπ' ἀδελφῶν, καὶ πατέρας ἀπὸ παίδων, τὲς μὲν ἐπὶ τῆς πόλεως ἀπολείπων, τὲς δὲ μεθ' ἑαυτῦ διακομίζων. πρόδηλον γὰρ ἦν, ὡς οἱ μένοντες ἐν ταῖς Συρακέσαις, κἂν ἀλλοτριώτατοι τυγχάνωσι πρὸς τὸν δυνάςην, διὰ τὴν πρὸς τὲς ἀπογόνες εὔνοιαν ἐδὲν ἂν πράξειαν ἄτοπον κατ' Ἀγαθοκλέες.

pecunias vi & fraude cogit.

ἀπορέμενος δὲ χρημάτων, τά τε τῶν ὀρφανῶν παρὰ τῶν ἐπιτροπευόντων εἰσεπράξατο, φάσκων, πολὺ βέλτιον ἐκείνων ἐπιτροπεύσειν, καὶ τοῖς παισὶν εἰς ἡλικίαν ἐλθῦσι πιςότερον ἀποδώσειν· ἐδανείσατο δὲ καὶ παρὰ τῶν ἐμπόρων, καί τινα τῶν ἐν τοῖς ἱεροῖς ἀναθημάτων ἔλαβε, καὶ τῶν γυναικῶν τὸν κόσμον περιείλετο. ἐπειθ' ὁρῶν καὶ τῶν εὐπορωτάτων τὲς πλείςες δυσχεραίνοντας τοῖς πραττομένοις, καὶ πρὸς αὐτὸν ἀλλοτριώτατα διακειμένες, συνήγαγεν ἐκκλησίαν,

ἐν

ἐν ᾗ περί τε τῆς προγεγενημένης συμφορᾶς καὶ τῶν προσδοκωμένων δεινῶν κατοδυρόμενος, αὐτὸς μὲν ῥαδίως ὑπομένειν ἔφησε τὴν πολιορκίαν, συνήθης ὢν πάσῃ κακοπαθείᾳ· ἐλεεῖν δὲ τοὺς πολίτας, εἰ συγκλεισθέντες ἀναγκασθήσονται, πολιορκίαν ὑπομένειν. διεκελεύετο οὖν, σώζειν ἑαυτοὺς μετὰ τῶν ἰδίων κτήσεων τοὺς μὴ βουλομένους ὑπομένειν, ὅ τι ποτ' ἂν δοκῇ τῇ τύχῃ πάσχειν. ἐξορμησάντων δ' ἐκ τῆς πόλεως τῶν μάλιστ' εὐπόρων καὶ μισούντων τὸν δυνάστην, τούτους μὲν, ἐξαποστείλας τινὰς τῶν μισθοφόρων, ἀνεῖλε, καὶ τὰς οὐσίας εἰς αὐτὸν ἀνέλαβε. διὰ δὲ μιᾶς ἀνοσίου πράξεως χρημάτων εὐπορήσας, καὶ τῶν ἀλλοτρίως διακειμένων πρὸς αὐτὸν καθαρὰν ποιήσας τὴν πόλιν, ἠλευθέρωσε τῶν οἰκετῶν τοὺς εὐθέτους εἰς στρατείαν.

cap. 5. Classis Agathoclis, profecta inter maxima pericula, ubique obvium habet hostem.

Ὡς δ' εὐτρεπῆ πάντ' ἦν, πληρώσας ἑξήκοντα ναῦς, ἐπετήρει καιρὸν οἰκεῖον πρὸς τὸν ἔκπλουν. ἀγνοουμένης δὲ τῆς ἐπινοίας αὐτοῦ, τινὲς μὲν εἰς τὴν Ἰταλίαν ὑπελάμβανον αὐτὸν στρατεύειν, τινὲς δὲ, πορθήσειν τῆς Σικελίας τὴν ὑπὸ Καρχηδονίους· πάντες δὲ ἀπεγίγνωσκον τῶν ἐκπλεῖν μελλόντων τὴν σωτηρίαν, καὶ τοῦ δυνάστου τὴν μανίαν κατεγίγνωσκον. ἐφορμούντων δὲ τῶν πολεμίων πολλαπλασίαις τριήρεσι, τὸ μὲν πρῶτον ἐφ' ἡμέρας τινὰς ἠνάγκαζε, συνέχειν ἐν ταῖς ναυσὶ τοὺς στρατιώτας, οὐ δυναμένους ἐκπλεῦσαι. ἔπειτα δὲ σιτηγῶν πλοίων τῇ πόλει προσθεόντων, οἱ μὲν Καρχηδόνιοι παντὶ τῷ στόλῳ πρὸς τὰς ναῦς ἀνήχθησαν· ὁ δ' Ἀγαθοκλῆς ἀπελπίζων ἤδη τὴν ἐπιβολὴν, ὡς εἶδε τὸ στόμα τοῦ λιμένος ἔρημον τῶν ἐφορμούντων, ἐξέπλευσεν, ὀξείαις ταῖς εἰρεσίαις χρώμενος. εἶθ' οἱ μὲν Καρχηδόνιοι πλησίον ἤδη τῶν φορτηγῶν ὄντες, ὡς εἶδον τοὺς πολεμίους, ἀθρόαις ταῖς ναυσὶ πλέοντας, τὸ μὲν πρῶτον, ὑπολαβόντες αὐτὸν ὡρμηκέναι πρὸς τὴν τῶν σιτηγῶν βοήθειαν, ἀνέστρεφον, καὶ τὸν στόλον ἐξήρτυον εἰς ναυμαχίαν· ὡς δ' ἐπ' εὐθείας ἑώρων παραθέοντας, καὶ πολὺ τοῦ πλοῦ προλαμβάνοντας, ἐποιοῦντο τὸν διωγμόν. ἔνθα δὴ τούτων πρὸς ἀλλήλους φιλοτιμουμένων, τὰ μὲν τὴν ἀγορὰν κομίζοντα πλοῖα, παραδόξως ἐκφυγόντα τὸν κίνδυνον, πολλὴν εὐπορίαν ἐποίησεν ἐν ταῖς Συρακούσαις τῶν ἐπιτηδείων, σιτοδείας ἤδη τὴν πόλιν ἐχούσης· ὁ δ' Ἀγαθοκλῆς περικατάληπτος ἤδη γενόμενος,

Solis eclipsis terrorem etiam inicit.

ἐπιλαβούσης τῆς νυκτὸς, ἀνελπίστου σωτηρίας ἔτυχε. τῇ δ' ὑστεραίᾳ τηλικαύτην ἔκλειψιν ἡλίου συνέβη γενέσθαι, ὥστε ὁλοσχερῶς φανῆναι νύκτα, θεωρουμένων τῶν ἀστέρων πανταχοῦ. διόπερ οἱ περὶ τὸν Ἀγαθοκλέα νομίσαντες, καὶ τὸ θεῖον αὐτοῖς προσημαίνειν τὸ δυσχερὲς, ἔτι μᾶλλον ὑπὲρ τοῦ μέλλοντος ἐν ἀγωνίᾳ καθειστήκεισαν.

cap. 6. Eluctatus hostium insectatione, ad Africæ litus pervenit,

Ἓξ δ' ἡμέρας καὶ τὰς ἴσας νύκτας αὐτῶν πλευσάντων, ὑποφαινούσης τῆς ἕω, παραδόξως ὁ στόλος τῶν Καρχηδονίων οὐκ ἄποθεν ὢν ἑωράθη. διὸ παρ' ἀμφοτέροις ἐμπεσούσης σπουδῆς, ἡμιλλῶντο πρὸς ἀλλήλους ταῖς εἰρεσίαις, οἱ μὲν Φοίνικες νομίζοντες, ἅμα τῇ τῶν νεῶν ἁλώσει Συρακούσας μὲν ὑποχειρίους ἕξειν, τὴν δὲ πατρίδα μεγάλων ἐλευθερώσειν κινδύνων· οἱ δ' Ἕλληνες, εἰ μὴ φθάσειαν τῆς χώρας ἁψάμενοι, προκειμένην ἑώρων αὐτοῖς μὲν τιμωρίαν, τοῖς δὲ καταλειφθεῖσιν ἐν οἴκῳ τὰ τῆς δουλείας δεινά. καθορωμένης δὲ τῆς Λιβύης, παρακελευσμὸς ἐγίνετο τοῖς πληρώμασι, καὶ φιλοτιμίας ὑπερβολή. καὶ τάχιον μὲν ἔπλεον αἱ τῶν Βαρβάρων, ἐν πολυχρονίῳ μελέτῃ τῶν ἐρετῶν διαπεπονημένων· ἱκανὸν δὲ διάστημα προεῖχον αἱ τῶν Ἑλλήνων. ὀξύτατα δὲ τοῦ πλοῦ διανυσθέντος, ἐπειδὰν πλησίον ἐγενήθησαν τῆς γῆς, συνεξέπιπτον ἀλλήλοις εἰς τὸν αἰγιαλὸν, ὡσπερεί τινες ἀγωνισταί. ταῖς γὰρ ἐσχάταις τῶν Ἀγαθοκλέους αἱ πρῶται τῶν Καρχηδονίων ἐνέβαλλον, ἐντὸς βέλους οὖσαι. διόπερ ἐπ' ὀλίγον χρόνον τοῖς τε τόξοις καὶ σφενδόναις διαγωνισαμένων αὐτῶν, καὶ ναυσὶν ὀλίγαις τῶν Βαρβάρων συμπλακέντων, οἱ περὶ τὸν Ἀγαθοκλέα ἐπροτέρουν, τὸ τῶν στρατιωτῶν ἔχοντες πλῆθος· εἶθ' οἱ μὲν Καρχηδόνιοι πρύμναν ἀνακρουσάμενοι, μικρὸν ἔξω βέλους ἐφώρμουν. ὁ δ' Ἀγαθοκλῆς ἀποβιβάσας τὴν δύναμιν πρὸς τὰς καλουμένας Λατομίας, καὶ χάρακα βαλόμενος ἐκ θαλάττης εἰς θάλατταν, ἐνεώλκησε τὰς ναῦς.

copiasque ad lapicidinas exponit.

cap. 7. Facto Cereri & Proserpinæ sacro,

Οὕτω δὲ παράβολον ἐπιτελεσάμενος πρᾶξιν, ἄλλην ἐτόλμησε ταύτης μᾶλλον κεκινδυνευμένην. παραστησάμενος γὰρ τοὺς ἐν ἡγεμονίαις ὄντας εὐπειθεῖς πρὸς τὴν ἰδίαν ἐπιβολὴν, καὶ θυσίαν ποιησάμενος Δήμητρι καὶ Κόρῃ, συνήγαγεν ἐκκλησίαν. κἄπειτα προελθὼν ἐπὶ τὴν δημηγορίαν ἐστεφανωμένος ἐν ἱματίῳ λαμπρῷ, καὶ προδιαλεχθεὶς

Digitized by Google

χθεὶς οἰκείως τοῖς ἐγχειρȣμένοις, ἔφησε, ταῖς κατεχȣ́σαις Σικελίαν θεαῖς Δήμητρι καὶ Κόρῃ πεποιῆσθαι, καθ' ὃν καιρὸν ἐδιώχθησαν ὑπὸ τῶν Καρχηδονίων, ἐυχὰς, λαμπαδεύσειν ἁπάσας τὰς ναῦς. καλῶς ȣ̓͂ν ἔχειν, τετευχότας τῆς σωτηρίας ἀποδιδόναι τὰς ἐυχάς. ἀντὶ δὲ τȣ́των ἐπηγγέλλετο πολλαπλασίȣς ἀποδώσειν, προθύμως ἀυτῶν ἀγωνισαμένων. καὶ γὰρ τὰς θεὰς διὰ τῶν ἱερῶν προσημαίνειν νίκην τȣ͂ σύμπαντος πολέμȣ. ἅμα δὲ ταῦτα λέγοντος ἀυτȣ͂, τῶν ὑπηρετῶν τις προσήνεγκεν ἡμμένην δᾷδα· ἣν δεξάμενος, καὶ τοῖς τριηράρχαις ὁμοίως ἅπασι προστάξας ἀναδȣ͂ναι, τάς τε θεὰς ἐπεκαλέσατο, καὶ πρῶτος ὥρμησεν ἐπὶ τὴν ναυαρχίδα τριήρη. ςὰς δ' ἐπὶ τὴν πρύμναν, καὶ τοῖς ἄλλοις τὸ παραπλήσιον ποιεῖν παρεκελεύετο. ἔνθα δὴ τῶν τριηραρχῶν ἁπάντων ἐνέντων τὸ πῦρ, καὶ ταχὺ τῆς φλογὸς ἐις ὕψος ἀρθείσης, ὁι μὲν σαλπιγκταὶ τὸ πολεμικὸν ἐσήμαινον, τὸ δὲ ςρατόπεδον ἐπηλάλαξε, συνευχομένων ἁπάντων ὑπὲρ τῆς ἐις ὄικον σωτηρίας· τȣ͂το δ' ἔπραξεν Ἀγαθοκλῆς μάλιςα μὲν ἕνεκα τȣ͂ συναναγκάσαι τȣ̀ς ςρατιώτας, ἐν τοῖς κινδύνοις ἐπιλαθέσθαι τὸ παράπαν τῆς φυγῆς· (δῆλον γὰρ, ὅτι τῆς ἐπὶ τὰς ναῦς καταφυγῆς ἀποκοπείσης, ἐν μόνῳ τῷ νικᾷν ἕξȣσι τὰς ἐλπίδας τῆς σωτηρίας) ἔπειτα καὶ δύναμιν ὀλίγην ἔχων, ἐθεώρει, διότι φυλάσσων μὲν τὰς ναῦς, ἀναγκασθήσεται μερίζειν τὸ ςρατόπεδον, καὶ μηδαμῶς ἀξιόμαχος ἔιναι· καταλιπὼν δ' ἐρήμȣς, ὑποχειρίȣς ποιήσει γενέσθαι Καρχηδονίοις.

Agathocles naves accendit, ne refugium milites habeant.

Ὀυ μὴν ἀλλὰ τῶν νεῶν ἁπασῶν φλεγομένων, καὶ τȣ͂ πυρὸς πολὺν ἐπέχοντος τόπον, ἔκπληξις κατεῖχε τȣ̀ς Σικελιώτας. ἐν ἀρχῇ μὲν γὰρ ὑπὸ τῆς Ἀγαθοκλέȣς γοητείας καὶ ἀνοίας παραλογισθέντες, καὶ τῆς τῶν ἐγχειρȣμένων ὀξύτητος ἀναθεώρησιν ȣ̓ διδȣ́σης, πάντες συγκατετίθεντο τοῖς πραττομένοις· τȣ͂ δὲ χρόνȣ τὸν περὶ ἑκάςων ἀναλογισμὸν παριςάντος, ἐις μεταμέλειαν ἐνέπιπτον, καὶ τὸ μέγεθος τȣ͂ διείργοντος πελάγȣς ἀναλογιζόμενοι, τὴν σωτηρίαν ἀπεγίνωσκον. ὁ δ' Ἀγαθοκλῆς σπεύδων, ἀπαλλάξαι τῆς ἀθυμίας τȣ̀ς ςρατιώτας, ἦγε τὴν δύναμιν ἐπὶ τὴν ὀνομαζομένην Μεγάλην πόλιν, ȣ̓͂σαν τῶν Καρχηδονίων. ἡ δ' ἀνὰ μέσον χώρα, δι' ἧς ἦν ἀναγκαῖον πορευθῆναι, διεί-

cap. 8. Simul milites consternatos per regiones amœnas & fertiles ducens,

διείληπτο κηπείαις καὶ παντοίαις φυτεργίαις, πολλῶν ὑδάτων διοχετευομένων, καὶ πάντα τόπον ἀρδευόντων. ἀγροικίαι τε συνεχεῖς ὑπῆρχον οἰκοδομαῖς πολυτελέσι καὶ κονιάμασι διαπεπονημέναι, καὶ τὸν τῶν κεκτημένων αὐτὰς διασημαίνουσαι πλοῦτον. ἔγεμον δ' αἱ μὲν ἐπαύλεις πάντων τῶν πρὸς ἀπόλαυσιν, ὡς ἂν τῶν ἐγχωρίων ἐν εἰρήνῃ πολυχρονίῳ τεθησαυρικότων γεννημάτων ἀφθονίαν. ἡ δὲ χώρα ἡ μὲν ἦν ἀμπελόφυτος, ἡ δὲ ἐλαιοφόρος, καὶ τῶν ἄλλων τῶν καρπίμων δένδρων ἀνάπλεως. ἐπὶ θάτερα δὲ μέρη τὸ πεδίον ἐνέμοντο βοῶν ἀγέλαι καὶ ποίμναι, καὶ τὰ πλησίον ἕλη φορβάδων ἵππων ἔγεμε. καθόλου δὲ παντοία τις ἦν ἐν τοῖς τόποις εὐδαιμονία, τῶν ἐπιφανεστάτων Καρχηδονίων διειληφότων τὰς κτήσεις, καὶ τοῖς πλούτοις πεφιλοκαληκότων πρὸς ἀπόλαυσιν. διόπερ οἱ Σικελιῶται τό τε τῆς χώρας κάλλος καὶ τὴν εὐδαιμονίαν τὴν ἐν αὐτῇ θαυμάζοντες, μετέωροι ταῖς ἐλπίσιν ἐγίνοντο, θεωροῦντες ἄξια τῶν κινδύνων ἔπαθλα τοῖς νικῶσι προκείμενα. ὁ δ' Ἀγαθοκλῆς, ὁρῶν τοὺς στρατιώτας ἀναλαμβάνοντας αὐτοὺς ἐκ τῆς ἀθυμίας, καὶ προθύμους ὄντας εἰς τοὺς κινδύνους, ἐξ ἐφόδου προσέβαλε τοῖς τείχεσιν. ἀπροσδοκήτου δὲ τῆς ἐπιθέσεως γενομένης, καὶ τῶν ἔνδον διὰ τὴν ἄγνοιαν καὶ τὴν τῶν πολέμων ἀπειρίαν ὀλίγον ὑποστάντων χρόνον, εἷλε τὴν πόλιν κατὰ κράτος· δοὺς δὲ τοῖς στρατιώταις εἰς ἁρπαγὴν, ἐνέπλησε τὴν δύναμιν ὠφελείας ἅμα καὶ θάρσους. εὐθὺς δὲ καὶ πρὸς τὸν Λευκὸν Τύνητα καλούμενον ἀναζεύξας, ἐχειρώσατο τὴν πόλιν, ἀπέχουσαν Καρχηδόνος δισχιλίους σταδίους. ἀμφοτέρας δὲ τὰς ἁλούσας πόλεις οἱ μὲν στρατιῶται διαφυλάττειν ἠβούλοντο, καὶ τὰς ὠφελείας εἰς αὐτὰς ἀπετίθεντο· ὁ δ' Ἀγαθοκλῆς ἀκόλουθα τοῖς πεπραγμένοις διανοηθεὶς, καὶ διδάξας τὸ πλῆθος, ὡς οὐδεμίαν συμφέρει καταφυγὴν ἀπολιπεῖν, ἕως ἂν παρατάξει νικήσωσι, κατέστρεψέ τε τὰς πόλεις, καὶ κατεστρατοπέδευσεν ἐν ὑπαίθρῳ.

Megalopolin & Album Tunetem expugnat, & evertit.

cap. 9. Carthaginem maxima capit trepidatio.

Οἱ δ' ἐφορμοῦντες Καρχηδόνιοι τῷ ναυστάθμῳ τῷ Σικελιωτῶν, τὸ μὲν πρῶτον ὁρῶντες καομένας τὰς ναῦς, περιχαρεῖς ἦσαν, ὡς διὰ τὸν ἀπ' αὐτῶν φόβον ἠναγκασμένων τῶν πολεμίων διαφθεῖραι τὰ σκάφη· ὡς δ' εἶδον εἰς τὴν χώραν προάγουσαν τὴν τῶν ἐναντίων δύναμιν, συλλογιζό-

Digitized by Google

γιζόμενοι περὶ τῶν ἀποβησομένων, συμφορὰν ἰδίαν ἡγῦντο τὴν τῶν νεῶν ἀπώλειαν. διὸ καὶ ταῖς πρώραις δέῤῥεις κατεπέτασαν, ὅπερ ἀεὶ ποιεῖν ἐιώθασιν, ὅταν τι κακὸν δημοσίᾳ συμβεβηκέναι δόξῃ τῇ Καρχηδονίων πόλει. ἔλαβόν τε καὶ τὰ χαλκώματα τῶν Ἀγαθοκλέȣς νεῶν ἐις τὰς ἰδίας τριήρεις, καὶ τȣ̀ς ἀπαγγελȣ̃ντας ὑπὲρ τῶν συμβεβηκότων τἀκριβὲς ἐξαπέςειλαν ἐις τὴν Καρχηδόνα. πρὶν δὲ τȣ́τȣς δηλῶσαι τὸ γεγονὸς, ἀπὸ τῆς χώρας τινὲς αἰσθόμενοι τὸν κατάπλȣν τȣ̃ Ἀγαθοκλέȣς, ἀπήγγειλαν κατὰ σπȣδὴν τοῖς Καρχηδονίοις. οἱ δ᾽ ἐκπλαγέντες διὰ τὸ παράδοξον, ὑπέλαβον, ἀπολωλέναι τὰς ἰδίας δυνάμεις ἐν Σικελίᾳ καὶ τὰς πεζικὰς καὶ τὰς ναυτικάς. ȣ̓ γὰρ ἄν ποτε τὸν Ἀγαθοκλέα μὴ νενικηκότα τολμῆσαι καταλιπεῖν ἐρήμȣς βοηθείας τὰς Συρακȣ́σας, ȣ̓δ᾽ ἂν ἐπιβαλέσθαι, περαιȣ̃ν δύναμιν, θαλασσοκρατȣ́ντων τῶν πολεμίων. διόπερ θόρυβος καὶ πολλὴ ταραχὴ κατεῖχε τὴν πόλιν, καὶ συνδρομὴ τῶν ὄχλων ἐις τὴν ἀγορὰν ἐγίνετο, καὶ βȣλὴ τῆς γερȣσίας, ὅ τι δέοι πράττειν. ςρατόπεδον μὲν γὰρ ȣ̓κ ἦν ἕτοιμον τὸ δυνάμενον ἀντιτάξασθαι· τὸ δὲ πολιτικὸν πλῆθος, ἄπειρον ὂν πολέμȣ, προκατεπεπτώκει ταῖς ψυχαῖς· οἱ πολέμιοι δὲ πλησίον ἔιναι τῶν τειχῶν προσεδοκῶντο. ἔνιοι μὲν ȣ̃ν ἔφασκον, πρεσβευτὰς ὑπὲρ ἐιρήνης ἀποςέλλειν πρὸς Ἀγαθοκλέα, τȣ̀ς αὐτȣ̀ς ἅμα καὶ κατασκόπȣς ἐσομένȣς τῶν παρὰ τοῖς πολεμίοις· τινὲς δὲ ἀναμεῖναι, μέχρις ἂν γνῶσιν ἀκριβῶς ἕκαςον τῶν πεπραγμένων. τοιαύτης δὲ συγχύσεως τὴν πόλιν ἐχȣ́σης, κατέπλευσαν οἱ πεμφθέντες ὑπὸ τȣ̃ ναυάρχȣ, καὶ τὰς αἰτίας τῶν πεπραγμένων ἐδήλωσαν.

Ἀναθαῤῥησάντων ȣ̃ν πάντων πάλιν ταῖς ψυχαῖς, ἡ γερȣσία τȣ̀ς μὲν ναυάρχȣς ἅπαντας κατεμέμψατο, ὅτι θαλαττοκρατȣ̃ντες ἔιασαν πολεμίαν δύναμιν ἐπιβῆναι τῆς Λιβύης· ςρατηγȣ̀ς δὲ ἀπέδειξε τῶν δυνάμεων Ἄννωνα καὶ Βομίλκαν, πατρῴαν ἔχθραν ἔχοντας. ἡγȣ̃ντο γὰρ, διὰ τὴν ἰδίαν τȣ́τοις ἀπιςίαν καὶ διαφορὰν κοινὴν ἔσεσθαι τῆς πόλεως ἀσφάλειαν. πολὺ δὲ διεσφάλησαν τῆς ἀληθείας· ὁ γὰρ Βομίλκας πάλαι μὲν ἦν ἐπιθυμητὴς τυραννίδος, ȣ̓κ ἔχων δ᾽ ἐξȣσίαν ȣ̓δὲ καιρὸν οἰκεῖον ταῖς ἐπιβολαῖς, τότε ἔλαβεν ἀφορμὰς ἀξιολόγȣς, τυχὼν τῆς ςρατηγίας. αἰτία δὲ μάλιςα τȣ́των ἡ πρὸς τὰς τιμωρίας πικρία τῶν Καρχηδο-

cap. 10. Hannonem & Bomilcarem prætores creant Carthaginienses.

Digitized by Google

χηδονίων. τὰς γὰρ ἐπιφανεστάτους τῶν ἀνδρῶν ἐν μὲν τοῖς πολέμοις προάγουσιν ἐπὶ τὰς ἡγεμονίας, νομίζοντες δεῖν αὐτοὺς τῶν ὅλων προκινδυνεύειν· ὅταν δὲ τύχωσι τῆς εἰρήνης, τοὺς αὐτοὺς τούτους συκοφαντοῦσι, καὶ κρίσεις ἀδίκους ἐπιφέροντες διὰ τὸν φθόνον, τιμωρίαις περιβάλλουσι. διὸ καὶ τῶν ἐπὶ τὰς ἡγεμονίας ταττομένων τινὲς μὲν, φοβούμενοι τὰς ἐν τῷ δικαστηρίῳ κρίσεις, ἀποστάται γίνονται τῆς ἡγεμονίας· τινὲς δὲ ἐπιτίθενται τυραννίσιν· ὅπερ καὶ τότε Βομίλκας ὁ ἕτερος τῶν στρατηγῶν ἐποίησε. περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν. οἱ γοῦν στρατηγοὶ τῶν Καρχηδονίων, ὁρῶντες τὸν καιρὸν οὐδαμῶς ἀναβολῆς οἰκεῖον, τοὺς μὲν ἀπὸ τῆς χώρας καὶ τῶν συμμαχίδων πόλεων στρατιώτας οὐκ ἀνέμειναν· αὐτοὺς δὲ τοὺς πολιτικοὺς ἐξήγαγον εἰς ὕπαιθρον, ὄντας πεζοὺς μὲν οὐκ ἐλάττους τετρακισμυρίων, ἱππεῖς δὲ χιλίους, ἅρματα δὲ δισχίλια. καταλαβόμενοι δέ τινα γεώλοφον οὐ μακρὰν τῶν πολεμίων, ἐξέταττον τὴν δύναμιν εἰς μάχην. καὶ τοῦ μὲν δεξιοῦ κέρατος Ἄννων εἶχε τὴν ἡγεμονίαν, συναγωνιζομένων αὐτῷ τῶν εἰς τὸν ἱερὸν λόχον συντεταγμένων· τοῦ δ᾽ εὐωνύμου Βομίλκας ἡγούμενος βαθεῖαν ἐποίει τὴν φάλαγγα, κωλύοντος τοῦ τόπου παρεκτείνειν ἐπὶ πλεῖον. τὰ δ᾽ ἅρματα καὶ τοὺς ἱππεῖς πρὸ τῆς φάλαγγος ἔστησαν, διεγνωκότες, τούτοις πρῶτον ἐμβαλεῖν, καὶ τῶν Ἑλλήνων ἀποπειραθῆναι.

Copiae subito coactae & ad pugnam dispositae.

cap. 11. Copiarum Agathoclis numerus & dispositio.

Ὁ δ᾽ Ἀγαθοκλῆς κατασκεψάμενος τὰς τῶν βαρβάρων τάξεις, τὸ μὲν δεξιὸν κέρας ἔδωκεν Ἀρχαγάθῳ τῷ υἱῷ, παραδοὺς αὐτῷ πεζοὺς δισχιλίους καὶ πεντακοσίους· ἑξῆς δ᾽ ἔταξε τοὺς Συρακουσίους, ὄντας τρισχιλίους πεντακοσίους· εἶτα μισθοφόρους Ἕλληνας τρισχιλίους· τελευταίους δὲ Σαμνίτας καὶ Τυῤῥηνοὺς καὶ Κελτοὺς τρισχιλίους. μετὰ δὲ τῆς θεραπείας αὐτὸς τοῦ ἡμίσους κέρατος προηγωνίζετο χιλίοις ὁπλίταις, πρὸς τὸν ἱερὸν λόχον τῶν Καρχηδονίων ἀντιτεταγμένος. τοὺς δὲ τοξότας καὶ σφενδονήτας πεντακοσίους ὄντας ἐπὶ τὰ κέρατα διεῖλεν. ὅπλα μὲν οὖν οἱ στρατιῶται μόγις εἶχον ἱκανά. τοὺς δ᾽ ἐκ τῶν ἀφράκτων ὁρῶν ἀνόπλους ὄντας, τὰ τῶν ἀσπίδων ἔλυτρα ῥάβδοις διέτεινε, καὶ τῇ φαντασίᾳ τὸν τῆς ἀσπίδος κύκλον μιμησάμενος, ἀνέδωκεν αὐτοῖς πρὸς μὲν τὴν χρείαν οὐδαμῶς ἐπιτήδεια, πρὸς δὲ τὴν πόῤῥωθεν ὁρωμένην ὄψιν δυνάμενα δόξαν ὅπλων ἐμποιῆ-

Digitized by Google

ποιῆσαι τοῖς ἀγνοῦσι τἀληθές. ὁρῶν δὲ τοὺς στρατιώτας καταπεπληγμένους τὸ πλῆθος τῆς βαρβαρικῆς ἵππου καὶ δυνάμεως, ἀφῆκεν εἰς τὸ στρατόπεδον κατὰ πλείονας τόπους γλαῦκας, ἃς ἐκ χρόνου παρεσκευάσατο πρὸς τὰς ἀθυμίας τῶν πολλῶν. αὗται δὲ διὰ τῆς φάλαγγος πετάμεναι, καὶ προσκαθίζουσαι ταῖς ἀσπίσι καὶ τοῖς κράνεσιν, εὐθαρσεῖς ἐποίουν τοὺς στρατιώτας, ἑκάστων οἰωνιζομένων, διὰ τὸ δοκεῖν ἱερὸν εἶναι τὸ ζῶον τῆς Ἀθηνᾶς. ταῦτα δὲ καίπερ ἄν τισι δόξαντα κενὴν ἔχειν ἐπίνοιαν, πολλάκις αἴτια γίνεται μεγάλων προτερημάτων· ὃ καὶ τότε συνέβη γενέσθαι. ἐμπεσόντος γὰρ εἰς τὰ πλήθη θάρσους, καὶ διαδοθέντων λόγων, ὡς τὸ θεῖον αὐτοῖς φανερῶς προσημαίνει νίκην, παρασατικώτερον τὸν κίνδυνον ὑπέμειναν.

cap. 12. Prœlium commissum.

Προεμβαλόντων γὰρ εἰς αὐτοὺς τῶν ἁρμάτων, ἃ μὲν κατηκόντισαν, ἃ δ' εἴασαν διεκπεσεῖν, τὰ δὲ πλεῖστα συνηνάγκασαν στρέψαι πρὸς τὴν τῶν πεζῶν τάξιν. παραπλησίως δὲ καὶ τὴν τῶν ἵππων ἐπιφορὰν ὑποστάντες, καὶ πολλοὺς αὐτῶν κατατιτρώσκοντες, ἐποίησαν φυγεῖν εἰς τοὐπίσω· προαγωνισαμένων δ' αὐτῶν ἐν τούτοις λαμπρῶς, ἡ πεζὴ δύναμις τῶν Βαρβάρων ἅπασα συνῆψεν εἰς χεῖρας. γενναίας δὲ μάχης γινομένης, Ἄννων μὲν ἔχων συναγωνιζόμενον τὸν ἱερὸν λόχον τῶν ἐπιλέκτων ἀνδρῶν, καὶ σπεύδων ποιῆσαι δι' αὐτοῦ τὴν νίκην, ἐνέκειτο βαρὺς τοῖς Ἕλλησι, καὶ συχνοὺς ἀνῄρει. φερομένων δ' ἐπ' αὐτὸν παντοδαπῶν βελῶν, οὐκ εἶκεν, ἀλλά, καίπερ πολλοῖς τραύμασι περιπίπτων, ἐβιάζετο, μέχρις ὅτου καταπονηθεὶς ἐτελεύτησε. τούτου δὲ πεσόντος, οἱ μὲν ταύτῃ τεταγμένοι τῶν Καρχηδονίων, ἀνετράπησαν ταῖς ψυχαῖς· οἱ δὲ περὶ τὸν Ἀγαθοκλέα μετεωρισθέντες, πολὺ μᾶλλον ἐπεῤῥάσθησαν. ἃ δὴ πυθόμενος τινῶν Βομίλκας ὁ ἕτερος στρατηγός, καὶ νομίσας, παρὰ θεῶν αὐτῷ δεδόσθαι τὸν καιρὸν τοῦ λαβεῖν ἀφορμὰς πρὸς τὴν ἐπίθεσιν τῆς τυραννίδος, διελογίζετο πρὸς ἑαυτόν, εἰ μὲν ἡ μετ' Ἀγαθοκλέους διαφθαρείη δύναμις, μὴ δυνήσεσθαι τὴν ἐπίθεσιν ποιήσασθαι τῇ δυναστείᾳ, τῶν πολιτῶν ἰσχυόντων· εἰ δ' ἐκεῖνος νικήσας, τὰ φρονήματα παρέλοιτο τῶν Καρχηδονίων, εὐχειρώτους μὲν ἑαυτῷ τοὺς προηττημένους ἔσεσθαι, τὸν δ' Ἀγαθοκλέα ῥᾳδίως καταπολεμήσειν, ὅταν αὐτῷ δόξῃ. ταῦτα δὲ διανοηθείς, ἀνε-

Cadit Hanno.

Bomilcar male callidus & in summo rerum discrimine impius.

Digitized by Google

ἀνεχώρησε μετὰ τῶν πρωτοςατῶν, δὲς τοῖς μὲν πολεμίοις ἄσημον ἔκκλιμα, τοῖς δ' ἰδίοις δηλώσας τὸν Ἄννωνος θάνατον, καὶ παρακελευόμενος, ἀναχωρεῖν ἐν τάξει πρὸς τὸν γεώλοφον· τῦτο γὰρ συμφέρειν. ἐπικειμένων δὲ τῶν πολεμίων, καὶ τῆς ὅλης ὑποχωρήσεως φυγῇ παραπλησίας γινομένης, οἱ μὲν συνεχεῖς Λίβυες ἀπὸ κράτυς ἡττῆσθαι τὺς πρωτοςάτας νομίσαντες, πρὸς φυγὴν ὥρμησαν. οἱ δὲ τὸν ἱερὸν λόχον ἔχοντες μετὰ τὸν Ἄννωνος τῦ ςρατηγῦ θάνατον τὸ μὲν πρῶτον ἀντεῖχον εὐρώςως, καὶ τὺς ἐξ αὐτῶν πίπτοντας ὑπερβαίνοντες, ὑπέμενον πάντα κίνδυνον· ἐπεὶ δὲ κατενόησαν τὸ πλεῖον μέρος τῆς δυνάμεως πρὸς φυγὴν ὡρμημένον, καὶ τὺς πολεμίυς περιϊςαμένυς κατὰ νώτυ, συνηναγκάσθησαν ἐκκλῖναι. διὸ καὶ τροπῆς γενομένης κατὰ πᾶν τὸ τῶν Καρχηδονίων ςρατόπεδον, οἱ μὲν Βάρβαροι τὴν φυγὴν ἐποιῦντο πρὸς τὴν Καρχηδόνα· Ἀγαθοκλῆς δὲ μέχρι τινὸς ἐπιδιώξας, ἐπανῆλθε, καὶ τὴν ςρατοπεδείαν τῶν Καρχηδονίων διήρπασεν.

Carthaginienses fugam capessunt.

Castra diripiuntur.

Τοιαύτης δὲ ἐν τῇ Λιβύῃ γεγενημένης μεταβολῆς, οἱ μὲν Καρχηδόνιοι διεπέμποντο πρὸς Ἀμίλκαν εἰς τὴν Σικελίαν, ἀξιῦντες, κατὰ τάχος πέμψαι βοήθειαν· καὶ τὰ ληφθέντα χαλκώματα τῶν Ἀγαθοκλέυς νεῶν ἀπέςειλαν αὐτῷ. ὁ δὲ τοῖς καταπλεύσασι παρεκελεύσατο, σιωπᾶν μὲν τὴν γεγενημένην ἧτταν, διαδιδόναι δὲ λόγον εἰς τὺς ςρατιώτας, ὡς Ἀγαθοκλῆς ἄρδην ἀπώλεσε καὶ τὰς ναῦς καὶ τὴν δύναμιν ἅπασαν. αὐτὸς δὲ πέμψας τινὰς τῶν παρόντων ἐκ Καρχηδόνος εἰς τὰς Συρακύσας πρεσβευτὰς, καὶ τὰ χαλκώματα συναποςείλας, ἠξίυ παραδιδόναι τὴν πόλιν. τὴν μὲν γὰρ δύναμιν τῶν Συρακυσίων ὑπὸ Καρχηδονίων κατακεκόφθαι, τὰς δὲ ναῦς ἐμπεπυρίσθαι· τοῖς δ' ἀπιςῦσιν ἀπόδειξιν παρέχεσθαι τὴν τῶν ἐμβόλων κομιδήν. τῶν δ' ἐν τῇ πόλει πυθομένων τὴν περὶ τὸν Ἀγαθοκλέα προσηγγελμένην συμφορὰν, οἱ πολλοὶ μὲν ἐπίςευσαν· οἱ προεςηκότες δὲ διςάζοντες διετήρησαν μὲν, χάριν τῦ μὴ γενέσθαι ταραχὴν, τὺς πρεσβευτὰς δὲ ταχέως ἐξέπεμψαν. τὺς δὲ τῶν φυγάδων συγγενεῖς καὶ φίλυς καὶ τῶν ἄλλων τὺς δυσχεραίνοντας τοῖς ὑπ' αὐτῶν πραττομένοις ἐξέβαλον ἐκ τῆς πόλεως, ὄντας ὐκ ἐλάττυς ὀκτακιςχιλίων. κἄπειτα τοσύτυ πλήθυς ἄφνω συναναγκαζομένυ

cap. 15. In Siciliam Poeni mittunt, qui auxilia requirant, & rumorem divulgent, Agathoclem victum esse.

Iustus idcirco Syracusas occupat,

Digitized by Google

νε, τὴν πατρίδα φεύγειν, ἔγεμεν ἡ πόλις διαδρομῆς, καὶ θορύβε, καὶ γυναικείων κλαυθμῶν. ἐδεμία γὰρ ἦν οἰκία πένθες ἀκοινώνητος κατὰ τῦτον τὸν καιρόν. οἱ μὲν γὰρ περὶ τὴν τυραννίδα τῆ Ἀγαθοκλέες καὶ τῶν τέκνων αὐτῶν τὴν συμφορὰν ὠδύροντο· τῶν δ' ἰδιωτῶν οἱ μὲν τὲς ἀπολωλέναι δοκῦντας κατὰ Λιβύην ἔκλαιον, οἱ δὲ τὲς ἐκπίπτοντας ἀφ' ἑςίας καὶ πατρῴων θεῶν, οἷς ὔτε μένειν ἐξῆν, ὔτε ἐκτὸς τῶν τειχῶν προάγειν, πολιορκέντων τῶν Βαρβάρων. πρὸς δὲ τοῖς εἰρημένοις κακοῖς τηλικέτοις ὖσιν, ἠναγκάζοντο νηπίες παῖδας καὶ γυναῖκας συνεφέλκεσθαι τῇ φυγῇ. ὁ δ' Ἀμίλκας, καταφυγόντων πρὸς αὐτὸν τῶν φυγάδων, τέτοις μὲν τὴν ἀσφάλειαν παρέσχετο· τὴν δὲ δύναμιν παρασκευάσας προῆγεν ἐπὶ τὰς Συρακέσας, ὡς αἱρήσων τὴν πόλιν, διά τε τὴν ἐρημίαν, καὶ διὰ τὴν προσηγγελμένην τοῖς ὑπολελειμμένοις συμφοράν.

quo fretus Amilcar urbe potiri conatur.

cap. 16. Dum Antander & Erymnon de deditione urbis dissentiunt,

Προαποςείλαντος δ' αὐτῦ πρεσβείαν, καὶ διδόντος Ἀντάνδρῳ καὶ τοῖς μετ' αὐτῦ, εἰ παραδιδόασι τὴν πόλιν, ἀσφάλειαν, συνήδρευσαν τῶν ἡγεμόνων οἱ μάλιςα ἀξίωμα δοκῦντες ἔχειν. [καὶ] ῥηθέντων πολλῶν λόγων, Ἄντανδρος μὲν ᾤετο, δεῖν παραδιδόναι τὴν πόλιν, ὢν ἄνανδρος φύσει, καὶ τῆς τἀδελφῦ τόλμης καὶ πράξεως ἐναντίαν ἔχων διάθεσιν· Ἐρύμνων δ' ὁ Αἰτωλὸς παρακαθεςαμένος ὑπ' Ἀγαθοκλέες τἀδελφῷ σύνεδρος, τὴν ἐναντίαν δὲς γνώμην, ἔπεισεν ἅπαντας, διακαρτερεῖν, μέχρις ἂν πύθωνται τἀληθές. εἶτα Ἀμίλκας μὲν, μαθὼν τὰ δόξαντα τοῖς ἐν τῇ πόλει, συνεπήγνυε μηχανὰς παντοίας, διεγνωκὼς προσβάλλειν. Ἀγαθοκλῆς δὲ δύο τριακοντόρες μετὰ τὴν μάχην νεναυπηγημένος, τὴν ἑτέραν ἀπέςειλεν εἰς Συρακέσας, ἐρέτας ἐμβιβάσας τὲς κρατίςες, καὶ τῶν περὶ αὐτὸν πιςευομένων φίλων ἕνα Νέαρχον, ἀπαγγελῦντα τοῖς ἰδίοις τὴν νίκην. ἔπειτ' εὐπλοίας γενομένης, πεμπταῖοι ταῖς Συρακέσαις νύκτωρ προσεπέλασαν, καὶ ςεφανωσάμενοι, καὶ παιανίσαντες κατὰ τὸ πλοῖον, ἅμ' ἡμέρᾳ κατέπλεον ἐπὶ τὴν πόλιν. αἱ δὲ φυλακίδες τῶν Καρχηδονίων αἰσθόμεναι, κατὰ σπεδὴν ἐπεδίωκον· καὶ ἐ πολὺ προειληφότων τῶν ὑποφευγόντων, ἀγὼν τῆς εἰρεσίας ἐγίνετο. ἅμα δὲ τῇ τῶν ἐρετῶν φιλοτιμίᾳ συνέβη τές τε ἐκ τῆς πόλεως καὶ τὲς πολιορκῦντας αἰσθομένες συνδραμεῖν

venit victoriæ nuntius ab Agathocle;

Digitized by Google

μεῖν ἐπὶ τὸν λιμένα, καὶ τοῖς ἰδίοις ἑκατέρους συναγωνιῶντας ἀναβοᾷν θαῤῥεῖν. ἤδη δὲ τῆς τριακοντόρου καταλαμβανομένης, οἱ Βάρβαροι μὲν ἐπηλάλαξαν, οἱ δ᾽ ἐκ τῆς πόλεως ἀδυνατοῦντες βοηθεῖν, τοῖς θεοῖς ηὔχοντο περὶ τῆς σωτηρίας τῶν καταπλεόντων. τῆς πρώρας δὲ τῶν διωκόντων εἰς ἐμβολὴν ἤδη φερομένης, οὐκ ἄποθεν τῆς γῆς ἔφθασε τὸ διωκόμενον σκάφος ἐντὸς βέλους γενόμενον, καὶ, τῶν Συρακουσίων προσβοηθησάντων, ἐξέφυγε τὸν κίνδυνον.

quo accepto, cives, incursione in obsidentes facta, Amilcarem urbe discedere cogunt.

Ἀμίλκας δ᾽ ὁρῶν τοὺς ἐκ τῆς πόλεως διὰ τὴν ἀγωνίαν καὶ τὸ παράδοξον τῆς προσδοκωμένης ἀγγελίας ἐπὶ τὸν λιμένα συνδεδραμηκότας, ὑπολαβὼν εἶναι μέρος τι τοῦ τείχους ἀφύλακτον, ἔπεμψε τῶν στρατιωτῶν τοὺς κρατίστους μετὰ κλιμάκων. οὗτοι δ᾽ εὑρόντες ἐκλελειμμένας τὰς φυλακὰς, ἔλαθον προσαναβάντες· καὶ σχεδὸν αὐτῶν μεσοπύργιον ἤδη κατειληφότων, ἡ κατὰ τὸ σύνηθες ἐφοδία παραγενομένη κατενόησε. γενομένης δὲ μάχης, οἱ μὲν ἐκ τῆς πόλεως συνέδραμον, καὶ φθάσαντες τοὺς μέλλοντας τοῖς ἀναβεβηκόσι προσβοηθεῖν, οὓς μὲν ἀπέκτειναν, οὓς δ᾽ ἀπὸ τῶν ἐπάλξεων κατεκρήμνισαν. ἐφ᾽ οἷς Ἀμίλκας περιαλγὴς γενόμενος, ἀπήγαγε τὴν δύναμιν ἀπὸ τῆς πόλεως, καὶ τοῖς εἰς Καρχηδόνα βοήθειαν ἐξέπεμψε μετὰ στρατιωτῶν πεντακισχιλίων.

cap. 17. Interea Agathocles, quamvis multis subactis oppidis,

Ἅμα δὲ τούτοις πραττομένοις, ὁ μὲν Ἀγαθοκλῆς, κρατῶν τῶν ὑπαίθρων, τὰ περὶ τὴν Καρχηδόνα χωρία κατὰ κράτος ᾕρει, καὶ τῶν πόλεων ἃς μὲν διὰ φόβον, ἃς δὲ διὰ τὸ πρὸς Καρχηδονίους μῖσος προσηγάγετο. παρεμβολὴν δὲ πλησίον τοῦ Τύνητος ὀχυρωσάμενος, καὶ τὴν ἱκανὴν ἀπολιπὼν φυλακὴν, ἀνέζευξε πρὸς τὰς ἐπὶ θαλάττῃ κειμένας πόλεις· καὶ πρώτην μὲν ἑλὼν Νέαν πόλιν κατὰ κράτος, φιλανθρώπως ἐχρήσατο τοῖς χειρωθεῖσιν. εἶτα παρελθὼν ἐπ᾽ Ἀδρύμητα, πρὸς μὲν ταύτην πολιορκίαν συνεστήσατο, Ἐλύμαν δὲ τὸν βασιλέα τῶν Λιβύων εἰς συμμαχίαν προσελάβετο. ἃ δὴ πυθόμενοι οἱ

castris apud Tunetem exuitur.

Καρχηδόνιοι, πᾶσαν τὴν δύναμιν προσήγαγον ἐπὶ τὸν Τύνητα, καὶ τῆς μὲν Ἀγαθοκλέους στρατοπεδείας ἐκυρίευσαν, τῇ πόλει δὲ μηχανὰς προσαγαγόντες, συνεχεῖς προσβολὰς ἐποιοῦντο. ὁ δὲ Ἀγαθοκλῆς, ἀπαγγειλάντων τινῶν αὐτῷ τὰ περὶ τοὺς ἰδίους ἐλαττώματα, τὸ μὲν πολὺ τῆς δυνά-

Digitized by Google

δυνάμεως κατέλιπεν ἐπὶ τῆς πολιορκίας· τὴν δὲ θεραπείαν καὶ τῶν στρατιωτῶν ὀλίγους ἀναλαβὼν, λάθρα προσῆλθεν ἐπί τινα τόπον ὀρεινὸν, ὅθεν ὁρᾶσθαι δυνατὸν ἦν αὐτὸν ὑπὸ τῶν Ἀδρυμητινῶν καὶ τῶν Καρχηδονίων τὸν Τύνητα πολιορκούντων· νυκτὸς δὲ συντάξας τοῖς στρατιώταις, ἐπὶ πολὺν τόπον πυρὰ κάειν, δόξαν ἐποίησε τοῖς μὲν Καρχηδονίοις, ὡς μετὰ μεγάλης δυνάμεως ἐπ' αὐτοὺς πορευόμενος, τοῖς δὲ πολιορκουμένοις, ὡς ἄλλης δυνάμεως ἀδρᾶς τοῖς πολεμίοις εἰς συμμαχίαν παραγεγενημένης. ἀμφότεροι δὲ τῷ ψεύδει τοῦ στρατηγήματος παραλογισθέντες, παραλόγως ἠλαττώθησαν· οἱ μὲν τὸν Τύνητα πολιορκοῦντες, φυγόντες εἰς Καρχηδόνα, καὶ τὰς μηχανὰς ἀπολιπόντες· οἱ δ' Ἀδρυμητινοί, διὰ τὸν φόβον παραδόντες τὴν πατρίδα. Ἀγαθοκλῆς δὲ ταύτην δι' ὁμολογίας παραλαβὼν, Θάψον εἷλε κατὰ κράτος, καὶ τῶν ἄλλων τῶν ταύτῃ πόλεων ἃς μὲν ἐξεπολιόρκησεν, ἃς δὲ προσηγάγετο. τὰς ἁπάσας δὲ πόλεις πλείους τῶν διακοσίων κεχειρωμένος, εἰς τοὺς ἄνω τόπους τῆς Λιβύης διενοεῖτο στρατεύειν.

Sed strategemate Tunetem obsidentes fallit,

& ingentes contra hostes progressus facit.

Ἀναζεύξαντος οὖν αὐτοῦ, καὶ πλείους ἡμέρας ὁδοιποροῦντος, Καρχηδόνιοι τὴν ἐκ Σικελίας διακομισθεῖσαν δύναμιν καὶ τὴν ἄλλην στρατιὰν προαγαγόντες, πάλιν τὸν Τύνητα πολιορκεῖν ἐπεχείρησαν, καὶ τῶν ἐγχωρίων οὐκ ὀλίγα, τῶν ὑπὸ τοὺς πολεμίους, ὄντων ἀνεκτήσαντο. Ἀγαθοκλῆς δὲ, βιβλιαφόρων αὐτῷ παραγεγενημένων ἀπὸ τοῦ Τύνητος, καὶ τὰ πεπραγμένα τοῖς Φοίνιξι διασαφούντων, εὐθὺς ἀνέστρεψεν. ὡς δ' ἀπέσχε τῶν πολεμίων σταδίους διακοσίους, κατεστρατοπέδευσε, καὶ τοῖς στρατιώταις πυρὰ καίειν ἀπηγόρευσε. χρησάμενος δὲ νυκτοπορίᾳ, προσέπεσεν ἅμ' ἡμέρᾳ τοῖς τε προνομεύουσι τὴν χώραν, καὶ τοῖς ἐκτὸς τῆς παρεμβολῆς ἄνευ τάξεως πλανωμένοις. καὶ φονεύσας μὲν ὑπὲρ τοὺς δισχιλίους, ζωγρήσας δ' οὐκ ὀλίγους, πολλὰ πρὸς τὸ μέλλον ἐπλεονέκτησεν. οἱ γὰρ Καρχηδόνιοι, τῆς ἐκ Σικελίας προσγενομένης βοηθείας, καὶ τῶν κατὰ Λιβύην συμμάχων συναγωνιζομένων, ἐδόκουν, ὑπερέχειν τῶν περὶ τὸν Ἀγαθοκλέα. τούτου δὲ τοῦ προτερήματος γενομένου, πάλιν συνεστάλη τὰ φρονήματα τῶν βαρβάρων. καὶ γὰρ Ἐλύμαν τὸν βασιλέα τῶν Λιβύων ἀπο-

cap. 18. Carthaginienses de novo Tunetem obsident.

Haud opinatos opprimit Agathocles, iisque novum terrorem injicit.

Digitized by Google

ἀποςάτην γενόμενον ἐνίκησε μάχῃ, καὶ τόν τε δυνάςην καὶ πολλὰς τῶν Βαρβάρων ἀνεῖλε.

cap. 29. Amilcar Syracusas noctu clam adoriri & expugnare parat; ante Chr. 307.

Περὶ δὲ τὰς αὐτὰς καιρὰς Ἀμίλκας ὁ τῶν ἐν Σικελίᾳ δυνάμεων ςρατηγὸς τὰ λοιπὰ τῶν χωρίων χειρωσάμενος, προῆγε μετὰ τῆς δυνάμεως ἐπὶ τὰς Συρακάσας, ὡς καὶ ταύτας αἱρήσων κατὰ κράτος. τὴν μὲν ἄν σιτοπομπείαν διεκώλυε, πολὺν ἤδη χρόνον θαλασσοκρατῶν· τὰς δ' ἐπὶ τῆς χώρας καρπὰς καταφθείρας, ἐπεβάλετο καταλαβέσθαι τὰς περὶ τὸ Ὀλύμπιον τόπας, κειμένας μὲν πρὸ τῆς πόλεως. εὐθὺς δὲ καὶ προσβάλλειν ἐξ ἐφόδα τοῖς τείχεσι διεγνώκει, τᾶ μάντεως εἰρηκότος αὐτῷ κατὰ τὴν ἐπίσκεψιν τῶν ἱερῶν, ὅτι τῇ μετὰ ταύτην ἡμέρᾳ πάντως ἐν Συρακάσαις δειπνήσει. οἱ δ' ἐκ τῆς πόλεως αἰσθόμενοι τὴν ἐπίνοιαν τῶν πολεμίων, ἐξέπεμψαν τῶν μὲν πεζῶν νυκτὸς περὶ τρισχιλίας, καὶ τῶν ἱππέων περὶ τετρακοσίας, προστάξαντες, καταλαβέσθαι τὸν Εὐρύηλον. ταχὺ δὲ τάτων τὸ παραγγελθὲν πραξάντων, οἱ Καρχηδόνιοι νυκτὸς ἄσης προσῆγον, νομίζοντες, λήσεσθαι τὰς πολεμίας. ἡγεῖτο μὲν ἄν Ἀμίλκας πάντων, ἔχων τὰς ἀεὶ περὶ αὐτὸν τεταγμένας. Αὐτὸς δὲ τὸ μὲν πρῶτον ὑπέςη τὰς πολεμίας εὐρώςως, καὶ τὰς περὶ αὐτὸν τεταγμένας ἠξία συγκινδυνεύειν· μετὰ δὲ ταῦτα, διὰ τὴν ταραχὴν καὶ τὸν φόβον ἐγκαταλιπόντων αὐτὸν τῶν ςρατιωτῶν, μόγις σωθεὶς ὑπὸ τῶν Συρακασίων συνηρπάγη.

sed captus Syracusas abducitur.

cap. 30. Amilcaris trucidati caput ad Agathoclem perferendum curant Syracusani.

Μετὰ δὲ τὴν τροπὴν, οἱ μὲν Καρχηδόνιοι ἄλλος κατ' ἄλλας τόπας διασπαρέντες, μόγις εἰς τὴν ὑςεραίαν ἠθροίσθησαν. οἱ δὲ Συρακάσιοι μετὰ λαφύρων πολλῶν ἐπανελθόντες εἰς τὴν πόλιν, τὸν Ἀμίλκαν παρέδοσαν τοῖς βαλομένοις λαμβάνειν παρ' αὐτᾶ τιμωρίαν. ἀνεμιμνήσκοντο δὲ καὶ τῆς μάντεως φωνῆς, ὃς ἔφησεν, αὐτὸν εἰς τὴν ὑςεραίαν εἰς Συρακάσας δειπνήσειν, τᾶ δαιμονία παραγαγόντος τἀληθές. τὸν δ' ἄν Ἀμίλκαν οἱ τῶν ἀπολωλότων συγγενεῖς δεδεμένον ἀγαγόντες διὰ τῆς πόλεως, καὶ δειναῖς αἰκίαις κατ' αὐτᾶ χρησάμενοι, μετὰ τῆς ἐσχάτης ὕβρεως ἀνεῖλον. εἶθ' οἱ μὲν τῆς πόλεως προεςηκότες, ἀποκόψαντες αὐτᾶ τὴν κεφαλὴν, ἀπέςειλαν τὰς κομιᾶντας εἰς τὴν Λιβύην πρὸς Ἀγαθοκλέα, καὶ περὶ τῶν γεγονότων εὐτυχημάτων ἀπαγγελᾶντας.

Μετὰ

Μετὰ δὲ ταῦτα Ἀγαθοκλῆς, πυθόμενος τὰς δυνάστας, τόν τε Ἀντίγονον, Πτολεμαῖον, Σέλευκον, Λυσίμαχον καὶ Κάσσανδρον ἀνῃρημένους, καὶ νομίζων, μήτε δυνάμεσι, μήτε χώρᾳ, μήτε τοῖς πραχθεῖσι λείπεσθαι τούτων, ἑαυτὸν ἀνηγόρευσε βασιλέα· καὶ διάδημα μὲν οὐκ ἔκρινεν ἔχειν· ἐφόρει γὰρ ἀεὶ στέφανον κατὰ τὴν ἐπίθεσιν τῆς τυραννίδος, ἔκ τινος ἱερωσύνης, ὃν περικείμενος οὐκ ἀπετίθετο, περὶ τῆς δυναστείας ἀγωνιζόμενος. ἔνιοι δέ φασιν, αὐτὸν ἐπιτετηδεῦσθαι τοῦτον ἐξ ἀρχῆς φορεῖν, διὰ τὸ μὴ λίαν αὐτὸν εὐχαίτην εἶναι. οὐ μὴν ἀλλὰ τῆς προσηγορίας ταύτης ἄξιόν τι σπεύδων πρᾶξαι, ἐπὶ μὲν Ἰτυκαίους ἐστράτευσεν ἀφεστηκότας, καὶ ἐπὶ τὴν Ἵππου καλουμένην Ἄκραν. πολιορκήσας δὲ ἐνεργῶς τὰς πόλεις, καὶ χειρωσάμενος, τῶν τε ἐπὶ θαλάττῃ τόπων τῶν πλείστων ἐκυρίευσε, καὶ τῶν τὴν μεσόγειον οἰκούντων, πλὴν τῶν Νομάδων· ὧν τινὲς μὲν φιλίαν πρὸς αὐτὸν ἐποιήσαντο, τινὲς δ' ἐκαραδόκουν τὴν τῶν ὅλων κρίσιν.

cap. 54. Agathocles ipse quoque regis titulum assumit: ante Chr. 305.

cap. 55.

Ἀγαθοκλῆς δὲ τοῖς μὲν κατὰ Λιβύην συμμάχοις καὶ ταῖς δυνάμεσιν ὑπερέχων τῶν Καρχηδονίων, περὶ δὲ τῶν ἐν Σικελίᾳ πραγμάτων ἀγωνιῶν, ἄφρακτα καὶ πεντηκοντόρους ναυπηγησάμενος, ἐνεβίβασε στρατιώτας δισχιλίους. καταλιπὼν δὲ τῶν ἐν τῇ Λιβύῃ πραγμάτων στρατηγὸν Ἀρχάγαθον τὸν υἱόν, ἀνήχθη ταῖς ναυσὶν, ἐπὶ Σικελίας τὸν πλοῦν ποιούμενος.

Ibidem. Agathocles in Siciliam redit, relicto in Libya filio Archagatho.

Ἀπὸ δὲ τούτων τῶν καιρῶν τοῖς περὶ τὸν Ἀγαθοκλέα συνέβαινε πρὸς τὸ χεῖρον μεταβαλεῖν οὐ μόνον τὰ κατὰ Σικελίαν, ἀλλὰ καὶ τὰ κατὰ τὴν Λιβύην πράγματα.

Δεινοκράτης γὰρ ὁ τῶν φυγάδων ἡγούμενος, προστάτην αὐτὸν ἀναδείξας τῆς κοινῆς ἐλευθερίας, ἐποίησε, πολλοὺς πανταχόθεν συνδραμεῖν πρὸς αὐτόν. ὁ δὲ Ἀρχάγαθος ὁ καταλειφθεὶς ὑπ' Ἀγαθοκλέους στρατηγὸς, μετὰ τὴν ἐπαναγωγὴν τοῦ πατρὸς, τὸ μὲν πρῶτον ἐπλεονέκτει, πέμψας εἰς τοὺς ἄνω τόπους μέρος τι τῆς δυνάμεως, ἧς ἦν ἡγεμὼν Εὔμαχος, καὶ κατὰ νοῦν ἅπαντα τὰ πράγματα τοῖς περὶ αὐτὸν ἦν.

cap. 57.

cap. 59.

Μετὰ δὲ ταῦτα τῆς γερουσίας ἐν Καρχηδόνι βουλευσαμένης περὶ τοῦ πολέμου καλῶς, ἔδοξε τοῖς συνέδροις, τρία στρατόπεδα ποιήσαντας ἐκ τῆς πόλεως ἐκπέμψαι, τὸ μὲν ἐπὶ

Sed ecce nova melioraque consilia Carthaginienses capiunt,

Digitized by Google

ἐπὶ τὰς παραθαλαττίους πόλεις, τὸ δ' εἰς τοὺς ἄνω τόπους. ἐνόμιζον γάρ, τοῦτο πράξαντες, πρῶτον μὲν τὴν πόλιν ἀπαλλάξειν τῆς πολιορκίας, ἅμα δὲ καὶ τῆς σιτοδείας. (πολλῶν γὰρ καὶ παντοδαπῶν ὄχλων συμπεφευγότων εἰς τὴν Καρχηδόνα, συνέβαινε, πάντων γεγονέναι σπάνιν, ἐξανηλωμένων ἤδη τῶν ἐπιτηδείων. ὁ δὲ τῆς πολιορκίας οὐκ ἦν κίνδυνος, ἀπροσίτου τῆς πόλεως οὔσης διὰ τὴν ἀπὸ τῶν τειχῶν καὶ τῆς θαλάττης ὀχυρότητα.) ἔπειθ' ὑπελάμβανον καὶ τοὺς συμμάχους διαμενεῖν μᾶλλον, πλειόνων στρατοπέδων ὄντων ἐν ὑπαίθρῳ τῶν παραβοηθούντων. τὸ δὲ μέγιστον, ἤλπιζον, καὶ τοὺς πολεμίους ἀναγκασθήσεσθαι, μερίζειν τὰς δυνάμεις, καὶ μακρὰν ἀποσπᾶσθαι τῆς Καρχηδόνος. ἅπερ ἅπαντα κατὰ τὴν ἐπίνοιαν αὐτῶν συνετελέσθη. τρισμυρίων μὲν γὰρ στρατιωτῶν ἐκ τῆς πόλεως ἐκπεμφθέντων, οἱ καταλειπόμενοι ἔμποροι οὐχ οἷον ἱκανὰ πρὸς αὐτάρκειαν εἶχον, ἀλλ' ἐκ περιουσίας ἐχρῶντο δαψιλέσι πᾶσιν. οἵ τε σύμμαχοι, τὸ πρὸ τοῦ διὰ τὸν ἀπὸ τῶν πολεμίων φόβον ἀναγκαζόμενοι προστίθεσθαι τοῖς πολεμίοις, τότε πάλιν θαῤῥήσαντες ἀνέτρεχον εἰς τὴν προϋπάρχουσαν φιλίαν.

tripartito exercitu Græcorum copias in diversas partes distrahentes.

cap. 60.
Tria Græcorum quoque agmina facit Archagathus.

Ὁ δ' Ἀρχάγαθος, ὁρῶν διειλημμένην ἅπασαν τὴν Λιβύην πολεμίοις στρατοπέδοις, καὶ αὐτὸς διεῖλε τὴν δύναμιν· καὶ μέρος μὲν ἐξέπεμψεν εἰς τὴν παραθαλάττιον, τῆς δ' ἄλλης στρατιᾶς ἣν μὲν Αἰσχρίωνι παραδοὺς ἐξέπεμψε, ἧς δ' αὐτὸς ἡγεῖτο, καταλιπὼν τὴν ἱκανὴν φυλακὴν ἐπὶ τοῦ Τύνητος. τοσούτων δὲ στρατοπέδων ἐπὶ τῆς χώρας πανταχῇ πλαζομένων, καὶ προσδοκωμένης ἔσεσθαι πραγμάτων ὁλοσχερῶν μεταβολῆς, ἅπαντες ἠγωνίων παραδοκοῦντες τὸ τέλος τῶν ἀποβησομένων. Ἄννων μὲν οὖν ἡγούμενος τοῦ κατὰ τὴν μεσόγειον στρατοπέδου, θεὶς ἐνέδραν τοῖς περὶ τὸν Αἰσχρίωνα, καὶ παραδόξως ἐπιθέμενος, ἀνεῖλε πεζοὺς μὲν πλείους τῶν τετρακισχιλίων, ἱππεῖς δὲ περὶ διακοσίους, ἐν οἷς ἦν καὶ αὐτὸς ὁ στρατηγός· τῶν δ' ἄλλων οἱ μὲν ἥλωσαν, οἱ δὲ διεσώθησαν πρὸς Ἀρχάγαθον, ἀπέχοντα σταδίους πεντακοσίους. Ἰμίλκων δ' ἐπὶ τοὺς ἄνω τόπους στρατηγὸς ἀποδειχθεὶς, τὸ μὲν πρῶτον ἐφήδρευε τῇ πόλει πρὸς τὸν Εὔμαχον, ἐφελκόμενον βαρὺ τὸ στρατόπεδον, διὰ τὰς ἐκ τῶν ἁλουσῶν πόλεων ὠφελείας· μετὰ δὲ ταῦτα τῶν Ἑλλήνων ἐκταξάντων τὴν δύναμιν, καὶ προκαλουμένων

Unum ducit Aeschrion, quod Hanno opprimit;

alterum Eumachus, quod Imilco fundit.

νων εἰς μάχην, Ἰμίλκων μέρος μὲν τῆς ϛρατιᾶς κατέλιπε διεσκευασμένον ἐν τῇ πόλει, διακελευσάμενος, ὅταν αὐτὸς ἀναχωρῇ, προσποιέμενος φεύγειν, ἐπεξελθεῖν τοῖς ἐπιδιώκεσιν· αὐτὸς δὲ προάγων τὰς ἡμίσεις τῶν ϛρατιωτῶν, καὶ μακρὸν πρὸ τῆς παρεμβολῆς συνάψας μάχην, εὐθὺς ἔφευγεν, ὡς καταπεπληγμένος· οἱ δὲ περὶ τὸν Εὔμαχον ἐπαρθέντες τῇ νίκῃ, καὶ τῆς τάξεως ἐδὲν φροντίσαντες, ἐδίωκον, καὶ τεθορυβημένως τῶν ὑποχωρέντων ἐξήπτοντο. ἄφνω δὲ καθ' ἕτερον μέρος τῆς πόλεως ἐκχυθείσης τῆς δυνάμεως κατεσκευασμένης, καὶ πλήθει ἱκανὲ πρὸς ἓν παρακέλευσμα συναλαλάξαντος, κατεπλάγησαν. ἐμβαλόντων ἐν τῶν Βαρβάρων εἰς ἀσυντάκτες καὶ πεφοβημένες διὰ τὸ παράδοξον, ταχὺ τροπὴν συνέβη γενέσθαι τῶν Ἑλλήνων. ὑποτεμομένων γὰρ τῶν Καρχηδονίων τὴν εἰς τὴν ϛρατοπεδείαν ἀποχώρησιν τῶν πολεμίων, ἠναγκάσθησαν οἱ περὶ τὸν Εὔμαχον καταφυγεῖν ἐπὶ τὸν πλησίον λόφον ὕδατος σπανίζοντα. περιϛρατοπεδευσάντων δὲ τὸν τόπον τῶν Φοινίκων, ἅμα μὲν ὑπὸ τῆς δίψης καταπονηθέντες, ἅμα δ' ὑπὸ τῶν πολεμίων κρατέμενοι, σχεδὸν ἅπαντες ἀνῃρέθησαν. ἀπὸ μὲν γὰρ πεζῶν ὀκτακισχιλίων, τριάκοντα μόνον διεσώθησαν, ἀπὸ δ' ἱππέων ὀκτακοσίων, τετταράκοντα διέφυγον τὸν κίνδυνον.

cap. 61. Duplici hac clade afflictus Archagathus, a sociis insuper deseritur.

Ὁ δ' Ἀρχάγαθος τηλικαύτῃ συμφορᾷ περιπεσὼν, ἐπανῆλθεν εἰς Τύνητα· καὶ τῶν μὲν ἐκπεμφθέντων ϛρατιωτῶν τὰς περιλειπομένας μετεπέμπετο πανταχόθεν, εἰς δὲ τὴν Σικελίαν ἐξέπεμψε τὰς δηλώσοντας τῷ πατρὶ τὰ συμβεβηκότα, καὶ παρακαλέσοντας βοηθεῖν τὴν ταχίϛην. τοῖς δὲ προγεγονόσιν ἀτυχήμασιν, ἑτέρα τοῖς Ἕλλησιν ἐλάττωσις ἐπεγένετο. ἀπέϛησαν μὲν γὰρ ἀπ' αὐτῶν πλὴν ὀλίγων ἅπαντες σύμμαχοι· συνεϛράφησαν δὲ αἱ τῶν πολεμίων δυνάμεις, καὶ πλησίον ποιησάμενοι παρεμβολὰς ἐφήδρευον. Ἰμίλκων μὲν γὰρ κατελάβετο τὰ ϛενὰ, καὶ τῶν ἀπὸ τῆς χώρας εἰσβολῶν ἀπέκλεισε τὰς ἐναντίες, ἀπέχοντας ϛαδίες ἑκατόν. ἐκ δὲ θατέρε μέρες ἐϛρατοπέδευσεν Ἀτάρβας ἀπὸ τεσσαράκοντα ϛαδίων τῆς Τύνητος. διόπερ τῶν πολεμίων ἐ μόνον τῆς θαλάττης, ἀλλὰ καὶ τῆς χώρας κυριευόντων, σιτοδείᾳ τε συνέβαινε συνέχεσθαι τὰς Ἕλληνας, καὶ τῷ φόβῳ πάντοθεν κατείχοντο. ἐν ἀθυ-

Agathocles, de suorum in Libya calamitate certior factus, insula Leptinæ permissa, ipse classem ducit.

ἀθυμίᾳ δὲ δεινῇ πάντων ὄντων, Ἀγαθοκλῆς, ὡς ἐπύθετο τὰ κατὰ τὴν Λιβύην ἐλαττώματα, παρεσκευάσατο ναῦς τε μακρὰς ἑπτακαίδεκα, διανοούμενος βοηθεῖν τοῖς περὶ τὸν Ἀρχάγαθον. καὶ τῶν κατὰ Σικελίαν δὲ πραγμάτων ἐπὶ τὸ χεῖρον αὐτῷ μεταβεβληκότων, διὰ τὸ τοὺς περὶ Δεινοκράτην Φυγάδας ηὐξῆσθαι ἐπὶ πλεῖον, τὸν μὲν ἐν τῇ νήσῳ πόλεμον τοῖς περὶ Λεπτίνην στρατηγοῖς ἐνεχείρισεν· αὐτὸς δὲ πληρώσας τὰς ναῦς, ἐπετήρει τὸν τοῦ πλοῦ καιρὸν, ἐφορμούντων τῶν Καρχηδονίων τριάκοντα ναυσί.

cap. 64. Reversus in Africam Agathocles damna reparare annititur;

Κομισθεὶς δὲ εἰς Λιβύην, κατέλαβε τὸ στρατόπεδον ἐν ἀθυμίᾳ καὶ σπάνει πολλῇ. διόπερ κρίνων, συμφέρειν διαγωνίζεσθαι, παρεκάλεσε τοὺς στρατιώτας εἰς τὸν κίνδυνον· καὶ προσαγαγὼν τὴν δύναμιν ἐκτεταγμένην, προεκαλεῖτο τοὺς Βαρβάρους εἰς μάχην. εἶχε δὲ πεζοὺς μὲν, τοὺς ἅπαντας ὑπολειπομένους, Ἕλληνας ἑξακισχιλίους, Κελτοὺς δὲ καὶ Σαμνίτας καὶ Τυῤῥηνοὺς, τούτων οὐκ ἐλάττους· Λίβυας δὲ μικρὸν ἀπολείποντας τῶν μυρίων, οὓς ἐφέδρους εἶναι συνέβαινε, συμμεταβαλλομένους ἀεὶ τοῖς καιροῖς. χωρὶς δὲ τούτων ἠκολούθουν ἱππεῖς χίλιοι πεντακόσιοι· ζεύγη δὲ Λιβύων πλείω τῶν ἑξακισχιλίων. οἱ δὲ Καρχηδόνιοι, κατεστρατοπεδευκότες ἐπὶ τῶν ὑπερδεξίων καὶ δυσπροσίτων, διακινδυνεύειν μὲν πρὸς ἀνθρώπους ἀπογινώσκοντας τὴν σωτηρίαν οὐκ ἔκρινον· μένοντες δ' ἐν τῇ παρεμβολῇ, καὶ πάντων εὐποροῦντες, τῇ σπάνει καὶ τῷ χρόνῳ καταπολεμήσειν τοὺς ἐναντίους ἤλπιζον.

sed hostium castra adortus, cum magna clade repellitur.

ὁ δ' Ἀγαθοκλῆς οὐ δυνάμενος μὲν αὐτοὺς εἰς τὰ πεδία προάγεσθαι, τῶν δὲ καιρῶν ἀναγκαζόντων τολμᾷν τι καὶ παραβάλλεσθαι, τὴν δύναμιν ἤγαγεν ἐπὶ τὴν τῶν Βαρβάρων στρατοπεδείαν. ἐπεξελθόντων οὖν τῶν Καρχηδονίων, καὶ πολὺ τῷ πλήθει καὶ ταῖς δυσχωρίαις ὑπερεχόντων, ἐπὶ μέν τινά χρόνον οἱ περὶ τὸν Ἀγαθοκλέα διεκαρτέρουν, πάντοθεν ἐκθλιβόμενοι· μετὰ δὲ ταῦτ' ἐνδόντων τῶν τε μισθοφόρων, καὶ τῶν ἄλλων, ἠναγκάσθησαν ἀναχωρῆσαι πρὸς τὴν στρατοπεδείαν. οἱ δὲ Βάρβαροι βαρέως ἐπικείμενοι, τοὺς μὲν Λίβυας παρήλλαττον οὐδὲν ἐνοχλοῦντας, ἵνα τὴν εὔνοιαν αὐτῶν ἐκκαλέσωνται· τοὺς δ' Ἕλληνας καὶ μισθοφόρους γνωρίζοντες διὰ τῶν ὅπλων ἐφόνευον, μέχρις ὅτου συνεδίωξαν εἰς τὴν παρεμβολήν. τότε μὲν οὖν ἀνῃρέθησαν Ἀγαθοκλέους εἰς τρισχιλίους.

Ἀγα-

Digitized by Google

cap. 68. Hac calamitate afflictus cum in Siciliam clam cum suis refugere conatur, vi retinetur,

Ἀγαθοκλῆς δὲ, μετὰ τὴν γενομένην ἀτυχίαν, τῶν μὲν Λιβύων ἁπάντων ἀποστάντων ἀπ' αὐτοῦ, τῆς δὲ ὑπολειπομένης δυνάμεως ἀδυνατούσης διαπολεμεῖν πρὸς τοὺς Καρχηδονίους, διέγνω τὴν Λιβύην ἐκλιπεῖν. διακομίσαι δὲ τοὺς στρατιώτας οὐχ ὑπελάμβανε δυνήσεσθαι, διὰ τὸ μήτε πορθμεῖα παρεσκευάσθαι, μήτε τοὺς Καρχηδονίους ἐπιτρέψαι ποτ' ἂν θαλασσοκρατοῦντας· διαλύσεις δ' οὐκ ἐνόμιζε ποιήσεσθαι τοὺς Βαρβάρους, πολὺ προέχοντας ταῖς δυνάμεσι, καὶ διαβεβαιωμένους ταῖς τῶν πρώτων διαβάντων ἀπωλείαις ἀποτρέψαι τοὺς ἄλλους ἐπιτίθεσθαι τῇ Λιβύῃ. ἔκρινεν οὖν μετ' ὀλίγων λάθρα ποιήσασθαι τὴν ἀναγωγὴν, καὶ συνεβίβασε τὸν νεώτερον τῶν υἱῶν Ἡρακλείδην. τὸν γὰρ Ἀρχάγαθον εὐλαβεῖτο, μή ποτε συνὼν τῇ μητρυιᾷ, καὶ φύσει τολμηρὸς ὢν, ἐπιβουλὴν κατ' αὐτοῦ συστήσῃ. ὁ δ' Ἀρχάγαθος, ὑποπτεύσας αὐτοῦ τὴν ἐπίνοιαν, παρετήρει τὸν ἔκπλουν, διανοούμενος, μηνῦσαι τῶν ἡγεμόνων τοῖς διακωλύσουσι τὴν ἐπιβολήν. ἡγεῖτο γὰρ, δεινὸν εἶναι, τὸ τῶν μὲν κινδύνων ἑαυτὸν προθύμως μετεσχηκέναι, προαγωνιζόμενον τοῦ πατρὸς καὶ τἀδελφοῦ· τῆς δὲ σωτηρίας μόνον ἀποστερεῖσθαι, καταλειπόμενον ἔκδοτον τοῖς πολεμίοις. διὸ δὴ τοὺς περὶ τὸν Ἀγαθοκλέα μέλλοντας λάθρα τὸν ἀπόπλουν ποιεῖσθαι νυκτὸς, ἐμήνυσέ τισι τῶν ἡγεμόνων. οἱ δὲ συνδραμόντες οὐ μόνον διεκώλυσαν, ἀλλὰ καὶ τῷ πλήθει τὴν ῥᾳδιουργίαν ἐξέθηκαν· ἐφ' οἷς οἱ στρατιῶται περιαλγεῖς γενόμενοι, συνέλαβον τὸν δυνάστην, καὶ δήσαντες παρέδωκαν εἰς φυλακήν.

& vinctus custodiæ traditur.

cap. 69. Militum opera vinculis solutus evadit.

Ἀναρχίας οὖν γενομένης ἐν τῷ στρατοπέδῳ, θόρυβος ἦν καὶ ταραχή· καὶ τῆς νυκτὸς ἐπιλαβούσης διεδόθη λόγος, ὡς πλησίον εἰσὶν οἱ πολέμιοι. ἐμπεσούσης δὲ πτοίας καὶ φόβου πανικοῦ, διεσκευασμένος ἕκαστος προῆγεν ἐκ τῆς παρεμβολῆς, οὐδενὸς παραγγέλλοντος. καθ' ὃν δὴ χρόνον οἱ τὸν δυνάστην παραφυλάττοντες, οὐχ ἧττον τῶν ἄλλων ἐκπεπληγμένοι, καὶ δόξαντες ὑπὸ, τινων καλεῖσθαι, ταχέως ἐξῆγον τὸν Ἀγαθοκλέα διειλημμένον δεσμοῖς. τὸ δὲ πλῆθος ὡς εἶδεν, εἰς ἔλεον ἐτράπη, καὶ πάντες ἐπεβόων ἀφεῖναι· ὁ δὲ λυθεὶς, καὶ μετ' ὀλίγων ἐμβὰς εἰς τὸ πορθμεῖον, ἔλαθεν ἐκπλεύσας κατὰ τὴν δύσιν τῆς Πλειάδος, χειμῶνος ὄντος. οὗτος μὲν οὖν τῆς ἰδίας σωτηρίας φρον-

Digitized by Google

Quo facto milites ejus filios occidunt, & cum Carthaginiensibus pacis conditiones ineunt.

φροντίσας, ἐγκατέλιπε τοὺς υἱούς. οὓς οἱ στρατιῶται, τὸν δρασμὸν ἀκούσαντες, εὐθὺς ἀπέσφαξαν, καὶ στρατηγοὺς ἐξ ἑαυτῶν ἑλόμενοι, διελύθησαν πρὸς Καρχηδονίους· ὥστε τὰς πόλεις, ἃς εἶχον, παραδοῦναι, καὶ λαβεῖν τάλαντα τριακόσια. καὶ τοὺς μὲν αἱρουμένους μετὰ Καρχηδονίων στρατεύειν, κομίζεσθαι τοὺς ἀεὶ διδομένους μισθοὺς, τοὺς δ' ἄλλους εἰς Σικελίαν διακομισθέντας, λαβεῖν οἰκητήριον Σολοῦντα. τῶν μὲν οὖν στρατιωτῶν οἱ πλείους ἐμμείναντες ταῖς συνθήκαις, ἔτυχον τῶν ὁμολογηθέντων· ὅσοι δὲ τὰς πόλεις διακατέχοντες ἀντεῖχον ταῖς παρ' Ἀγαθοκλέους ἐλπίσι, ἐξεπολιορκήθησαν κατὰ κράτος. ὧν οἱ Καρχηδόνιοι τοὺς μὲν ἡγεμόνας ἀνεσταύρωσαν, τοὺς δ' ἄλλους δήσαντες πέδαις, ἣν διὰ τὸν πόλεμον ἐξηγρίωσαν χώραν, ἐξηνάγκαζον τοῖς ἰδίοις πόνοις πάλιν ἐξημεροῦν. Καρχηδόνιοι μὲν οὖν ἔτος τέταρτον πολεμούμενοι, τοῦτον τὸν τρόπον ἐκομίσαντο τὴν ἐλευθερίαν.

cap. 77. Agathocles, ob defectionem Pasiphili in desperationem adductus, ante Chr. 304.

Κατὰ δὲ τὴν Σικελίαν, Ἀγαθοκλῆς ἐπῄει τὰς ὑπ' αὐτὸν πόλεις, ἀσφαλιζόμενος φρουραῖς, καὶ χρήματα πραττόμενος. σφόδρα γὰρ εὐλαβεῖτο, μή ποτε διὰ τὰς γεγενημένας περὶ αὐτὸν ἀτυχίας ὁρμήσωσιν οἱ Σικελιῶται πρὸς τὴν αὐτονομίαν. καθ' ὃν δὴ χρόνον Πασίφιλος ὁ στρατηγὸς, ἀκούσας τὴν τῶν Ἀγαθοκλέως υἱῶν ἀναίρεσιν, καὶ τὰ περὶ τὴν Λιβύην ἐλαττώματα, τοῦ μὲν δυνάστου κατεφρόνησε, πρὸς δὲ Δεινοκράτην ἀποστὰς, καὶ φιλίαν αὐτῷ συνθέμενος, τάς τε πόλεις, ἃς ἦν πεπιστευμένος, διακατέσχε, καὶ τὴν μετ' αὐτοῦ δύναμιν ἐλπίσι ψυχαγωγήσας, ἀλλοτρίαν κατεσκεύασε τοῦ τυράννου· ὁ δὲ Ἀγαθοκλῆς, πανταχόθεν τῶν ἐλπίδων περικοπτομένων, οὕτως ἐταπεινώθη τὴν ψυχὴν, ὥστε διαπρεσβεύσασθαι πρὸς Δεινοκράτην, καὶ παρακαλεῖν ἐπὶ τοῖσδε συνθήκας ποιήσασθαι· ἐκχωρῆσαι μὲν τῆς δυναστείας Ἀγαθοκλέα, παραδοῦναι δὲ τὰς Συρακούσας τοῖς πολίταις, καὶ μηκέτι εἶναι φυγάδα Δεινοκράτην· ἐξαίρετα δὲ δοθῆναι τῶν ἐρυμάτων Ἀγαθοκλεῖ δύο, Θέρμα καὶ Κεφαλοίδιον, καὶ τὴν χώραν τὴν τούτων.

regnum Dinocrati sub aequis conditionibus offert.

cap. 78.

Θαυμάσαι δ' ἄν τις εἰκότως ἐν τούτοις, πῶς Ἀγαθοκλῆς, ὑποστατικὸς ἐν τοῖς ἄλλοις πᾶσι γενόμενος, καὶ μηδέ ποθ' ἑαυτὸν ἐν ταῖς ἐσχάταις προσδοκίαις ἀπελπίσας,

Digitized by Google

σας, τότε δειλιάσας ἀκοντὶ παρεχώρησε τοῖς πολεμίοις τῆς τυραννίδος, ὑπὲρ ἧς πολλὰς καὶ μεγάλας κινδύνας προηγωνίσατο· καὶ τὸ πάντων παραλογώτατον, Συρακουσῶν τε κυριεύσας, καὶ τῶν ἄλλων πόλεων, καὶ ναῦς καὶ χρήματα κεκτημένος, καὶ δύναμιν σύμμετρον, ἐξηθένησε τοῖς λογισμοῖς, ὐδὲν τῶν γενομένων περὶ Διονύσιον τὸν τύραννον μνηθείς. τύτυ γάρ ποτε συνδιωχθέντος εἰς περίστασιν ὁμολογυμένως ἀπεγνωσμένην, καὶ διὰ τὸ μέγεθος τῶν ἐπηρτημένων κινδύνων ἀπελπίσαντος μὲν τὰ κατὰ τὴν δυναστείαν, μέλλοντος δ' ἐκ τῶν Συρακυσῶν ἐξιππεύειν πρὸς ἑκύσιον φυγὴν, Ἕλωρις ὁ πρεσβύτατος τῶν φίλων, ἐπιλαβόμενος τῆς ὁρμῆς, Διονύσιε, φησὶ, καλὸν ἐντάφιον ἡ τυραννίς. παραπλησίως δὲ τύτῳ καὶ ὁ κηδεστὴς Μεγακλῆς ἀπεφήνατο πρὸς αὐτὸν, εἰπὼν, ὅτι δεῖ τὸν ἐκ τῆς τυραννίδος ἐκπίπτοντα τῦ σκέλυς ἑλκόμενον ἀπιέναι, καὶ μὴ κατὰ προαίρεσιν ἀπαλλάττεσθαι. ὑπὸ δὲ τύτων τῶν παρακλήσεων ὁ Διονύσιος μετεωρισθεὶς ἐνεκαρτέρησε πᾶσι τοῖς δοκῦσι εἶναι δεινοῖς· καὶ τὴν μὲν ἀρχὴν μείζονα κατεσκεύασεν, αὐτὸς δὲ ἐν τοῖς ταύτης καλοῖς ἐγγηράσας ἀπέλιπε τοῖς ἐκγόνοις μεγίστην τῶν κατὰ τὴν Εὐρώπην δυναστείαν.

cap. 79.

Dum vero Dinocrates cunctatur, a Syracusanorum democratia accipienda alienus,

Ἀγαθοκλῆς δ' ἐπ' ὐδενὶ τύτων μετεωρισθεὶς, ὐδὲ τὰς ἀνθρωπίνας ἐλπίδας ἐξελέγξας τῇ πείρᾳ, τηλικαύτην ἀρχὴν ἔκδοτον πεποίηται ταῖς ὁμολογίαις. ταύτας δ' ἀσυντελέστυς συνέβη γενέσθαι, τῇ μὲν Ἀγαθοκλέυς προαιρέσει κυρωθείσας, διὰ δὲ τὴν Δεινοκράτυς πλεονεξίαν μὴ προσδεχθείσας. ὗτος γὰρ μοναρχίας ὢν ἐπιθυμητὴς, τῆς μὲν ἐν ταῖς Συρακύσαις δημοκρατίας ἀλλότριος ἦν, τῇ δὲ ἡγεμονίᾳ τῇ τότε ὔσῃ περὶ αὐτὸν εὐηρεστεῖτο. ἀφηγεῖτο γὰρ πεζῶν μὲν πλειόνων ἢ δισμυρίων, ἱππέων δὲ τρισχιλίων, πόλεων δὲ πολλῶν καὶ μεγάλων· ὥστε αὐτὸν καλεῖσθαι μὲν τῶν φυγάδων στρατηγὸν, τῇ δ' ἀληθείᾳ βασιλικὴν ἔχειν ὑπεροχὴν, τῆς ἐξυσίας ὔσης περὶ αὐτὸν αὐτοκράτορος. εἰ κατέλθοι δ' εἰς τὰς Συρακύσας, πάντως ἀναγκαῖον ἂν ἦν, ἰδιώτην ὑπάρχειν, καὶ ἕνα τῶν πολλῶν ἀριθμεῖσθαι, τῆς αὐτονομίας ἀγαπώσης τὴν ἰσότητα, ἔν τε ταῖς χειροτονίαις ὑπὸ τῦ τυχόντος δημαγωγῦ παρευημερεῖσθαι, τῦ πλήθυς ἀντικειμένυ ταῖς ὑπεροχαῖς τῶν ἀν-

Digitized by Google

ἀνδρῶν τῶν ἀγόντων παῤῥησίαν. διόπερ Ἀγαθοκλῆς μὲν δικαίως ἂν λέγοιτο λελοιπέναι τὴν τῆς τυραννίδος τάξιν, Δεινοκράτης δ' αἴτιος εἶναι νομίζοιτο τῶν ὕςερον τῷ δυνάςῃ κατορθωθέντων. ὗτος γὰρ, συνεχῶς Ἀγαθοκλέυς διαπρεσβευομένυ περὶ τῶν ὁμολογιῶν, καὶ δεομένυ, συγχωρῆσαι τὰ δύο Φρύρια πρὸς καταβίωσιν, ἀεὶ προφάσεις εὐλόγυς κατεσκεύαζε, δι' ὧν διέκοπτε τὰς ἐλπίδας τῶν ὁμολογιῶν, ποτὲ μὲν ἀποφαινόμενος, ἐκ Σικελίας αὐτὸν ἀπαλλάττεσθαι, ποτὲ δὲ τὰ τέκνα πρὸς ὁμηρείαν αἰτῶν. ὁ δ' Ἀγαθοκλῆς γνὺς αὐτῦ τὴν ἐπίνοιαν, πρὸς μὲν τὺς φυγάδας διεπέμπετο, κατηγορῶν τῦ Δεινοκράτυς, ὡς διακωλύοντος τῦ τυχεῖν αὐτὺς τῆς αὐτονομίας· πρὸς δὲ τὺς Καρχηδονίυς πρεσβευτὰς ἀποςείλας, συνέθετο τὴν εἰρήνην· ἐφ' οἷς τὰς πόλεις κομίσασθαι τὺς Φοίνικας πάσας, τὰς πρότερον ὑπ' αὐτὺς γεγενημένας. ἀντὶ δὲ τύτων ἔλαβε παρὰ Καρχηδονίων χρυσίον μὲν εἰς ἀργυρίυ λόγον τριακοσίων ταλάντων· ὡς δὲ Τίμαιός φησιν, ἑκατὸν πεντήκοντα· σίτυ δὲ μεδίμνων εἴκοσι μυριάδας.

Agathocles, mutato consilio, exsules in Dinocratem sollicitat, & cum Carthaginiensibus pacem facit,

cap. 89. atque interea bellum in Dinocratem renovat. ante Chr. 303.

Ἀγαθοκλῆς μὲν ὖν, ὐ δυνάμενος διαλύσασθαι πρὸς τὺς περὶ Δεινοκράτην φυγάδας, ἀνέζευξεν ἐπ' αὐτὺς μεθ' ἧς εἶχε δυνάμεως, νομίζων, ἀναγκαῖον ὑπάρχειν αὐτῷ διακινδυνεύειν καὶ παραβάλλεσθαι περὶ τῶν ὅλων. συνηκολέθυν δ' αὐτῷ πεζοὶ μὲν ὐ πλείυς τῶν πεντακισχιλίων, ἱππεῖς δὲ εἰς ὀκτακοσίυς. οἱ δὲ περὶ Δεινοκράτην φυγάδες, ὁρῶντες τὴν τῶν πολεμίων ὁρμὴν, ἄσμενοι κατήντησαν εἰς τὴν μάχην, ὄντες πολλαπλάσιοι. πεζοὶ μὲν γὰρ ὑπῆρχον πλείυς τῶν δισμυρίων καὶ πεντακισχιλίων, ἱππεῖς δ' ὐκ ἐλάττυς τρισχιλίων. ἀντιςρατοπεδευσάντων δ' αὐτῶν περὶ τὸ καλύμενον Γόργιον, καὶ μετὰ ταῦτα παραταξαμένων, ἐπ' ὀλίγον μὲν χρόνον συνέςη καρτερὰ μάχη διὰ τὰς ἀμφοτέρων προθυμίας· μετὰ δὲ ταῦτα τῶν πρὸς τὸν Δεινοκράτην διαφερομένων τινὲς, ὄντες πλείυς τῶν δισχιλίων, μετεβάλοντο πρὸς τὸν τύραννον, καὶ τοῖς φυγάσιν αἴτιοι κατέςησαν τῆς ἥττης. οἱ μὲν γὰρ μετ' Ἀγαθοκλέυς ὄντες πολὺ μᾶλλον ἐθάῤῥησαν, οἱ δὲ Δεινοκράτῃ συναγωνιζόμενοι κατεπλάγησαν· καὶ νομίσαντες, πλείυς εἶναι τὺς ἀφιςαμένυς, πρὸς φυγὴν ὥρμησαν. εἶθ' ὁ μὲν Ἀγαθοκλῆς διώξας αὐτὺς μέχρι τινὸς, καὶ τῦ φο-

Pugna apud Gorgium (Torgium) commissa, vincit Agathocles.

νεύειν

νεύειν ἀποσχόμενος, διεπέμψατο πρὸς τὰς ἡττημένας, ἀξιῶν, παύσαθαι μὲν τῆς διαφορᾶς, καταπορευθῆναι δ' ἐις τὰς πατρίδας· ἐιληφέναι γὰρ ἀυτὰς πεῖραν τᾶ μηδέ ποτ' ἂν δύναθαι περιγενέθαι τὰς φυγάδας ἀγωνιζομένας πρὸς ἀυτὸν, ὅτε καὶ νῦν πολλαπλασίας ὄντας ἀυτὰς ἡττῆθαι. τῶν δὲ φυγάδων ὁι μὲν ἱππεῖς ἅπαντες ἀπὸ τῆς φυγῆς διεσώθησαν ἐις "Αμβικας χωρίον· τῶν δὲ πεζῶν ἔνιοι μὲν νυκτὸς ἐπιγενομένης διέδρασαν, ὁι δὲ πλείας καταλαβόμενοι λόφον, καὶ τὴν μὲν ἐκ τᾶ διαγωνίζεθαι νίκην ἀπελπίσαντες, ἐπιθυμᾶντες δὲ συγγενῶν καὶ φίλων καὶ πατρίδος καὶ τῶν ἐν ταύτῃ καλῶν, διελύσαντο πρὸς 'Αγαθοκλέα. λαβόντων ἂν ἀυτῶν πίσεις, καὶ καταβάντων ἀπό τινος ἐρυμνᾶ λόφα, τὰ μὲν ὅπλα παρείλετο, τὴν δὲ δύναμιν περισήσας, ἅπαντας κατηκόντισεν, ὄντας περὶ ἑπτακισχιλίας, ὡς Τίμαιός φησιν, ὡς δ' ἔνιοι γράφασιν, ἐις τετρακισχιλίας. ἀεὶ γὰρ ὁ τύραννος ἅτος πίσεως μὲν καὶ τῶν ὅρκων κατεφρόνει, τὴν δ' ἰδίαν ἰσχὺν ἀκ ἐκ τῆς περὶ ἀυτὸν δυνάμεως, ἀλλ' ἐκ τῆς τῶν ὑποτεταγμένων ἀθενείας περιεποιεῖτο, πλεῖον δεδοικὼς τὰς συμμάχας, ἢ τὰς πολεμίας.

cap. 90. Dinocratem inter amicos recipit.

Τὴν δὲ ἀντιτεταγμένην δύναμιν ἅτω διαφθείρας προσεδέξατο τὰς ὑπολελειμμένας τῶν φυγάδων· καὶ πρὸς Δεινοκράτην διαλυθεὶς, σρατηγὸν ἀυτὸν μέρας τῆς δυνάμεως ἀπέδειξε, καὶ διετέλεσε, πισεύων τὰ μέγισα. θαυμάσειε δ' ἄν τις ἐν τάτοις τὸν 'Αγαθοκλέα, πῶς πρὸς ἅπαντας ὑπόπτως ἔχων, καὶ μηδέποτε μηδενὶ βεβαίως πισεύσας, πρὸς μόνον Δεινοκράτην διετήρησε τὴν φιλίαν μέχρι τελευτῆς. ὁ δὲ Δεινοκράτης προδὰς τὰς συμμάχας, τὸν μὲν Πασίφιλον ἐν τῇ Γέλᾳ συναρπάσας ἀπέκτεινε· τὰ δὲ φράρια καὶ τὰς πόλεις ἐνεχείρισεν 'Αγαθοκλεῖ, διετῆ χρόνον ἀναλώσας ἐις τὴν τῶν πολεμίων παράθεσιν.

Ibidem. Eclog. 12. ex Lib. XXI. Agathocles veneno occiditur a Mæone. ante Chr. 289.

'Αγαθοκλῆς δὲ ὁ βασιλεὺς, πολὺν χρόνον ἐιρηνεύων πρὸς Καρχηδονίας, μεγάλην ἐπεποίητο παρασκευάσιν ναυτικῶν δυνάμεων. διενοεῖτο γὰρ, πάλιν ἐις τὴν Λιβύην διαβιβάζειν σρατόπεδα, καὶ ταῖς ναυσὶν ἔιργειν τὰς φοίνικας τῶν ἀπὸ τῶν Σαρδῶν καὶ Σικελῶν σιτοπομπίων. καὶ ἐν τῷ προγεγονότι κατὰ τὴν Λιβύην πολέμῳ θαλαττοκρατᾶντες ὁι Καρχηδόνιοι διέσωσαν ἐκ τῶν κινδύνων τὴν πατρί-

πατρίδα. εἶχε δὲ ναῦς Ἀγαθοκλῆς ὁ βασιλεὺς ἐξηρτυμένας διακοσίας τετρήρεις καὶ ἑξήρεις· ὅμως εἰς πέρας τὴν προαίρεσιν ἐκ ἤνεγκε, διὰ τοιαύτας αἰτίας. Μαίνων ἦν Αἰγεσαῖος τὸ γένος· ἐν δὲ τῇ καταλήψει τῆς πατρίδος ἡλωκὼς, δῆλος ἐγίνετο διὰ τὴν εὐπρέπειαν τȣ̃ σώματος τῷ βασιλεῖ. καὶ μέχρι μέν τινος εὐδοκεῖν προσεποιεῖτο, τῶν ἐρωμένων καὶ φίλων εἰς ἀριθμέμενος. διὰ δὲ τὴν τῆς πατρίδος συμφορὰν, καὶ τὴν περὶ αὐτὸν ὕβριν, ὑπȣ̃λως ἔχων πρὸς τὸν δυνάϛην, καιρὸν ἔλαβε τῆς κατὰ αὐτȣ̃ τιμωρίας. ὁ γὰρ βασιλεὺς ἤδη γεγηρακὼς, τὰς ὑπαίθρȣς δυνάμεις Ἀρχαγάθῳ παραδεδώκει. ȣ̃τος δὲ ἦν Ἀρχαγάθȣ μὲν υἱὸς, τȣ̃ κατὰ Λιβύην σφαγέντος, υἱωνὸς δὲ τȣ̃ βασιλέως Ἀγαθοκλέȣς, ἀνδρείᾳ δὲ καὶ ψυχῆς εὐτολμίᾳ πολὺ τȣ̃ κατὰ λόγον ὑπεραίρων. ϛρατοπεδεύοντος αὐτȣ̃ περὶ τὴν Αἴτνην, ὁ μὲν βασιλεὺς βȣλόμενος προάγειν ἐπὶ τὴν διαδοχὴν τῆς βασιλείας τὸν υἱὸν Ἀγαθοκλῆ, πρῶτον μὲν [τοῖς] ἐν ταῖς Συρακȣ́σαις συνέϛησε τὸν νεανίσκον, ἀποφαινόμενος διάδοχον ἀπολείψειν τῆς ἀρχῆς· μετὰ δὲ ταῦτα ἐξέπεμψεν αὐτὸν ἐπὶ τὸ ϛρατόπεδον. γράψας ἐπιϛολὴν ἐπὶ τὸν Ἀρχάγαθον, προσέταξε, τȣ̃τον παραδιδόναι τὰς πεζικὰς καὶ ναυτικὰς δυνάμεις. δι' ἃς ὁ μὲν Ἀρχάγαθος ὁρῶν τὴν βασιλείαν εἰς ἕτερον καταντῶσαν, ἀμφοτέροις ἐπιβȣλεῦσαι διέγνω. πρὸς Μαίνωνα τὸν Αἰγεσαῖον διαπεμψάμενος, ἔπεισεν ἀνελεῖν τὸν βασιλέα διὰ φαρμάκȣ· αὐτὸς δὲ ἔν τινι νήσῳ θυσίαν ἐπιτελέσας, καὶ καταπλεύσαντα τὸν νεώτερον Ἀγαθοκλέα παραλαβὼν πρὸς τὴν εὐωχίαν, νυκτὸς καταμεθύσας ἀπέσφαξε. τȣ̃ δὲ σώματος ῥιφθέντος εἰς τὴν θάλασσαν, καὶ πρὸς τὴν γῆν ὑπὸ τȣ̃ κλύδωνος [ἐκβραθέντος,] ἐπιγνόντες τινὲς ἀπεκόμισαν εἰς Συρακȣ́σας. ὁ δὲ βασιλεὺς εἰωθὼς μετὰ τὸ δεῖπνον ἀεὶ πτερῷ διακαθαίρεσθαι τȣ̀ς ὀδόντας, ἀπολυθεὶς τȣ̃ πότȣ, τὸν Μαίνωνα τὸ πτερὸν ᾔτησεν. εἶτα ὁ μὲν φαρμάκῳ σηπτικῷ χρίσας ἀπέδωκεν. ὁ δὲ χρησάμενος αὐτῷ φιλοτιμότερον, διὰ τὴν ἄγνοιαν, ἥψατο πανταχόθεν τῆς περὶ τȣ̀ς ὀδόντας σαρκός. καὶ πρῶτον μὲν πόνοι συνεχεῖς ἐγένοντο, καὶ καθ' ἡμέραν ἐπιτάσεις ἀλγηδόνων· ἔπειτα σηπεδόνες ἀνίατοι πάντῃ τȣ̀ς ὀδόντας περιεῖχον. ἐπὶ δὲ τῆς τελευτῆς γενο-

γενόμενος, ἐκκλησιάσας τὸν λαὸν, κατηγόρησε τῆς ἀσεβείας Ἀρχαγάθε· καὶ τὰ μὲν πλήθη παρώξυνε πρὸς τὴν αὐτῦ τιμωρίαν, τῷ δὲ δήμῳ τὴν δημοκράτειαν ἔφησεν ἀποδιδόναι. μετὰ δὲ ταῦτα τὸν βασιλέα διακείμενον ἐσχάτως ἤδη κατέθηκεν ἐπὶ τῆς πυρᾶς Ὀξύθεμις, ὁ πεμφθεὶς ὑπὸ Δημητρίυ τῦ βασιλέως, καὶ κατέκαυσεν ὄντα μὲν ἔμπνυν ἔτι, διὰ δὲ τὴν ἰδιότητα τῆς περὶ τὴν σηπεδόνα συμφορᾶς ὐ δυνάμενον φωνὴν προϊέσθαι. Ἀγαθοκλῆς μὲν πλείςυς καὶ ποικιλωτάτυς φόνυς ἐπιτελεσάμενος κατὰ τὴν δυναςείαν, καὶ τῇ κατὰ τῶν ὁμοφύλων ὠμότητι προσθεὶς καὶ τὴν εἰς θεὺς ἀσέβειαν, πρέπυσαν παρέσχε τῇ παρανομίᾳ τὴν τῦ βίυ καταςροφὴν, δυναςεύσας μὲν ἔτη δύο τῶν τριάκοντα λείποντα, βιώσας δὲ δύο πρὸς τοῖς ἑβδομήκοντα ἔτη, καθὼς Τίμαιος ὁ Συρακύσιος συγγράφει, καὶ Καλλίας καὶ αὐτὸς Συρακύσιος εἴκοσι δύο βίβλυς συγγράψας, καὶ Ἄντανδρος ὁ ἀδελφὸς Ἀγαθοκλέυς καὶ αὐτὸς συγγραφεύς. οἱ δὲ Συρακύσιοι τῆς δημοκρατείας τυχόντες, τὴν Ἀγαθοκλέυς ὐσίαν ἐδήμευσαν, τὰς δὲ εἰκόνας τὰς ἀνατιθείσας ὑπ' αὐτῦ κατέσπασαν. Μαίνων δὲ ὁ ἐπιβυλεύσας τῷ βασιλεῖ διέτριβεν ἐν τοῖς περὶ Ἀρχάγαθον, πεφευγὼς ἐκ τῶν Συρακυσῶν· πεφρονηματισμένος δὲ ἐπὶ τῷ δοκεῖν καταλελυκέναι τὴν βασιλείαν, τὸν μὲν Ἀρχάγαθον ἐδολοφόνησε· τῦ δὲ ςρατοπέδυ κυριεύσας, καὶ τὰ πλήθη λόγοις φιλανθρώποις ἰδιοποιησάμενος, διέγνω, πολεμεῖν τοῖς Συρακυσίοις, καὶ δυναςείας ἀντέχεσθαι.

Eclog. 13. Hicetas prætor. ante Chr. 289-278.

Οἱ δὲ Συρακύσιοι Ἱκέταν ςρατηγὸν ἀπέλυσαν μετὰ δυνάμεως πρὸς Μαίνωνα πολεμῆσαι· καὶ μέχρι μέν τινος διεπολέμει, φυγομαχύντων τῶν ἐναντίων, καὶ εἰς παράταξιν ὐδαμῶς καταβαινόντων. τῶν δὲ Καρχηδονίων συνεπιλαβομένων τοῖς περὶ Μαίνωνα, [καὶ] πολὺ ταῖς δυνάμεσιν ὑπερεχόντων· ἠναγκάσθησαν οἱ Συρακύσιοι, δόντες ὁμήρυς τοῖς Φοίνιξι τετρακοσίυς, διαλύσασθαι τὸν πόλεμον, καὶ καταγαγεῖν τὺς φυγάδας. τῶν δὲ μισθοφόρων ἀτιμαζομένων ἐν ταῖς ἀρχαιρεσίαις, συνέβη ςάσεως πληρωθῆναι τὴν πόλιν. διαςάντων ὖν ἐν τοῖς ὅπλοις τῶν τε Συρακυσίων καὶ τῶν μισθοφόρων, οἱ πρεσβύται διαπρεσβευσάμενοι, καὶ πολλὰ δεηθέντες ἀμφοτέρων, μόγις κατέπαυσαν τὴν ταραχὴν, ἐπὶ τῷ τὺς μισθοφόρυς ἐν τακτῷ χρόνῳ

χρόνῳ τὰς ἑαυτῶν κτήσεις ἀποδομένους ἀπελθεῖν ἐκ Σικελίας. τούτων δὲ κυρωθέντων, οἱ μὲν ξένοι κατὰ τὰς ὁμολογίας ἐκλιπόντες τὰς Συρακούσας, καὶ παραγενηθέντες ἐπὶ τὸν πορθμὸν, ὑπεδέχθησαν ὑπὸ τῶν Μεσσηνίων ὡς ἂν φίλοι καὶ σύμμαχοι. ὑπὸ γὰρ τῶν πολιτῶν φιλοφρόνως ἀναληφθέντες εἰς τὰς οἰκίας, νυκτὸς ἐφόνευσαν τοὺς ὑποδεξαμένους· καὶ τὰς τούτων γυναῖκας γήμαντες, κατέσχον τὴν πόλιν. ἐκάλεσαν δὲ ταύτην Μαμερτίνην, ἀπὸ τοῦ Ἄρεως· διὰ τὸ τοῦτον κατὰ τὴν ἐκείνων διάλεκτον Μάμερτον καλεῖσθαι.

Eclog. 2. ex Lib. XXII. Varii Siciliæ tyranni.

Κατὰ δὲ Σικελίαν ἦσαν τύραννοι Ἱκέτας ἐν Συρακούσῃ, Φιντίας εἰς Ἀκράγαντα, Τυνδαρίων ἐν Ταυρομενίῳ, καὶ ἕτεροι τῶν ἐλαττόνων πόλεων. Φιντίας δὲ καὶ Ἱκέτας πρὸς ἀλλήλους πόλεμον ἐνστησάμενοι, παρετάξαντο περὶ τὸν Ὕβλαιον, καὶ τὴν νίκην Ἱκέτας ἀπηνέγκατο· καταδρομὰς δὲ πρὸς ἀλλήλους ποιούμενοι, τὰς κτήσεις διήρπασαν, τὴν δὲ χώραν ἀγεώργητον ἐποίησαν. Ἱκέτας δὲ τῇ νίκῃ ἐπαιρόμενος, παρετάξατο πρὸς Καρχηδονίους· καὶ λειφθεὶς, πολλοὺς στρατιώτας ἀπέβαλε περὶ τὸν Τηρίαν ποταμόν. κτίζει δὲ Φιντίας πόλιν ὀνομάσας αὐτὴν Φιντιάδα, Γελώους ἀναστάτους ὄντας οἰκίσας ἐν αὐτῇ. ἐστὶ δὲ αὐτὴ παραθαλάσσιος. καθαιρῶν τὰ τείχη, καὶ τὰς οἰκίας, τοὺς λαοὺς τῆς Γέλας εἰς τὴν Φιντιάδα μετήνεγκε, κτίσας τεῖχος καὶ ἀγορὰν ἀξιόλογον, καὶ ναοὺς θεῶν.

Eclog. 6. 10. ex Lib. XXII. Thynion & Sostratus.

Ἱκέτας δὲ ἐννέα ἔτη δυναστεύσας Συρακούσης, ὑπὸ Θυνίωνος τοῦ Μαμέως ἐκβάλλεται τῆς τυραννίδος· (αὐτῷ δὲ ἀνθίστατο Σώστρατος). Θυνίωνος μὲν οὖν τῆς Νήσου κυριεύοντος, καὶ Σωστράτου τῆς Συρακούσης τυραννοῦντος, ἔχοντες στρατιώτας μυρίους διεπολέμουν ἀλλήλοις. ἀμφότεροι δὲ κάμνοντες ἐν τῷ πολέμῳ, διεπρεσβεύοντο πρὸς Πύῤῥον, (τότε ἐν Ἰταλίᾳ πολεμοῦντα. Αὐτὸς μὲν οὖν μετὰ τὰς πρὸς Ῥωμαίους συνθήκας εἰς Σικελίαν διέπλει, ὑποσχόμενος τοῖς συμμάχοις, ἐκ Σικελίας ἐπανήξειν εἰς Ἰταλίαν.)

Pyrrhus, 277-275. ante Chr. *Appianus.* Excerpt. XII. (Tom. I.)

Diodor. Sic. Eclog. 11. ex Lib. XXII. Pyrrhus omni Sicilia præter Lilybæum oppidum potitur.

Τούτου δὲ παρασκευαζομένου πρὸς τὸν ἔκπλουν, τὰς Συρακούσας Καρχηδόνιοι ἐπολιόρκουν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἑκατὸν ναυσὶν ἐφορμοῦντες τῷ μεγάλῳ λιμένι· πεζῶν δὲ πέντε μυριάσι πλησίον τῶν τειχῶν στρατεύοντες, τειχήρεις συνεῖχον τοὺς Συρακουσίους, καὶ τὴν χώραν

Digitized by Google

χώραν αὐτῶν κατατρέχοντες, ἔρημον κατεσκεύασαν. διὸ τῷ πολέμῳ κάμνοντες οἱ Συρακούσιοι, τὰς ἐλπίδας εἶχον ἐν τῷ Πύῤῥῳ διὰ Λάνασσαν τὴν γυναῖκα, τὴν θυγατέρα Ἀγαθοκλέους, ἐξ ἧς ἐγέννησεν Ἀλέξανδρον υἱόν· καὶ διὰ τοῦτο καθ' ἡμέραν ἄλλους ἐπ' ἄλλοις πρέσβεις ἔστελλον πρὸς αὐτόν. ἐμβιβάσας δὲ τὸν λαὸν εἰς τὰς ναῦς καὶ τοὺς ἐλέφαντας, καὶ τὴν ἄλλην παρασκευὴν, ἐξέπλευσεν ἐκ τῆς Τάραντος καὶ δεκαταῖος εἰς Λοκροὺς κατῆρεν· ἐντεῦθεν καταπλεύσας τὸν πορθμὸν, καὶ διάρας Σικελίαν, κατῆρεν εἰς τὴν Ταυρομένιον. ἐκεῖθεν προσλαβόμενος εἰς συμμαχίαν Τυνδαρίωνα, τὸν δυνάστην Ταυρομενίας, καὶ λαβὼν παρ' αὐτοῦ στρατιώτας, κατέπλευσεν εἰς τὴν Κατάνην· καὶ προσδεχθεὶς ὑπὸ τῶν ἐγχωρίων μεγάλως, καὶ χρυσοῖς στεφάνοις στεφθεὶς, ἀπεβίβασε τὴν πεζὴν δύναμιν. ταύτης δὲ πορευομένης εἰς Συρακούσας, καὶ ὁ στόλος συμπαρέπλει κεκοσμημένος πρὸς ναυμαχίαν. ὡς δὲ πλησίον ἐγένοντο Συρακούσης, οἱ μὲν Καρχηδόνιοι προεκπεσταλκότες τριάκοντα ναῦς, διά τινας χρείας ἀναγκαίας, ταῖς καταλελειμμέναις οὐκ ἐτόλμησαν πολεμῆσαι. διόπερ Πύῤῥος ἀκινδύνως διέπλευσεν εἰς Συρακούσας, καὶ παραλαβὼν τὴν Νῆσον παρὰ Θυνίωνος, τὴν δ' ἄλλην πόλιν παρὰ Συρακουσίων καὶ Σωσιστράτου· ἔτος δὲ ἐκυρίευσεν Ἀκράγαντος, καὶ πολλῶν ἄλλων πόλεων, ἔχων στρατιώτας ὑπὲρ τοὺς μυρίους· καὶ τὸν μὲν Θυνίωνα καὶ Σωσίστρατον καὶ τοὺς Συρακουσίους κατήλλαξε, καὶ εἰς ὁμόνοιαν ἤγαγεν, ὡς μεγάλης ἀποδοχῆς διὰ τὴν εἰρήνην [τετευχώς.] ὁ δὲ βασιλεὺς παραλαβὼν [ἣν] τά τε βέλη καὶ τὰς μηχανὰς καὶ τὰς ἐν τῇ πόλει παρασκευάς. αἱ δὲ ναῦς, ἃς παρέλαβεν ἐν ταῖς Συρακούσαις, [ἦσαν] κατάφρακτοι ἑκατὸν εἴκοσι, καὶ ἄφρακτοι εἴκοσι· ἡ μὲν βασιλικὴ ἐννήρης· ὁ δὲ σύμπας στόλος σὺν ταῖς μετ' αὐτοῦ κομισθείσαις πλείους διακοσίων. ἐν τούτῳ δὲ ὄντος αὐτοῦ, ἧκον πρέσβεις ἐκ Λεοντίνων ὑπὸ Ἡρακλείδου τοῦ δυνάστου, λέγοντες, παραδώσειν τῷ βασιλεῖ τὴν πόλιν, καὶ τὰ φρούρια καὶ στρατιώτας πεζοὺς τετρακισχιλίους, ἱππεῖς δὲ πεντακοσίους. ἧκον δὲ καὶ ἕτεροι πλεῖστοι εἰς Συράκουσαν, λέγοντες, τὰς πόλεις παραδώσειν, καὶ συνεργήσειν τῷ Πύῤῥῳ. ὁ δὲ πάντας φιλανθρώπως ἀποδεξάμενος, ἀπέλυσεν εἰς τὰς ἰδίας πατρίδας, ἐλπίζων, καὶ Λιβύης τυχεῖν. Με-

Digitized by Google

Dionys. Halic. in excerptis. Tom. IV. (p. 2260–62.)

Μετὰ δὲ ȣ̓ πολὺ πᾶσαν ὑφ' ἑαυτῷ ποιησάμενος Σικελίαν, πλὴν Λιλυβαίȣ πόλεως, ἣν ἔτι μόνην Καρχηδόνιοι κατεῖχον, εἰς αὐθάδειαν τυραννικὴν ἐτράπετο. τάς τε γὰρ ȣ̓σίας τῶν Ἀγαθοκλέȣς οἰκείων, ἢ φίλων, ἀφαιρȣ́μενος τȣ̀ς παρ' ἐκείνȣ λαβόντας, τοῖς ἑαυτȣ̃ φίλοις ἐχαρίσατο· καὶ τὰς μεγίστας ἐν ταῖς πόλεσιν ἀρχὰς τοῖς ἰδίοις ὑπασπισταῖς καὶ λοχαγοῖς προσένειμεν, ȣ̓ κατὰ τȣ̀ς ἐπιχωρίȣς ἑκάστης πόλεως νόμȣς, ȣ̓δ' εἰς τὸν εἰωθότα χρόνον, ἀλλ' ὡς αὐτῷ φίλον ἦν. δίκας τε καὶ ἀμφισβητήσεις καὶ τὰς ἄλλας πολιτικὰς οἰκονομίας ἁπάσας τὰς μὲν αὐτὸς διῄτα, τὰς δὲ τοῖς περὶ τὴν αὐλὴν ἀναστρέφειν καὶ διακρίνειν ἀπεδίδȣ, ἀνθρώποις ȣ̓θὲν ἕτερον ὁρῶσιν, ὅτι μὴ κερδαίνειν καὶ καθηδυπαθεῖν τὰς εὐπορίας. καὶ διὰ ταῦτα πάντα βαρὺς ταῖς ὑποδεξαμέναις πόλεσι, καὶ μισητὸς ἦν. αἰσθόμενος δ', ὑπȣ́λως ἤδη πολλȣ̀ς πρὸς ἑαυτὸν ἔχοντας, εἴς τε τὰς πόλεις φρȣρὰς εἰσῆγε, πρόφασιν ποιȣ́μενος τὸν ἀπὸ Καρχηδονίων πόλεμον· καὶ τȣ̀ς ἐπιφανεστάτȣς ἄνδρας ἐξ ἑκάστης πόλεως συλλαμβάνων ἀπέκτεινεν, ἐπιβȣλὰς καὶ προδοσίας εὑρηκέναι ψευσάμενος, ἐν οἷς καὶ Θοίνων ὁ φύλαρχος, ὃς ὑπὸ πάντων ὡμολόγητο πλείστην σπȣδὴν καὶ προθυμίαν εἴς τε τὴν διάβασιν αὐτῷ καὶ τὴν παράληψιν τῆς νήσȣ παρεσχῆσθαι. καὶ γὰρ ὑπήντησεν αὐτῷ, ναυτικὸν στόλον ἄγων, καὶ τὴν ἐν ταῖς Συρακȣ́σαις νῆσον, ἣν αὐτὸς ἐκράτει, παρέσχεν. ἐπιχειρήσας δὲ, καὶ Σωσίστρατον συλλαβεῖν, διήμαρτε τῆς ἐλπίδος, προαισθομένȣ τὴν ἐπιβȣλὴν τȣ̃ ἀνδρὸς, καὶ φυγόντος ἐκ τῆς πόλεως. ἀρξαμένων δὲ ταράττεσθαι τῶν πραγμάτων, καὶ ἡ τῶν Καρχηδονίων πόλις καιρὸν ἐπιτήδειον εἰληφέναι νομίζȣσα πρὸς ἀνάκτησιν τῶν ἀπολωλότων χωρίων, στρατιὰν ἀπέστειλεν ἐπὶ τὴν νῆσον.

Appianus de rebus Samnit. Excerpt. XII. (T. I. p. 69–70.)

Πύῤῥος μὲν ȣ̓̃ν ἐς Ἰταλίαν ἐπανῆλθεν ἔτει τρίτῳ, Καρχηδονίων αὐτὸν ἐξελασάντων ἐκ Σικελίας, ἤδη καὶ τοῖς Σικελιώταις βαρὺν ἐπί τε ξενίαις καὶ χορηγίαις, καὶ φρȣραῖς, καὶ εἰσφοραῖς γενόμενον. ὁ μὲν δὴ πλȣ́σιος ἐκ τῶνδε γεγονὼς, ἐς τὸ Ῥήγιον διέπλει ναυσὶ καταφράκτοις δέκα καὶ ἑκατὸν, φορτίσι δὲ καὶ ὁλκάσι πολὺ πλείοσιν. Οἱ δὲ Καρχηδόνιοι, διαναυμαχήσαντες αὐτῷ, κατέδυσαν ναῦς ἑβδομήκοντα, καὶ τὰς λοιπὰς ἄπλȣς ἐποίησαν, πλὴν δώδεκα

Digitized by Google

και μόνων. ὡς ὁ Πύῤῥος διαφυγὼν ἐτίνυτο Λοκροὺς τοὺς Ἐπιζεφυρίους, ὅτι φρουρὰν αὐτοῦ καὶ τὸν φρούραρχον αὐτῆς, ὑβρίσαντας ἐς αὐτοὺς, ἀνῃρήκεσαν. ὠμῶς δ' αὐτοὺς καὶ πικρῶς κτείνων τε καὶ συλῶν ὁ Πύῤῥος, οὐδὲ τῶν ἀναθημάτων τῆς Περσεφόνης ἀπέσχετο· ἐπισκώψας, τὴν ἄκαιρον εὐσέβειαν εἶναι δεισιδαιμονίαν· τὸ δὲ συλλέξαι πλοῦτον ἄπονον, εὐβουλίαν.

Ἀναχθέντα δ' αὐτὸν μετὰ τῶν σύλων, χειμὼν ὑπέλαβε, καὶ τῶν νεῶν τὰς μὲν κατέδυσε καὶ διέφθειρεν αὐτοῖς ἀνδράσι, τὰς δ' ἐς τὴν γῆν ἐξέῤῥιψε. τὰ δὲ ἱερὰ πάντα σῶα ὁ κλύδων ἐς τοὺς Λοκρῶν λιμένας ἐπανήγαγεν· ὥστε καὶ Πύῤῥον ὀψὲ τῆς ἀσεβείας αἰσθόμενον ἀναθεῖναί τε αὐτὰ ἐς τὸ ἱερὸν τῇ Περσεφόνῃ, καὶ θυσίαις ἱλάσκεσθαι τὴν θεὸν πολλαῖς. τῶν δὲ ἱερῶν οὐκ ἀπαντώντων, ἔτι μᾶλλον ἐξεμαίνετο· καὶ τοὺς περὶ τῆς ἱεροσυλίας αὐτῷ συμβουλεύσαντας, ἢ λέγοντι συνθεμένους, ἢ διακονησαμένους τὸ ἔργον, ἔκτεινεν. Ὁ μὲν δὴ Πύῤῥος οὕτως ἐπεπράχει κακῶς.

(Μετὰ δὲ ταῦτα οἱ Συρακούσιοι Ἱέρωνα στρατηγὸν ἐξελέξαντο, ὃν μετὰ τὴν κατὰ Μαμερτίνων νίκην βασιλέα ἀνεῖπον.)

Hieronis bellum cum Mamertinis.

Diodor. Sic. Eclog. 15. ex Lib. XXII. Mamertini Messiniis succurrunt.

Οἱ δὲ τὴν Μεσσήνην οἰκοῦντες Μαμερτῖνοι εὔζωνον ποιήσαντες τὴν δύναμιν, ἧκον, ἐν τάχει βοηθήσοντες τῇ Μεσσηνίᾳ πολεμουμένῃ. ὁ δὲ Ἱέρων, ἀπαλλαγεὶς ἐκ τῆς πολεμίας, Μύλας κατὰ κράτος ἑλὼν, ἐκυρίευσε στρατιωτῶν χιλίων καὶ πεντακοσίων· εὐθὺς δὲ καὶ τἄλλα χωρία χειρωσάμενος, κατήντησεν ἐπὶ τὸ Ἀμήσελον, κείμενον μεταξὺ Κεντοριπίνων καὶ Ἀγυριναίων· ὀχυροῦ δὲ ὄντος, καὶ πολλοὺς στρατιώτας ἔχοντος, ἐκπολιορκήσας τὸ χωρίον, τοῦτο μὲν κατέσκαψε· τοὺς δὲ φρουροῦντας ἀπολύσας τῶν ἐγκλημάτων, ἔταξεν εἰς τὰς ἰδίας τάξεις. τῆς δὲ χώρας τὴν μὲν τοῖς Κεντοριπίνοις, τὴν δὲ τοῖς Ἀγυριναίοις ἐδωρήσατο. μετὰ δὲ ταῦτα Ἱέρων, ἔχων δύναμιν ἀξιόλογον, ἐστράτευσεν ἐπὶ Μαμερτίνους, καὶ τὴν μὲν Ἄλεσαν παραδόσει προσηγάγετο. ὑπὸ δὲ Ἀβακαινίνων καὶ Τυνδαριτῶν προθύμως προσδεχθεὶς, ἐκυρίευσε τῶν πόλεων τούτων· καὶ εἰς στενὴν χώραν συνήλασε τοὺς Μαμερτίνους. ἀπὸ μὲν γὰρ

τοῦ

Digitized by Google

τοῦ Σικελικοῦ πελάγους τὴν ἐγγὺς Μεσσήνης εἶχε πόλιν τὴν τῶν Ταυρομενιτῶν, ἀπὸ δὲ τοῦ Τυῤῥηνικοῦ τὴν Τυνδαριτῶν. ἐμβαλὼν δὲ εἰς Μεσσήνην, κατεστρατοπέδευσε παρὰ τὸν Λοίτανον ποταμὸν, πεζοὺς ἔχων μυρίους, ἱππεῖς δὲ χιλίους πεντακοσίους· ἀντεστράτευσαν δὲ καὶ Μαμερτῖνοι ἔχοντες πεζοὺς ὀκτακισχιλίους, ἱππεῖς δὲ μ'. στρατηγὸν δὲ εἶχον Κίων. οὗτος δὲ μάντεις ἀθροίσας ἱεροσκόπους, [καὶ] θύσας ἐπηρώτησε περὶ τῆς μάχης. τῶν δὲ ἀποφηναμένων, ὅτι διὰ τῶν ἱερῶν οἱ θεοὶ σημαίνουσι, νυκτερεύσειν ἐν τῇ παρεμβολῇ τῶν πολεμίων· περιχαρὴς ἦν, ὡς κυριεύσων τῆς τοῦ βασιλέως στρατοπεδείας· εὐθὺς ἐκτάξας τὴν δύναμιν, ἐπειρᾶτο διαβαίνειν τὸν ποταμόν. Ἱέρων δ' ἔχων τοὺς φυγάδας Μεσσήνης διακοσίους συστρατεύοντας, διαφόρους ταῖς ἀνδρείαις καὶ ἀρεταῖς, προσθεὶς αὐτοῖς ἄλλους τετρακοσίους ἐπιλέκτους, προσέταξε τὸν πλησίον λόφον τὸν ὀνομαζόμενον Θώρακα περιελθεῖν, καὶ τοῖς πολεμίοις κατὰ νώτου προσπεσεῖν· αὐτὸς δὲ τὴν δύναμιν ἐκτάξας, κατὰ στόμα ἀπήντα. γενομένης δὲ περὶ τὸ ῥεῖθρον ἱππομαχίας, ἅμα καὶ τῶν πεζῶν παρατάξεως τοῦ βασιλέως προκατειληφότων ὀφρύν τινα περὶ τὸν ποταμὸν, καὶ τὴν εὐκαιρίαν τοῦ τόπου πλεονεκτοῦντος· μέχρι μέν τινος ἰσόῤῥοπος ἦν ὁ κίνδυνος. ἐπὶ καὶ τὸν λόφον διελθόντες, ἐπέῤῥαξαν παραδόξως τοῖς Μαμερτίνοις· καὶ νεαλεῖς ὄντες τοὺς κάμνοντας τῇ μάχῃ ῥαδίως ἀνῄρουν. τότε δὴ πανταχόθεν κυκλωθέντες πρὸς φυγὴν ὥρμησαν. ἐπικειμένων [δὲ] τῶν Συρακουσίων δυνάμει, πάντας κατέκοψαν. ὁ δὲ στρατηγὸς τῶν Μαμερτίνων ἀγωνιζόμενος ἐκουσίως, καὶ περιπεσὼν πολλοῖς τραύμασι, καὶ λιποψυχήσας, ἐζωγρήθη. οὗτος ἀνεκομίσθη ἔμπνους εἰς τὴν τοῦ βασιλέως παρεμβολὴν, καὶ παρεδόθη ἰατροῖς εἰς θεραπείαν, κατὰ τὴν μαντείαν καὶ τὴν τῶν ἱεροσκόπων πρόῤῥησιν, νυκτερεύσαντος αὐτοῦ εἰς τὴν τῶν ἐναντίων παρεμβολήν. τοῦ βασιλέως δὲ θέλοντος περὶ πολλοῦ θεραπεῦσαι τὸν Κίων, ἧκόν τινες, ἵππους φέροντες ἐκ τοῦ πολέμου εἰς τὸν βασιλέα. ὁ Κίως δὲ ἐπιγνοὺς τὸν τοῦ υἱοῦ ἵππον, ὑπέλαβεν ἀνῃρῆσθαι τὸν νεανίσκον. περιαλγὴς δὲ γενόμενος, τὰς ῥαφὰς τῶν τραυμάτων διέῤῥηξε, τὴν ἀπώλειαν τοῦ τέκνου θανάτῳ τιμησάμενος. οἱ δὲ Μαμερτῖνοι, ἀπαγγελίας γενομένης, ὅτι σὺν

Hiero Mamertinos sibi subjicit.

τῷ

τῷ στρατηγῷ Κίῳ καὶ οἱ λοιποὶ στρατιῶται πάντες ἀπολώλεσιν, ἔκριναν, μεθ' ἱκετηρίας ἀπαντᾷν τῷ βασιλεῖ. Ὀυ μὴν ἡ τύχη εἴασε, παντελῶς πεσεῖν τὰ κατὰ Μαμερτίνους πράγματα. Ἀννίβας γὰρ, ὁ τῶν Καρχηδονίων στρατηγὸς, ἔτυχεν ὁρμῶν ἐν τῇ Λιπάρας νήσῳ. ἀκούσας δὲ τὸ παράδοξον, ἧκε κατὰ τάχος εἰς τὸν βασιλέα, τῷ μὲν λόγῳ συγχαίρων, τῷ δὲ ἔργῳ σπεύδων, τὸν Ἱέρωνα καταστρατηγῆσαι δι' ἀπάτης. ὁ μὲν πεισθεὶς τῷ Φοίνικι, τὰς ἡσυχίας ἔσχεν· ὁ δὲ Ἀννίβας παρελθὼν εἰς Μεσσήνην, καὶ καταλαβὼν Μαμερτίνους, μέλλοντας παραδιδόναι τὴν πόλιν, ἀνέπεισε. καὶ προσποιησάμενος βοήθειαν, εἰσήγαγεν εἰς τὴν πόλιν στρατιώτας μ'. οἱ μὲν οὖν Μαμερτῖνοι ἀπογνόντες ἑαυτῶν διὰ τὴν ἧτταν, πάλιν ἀπεκατεστάθησαν εἰς ἀσφάλειαν, τὸν εἰρημένον τρόπον. ὁ δὲ Ἱέρων καταστρατηγηθεὶς ὑπὸ τοῦ Φοίνικος, τὴν πολιορκίαν ἀπογνοὺς, ἐπανῆλθε εἰς Συρακούσας, περιβόητον εὐημερίαν πεπεποιημένος. οἱ δὲ Καρχηδόνιοι καὶ Ἱέρων, ἀποπεπτωκότες τῆς Μεσσήνης, συνῆλθον εἰς σύλλογον, καὶ συμμαχίαν πρὸς ἀλλήλους ποιησάμενοι συνέθεντο κοινῇ πολεμῆσαι Μεσσήνην. (Ἄυτη δὲ ἡ συμμαχία αἰτία ἐγένετο τοῦ τῶν Ῥωμαίων καὶ Καρχηδονίων περὶ Σικελίας πολέμου, ὃν ἀνεγράψαμεν ἤδη ἐν τῇ περὶ Καρχηδονίων περιοχῇ.)

Annibal superveniens res Mamertinorum restaurat.

v. Tom. II. p. 181. seqq.

---

c) De rebus populorum mediae Italiae,

sive

DE REBUS ROMANORUM;

1) sub regibus.

A. U. C. 1—245. *ante Chr. n.* 753—570.

Ἡ τῶν Ῥωμαίων πόλις ἵδρυται μὲν ἐν τοῖς ἑσπερίοις μέρεσι τῆς Ἰταλίας περὶ ποταμὸν Τίβεριν, ὃς κατὰ μέσην μάλιστα τὴν ἀκτὴν ἐκδίδωσιν, ἀπέχουσα τῆς Τυῤῥηνικῆς θαλάσσης ἑκατὸν εἴκοσι σταδίους. οἱ δὲ κατασχόντες αὐτὴν πρῶτοι τῶν μνημονευομένων, βάρβαροί τινες ἦσαν αὐτόχθονες Σικελοὶ λεγόμενοι, πολλὰ καὶ ἄλλα τῆς Ἰταλίας

Dionys. Halic. Rom. Ant. Lib. II. c. 1. Urbis Romae situs, habitatores prisci, conditores.

Digitized by Google

λίας χωρία κατασχόντες, ὧν ἐκ ὀλίγα διέμεινεν ἔτ᾽ ἀφανῆ μνημεῖα μέχρι τῶν καθ᾽ ἡμᾶς χρόνων, ἐν οἷς καὶ τόπων τινὰ ὀνόματα Σικελικὰ λεγόμενα, μηνύοντα τὴν πάλαι ποτὲ αὐτῶν ἐνοίκησιν. τέτες ἐκβαλόντες Ἀβοριγῖνες, αὐτοὶ κατέσχον τὸν τόπον, Οἰνώτρων ὄντες ἀπόγονοι τῶν κατοικέντων τὴν ἀπὸ Τάραντος ἄχρι Ποσειδωνίας παράλιον. ἱερά τις αὕτη νεότης καθοσιωθεῖσα θεοῖς, κατὰ τὸν ἐπιχώριον νόμον ὑπὸ τῶν πατέρων ἀποσαλῆναι λέγεται χώραν οἰκήσεσα τὴν ὑπὸ τε δαίμονος σφίσι δοθησομένην. τὸ δὲ τῶν Οἰνώτρων γένος Ἀρκαδικὸν ἦν, ἐκ τῆς τότε μὲν καλεμένης Λυκαονίας, νῦν δὲ Ἀρκαδίας, ἑκεσίως ἐξελθὸν ἐπὶ γῆς κτῆσιν ἀμείνονος, ἡγεμένε τῆς ἀποικίας Οἰνώτρε τε Λυκάονος, ἀφ᾽ ἕ τὴν ἐπίκλησιν τὸ ἔθνος ἔλαβεν. Ἀβοριγίνων δὲ κατεχόντων τὰ χωρία, πρῶτοι μὲν αὐτοῖς γίνονται σύνοικοι Πελασγοὶ πλανῆται ἐκ τῆς τότε καλεμένης Αἱμονίας, νῦν δὲ Θετταλίας, ἐν ᾗ χρόνον τινὰ ᾤκησαν· μετὰ δὲ τὲς Πελασγὲς Ἀρκάδες ἐκ Παλαντίε πόλεως ἐξελθόντες, Εὔανδρον ἡγεμόνα ποιησάμενοι τῆς ἀποικίας, Ἑρμε καὶ νύμφης Θέμιδος υἱόν· οἱ πολίζονται πρὸς ἑνὶ τῶν ἑπτὰ λόφων, ὃς ἐν μέσῳ μάλισα κεῖται τῆς Ῥώμης, Παλάντιον ὀνομάσαντες τὸ χωρίον, ἐπὶ τῆς ἐν Ἀρκαδίᾳ πατρίδος. χρόνοις δ᾽ ἐ πολλοῖς ὕσερον, Ἡρακλέες καταχθέντος εἰς Ἰταλίαν, ὅτε τὴν σρατιὰν ἐξ Ἐρυθείας οἴκαδε ἀπήγαγε, μοῖρά τις ὑπολειφθεῖσα τῆς ἐν αὐτῇ δυνάμεως Ἑλληνικὴ πλησίον ἵδρυται τε Παλαντίε, πρὸς ἑτέρῳ τῶν ἐμπεπολισμένων τῇ Ῥώμῃ λόφων, ὃς τότε μὲν ὑπὸ τῶν ἐγχωρίων Σατόρνιος ἐλέγετο, νῦν δὲ Καπιτωλῖνος ὑπὸ Ῥωμαίων. Ἐπειοὶ τέτων πλείες ἦσαν ἐκ πόλεως Ἤλιδος ἐξαναςάντες, διαπεπορθημένης αὐτοῖς τῆς πατρίδος ὑφ᾽ Ἡρακλέες.

cap. 2. Γενεᾷ δ᾽ ἑκκαιδεκάτῃ μετὰ τὸν Τρωϊκὸν πόλεμον, Ἀλβανοὶ συνοικίζεσιν ἄμφω τὰ χωρία ταῦτα, τείχει περιβαλόντες καὶ τάφρῳ. τέως δὲ ἦν αὔλια βεφορβῶν τε καὶ ποιμένων, καὶ τῶν ἄλλων καταγωγαὶ βοτήρων, ἄφθονον ἀναδιδέσης πόαν τῆς αὐτόθι γῆς, ἐ μόνον τὴν χειμερινὴν, ἀλλὰ καὶ τὴν θερεινόμον, διὰ τὲς ἀναψύχοντάς τε καὶ καταρδοντας αὐτὴν ποταμές. γένος δὲ τὸ Ἀλ-

Ἀλβανὸν μικτὸν ἦν ἔκ τε Ἀρκάδων καὶ Πελασγῶν, καὶ τῶν ἐξ Ἤλιδος ἐλθόντων Ἐπειῶν, τελευταίων δὲ τῶν μετὰ Ἰλίου ἅλωσιν ἀφικομένων εἰς Ἰταλίαν Τρώων, ὃς ἦν Αἰνείας ὁ Ἀγχίσου καὶ Ἀφροδίτης. εἰκὸς δέ τι καὶ βαρβαρικὸν ἐκ τῶν προσοίκων ἢ παλαιῶν οἰκητόρων ὑπολειπὲς τῷ Ἑλληνικῷ συγκαταλλαγῆναι. ὄνομα δὲ κοινὸν οἱ σύμπαντες οὗτοι Λατῖνοι ἐκλήθησαν ἐπ' ἀνδρὸς δυναστεύοντος τῶν τόπων Λατίνου, τὰς κατὰ ἔθνος ὀνομασίας ἀφαιρεθέντες. ἐτειχίσθη μὲν οὖν ἡ πόλις ὑπὸ τούτων τῶν ἐθνῶν ἐνιαυτῷ δευτέρῳ καὶ τριακοστῷ καὶ τετρακοσιοστῷ μετὰ Ἰλίου ἅλωσιν, ἐπὶ τῆς ἑβδόμης ὀλυμπιάδος. οἱ δὲ ἀγαγόντες τὴν ἀποικίαν, ἀδελφοὶ δίδυμοι τοῦ βασιλείου γένους ἦσαν· Ῥωμύλος αὐτῶν ὄνομα θατέρῳ· τῷ δὲ ἑτέρῳ, Ῥῶμος· τὰ μητρόθεν μὲν, ἀπ' Αἰνείου τε καὶ Δαρδανίδαι· πατρὸς δὲ ἀκρίβειαν εἰπεῖν οὐ ῥᾴδιον ἐξ ὅτου φύντες, πιστεύονται δὲ ὑπὸ Ῥωμαίων Ἄρεος υἱοὶ γενέσθαι. οὐ μέντοι διέμεινάν γε ἀμφότεροι τῆς ἀποικίας ἡγεμόνες, ὑπὲρ τῆς ἀρχῆς στασιάσαντες· ἀλλὰ περιλειφθεὶς αὐτῶν Ῥωμύλος ἀπολομένου θατέρου κατὰ τὴν μάχην, οἰκιστὴς γίνεται τῆς πόλεως, καὶ τοὔνομα αὐτῇ τῆς ἰδίας κλήσεως ἐπώνυμον τίθεται. ἀριθμὸς δὲ τῶν μετασχόντων αὐτοῖς τῆς ἀποικίας ἀπὸ πολλοῦ τοῦ κατ' ἀρχὰς ἐξαποσταλέντος ὀλίγος ἦν ὁ καταλειφθεὶς, τρισχίλιοι πεζοὶ καὶ ἱππεῖς τριακόσιοι.

Ἐπεὶ οὖν ἥ τε τάφρος αὐτοῖς ἐξείργαστο, καὶ τὸ ἔρυμα τέλος εἶχεν, αἵ τε οἰκήσεις τὰς ἀναγκαίας κατασκευὰς ἀπειλήφεσαν, ἀπῄτει δ' ὁ καιρὸς καὶ περὶ κόσμου πολιτείας, ᾧ χρήσαιντο σκοπεῖν, ἀγορὰν ποιησάμενος ὁ Ῥωμύλος βασιλεὺς ἀποδείκνυται· τά τε πολέμια δεινὸς καὶ φιλοκίνδυνος ὁμολογεῖται γενέσθαι, καὶ πολιτείαν ἐξηγήσασθαι τὴν κρατίστην φρονιμώτατος. διέξειμι δ' αὐτοῦ τὰς πράξεις τάς τε πολιτικὰς καὶ κατὰ πολέμους, ὧν καὶ λόγον ἄν τις ἐν ἱστορίας ἀφηγήσει ποιήσαιτο. ἐρῶ δὲ πρῶτον ὑπὲρ τοῦ κόσμου τῆς πολιτείας, ὃν ἐγὼ πάντων ἡγοῦμαι πολιτικῶν κόσμων αὐταρκέστατον ἐν εἰρήνῃ τε καὶ κατὰ πολέμους. ἦν δὲ τοιόσδε· τριχῇ νείμας τὴν πληθὺν ἅπασαν, ἑκάστων τῶν μοιρῶν τὸν ἐπιφανέστατον ἐπέστησεν ἡγεμόνα· ἔπειτα τῶν τριῶν πάλιν μοιρῶν ἑκάστην εἰς δέκα

cap. 3.
Romulus.
753-717. ante Chr.
A. U. 1-37.

cap. 7.

Reipublicæ forma.

Divisio in tribus & curias.

κα μοίρας διελὼν, ἴσους ἡγεμόνας καὶ τούτων ἀπέδειξε τοὺς ἀνδρειοτάτους· ἐκάλει δὲ τὰς μὲν μείζους μοίρας, τρίβους· τὰς δ' ἐλάττους, κουρίας, ὡς καὶ κατὰ τὸν ἡμέτερον βίον ἔτι προσαγορεύονται. εἴη δ' ἂν Ἑλλάδι γλώττῃ τὰ ὀνόματα ταῦτα μεθερμηνευόμενα, Φυλὴ μὲν καὶ τριττὺς, ἡ τρίβος· Φράτρα δὲ καὶ λόχος, ἡ κουρία. καὶ τῶν ἀνδρῶν οἱ μὲν τὰς τρίβων ἡγεμονίας ἔχοντες, Φύλαρχοί τε καὶ τριττύαρχοι, οὓς καλοῦσι Ῥωμαῖοι Τριβούνους· οἱ δὲ ταῖς κουρίαις ἐφεστηκότες, Φρατρίαρχοι καὶ λοχαγοὶ, οὓς ἐκεῖνοι Κουρίωνας ὀνομάζουσι. διῄρηντο δὲ καὶ εἰς δεκάδας αἱ Φράτραι πρὸς αὐτοῦ, καὶ ἡγεμὼν ἑκάστην ἐκόσμει δεκάδα, Δεκουρίων κατὰ τὴν ἐπιχώριον γλῶτταν προσαγορευόμενος. ὡς δὲ διεκρίθησάν τε ἅπαντες, καὶ συνετάχθησαν εἰς Φυλὰς καὶ Φράτρας, διελὼν τὴν γῆν εἰς τριάκοντα κλήρους ἴσους, ἑκάστῃ Φράτρᾳ κλῆρον ἀπέδωκεν ἕνα, ἐξελὼν τὴν ἀρκοῦσαν εἰς ἱερὰ καὶ τεμένη, καί τινα καὶ τῷ κοινῷ γῆν καταλιπών. μία μὲν οὖν αὕτη διαίρεσις ὑπὸ Ῥωμύλου τῶν τε ἀνδρῶν καὶ τῆς χώρας, περιέχουσα τὴν κοινὴν καὶ μεγίστην ἰσότητα, τοιάδε τις ἦν. Ἑτέρα δὲ αὐτῷ πάλιν τῶν ἀνδρῶν ἡ τὰ Φιλάνθρωπα καὶ τὰς τιμὰς νέμουσα, καὶ τὴν ἀξίαν, ἣν μέλλω διηγήσασθαι. τοὺς ἐπιφανεῖς κατὰ γένος καὶ δι' ἀρετὴν ἐπαινουμένους, καὶ χρήμασιν, ὡς ἐν τοῖς τότε καιροῖς, εὐπόρους, οἷς ἤδη παῖδες ἦσαν, διώριζεν ἀπὸ τῶν ἀσήμων καὶ ταπεινῶν, καὶ ἀπόρων. ἐκάλει δὲ τοὺς μὲν ἐν τῇ καταδεεστέρᾳ τύχῃ, Πληβείους, ὡς δ' ἂν Ἕλληνες εἶποιεν, δημοτικούς· τοὺς δ' ἐν τῇ κρείττονι, Πατέρας, εἴτε διὰ τὸ πρεσβεύειν ἡλικίᾳ τῶν ἄλλων, εἴθ' ὅτι παῖδες αὐτοῖς ἦσαν, εἴτε διὰ τὴν ἐπιφάνειαν τοῦ γένους· εἴτε διὰ πάντα ταῦτα· ἐκ τῆς Ἀθηναίων πολιτείας, ὡς ἄν τις εἰκάσειε, τῆς κατ' ἐκεῖνον τὸν χρόνον ἔτι διαμενούσης, τὸ παράδειγμα λαβών. ἐκεῖνοι μὲν γὰρ εἰς δύο μέρη νείμαντες τὸ πλῆθος, Εὐπατρίδας μᾶλλον ἐκάλουν τοὺς ἐκ τῶν ἐπιφανῶν οἴκων καὶ χρήμασι δυνατοὺς, οἷς ἡ τῆς πόλεως ἀνέκειτο προστασία· Ἀγροίκους δὲ, τοὺς ἄλλους πολίτας, οἱ τῶν κοινῶν οὐδενὸς ἦσαν κύριοι· σὺν χρόνῳ δὲ καὶ οὗτοι προσελήφθησαν ἐπὶ τὰς ἀρχάς. οἱ μὲν δὴ τὰ πιθανώτατα περὶ τῆς Ῥωμαίων πολιτείας ἱστοροῦντες, διὰ ταύτας τὰς αἰτίας κληθῆναί φασι

cap. 8. in plebejos & patricios;

Digitized by Google

οι τὰς ἄνδρας ἐκείνες Πατέρας, καὶ τὰς ἐκ γένες αὐτῶν, Πατρικίες· οι δὲ πρὸς τὸν ἴδιον φθόνον ἀναφέροντες τὸ πρᾶγμα, καὶ διαβάλλοντες εις δυσγένειαν τὴν πόλιν, ὀ διὰ ταῦτα Πατρικίες κληθῆναί φασι, ἀλλ᾽ ὅτι πατέρας εἶχον ἀποδεῖξαι μόνοι, ὡς τῶν γε ἄλλων δραπετῶν ὄντων, καὶ ὀκ ἐχόντων ὀνομάσαι πατέρας ἐλευθέρες. τεκμήριον δὲ τότε παρέχεσαν, ὅτι τὰς μὲν πατρικίες ὁπότε δόξειε τοῖς βασιλεῦσι συγκαλεῖν, οι κήρυκες ἐξ ὀνόματός τε καὶ πατρόθεν ἀνηγόρευον· τὰς δὲ δημοτικὰς ὑπηρέται τινὲς, καὶ ἀθρόοι κέρασι βοείοις ἐμβυκανῶντες, ἐπὶ τὰς ἐκκλησίας συνῆγον. ἔςι δὲ ὄτε ἡ τῶν κηρύκων ἀνάκλησις τῆς ἐυγενείας τῶν πατρικίων τεκμήριον, ὄτε ἡ τῆς βυκάνης φωνὴ τῆς ἀγνωσίας τῶν δημοτικῶν σύμβολον· ἀλλ᾽ ἐκείνη μὲν τιμῆς, ἄυτη δὲ τάχες. ὀ γὰρ διόντ᾽ ἦν ἐν ὀλίγῳ χρόνῳ τὴν πληθὺν καλεῖν ἐξ ὀνόματος. Ὁ δὲ Ῥωμύλος ἐπειδὴ διέκρινε τὰς κρείττες ἀπὸ τῶν ἡττόνων, ἐνομοθέτει μετὰ τὸτο καὶ διέταττεν, ἃ χρὴ πράττειν ἑκατέρες· τὰς μὲν ἐυπατρίδας ἱερᾶσθαί τε καὶ ἄρχειν, καὶ δικάζειν, καὶ μεθ᾽ ἑαυτὸ τὰ κοινὰ πράττειν, ἐπὶ τῶν κατὰ πόλιν ἔργων μένοντας· τὰς δὲ δημοτικὰς, τότων μὲν ἀπολελῦσθαι τῶν πραγμάτων, ἀπείρες τε αὐτῶν ὄντας, καὶ δι᾽ ἀπορίαν χρημάτων ἀσχόλες· γεωργεῖν δὲ καὶ κτηνοτροφεῖν, καὶ τὰς χρηματοποιὰς ἐργάζεσθαι τέχνας, ἵνα μὴ ςασιάζωσιν, ὥσπερ ἐν ταῖς ἄλλαις πόλεσιν, ἢ τῶν ἐν τέλει προπηλακιζόντων τὰς ταπεινὰς, ἢ τῶν φαύλων καὶ ἀπόρων τοῖς ἐν ταῖς ὑπεροχαῖς φθονέντων. παρακαταθήκας δὲ ἔδωκε τοῖς πατρικίοις τὰς δημοτικὰς, ἐπιτρέψας ἑκάςῳ τῶν ἐκ τὸ πλήθες, ὃν αὐτὸς ἐβέλετο, νέμειν προςάτην· ἔθος Ἑλληνικὸν καὶ ἀρχαῖον, ᾧ Θετταλοί τε μέχρι πολλὸ χρώμενοι διετέλεσαν καὶ Ἀθηναῖοι κατ᾽ ἀρχὰς, ἐπὶ τὰ κρείττω λαβών. ἐκεῖνοι μὲν γὰρ ὑπεροπτικῶς ἐχρῶντο τοῖς πελάταις, ἔργα τε ἐπιτάττοντες ὀ προσήκοντα ἐλευθέροις, καὶ ὁπότε μὴ πράξειάν τι τῶν κελευομένων, πληγὰς ἐντείνοντες, καὶ τἄλλα ὥσπερ ἀργυρωνήτοις χρώμενοι. ἐκάλεν δὲ Ἀθηναῖοι μὲν Θῆτας τὰς πελάτας, ἐπὶ τῆς λατρείας· Θετταλοὶ δὲ, Πενέςας, ὀνειδίζοντες αὐτοῖς ἐυθὺς ἐν τῇ κλήσει τὴν τύχην. ὁ δὲ Ῥωμύλος ἐπικλήσει τε ἐυπρεπεῖ τὸ πρᾶγμα ἐκόσμησε, Πα-

cap. 9. in patronos & clientes.

Digitized by Google

Πατρωνίαν ὀνομάσας τὴν τῶν πενήτων καὶ ταπεινῶν προστασίαν· καὶ τὰ ἔργα χρηςὰ προέθηκεν ἑκατέροις, φιλανθρώπυς καὶ πολιτικὰς κατασκευαζόμενος αὐτῶν τὰς συζυγίας. Ἦν δὲ τὰ ὑπ' ἐκείνυ τότε ὁρισθέντα μέχρι πολλῦ παραμείναντα Ῥωμαίοις ἔθη περὶ τὰς πατρωνίας τοιάδε· τὺς μὲν πατρικίυς ἔδει τοῖς ἑαυτῶν πελάταις ἐξηγεῖσθαι τὰ δίκαια, ὧν ἐκ εἶχον ἐκεῖνοι τὴν ἐπιςήμην, παρόντων τε αὐτῶν καὶ μὴ παρόντων τὸν αὐτὸν ἐπιμελεῖσθαι τρόπον, ἅπαντα πράττοντας ὅσα περὶ παίδων πράττυσι πατέρες, εἰς χρημάτων τε καὶ τῶν περὶ χρήματα συμβολαίων λόγον· δίκας τε ὑπὲρ τῶν πελατῶν ἀδικυμένων λαγχάνειν, εἴ τις βλάπτοιτο περὶ τὰ συμβόλαια, καὶ τοῖς ἐγκαλῦσιν ὑπέχειν· ὡς δὲ ὀλίγα περὶ πολλῶν ἄν τις εἴποι, πᾶσαν αὐτοῖς εἰρήνην τῶν τε ἰδίων καὶ τῶν κοινῶν πραγμάτων, ἧς μάλιςα ἐδέοντο, παρέχειν. τὺς δὲ πελάτας ἔδει τοῖς ἑαυτῶν προστάταις θυγατέρας τε συνεκδίδοσθαι γαμυμένας, εἰ σπανίζοιεν οἱ πατέρες χρημάτων· καὶ λύτρα καταβάλλειν πολεμίοις, εἴ τις αὐτῶν ἢ παίδων αἰχμάλωτος γένοιτο· δίκας τε ἁλόντων ἰδίας ἢ ζημίας ὀφλόντων δημοσίας ἀργυρικὸν ἐχύσας τίμημα ἐκ τῶν ἰδίων λύεσθαι χρημάτων, ἐ δανείσματα ποιῦντας ἀλλὰ χάριτας· ἔν τε ἀρχαῖς καὶ γερηφορίαις, καὶ ταῖς ἄλλαις ταῖς εἰς τὰ κοινὰ δαπάναις, τῶν ἀναλωμάτων ὡς τὺς γένει προσήκοντας μετέχειν. κοινῇ δ' ἀμφοτέροις ὔτε ὅσιον ὔτε θέμις ἦν κατηγορεῖν ἀλλήλων ἐπὶ δίκαις, ἢ καταμαρτυρεῖν, ἢ ψῆφον ἐναντίαν ἐπιφέρειν, ἢ μετὰ τῶν ἐχθρῶν ἐξετάζεσθαι· εἰ δέ τις ἐξελεγχθείη τύτων τὶ διαπραττόμενος, ἔνοχος ἦν τῷ νόμῳ τῆς προδοσίας, ὃν ἐκύρωσεν ὁ Ῥωμύλος. τὸν δὲ ἁλόντα τῷ βυλομένῳ κτείνειν ὅσιον ἦν, ὡς θῦμα τῦ καταχθονίυ Διός. ἔθος γὰρ Ῥωμαίοις, ὅσυς ἐβύλοντο νηποινὶ τεθνάναι, τὰ τύτων σώματα θεῶν ὁτῳδήτινι, μάλιςα δὲ τοῖς καταχθονίοις κατονομάζειν· ὃ καὶ τότε ὁ Ῥωμύλος ἐποίησε. τοιγάρτοι διέμειναν ἐν πολλαῖς γενεαῖς ὐδὲν διαφέρυσαι συγγενικῶν ἀναγκαιοτήτων αἱ τῶν πελατῶν τε καὶ προστατῶν συζυγίαι, παισὶ παίδων συνιςάμεναι· καὶ μέγας ἔπαινος ἦν τοῖς ἐκ τῶν ἐπιφανῶν οἴκων, ὡς πλείςυς πελάτας ἔχειν, τάς τε προγονικὰς φυλάττυσι διαδοχὰς τῶν πατρωνιῶν, καὶ διὰ τῆς ἑαυτῶν ἀρετῆς

cap. 10.

τῆς ἄλλας ἐπικτωμένοις· ὅ, τε ἀγὼν ὑπὲρ τῆς εὐνοίας, ὑπὲρ τοῦ μὴ λειφθῆναι τῆς ἀλλήλων χάριτος, ἔκτοπος ἡλίκος ἀμφοτέροις ἦν· τῶν μὲν πελατῶν ἅπαντα τοῖς προστάταις ἀξιούντων, ὡς δυνάμεως εἶχον, ὑπηρετεῖν· τῶν δὲ πατρικίων, ἥκιστα βουλομένων τοῖς πελάταις ἐνοχλεῖν, χρηματικήν τε οὐδεμίαν δωρεὰν προσιεμένων· οὕτως ἐγκρατὴς ὁ βίος ἦν αὐτοῖς ἁπάσης ἡδονῆς· καὶ τὸ μακάριον ἀρετῇ μετρητὸν, οὐ τύχῃ. Ὀυ μόνον δ' ἐν αὐτῇ τῇ πόλει τὸ δημοτικὸν ὑπὸ τὴν προστασίαν τῶν πατρικίων ἦν, ἀλλὰ καὶ τῶν ἀποίκων αὐτῆς πόλεων, καὶ τῶν ἐπὶ συμμαχίᾳ καὶ φιλίᾳ προσελθουσῶν, καὶ τῶν ἐκ πολέμου κεκρατημένων ἑκάστη φύλακας εἶχε καὶ προστάτας οὓς ἐβούλετο Ῥωμαίων. καὶ πολλάκις ἡ βουλὴ τὰ ἐκ τούτων ἀμφισβητήματα τῶν πόλεων καὶ ἐθνῶν ἐπὶ τοὺς προϊσαμένους αὐτῶν ἀποστέλλουσα, τὰ ὑπ' ἐκείνων δικασθέντα κύρια ἡγεῖτο. οὕτω δὲ ἄρα ἡ Ῥωμαίων βέβαιος ἦν ὁμόνοια, τὴν ἀρχὴν ὑπὸ τῶν ἐκ τοῦ Ῥωμύλου κατασκευασθέντων λαβοῦσα ἐθῶν, ὥστε οὐδέ ποτε δι' αἵματος καὶ φόνου τοῦ κατ' ἀλλήλων ἐχώρησαν ἐντὸς ἑξακοσίων καὶ τριάκοντα ἐτῶν, πολλῶν καὶ μεγάλων ἀμφισβητημάτων γενομένων τῷ δήμῳ πρὸς τοὺς ἐν τέλει περὶ τῶν κοινῶν, ὡς ἐν ἁπάσαις φιλεῖ γενέσθαι μικραῖς τε καὶ μεγάλαις πόλεσιν· ἀλλὰ πείθοντες καὶ διδάσκοντες ἀλλήλους, καὶ τὰ μὲν εἴκοντες, τὰ δὲ παρ' ἑκόντων λαμβάνοντες, πολιτικὰς ἐποιοῦντο τὰς τῶν ἐγκλημάτων διαλύσεις. ἐξ οὗ δὲ Γάϊος Γράκχος, ἐπὶ τῆς δημαρχικῆς ἐξουσίας γενόμενος, διέφθειρε τὴν τοῦ πολιτεύματος ἁρμονίαν, οὐκέτι πέπαυνται σφάττοντες ἀλλήλους, καὶ φυγάδας ἐλαύνοντες ἐκ τῆς πόλεως, καὶ οὐδενὸς τῶν ἀνηκέστων ἀπεχόμενοι παρὰ τὸ νικᾶν. ἀλλὰ περὶ μὲν τούτων ἕτερος ἔσται τοῖς λόγοις καιρὸς ἐπιτηδειότερος. Ὁ δὲ Ῥωμύλος ἐπειδὴ ταῦτα διεκόσμησε, βουλευτὰς εὐθὺς ἔγνω κατασήσασθαι, μεθ' ὧν πράττειν τὰ κοινὰ ἔμελλεν, ἐκ τῶν πατρικίων ἄνδρας ἑκατὸν ἐπιλεξάμενος. ἐποιεῖτο δὲ αὐτῶν τοιάνδε τὴν διαίρεσιν· αὐτὸς μὲν ἐξ ἁπάντων ἕνα τὸν ἄριστον ἀπέδειξεν, ᾧ τὰς κατὰ πόλιν ᾤετο δεῖν ἐπιτρέπειν οἰκονομίας, ὅτε αὐτὸς ἐξάγοι στρατιὰν ὑπερόριον· τῶν δὲ φυλῶν ἑκάστῃ προσέταξε τρεῖς ἄνδρας ἑλέσθαι τοὺς ἐν τῇ φρονιμωτάτῃ τότε ὄντας ἡλικίᾳ, καὶ δι' εὐγένειαν ἐπιφανεῖς. μετὰ δὲ τοὺς ἐννέα

cap. 11.

cap. 12. **Senatus.**

ἐννέα τούτους, ἑκάστη Φράτρα πάλιν ἐκέλευσε τρεῖς πατρικίων ἐπιλέξαι τοὺς ἐπιτηδειοτάτους· ἔπειτα τοῖς πρώτοις ἐννέα τοῖς ὑπὸ τῶν Φυλῶν ἀποδειχθεῖσι τοὺς ἐννενήκοντα προσθείς, οὓς αἱ Φράτραι προεχειρίσαντο, καὶ τούτων, ὃν αὐτὸς προέκρινεν, ἡγεμόνα ποιήσας, τὸν τῶν ἑκατὸν ἐξεπλήρωσε βουλευτῶν ἀριθμόν. τοῦτο τὸ συνέδριον Ἑλληνιστὶ ἑρμηνευόμενον, Γερουσίαν βούλεται δηλοῦν, καὶ μέχρι τοῦ παρόντος οὕτως ὑπὸ Ῥωμαίων καλεῖται. πότερον δὲ διὰ γῆρας τῶν κατελθόντων εἰς αὐτὸ ἀνδρῶν, ἢ δι' ἀρετὴν ταύτης ἔτυχε τῆς ἐπικλήσεως, οὐκ ἔχω τὸ ἀσφαλὲς εἰπεῖν. καὶ γὰρ τοὺς πρεσβυτέρους καὶ ἀρίστους, Γέροντας εἰώθασιν οἱ παλαιοὶ καλεῖν. οἱ δὲ μετέχοντες τοῦ βουλευτηρίου, Πατέρες ἔγγραφοι προσηγορεύθησαν, καὶ μέχρις ἐμοῦ ταύτης ἐτύγχανον τῆς προσηγορίας. Ἑλληνικὸν δὲ ἄρα καὶ τοῦτο ἔθος ἦν. τοῖς γοῦν βασιλεῦσιν, ὅσοι τε πατρίους ἀρχὰς παραλάβοιεν, καὶ ὅσους ἡ πληθὺς αὐτὴ κατεστήσατο ἡγεμόνας, βουλευτήριον ἦν ἐκ τῶν κρατίστων, ὡς Ὅμηρός τε καὶ οἱ παλαιότατοι τῶν ποιητῶν μαρτυροῦσι· καὶ οὐχ, ὥσπερ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, αὐθάδεις καὶ μονογνώμονες ἦσαν αἱ τῶν ἀρχαίων βασιλέων δυναστεῖαι.

cap. 13. Celeres.

Ὡς δὲ κατεσκευάσατο καὶ τὸ βουλευτικὸν τῶν γερόντων συνέδριον ἐκ τῶν ἑκατὸν ἀνδρῶν, ὁρῶν, ὅπερ εἰκός, ὅτι καὶ νεότητος αὐτῷ δεήσει τινὸς συντεταγμένης, ᾗ χρήσεται φυλακῆς ἕνεκα τοῦ σώματος, καὶ πρὸς τὰ κατεπείγοντα τῶν ἔργων, ὑπηρεσίᾳ, τριακοσίους ἄνδρας ἐκ τῶν ἐπιφανεστάτων οἴκων τοὺς ἐρρωμενεστάτους τοῖς σώμασιν ἐπιλεξάμενος, οὓς ἀπέδειξαν αἱ Φράτραι τὸν αὐτὸν τρόπον ὅνπερ τοὺς βουλευτάς, ἑκάστη Φράτρα δέκα νέους, τούτους τοὺς ἄνδρας ἀεὶ περὶ αὐτὸν εἶχεν· ὄνομα δὲ κοινὸν ἅπαντες, ὃ καὶ οἱ νῦν κατέστησαν, ἔσχον Κελέριοι, ὡς μὲν οἱ πλείους γράφουσιν, ἐπὶ τῆς ὀξύτητος τῶν ὑπηρεσιῶν· τοὺς γὰρ ἑτοίμους καὶ ταχεῖς ἐπὶ τὰ ἔργα, Κέλερας οἱ Ῥωμαῖοι καλοῦσιν· ὡς δὲ Οὐαλέριος ὁ Ἀντίας φησίν, ἐπὶ τοῦ ἡγεμόνος τοῦτ' ἔχοντες τοὔνομα. ἦν γὰρ καὶ τούτων ἡγεμὼν ὁ διαφανέστατος, ᾧ τρεῖς ὑπετάγησαν ἑκατοντάρχαι, καὶ αὖθις ὑπ' ἐκείνοις ἕτεροι, τὰς ὑποδεεστέρας ἔχοντες ἀρχάς· οἳ κατὰ πόλιν μὲν αἰχμοφόροι τε αὐτῷ παρηκολούθουν, καὶ τῶν κελευομένων ὑπηρέται· κατὰ δὲ τὰς στρατείας πρόμαχοι

χοί τε ἦσαν καὶ παρασπισαί· καὶ τὰ πολλὰ ἔτοι κατώρθεν ἐν τοῖς ἀγῶσι, πρῶτοί τε ἄρχοντες τῆς μάχης, καὶ τελευταῖοι τῶν ἄλλων ἀφιςάμενοι· ἱππεῖς μὲν, ἔνθα ἐπιτήδειον εἴη πεδίον ἱππομαχῆσαι· πεζοὶ δὲ, ὅπυ τραχὺς εἴη καὶ ἄνιππος τόπος. τῦτό μοι δοκεῖ παρὰ Λακεδαιμονίων μετενέγκαθαι τὸ ἔθος, μαθὼν, ὅτι καὶ παρ' ἐκείνοις οἱ γενναιότατοι τῶν νέων φύλακες ἦσαν τῶν βασιλέων, οἷς ἐχρῶντο κατὰ τὺς πολέμυς παρασπιςαῖς, ἱππεῦσί τε ἦσι καὶ πεζοῖς. Κατασησάμενος δὴ ταῦτα διέκρινε τὰς τιμὰς καὶ τὰς ἐξυσίας ἃς ἑκάςυς ἐβύλετο ἔχειν. βασιλεῖ μὲν ἦν ἐξῄρητο τάδε τὰ γέρα· πρῶτον μὲν, ἱερῶν καὶ θυσιῶν ἡγεμονίαν ἔχειν, καὶ πάντα δι' ἐκείνυ πράττεθαι τὰ πρὸς τὺς θεὺς ὅσια· ἔπειτα, νόμων τε καὶ πατρίων ἐθισμῶν φυλακὴν ποιεῖθαι, καὶ παντὸς τῦ κατὰ φύσιν ἢ κατὰ συνθήκας δικαίυ προνοεῖν, τῶν τε ἀδικημάτων τὰ μέγιςα μὲν αὐτὸν δικάζειν, τὰ δὲ ἐλάττονα τοῖς βυλευταῖς ἐπιτρέπειν, προνοῦμενον, ἵνα μηδὲν γένηται περὶ τὰς δίκας πλημμελὲς· βυλήν τε συνάγειν, καὶ δῆμον συγκαλεῖν, καὶ γνώμης ἄρχειν, καὶ τὰ δόξαντα τοῖς πλείοσιν ἐπιτελεῖν. ταῦτα μὲν ἀπέδωκε βασιλεῖ τὰ γέρα, καὶ ἔτι πρὸς τύτοις, ἡγεμονίαν ἔχειν αὐτοκράτορα ἐν πολέμῳ· τῷ δὲ συνεδρίῳ τῆς βυλῆς τιμὴν καὶ δυναςείαν ἀνέθηκε τοιάνδε, περὶ παντὸς ὅτυ ἂν εἰσηγῆται βασιλεὺς, διαγινώσκειν τε καὶ ψῆφον ἐπιφέρειν· καὶ ὅ,τι ἂν δόξῃ τοῖς πλείοσι, τῦτο νικᾶν· ἐκ τῆς Λακωνικῆς πολιτείας καὶ τῦτο μετενεγκάμενος. ὐδὲ γὰρ οἱ Λακεδαιμονίων βασιλεῖς αὐτοκράτορες ἦσαν ὅ,τι βύλοιντο πράττειν, ἀλλ' ἡ γερυσία πᾶν εἶχε τῶν κοινῶν τὸ κράτος. τῷ δὲ δημοτικῷ πλήθει τρία ταῦτα ἐπέτρεψεν, ἀρχαιρεσιάζειν τε καὶ νόμυς ἐπικυρῦν, καὶ περὶ πολέμυ διαγινώσκειν, ὅταν ὁ βασιλεὺς ἐφῇ, ὐδὲ τύτων ἔχοντι τὴν ἐξυσίαν ἀνεπίληπτον, ἂν μὴ καὶ τῇ βυλῇ ταῦτα δοκῇ. ἔφερε δὲ τὴν ψῆφον ὐχ' ἅμα πᾶς ὁ δῆμος, ἀλλὰ κατὰ τὰς φράτρας συγκαλύμενος· ὅ,τι δὲ ταῖς πλείοσι δόξειε φράτραις, τῦτο ἐπὶ τὴν βυλὴν ἀνεφέρετο. ἐφ' ἡμῶν δὲ μετάκειται τὸ ἔθος. ὐ γὰρ ἡ βυλὴ διαγινώσκει τὰ ψηφιθέντα ὑπὸ τῦ δήμυ, τῶν δ' ὑπὸ τῆς βυλῆς γνωθέντων ὁ δῆμός ἐςι κύριος. πότερον δὲ τῶν ἐθῶν κρεῖττον, ἐν κοινῷ τίθημι τοῖς βυλομένοις σκοπεῖν. ἐκ δὲ τῆς διαι-

cap. 14. Honorum & potestatis distributio.

Digitized by Google

διαιρέσεως. ταύτης ȣ̓ μόνον τὰ πολιτικὰ πράγματα σώφρονας ἐλάμβανε καὶ τεταγμένας τὰς διοικήσεις, ἀλλὰ καὶ τὰ πολεμικὰ ταχείας καὶ εὐπειθεῖς. ὁπότε γὰρ αὐτῷ φανείη ϛρατείαν ἐξάγειν, ȣ̓τε χιλιάρχȣς τότε ἔδει ἀποδείκνυσθαι κατὰ φυλὰς, ȣ̓τε ἑκατοντάρχας κατὰ λόχȣς, ȣ̓τε ἱππέων ἡγεμόνας, ȣ̓τε ἐξαριθμεῖσθαί τε καὶ λογίζεσθαι, καὶ τάξιν ἕκαϛον τὴν προσήκȣσαν ἀναλαμβάνειν· ἀλλὰ βασιλεὺς μὲν τοῖς χιλιάρχοις παρήγγελλεν, ἐκεῖνοι δὲ τοῖς λοχαγοῖς· παρὰ δὲ τȣ́των οἱ δεκάρχοι μαθόντες, ἐξῆγον τȣ̀ς ὑποτεταγμένȣς ἑαυτοῖς ἕκαϛοι· ἀφ' ἑνὸς δὲ κελεύματος εἴτε ἅπασα ἡ δύναμις, εἴτε μοῖρά τις ἐξ αὐτῆς κληθείη, τὰ ὅπλα ἔχȣσα παρῆν εἰς τὸν ὑποδειχθέντα τόπον εὐτρεπής. Τεταγμένην ȣ̓͂ν καὶ κεκοσμημένην πρὸς εἰρήνην τε ἀποχρώντως, καὶ πρὸς τὰ πολέμια ἐπιτηδείως, ἐκ τȣ́των τῶν πολιτευμάτων τὴν πόλιν ὁ Ῥωμύλος ἀπειργάσατο· μεγάλην δὲ καὶ πολυάνθρωπον ἐκ τȣ́των. πρῶτον μὲν εἰς ἀνάγκην κατέϛησε τȣ̀ς οἰκήτορας αὐτῆς ἅπασαν ἄῤῥενα γενεὰν ἐκτρέφειν, καὶ θυγατέρων τὰς πρωτογόνȣς· ἀποκτιννύναι δὲ μηδὲν τῶν γενομένων νεώτερον τριετȣ͂ς, πλὴν εἴ τι γένοιτο παιδίον ἀνάπηρον, ἢ τέρας εὐθὺς ἀπὸ γονῆς. ταῦτα δ' ȣ̓κ ἐκώλυσεν ἐκτιθέναι τȣ̀ς γειναμένȣς, ἐπιδείξαντας πρότερον πέντε ἀνδράσι τοῖς ἔγγιϛα οἰκȣ͂σιν, ἐὰν κἀκείνοις συνδοκῇ. κατὰ δὲ τῶν μὴ πειθομένων τῷ νόμῳ ζημίας ὥρισεν ἄλλας τε καὶ τῆς ȣ̓σίας αὐτῶν τὴν ἡμίσειαν εἶναι δημοσίαν. ἔπειτα μαθὼν πολλὰς τῶν κατὰ τὴν Ἰταλίαν πόλεων πονηρῶς ἐπιτροπευομένας ὑπὸ τυραννίδων τε καὶ ὀλιγαρχιῶν, τȣ̀ς ἐκ τȣ́των ἐκπίπτοντας τῶν πόλεων, συχνȣ̀ς ὄντας, εἰ μόνον εἶεν ἐλεύθεροι, διακρίνων ȣ̓́τε συμφορὰς ȣ̓́τε τύχας αὐτῶν, ὑποδέχεσθαι καὶ μετάγειν ὡς ἑαυτὸν ἐπεχείρει, τήν τε Ῥωμαίων δύναμιν αὐξῆσαι βȣληθεὶς, καὶ τὰς τῶν περιοίκων ἐλαττῶσαι· ἐποίει δὲ ταῦτα πρόφασιν ἐξευρὼν εὐπρεπῆ, καὶ εἰς θεȣ͂ τιμὴν τὸ ἔργον ἀναφέρων. τὸ γὰρ μεταξὺ χωρίον τȣ͂ τε Καπιτωλίȣ καὶ τῆς ἄκρας, ὃ καλεῖται νῦν κατὰ τὴν Ῥωμαίων διάλεκτον μεθόριον δυοῖν δρυμῶν, καὶ ἦν τότε τȣ͂ συμβεβηκότος ἐπώνυμον, ὕλαις ἀμφιλαφέσι κατ' ἀμφοτέρας τὰς συναπτȣ́σας τοῖς λόφοις λαγόνας ἐπίσκιον, ἱερὸν ἀνεὶς ἄσυλον ἱκέταις, καὶ ναὸν ἐπὶ τȣ́τῳ κατασκευασάμενος· ὅτῳ δὲ

ἄρα

cap. 15. Qua ratione rebus bellicis provisum fuerit; educatio masculorum.

Asylum.

Digitized by Google

ἄρα θεῶν ἢ δαιμόνων, οὐκ ἔχω τὸ σαφὲς εἰπεῖν· τοῖς καταφεύγουσιν εἰς τοῦτο τὸ ἱερὸν ἱκέταις, τοῦ τε μηδὲν κακὸν ὑπ' ἐχθρῶν παθεῖν ἐγγυητὴς ἐγίνετο, τῆς εἰς τὸ θεῖον εὐσεβείας προφάσει, καὶ εἰ βούλοιντο παρ' αὐτῷ μένειν, πολιτείας μετεδίδου καὶ γῆς μοίρας, ἣν κτήσαιτο τοὺς πολεμίους ἀφελόμενος. οἱ δὲ συνέῤῥεον ἐκ παντὸς τόπου, τὰ οἰκεῖα φεύγοντες κακά· καὶ οὐκ ἔτι ἑτέρωσε ἀπανίσταντο, ταῖς καθ' ἡμέραν ὁμιλίαις καὶ χάρισιν ὑπ' αὐτοῦ κατεχόμενοι.

Τρίτον ἦν ἔτι Ῥωμύλου πολίτευμα, ὃ πάντων μάλιστα τοὺς Ἕλληνας ἀσκεῖν ἔδει, κράτιστον ἁπάντων πολιτευμάτων ὑπάρχον, ὡς ἡ ἐμὴ δόξα φέρει, ὃ καὶ τῆς βεβαίου Ῥωμαίοις ἐλευθερίας ἦρχε, καὶ τῶν ἐπὶ τὴν ἡγεμονίαν ἀναγόντων οὐκ ἐλαχίστην μοῖραν παρέσχε, τὸ μηκέτι κατασφάττειν ἡβηδὸν τὰς ἁλούσας πολέμῳ πόλεις, μήτε ἀνδραποδίζεσθαι, μηδὲ γῆν αὐτῶν ἀνιέναι μηλόβοτον· ἀλλὰ κληρούχους εἰς αὐτὰς ἀποστέλλειν ἐπὶ μέρει τινὶ τῆς χώρας, καὶ ποιεῖν ἀποικίας Ῥωμαίων τὰς κρατηθείσας· ἐνίαις δὲ καὶ πολιτείας μεταδιδόναι. ταῦτά τε δὴ καὶ ἄλλα τούτοις ὅμοια κατασησάμενος πολιτεύματα, μεγάλην ἐκ μικρᾶς ἐποίησε τὴν ἀποικίαν, ὡς αὐτὰ τὰ ἔργα ἐδήλωσεν. οἱ μὲν γὰρ συνοικίσαντες μετ' αὐτοῦ τὴν Ῥώμην, οὐ πλείους ἦσαν ἀνδρῶν τρισχιλίων πεζοὶ, καὶ τριακοσίων ἐλάττους ἱππεῖς· οἱ δὲ καταλειφθέντες ὑπ' ἐκείνου, ὅτε ἐξ ἀνθρώπων ἠφανίσθη, πεζοὶ μὲν ἑξακισχίλιοι πρὸς τέσσαρσι μυριάσιν, ἱππεῖς δ' οὐ πολλοὶ ἀπέχοντες χιλίων. ἐκείνου δὲ ἄρξαντος τούτων τῶν πολιτευμάτων, οἵ τε βασιλεῖς οἱ μετ' αὐτὸν ἡγησάμενοι τῆς πόλεως, τὴν αὐτὴν ἐφύλαξαν προαίρεσιν, καὶ οἱ μετ' ἐκείνους τὰς ἐνιαυσίους λαμβάνοντες ἀρχὰς, ἔστιν ἃ καὶ προστιθέντες οὕτως, ὥστε μηδενὸς ἔθνους τοῦ δοκοῦντος εἶναι πολυανθρωποτάτου τὸν Ῥωμαίων δῆμον γενέσθαι ἐλάττονα.

cap. 16. Coloni in terris bello subactis.

Τῆς δὲ ὑπὸ Ῥωμύλου κατασταθείσης πολιτείας καὶ τάδε ἡγησάμην ἱστορίας ἄξια. πρῶτον μὲν, ὅτι πολλοῖς σώμασιν ἀπέδωκε θεραπεύειν τὸ δαιμόνιον. ἐν γοῦν ἄλλῃ πόλει νεοκτίστῳ τοσούτους ἱερεῖς καὶ θεραπευτὰς τῶν θεῶν εὐθὺς ἀποδειχθέντας οὐδεὶς ἂν εἰπεῖν ἔχοι. χωρὶς γὰρ τῶν ἐχόντων τὰς συγγενικὰς ἱερωσύνας, οἱ τὰ κοινὰ περὶ

cap. 21. Divini cultus cura.

ρὶ τῆς πόλεως ἱερὰ συντελῦντες κατὰ Φυλάς τε καὶ Φράτρας, ἑξήκοντα κατεςάθησαν ἐπὶ τῆς ἐκείνε ἀρχῆς· λέγω δὲ ἃ Τερέντιος Ὀυάῤῥων ἐν ἀρχαιολογίαις ἔγραψεν, ἀνὴρ τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν ἀκμασάντων πολυπειρότατος. ἔπειτα, ὅτι τῶν ἄλλων φαύλως πως καὶ ἀπερισκέπτως ὡς ἐπὶ πολὺ ποιεμένων τὰς αἱρέσεις τῶν ἐπιςησομένων τοῖς ἱεροῖς, καὶ τῶν μὲν ἀργυρίε τὸ τίμιον ἀποκηρύττειν ἀξιέντων, τῶν δὲ κλήρῳ διαιρέντων τὲς ἱερεῖς, ἐκεῖνος ἔτε ὠνητὰς χρημάτων ἐποίησε τὰς ἱερωσύνας, ἔτε κλήρῳ μεριςὰς, ἀλλ' ἐξ ἑκάςης Φράτρας ἐνομοθέτησεν ἀποδείκνυσθαι δύο τὲς ὑπὲρ πεντήκοντα ἔτη γεγονότας τὲς γένει τε πρὲχοντας τῶν ἄλλων, καὶ ἀρετῇ διαφόρες, καὶ χρημάτων περιεσίαν ἔχοντας ἀρκῦσαν, καὶ μηδὲν ἠλαττωμένες τῶν περὶ τὸ σῶμα· τέτες δὲ ἐκ εἰς ὡρισμένον τινὰ χρόνον ἔχειν τὰς τιμὰς ἔταξεν, ἀλλὰ διὰ παντὸς τῦ βίε, ςρατειῶν μὲν ἀπολελυμένες, διὰ τὴν ἡλικίαν, τῶν δὲ κατὰ τὴν πόλιν ὀχληρῶν, διὰ τὸν νόμον.

cap. 22. Ἐπεὶ δὲ καὶ διὰ γυναικῶν ἔδει τινὰ ἱερὰ τελεῖσθαι, καὶ διὰ παίδων ἀμφιθαλῶν ἕτερα, ἵνα καὶ ταῦτα γένηται κατὰ τὸ κράτιςον, τάς τε γυναῖκας τῶν ἱερέων ἔταξε τοῖς ἑαυτῶν ἀνδράσι συνιερᾶσθαι, καὶ εἴ τι μὴ θέμις ἦν ὑπ' ἀνδρῶν ὀργιάζεσθαι κατὰ νόμον τὸν ἐπιχώριον, ταύτας ἐπιτελεῖν, καὶ παῖδας αὐτῶν τὰ καθήκοντα λειτεργεῖν· τοῖς δὲ ἄπαισιν, ἐκ τῶν ἄλλων οἴκων τὲς χαριεςάτες καταλεγέντας ἐξ ἑκάςης Φράτρας, κῦρον καὶ κόρην· τὸν μὲν, ἕως ἥβης ὑπηρέτην ἐπὶ τοῖς ἱεροῖς· τὴν δὲ κόρην, ὅσον ἂν ᾖ χρόνον ἁγνὴ γάμων· ἐκ τῶν Ἑλληνικῶν νόμων καὶ ταῦτα μετενεγκάμενος, ὡς ἐγὼ πείθομαι. ὅσα μὲν γὰρ αἱ κανηφόροι λεγόμεναι λειτεργῦσιν ἐπὶ τῶν Ἑλληνικῶν ἱερῶν, ταῦτα παρὰ Ῥωμαίοις ἅιδε προσαγορευόμεναι. τῦτο δὲ συντελῦσι ςεφάνοις κοσμέμεναι τὰς κεφαλὰς, οἵοις κοσμεῖται τὰ τῆς Ἐφεσίας Ἀρτέμιδος ἀφιδρύματα παρ' Ἕλλησιν. ὅσα δὲ παρὰ Τυῤῥηνοῖς, καὶ ἔτι πρότερον παρὰ Πελασγοῖς ἐτέλεν ἐπί τε Κερήτων καὶ Μεγάλων Θεῶν ὀργιασμοῖς οἱ καλέμενοι πρὸς αὐτῶν Κάδωλοι, ταῦτα κατὰ τὸν αὐτὸν τρόπον ὑπηρέτεν τοῖς ἱερεῦσιν οἱ λεγόμενοι νῦν παρὰ Ῥωμαίων Κάμιλλοι. ἔτι πρὸς τέτοις ἔταξε μάντιν ἐξ ἑκάςης Φυλῆς ἕνα παρεῖναι τοῖς ἱεροῖς, ὃν ἡμεῖς

μαῖς μὲν Ἱεροσκόπον καλῦμεν, Ῥωμαῖοι δὲ ὀλίγον τι τῆς ἀρχαίας φυλάττοντες ὀνομασίας, Ἀρύσπικα προσαγορεύουσι. ἅπαντας δὲ τὰς ἱερεῖς τε καὶ λειτουργὰς τῶν θεῶν ἐνομοθέτησεν ἀποδείκνυσθαι μὲν ὑπὸ τῶν Φρατριῶν, ὑποκυροῦσθαι δ᾽ ὑπὸ τῶν ἐξηγουμένων τὰ θεῖα διὰ μαντικῆς. Ταῦτα περὶ τῶν θρησκευόντων τὰς θεὰς κατασησάμενος, διῄρει πάλιν, ὡς ἔφην, κατ᾽ ἐπιτηδειότητα ταῖς Φράτραις τὰ ἱερὰ, θεὰς ἀποδεικνὺς ἑκάσταις καὶ δαίμονας, ὃς ἔμελλον ἀεὶ σέβειν· καὶ τὰς εἰς τὰ ἱερὰ δαπάνας ἔταξεν, ἃς ἐχρῆν αὐταῖς ἐκ τῦ δημοσίυ δίδοσθαι. συνέθυόν τε τοῖς ἱερεῦσιν αἱ Φράτραι εἰς τὰς ἀπομερισθείσας αὐτοῖς θυσίας, καὶ συνειςιῶντο κατὰ τὰς ἑορτὰς ἐπὶ τῆς Φρατριακῆς ἑςίας· ἑςιατόριον γὰρ ἦν κατεσκευασμένον ἑκάςῃ Φράτρᾳ· καὶ σὺν αὐτῷ καθωσίωτό τις, ὥσπερ ἐν τοῖς Ἑλληνικοῖς πρυτανείοις, ἑςία κοινὴ τῶν Φρατριῶν. ὄνομα δὲ τοῖς ἑςιατορίοις ἦν, ὅπερ ταῖς Φράτραις, Κυρίαι, καὶ μέχρις ἡμῶν ὕτω καλῦνται. τῦτο τὸ πολίτευμα δοκεῖ μοι λαβεῖν ἐκ τῆς Λακεδαιμονίων ἀγωγῆς περὶ τὰ Φιλίτια κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐπιχωριαζύσης· ἣν Λυκῦργος εἰσηγήσασθαι δοκεῖ παρὰ Κρητῶν μαθὼν, καὶ μεγάλα τὴν πόλιν ὠφελῆσαι· ἐν εἰρήνῃ μὲν, εἰς εὐτέλειαν ἀνάγων τὰς βίυς, καὶ σωφροσύνην τῆς καθ᾽ ἡμέραν διαίτης· ἐν πολέμῳ δ᾽, εἰς αἰδῶ καὶ πρόνοιαν κατασήσας ἕκασον τῦ μὴ καταλιπεῖν τὸν παρασάτην, ᾧ καὶ συνέσπεισε καὶ συνέθυσε καὶ κοινῶν ἱερῶν μετέσχεν. ὐ μόνον δὲ τῆς περὶ ταῦτα σοφίας χάριν ἄξιος ἐπαινεῖσθαι ὁ ἀνὴρ, ἀλλὰ καὶ τῆς εὐτελείας τῶν θυσιῶν, αἷς γεραίρεσθαι τὰς θεὰς ἐνομοθέτησεν, ὧν αἱ πλεῖςαι διέμενον ἕως τῆς καθ᾽ ἡμᾶς ἡλικίας, εἰ καὶ μὴ πᾶσαι κατὰ τὸν ἀρχαῖον ἐπιτελύμεναι τρόπον. ἐγὼ γῦν ἐθεασάμην ἐν ἱεραῖς οἰκίαις δεῖπνα προκείμενα θεοῖς, ἐν τραπέζαις ξυλίνοις ἀρχαϊκαῖς, ἐν κανοῖς καὶ πινακίσκοις κεραμίοις ἀλφίτων μάζας, καὶ πόπανα, καὶ ζέας, καὶ καρπῶν τινων ἀπαρχὰς, καὶ ἄλλα τοιαῦτα λιτὰ καὶ εὐδάπανα καὶ πάσης ἀπειροκαλίας ἀπηλλαγμένα· καὶ σπονδὰς εἶδον ἐγκεκραμένας ὐκ ἐν ἀργυροῖς καὶ χρυσοῖς ἄγγεσιν, ἀλλ᾽ ἐν ὀςρακίναις κυλίσκαις καὶ πρόχοις, καὶ πάνυ ἠγάσθην τῶν ἀνδρῶν, ὅτι διαμένυσιν ἐν τοῖς πατρίοις ἔθεσιν, ὐδὲν ἐξαλλάττοντες τῶν ἀρχαίων

cap. 23.

ἱερῶν

Digitized by Google

ἱερῶν εἰς τὴν ἀλαζόνα πολυτέλειαν. ἔςι μὲν ὖν ἃ καὶ Νομᾶς Πομπίλιος, ὁ μετὰ Ῥωμύλον ἄρξας τῆς πόλεως, κατεςήσατο μνήμης ἄξια καὶ λόγυ, περιττὸς τὴν γνώμην ἀνὴρ, καὶ τὰ θεῖα ἐξηγήσασθαι σοφὸς ἐν λόγοις, ὑπὲρ ὧν ὕςερον ἐρῶ· καὶ Τύλλος Ὁςίλιος ὁ τρίτος ἀπὸ Ῥωμύλυ βασιλεύσας, καὶ πάντες οἱ μετ' ἐκεῖνον γενόμενοι βασιλεῖς· ἀλλ' ὁ τὰ σπέρματα καὶ τὰς ἀρχὰς αὐτοῖς παρασχὼν, καὶ τὰ κυριώτατα καταςησάμενος τῶν περὶ τὰ θεῖα νομίμων, Ῥωμύλος ἦν. Δοκεῖ δὲ καὶ τῆς ἄλλης εὐκοσμίας, ᾗ χρώμενοι Ῥωμαῖοι διεφύλαξαν εὐδαιμονῦσαν τὴν πόλιν ἐπὶ πολλὰς γενεὰς, ἐκεῖνος ἄρξαι, νόμυς καλὺς καὶ συμφέροντας, ἀγράφυς μὲν τὺς πλείςυς, ἔςι δ' ὓς καὶ ἐν γράμμασι κειμένυς καταςησάμενος. Ὁρῶν δὲ ὅτι τὸ σωφρόνως ζῆν ἅπαντας, καὶ τὰ δίκαια πρὸ τῶν κερδαλέων αἱρεῖσθαι, καρτερίαν τε τὴν περὶ τὺς πόνυς ἀσκεῖν, καὶ μηδὲν ὑπολαμβάνειν χρῆμα τιμιώτερον ἀρετῆς, ὐ λόγων διδαχῇ παραγίνεσθαι τοῖς πολιτικοῖς πλήθεσι πέφυκεν, ἐν οἷς τὸ πλεῖόν ἐςι δυσάγωγον, ἀλλ' ἔργων ἐθισμοῖς τῶν πρὸς ἑκάςην ἀρετὴν ἀγόντων, καὶ τὺς ὑπ' ἀνάγκης μᾶλλον ἢ κατὰ γνώμην ἐπ' αὐτὰ παραγινομένυς, εἰ μηδὲν εἴη τὸ κωλῦσον, ἐπὶ τὴν φύσιν ὀλισθαίνοντας εἰδὼς, ἐπιδιφρίυς μὲν καὶ βαναύσυς καὶ προσαγωγὺς ἐπιθυμιῶν αἰσχρῶν τέχνας, ὡς ἀφανιζύσας καὶ λυμαινομένας τά τε σώματα καὶ τὰς ψυχὰς τῶν μεταχειριζομένων, δὀλοις καὶ ξένοις ἐπέδωκε μεθοδεύειν· καὶ διέμεινεν ἕως πολλῦ χρόνυ δι' αἰσχύνης ὄντα Ῥωμαίοις τὰ τοιαῦτα ἔργα, καὶ ὑπ' ὐδενὸς τῶν αὐθιγενῶν ἐπιτηδευόμενα. δύο δὲ μόνα τοῖς ἐλευθέροις ἐπιτηδεύματα καταλείπεται, τὰ κατὰ γεωργίαν καὶ τὰ κατὰ πολέμυς, ὁρῶν ὅτι γαςρός τε ἄνθρωποι γίνονται διὰ τοιύτυς τὺς βίυς ἐγκρατεῖς, ἀφροδισίοις τε ἧττον ἁλίσκονται παρανόμοις, πλεονεξίαν τε ὐ τὴν βλάπτυσαν ἀλλήλυς διώκυσιν, ἀλλὰ τὴν ἀπὸ τῶν πολεμίων περιποιυμένην τὰς ὠφελείας. ἀτελῆ δὲ τύτων ἑκάτερον οἰόμενος εἶναι τῶν βίων χωριζόμενον θατέρυ καὶ φιλαίτιον, ὐχ ἑτέροις μέρεσιν ἀπέδωκεν ἐργάζεσθαι τὴν γῆν, ἑτέροις δὲ τὰ πολεμίων ἄγειν τε καὶ φέρειν, ὡς ὁ παρὰ Λακεδαιμονίοις εἶχε νόμος. ἀλλὰ τοῖς αὐτοῖς τόν τε πολεμικὸν καὶ τὸν γεωργι-

cap. 24. Leges.

cap. 28. Artes sedentariæ & illiberales servis, agricultura & ars bellica ingenuis hominibus vindicatæ.

Digitized by Google

εργαιὸν ἔταξε βίον· ἐι μὲν ἐιρήνην ἄγοιεν, ἐπὶ τοῖς κατ' ἀγρὸν ἔργοις ἐθίζων ἅπαντας μένειν, πλὴν ἐι ποτε δεηθεῖεν ἀγορᾶς· τότε δ' ἐις ἄςυ συνιόντας ἀγοράζειν, ἐννάτην ὁρίζων ἡμέραν ταῖς ἀγοραῖς· ὅτε δ' ὁ πόλεμος καταλάβοι, ςρατεύεσθαι διδάσκων, καὶ μὴ παραχωρεῖν ἑτέροις μήτε τῶν πόνων μήτε τῶν ὠφελειῶν. διήρει γὰρ αὐτοῖς ἐξ ἴσȣ γῆν τε ὅσην ἂν ἀφέλοιντο πολεμίȣς, ἀνδράποδά τε καὶ χρήματα, καὶ παρεσκεύαζεν ἀγαπητῶς δέχεσθαι τὰς ςρατείας. Τῶν δ' ἐις ἀλλήλȣς ἀδικημάτων ȣ̓ χρονίȣς ἀλλὰ ταχείας ἐποιεῖτο τὰς κρίσεις, τὰ μὲν αὐτὸς διελὼν, τὰ δ' ἄλλοις ἐπιτρέπων· καὶ τὰς τιμωρίας αὐτῶν πρὸς τὰ μεγέθη τῶν ἁμαρτημάτων ἐποιεῖτο. ἀποτρέπειν τε ἀνθρώπȣς ἀπὸ παντὸς ἔργȣ πονηρȣ̃ τὸν φόβον μάλιςα δυνάμενον ὁρῶν, πολλὰ ἐις τȣ̃το παρεσκευάσατο, χωρίον τε ἐν ᾧ καθεζόμενος ἐδίκαζεν, ἐν τῷ φανερωτάτῳ τῆς ἀγορᾶς, καὶ ςρατιωτῶν ὁι παρηκολȣ́θȣν αὐτῷ τριακόσιοι τὸν ἀριθμὸν ὄντες, καταπληκτικωτάτην πρόσοψιν, ῥάβδȣς τε καὶ πελέκεις ὑπ' ἀνδρῶν δώδεκα φερομένȣς, ὁι τȣ̀ς μὲν ἄξια μαςίγων δεδρακότας ἔξαινον ἐν ἀγορᾷ, τῶν δὲ τὰ μέγιςα ἠδικηκότων τȣ̀ς τραχήλȣς ἀπέκοπτον ἐν τῷ φανερῷ. τοιȣ̃τος μὲν δή τις ὁ κόσμος ἦν τῆς κατασκευασθείσης ὑπὸ Ῥωμύλȣ πολιτείας. ἀπόχρη γὰρ ἐκ τȣ́των καὶ περὶ τῶν ἄλλων εἰκάσαι. Ἁι δὲ ἄλλαι πράξεις, ἅι τε κατὰ τȣ̀ς πολέμȣς ὑπὸ τȣ̃ ἀνδρὸς γινομεναι καὶ ἁι κατὰ πόλεις, ὧν ἄν τις καὶ λόγον ποιήσαιτο ἐν ἱςορίας γραφῇ, τοιαῦταί τινες παραδίδονται. πολλῶν περιοικȣ́ντων τὴν πόλιν ἐθνῶν, μεγάλων τε καὶ τὰ πολέμια ἀλκίμων, ὧν ȣ̓δὲν ἦν τοῖς Ῥωμαίοις φίλον, οἰκειώσασθαι ταῦτα βȣληθεὶς ἐπιγαμίαις· ὅσπερ ἐδόκει τοῖς παλαιοῖς ἔιναι τρόπος βεβαιότατος τῶν συναπτόντων φιλίας· ἐνθυμȣ́μενός τε ὅτι βȣλόμεναι μὲν ἁι πόλεις ȣ̓κ ἂν συνέλθοιεν αὐτοῖς ἄρτι τε συνοικιζομένοις, καὶ ȣ̓τε χρήμασι δυνατοῖς, ȣ̓τε λαμπρὸν ἔργον ἐπιδεδειγμένοις ȣ̓δὲν, βιασθεῖσαι δὲ ἔιξȣσιν, ἐι μηδεμία γένοιτο περὶ τὴν ἀνάγκην ὕβρις, γνώμην ἔσχεν, ᾗ καὶ Νομίτωρ ὁ πάππος αὐτȣ̃ προσέθετο, δι' ἁρπαγῆς παρθένων ἀθρόας γενομένης ποιήσασθαι τὰς ἐπιγαμίας. γνȣ̀ς δὲ ταῦτα, θεῷ μὲν εὐχὰς τίθεται πρῶτον ἀποῤῥήτων βȣλευμάτων ἡγεμόνι, ἐὰν ἡ πεῖρα αὐτῷ χωρήσῃ κατὰ νȣ̃ν, θυσίας μὲν καὶ ἑορτὰς

cap. 29. Judicia in foro habita.

cap. 30.

Consualia. Raptus virginum.

τὰς ἄξειν καθ' ἕκαςον ἐνιαυτόν· ἔπειτα τῷ συνεδρίῳ τῆς γερεσίας ἀνενέγκας τὸν λόγον, ἐπειδὴ κἀκείνοις τὸ βέλευμα ἤρεσκεν, ἑορτὴν προεῖπε καὶ πανήγυριν ἄξειν Ποσειδῶνι, καὶ περιήγγειλεν εἰς τὰς ἔγγιςα πόλεις, καλῶν τὰς βελομένες ἀγορᾶς τε μεταλαμβάνειν καὶ ἀγώνων· καὶ γὰρ ἀγῶνας ἄξειν ἔμελλον ἵππων τε καὶ ἀνδρῶν παντοδαπές. συνελθόντων δὲ πολλῶν ξένων εἰς τὴν ἑορτὴν ἅμα γυναιξὶ καὶ τέκνοις, ἐπειδὴ τάς τε θυσίας ἐτέλεσε τῷ Ποσειδῶνι καὶ τὰς ἀγῶνας, τῇ τελευταίᾳ τῶν ἡμερῶν, ᾗ διαλύσειν ἔμελλε τὴν πανήγυριν, παράγγελμα δίδωσι τοῖς νέοις, ἡνίκ' ἂν αὐτὸς ἄιρῃ τὸ σημεῖον, ἁρπάζειν τὰς παρέσας ἐπὶ τὴν θέαν παρθένες, ἃις ἂν ἐπιτύχωσιν ἕκαςος, καὶ Φυλάττειν ἁγνὰς ἐκείνην τὴν νύκτα, τῇ δ' ἑξῆς ἡμέρᾳ πρὸς αὐτὸν ἄγειν. οἱ μὲν δὴ νέοι διαςάντες κατὰ συςροφὰς, ἐπειδὴ τὸ σύνθημα ἀρθὲν ἶδον, τρέπονται πρὸς τὴν τῶν παρθένων ἁρπαγήν. ταραχὴ δὲ τῶν ξένων εὐθὺς ἐγίνετο καὶ Φωνὴ, μεῖζόν τι κακὸν ὑΦορωμένων. τῇ δ' ἑξῆς ἡμέρᾳ προσαχθεισῶν τῶν παρθένων, παραμυθησάμενος αὐτῶν τὴν ἀθυμίαν ὁ Ῥωμύλος, ἐκ ἐφ' ὕβρει τῆς ἁρπαγῆς, ἀλλ' ἐπὶ γάμῳ γενομένης, Ἑλληνικόν τε καὶ ἀρχαῖον ἀποΦαίνων τὸ ἔθος, καὶ τρόπον συμπάντων, καθ' ὃς συνάπτονται γάμοι ταῖς γυναιξὶν, ἐπιΦανέςατον, ἠξίε ςέργειν τὰς δοθέντας αὐταῖς ἄνδρας ὑπὸ τῆς τύχης· καὶ μετὰ τῦτο διαριθμήσας τὰς κόρας, ἑξακοσίας τε καὶ ὀγδοήκοντα καὶ τρεῖς εὑρεθείσας, κατέλεξεν αὖθις ἐκ τῶν ἀγάμων ἄνδρας ἰσαρίθμες, ὃις αὐτὰς συνήρμοττε κατὰ τὰς πατρίες ἑκάςης ἐθισμὲς, ἐπὶ κοινωνίᾳ πυρὸς καὶ ὕδατος ἐγγυῶν τὰς γάμες, ὡς καὶ μέχρι τῶν καθ' ἡμᾶς ἐπιτελῶνται χρόνων. Ταῦτα δὲ γενέσθαι τινὲς μὲν γράΦεσι κατὰ τὸν πρῶτον ἐνιαυτὸν τῆς Ῥωμύλε ἀρχῆς· Γναῖος δὲ Γέλλιος κατὰ τὸν τέταρτον· ὃ καὶ μᾶλλον εἰκός. νέον γὰρ οἰκιζομένης πόλεως ἡγεμόνα, πρὶν ἢ καταςήσασθαι τὴν πολιτείαν, ἔργῳ τηλικέτῳ ἐπιχειρεῖν, ἐκ εἶχε λόγον. τῆς τε ἁρπαγῆς τὴν αἰτίαν οἱ μὲν, εἰς σπάνιν γυναικῶν ἀναΦέρεσιν· οἱ δ', εἰς ἀΦορμὴν πολέμε· οἱ δὲ τὰ πιθανώτατα γράΦοντες, ὃις κἀγὼ συγκατεθέμην, εἰς τὸ συνάψαι Φιλότητα πρὸς τὰς πλησιοχώρες πόλεις ἀναγκαίαν. τὴν δὲ τότε τῷ Ῥωμύλῳ καθιερωθεῖσαν ἑορτὴν ἔτι καὶ εἰς ἐμὲ ἄγον-

cap. 31.

ἄγοντες Ῥωμαῖοι διετέλουν, Κωνσουάλια καλοῦντες, ἐν ᾗ βωμός τε ὑπόγειος ἱδρυμένος παρὰ τῷ μεγίστῳ τῶν ἱπποδρόμων, περισκαφείσης τῆς γῆς, θυσίαις τε καὶ ὑπερπύροις ἀπαρχαῖς γεραίρεται, καὶ δρόμος ἵππων ζευκτῶν τε καὶ ἀζεύκτων ἐπιτελεῖται. καλεῖται δὲ ὁ θεὸς, ᾧ ταῦτα ἐπιτελοῦσι, Κῶνσος ὑπὸ Ῥωμαίων· ὃν ἐξερμηνεύοντες εἰς τὴν ἡμετέραν γλῶτταν, Ποσειδῶνα σεισίχθονά φασιν εἶναί τινες, καὶ διὰ τοῦτο ὑπογείῳ τετιμῆσθαι βωμῷ λέγουσιν, ὅτι τὴν γῆν ὁ θεὸς οὗτος ἔχει. ἐγὼ δὲ καὶ ἕτερον οἶδα λόγον ἀκούων, ὡς τῆς μὲν ἑορτῆς τῷ Ποσειδῶνι ἀγομένης, καὶ τοῦ δρόμου τῶν ἱππέων τούτῳ τῷ θεῷ γινομένου, τοῦ δὲ καταγείου βωμοῦ δαίμονι ἀῤῥήτῳ τινὶ βουλευμάτων κρυφίων ἡγεμόνι καὶ φύλακι κατασκευασθέντος ὕστερον. Ποσειδῶνι γὰρ ἀφανῆ βωμὸν οὐδαμόθι γῆς, οὔθ᾽ ὑφ᾽ Ἑλλήνων, οὔθ᾽ ὑπὸ βαρβάρων καθιδρῦσθαι· τὸ δ᾽ ἀληθὲς ὅπως ἔχει χαλεπὸν εἰπεῖν.

Ὡς δὲ διεβοήθη τὰ περὶ τὴν ἁρπαγὴν τῶν παρθένων καὶ τὰ περὶ τοὺς γάμους εἰς τὰς πλησιοχώρους πόλεις, αἱ μὲν οὖν αὐτὸ τὸ πραχθὲν δι᾽ ὀργῆς ἐλάμβανον, αἱ δ᾽ ἀφ᾽ ἧς ἐπράχθη διαθέσεως καὶ εἰς τέλος ἐχώρησεν, ἀναλογιζόμεναι, μετρίως αὐτὸ ἔφερον. κατέσκηψε δ᾽ οὖν ἀνὰ χρόνον εἰς πολέμους τοὺς μὲν ἄλλους εὐπετεῖς, ἕνα δὲ τὸν πρὸς Σαβίνους μέγαν καὶ χαλεπόν· οἷς ἅπασι τέλος ἐπηκολούθησεν ἀγαθὸν, ὥσπερ αὐτῷ τὰ μαντεύματα προεθέσπισε, πρὶν ἐπιχειρῆσαι τῷ ἔργῳ, πόνους μὲν καὶ κινδύνους μεγάλους προσημαίνοντα, τὰς δὲ τελευτὰς αὐτῶν ἔσεσθαι καλάς. ἦσαν δὲ αἱ πρῶται πόλεις ἄρξασαι τοῦ πρὸς αὐτὸν πολέμου, Καινίνη καὶ Ἄντεμνα καὶ Κρουστομερία, πρόφασιν μὲν ποιούμεναι τὴν ἁρπαγὴν τῶν παρθένων, καὶ τὸ λαβεῖν ὑπὲρ αὐτῶν δίκας· ὡς δὲ τἀληθὲς εἶχε, τῇ κτίσει τε καὶ αὐξήσει τῆς Ῥώμης δι᾽ ὀλίγου πολλῇ γενομένῃ ἀχθόμεναι, καὶ οὐκ ἀξιοῦσαι περιϊδεῖν κοινὸν ἐπὶ τοῖς περιοίκοις ἅπασι κακὸν φυόμενον. τέως μὲν οὖν πρὸς τὸ Σαβίνων ἔθνος ἀποστέλλουσαι πρέσβεις, ἐκείνους ἠξίουν τὴν ἡγεμονίαν τοῦ πολέμου παραλαβεῖν, ἰσχύν τε μεγίστην ἔχοντας καὶ χρήμασι πλείοσι δυναμένους, ἄρχειν τε ἀξιοῦντας τῶν πλησιοχώρων, καὶ οὐκ ἐλάχιστα τῶν ἄλλων περιϋβρισμένους· τῶν γὰρ ἡρπασμένων αἱ πλείους ἦσαν

cap. 32.

cap. 35. σαν ἐκείνων. Ἐπειδὴ δ' ὐδὲν ἐπέραινον, ἀντικαθιςαμένων αὐταῖς τῶν παρὰ τῦ Ῥωμύλυ πρεσβειῶν καὶ θεραπευσῶν λόγοις τε καὶ ἔργοις τὸ ἔθνος, ἀχθόμεναι τῇ τριβῇ τῦ χρόνυ, μελλόντων ἀεὶ τῶν Σαβίνων καὶ ἀναβαλλομένων εἰς χρόνυς μακρὺς τὴν περὶ τῦ πολέμυ βυλὴν, αὐταὶ καθ' ἑαυτὰς ἔγνωσαν τοῖς Ῥωμαίοις πολεμεῖν, ἀπόχρῆν οἰόμεναι τὴν οἰκείαν δύναμιν, εἰ καθ' ἓν αἱ τρεῖς γένοιντο, μίαν αἱρῆσαι πόλιν ὐ μεγάλην. Ὁ δὲ Ῥωμύλος αὐτὰς ἐκ παρατάξεώς τε καὶ τειχομαχίας παραςησάμενος ἐποίησεν ἀποίκυς Ῥωμαίων. διαγγελέσης δὲ τῆς Φήμης πολλαῖς πόλεσι τήν τε κατὰ πολέμυς γενναιότητα τῦ ἡγεμόνος, καὶ πρὸς τὺς κρατηθέντας ἐπιείκειαν, ἄνδρες τε αὐτῷ προσετίθεντο πολλοὶ καὶ ἀγαθοὶ, δυνάμεις ἀξιοχρέυς πανοικίᾳ μετανιςαμένας ἐπαγόμενοι, ὧν ἐφ' ἑνὸς ἡγεμόνος ἐκ Τυῤῥηνίας ἐλθόντος, ᾧ Καίλιος ὄνομα ἦν, τῶν λόφων τις, ἐν ᾧ καθιδρύνθη, Καίλιος εἰς τόδε χρόνυ καλεῖται· καὶ πόλεις ὅλαι παρεδίδοσαν ἑαυτὰς, ἀπὸ γῆς Μεδυλλίνων ἀρξάμεναι, καὶ ἐγίνοντο Ῥωμαίων ἄποικοι. Σαβῖνοι δὲ ταῦτα ὁρῶντες ἤχθοντο καὶ δι' αἰτίας ἀλλήλυς εἶχον, ὅτι ὐκ ἀρχομένην τὴν Ῥωμαίων ἀρχὴν ἐκώλυσαν, ἀλλ' ἐπὶ μέγα προιῦσαν συμφέρεσθαι ἔμελλον· ἐδόκει τε αὐτοῖς ἐπανορθώσασθαι τὴν προτέραν ἄγνοιαν, ἀξιολόγυ δυνάμεως ἀποςολῇ. καὶ μετὰ τῦτο ἀγορὰν ποιησάμενοι σύμπαντες ἐν τῇ μεγίςῃ τε πόλει καὶ πλεῖςον ἀξίωμα ἐχύσῃ τῦ ἔθνυς, ᾗ Κυρὶς ὄνομα ἦν, ψῆφον ὑπὲρ τῦ πολέμυ διήνεγκαν, ἀποδείξαντες ἡγεμόνα τῆς ςρατιᾶς Τίτον, ὃς ἐπεκαλεῖτο Τάτιος, βασιλέα Κυριτῶν. Σαβῖνοι μὲν δὴ ταῦτα βυλευσάμενοι, καὶ διαλυθέντες κατὰ τὰς πόλεις, τὰ πρὸς πόλεμον ἠυτρεπίζοντο, ὡς εἰς νέωτα ἐπὶ τὴν Ῥώμην χειρὶ πολλῇ ἐλάσοντες.

cap. 36. Caenina, Antemnae & Crustumerium captae coloniae fiunt Romanorum.

cap. 44. Sabinum bellum I.

Μετὰ δὲ πολλὰς μάχας οἵ τε Σαβῖνοι ἐν βυλῇ ἐγίνοντο, πότερον ἀποίσυσιν ἐπ' οἴκυ τὰς δυνάμεις, ὅσα δύνανται τῆς χώρας τῶν πολεμίων κακώσαντες, ἢ προσμεταπέμπωνται ςρατιὰν ἑτέραν οἴκοθεν, καὶ προσμείνωσι λιπαρῦντες, ἕως τὸ κάλλιςον ἐπιθήσωσι τῷ πολέμῳ κράτος. πονηρὸν δὲ αὐτοῖς καὶ τὸ ἀπιέναι μετ' αἰσχύνης τῆς ἀπράκτυ ἀναχωρήσεως ἐφαίνετο εἶναι, καὶ τὸ μένειν, ὐδενὸς σφίσι χωρῦντος κατ' ἐλπίδα. συμβάσεως δὲ περὶ τῦ διαλέγε-

λέγεσθαι πρὸς τὰς ἐχθρὰς, ἥνπερ ἐδόκει εἶναι μόνην εὐπρεπῆ τῦ πολέμυ ἀπαλλαγὴν, ὐχ ἑαυτοῖς μᾶλλον ἢ Ῥωμαίοις ἁρμόττειν ὑπελάμβανον· Ῥωμαῖοι δὲ ὐδὲν ἧττον, ἀλλὰ καὶ μᾶλλον τῶν Σαβίνων εἰς πολλὴν ἀπορίαν ἐνέπιπτον ὅ,τι χρήσαιντο τοῖς πράγμασιν. ὔτε γὰρ ἀποδιδόναι τὰς γυναῖκας ἠξίυν, ὔτε κατέχειν· τῷ μὲν ἧτταν ὁμολογυμένην ἀκολυθεῖν οἰόμενοι, καὶ ἀναγκαῖον σφίσιν ἐσόμενον πᾶν ὅ,τι ἂν ἄλλο ἐπιταχθῶσιν ὑπομένειν· τῷ δὲ πολλὰ καὶ δεινὰ ἐπιδεῖν, χώρας τε πορθυμένης καὶ νεότητος τῆς κρατίςης ἀπολλυμένης· περὶ φιλίας τε εἰ διαλέγοιντο πρὸς Σαβίνυς, ὐδενὸς ὑπελάμβανον τεύξεσθαι τῶν μετρίων, διὰ πολλὰ μὲν καὶ ἄλλα, μάλιςα δ᾽ ὅτι ταῖς αὐθαδείαις ἡ μετριότης γίνεται πρὸς τὸ ἀντίπαλον ἐπὶ θεραπείας τραπόμενον, ἀλλὰ βαρύτης. Ἐν ᾧ δὲ ἀμφότεροι ταῦτα διαλογιζόμενοι, καὶ ὔτε μάχης ἄρχειν τολμῶντες, ὔτε περὶ φιλίας διαλεγόμενοι, παρεῖλον τὸν χρόνον, αἱ τῶν Ῥωμαίων γυναῖκες αἱ τῦ Σαβίνων ἐτύγχανον ὖσαι γένυς, δι᾽ ἃς ὁ πόλεμος εἰςήκει, συνελθῦσαι δίχα τῶν ἀνδρῶν εἰς ἓν χωρίον, καὶ λόγον ἑαυταῖς δῦσαι, γνώμην ἐποιήσαντο συμβατηρίων ἄρξαι πρὸς ἀμφοτέρυς λόγων. ἡ δὲ τῦτο ἡγησαμένη τὸ βύλευμα ταῖς γυναιξὶν, Ἑρσιλία μὲν ἐκαλεῖτο, γένυς δὲ ὐκ ἀφανῦς ἐν Σαβίνοις. ταύτην δ᾽ οἱ μὲν φασὶ γεγαμημένην ἤδη σὺν ταῖς ἄλλαις ἁρπασθῆναι κόρας ὡς πάρθενον· οἱ δὲ τὰ πιθανώτατα γράφοντες, ἑκῦσαν ὑπομεῖναι λέγυσι μετὰ θυγατρὸς· ἁρπασθῆναι γὰρ δὴ κἀκείνης θυγατέρα μονογενῆ. ὡς δὲ ταύτην ἔσχον τὴν γνώμην αἱ γυναῖκες, ἧκον ἐπὶ τὸ συνέδριον, καὶ τυχῦσαι λόγυ, μακρὰς ἐξέτεινον διηγήσεις, ἐπιτροπὴν ἀξιῦσαι λαβεῖν τῆς πρὸς τὰς συγγενεῖς ἐξόδυ, πολλὰς καὶ ἀγαθὰς ἐλπίδας ἔχειν λέγυσαι περὶ τῦ συνάξειν εἰς ἓν τὰ ἔθνη, καὶ ποιήσειν φιλίαν. ὡς δὲ ταῦτ᾽ ἤκυσαν οἱ συνεδρεύοντες τῷ βασιλεῖ, σφόδρα τε ἠγάσθησαν, καὶ πόρον ἐν ἀμηχάνοις πράγμασι τῦτον ὑπέλαβον εἶναι μόνον. γίνεται δὲ μετὰ τῦτο δόγμα τοιόνδε βυλῆς, ὅσαι τῦ Σαβίνων γένυς ἦσαν ἔχυσαι τέκνα, ταύταις ἐξυσίαν εἶναι καταλιπύσαις τὰ τέκνα παρὰ τοῖς ἀνδράσι, πρεσβεύειν ὡς τὰς ὁμοεθνεῖς· ὅσαι δὲ πλειόνων παίδων μητέρες ἦσαν, ἐπάγεσθαι μοῖραν ἐξ αὐτῶν ὁσηνδήτινα, καὶ πράττειν ὅπως ἂν εἰς φιλίαν συνάξωσι

cap. 45. Uxores Romanorum e gente Sabina pacem componunt.

σι τὰ ἔθνη. μετὰ τοῦτο ἐξῄεσαν ἐσθῆτας ἔχουσαι πενθίμους, τινὲς δὲ αὐτῶν καὶ τέκνα νήπια ἐπαγόμεναι. ὡς δ' εἰς τὸν χάρακα τῶν Σαβίνων προῆλθον ὀδυρόμεναι καὶ προσπίπτουσαι τοῖς ἁπάντων γόνασιν, πολὺν οἶκτον ἐκ τῶν ὁρώντων ἐκίνησαν, καὶ τὰ δάκρυα κατέχειν οὐδεὶς ἱκανὸς ἦν. συναχθέντος δὲ αὐταῖς τοῦ συνεδρίου τῶν προβούλων, καὶ κελεύσαντος τοῦ βασιλέως ὑπὲρ ὧν ἥκουσι λέγειν, ἡ τοῦ βουλεύματος ἄρξασα, καὶ τὴν ἡγεμονίαν ἔχουσα τῆς πρεσβείας Ἑρσιλία, μακρὰν καὶ συμπαθῆ διεξῆλθε δέησιν, ἀξιοῦσα χαρίσασθαι τὴν εἰρήνην ταῖς δεομέναις ὑπὲρ τῶν ἀνδρῶν, δι' ἃς ἐξενηνέχθαι τὸν πόλεμον ἀπέφαινον· ἐφ' οἷς δὲ γενήσονται δικαίοις αἱ διαλύσεις, τοὺς ἡγεμόνας αὐτῶν συνελθόντας ἐφ' ἑαυτῶν διομολογήσεσθαι, πρὸς τὰ κοινῇ συμφέροντα ὁρῶντας. Τοσαῦτα εἰποῦσαι πρὸ τῶν τοῦ βασιλέως γονάτων ἅμα τοῖς τέκνοις, καὶ διέμενον ἐρριμμέναι, τέως ἀνέστησαν αὐτὰς ἐκ τῆς γῆς οἱ παρόντες, ἅπαντα ποιήσειν τὰ μέτρια καὶ δυνατὰ ὑπισχνούμενοι. μεταστησάμενοι δὲ αὐτὰς ἐκ τοῦ συνεδρίου, καὶ βουλευσάμενοι καθ' ἑαυτοὺς, ἔκριναν ποιεῖσθαι τὰς διαλλαγάς. καὶ γίνονται τοῖς ἔθνεσιν ἐκεχειρίαι μὲν πρῶτον· ἔπειτα συνελθόντων τῶν βασιλέων, συνθῆκαι περὶ φιλίας. ἦν δὲ τὰ συνομολογηθέντα τοῖς ἀνδράσι, περὶ ὧν τοὺς ὅρκους ἐποιήσαντο, τοιάδε· βασιλέας μὲν εἶναι Ῥωμαίων, Ῥωμύλον καὶ Τάτιον, ἰσοψήφους ὄντας, καὶ τιμὰς καρπουμένους τὰς ἴσας· καλεῖσθαι δὲ τὴν μὲν πόλιν ἐπὶ τοῦ κτίσαντος τὸ αὐτὸ φυλάττουσαν ὄνομα, Ῥώμην· καὶ ἕνα ἕκαστον τῶν ἐν αὐτῇ πολιτῶν, Ῥωμαῖον, ὡς πρότερον· τοὺς δὲ σύμπαντας ἐπὶ τῆς Τατίου πατρίδος κοινῇ περιλαμβανομένους κλήσει, Κυρίτας· πολιτεύειν δὲ τοὺς βουλομένους Σαβίνων ἐν Ῥώμῃ, ἱερά τε συνενεγκαμένους, καὶ εἰς φυλὰς καὶ φράτρας ἐπιδοθέντας. ταῦτα ὀμόσαντες καὶ βωμοὺς ἐπὶ τοῖς ὅρκοις ἱδρυσάμενοι κατὰ μέσην μάλιστα τὴν καλουμένην ἱερὰν ὁδὸν, συνεκράθησαν ἀλλήλοις, καὶ οἱ μὲν ἄλλοι τὰς δυνάμεις ἀναλαβόντες ἡγεμόνες ἀπῆλθον ἐπ' οἴκου· Τάτιος δὲ ὁ βασιλεὺς, καὶ σὺν αὐτῷ τρεῖς ἄνδρες τῶν διαφανεστάτων ὑπέμειναν ἐν Ῥώμῃ, καὶ τιμὰς ἔσχον ἃς τὸ ἀπ' αὐτῶν ἐκαρποῦτο γένος, Οὐόλεσσος Οὐαλέριος, καὶ Τάλλος Τύραννος ἐπίκλησιν, καὶ τελευταῖος Μέτιος Κούρτιος, ὁ τὴν λίμνην

cap. 46. Foedus inter Romanos & Sabinos.

Digitized by Google

μην σὺν τοῖς ὅπλοις διανηξάμενος, ὅις παρέμειναν ἕτεροί τε συγγενεῖς καὶ πελάται, τῶν ἐπιχωρίων ἀριθμῷ ὀκ ἐλάττες.

Καταςάντων δὲ τῶν πραγμάτων, ἔδοξε τοῖς βασιλεῦσι, ἐπειδὴ πολλὴν ἐπίδοσιν εἰς ὄχλε πλῆθος εἰλήφει, διπλάσιον τῷ προτέρῳ ποιῆσαι τὸν τῶν πατρικίων ἀριθμὸν, προσκαταλέξαντας σὺν τοῖς ἐπιφανεςάτοις ὄικοις ἐκ τῶν ὕστερον ἐποικησάντων ἴσες τοῖς προτέροις νεωτέρες, ὃς ἐκάλεσαν πατρικίες· ἐξ ὧν ἑκατὸν ἄνδρας, ὃς αἱ Φράτραι προεχειρίσαντο, τοῖς ἀρχαίοις βελευταῖς προσέγραψαν.

cap. 47. Romulus & Tatius patriciorum numerum duplicant.

Ὁι δὲ περὶ τὸν Ῥωμύλον καὶ Τάτιον τήν τε πόλιν εὐθὺς ἐποίεν μείζονα, προσθέντες ἑτέρες αὐτῇ δύο λόφες, τόν τε Κυρίνιον κληθέντα καὶ τὸν Καίλιον· καὶ διελόμενοι τὰς οἰκήσεις χωρὶς ἀλλήλων, δίαιταν ἐν τοῖς ἰδίοις ἑκάτεροι χωρίοις ἐποιῦντο. Ῥωμύλος μὲν τὸ Παλάτιον κατέχων, καὶ τὸ Καίλιον ὄρος· ἔςι δὲ τῷ Παλατίῳ προσεχές· Τάτιος δὲ τὸ Καπιτώλιον, ὅπερ ἐξ ἀρχῆς κατέσχε, καὶ τὸν Κυρίνιον ὄχθον. τὸ δ' ὑποκείμενον τῷ Καπιτωλίῳ πεδίον, ἐκκόψαντες τὴν ἐν αὐτῷ πεφυκυῖαν ὕλην, καὶ τῆς λίμνης, ἣ δὴ διὰ τὸ κοῖλον εἶναι τὸ χωρίον ἐπλήθυνε τοῖς κατιῦσιν ἐκ τῶν ὀρῶν νάμασι, τὰ πολλὰ χώσαντες, ἀγορὰν αὐτόθι κατεςήσαντο, ᾗ καὶ νῦν ἔτι χρώμενοι Ῥωμαῖοι διατελῦσι· καὶ τὰς συνόδες ἐνταῦθα ἐποιῦντο, ἐν Ἡφαίςε χρηματίζοντες ἱερῷ, μικρὸν ἐπανεςηκότι τῆς ἀγορᾶς. ἱερά τε ἱδρύσαντο καὶ βωμὲς καθιέρωσαν ὅις ηὔξαντο κατὰ τὰς μάχας θεοῖς· Ῥωμύλος μὲν, Ὀρθωσίῳ Διῒ παρὰ ταῖς καλεμέναις Μυκωνίσι πύλαις, ἃι φέρεσιν εἰς τὸ Παλάτιον ἐκ τῆς ἱερᾶς ὁδῦ, ὅτι τὴν ςρατιὰν αὐτῦ φυγῦσαν ἐποίησε θεὸς ὑπακῦσαι ταῖς εὐχαῖς, ςῆναί τε καὶ πρὸς ἀλκὴν τραπέσθαι. Τάτιος δὲ, ἡλίῳ τε καὶ σελήνῃ, καὶ Κρόνῳ, καὶ Ῥέᾳ· πρὸς δὲ τέτοις, Ἑςίᾳ, καὶ Ἡφαίςῳ, καὶ Ἀρτέμιδι, καὶ Ἐνυαλίῳ, καὶ ἄλλοις θεοῖς, ὧν χαλεπὸν ἐξειπεῖν Ἑλλάδι γλώττῃ τὰ ὀνόματα· ἐν ἁπάσαις τε ταῖς κυρίαις Ἥρᾳ τραπέζας ἔθετο Κυριτίᾳ λεγομένῃ, ἃι καὶ εἰς τόδε χρόνε κεῖνται. ἔτη μὲν ὖν πέντε συνεβασίλευσαν ἀλλήλοις, ὑπὲρ ὀδενὸς διαφερόμενοι χρήματος, ἐν ὅις κοινὴν πρᾶξιν ἀπεδείξαντο τὴν ἐπὶ Καμερίνες ςρατείαν. λῃςήρια γὰρ ἐκπέμποντες οἱ Καμερῖνοι καὶ πολλὰ τὴν χώραν

cap. 50. Romulus & Tatius una imperant.

ραν αὐτῶν κακοῦντες, οὐ συνέβαινον ἐπὶ δίκην, πολλάκις ὑπ᾽ αὐτῶν καλούμενοι· οὓς ἐκ παρατάξεως νικήσαντες· ἐχώρησαν γὰρ αὐτοῖς ὁμόσε· καὶ μετὰ ταῦτα ἐκ τειχομαχίας κατὰ κράτος αὐτοὺς ἑλόντες, ὅπλα μὲν ἀφείλοντο, καὶ χώρας ἐζημίωσαν τῇ τρίτῃ μερίδι· ἣν λυμαινομένων, τῇ τρίτῃ ἡμέρᾳ ἐπεξελθόντες καὶ τροπωσάμενοι αὐτοὺς, τὰ μὲν αὐτῶν ἅπαντα τοῖς σφετέροις πολίταις διεῖλον, αὐτοὺς δὲ τοὺς ἀνθρώπους ὁπόσοι ἐβούλοντο ἐν Ῥώμῃ κατοικεῖν, εἴασαν. ἐγένοντο δ᾽ ὡς τετρακισχίλιοι, οὓς ταῖς Φράτραις ἐπεμέρισαν, καὶ τὴν πόλιν αὐτῶν ἀποικίαν Ῥωμαίων ἐποίησαν. ἦν δὲ Ἀλβανῶν ἀπόκτισις ἡ Καμερία, πολλοῖς χρόνοις ἀποσαλεῖσα πρότερον τῆς Ῥώμης· τὸ δ᾽ ἀρχαῖον, Ἀβοριγίνων ὄικησις ἐν ταῖς πάνυ ἐπιφανής.

Cameria colonia Rom. facta.

cap. 51. Tatii interitus.

Ἐνιαυτῷ δὲ ὕστερον περιΐσαται πάλιν εις ἕνα τὸν Ῥωμύλον ἡ τῆς πόλεως ἀρχὴ, Τατίου τελευτήσαντος ἐξ ἐπιβουλῆς ἣν συνέστησαν ἐπ᾽ αὐτῷ Λαβινιατῶν οἱ κορυφαιότατοι συμφρονήσαντες, ἀπὸ τοιαύτης αἰτίας· τῶν ἑταίρων τινὲς τοῦ Τατίου λῃστήριον ἐξαγαγόντες εις τὴν Λαβινιατῶν χώραν, χρήματά τε αὐτῶν ἥρπασάν πολλὰ, καὶ βοσκημάτων ἀπήλασαν ἀγέλας· τῶν δ᾽ ἐπιβοηθούντων οὓς μὲν ἀπέκτειναν, οὓς δὲ ἐτραυμάτισαν. ἀφικομένης δὲ πρεσβείας παρὰ τῶν ἠδικημένων, καὶ τὰ δίκαια ἀπαιτούσης, ὁ μὲν Ῥωμύλος ἐδικαίωσε παραδοῦναι τοὺς δράσαντας τοῖς ἀδικηθεῖσιν ἀπάγειν· ὁ δὲ Τάτιος τῶν ἑταίρων περιεχόμενος, οὐκ ἠξίου πρὸς δίκην τινὰς ὑπ᾽ ἐχθρῶν ἐνάγεσθαι, καὶ ταῦτα πολίτας ὄντας ὑπὸ ξένων· δικάζεσθαι δ᾽ αὐτοῖς ἐκέλευσε τοὺς ἀδικεῖσθαι λέγοντας εις Ῥώμην ἀφικομένους. οἱ μὲν δὲ πρέσβεις οὐδὲν εὑρόμενοι τῶν δικαίων, ἀγανακτοῦντες ἀπῄεσαν. ἀκολουθήσαντες δ᾽ αὐτοῖς τῶν Σαβίνων τινὲς ὑπ᾽ ὀργῆς, ἐσκηνωμένοις παρὰ τὴν ὁδὸν· ἑσπέρα γὰρ αὐτοὺς κατέλαβεν· ἐπιτίθενται καθεύδουσι, καὶ τά τε χρήματ᾽ αὐτοὺς ἀφαιροῦνται, καὶ ὁπόσους ἐν ταῖς κοίταις ἔτι κατέλαβον ἀποσφάττουσιν· ὅσοις δὲ ταχεῖα τῆς ἐπιβουλῆς αὐτῶν ἄισθησις ἐγένετο καὶ τοῦ διαφυγεῖν δύναμις, εις τὴν πόλιν ἀφικνοῦνται. μετὰ τοῦτο ἔκ τε Λαβινίου πρέσβεις ἀφικόμενοι καὶ ἐξ ἄλλων πόλεων συχνῶν, κατηγόρουν τῆς παρανομίας, καὶ πόλεμον παρήγγελλον, ἐι μὴ τεύξονται τῆς δίκης. Ῥωμύλῳ μὲν οὖν δεινὸν, ὥσπερ ἦν, τὸ περὶ τοὺς πρεσβευ-

cap. 52.

Digitized by Google

σβεστὰς ἐφαίνετο πάθος, καὶ ταχείας ἀφοσιώσεως δεόμενον, ὡς ἱεροῦ καταλυομένου νόμου. καὶ οὐδὲν ἔτι μελλήσας, ὡς εἶδεν ὀλιγωροῦντα τὸν Τάτιον, αὐτὸς συνέλαβε τοὺς ἐνόχους τῷ ἄγει, καὶ δήσας παρέδωκε τοῖς πρεσβευταῖς ἀπάγειν. Τατίῳ δὲ θυμός τε εἰσέρχεται τῆς ὕβρεως, ἣν ἀπὸ τοῦ συνάρχοντος ᾐτιᾶτο ὑβρίσθαι κατὰ τὴν παράδοσιν τῶν ἀνδρῶν, καὶ οἶκτος τῶν ἀπαγομένων· ἦν γὰρ καὶ συγγενής τις αὐτοῦ τῷ ἄγει ἔνοχος· καὶ αὐτίκα τοὺς στρατιώτας ἀναλαβὼν, ἀφείλετο τοὺς ἀπαγομένους. χρόνου δὲ οὐ πολλοῦ διελθόντος, ὡς μέν τινές φασιν, ἅμα Ῥωμύλῳ παραγενόμενος εἰς τὸ Λαβίνιον ἕνεκα θυσίας, ἣν ἔδει τοῖς πατρῴοις θεοῖς ὑπὲρ τῆς πόλεως θῦσαι τοὺς βασιλεῖς, συστάντων ἐπ' αὐτὸν τῶν ἑταίρων τε καὶ γένει προσηκόντων τοῖς ἀνῃρημένοις πρέσβεσιν, ἐπὶ τῷ βωμῷ ταῖς μαγειρικαῖς σφαγίσι καὶ τοῖς βουπόροις ὀβελοῖς παιόμενος ἀποθνήσκει. ὡς δ' οἱ περὶ Λικίνιον γράφουσιν, οὐ μετὰ Ῥωμύλου παραγενόμενος, οὐδὲ χάριν ἱερῶν, ἀλλὰ μόνος, ὡς πείσων τοὺς ἀδικηθέντας ἀφεῖναι τοῖς δεδρακόσι τὴν ὀργήν· ἀγανακτήσαντός τε τοῦ πλήθους ἐπὶ τῷ μὴ παραδεδόσθαι σφίσι τοὺς ἄνδρας, ὥς τε Ῥωμύλος ἐδικαίωσε, καὶ ἡ τῶν Ῥωμαίων ἔκρινε βουλὴ, καὶ τῶν προσηκόντων τοῖς τεθνεῶσι κατὰ πλῆθος ὁρμησάντων ἐπ' αὐτὸν, ἀδύνατος ὢν ἔτι διαφυγεῖν τὴν ἐκ χειρὸς δίκην, καταλευσθεὶς ὑπ' αὐτῶν ἀποθνήσκει. Τάτιος μὲν οὖν τοιαύτης τελευτῆς ἔτυχε, τρία μὲν ἔτη πολεμήσας Ῥωμύλῳ, πέντε δὲ συνάρξας. θάπτεται δὲ εἰς Ῥώμην κοσμηθεὶς ἐντίμῳ ταφῇ, καὶ χοὰς αὐτῷ καθ' ἕκαστον ἐνιαυτὸν ἡ πόλις ἐπιτελεῖ δημοσίας.

cap. 53. Romulus solus imperat.

Ῥωμύλος δὲ μόνος ἐπὶ τὴν ἀρχὴν τὸ δεύτερον καταστὰς, τό, τε ἄγος ἀφοσιοῦται τὸ περὶ τοὺς πρέσβεις γενόμενον, προειπὼν τοῖς ἐργασαμένοις τὸ μύσος ὕδατος εἴργεσθαι καὶ πυρός· ἐπεφεύγεσαν γὰρ ἐκ τῆς πόλεως ἅπαντες ἅμα τῷ τὸν Τάτιον ἀποθανεῖν· καὶ τῶν Λαβινιατῶν τοὺς συστάντας ἐπὶ τὸν Τάτιον δικαστηρίῳ παραδοὺς ἐκδοθέντας ὑπὸ τῆς πόλεως, ἐπειδὴ δικαιότερον ἐδόκουν λέγειν, τὰ βίαια τιμωρησάμενοι τοῖς βιαίοις, ἀπέλυσε τῆς αἰτίας. ταῦτα διαπραξάμενος ἐπὶ τῶν Φιδηναίων ἐστράτευσε πόλιν, ἀπὸ τετταράκοντα σταδίων τῆς Ῥώμης κειμένην, μεγάλην τε καὶ πολυάνθρωπον οὖσαν τότε. ἀγομένης γὰρ εἰς τὴν Ῥώμην ἀγορᾶς

Digitized by Google

ρᾶς ἐν σκάφαις ποταμηγοῖς, ἣν Κρυςομέριοι πιεζομένοις ὑπὸ λιμῦ Ῥωμαίοις ἀπέςειλαν, ὠσάμενοι κατὰ πλῆθος ἐπὶ τὰς σκάφας ὁι Φιδηναῖοι τήν τε ἀγορὰν διήρπασαν, καὶ τῶν ἀνθρώπων τινὰς τῶν ἐπιβοηθέντων ἀπέκτειναν· αἰτύμενοί τε δίκας ὐχ ὑπεῖχον. ἐφ᾽ ὅις ἀγανακτῶν ὁ Ῥωμύλος ἐνέβαλεν ἐις τὴν χώραν αὐτῶν πολλῇ ςρατιᾷ, καὶ γενόμενος ἀφθόνυ λείας ἐγκρατὴς, ἀπάγειν μὲν παρεσκευάζετο τὴν δύναμιν· ἐπεξελθόντων δὲ τῶν Φιδηναίων, συνάπτει πρὸς αὐτὺς μάχην. καρτερῦ δὲ ἀγῶνος γενομένυ, καὶ πολλῶν πεσόντων ἀφ᾽ ἑκατέρων, ἡττηθέντες ὁι Φιδηναῖοι τρέπονται πρὸς φυγήν. ὁ δὲ ἐκποδὼν συνακολυθῶν αὐτοῖς, συνεισπίπτει τοῖς φεύγυσιν ἐις τὸ τεῖχος. ἁλύσης δὲ τῆς πόλεως ἐξ ἐφόδυ, τιμωρησάμενος ἐξ αὐτῶν ὀλίγυς, καὶ φυλακὴν ἐν τῇ πόλει τριακοσίων ἀνδρῶν καταλιπὼν, τῆς τε χώρας μοῖραν ἀποτεμόμενος, ἣν τοῖς σφετέροις διεῖλεν, ἄποικον ἐποίησε Ῥωμαίων καὶ ταύτην τὴν πόλιν. ἦν δὲ Ἀλβανῶν ἀπόκτισις κατὰ τὸν αὐτὸν οἰκισθεῖσα Νωμεντῷ τε καὶ Κρυςομερίᾳ χρόνον, τριῶν ἀδελφῶν τῆς ἀποικίας ἡγησαμένων, ὧν ὁ πρεσβύτατος τὴν Φιδήνην ἔκτισεν.

Fidenæ captæ & Rom. col. factæ.

cap. 54. De Camerinis triumphat.

Μετὰ τῦτον τὸν πόλεμον ἐπὶ Καμαρίνυς ἐςράτευσεν ἐπιτιθεμένυς τοῖς παρὰ σφίσιν ἐποίκοις, καθ᾽ ὃν χρόνον ἔκαμνεν ἡ Ῥωμαίων πόλις ὑπὸ νόσυ λοιμικῆς· ᾗ δὴ καὶ μάλιςα ἐπαρθέντες ὁι Καμαρῖνοι καὶ νομίσαντες ἄρδην τὸ Ῥωμαίων διαφθαρήσεσθαι γένος ὑπὸ τῆς συμφορᾶς, τὺς μὲν ἀπέκτειναν τῶν ἐποίκων, τὺς δ᾽ ἐξέβαλον. ἀνθ᾽ ὧν τιμωρύμενος αὐτὺς ὁ Ῥωμύλος, ἐπειδὴ τὸ δεύτερον ἐκράτησε τῆς πόλεως, τὺς μὲν αἰτίυς τῆς ἀποςάσεως ἀπέκτεινε· τοῖς δὲ ςρατιώταις διαρπάσαι τὴν πόλιν ἐφῆκε, τῆς τε χώρας τὴν ἡμίσειαν ἀποτεμόμενος, ἔξω τῆς πρότερον τοῖς κληρύχοις δοθείσης, καὶ φρυρὰν ἀξιόχρεων καταλιπὼν, ὡς μηδὲν ἔτι παρακινῆσαι τὺς ἔνδον, ἀπῆγε τὴν δύναμιν. ἐκ ταύτης τῆς ςρατιᾶς δεύτερον θρίαμβον κατήγαγε, καὶ ἀπὸ τῶν λαφύρων τέθριππον χάλκεον ἀνέθηκε τῷ Ἡφαίςῳ, καὶ παρ᾽ αὐτῷ τὴν ἰδίαν ἔςησεν εἰκόνα, ἐπιγράψας Ἑλληνικοῖς γράμμασι τὰς ἑαυτῦ πράξεις.

Bellum cum Vejentibus.

τρίτος αὐτῷ συνέςη πόλεμος πρὸς ἔθνυς Τυῤῥηνικῦ τὴν μέγιςον ἰσχύυσαν τότε πόλιν, ἣ καλεῖται μὲν Ὀυιοί, ἀπέχει δὲ τῆς Ῥώμης ἀμφὶ τὺς ἑκατὸν ςαδίυς.

Digitized by Google

ςαδίυς. κεῖται δ' ἐφ' ὑψηλȣ̃ σκοπέλȣ καὶ περιῤῥῶγος, μέγεθος ἔχȣσα ὅσον Ἀθῆναι. ἐποιήσαντο δ' οἱ Οὐϊενταvοὶ τȣ̃ πολέμȣ πρόφασιν τὴν τῆς Φιδήνης ἅλωσιν, καὶ πρέσβεις ἀποςείλαντες ἐκέλευον Ῥωμαίοις ἐξάγειν ἐκ τῆς πόλεως τὴν φρȣρὰν, καὶ τὴν χώραν, ἣν κατεῖχον ἀφελόμενοι τȣ̀ς Φιδηναίȣς, ἀποδιδόναι τοῖς ἐξ ἀρχῆς κυρίοις. ὡς δ' ȣ̓κ ἔπειθον, ἐλάσαντες πολλῇ ςρατιᾷ, πλησίον τῆς Φιδήνης ἐν ἀπόπτῳ τίθενται τὸν χάρακα. προεγνωκὼς δὲ αὐτῶν τὴν ἔξοδον ὁ Ῥωμύλος ἐξεληλύθει τὴν κρατίςην δύναμιν ἔχων, καὶ ἦν ἐν τῇ πόλει τῶν Φιδηναίων εὐτρεπής. ἐπεὶ δ' ἕτοιμα τὰ πρὸς τὸν ἀγῶνα ἦν, ἀμφότεροι προελθόντες εἰς τὸ πεδίον ἐμάχοντο, καὶ διέμενον ἄχρι πολλῆς ὥρας ἐκθύμως ἀγωνιζόμενοι, ἕως ἡ νὺξ ἐπιλαβȣ̃σα διέκρινεν αὐτȣ̀ς, ἴσȣς κατὰ τὸν ἀγῶνα γενομένȣς. καὶ ταύτην μὲν τὴν μάχην ȣ̈τως ἠγωνίσαντο. Ἑτέρας δὲ μάχης μετ' ȣ̓ πολὺ γενομένης, ἐνίκων οἱ Ῥωμαῖοι σοφίᾳ τȣ̃ ἡγεμόνος, ὄρος τι καταλαβομένȣ νύκτωρ, ȣ̓ πολὺν τȣ̃ ςρατοπέδȣ τῶν πολεμίων τόπον ἀπέχον, καὶ λοχίσαντος ἐν αὐτῷ τὴν ἀκμαιοτάτην τῶν ὕςερον ἀφικομένων ἐκ τῆς πόλεως, ἱππέων τε καὶ πεζῶν δύναμιν. συνελθόντων δὲ εἰς τὸ πεδίον ἀμφοτέρων καὶ τὸν αὐτὸν ἀγωνιζομένων τρόπον, ἐπειδὴ τὸ σύνθημα ὁ Ῥωμύλος ἤρετο τοῖς ἐπὶ τȣ̃ ὄρȣς, ἀλαλάξαντες οἱ λοχῶντες ἔθεον ἐπὶ τȣ̀ς Οὐϊενταvȣ̀ς ἐκ τῶν κατόπιν, καὶ προσπεσόντες ἀνθρώποις μεμοχθηκόσιν αὐτοὶ ἀκμῆται ὄντες, ȣ̓ σὺν πολλῷ τρέπȣσι χρόνῳ. τῶν δ' ὀλίγοι μέν τινες ἀποθνήσκȣσι κατὰ τὴν μάχην· οἱ δὲ πλείȣς εἰς τὸν Τίβεριν ποταμὸν· ἐκρεῖ δὲ παρὰ τὴν Φιδήνην· ῥίψαντες ἑαυτȣ̀ς, ὡς διανηξόμενοι τὸ ῥεῦμα, διεφθάρησαν. τραυματίαι γὰρ ὄντες καὶ βαρεῖς ὑπὸ κόπȣ, ἀδύνατοι ἐγένοντο διανήξασθαι· οἱ δὲ καὶ ἀπειρίᾳ τȣ̃ νεῖν, ȣ̓ προϊδόντες, ὑπὸ τȣ̃ δεινȣ̃ τὴν γνώμην ἐπιταραχθέντες, ἐν ταῖς δίναις ἀπώλλυντο. εἰ μὲν ȣ̓̃ν συνέγνωσαν ἑαυτοῖς Οὐϊενταvοὶ κακῶς τὰ πρῶτα βȣλευόμενοι, καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγον, ȣ̓δενὸς ἂν ἔτι μείζονος ἀπέλαυσαν κακȣ̃· νῦν δὲ ἀναμαχεῖσθαί τε τὰ πρότερα σφάλματα ἐλπίσαντες, καὶ εἰ μείζονι παρασκευῇ ἐπιβάλλοιεν, ῥαδίως κρατήσειν οἰόμενοι τῷ πολέμῳ, πολλῇ τε τῇ ἐξ αὐτῆς τῆς πόλεως καταγραφείσῃ, καὶ

cap. 55.

ἐκ

Digitized by Google

ἐκ τῶν ὁμοεθνῶν κατὰ φιλίαν παραγενομένη, τὸ δεύτερον ἐπὶ τοὺς Ῥωμαίους ἐλαύνουσι στρατιᾷ· καὶ γίνεται πάλιν αὐτῶν μάχη καρτερὰ τῆς Φιδήνης πλησίον, ἣν ἐνίκων Ῥωμαῖοι πολλοὺς μὲν ἀποκτείναντες τῶν Οὐϊεντανῶν, ἔτι δὲ πλείους αἰχμαλώτους λαβόντες. ἑάλω δὲ καὶ ὁ χάραξ αὐτῶν, μεστὸς ὢν χρημάτων τε καὶ ὅπλων, καὶ ἀνδραπόδων· καὶ σκάφαι ποταμηγοὶ γέμουσαι πολλῆς ἀγορᾶς ἐλήφθησαν, ἐν αἷς ὁ τῶν αἰχμαλώτων ὄχλος εἰς τὴν Ῥώμην κατήγετο διὰ τοῦ ποταμοῦ. οὗτος ἤχθη τρίτος ὑπὸ Ῥωμύλου θρίαμβος, μακρῷ τῶν προτέρων εὐπρεπέστερος. καὶ μετ' οὐ πολὺ Οὐϊεντανῶν πρεσβείας ἀφικομένης περὶ διαλύσεως τοῦ πολέμου, καὶ συγγνώμην τῶν ἁμαρτημάτων ἀξιούσης λαβεῖν, δίκας ὁ Ῥωμύλος αὐτοῖς ἐπιτίθησι τάσδε· χώραν τε παραδοῦναι Ῥωμαίοις τὴν προσεχῆ τῷ Τιβέρει, τοὺς καλουμένους Ἑπτὰ πάγους, καὶ τῶν ἁλῶν ἀποστῆναι τῶν παρὰ ταῖς ἐμβολαῖς τοῦ ποταμοῦ· τοῦ δὲ μηδὲν ἔτι νεωτερίσαι τὸ πιστὸν παρασχεῖν, ὅμηρα πεντήκοντα ἀγαγόντας. ὑπομεινάντων δὲ τῶν Οὐϊεντανῶν ἅπαντα ταῦτα, σπονδὰς ποιησάμενος πρὸς αὐτοὺς εἰς ἑκατὸν ἔτη, στήλαις ἐνεχάραξε τὰς ὁμολογίας. τῶν δὲ αἰχμαλώτων τοὺς μὲν ἀπιέναι βουλομένους ἀφῆκεν ἄνευ λύτρων· τοὺς δὲ αὐτοῦ μένειν προαιρουμένους, πολλῷ πλείους ὄντας τῶν ἑτέρων, πολίτας ποιησάμενος ταῖς φράτραις ἐπιδιεῖλε, καὶ κλήρους αὐτοῖς προσένειμε τοὺς ἐπὶ τάδε τοῦ Τιβέριος.

cap. 56. Romuli obitus.

Οὗτοι συνέστησαν πόλεμοι Ῥωμύλῳ λόγου καὶ μνήμης ἄξιοι. τοῦ δὲ μηδὲν ἔτι τῶν πλησίον ἐθνῶν ὑπαγαγέσθαι, ταχεῖα ἡ τελευτὴ τοῦ βίου, συμβᾶσα ἔτι ἀκμάζοντι αὐτῷ τὰ πολέμια πράττειν, ἐν αἰτίᾳ γενέσθαι ἔδοξε· περὶ ἧς πολλοὶ παραδέδονται λόγοι καὶ διάφοροι. οἱ μὲν οὖν μυθωδέστερα τὰ περὶ αὐτοῦ ποιοῦντες, ἐκκλησιάζοντά φασιν αὐτὸν ἐπὶ στρατοπέδου, ζόφου κατασκήψαντος ἐξ αἰθρίας, καὶ χειμῶνος μεγάλου καταρραγέντος, ἀφανῆ γενέσθαι· καὶ πεπιστεύκασιν ὑπὸ τοῦ πατρὸς Ἄρεως τὸν ἄνδρα ἀνηρπάσθαι· οἱ δὲ τὰ πιθανώτατα γράφοντες, πρὸς τῶν ἰδίων πολιτῶν λέγουσιν αὐτὸν ἀποθανεῖν. αἰτίαν δὲ τῆς ἀναιρέσεως αὐτοῦ φέρουσι, τήν τε ἄφεσιν τῶν ὁμήρων, οὓς παρὰ Οὐϊεντανῶν ἔλαβεν, ἄνευ κοινῆς γνώμης γενομένην παρὰ τὸ εἰωθός, καὶ τὸ μηκέτι τὸν αὐτὸν προσφέρε-

Digitized by Google

φέρεσθαι τρόπον τοῖς ἀρχαιοτάτοις πολίταις καὶ τοῖς προσγράφοις, ἀλλὰ τοὺς μὲν ἐν τιμῇ πλείονι ἄγειν, τῶν δ' ἐπεισαχθέντων ὑπερορᾶν· τό, τε ὠμὸν αὐτοῦ τὸ περὶ τὰς τιμωρίας τῶν ἐξαμαρτανόντων καὶ ἄυθαδες· Ῥωμαίων γάρ τινας ἐπὶ λῃστείᾳ τῶν πλησιοχώρων κατηγορηθέντας, οὔτε ἀφανεῖς ἄνδρας, οὔτε ὀλίγους, ἐκέλευσεν ὦσαι κατὰ κρημνοῦ, τὴν δίκην αὐτὸς μόνος δικάσας· μάλιστα δὲ, ὅτι βαρὺς ἤδη καὶ αὐθάδης εἶναι ἐδόκει, καὶ τὴν ἀρχὴν οὐκ ἔτι βασιλικῶς, ἀλλὰ τυραννικώτερον ἐξάγειν. διὰ ταύτας δὴ λέγουσι τὰς αἰτίας συστάντας ἐπ' αὐτῷ τοὺς πατρικίους βουλεῦσαι τὸν φόνον. πρᾶξαι δὲ τὸ ἔργον ἐν τῷ βουλευτηρίῳ, καὶ διελόντας τὸ σῶμα κατὰ μέρη, χάριν τοῦ μὴ φανῆναι τὸν νεκρὸν, ἐξελθεῖν κρύπτοντας ὑπὸ ταῖς περιβολαῖς, ὅσον ἕκαστος εἶχεν αὐτοῦ μέρος· καὶ μετὰ τοῦτο γῇ κρύψαι κατὰ τὸ ἀφανές. οἱ δ', ἐκκλησιάζοντα μέν φασιν αὐτὸν ὑπὸ τῶν νεοπολιτῶν Ῥωμαίων ἀναιρεθῆναι· ἐπιχειρῆσαι δ' αὐτοὺς τῷ φόνῳ καθ' ὃν χρόνον δηλαδὴ καὶ τὸ σκότος ἐγένετο, διασκεδασθέντος ἐκ τῆς ἐκκλησίας τοῦ δήμου, καὶ μονωθέντος τῆς φυλακῆς τοῦ ἡγεμόνος. διὰ τοῦτό γε οὖν φασι τὴν ἡμέραν ἐν ᾗ τὸ πάθος ἐγένετο, τῆς τροπῆς τοῦ πλήθους ἐπώνυμον εἶναι, καὶ μέχρι τῶν καθ' ἡμᾶς χρόνων ὄχλου φυγὴν καλεῖσθαι. ἔοικε δὲ οὐ μικρὰν ἀφορμὴν παρέχειν τοῖς θεοποιοῦσι τὰ θνητὰ, καὶ εἰς οὐρανὸν ἀναβιβάζουσι τὰς ψυχὰς τῶν ἐπιφανῶν, τὰ συμβάντα ἐκ τοῦ θεοῦ περὶ τὴν σύγκρισιν τοῦ ἀνδρὸς ἐκείνου καὶ τὴν διάκρισιν. ἔν τε γὰρ τῷ βιασμῷ τῆς μητρὸς αὐτοῦ, εἴθ' ὑπ' ἀνθρώπων τινὸς, εἴθ' ὑπὸ θεοῦ γενομένῳ, τὸν ἥλιον ἐκλιπεῖν φασιν ὅλον, καὶ σκότος παντελῶς, ὥσπερ ἐν νυκτὶ, τὴν γῆν κατασχεῖν· ἔν τε τῇ τελευτῇ αὐτοῦ ταὐτὸ συμβῆναι λέγουσι πάθος. ὁ μὲν δὴ κτίσας τὴν Ῥώμην καὶ πρῶτος ἀποδειχθεὶς ὑπ' αὐτῶν βασιλεὺς Ῥωμύλος, τοιαύτης λέγεται τελευτῆς τυχεῖν, οὐδεμίαν ἐξ αὐτοῦ γενεὰν καταλιπὼν, ἑπτὰ μὲν ἔτη καὶ τριάκοντα βασιλεύσας, πεντηκοστὸν δὲ καὶ πέμπτον ἔτος ἔχων ἀπὸ γενεᾶς. νέος γὰρ δὴ παντάπασιν ἔτυχε τῆς ἡγεμονίας, ὀκτωκαιδεκαέτης, ὡς ἅπαντες ὁμολογοῦσιν οἱ τὰς περὶ αὐτοῦ συγγράψαντες ἱστορίας.

Τῶν

cap. 57. Interregnum. Τῷ δ' ἑξῆς ἐνιαυτῷ βασιλεὺς μὲν ἐδεὶς ἀπεδείχθη Ῥωμαίων, ἀρχὴ δέ τις, ἣν καλἓσι μεσοβασίλειον, ἐπεμελεῖτο τῶν κοινῶν, τοιόνδέ τινα τρόπον ἀποδεικνυμένη· τῶν πατρικίων οἱ καταγραΦέντες εἰς τὴν βελὴν ὑπὸ Ῥωμύλε, διακόσιοι τὸν ἀριθμὸν ὄντες, ὥσπερ ἔΦην, διενεμήθησαν εἰς δεκάδας· ἔπειτα διακληρωσάμενοι, τοῖς λαχἓσι δέκα πρώτοις ἀπέδωκαν ἄρχειν τῆς πόλεως τὴν αὐτοκράτορα ἀρχήν. ἐκεῖνοι δ' ἐχ ἅμα πάντες ἐβασίλευον, ἀλλ' ἐκ διαδοχῆς ἡμέρας πέντε ἕκαςος, ἐν αἷς τάς τε ῥάβδες εἶχε, καὶ τὰ λοιπὰ τῆς βασιλικῆς ἐξεσίας σύμβολα. παρεδίδε δ' ὁ πρῶτος ἄρξας τῷ δευτέρῳ τὴν ἡγεμονίαν, κἀκεῖνος τῷ τρίτῳ, καὶ τἕτ' ἐγίνετο μέχρι τἓ τελευταίε. διεξελθέσης δὲ τοῖς πρώτοις δέκα βασιλεῦσι τῆς πεντηκονθημέρε προθεσμίας, ἕτεροι δέκα τὴν ἀρχὴν παρελάμβανον, καὶ παρ' ἐκείνων αὖθις ἄλλοι. ἔπειτα ἔδοξε τῷ δήμῳ παῦσαι τὰς δεκαρχίας, ἀχθομένῳ ταῖς μεταβολαῖς τῶν ἐξεσιῶν, διὰ τὸ μήτε προαιρέσεις ἅπαντας ὁμοίας ἔχειν, μήτε Φύσεις. τότε δὴ συγκαλέσαντες εἰς ἐκκλησίαν τὸ πλῆθος οἱ βελευταὶ κατὰ Φυλάς τε καὶ Φράτρας, ἀπέδωκαν αὐτῷ περὶ τἓ κόσμε τῆς πολιτείας σκοπεῖν, εἴτε βασιλεῖ βέλεται τὰ κοινὰ ἐπιτρέπειν, εἴτε ἀρχαῖς ἐνιαυσίοις. ἐ μὴν ὅγε δῆμος ἐΦ' ἑαυτῷ τὴν αἵρεσιν ἐποίησεν, ἀλλ' ἀπέδωκε τοῖς βελευταῖς τὴν διάγνωσιν, ὡς ἀγαπήσων ὁποτέραν ἂν ἐκεῖνοι δοκιμάσωσι τῶν πολιτειῶν. τοῖς δὲ βασιλικὴν μὲν ἐδόκει καταςήσασθαι πολιτείαν ἅπασι· περὶ δὲ τἓ μέλλοντος ἄρξειν ςάσις ἐνέπιπτεν ἐξ ὁποτέρας ἔςαι τάξεως. οἱ μὲν γὰρ αὐτῶν, ἐκ τῶν ἀρχαίων βελευτῶν ᾤοντο δεῖν ἀποδειχθῆναι τὸν ἐπιτροπεύσοντα τὴν πόλιν· οἱ δ', ἐκ τῶν ὕςερον ἐπεισαχθέντων, ἓς νεωτέρες ἐκάλεν.

cap. 58. Ἑλκομένης δ' ἐπὶ πολὺ τῆς Φιλονεικίας, τελευτῶντες ἐπὶ τἕτῳ συνέβησαν τῷ δικαίῳ, ὥςε δυοῖν θάτερον, ἢ τὲς πρεσβυτέρες βελευτὰς ἀποδεῖξαι βασιλέα σΦῶν μὲν αὐτῶν μηδένα, τῶν δ' ἄλλων ὃν ἂν ἐπιτηδειότατον εἶναι νομίσωσιν, ἢ τὲς νεωτέρες τὸ αὐτὸ ποιῆσαι τἕτο. δέχονται τὴν αἵρεσιν οἱ πρεσβύτεροι, καὶ πολὺ ἐπὶ σΦῶν αὐτῶν βελευσάμενοι τάδ' ἔγνωσαν· ἐπειδὴ τῆς ἡγεμονίας αὐτοὶ κατὰ τὰς συνθήκας ἀπηλαύνοντο, μή γε τῶν ἐπιβελευόντων μηδενὶ προσθεῖναι τὴν

ἀρχήν,

ἀρχὴν, ἀλλ' ἐπακτὸν ἔξωθεν ἄνδρα, καὶ μηδ' ὁποτέροις
προσθησόμενον, ὡς ἂν μάλιστα ἐξαιρεθείη τὸ στασιάζον,
ἐξευρόντες ἀποδεῖξαι βασιλέα. ταῦτα βουλευσάμενοι προὐ-
χειρίσαντο γένους μὲν τοῦ Σαβίνων, υἱὸν δὲ Πομπιλίου Πόμ-
πωνος, ἀνδρὸς ἐπιφανοῦς, κατ' ὄνομα Νομᾶν· χρὴ δὲ τὴν
δευτέραν συλλαβὴν ἐκτείνοντας βαρυτονεῖν· ἡλικίας τε τῆς
φρονιμωτάτης ὄντα· τετταρακονταετίας γὰρ οὐ πολὺ ἀπεῖ-
χε· καὶ ἀξιώσει μορφῆς βασιλικόν. ἦν δὲ αὐτοῦ καὶ
κλέος μέγιστον οὐ παρὰ Κυρίταις μόνον, ἀλλὰ καὶ παρὰ
τοῖς περιοίκοις ἐπὶ σοφίᾳ. ὡς δὲ τοῦτ' ἔδοξεν αὐτοῖς,
συγκαλοῦσι τὸ πλῆθος εἰς ἐκκλησίαν· καὶ παρελθὼν ἐξ
αὐτῶν ὁ τότε μεσοβασιλεὺς εἶπεν, ὅτι κοινῇ δόξαν ἅπασι
τοῖς βουλευταῖς βασιλικὴν καταστήσασθαι πολιτείαν, κύριος
γεγονὼς αὐτὸς διαγνώσεως τοῦ παραληψομένου τὴν ἀρχὴν,
βασιλέα τῆς πόλεως αἱρεῖται Νομᾶν Πομπίλιον. καὶ με-
τὰ τοῦτο πρεσβευτὰς ἀποδείξας ἐκ τῶν πατρικίων, ἀπέστει-
λε τοὺς παραληψομένους τὸν ἄνδρα ἐπὶ τὴν ἀρχὴν, ἐνιαυ-
τῷ τρίτῳ τῆς ἑκκαιδεκάτης ὀλυμπιάδος, ἐν ᾗ ἐνίκα στά-
διον Πυθαγόρας Λάκων.

Numa Pompilius, 715–673 ante Chr. A. U. 38–81.

cap. 60. Numæ Pomp. instituta.

Τοῦτον τὸν ἄνδρα Ῥωμαῖοί φασι στρατιὰν μηδεμίαν
ποιήσασθαι, θεοσεβῆ δὲ καὶ δίκαιον γενόμενον ἐν εἰρήνῃ
πάντα τὸν τῆς ἀρχῆς χρόνον διατελέσαι, καὶ τὴν πόλιν
ἄριστα πολιτευομένην παρασχεῖν. λόγους τε πολλοὺς ὑπὲρ
αὐτοῦ καὶ θαυμαστοὺς λέγουσιν, ἀναφέροντες τὴν ἀνθρωπί-
νην σοφίαν εἰς θεῶν ὑποθήκας. νύμφην γάρ τινα μυ-
θολογοῦσιν Ἠγερίαν φοιτᾶν πρὸς αὐτὸν ἑκάστοτε διδάσκου-
σαν τὴν βασιλικὴν σοφίαν· ἕτεροι δὲ οὐ νύμφην, ἀλλὰ
τῶν Μουσῶν μίαν. Τὸ μὲν οὖν ἀκριβολογεῖσθαι περὶ τῶν
μυθικῶν ἱστορημάτων, καὶ μάλιστα τῶν εἰς θεοὺς ἀναφερο-
μένων, μακρῶν λόγων δεόμενον ὁρῶν, ἐάσω· ἃ δέ μοι
δοκοῦσιν ἀγαθὰ Ῥωμαῖοι λαβεῖν ἐκ τῆς ἐκείνου τοῦ ἀνδρὸς
ἀρχῆς, ὡς ἐκ τῶν ἐπιχωρίων ἔμαθον ἱστοριῶν, ἀφηγήσο-
μαι, προειπὼν ἐν οἵοις ἐτύγχανε ταραχαῖς τὰ πράγματα
τῆς πόλεως ὄντα, πρὶν ἐκεῖνον ἐπὶ τὴν βασιλείαν παρελ-
θεῖν.

cap. 61.

cap. 62. Status reipublicæ ante Numam.

Μετὰ τὴν Ῥωμύλου τελευτὴν ἡ βουλὴ τῶν κοινῶν
γενομένη κυρία, καὶ χρόνον ἐνιαύσιον, ὥσπερ ἔφην, κα-
τασχοῦσα τὴν δυναστείαν, διαφέρεσθαι καὶ στασιάζειν αὐτὴ
πρὸς

Digitized by Google

πρὸς ἑαυτὴν ἤρξατο περὶ τῦ πλείονός τε καὶ ἴσῦ. ὅσον μὲν γὰρ αὐτῆς μέρος Ἀλβανῶν ἐτύγχανεν, ἀπὸ τῶν ἅμα Ῥωμύλῳ τὴν ἀποικίαν ϛειλάντων, γνώμης τε ἄρχειν ἠξίυ, καὶ τιμῶν τὰς μεγίϛας λαμβάνειν, καὶ θεραπεύεϑαι πρὸς τῶν ἐπηλύδων· οἱ δ' ὕϛερον εἰς τὰς πατρικίυς καταγραφέντες ἐκ τῶν ἐποίκων, ὐδεμιᾶς ᾤοντο δεῖν ἀπελαύνεϑαι τιμῆς, ὐδὲ μειονεκτεῖν τῶν ἑτέρων, μάλιϛα δ' ὅσοι τῦ Σαβίνων ἐτύγχανον ὄντες γένυς, καὶ κατὰ τὰς συνθήκας τὰς γενομένας Ῥωμύλῳ πρὸς Τάτιον, ἐπὶ τοῖς ἴσοις γενόμενοι μετειληφέναι τῆς πόλεως παρὰ τῶν ἀρχαίων οἰκητόρων, ἢ τὴν αὐτὴν χάριν ἐκείνοις αὐτοὶ δεδωκέναι. ἅμα δὲ τῷ τὴν βυλὴν διαϛῆναι, καὶ τὸ τῶν παλαιῶν πλῆθος διχῇ μερισθὲν ἑκατέρᾳ συνέβαινε τῶν ϛάσεων. ἦν δέ τι τῦ δημοτικῦ μέρος ὐκ ὀλίγον ἐκ τῶν νεωϛὶ προσεληλυθότων τῇ πολιτείᾳ, ἃ διὰ τὸ μηδενὸς συναράσθαι τῷ Ῥωμύλῳ πολέμυ, παρειμένον ὑπὸ τῦ ἡγεμόνος, ὔτε γῆς εἰλήφει μοῖραν, ὔτε ὠφελείας. τῦτο ἀνέϛιον καὶ πτωχὸν ἀλώμενον, ἐχθρὸν ἐκ τῦ ἀναγκαίυ τοῖς κρείττοσιν ἦν, καὶ νεωτερίζειν ἑτοιμότατον. ἐν τοιύτῳ δὴ κλύδωνι τὰ πράγματα τῆς πόλεως σαλεύοντα ὁ Νομᾶς καταλαβὼν, πρῶτον μὲν τὺς ἀπόρυς τῶν δημοτῶν ἀνέλαβε, διανείμας αὐτοῖς ἀφ' ἧς Ῥωμύλος ἐκέκτητο χώρας, καὶ ἀπὸ τῆς δημοσίας μοῖράν τινα ὀλίγην· ἔπειτα τὺς πατρικίυς ὐδὲν μὲν ἀφελόμενος ὧν οἱ κτίσαντες τὴν πόλιν εὕροντο· τοῖς δ' ἐποίκοις ἑτέρας τινὰς ἀποδὺς τιμὰς, ἔπαυσε διαφερομένυς. ἁρμοσάμενος δὲ τὸ πλῆθος ἅπαν, ὥσπερ ὄργανον, πρὸς ἕνα τὸν τῦ κοινῦ συμφέροντος λογισμὸν, καὶ τῆς πόλεως τὸν περίβολον αὐξήσας τῷ Κυρίνῳ λόφῳ· τέως γὰρ ἔτι ἀτείχιϛος ἦν· τότε ἄλλων πολιτευμάτων ἥπτετο, δύο ταῦτα πραγματευόμενος, οἷς κοσμηθεῖσαν ὑπελάμβανεν ἂν τὴν πόλιν εὐδαίμονα γενήσεϑαι καὶ μεγάλην· εὐσέβειαν μὲν πρῶτον διδάσκων τὺς ἀνθρώπυς, ὅτι παντὸς ἀγαθῦ θεοὶ δοτῆρές εἰσι τῇ θνητῇ φύσει καὶ φύλακες· ἔπειτα δικαιοσύνην, δι' ἣν καὶ τὰ παρὰ τῶν θεῶν ἀπέφαινεν ἀγαθὰ καλὰς τὰς ἀπολαύσεις φέροντα τοῖς κτησαμένοις.

Numa rempublicam ordinat.

cap. 63. Cultum Deorum exauget.

Ἐξ ὧν δὲ διεπράξατο νόμων τε καὶ πολιτευμάτων ἑκάτερον τύτων εἰς μεγάλην ἐπίδοσιν προελθεῖν, ἅπαντα μὲν

μὲν οὐκ ἀξιῶ γράφειν· τὸ μῆκος ὑφορώμενος τοῦ λόγου, καὶ ἅμα οὐδ' ἀναγκαίαν ὁρῶν τὴν γραφὴν αὐτῶν Ἑλληνικαῖς ἱστορίαις· αὐτὰ δὲ τὰ κυριώτατα καὶ φανερὰν δυνάμενα ποιῆσαι πᾶσαν τὴν προαίρεσιν τοῦ ἀνδρὸς, ἐπὶ κεφαλαίων ἐρῶ, τὴν ἀρχὴν ἀπὸ τῆς περὶ τὰ θεῖα διακοσμήσεως ποιησάμενος. ὅσα μὲν οὖν ὑπὸ Ῥωμύλου ταχθέντα ἐν ἐθισμοῖς τε καὶ νόμοις παρέλαβεν, ἀπὸ τοῦ κρατίστου τετάχθαι πάντα ἡγησάμενος, εἴα κατὰ χώραν μένειν. ὅσα δ' ὑπ' ἐκείνου παραλελεῖφθαι ἐδόκει, ταῦτα προσετίθει, πολλὰ μὲν ἀποδεικνὺς τεμένη τοῖς μήπω τιμῶν τυγχάνουσι θεοῖς, πολλοὺς δὲ βωμοὺς καὶ ναοὺς ἱδρυόμενος, ἑορτάς τε ἑκάστῳ αὐτῶν ἀπονέμων, καὶ τοὺς ἐπιμελησομένους αὐτῶν ἱερεῖς καθιστὰς, ἁγνείας τε καὶ θρησκείας καὶ καθαρμοὺς, καὶ τὰς ἄλλας θεραπείας καὶ τιμὰς πάνυ πολλὰς νομοθετῶν, ὅσας οὐθ' Ἑλληνὶς οὔτε βάρβαρός ἔχει πόλις, οὐδ' αἱ μέγιστον ἐπ' εὐσεβείᾳ φρονοῦσαί ποτε. αὐτόν τε τὸν Ῥωμύλον, ὡς κρείττονα γενόμενον ἢ κατὰ τὴν θνητὴν φύσιν, ἱεροῦ κατασκευῇ καὶ θυσίαις διετησίοις ἔταξε Κυρῖνον ἐπονομαζόμενον γεραίρεσθαι. ἔτι γὰρ ἀγνοούντων τὸν ἀφανισμὸν αὐτοῦ Ῥωμαίων, εἴτε κατὰ δαίμονος πρόνοιαν, εἴτε ἐξ ἐπιβουλῆς ἀνθρωπίνης ἐγένετο, παρελθών τις εἰς τὴν ἀγορὰν Ἰούλιος ὄνομα, τῶν ἀπ' Ἀσκανίου, γεωργικὸς ἀνὴρ, καὶ τὸν βίον ἀνεπίληπτος, οἷος μηδὲν ἂν ψεύσασθαι κέρδους ἕνεκα οἰκείου, ἔφη, παραγενόμενος ἐξ ἀγροῦ Ῥωμύλον ἰδεῖν ἀπιόντα ἐκ τῆς πόλεως, ἔχοντα τὰ ὅπλα· καὶ ἐπειδὴ ἐγγὺς ἐγένετο, ἀκοῦσαι ταῦτα αὐτοῦ λέγοντος· "Ἄγγελε Ῥωμαίοις, Ἰούλιε, τὰ παρ' "ἐμοῦ, ὅτι με ὁ λαχὼν, ὅτε ἐγεινάμην, δαίμων εἰς θεοὺς "ἄγεται, τὸν θνητὸν ἐκπληρώσαντα αἰῶνα· εἰμὶ δὲ Κυ"ρῖνος." περιλαβὼν δὲ ἅπασαν τὴν περὶ τὰ θεῖα νομοθεσίαν γραφαῖς, διεῖλεν εἰς ὀκτὼ μοίρας, ὅσαι τῶν ἱερῶν ἦσαν αἱ συμμορίαι.

cap. 64.

Ἀπέδωκε δὲ μίαν μὲν ἱερουργιῶν διάταξιν τοῖς τριάκοντα Κουρίοσιν, οὓς ἔφην τὰ κοινὰ θύειν ὑπὲρ τῶν φρατριέων ἱερά. (1. Curiones.) τὴν δὲ δευτέραν τοῖς καλουμένοις ὑφ' Ἑλλήνων Στεφανηφόροις, ὑπὸ δὲ Ῥωμαίων Φλάμισιν, οὓς ἐπὶ τῆς φορήσεως τῶν πιλωτῶν τε καὶ στεμμάτων, ἃ καὶ νῦν ἔτι φοροῦσι, φλάμα καλοῦντες, οὕτω προσαγορεύουσι. (2. Flamines.) τὴν δὲ τρίτην τοῖς ἡγεμόσι τῶν Κελερίων, (3. Celeres.) οὓς

ὡς ἔφην ἱππεῖς τε καὶ πεζοὺς στρατευομένους φύλακας ἀποδείκνυσθαι τῶν βασιλέων· καὶ γὰρ οὗτοι τεταγμένας τινὰς ἱερουργίας ἐπετέλουν. τὴν δὲ τετάρτην τοῖς ἐξηγουμένοις τὰ θεόπεμπτα σημεῖα, καὶ διαιροῦσι, τίνων ἐστὶ πραγμάτων ἰδίᾳ τε καὶ δημοσίᾳ· οὓς ἀφ᾽ ἑνὸς εἴδους τῆς τέχνης, τοῦ θεωρημάτων, Ῥωμαῖοι καλοῦσιν Αὐγόρας, ἡμεῖς δ᾽ ἂν εἴποιμεν Οἰωνοπόλους, ἁπάσης τῆς μαντικῆς παρ᾽ αὐτοῖς ὄντας ἐπιστήμονας, τῆς τε περὶ τὰ οὐράνια, καὶ τὰ μετάρσια, καὶ τὰ ἐπίγεια. τὴν δὲ πέμπτην ταῖς φυλαττούσαις τὸ ἱερὸν πῦρ παρθένοις, αἳ καλοῦνται πρὸς αὐτῶν, ἀπὸ τῆς θεᾶς ἣν θεραπεύουσιν, Ἑστιάδες, αὐτὸς πρῶτος ἱερὸν ἱδρυσάμενος Ῥωμαίοις Ἑστίας, καὶ παρθένους ἀποδείξας αὐτῇ θυηπόλους. Ἕκτη δὲ μοῖρα τῆς περὶ τὰ θεῖα νομοθεσίας ἦν ἡ προσνεμηθεῖσα τοῖς καλουμένοις ὑπὸ Ῥωμαίων Σαλίοις, οὓς αὐτὸς ὁ Νομᾶς ἀπέδειξεν ἐκ τῶν πατρικίων, δώδεκα τοὺς εὐπρεπεστάτους ἐπιλεξάμενος νέους, ὧν ἐν Παλατίῳ κεῖται τὰ ἱερὰ, καὶ αὐτοὶ καλοῦνται Παλατῖνοι. χορευταὶ δέ τινές εἰσι καὶ ὑμνηταὶ τῶν ἐνοπλίων θεῶν. Ἡ δ᾽ ἑβδόμη μοῖρα τῆς ἱερᾶς νομοθεσίας τῷ συστήματι προσετέθη τῶν καλουμένων Φετιαλίων. οὗτοι δ᾽ ἂν εἴησαν, κατὰ τὴν Ἑλληνικὴν καλούμενοι διάλεκτον, εἰρηνοδίκαι. Τελευταῖος δ᾽ ἦν τῆς Νομᾶ παρατάξεως μερισμὸς ὑπὲρ τῶν ἱερῶν, ὃν ἔλαχον οἱ τὴν μεγίστην παρὰ Ῥωμαίοις ἱερατείαν καὶ ἐξουσίαν ἔχοντες. οὗτοι κατὰ μὲν τὴν αὐτῶν διάλεκτον ἀφ᾽ ἑνὸς τῶν ἔργων ὃ πράττουσιν, ἐπισκευάζοντες τὴν ξυλίνην γέφυραν, Ποντίφικες προσαγορεύονται· εἰσὶ δὲ τῶν μεγίστων πραγμάτων κύριοι. καὶ γὰρ δικάζουσιν οὗτοι τὰς ἱερὰς δίκας ἁπάσας ἰδιώταις τε καὶ ἄρχουσι καὶ λειτουργοῖς θεῶν· καὶ νομοθετοῦσιν ὅσα τῶν ἱερῶν ἄγραφα ὄντα καὶ ἀνέθιστα, κρίνοντες, ἃ ἂν ἐπιτήδεια τυγχάνειν αὐτοῖς φανείη, νόμων τε καὶ ἐθισμῶν· τάς τε ἀρχὰς ἁπάσας ὅσαις θυσία τε καὶ θεραπεία θεῶν ἀνάκειται, καὶ τοὺς ἱερεῖς ἅπαντας ἐξετάζουσιν· ὑπηρέτας τε αὐτῶν καὶ λειτουργοὺς, οἷς χρῶνται πρὸς τὰ ἱερὰ, οὗτοι φυλάττουσι μηδὲν ἐξαμαρτάνειν παρὰ τοὺς ἱεροὺς νόμους· τοῖς τε ἰδιώταις ὁπόσοι μὴ ἴσασι τοὺς περὶ τὰ θεῖα ἢ δαιμόνια σεβασμοὺς, ἐξηγηταὶ γίνονται καὶ προφῆται· καὶ εἴ τινας αἴσθωνται μὴ πειθομένους ταῖς ἐπιταγαῖς

4. Augures.

5. Vestales virgines.

6. Salii.

7. Fetiales.

cap. 73.

8. Pontifex.

Digitized by Google

ταγαῖς αὐτῶν, ζημιῶσι πρὸς ἕκαστον χρῆμα ὁρῶντες· εἰσί τε ἀνυπεύθυνοι πάσης δίκης τε καὶ ζημίας, ὅτε βουλῇ λόγον ἀποδιδόντες ὅτε δήμῳ. περὶ οὖν τῶν ἱερέων τῶνδε, εἴτε βούλεταί τις αὐτοὺς ἱεροδιδασκάλους καλεῖν, εἴτε ἱερονόμους, εἴτε ἱεροφύλακας, εἴτε, ὡς ἡμεῖς ἀξιοῦμεν, ἱεροφάντας, οὐχ ἁμαρτήσεται τοῦ ἀληθοῦς. ἐκλιπόντος δέ τινος αὐτῶν τὸν βίον, ἕτερος εἰς τὸν ἐκείνου καθίσατο τόπον, οὐχ ὑπὸ τοῦ δήμου αἱρεθεὶς, ἀλλ᾽ ὑπ᾽ αὐτῶν ἐκείνων, ὃς ἂν ἐπιτηδειότατος εἶναι ἐδόκει τῶν πολιτῶν. παραλαμβάνει δὲ τὴν ἱερατείαν ὁ δοκιμασθεὶς, ἐὰν εὐόρνιθες τύχωσιν οἰωνοὶ γενόμενοι. τὰ μὲν δὴ περὶ τοῦ θείου νομοθετηθέντα ὑπὸ τοῦ Νομᾶ, καὶ διαιρεθέντα κατὰ τὰς συμμορίας τῶν ἱερῶν, ἐξ ὧν εὐσεβεστέραν συνέβη γενέσθαι τὴν πόλιν, πρὸς τοῖς ἄλλοις ἐλάττοσι τὰ μέγιστα καὶ φανερώτατα ταῦτ᾽ ἦν.

Τὰ δ᾽ εἰς εὐτέλειάν τε καὶ σωφροσύνην ἄγοντα τὸν ἑκάστου βίον, καὶ εἰς ἐπιθυμίαν κατασήσαντα τῆς φυλαττούσης ἐν ὁμονοίᾳ τὴν πόλιν δικαιοσύνης, πλεῖστα ὅσα, τὰ μὲν ἐγγράφοις περιληφθέντα νόμοις, τὰ δ᾽ ἔξω γραφῆς εἰς ἐπιτηδεύσεις ἀχθέντα καὶ συνασκήσεις χρονίους· ὑπὲρ ὧν ἁπάντων μὲν πολὺ ἂν ἔργον εἴη λέγειν, ἀρκέσει δὲ δύο τὰ μεγίστης μνήμης τυχόντα, τεκμήρια καὶ τῶν ἄλλων γενέσθαι· τῆς μὲν αὐταρκείας, καὶ τοῦ μηδένα τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ἡ περὶ τοὺς ὁρισμοὺς τῶν κτήσεων νομοθεσία. κελεύσας γὰρ ἑκάστῳ περιγράψαι τὴν ἑαυτοῦ κτῆσιν, καὶ στῆσαι λίθους ἐπὶ τοῖς ὅροις, ἱεροὺς ἀπέδειξεν ὁρίου Διὸς τοὺς λίθους, καὶ θυσίας ἔταξεν αὐτοῖς ἐπιτελεῖν ἅπαντας ἡμέρᾳ τακτῇ καθ᾽ ἕκαστον ἐνιαυτὸν ἐπὶ τὸν τόπον συνερχομένους, ἑορτὴν ἐν ταῖς πάνυ τιμίαν καὶ τὴν τῶν ὁρίων θεῶν κατασησάμενος. ταύτην Ῥωμαῖοι Τερμινάλια καλοῦσιν, ἀπὸ τῶν τερμόνων, καὶ τοὺς ὅρους αὐτοὺς, ἑνὸς ἀλλαγῇ γράμματος παρὰ τὴν ἡμετέραν διάλεκτον ἐκφέροντες, τέρμινας προσαγορεύουσιν. εἰ δέ τις ἀφανίσειεν ἢ μεταθείη τοὺς ὅρους, ἱερὸν ἐνομοθέτησεν εἶναι τοῦ θεοῦ τὸν τούτων τι διαπραξάμενον, ἵνα τῷ βουλομένῳ κτείνειν αὐτὸν ὡς ἱερόσυλον ἥ τε ἀσφάλεια καὶ τὸ καθαρὸν μιάσματος εἶναι προσῇ. τοῦτο δ᾽ οὐκ ἐπὶ τῶν ἰδιωτικῶν κατεστήσατο μόνον κτήσεων τὸ δίκαιον, ἀλλὰ καὶ ἐπὶ τῶν δημοσίων, ὅροις κἀκεῖνα περιλαβὼν, ἵνα καὶ τὴν Ῥωμαίων γῆν ἀπὸ τῆς ἀστυγείτονος

cap. 74.

Termini.

τονος

τόνος ὅριοι διαιρῶσι θεοὶ, καὶ τὴν κοινὴν ἀπὸ τῆς ἰδίας. τῦτο μέχρι τῶν καθ' ἡμᾶς χρόνων Φυλάττυσι Ῥωμαῖοι, τῦ χρόνυ μνημεῖα τῆς ὁσίας αὐτῆς ἕνεκα. θεὺς τε γὰρ ἡγῦνται τὺς τέρμονας, καὶ θύυσιν αὐτοῖς ἔτι, τῶν μὲν ἐμψύχων ὐδέν· ὐ γὰρ ὅσιον αἱμάττειν τὺς λίθυς· πελάνυς δὲ Δήμητρος, καὶ ἄλλας τινὰς καρπῶν ἀπαρχάς. ἐχρῆν δὲ καὶ τὸ ἔργον ἔτι Φυλάττειν αὐτὸ, ὗ χάριν θεὺς ἐνόμισαν τὺς τέρμονας ὀνομάσαι, ἱκανυμένυς τοῖς ἑαυτῶν κτήμασι, τῶν δ' ἀλλοτρίων μήτε βίᾳ σφετεριζομένυς μηδὲν, μήτε δόλῳ. νῦν δ' ὐχ ὡς ἄμεινον, ὐδ' ὡς πρόγονοι παρέδοσαν, ὁρίζυσί τινες ἀπὸ τῶν ἀλλοτρίων τὰ οἰκεῖα, ἀλλ' ἔςιν αὐτοῖς ὅρος τῶν κτήσεων ὐχ' ὁ νόμος, ἀλλ' ἡ πάντων ἐπιθυμία, πρᾶγμα ὐ καλόν. ἀλλ' ὑπὲρ μὲν τύτων ἑτέροις παρίεμεν σκοπεῖν. Ὁ δὲ Νομᾶς εἰς μὲν εὐτέλειαν καὶ σωφροσύνην διὰ τοιύτων συνέςησε νόμων τὴν πόλιν. εἰς δὲ τὴν περὶ τὰ συμβόλαια δικαιοσύνην ὑπηγάγετο, πρᾶγμα ἐξευρὼν ἠγνοημένον ὑπὸ πάντων τῶν καταςησαμένων τὰς ἐλλογίμυς πολιτείας. ὁρῶν γὰρ, ὅτι τῶν συμβολαίων τὰ μὲν ἐν Φανερῷ καὶ μετὰ μαρτύρων πραττόμενα ἡ τῶν συνόντων αἰδὼς Φυλάττει, καὶ σπάνιοί τινές εἰσιν οἱ περὶ ταῦτα ἀδικῦντες· τὰ δὲ ἀμάρτυρα, πολλῷ πλείω τῶν ἑτέρων ὄντα, μίαν ἔχει Φυλακὴν τὴν τῶν συμβαλλόντων πίςιν, περὶ ταύτην ᾤετο δεῖν σπυδάσαι παντὸς ἄλλυ μάλιςα, καὶ ποιῆσαι θείων σεβασμῶν ἀξίαν. Δίκην μὲν γὰρ καὶ Θέμιν καὶ Νέμεσιν καὶ τὰς καλυμένας παρ' Ἕλλησιν Ἐριννύας, καὶ ὅσα τύτοις ὅμοια, ὑπὸ τῶν πρότερον ἀποχρώντως ἐκτεθειῶσθαί τε καὶ καθωσιῶσθαι ἐνόμισε· πίςιν δὲ, ἧς ὔτε μεῖζον ὔτε ἱερώτερον πάθος ἀνθρώποις ὐδὲν, ὔπω σεβασμῶν τυγχάνειν, ὔτ' ἐν τοῖς κοινοῖς τῶν πόλεων πράγμασιν, ὔτ' ἐν τοῖς ἰδίοις. ταῦτα δὲ διανοηθεὶς, πρῶτος ἀνθρώπων ἱερὸν ἱδρύσατο Πίςεως δημοσίας, καὶ θυσίας αὐτῇ κατεςήσατο, καθάπερ καὶ τοῖς ἄλλοις θεοῖς, δημοτελεῖς. ἔμελλε δὲ ἄρα σὺν χρόνῳ τὸ κοινὸν τῆς πόλεως ἦθος πιςὸν καὶ βέβαιον πρὸς ἀνθρώπυς γενόμενον τοιύτυς ἀπεργάσεσθαι καὶ τὺς τῶν ἰδιωτῶν τρόπυς. ὕτω γε ὖν σεβαςόν τι πρᾶγμα καὶ ἀμίαντον νενόμιςαι τὸ πιςὸν, ὥςε ὅρκον τε μέγιςον γενέσθαι τὴν ἰδίαν ἑκάςυ πίςιν, καὶ μαρτυρίας συμπάσης ἰσχυρότερον· καὶ ὁπότε ὑπὲρ

cap. 75.

Fides publica.

ἀμαρ-

Digitized by Google

ἀμαρτύρου συναλλάγματος ἀμφίλογόν τι γένοιτο ἑνὶ πρὸς ἕνα, ἡ διαιροῦσα τὸ νεῖκος καὶ προσωτέρω χωρεῖν οὐκ ἐῶσα τὰς φιλονεικίας, ἡ θατέρα τῶν διαδικαζομένων αὐτῶν πίστις ἦν· αἵ τε ἀρχαὶ καὶ τὰ δικαστήρια τὰ πλεῖστα τῶν ἀμφισβητημάτων τοῖς ἐκ τῆς πίστεως ὅρκοις διῄτων. ταῦτα μὲν δὴ σωφροσύνης παρακλητικὰ καὶ δικαιοσύνης ἀναγκαστήρια, ὑπὸ τοῦ Νομᾶ τότε ἐξευρεθέντα, κοσμιωτέραν οἰκίας τῆς κράτιστα οἰκουμένης τὴν Ῥωμαίων πολιτείαν ἀπειργάσατο.

Ἃ δὲ μέλλω νῦν λέγειν, ἐπιμελῆ τε αὐτὴν ἀπέδωκε τῶν ἀναγκαίων, καὶ τῶν ἀγαθῶν ἐργάτιν. ἐνθυμούμενος γὰρ ὁ ἀνήρ, ὅτι πόλιν, τὴν μέλλουσαν ἀγαπήσειν τὰ δίκαια καὶ μένειν ἐν τῷ σώφρονι βίῳ, τῆς ἀναγκαίας δεῖ χορηγίας εὐπορεῖν, διεῖλε τὴν χώραν ἅπασαν εἰς τοὺς καλουμένους πάγους, καὶ κατέστησεν ἐφ᾽ ἑκάστου τῶν πάγων ἄρχοντα ἐπίσκοπόν τε καὶ περίπολον τῆς ἰδίας μοίρας. οὗτοι γὰρ περιϊόντες θαμινά, τοὺς εὖ τε καὶ κακῶς εἰργασμένους τῶν ἀγρῶν ἀπεγράφοντο, καὶ πρὸς τὸν βασιλέα ὑπέφαινον· ὁ δὲ τοὺς μὲν ἐπιμελεῖς γεωργοὺς ἐπαίνοις τε καὶ φιλανθρωπίαις ἀνελάμβανε· τοὺς δὲ ἀργοὺς γεωργοὺς ὀνειδίζων τε καὶ ζημιῶν, ἐπὶ τὸ θεραπεύειν ἄμεινον τὴν γῆν προὔτρέπετο. οἱ γάρ τοι πολέμων τε ἀπηλλαγμένοι, καὶ τῶν κατὰ πόλιν πραγμάτων σχολὴν πολλὴν ἄγοντες, ἀργίας τε καὶ βλακίας σὺν αἰσχύνῃ τίνοντες δίκας, αὐτουργοὶ πάντες ἐγένοντο, καὶ τὸν ἐκ γῆς πλοῦτον, ἁπάντων ὄντα πλοῦτον δικαιότατον, τῆς στρατιωτικῆς καὶ οὐκ ἐχέσης τὸ βέβαιον εὐπορίας γλυκύτερον ἐτίθεντο. τῷ δὲ περιῆν ἐκ τούτων φιλεῖσθαι μὲν ὑπὸ τῶν ἀρχομένων, ζηλοῦσθαι δὲ ὑπὸ τῶν περιοίκων, μνημονεύεσθαι δὲ ὑπὸ τῶν ἐπιγινομένων· δι᾽ ὃν οὔτε στάσις ἐμφύλιος τὴν πολιτικὴν ἔλυσεν ὁμόνοιαν, οὔτε πόλεμος ἀλλοεθνὴς ἐκ τῶν κρατίστων καὶ θαυμασιωτάτων τὴν πόλιν ἐπιτηδευμάτων ἐκίνησε. τοσοῦτον γὰρ ἀπέσχον οἱ περίοικοι, τὴν ἀπόλεμον ἡσυχίαν Ῥωμαίων ἀφορμὴν τῆς κατ᾽ αὐτῶν ἐπιθέσεως ὑπολαβεῖν, ὥστε καὶ εἴ τις αὐτοῖς πρὸς ἀλλήλους συνέστη πόλεμος, διαλλακτῆρας ἐποιοῦντο Ῥωμαίους, καὶ ἐπὶ διαίτῃ τῇ Νομᾶ τὰς ἔχθρας διαλύειν ἠξίουν. τοῦτον οὐκ ἂν αἰσχυνθείην ἐγὼ τὸν ἄνδρα τῶν ἐπ᾽ εὐδαιμονίᾳ διαβοηθέντων ἐν τοῖς πρώτοις καταριθμεῖν. γένους τε γὰρ ἔφυ βασιλείου, μορφῆς τε ἀπέλαυσε βασιλικῆς, παιδείαν

cap. 76. Pagi & pagorum magistri.

Numæ laus.

δείαν τε ὐ τὴν περὶ λόγον ἄχρηςον ἤσκησεν, ἀλλ' ἐξ ἧς ἐυσεβεῖν ἔμαθε καὶ τὰς ἄλλας ἐπιτηδεύειν ἀρετάς. ἡγεμονίαν δὲ τὴν Ῥωμαίων παραλαβεῖν ἠξιώθη νέος ὢν, κλέος ἀρετῆς ὑπ' ἀυτῶν ἐπίκλητος ἀχθεὶς, καὶ διετέλεσε πειθομένοις ἅπαντα τὸν βίον τοῖς ἀρχομένοις χρώμενος· ἡλικίας δ' ἐπὶ μήκιςον ἤλασεν ὁλόκληρος, ὐδὲν ὑπὸ τῆς τύχης κακωθεὶς, καὶ θανάτων τὸν ῥᾷςον ἐτελεύτησεν, ὑπὸ γήρως μαρανθεὶς, ὁμοίυ παραμείναντος ἀυτῷ τῦ συγκληρωθέντος ἐξ ἀρχῆς δαίμονος, ἕως ἐξ ἀνθρώπων ἠφανίσθη· βιώσας μὲν ὑπὲρ ὀγδοήκοντα ἔτη, βασιλεύσας δὲ τρία καὶ τετταράκοντα· γενεὰν δὲ καταλιπὼν, ὡς μὲν οἱ πλείυς γράφυσιν, υἱὺς τέτταρας καὶ θυγατέρα μίαν, ὧν ἔτι σώζεται τὰ γένη· ὡς δὲ Γέλλιος Γναῖος ἱςορεῖ, θυγατέρα μόνην, ἐξ ἧς ἐγένετο Ἄγκος Μάρκιος, ὁ τρίτος ἀπ' ἐκείνυ γενόμενος Ῥωμαίων βασιλεύς. τελευτήσαντος δ' ἀυτῦ πένθος μέγα πρῦθετο ἡ πόλις, καὶ ταφὰς ἐποιήσατο λαμπροτάτας. κεῖται δ' ἐν Ἰανικόλῳ πέραν τῦ Τιβέριος ποταμῦ.

Obitus.

Ibidem. Lib. III. c. 1. Tullus Hostilius, 672-641. ante Chr. A. U. 82-113.

Τελευτήσαντος δὲ Νομᾶ Πομπιλίυ, γενομένη πάλιν ἡ βυλὴ τῶν κοινῶν κυρία μένειν ἔγνω ἐπὶ τῆς ἀυτῆς πολιτείας, ὐδὲ τῦ δήμυ γνώμην λαβόντος ἑτέραν, καὶ καθίςησιν ἐκ τῶν πρεσβυτέρων τὺς ἄρξοντας τὴν μεσοβασίλειον ἀρχὴν εἰς ὡρισμένον τινὰ ἀριθμόν· ὑφ' ὧν ἀποδείκνυται βασιλεὺς, ὃν ἅπας ὁ δῆμος ἠξίυ, Τύλλος Ὁςίλλιος, γένυς ὢν τοιῦδε· ἐκ πόλεως Μεδυλλίας, ἣν Ἀλβανοὶ μὲν ἔκτισαν, Ῥωμύλος δὲ κατὰ συνθήκας παραλαβὼν Ῥωμαίων ἐποίησεν ἄποικον, ἀνὴρ ἐυγενὴς καὶ χρήμασι δυνατὸς, Ὁςίλλιος ὄνομα, μετενεγκάμενος εἰς Ῥώμην τὸν βίον, ἄγεται γυναῖκα ἐκ τῦ Σαβίνων γένυς, Ἑρσιλίυ θυγατέρα, τὴν ὑφηγησαμένην ταῖς ὁμοεθνέσι, πρεσβεῦσαι πρὸς τὺς πατέρας ὑπὲρ τῶν ἀνδρῶν, ὅτε Σαβῖνοι Ῥωμαίοις ἐπολέμυν, καὶ τῦ συνελθεῖν εἰς φιλίαν τῆς ἡγεμονίας αἰτιωτάτην γενέσθαι δοκῦσαν. ὗτος ὁ ἀνὴρ πολλὺς συνδιενέγκας Ῥωμύλῳ πολέμυς, καὶ μεγάλα ἔργα ἐπιδειξάμενος, ἐν ταῖς πρὸς Σαβίνυς μάχαις ἀποθνήσκει, καταλιπὼν παιδίον μονογενές· καὶ θάπτεται πρὸς τῶν βασιλέων ἐν τῷ κρατίςῳ τῆς ἀγορᾶς τόπῳ, ςήλης ἐπιγραφῇ τὴν ἀρετὴν μαρτυρύσης ἀξιωθείς. ἐκ δὲ τῦ

μονο-

Digitized by Google

μονογενοῦς παιδὸς, εἰς ἄνδρας ἀφικομένου καὶ γάμον ἐπιφανῆ λαβόντος, υἱὸς γίνεται Τύλλος Ὁστίλλιος, ἀνὴρ δραστήριος, ὃς ἀπεδείχθη βασιλεὺς ψήφῳ τε πολιτικῇ διενεχθείσῃ περὶ αὐτοῦ κατὰ νόμους, καὶ τοῦ δαιμονίου δι' οἰωνῶν αἰσίων ἐπικυρώσαντος τὰ δόξαντα τῷ δήμῳ. ἔτος δὲ ἦν, ἐν ᾧ τὴν ἡγεμονίαν παρέλαβεν, ὁ δεύτερος ἐνιαυτὸς τῆς ἑβδόμης καὶ εἰκοστῆς ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Εὐρυβάτης Ἀθηναῖος, ἄρχοντος Λεωστράτου. ἔτος ἔργον πάντων μεγαλοπρεπέστερον ἀποδειξάμενος εὐθὺς ἅμα τῷ παραλαβεῖν τὴν ἀρχὴν, ἅπαν τὸ θητικὸν τοῦ δήμου καὶ ἄπορον οἰκεῖον ἔσχεν. ἦν δὲ τοιόνδε· χώραν εἶχον ἐξαίρετον οἱ πρὸ αὐτοῦ βασιλεῖς πολλὴν καὶ ἀγαθὴν, ἐξ ἧς ἀναιρούμενοι τὰς προσόδους, ἱερά τε θεοῖς ἐπετέλουν καὶ τὰς εἰς τὸν ἴδιον βίον ἀφθόνους εἶχον εὐπορίας, ἣν ἐκτήσατο μὲν Ῥωμύλος πολέμῳ τότε κατασχόντας ἀφελόμενος· ἐκείνου δὲ ἄπαιδος ἀποθανόντος, Πομπίλιος Νομᾶς ὁ μετ' ἐκεῖνον βασιλεύσας ἐκαρποῦτο. ἦν δὲ οὐκ ἔτι δημοσία κτῆσις, ἀλλὰ τῶν ἀεὶ βασιλέων κλῆρος. ταύτην ὁ Τύλλος ἐπέτρεψε τοῖς μηδένα κλῆρον ἔχουσι Ῥωμαίων κατ' ἄνδρα διανείμασθαι, τὴν πατρῴαν αὐτῷ κτῆσιν ἀρκοῦσαν ἀποφαίνων εἴς τε τὰ ἱερὰ καὶ τὰς τοῦ βίου δαπάνας. ταύτῃ δὲ τῇ φιλανθρωπίᾳ τοὺς ἀπόρους τῶν πολιτῶν ἀνέλαβε, παύσας λατρεύοντας τοῖς ἄλλοις, ἵνα δὲ μὴ οἰκίας ἄμοιρός τις εἴη, προσετείχισε τῇ πόλει τὸν καλούμενον Καίλιον λόφον· ἔνθα ὅσοι Ῥωμαίων ἦσαν ἀνέστιοι, λαχόντες τοῦ χωρίου τὸ ἀρκοῦν, κατεσκεύασαν οἰκίας· καὶ αὐτὸς ἐν τούτῳ τῷ τόπῳ τὴν οἴκησιν εἶχεν. πολιτικὰ μὲν δή ταῦτα τὰ τοῦ ἀνδρὸς ἔργματα παραδίδονται λόγου ἄξια.

Πολεμικαὶ δὲ πράξεις πολλαί τε καὶ ἄλλαι μνημονεύονται, περὶ ὧν ἔρχομαι λέξων, τὴν ἀρχὴν ποιησάμενος ἀπὸ τοῦ πρὸς τοὺς Ἀλβανοὺς πολέμου. αἴτιος δὲ τοῦ διαστῆναι τὰς πόλεις καὶ λῦσαι τὸ συγγενὲς ἀνὴρ Ἀλβανὸς ἐγένετο Κλοίλιος ὄνομα, τῆς μεγίστης ἀρχῆς ἀξιωθείς· ὃς ἀχθόμενος ἐπὶ τοῖς Ῥωμαίων ἀγαθοῖς, καὶ κατέχειν τὸν φθόνον μὴ δυνάμενος, φύσει τε αὐθάδης καὶ ὑπομαργότερος ὢν, ἐκπολεμῶσαι τὰς πόλεις ἔγνω πρὸς ἀλλήλας. οὐχ ὁρῶν δὲ, ὅπως ἂν πείσειε τοὺς Ἀλβανοὺς, στρατὸν αὐτῷ κατὰ Ῥωμαίων ἄγειν ἐπιτρέψαι, μήτε δικαίας ἐχον- cap. 2.

 τι

Digitized by Google

τι προφάσεις, μήτε ἀναγκαίας, μηχανᾶται τοιόνδε τι. τοῖς ἀπορωτάτοις τῶν Ἀλβανῶν καὶ θρασυτάτοις ἐφῆκε λῃστεύειν τοὺς Ῥωμαίων ἀγροὺς, ἄδειαν ὑπισχνούμενος, καὶ πολλοὺς παρεσκεύασεν ἀκίνδυνα κέρδη διώκοντας, ὧν οὐδὲν κωλυόμενοι ὑπὸ τοῦ δέους ἀποτίθεσθαι, ἔμελλον ἐμπλῆσαι πολέμου λῃστρικοῦ τὴν ὅμορον. τοῦτο δὲ πράττει κατὰ λογισμὸν οὐκ ἀπεικότα, ὡς τὸ ἔργον ἐμαρτύρησεν· Ῥωμαίους μὲν γὰρ οὐκ ἀνέξεσθαι τὰς ἁρπαγὰς ὑπελάμβανεν, ἀλλ' ἐπὶ τὰ ὅπλα χωρήσειν, αὐτῷ δ' ἐξουσίαν ἔσεσθαι κατηγορεῖν αὐτῶν πρὸς τὸν δῆμον, ὡς ἀρχόντων πολέμου· ὑπολαβών τε τοὺς πλείστους φθονοῦντας τοῖς ἀποίκοις τῆς εὐτυχίας, δέξεσθαι τὰς διαβολὰς ἀσμένως, καὶ τὸν κατ' αὐτῶν πόλεμον ἐξοίσειν· ὅπερ καὶ συνέβη. Μετὰ δὲ τὰς προφάσεις ταύτας παρεσκευάζοντο ἀμφότεροι πρὸς πόλεμον· ἑλκομένου δὲ τοῦ χρόνου διὰ κενῆς· οὐδὲν γὰρ ὅ,τι καὶ λόγου ἄξιον ἦγε· καταδρομαῖς ψιλῶν ἢ συμπλοκαῖς ἱππέων ἔβλαπτον ἀλλήλους· ὁ δὲ τοῦ πολέμου δόξας αἴτιος γεγονέναι Κλοίλιος, ἀχθόμενος ἐπὶ τῇ ἀπράκτῳ καθέδρᾳ, γνώμην ἔσχεν ἐξάγειν τὴν στρατιὰν, καὶ προκαλεῖσθαι τοὺς πολεμίους εἰς μάχην· ἐὰν δὲ μὴ ὑπακούσωσι, προσβάλλειν αὐτῶν πρὸς τὰ ἐρύματα. παρασκευασάμενος δὲ τὰ πρὸς τὸν ἀγῶνα, καὶ εἰ δεήσει τειχομαχίας, ὅσα τῷ ποιῷ πρόσφορα ἔργῳ μηχανησάμενος, ἐπεὶ νὺξ ἐγένετο, καθεύδων ἐν τῇ στρατηγικῇ σκηνῇ, παρούσης αὐτῷ τῆς εἰωθυίας φυλακῆς, περὶ τὸν ὄρθρον εὑρίσκεται νεκρὸς, οὔτε σφαγῆς, οὔτε ἀγχόνης, οὔτε φαρμάκων, οὔτε ἄλλης βιαίας συμφορᾶς σημεῖον ἐπὶ τοῦ σώματος οὐδὲν ἔχων. Εἰς δὲ τὸν ἐκείνου τόπον ἀποδείκνυται στρατηγὸς αὐτοκράτωρ ὑπὸ τῶν ἐπὶ τοῦ στρατοπέδου Μέτιος Φουφέτιος, ἀνὴρ οὔτε πολέμου ἡγεμὼν ἱκανὸς, οὔτε εἰρήνης βέβαιος φύλαξ· ὃς οὐδενὸς ἧττον Ἀλβανῶν πρόθυμος ὢν, κατ' ἀρχὰς διαστῆσαι τὰς πόλεις, καὶ διὰ τοῦτο τῆς ἀρχῆς μετὰ τὸν Κλοιλίου θάνατον ἀξιωθεὶς, ἐπειδὴ τῆς ἡγεμονίας ἔτυχε, καὶ ὅσα ἦν ἐν τοῖς πράγμασι δυσχερῆ καὶ ἄπορα συνεῖδεν, οὐκ ἔτι διέμεινεν ἐπὶ τοῖς αὐτοῖς βουλεύμασιν, ἀλλ' εἰς ἀναβολὰς καὶ διατριβὰς ἄγειν ἠξίου τὰ πράγματα, ὁρῶν οὔτε τοὺς Ἀλβανοὺς σύμπαντας ὁμοίαν ἔχοντας ἔτι προθυμίαν πρὸς πόλεμον, οὔτε τὰ σφάγια, ὁπότε θύοιτο περὶ μάχης,

cap. 4. Bellum cum Albanis.

Cluilius, summus apud Albanos magistratus repentina morte exstinquitur.

cap. 5.

In ejus locum sufficitur. Metius Suffetius;

Digitized by Google

χης, καλὰ γινόμενα· τελευτῶν δὲ εἰς καταλλαγὰς ἔγνω προκαλεῖσθαι τὰς πολεμίας, πρότερον ἐπικηρυκευσάμενος, μαθὼν τὸν ἐπικρεμάμενον ἔξωθεν Ἀλβανοῖς τε καὶ Ῥωμαίοις κίνδυνον, εἰ μὴ σπείσονται τὸν πρὸς ἀλλήλας πόλεμον, ἀφύλακτον ὄντα, ὃς ἔμελλεν ἀμφοτέρας ἀναρπάσεσθαι τὰς δυνάμεις. ἦν δὲ τοιόσδε.

cap. 6. qui Romanos ad pacem invitandos censet propter Vejentium & Fidenatum insidias.

Οὐϊεντανοὶ καὶ Φιδηναῖοι μεγάλας ἔχοντες πόλεις, ἐπὶ μὲν τῆς Ῥωμύλε βασιλείας εἰς πόλεμον ὑπὲρ ἀρχῆς καὶ δυναςείας Ῥωμαίοις κατέςησαν, ἐν ᾧ πολλὰς ἀπολέσαντες δυνάμεις ἀμφότεροι, καὶ χώρας ἀποδασμῷ ζημιωθέντες, ὑπήκοοι τοῖς κεκρατηκόσιν ἠναγκάσθησαν γενέσθαι. περὶ ὧν ἐν τῇ πρὸ ταύτης δεδήλωκα γραφῇ τὸ ἀκριβές· ἐπὶ δὲ τῆς Νομᾶ Πομπιλίε δυναςείας, εἰρήνης ἀπολαύσαντες βεβαίε, πολλὴν ἔσχον ἐπίδοσιν εἰς εὐανδρίαν τε καὶ πλῦτον, καὶ τὴν ἄλλην εὐδαιμονίαν. τύτοις δὴ τοῖς ἀγαθοῖς ἐπαρθέντες, ἐλευθερίας τε αὖθις ὠρέγοντο, καὶ φρόνημα ἐλάμβανον ὑψηλότερον, παρεσκευάζοντό τε ὡς ὐκ ἔτι Ῥωμαίων ἀκροώμενοι. τέως μὲν ὖν ἄδηλος αὐτῶν ἡ διάνοια τῆς ἀποςάσεως ἦν, ἐν δὲ τῷ πρὸς Ἀλβανὺς ἐφανερώθη πολέμῳ. ὡς γὰρ ἐπύθοντο πανςρατιᾷ Ῥωμαίες ἐπεληλυθότας ἐπὶ τὸν πρὸς Ἀλβανὺς ἀγῶνα, κράτιςον ὑπολαβόντες εἰληφέναι καιρὸν ἐπιθέσεως, ἀποῤῥήτυς ἐποιήσαντο διὰ τῶν δυνατωτάτων ἀνδρῶν συνωμοσίας, πάντας τὺς ὁπλοφορεῖν δυναμένυς εἰς Φιδήνην συνελθεῖν, κρύφα καὶ κατ' ὀλίγυς ἰόντας, ὡς ἂν ἥκιςα γένοιντο τοῖς ἐπιβυλευομένοις καταφανεῖς· ἐκεῖ δ' ὑπομένοντας ἐκδέχεσθαι τὸν καιρὸν, ὅτε αἱ Ῥωμαίων τε καὶ Ἀλβανῶν δυνάμεις ἐκλιπῦσαι τὺς χάρακας ἐπὶ τὸν ἀγῶνα προελεύσονται· τῦτο δὲ φανερὸν αὐτοῖς ποιεῖν ἔμελλον διὰ συμβόλων σκοποί τινες ἐν τοῖς ὄρεσι λοχῶντες· ὅταν δὲ ἀρθῇ τὰ σημεῖα, λαβόντας ὅπλα χωρεῖν ἐπ' αὐτὺς ἔδει πάντας κατὰ τάχος· ἦν δὲ ὐ πολλὴ ἐπὶ τὺς χάρακας ἀπὸ Φιδήνης φέρυσα ὁδὸς, ἀλλ' ὅσον ἢ δυσὶν ὥραις ἢ τρισὶν ἀνυσθῆναι, τὸ μακρότατον· ἐπιφανέντας δὲ ἀγῶνι τέλος ἤδη ἔχοντι, ὥσπερ εἰκὸς ἦν, μηδὲν ἡγεῖσθαι φίλιον, ἀλλ' ἐάν τε Ἀλβανοὶ νικῶσιν, ἐάν τε Ῥωμαῖοι, κτείνειν τὺς κεκρατηκότας αὐτῶν. ταῦτα ἦν, ἃ διέγνωσο πράττειν τοῖς προεςηκόσι τῶν πόλεων. εἰ μὲν ὖν θρασύτε-

σύτερον ἐπὶ τὸν ἀγῶνα ὥρμησαν Ἀλβανοὶ Ῥωμαίων καταφρονήσαντες, καὶ μιᾷ κρῖναι μάχῃ τὰ ὅλα διέγνωσαν, ἐδὲν ἂν τὸ κωλῦον ἦν τόν τε κατασκευασθέντα δόλον ἐπ' ἀυτοῖς λεληθέναι, καὶ διεφθάρθαι τὰ ϛρατεύματα ἀυτῶν ἀμφότερα· νῦν δὲ ἡ διατριβὴ τε πολέμε παράδοξος ἅπασι γενομένη, καὶ ὁ χρόνος, ἐν ᾧ παρεσκευάζοντο πολὺς ἀφελκυσθεὶς, διέχεεν ἀυτῶν τὰ βελεύματα. τῶν γὰρ ἐκ τῆς συνωμοσίας τινὲς, εἴτε ὀικεῖα κέρδη περιβαλέσθαι ζητεντες, εἴτε τοῖς κορυφαιοτάτοις τῶν σφετέρων καὶ τὸ ἔργον εἰσηγησαμένοις φθονεντες, εἴτε μήνυσιν ἑτέραν δεδιότες, ὅ, τι πολλοῖς συνέβη παθεῖν ἐν ταῖς πολυανθρώποις καὶ χρονιζομέναις συνωμοσίαις, εἴτε ὑποθέσει ἀναγκαζόμενοι γνώμης ἐκ ἀξιόσης ἔργον ἀνόσιον εἰς ἐυτυχὲς κατασκῆψαι τέλος, μηνυταὶ γίνονται τοῖς πολεμίοις τε δόλε.

cap. 7. Ταῦτα δὴ μαθὼν ὁ Φεφέτιος ἔτι μᾶλλον ἔσπευσε ποιεῖσθαι τὰς διαλύσεις, ὡς ἐδὲ αἱρέσεως ἔτι τε μὴ ταῦτα πράττειν σφίσι καταλειπομένης. ἐγεγόνει δὲ καὶ τῷ βασιλεῖ Ῥωμαίων ὑπὲρ τῆς συνωμοσίας ταύτης ἡ μήνυσις παρὰ τῶν ἐκ Φιδήνης φίλων· ὥς' ἐδ' ἀυτὸς ἔτι διαμελλήσας, δέχεται τὰς τε Φεφετίε προκλήσεις. ἐπεὶ δὲ συνῆλθον ἐπὶ τὸ μεταξὺ τῶν ϛρατοπέδων χωρίον ἐπαγόμενοι συμβέλες ἑκάτεροι τὲς φρονῆσαι τὰ δέοντα ἱκανὲς, ἀσπασάμενοι πρῶτον ἀλλήλες, ὡς πρότερον ἐιώθεσαν, καὶ φιλοφρονηθέντες τὰς ἑταιρικάς τε καὶ συγγενικὰς φιλο-

cap. 12. φροσύνας, διελέγοντο περὶ τῶν διαλύσεων. Οἱ δὲ ἐν τῷ συλλόγῳ παρόντες Ἀλβανῶν τε καὶ Ῥωμαίων, ταχεῖαν ἀπαλλαγὴν τε πολέμε ποιήσασθαι ζητεντες, ὅπλοις τὸ νεῖκος ἔγνωσαν διελεῖν. συγχωρηθέντος δὲ καὶ τέτε, περὶ τε πλήθες τῶν ἀγωνιεμένων ζήτησις ἐγίνετο, ἐ τὴν ἀυτὴν ἑκατέρε τῶν ϛρατηγῶν διάνοιαν ἀποδεικνυμένε. Τύλλος μὲν γὰρ ἐβέλετο ἐλαχίϛοις σώμασι γενέσθαι τὴν τε πολέμε κρίσιν, ἑνὸς Ἀλβανῶν τε λαμπροτάτε πρὸς ἕνα Ῥωμαίων τὸν ἄριϛον μονομαχήσοντος· καὶ πρόθυμος ἦν ἀυτὸς ὑπὲρ τῆς ἑαυτε πατρίδος διαγωνίσασθαι, προκαλέμενος εἰς τὴν ὁμοίαν φιλοτιμίαν τὸν Ἀλβανὸν, καλὲς ἀποφαίνων τοῖς ἀνειληφόσι τὰς τῶν ϛρατοπέδων ἡγεμονίας τὲς ὑπὲρ ἀρχῆς καὶ δυναϛείας ἀγῶνας, ἐ μόνον ἐὰν νικήσωσιν ἀγαθὲς ἄνδρας, ἀλλὰ κἂν ἀυτοὶ κρατηθῶσιν

ὑπ'

Digitized by Google

ὑπ' ἀγαθῶν· καὶ διεξιὼν, ὅσοι στρατηγοὶ καὶ βασιλεῖς τὰς ἑαυτῶν ψυχὰς προκινδυνεῦσαι τῶν κοινῶν παρέσχον, δεινὸν ἡγέμενοι τῶν μὲν τιμῶν πλέον αὐτοὶ φέρεσθαι, τῶν δὲ πολέμων ἔλαττον. ὁ δὲ Ἀλβανὸς τὸ μὲν ὀλίγοις σώμασι κινδυνεύειν τὰς πόλεις ὀρθῶς ἐνόμιζεν εἰρῆσθαι, περὶ δὲ τῆς ἑνὶ πρὸς ἕνα μάχης διεφέρετο, λέγων, ὅτι τοῖς μὲν ἡγεμένοις τῶν στρατοπέδων, ὅταν ἰδίαν κατασκευάζωνται δυναστείαν, καλὸς καὶ ἀναγκαῖος ἐστὶ ὁ περὶ τῆς ἀρχῆς πρὸς ἀλλήλους ἀγὼν, ταῖς δὲ πόλεσιν αὐταῖς, ἐπειδὰν περὶ τῶν πρωτείων διαφέρωνται πρὸς ἀλλήλας, ἐ μόνον σφαλερὸς, ἀλλὰ καὶ αἰσχρὸς ὁ διὰ μονομαχίας κίνδυνος, ἐάν τε τῆς κρείττονος λάβωνται τύχης, ἐάν τε τῆς χείρονος. τρεῖς δὲ ἄνδρας ἐπιλέκτους ἀφ' ἑκατέρας πόλεως συνεβέλευεν ὑπὸ τὴν ἁπάντων ὄψιν Ἀλβανῶν τε καὶ Ῥωμαίων διαγωνίσασθαι. ἐπιτηδειότατον γὰρ εἶναι τόνδε τὸν ἀριθμὸν εἰς πᾶσαν ἀμφισβητεμένε πράγματος διαίρεσιν, ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν ἔχοντα ἐν αὐτῷ. ταύτῃ προσθεμένων τῇ γνώμῃ Ῥωμαίων τε καὶ Ἀλβανῶν, ὅ,τε σύλλογος διελύθη, καὶ ἐπὶ τὰς ἰδίας ἀπῄεσαν ἑκάτεροι χάρακας.

Ἔπειτα καλέσαντες εἰς ἐκκλησίαν τὰς δυνάμεις ἀμφοτέρας οἱ στρατηγοὶ, διεξῆλθον, ἅ τε διελέχθησαν αὐτοὶ πρὸς ἀλλήλους, καὶ ἐφ' οἷς συνέθεντο καταλῦσαι τὸν πόλεμον. ἐπικυρωσάντων δὲ τῶν στρατευμάτων ἀμφοτέρων κατὰ πολλὴν εὐδόκησιν τὰς τῶν στρατηγῶν ὁμολογίας, θαυμαστὴ μετὰ τοῦτο κατεῖχε φιλοτιμία καὶ λοχαγοὺς καὶ στρατιώτας, πολλῶν πάνυ προθυμεμένων ἐξενέγκασθαι τὰ τῆς μάχης ἀριστεῖα, καὶ οὐ λόγῳ σπουδαζόντων μόνον, ἀλλὰ καὶ ἔργῳ φιλοτιμίας ἀποδεικνυμένων· ὥστε χαλεπὴν γενέσθαι τοῖς ἡγεμόσιν αὐτῶν τὴν τῶν ἐπιτηδειοτάτων διάγνωσιν. εἰ γάρ τις ἦν ἢ πατέρων ἐπιφανείᾳ λαμπρὸς, ἢ σώματος ῥώμῃ διαπρεπὴς, ἢ πράξει τῇ κατὰ χεῖρα γενναῖος, ἢ κατ' ἄλλην τινὰ τύχην ἢ τόλμαν ἐπίσημος, αὐτὸν ἠξίου τάττειν πρῶτον ἐν τοῖς τρισί. ταύτην ἐπὶ πολὺ χωρῆσαν ἐν ἀμφοτέροις τοῖς στρατεύμασι τὴν φιλοτιμίαν ὁ τῶν Ἀλβανῶν ἔπαυσε στρατηγὸς, ἐνθυμηθεὶς ὅτι θεία πρόνοια, ἐκ πολλοῦ προορωμένη τὸν μέλλοντα συμβήσεσθαι ταῖς πόλεσιν ἀγῶνα, τοὺς προκινδυνεύσοντας αὐ-

cap. ιγ.

Digitized by Google

τῶν κατεσκεύασε γενέϑαι ὄικων τε ἐκ ἀφανῶν, καὶ τὰ πολέμια ἀγαϑὰς, ὀφϑῆναί τε καλλίςυς, καὶ ὅτε γενέσεως τοῖς πολλοῖς μετειληφότας, ἀλλὰ σπανίυ καὶ ϑαυμαςῆς διὰ τὸ παράδοξον. Ὁρατίῳ γάρ τινι Ῥωμαίῳ, καὶ Κορατίῳ τὸ γένος Ἀλβανῷ κατὰ τὸν ἀυτὸν χρόνον ἐνεγγύησε ϑυγατέρα διδύμυς Σεκιήνῖος Ἀλβανός. τούτοις ἀμφοτέροις ἀι γυναῖκες ἐγκύμονες ἅμα γενόμεναι, τὰς πρωτοτόκυς ἐκφέρυσι γονὰς ἄῤῥενα βρέφη, τρίδυμα καὶ ἀυτά· ἃ οἱ γεινάμενοι, πρὸς ὀιωνὺ λαβόντες ἀγαϑὺ, καὶ πόλει καὶ ὄικῳ τῷ σφετέρῳ, τρέφυσιν ἅπαντα καὶ τελειῦσι· ϑεὸς δ' ἀυτοῖς, ὥσπερ κατ' ἀρχὰς ἔφην, δίδωσι κάλλος τε καὶ ῥώμην, καὶ δὴ καὶ ψυχῆς γενναιότητα μηδενὸς τῶν ἄριςα πεφυκότων χείροσι γενέϑαι. τούτοις ἐγνω τοῖς ἀνδράσιν ὁ Φυφέτιος ἐπιτρέπειν τὸν ὑπὲρ τῆς ἡγεμονίας ἀγῶνα. Δέχεται τὴν παραίνεσιν ὁ Τύλλος, καὶ δεχημέρυς ποιησάμενος ἀνοχὰς, ἐν ἅις βυλεύσεταί τε καὶ μαϑὼν τὴν διάνοιαν τῶν Ὁρατίων ἀποκρινεῖται, παρῆν εἰς τὴν πόλιν. ταῖς δ' ἑξῆς ἡμέραις βυλευσάμενος ἅμα τοῖς ἀρίςοις, ἐπειδὴ τοῖς πλείςοις ἔδοξε δέχεϑαι τὰς Φυφετίυ προκλήσεις, μεταπέμπεται τὺς τριδύμυς ἀδελφὺς. Οἱ δὲ προσελϑόντες τῷ βασιλεῖ ἀναδέχονται τὸν ἀγῶνα. κἀκεῖνος συγκαλέσας τὴν βυλὴν, καὶ πολλὺς ἐπαίνυς τῶν νεανίσκων διαϑέμενος, ἀποςέλλει πρέσβεις πρὸς τὸν Ἀλβανὸν, τὺς δηλώσοντας ὅτι δέχονται Ῥωμαῖοι τὴν ἄιρεσιν, καὶ παρέχονται τὺς Ὁρατίυς διαγωνιυμένυς ὑπὲρ τῆς ἀρχῆς. Ἀπαιτύσης δὲ τῆς ὑποϑέσεως καὶ τὸν τρόπον διεξελϑεῖν τῆς μάχης ἀκριβῶς, καὶ τὰ μετὰ ταύτην γενόμενα πάϑη ϑεατρικαῖς ἐοικότα περιπετείαις μὴ ῥαϑύμως διελϑεῖν, πειράσομαι καὶ περὶ τούτων ἑκάςων, ὡς ἐμὴ δύναμις, εἰπεῖν. ἐπειδὴ γὰρ ὁ χρόνος ἧκεν, ἐν ᾧ τέλος ἔδει λαβεῖν τὰς ὁμολογίας, ἐξῄεσαν μὲν ἀι τῶν Ῥωμαίων δυνάμεις πανςρατιᾶ, ἐξῄεσαν δὲ μετὰ ταῦϑ' οἱ νεανίσκοι τοῖς πατρῴοις ϑεοῖς εὐξάμενοι, καὶ προῆγον ἅμα τῷ βασιλεῖ, κατευφημούμενοί τε ὑπὸ παντὸς τῦ κατὰ τὴν πόλιν ὄχλυ, καὶ παττόμενοι τὰς κεφαλὰς ἄνϑεσιν· ἤδη δὲ καὶ τῶν Ἀλβανῶν ἐξεληλύϑει ςρατιά. ἐπεὶ δὲ κατεςρατοπεδεύσαντο πλησίον ἀλλήλων, μεταίχμιον ποιησάμενοι τὸν διείργοντα τὴν Ῥωμαίων ἀπὸ τῆς Ἀλβανῶν ὅρον, ἔνϑα καὶ πρότερον

εἶχον

cap. 16. Horatiorum & Curiatiorum pugna.

cap. 17.

cap. 18.

Digitized by Google

εἶχον ἑκάτεροι τὰς χάρακας, πρῶτον μὲν ἱερὰ θύσαντες ὤμοσαν ἐπὶ τῶν ἐμπύρων, στέρξειν τὴν τύχην ἣν ἂν ἐκ τῆς μάχης τῶν ἀνεψιῶν ἑκατέρα πόλις ἐξενέγκηται, καὶ φυλάξειν τὰς ὁμολογίας βεβαίας, μηδένα προσάγοντες αὐταῖς δόλον αὐτοί τε καὶ γένος τὸ ἐξ αὐτῶν. ἐπεὶ δὲ τὰ πρὸς τοὺς θεοὺς διεπράξαντο ὅσια, θέμενοι τὰ ὅπλα προῆγον ἐκ τοῦ χάρακος ἀμφότεροι θεαταὶ τῆς μάχης ἐσόμενοι, τριῶν ἢ τεττάρων σταδίων τὸ μεταξὺ χωρίον τοῖς ἀγωνισομένοις καταλιπόντες· καὶ μετ' οὐ πολὺ παρῆν τοὺς Κορατίους ὁ τῶν Ἀλβανῶν στρατηγὸς ἄγων, καὶ τοὺς Ὁρατίους ὁ τῶν Ῥωμαίων βασιλεὺς, ὡπλισμένους τε κάλλιστα καὶ τὸν ἄλλον ἔχοντας κόσμον, οἷον ἄνθρωποι λαμβάνουσιν ἐπὶ θανάτῳ. γενόμενοι δὲ σύνεγγυς ἀλλήλων, τὰ μὲν ξίφη τοῖς ὑπασπισταῖς παρέδωκαν, προσδραμόντες δὲ περιέβαλον ἀλλήλους κλαίοντες, καὶ τοῖς ἡδίστοις ὀνόμασιν ἀνακαλοῦντες, ὥστε εἰς δάκρυα προσπεσεῖν ἅπαντας, καὶ πολλὴν ἀστοργίαν κατηγορεῖν σφῶν τε αὐτῶν καὶ τῶν ἡγεμόνων, ὅτι παρὸν ἄλλοις τισὶ καὶ σώμασι κρῖναι τὴν μάχην, εἰς ἐμφύλιον αἷμα καὶ συγγενικὸν ἄγος τὸν ὑπὲρ τῶν πόλεων ἀγῶνα κατέκλεισαν. παυσάμενοι δὲ τῶν ἀσπασμῶν οἱ νεανίσκοι, καὶ τὰ ξίφη παρὰ τῶν ὑπασπιστῶν λαβόντες, ἀναχωρησάντων τῶν πέλας, ἐτάξαντό τε καθ' ἡλικίαν, καὶ συνῄεσαν ὁμόσε. Τέως μὲν οὖν ἡσυχία καὶ σιγὴ κατεῖχεν ἀμφοτέρας τὰς δυνάμεις· ἔπειτα ἀναβοήσεις τε ἀθρόαι παρ' ἀμφοτέρων αὐτῶν ἐγίνοντο, καὶ παρακελεύσεις τοῖς μαχομένοις ἀναλλὰξ, εὐχαί τε καὶ οἰμωγαὶ, καὶ παντὸς ἄλλου πάθους ἐναγωνίου φωναὶ συνεχεῖς, αἱ μὲν πρὸς τὰ δρώμενά τε καὶ ὁρώμενα ὑφ' ἑκατέρων, αἱ δὲ πρὸς τὰ μέλλοντά τε καὶ ὑποπτευόμενα· καὶ ἦν πλείω τὰ εἰκαζόμενά τε καὶ δρώμενα τῶν γινομένων. ἥ τε γὰρ ὄψις ἐκ πολλοῦ διαστήματος γενομένη πολὺ τὸ ἀσαφὲς εἶχε, καὶ τὸ πρὸς τοὺς οἰκείους ἀγωνιστὰς ἑκάστοις συμπαθὲς ἐπὶ τὸ βεβουλευμένον ἐλάμβανε τὰ πρασσόμενα· αἵ τε συνεχεῖς τῶν μαχομένων ἐπεμβάσεις καὶ ὑπαναχωρήσεις, καὶ εἰς τὸν ἀντίπαλον αὖθις ἀντιμεταστάσεις πολλαὶ καὶ ἀντίστροφοι γενόμεναι τὸ ἀκριβὲς τῆς γνώμης ἀφῃροῦντο, καὶ ταῦτα ἐπὶ πολὺν ἐγίνοντο χρόνον. ῥώμην τε γὰρ τοῦ σώματος ἔτυχον ὁμοίαν ἔχοντες ἑκάτεροι, καὶ τὸ γενναῖον τῆς ψυχῆς ἰσόρροπον, ὅπλοις

cap. 19.

ὅπλοις τε καλλίςοις ἐσκευασμένοι τὰ σώματα, καὶ γυμνὸν ὐδὲν ἀπολιπόντες μέρος, ὅ, τι καὶ τρωθὲν ὀξεῖαν ἔμελλεν οἴσειν τὴν τελευτήν. ὥςε πολλοὶ Ῥωμαίων τε καὶ Ἀλβανῶν, ἐκ τῦ Φιλονεικεῖν τε καὶ συμπαθεῖν τοῖς σφετέροις, ἔλαθον αὐτὺς τῦ τῶν κινδυνευόντων μεταλαμβάνοντες πάθυς, ἀγωνιςαί τε μᾶλλον ἐβύλοντο ἢ θεαταὶ τῶν δρωμένων γεγονέναι. ὀψὲ δ᾽ ὖν ποτε ὁ πρεσβύτατος τῶν Ἀλβανῶν τῷ πρὸς αὐτὸν ἀντιτεταγμένῳ συμπλέκεται παίων τε καὶ παιόμενος ἄλλαις ἐπ᾽ ἄλλαις πληγαῖς, καί πως τυγχάνει τῦ Ῥωμαίυ διὰ τῦ βυβῶνος ἐνέγκας τὸ ξίφος. ὁ δὲ τοῖς τε ἄλλοις τραύμασι κεκαρωμένος ἤδη, καὶ τὴν τελευταίαν πληγὴν θανατηφόρον ἔχων, ὑπολυθέντων τῶν μελῶν καταῤῥυεὶς ἀποθνήσκει. ὡς δὲ τῦτ᾽ εἶδον οἱ θεαταὶ τῆς μάχης, ἅμα πάντες ἀνεβόησαν, Ἀλβανοὶ μὲν, ὡς νικῶντες ἤδη· Ῥωμαῖοι δ᾽, ὡς κρατύμενοι. τὺς γὰρ δὴ σφετέρυς δύο τρισὶν Ἀλβανοῖς εὐκατεργάςυς ὑπελάμβανον γενήσεσθαι. ἐν ᾧ δ᾽ ἐγίνετο ταῦτα, ὁ παρασπίζων τῷ πεσόντι Ῥωμαῖος, ὁρῶν ἐπὶ τῷ κατορθώματι περιχαρῆ τὸν Ἀλβανὸν, ὠθεῖται ταχὺς ἐπ᾽ αὐτὸν, καὶ πολλὰ μὲν τραύματα δὺς, πολλὰ δὲ αὐτὸς λαβὼν, τυγχάνει πως κατὰ τῆς σφαγῆς αὐτῦ βάψας τὸ ξίφος καὶ διαχρησάμενος, μεταβαλύσης δὲ τῆς τύχης ἐν ὀλίγῳ τάτε τῶν ἀγωνιζομένων ἔργα καὶ τὰ τῶν θεωμένων πάθη, καὶ Ῥωμαίων μὲν ἀναθαῤῥησάντων ἐκ τῆς πρότερον κατηφείας, Ἀλβανῶν δὲ ἀφῃρημένων τὸ χαίρειν, ἑτέρα πάλιν ἀντιπνεύσασα τοῖς τῶν Ῥωμαίων κατορθώμασι τύχη τύτων μὲν ἐταπείνωσε τὰς ἐλπίδας, τὰ δὲ τῶν πολεμίων φρονήματα ἐπῆρε. τῦ γὰρ Ἀλβανῦ πεσόντος, ὁ τὴν πλησίον αὐτῦ ἔχων ςάσιν ἀδελφὸς συμπλέκεται τῷ καταβαλόντι· καὶ τυγχάνυσιν ἀμφότεροι κατὰ τὸν αὐτὸν χρόνον πληγὰς ἐξαισίυς ἐξενέγκαντες κατ᾽ ἀλλήλων· ὁ μὲν Ἀλβανὸς, τῦ Ῥωμαίυ κατὰ τῶν μεταφρένων, καὶ μέχρι τῶν σπλάγχνων βάψας τὸ ξίφος· ὁ δὲ Ῥωμαῖος, ὑπελθὼν τὴν προβολὴν τῦ πολεμίυ, καὶ τῶν ἰγνύων τὴν ἑτέραν ἀποτεμών. Ὁ μὲν δὴ τὸ καίριον τραῦμα λαβὼν εὐθὺς ἐτεθνήκει, ὁ δὲ τὴν ἰγνὺν τετρωμένος ὐκέτι βέβαιος ἦν ἑςάναι, σκάζων δὲ καὶ κατὰ πολλὰ τῷ θυρεῷ διερειδόμενος ἀντεῖχεν ὅμως ἔτι, καὶ μετὰ τῦ περιλειπομένυ τῶν ἀδελφῶν

cap. 20.

Digitized by Google

φῶν ἐπὶ τὸν ὑπομένοντα Ῥωμαῖον ἐχώρει· περιέστησάν τε αὐτὸν, ὁ μὲν ἐξ ἐναντίας προσιὼν, ὁ δὲ κατὰ νώτου. τῷ δὲ Ῥωμαίῳ δείσαντι μὴ κυκλωθεὶς ὑπ' αὐτῶν ἐυκατέργαστος γένηται, δυσί τε μαχόμενος καὶ διχόθεν ἐπιοῦσιν, ἦν δὲ ἀκραιφνὴς ἔτι, λογισμὸς εἰσέρχεται διελεῖν τοὺς πολεμίους ἀπ' ἀλλήλων, καὶ χωρὶς ἑκατέρῳ μάχεσθαι. ῥᾷστα δὲ διαστήσειν αὐτοὺς ὑπελάμβανεν, ἐι δόξαν παράσχοι φυγῆς. οὐ γὰρ ἂν ὑπ' ἀμφοτέρων διώξεσθαι τῶν ἀδελφῶν, ἀλλ' ὑφ' ἑνὸς ὁρῶντος τὸν ἀδελφὸν οὐκ ἔτι καρτερὸν τὸν πόδα. ταῦτα διανοηθεὶς, ὡς εἶχεν, ἔφευγε τάχους, καὶ συνέπεσεν αὐτῷ μὴ διαμαρτεῖν τῆς ἐλπίδος. ὁ μὲν γὰρ ἕτερος τῶν Ἀλβανῶν μηδεμίαν ἔχων πληγὴν καίριον, ἐδίωκεν αὐτὸν ἐκποδὸς· ὁ δ' ἐπιβαίνειν ἀδύνατος ὢν, πολὺ τοῦ δέοντος ὑστέρει. ἔνθα δὴ τῶν Ἀλβανῶν τοῖς σφετέροις ἐγκελευομένων, τῶν δὲ Ῥωμαίων τὸν αὐτῶν ἀγωνιστὴν κακιζόντων, καὶ τῶν μὲν ἤδη παιανιζόντων τε καὶ στεφανουμένων, ὡς ἐπὶ κατορθουμένῳ τῷ ἀγῶνι· τῶν δ' ὀδυρομένων ὡς οὐκ ἂν ἐπὶ σφᾶς τῆς τύχης διαναστησομένης, ταμιευσάμενος τὸν καιρὸν ὁ Ῥωμαῖος, ὑποστρέφει τε ὀξέως. καὶ πρὶν ἢ φυλάξασθαι τὸν Ἀλβανὸν, φθάνει τῷ ξίφει κατὰ τοῦ βραχίονος πληγὴν ἐνέγκας, καὶ διελὼν τὸν ἀγκῶνα. πεσούσης δὲ τῆς χειρὸς ἅμα τῷ ξίφει, μίαν ἔτι πληγὴν καίριον ἐξενέγκας, κτείνει τὸν Ἀλβανὸν· καὶ μετὰ τοῦτον ἐπὶ τὸν τελευταῖον ὠσάμενος, ἡμιθνῆτα καὶ παρειμένον ἐπικατασφάττει. σκυλεύσας δὲ τοὺς τῶν ἀνεψιῶν νεκροὺς, εἰς τὴν πόλιν ἠπείγετο, πρῶτος ἀπαγγεῖλαι θέλων τὴν ἑαυτοῦ νίκην τῷ πατρί. Μετὰ δὲ τὴν μάχην τῶν τριδύμων, Ῥωμαίων μὲν οἱ τότε ὄντες ἐπὶ τοῦ στρατοπέδου, ταφὰς ποιησάμενοι λαμπρὰς τῶν ἀποθανόντων, ἐν οἷς ἔπεσον χωρίοις, καὶ θύσαντες τὰ ἐπινίκια τοῖς θεοῖς, ἐν εὐπαθείαις ἦσαν. Ἀλβανοὶ δὲ ἀχθόμενοι ἐπὶ τοῖς συμβεβηκόσι, καὶ τὸν ἡγεμόνα δι' αἰτίας ἔχοντες, ὡς κακῶς ἐστρατηγηκότα, ἄσιτοί τε οἱ πολλοὶ καὶ ἀθεράπευτοι τὴν ἑσπέραν ἐκείνην διετέλεσαν. τῇ δ' ἑξῆς ἡμέρᾳ καλέσας αὐτοὺς ὁ τῶν Ῥωμαίων βασιλεὺς εἰς ἐκκλησίαν, καὶ πολλὰ παραμυθησάμενος, ὡς οὔτε ἄσχημον ἐπιτάξων αὐτοῖς οὐδὲν, οὔτε χαλεπὸν, οὔτε ὃ μὴ τὸ συγγενὲς ἐπιτρέπει, τῇ δὲ αὐτῇ γνώμῃ περὶ ἀμφοτέρων τῶν πόλεων τὰ κράτιστα καὶ συμφορώτατα συμβουλεύσων, καὶ τὸν ἄρχοντά γε αὐτῶν

cap. 21.

τῶν Φουφέτιον ἐπὶ τῆς ἀρχῆς κατασχὼν αὐτῆς, ἄλλο οὔτε οὐδὲν τῶν πολιτικῶν μεθαρμοσάμενος, οὔτε κινήσας, ἀπῆγεν ἐπ' οἴκου τὴν δύναμιν.

cap. 22. Fidenate bellum.

Ὁ δὲ Ῥωμαίων βασιλεὺς ἐνιαύσιον διαλιπὼν χρόνον, ἐν ᾧ πάντα τὰ πρὸς τὸν πόλεμον παρεσκευάσατο ἐπιτήδεια, στρατὸν ἐξάγειν ἐπὶ τὴν Φιδηναίων πόλιν ἔγνω, προφάσεις τοῦ πολέμου ποιησάμενος, ὅτι κληθέντες εἰς ἀπολογίαν περὶ τῆς ἐπιβουλῆς, ἣν συνεστήσαντο κατὰ Ῥωμαίων τε καὶ Ἀλβανῶν, οὐχ ὑπήκουσαν, ἀλλ' εὐθὺς ἀναλαβόντες τὰ ὅπλα, καὶ τὰς πύλας κλείσαντες, Οὐϊεντανῶν τε συμμαχίαν ἐπαγόμενοι, ἐκ τοῦ φανεροῦ ἀφειστήκεισαν· καὶ τοῖς παραγενομένοις ἐκ Ῥώμης πρεσβευταῖς πυνθανομένοις τὴν αἰτίαν τῆς ἀποστάσεως ἀπεκρίναντο μηδὲν αὐτοῖς ἔτι πρᾶγμα πρὸς τὴν Ῥωμαίων πόλιν εἶναι κοινὸν, ἐξ οὗ Ῥωμύλος ὁ βασιλεὺς αὐτῶν ἐτελεύτησε, πρὸς ὃν ἐποιήσαντο τὰ περὶ τῆς φιλίας ὅρκια. ταύτας δὴ τὰς προφάσεις λαβὼν, τήν τε οἰκείαν καθώπλιζε δύναμιν, καὶ παρὰ τῶν συμμάχων μετεπέμπετο. πλεῖστον δὲ καὶ κράτιστον ἐπικουρικὸν ἐκ τῆς Ἀλβανῶν πόλεως Μέτιος Φουφέτιος ἧκεν ἄγων, ὅπλοις κεκοσμημένον ἐκπρεπέσιν, ὥστε ἁπάσας ὑπερβάλλεσθαι τὰς συμμαχικὰς δυνάμεις. ὁ μὲν οὖν Τύλλος, ὡς ἐκ προθυμίας τε καὶ παντὸς τοῦ βελτίστου κοινωνεῖν ἐγνωκότα τοῦ πολέμου τὸν Μέτιον ἐπῄνει τε καὶ πάντων ἐποιεῖτο τῶν βουλευμάτων συνίστορα· ὁ δὲ ἀνὴρ οὗτος ἐν αἰτίαις ὢν παρὰ τοῖς πολίταις ὑπάρχων, ὡς κακῶς ἐστρατηγηκὼς τοῦ πολέμου, καὶ εἰς προδοσίαν διαβαλλόμενος, ἐπειδὴ τρίτον ἔτος ἐπὶ τῆς αὐτοκράτορος ἀρχῆς διέμενε Τύλλου κελεύσαντος, οὐκ ἀξιῶν ἀρχὴν ἔχειν ἑτέρας ἀρχῆς ὑπήκοον, οὐδὲ ὑποτάττεσθαι μᾶλλον ἢ αὐτὸς ἡγεῖσθαι, πρᾶγμά τι ἐπεβούλευσεν ἀνόσιον. διαπρεσβευσάμενος γὰρ κρύφα πρὸς τοὺς Ῥωμαίων πολεμίους ἐνδοιαστῶς ἔτι πρὸς τὴν ἀπόστασιν ἔχοντας, ἐπῆρεν αὐτοὺς μὴ κατοκνεῖν, ὡς αὐτὸς συνεπιθησόμενος Ῥωμαίοις ἐν τῷ ἀγῶνι.

cap. 24.

Τῇ δ' ἑξῆς ἡμέρᾳ προῄεσαν μὲν ἐκ τοῦ χάρακος αἱ Φιδηναίων τε καὶ συμμάχων δυνάμεις ἅμα τῷ τὸν ἥλιον ἀνασχεῖν, καὶ παρετάσσοντο ὡς εἰς μάχην· ἀντεπεξῄεσαν δὲ οἱ Ῥωμαῖοι, καὶ καθίσταντο εἰς τάξιν. τὸ μὲν οὖν ἀριστερὸν κέρας αὐτὸς ὁ Τύλλος καὶ οἱ Ῥωμαῖοι κατεῖχον ἐναντίον Οὐϊενταvοῖς· οὗτοι γὰρ τὸ δεξιὸν

τῶν

τῶν πολεμίων κατεῖχον κέρας· ἐπὶ δὲ τῷ δεξιῷ τῶν Ῥωμαίων κέρατος ὁ Μέτιος Φυφέτιος καὶ οἱ Ἀλβανοὶ κατὰ Φιδηναίους, παρὰ τὴν λαγόνα τοῦ ὄρους ἐτάξαντο. ἐπεὶ δὲ σύνεγγυς ἀλλήλων ἐγένοντο, πρὶν ἐντὸς βέλους γενέσθαι, οἱ Ἀλβανοὶ σχισθέντες ἀπὸ τοῦ ἄλλου στρατοῦ, συντεταγμένους ἦγον τοὺς λόχους ἐπὶ τὸ ὄρος. οἱ μὲν οὖν Φιδηναῖοι τοῦτο μαθόντες, καὶ πιστεύσαντες ἀληθεύσειν σφίσι τὰς περὶ τῆς προδοσίας ὑποσχέσεις τῶν Ἀλβανῶν, θρασύτερον ἤδη τοῖς Ῥωμαίοις προσεφέροντο· καὶ τὸ μὲν δεξιὸν κέρας τῶν Ῥωμαίων ἐψιλωμένον τῆς συμμαχίας παρεῤῥήγνυτό τε καὶ σφόδρα ἐπόνει. τὸ δ' εὐώνυμον ἀνὰ κράτος ἠγωνίζετο, ἔνθα καὶ αὐτὸς ἦν ὁ Τύλλος ἐν τοῖς ἐπιλέκτοις τῶν ἱππέων μαχόμενος. ἐν δὲ τούτοις προσελάσας τις ἱππεὺς τοῖς ἅμα τῷ βασιλεῖ μαχομένοις, "Κάμνει "τὸ δεξιὸν ἡμῶν κέρας, ἔφησεν, ὦ Τύλλε. Ἀλβανοί τε "γὰρ ἐκλιπόντες τὴν τάξιν ἐπὶ τὰ μετέωρα ἐπείγονται, "Φιδηναῖοί τε, καθ' οὓς ἐκεῖνοι ἐτάχθησαν, ὑπὲρ κέρατος "ὄντες τοῦ ἐψιλωμένου, κυκλοῦσθαι μέλλουσιν ἡμᾶς." ταῦτα ἀκούσαντας τοὺς Ῥωμαίους, καὶ ἰδόντας τὴν ὁρμὴν τῶν Ἀλβανῶν τὴν ἐπὶ τὸ ὄρος, δεῖμα, ὡς κυκλωσομένους ὑπὸ τῶν πολεμίων, καταλαμβάνει· ὥστε οὔτε μάχεσθαι, οὔτε μένειν αὐτοῖς ἐπῄει. ἔνθα δὴ σοφίᾳ λέγεται χρήσασθαι ὁ Τύλλος, οὐδὲν ἐπιταραχθεὶς τὴν διάνοιαν ὑπὸ τοσούτου τε καὶ οὕτως ἀπροσδοκήτου κακοῦ φανέντος· δι' ἣν οὐ μόνον ἔσωσε τὴν Ῥωμαίων στρατιὰν, εἰς πρόῦπτον κατακεκλῃμένην ὄλεθρον, ἀλλὰ καὶ τὰ τῶν πολεμίων πράγματα συνέτριψε καὶ διέφθειρεν. ὡς γὰρ ἤκουσε τοῦ ἀγγέλου, μεγάλῃ φωνῇ χρώμενος, ὥστε καὶ τοὺς πολεμίους ἀκούειν, "Κρατοῦ"μεν, εἶπεν, ἄνδρες Ῥωμαῖοι, τῶν ἐχθρῶν. Ἀλβανοὶ "μὲν γὰρ ἡμῖν τὸ πλησίον ὄρος τοῦτο κατειλήφασιν, ὥσ"περ ὁρᾶτε, κατὰ τὰς ἐμὰς ἐντολάς· ἵνα κατὰ νώτου γε"νόμενοι τῶν πολεμίων, ἐπίωσιν αὐτοῖς. ἐνθυμηθέντες "οὖν, ὅτι ἐν καλῷ τοὺς ἐχθίστους ἡμῶν ἔχομεν, οἱ μὲν ἄν"τικρυς ἐπιόντες, οἱ δὲ κατόπιν, ἔνθα οὔτε πρόσω χω"ρεῖν, οὔτ' ὀπίσω ἐπιστρέφειν δυνάμενοι, ποταμῷ τε καὶ "ὄρει ἐκ τῶν πλαγίων ἀποκλειόμενοι, καλὴν δώσουσιν ἡ"μῖν δίκην, ἴτε σὺν πολλῇ καταφρονήσει ἐπ' αὐτούς."

Ταῦ-

Digitized by Google

cap. 25. Ταῦτα παρὰ τὰς τάξεις ἁπάσας διεξιὼν ἔλεγε· καὶ αὐτίκα τὰς μὲν Φιδηναίας δέος εἰσέρχεται παλινπροδοσίας, ὡς κατεστρατηγημένας ὑπὸ τοῦ Ἀλβανοῦ, ἐπεὶ οὔτε ἀντιμεταταξάμενον αὐτὸν εἶδον, οὔτε ἐπὶ τὰς Ῥωμαίας εὐθὺς ἐλαύνοντα, ὥσπερ ὑπέσχετο αὐτοῖς· τὰς δὲ Ῥωμαίας ἐπῆρεν εἰς εὐτολμίαν, καὶ θάρσας ἐνέπλησεν ὁ λόγος· καὶ μέγα ἐμβοήσαντες ὁρμῶσιν ἐπὶ τὰς πολεμίας ἀθρόοι. τροπὴ δὲ γίνεται μετὰ τοῦτο τῶν Φιδηναίων καὶ φυγὴ πρὸς τὴν πόλιν ἄκοσμος. ὁ δὲ τῶν Ῥωμαίων βασιλεὺς ἐπιῤῥάξας αὐτοῖς τὴν ἵππον περιφόβοις οὖσι καὶ τεταραγμένοις, καὶ μέχρι τινὸς διώξας, ὡς ἔμαθεν ἐσκεδασμένας ἀπ' ἀλλήλων, καὶ οὔτε λογισμὸν ἔτι τοῦ συστῆναι λημψομένας, οὔτε δύναμιν ἔχοντας, ἀφεὶς τὰς φεύγοντας, ἐπὶ τὸ συνεστηκὸς ἔτι καὶ διαμένον τῶν πολεμίων ἐχώρει μέρος. καὶ γίνεται καλὸς μὲν καὶ ὁ τῶν πεζῶν ἀγὼν, ἔτι δὲ καλλίων καὶ ὁ τῶν ἱππέων. οὐ γὰρ ἐνέκλιναν οἱ τῇδε τεταγμένοι Οὐϊεντανοὶ τὴν ἔφοδον ὑπὸ τῆς Ῥωμαϊκῆς ἵππου καταπλαγέντες, ἀλλ' ἀντεῖχον ἄχρι πολλοῦ. ἔπειτα μαθόντες, ὅτι τὸ εὐώνυμον σφῶν ἥττηται, καὶ πᾶσα ἡ Φιδηναίων τε καὶ συμμάχων στρατιὰ φεύγει προτροπάδην, δείσαντες, μὴ κυκλωθῶσιν ὑπὸ τῶν ἀναστρεφόντων ἐκ τοῦ διωγμοῦ, τρέπονται καὶ αὐτοὶ λύσαντες τὰς τάξεις, καὶ διὰ τοῦ ποταμοῦ σώζειν ἑαυτὰς ἐπειρῶντο. ὅσοι μὲν οὖν ἐῤῥωμενέστατοί τε αὐτῶν ἦσαν καὶ ἥκιστα ὑπὸ τραυμάτων βαρυνόμενοι, νεῖν τε οὐκ ἀδύνατοι, δίχα τῶν ὅπλων τὸ ῥεῖθρον διαπερῶντες ἐσώζοντο· ὅσοι δὲ τούτων τινὸς ἐνέλιπον, ἐν ταῖς δίναις ἀπέθνησκον· ὀξὺ γὰρ τοῦ Τιβέριος περὶ τὴν Φιδήνην καὶ σκολιὸν τὸ ῥεῦμα. ὁ δὲ Τύλλος μοίρᾳ τινὶ τῶν ἱππέων κελεύσας τὰς ἐπὶ τὸν ποταμὸν ωθουμένας κτείνειν, αὐτὸς ἐπὶ τὸ στρατόπεδον τῶν Οὐϊεντανῶν τὴν ἄλλην δύναμιν ἄγων, ἐξ ἐφόδου γίνεται κύριος αὐτοῦ. καὶ τὰ μὲν Ῥωμαίων πράγματα παραδόξου τυχόντα σωτηρίας ἐν τούτοις ἦν.

cap. 26. Ὁ δὲ Ἀλβανὸς ἐπειδὴ λαμπρῶς ἤδη νικῶντας ἐθεάσατο τὰς ἀμφὶ τὸν Τύλλον, καταβιβάσας καὶ αὐτὸς ἀπὸ τῶν ὑψηλῶν τὴν οἰκείαν δύναμιν, ἐπὶ τὰς φεύγοντας τῶν Φιδηναίων ἐχώρει, ἵνα δὴ τοῖς Ῥωμαίοις πᾶσι γένοιτο φανερὸς ἔργον τι ποιῶν συμμάχου, καὶ συχνὰς τῶν διεσκεδασμένων ἐν τῇ φυγῇ διέφθειρε. συνεὶς δὲ τὴν διάνοιαν αὐτοῦ

τῆ καὶ μισήσας τὴν παλιμπροδοσίαν ὁ Τύλλος, ἐδὲν ἐξελέγχειν ᾤετο δεῖν κατὰ τὸ παρὸν, ἕως ἂν ὑφ' ἑαυτῷ ποιήσηται τὸν ἄνδρα· ἀλλὰ ἐπαινεῖν τε τὴν ἀναχώρησιν αὐτῇ τὴν ἐπὶ τὰ μετέωρα, πρὸς πολλὲς τῶν παρόντων, ὡς ἀπὸ παντὸς τῇ βελτίςῃ γενομένην, ἐσκήπτετο· καὶ τῶν ἱππέων μοῖράν τινα πέμψας ὡς αὐτὸν, ἠξίε τελείαν ἀποδείξασθαι τὴν προθυμίαν, τὲς μὴ δυνηθέντας εἰς τὰ τείχη τῶν Φιδηναίων καταφεύγειν, ἀλλ' ἐσκεδασμένες ἀνὰ τὴν χώραν, συχνὲς ὄντας, κελεύων διερευνώμενον ἀποκτείνειν. κἀκεῖνος, ὡς θάτερον, ὧν ἤλπισε, διαπεπραγμένος καὶ λεληθὼς τὸν Τύλλον, ἔχαιρέ τε καὶ μέχρι πολλῇ καθιππεύων τὰ πεδία τὲς καταλαμβανομένες διέφθειρεν· ἤδη δὲ δεδυκότος ἡλίε, τὲς ἱππέας ἧκεν ἄγων ἐπὶ τὸ ςρατόπεδον τὸ Ῥωμαϊκὸν ἐκ τῇ διωγμῇ, καὶ τὴν ἐπελθῆσαν νύκτα ἐν εὐπαθείαις ἅμα τοῖς ἑτέροις ἦν. ὁ δὲ Τύλλος ἐν τῷ Οὐϊενταγῶν χάρακι μείας ἄχρι πρώτης φυλακῆς, καὶ τὲς ἐπιφανεςάτες τῶν αἰχμαλώτων ἀνακρίνας, τίνες ποτὲ ἦσαν οἱ τῆς ἀποςάσεως ἡγεμόνες, ὡς ἔμαθε καὶ τὸν Ἀλβανὸν Μέτιον Φεφέτιον ἐν τοῖς συνομοσαμένοις ὑπάρχοντα, δόξας συνᾴδειν τὰ πραχθέντα ὑπ' αὐτῇ τοῖς μηνυομένοις ὑπὸ τῶν αἰχμαλώτων, ἀναβὰς ἐπὶ τὸν ἵππον, καὶ τὲς πιςοτάτες τῶν ἑταίρων παραλαβὼν, πρὸς τὴν πόλιν ἀνιππεύει· καὶ πρὸ μέσων νυκτῶν ἐκ τῶν οἰκιῶν τὲς βελευτὰς συγκαλέσας, τήν τε προδοσίαν αὐτοῖς λέγει τῶν Ἀλβανῶν, μάρτυρας τὲς αἰχμαλώτες παρασχόμενος, καὶ ὃν τρόπον αὐτὸς κατεςρατήγησε τές τε πολεμίες καὶ τὲς Φιδηναίες, διηγεῖται. τέλος δὲ τὸ κράτιςον εἰληφότος τῇ πολέμε, τὰ λοιπὰ ἤδη σκοπεῖν αὐτὲς ἠξίε, τίνα χρὴ τρόπον τιμωρήσασθαι μὲν τὲς προδότας, σωφρονεςέραν δὲ τὴν Ἀλβανῶν πόλιν ἀποδῆναι εἰς τὸ λοιπόν. τὸ μὲν ἂν τιμωρήσασθαι τὲς ἐπιχειρήσαντας ἔργοις ἀνοσίοις, πᾶσιν ἐδόκει δίκαιόν τε καὶ ἀναγκαῖον εἶναι· ὃν δὲ τρόπον γένοιτ' ἂν ῥᾶςα καὶ ἀσφαλέςατα, πολλὴν αὐτοῖς παρεῖχεν ἀπορίαν. ἀδήλῳ μὲν γὰρ καὶ λεληθότι μόρῳ πολλὲς καὶ ἀγαθὲς Ἀλβανῶν ἄνδρας διαχειρίσασθαι, τῶν ἀδυνάτων αὐτοῖς ἐφαίνετο εἶναι· εἰ δὲ φανερῶς συλλαμβάνειν καὶ τιμωρεῖσθαι τὲς ἐνόχες ταῖς αἰτίαις ἐπιχειρήσαιεν, ἐ περιόψεσθαι τὲς Ἀλβανὲς ὑπελάμβανον, ἀλλ'

ἐπὶ

ἐπὶ τὰ ὅπλα χωρήσειν. ἅμα δὲ πολεμεῖν Φιδηναίοις τε καὶ Τυῤῥηνοῖς, καὶ τοῖς ἐπὶ τὴν συμμαχίαν σφῶν συνεληλυθέσιν Ἀλβανῶν οὐκ ἐβούλοντο. ἀπορουμένων δ' αὐτῶν, τελευταῖος ἀποδείκνυται γνώμην ὁ Τύλλος, ἣν ἅπαντες ἐπήνεσαν, ὑπὲρ ἧς μετὰ μικρὸν ἐρῶ.

cap. 27. Τετταράκοντα δ' ὄντων σαδίων τῶν μεταξὺ Φιδήνης τε καὶ Ῥώμης, ἐλάσας τὸν ἵππον ἀνὰ κράτος παρῆν ἐπὶ τὸν χάρακα, καὶ πρὶν ἡμέραν λαμπρὰν γενέσθαι καλέσας Μάρκον Ὁράτιον τὸν περιλειφθέντα ἐκ τῶν τριδύμων, καὶ δοὺς αὐτῷ τῶν ἱππέων καὶ τῶν πεζῶν τοὺς ἀκμαιοτάτους, ἐκέλευσεν ἐπὶ τὴν Ἀλβανῶν πόλιν ἄγειν· παρελθόντα δ' ἐντὸς τείχους ὡς φίλον ὄντα, ὅταν ὑποχειρίους λάβῃ τοὺς ἔνδον, καθελεῖν τὴν πόλιν ἄχρι θεμελίων, μηδενὸς μήτε ἰδίου, μήτε κοινοῦ κατασκευάσματος φειδόμενον, ἔξω τῶν ἱερῶν· ἀνθρώπων δὲ μηδένα μήτε κτείνειν, μήτε ἀδικεῖν, ἀλλὰ πάντας ἐᾷν ἔχειν τὰ ἑαυτῶν. ἐκπέμψας δὲ τοῦτον ἐκάλει τοὺς ταξιάρχους καὶ τοὺς λοχαγοὺς, καὶ τὰ δόξαντα τῇ βουλῇ διασαφήσας, φυλακὴν ἐκ τούτων καθίςαται περὶ τὸ σῶμα· καὶ μετ' οὐ πολὺ παρῆν ὁ Ἀλβανὸς, ὡς ἐπὶ νικήματι κοινῷ γεγηθὼς καὶ τῷ Τύλλῳ συνηδόμενος. ὁ δὲ Τύλλος, ἀπόῤῥητον τὴν γνώμην ἔτι φυλάσσων, ἐπῄνει τε αὐτὸν, καὶ μεγάλων ἄξιον ἀπέφαινε δωρεῶν, παρεκάλει τε γράψαντα καὶ τῶν Ἀλβανῶν ὀνόματα τῶν ἐπιφανές τι κατὰ τὴν μάχην διαπραξαμένων, φέρειν ὡς αὐτὸν, ἵνα κἀκεῖνοι τὴν ἐκ τῶν ἐπινικίων ἀπενέγκωνται μοῖραν. ὁ μὲν δὴ περιχαρὴς γενόμενος, τοὺς πιςοτάτους τῶν φίλων αὐτοῦ, οἷς ἐχρήσατο τῶν ἀποῤῥήτων βουλευμάτων συνεργοῖς, γράψας εἰς δέλτον ἐπιδίδωσιν. ὁ δὲ τῶν Ῥωμαίων βασιλεὺς εἰς ἐκκλησίαν ἅπαντας ἀποθεμένους τὰ ὅπλα ἐκάλει· συνιόντων δ' αὐτῶν, τὸν μὲν ἡγεμόνα τῶν Ἀλβανῶν ἅμα τοῖς ταξιάρχοις τε καὶ λοχαγοῖς παρ' αὐτὸ τὸ βῆμα ἐκέλευσεν ἑςάναι, ἐχομένους δὲ τούτων τοὺς ἄλλους Ἀλβανοὺς ταχθέντας ἐκκλησιάζειν· μετὰ δὲ τοὺς Ἀλβανοὺς, τὸ λοιπὸν τῶν συμμάχων πλῆθος· ἔξωθεν δὲ τούτων πάντων περιέςησε Ῥωμαίους, ἐν οἷς ἦσαν οἱ γενναιότατοι ξίφη κρύπτοντες ὑπὸ ταῖς περιβολαῖς. ὡς δ' ἐν καλῷ τοὺς ἐχθροὺς ἔχειν ὑπέλαβεν,

cap. 29. ἀνας ὰς ἔλεξε τοιάδε. "Ἴςε δὴ, ἄνδρες Ἀλβανοὶ, ταῦτα "δε-

Digitized by Google

"δεδογμένα Ῥωμαίοις τῇ παρελθούσῃ νυκτὶ συναγαγόντος
"ἐμοῦ τὴν βουλὴν, καὶ τὰ δόξαντα τοῖς συνέδροις γραψα-
"μένου, τὴν μὲν πόλιν ὑμῶν καθαιρεθῆναι, καὶ μήτε δη-
"μοσίων μήτε ἰδιωτικῶν κατασκευασμάτων ὀρθόν τι ἐᾶσαι
"διαμένειν μηδὲν ἔξω τῶν ἱερῶν· τοὺς δ' ἐν αὐτῇ πάν-
"τας ἔχοντας οὓς καὶ νῦν ἔχουσι κλήρους, ἀνδραπόδων τε
"καὶ βοσκημάτων καὶ τῶν ἄλλων χρημάτων μηδὲν ἀφαι-
"ρεθέντας, ἐν Ῥώμῃ τὸν ἀπὸ τοῦδε χρόνον οἰκεῖν· ὅσην
"τε τὸ κοινὸν ὑμῶν ἐκέκτητο γῆν, τοῖς μηδένα κλῆρον
"ἔχουσιν Ἀλβανῶν διαμεριθῆναι, χωρὶς τῶν ἱερῶν κτη-
"μάτων, ἐξ ὧν αἱ θυσίαι τοῖς θεοῖς ἐγίνοντο. οἰκιῶν
"δὲ κατασκευῆς, ἐν αἷς τοὺς βίους ἱδρύσεθε οἱ μετανιστά-
"μενοι, καθ' οὓς ἔσονται τῆς πόλεως τόπους, ἐμὲ ποιήσα-
"σθαι πρόνοιαν, συλλαμβάνοντα τοῖς ἀπορωτάτοις ὑμῶν
"τῆς εἰς τὰ ἔργα δαπάνης. καὶ τὸ μὲν ἄλλο πλῆθος
"ὑμῶν μετὰ τῶν παρ' ἡμῖν δημοτικῶν συντελεῖν εἰς Φυ-
"λὰς καὶ Φράτρας καταμεριθὲν, βουλῆς δὲ μετέχειν καὶ
"ἀρχὰς λαμβάνειν καὶ τοῖς Πατρικίοις προσνεμηθῆναι τούσ-
"δε τοὺς οἴκους, Ἰουλίους, Σερουΐλιους, Γεγανίους, Μετιλίους,
"Κορατίους, Κοϊντιλίους, Κλοιλίους· Μέτιον δὲ καὶ τοὺς σὺν
"τούτῳ βουλεύσαντας τὴν προδοσίαν, δίκας ὑποσχεῖν, ἃς
"ἡμεῖς τάξομεν δικασταὶ περὶ ἑκάστου τῶν ὑπαιτίων καθε-
"ζόμενοι· οὐδένα γὰρ ἀποστερήσομεν κρίσεως οὐδὲ λόγου."

Τὸν δὲ Φουφέτιον ἀγανακτοῦντα ἔτι καὶ κεκραγότα μόνον, (cap. 30.)
τάς τε συνθήκας ἀνακαλούμενον, ἃς αὐτὸς ἐξηλέγχθη πα-
ρασπονδῶν, καὶ οὐδ' ἐν κακοῖς τοῦ θράσους ὑφιέμενον, οἱ
ῥαβδοῦχοι, κελεύοντος τοῦ βασιλέως Τύλλου, συλλαβόντες,
καὶ τὴν ἐσθῆτα περικαταῤῥήξαντες, ἔξαινον τὸ σῶμα μά-
στιξι πάνυ πολλαῖς. ἐπεὶ δὲ ταύτης ἅλις εἶχε τῆς τιμω-
ρίας, προσελάσαντες δύο συνωρίδας, τῇ μὲν ἑτέρᾳ προσ-
ῆπτον τοὺς βραχίονας αὐτοῦ, τῇ δ' ἑτέρᾳ τοὺς πόδας ῥυτῆρ-
σι μακροῖς· ἐλαυνόντων δὲ τῶν ἡνιόχων τὰς συνωρίδας ἀπ'
ἀλλήλων, ξαινόμενός τε περὶ τῇ γῇ καὶ ἀνθελκόμενος ὑφ'
ἑκατέρας ἐπὶ τἀναντία, ὁ δείλαιος ἐν ὀλίγῳ διασπᾶται
χρόνῳ. Μέτιος μὲν δὴ Φουφέτιος οὕτως οἰκτρᾶς καὶ ἀσχή-
μονος τελευτῆς ἔτυχε. τοῖς δ' ἑταίροις αὐτοῦ καὶ συνει-
δόσι τὴν προδοσίαν αὐτοῦ δικαστήρια ὁ βασιλεὺς καθίσας,

Digitized by Google

τὰς ἁλόντας ἐξ αὐτῶν κατὰ τὸν τῶν λειποτάκτων τε καὶ προδοτῶν νόμον ἀπέκτεινεν.

cap. 31. Ἐν ᾧ δὲ ταῦτα ἐγένετο χρόνῳ, Μάρκος Ὁράτιος ὁ προαπεσαλμένος μετὰ τῶν ἐπιλέκτων ἐπὶ τὴν καθαίρεσιν τῆς Ἄλβας, ταχέως διανύσας τὴν ὁδὸν, καὶ καταλαβὼν πύλας τε ἀκλείσους καὶ τεῖχος ἀφύλακτον, εὐπετῶς γίνεται τῆς πόλεως κύριος. συναγαγὼν δὲ τὸ πλῆθος εἰς ἐκκλησίαν, τά τε πραχθέντα κατὰ τὴν μάχην ἅπαντα ἐδήλωσεν αὐτοῖς, καὶ τὸ ψήφισμα τῆς Ῥωμαίων βουλῆς διεξῆλθεν. ἀντιβολούντων δὲ τῶν ἀνθρώπων καὶ χρόνον εἰς πρεσβείαν αἰτουμένων, οὐδεμίαν ἀναβολὴν ποιησάμενος, τὰς μὲν οἰκίας καὶ τὰ τείχη, καὶ εἴ τι ἄλλο κατασκεύασμα ἰδιωτικὸν ἢ δημόσιον ἦν, κατέσκαψε, τοὺς δὲ ἀνθρώπους μετὰ πολλῆς φροντίδος παρέπεμπεν εἰς Ῥώμην, ἄγοντάς τε τὰ ἑαυτῶν χρήματα καὶ φέροντας· οὓς ὁ Τύλλος ἀφικόμενος ἀπὸ τοῦ στρατοπέδου, ταῖς Ῥωμαίων φυλαῖς καὶ φρατριαῖς ἐπιδιεῖλεν, οἰκήσεις τε συγκατεσκεύασεν ἐν οἷς αὐτοὶ προῃροῦντο τῆς πόλεως τόποις, καὶ τῆς δημοσίας γῆς τὴν ἀρκοῦσαν τοῖς θητεύουσιν ἐξ αὐτῶν ἀπεμέριζε, ταῖς τε ἄλλαις φιλανθρωπίαις ἀνελάμβανε τὸ πλῆθος. ἡ μὲν δὴ τῶν Ἀλβανῶν πόλις, ἣν ἔκτισεν Ἀσκάνιος ὁ ἐξ Αἰνείου τοῦ Ἀγχίσου καὶ Κρεούσης τῆς Πριάμου θυγατρὸς, ἔτη διαμείνασα μετὰ τὸν οἰκισμὸν πεντακόσια τριῶν ἐπὶ τοῖς δέκα δέοντα, ἐν οἷς πολλὴν ἔσχεν ἐπίδοσιν εἰς εὐανδρίαν τε καὶ πλοῦτον καὶ τὴν ἄλλην ἅπασαν εὐδαιμονίαν, ἡ τὰς τριάκοντα Λατίνων ἀποικίσασα πόλεις, καὶ πάντα τὸν χρόνον ἡγησαμένη τοῦ ἔθνους, ὑπὸ τῆς ἐσχάτης ἀποικίσεως καθαιρεθεῖσα, ἔρημος εἰς τόδε χρόνου διαμένει. βασιλεὺς δὲ Τύλλος τὸν ἐπιόντα χειμῶνα διαλιπὼν, ἔαρος ἀρχομένου στρατὸν ἐπὶ Φιδηναίους πάλιν ἐξάγει. τοῖς δὲ Φιδηναίοις κοινῇ μὲν οὐδ' ἡτισοῦν βοήθεια ἐξ οὐδεμιᾶς τῶν πόλεων τῶν συμμάχων ἀφίκετο, μισθοφόροι δέ τινες ἐκ πολλῶν συνεῤῥύησαν τόπων, οἷς πιστεύσαντες ἐκ τῆς πόλεως προελθεῖν ἐτόλμησαν. παραταξάμενοι δὲ, καὶ πολλοὺς ἀποκτείναντες ἐν τῇ μάχῃ, κατεκλείσθησαν πάλιν εἰς τὸ ἄστυ. ὡς δὲ περιχαρακώσας αὐτῶν τὴν πόλιν ὁ Τύλλος, καὶ περιταφρεύσας εἰς τὴν ἐσχάτην κατέκλεισε τοὺς ἔνδον ἀπορίαν, ἠναγκάσθησαν τῷ βασιλεῖ παραδοῦναι σφᾶς αὐτοὺς, ἐφ' οἷς αὐτὸς ἐβούλετο.

γενό-

Digitized by Google

γενόμενος δὲ τȣ̃τον τὸν τρόπον ὁ βασιλεὺς τῆς πόλεως κύριος, τȣ̀ς αἰτίȣς τῆς ἀποςάσεως ἀποκτείνας, τȣ̀ς δὲ λοιπȣ̀ς ἅπαντας ἀπολύσας, καὶ τὰ σφέτερα πάντα καρπȣ̃σθαι τὸν αὐτὸν ἐάσας τρόπον, τήν τε πολιτείαν, ἣν εἶχον πρότερον, ἀποδȣ̀ς αὐτοῖς, διέλυσε τὴν ςρατιάν· καὶ παραγενόμενος εἰς τὴν Ῥώμην, τὴν τροπαιοφόρον ἀπεδίδȣ τοῖς θεοῖς πομπήν τε καὶ θυσίαν, δεύτερον ἐκεῖνον κατάγων θρίαμβον.

Μετὰ δὲ τȣ̃τον τὸν πόλεμον, ἕτερος ἀνέςη Ῥωμαίοις ἐκ τȣ̃ Σαβίνȣ ἔθνȣς· ἀρχὴ δὲ αὐτȣ̃ καὶ πρόφασις ἐγίνετο τοιάδε. ἱερόν ἐςι κοινῇ τιμώμενον ὑπὸ Σαβίνων τε Λατίνων, ἅγιον ἐν τοῖς πάνυ, θεᾶς Φερωνείας ὀνομαζομένης, ἣν οἱ μεταφράζοντες εἰς τὴν Ἑλλάδα γλῶσσαν οἱ μὲν Ἀνθηφόρον, οἱ δὲ Φιλοςέφανον, οἱ δὲ Φερσεφόνην καλȣ̃σιν· εἰς δὲ τὸ ἱερὸν τȣ̃το συνῄεσαν ἐκ τῶν περιοίκων πόλεων κατὰ τὰς ἀποδεδειγμένας ἑορτὰς, πολλοὶ μὲν εὐχὰς ἀποδιδόντες καὶ θυσίας τῇ θεῷ, πολλοὶ δὲ χρηματιȣ́μενοι διὰ τὴν πανήγυριν ἔμποροί τε καὶ χειροτέχναι καὶ γεωργοί, ἀγοραί τε αὐτόθι λαμπρόταται τῶν ἐν ἄλλοις τισὶ τόποις τῆς Ἰταλίας ἀγομένων ἐγίνοντο. εἰς ταύτην δὲ τὴν πανήγυριν ἐλθόντας ποτὲ Ῥωμαίων ἄνδρας ἐκ ἀφανεῖς Σαβῖνοί τινες ἄνδρες συναρπάσαντες ἔδησαν, καὶ τὰ χρήματα ἀφείλοντο. πρεσβείας τε ἀφικομένης περὶ αὐτῶν, ȣ̓δὲν ἐβȣ́λοντο τῶν δικαίων ποιεῖν, ἀλλὰ καὶ τὰ σώματα καὶ τὰ χρήματα τῶν συλληφθέντων κατεῖχον, ἐγκαλȣ̃ντες καὶ αὐτοὶ Ῥωμαίοις, ὅτι τȣ̀ς Σαβίνων φυγάδας ὑπεδέχοντο κατασκευάσαντες ἄσυλον ἱερὸν, ὑπὲρ ȣ̃ ἐν τῷ προτέρῳ λόγῳ δεδήλωταί μοι. ἐκ τȣ́των δὲ τῶν ἐγκλημάτων εἰς πόλεμον καταςάντες, ἐξῄεσαν εἰς ὕπαιθρον δυνάμεσι πολλαῖς, γίνεταί τε αὐτῶν ἐκ παρατάξεως ἀγών· διέμενον γὰρ ἀγχωμάλως ἀγωνιζόμενοι· καὶ διελύθησαν ὑπὸ τῆς νυκτὸς, ἀμφίλογον καταλιπόντες τὸ νίκημα. ταῖς δ' ἑξῆς ἡμέραις μαθόντες ἀμφότεροι τῶν τε ἀπολωλότων καὶ τῶν τραυματιῶν τὸ πλῆθος, ȣ̓κ ἔτι πεῖραν ἐβȣ́λοντο ἑτέρȣ λαβεῖν ἀγῶνος, ἀλλ' ἐκλιπόντες τȣ̀ς χάρακας ἀπῄεσαν· καὶ διαλιπόντες τὸν ἐνιαυτὸν ἐκεῖνον, πάλιν ἐξῄεσαν ἐπ' ἀλλήλȣς, μείζονας παρασκευασάμενοι δυνάμεις· γίνεταί τε αὐτῶν περὶ πόλιν Ἠρητὸν ἀπὸ ςαδίων

cap. 32. Bellum Sabinum II.

δίων ἑπτὰ καὶ ἑκατὸν τῆς Ῥώμης ἀγὼν, ἐν ᾧ πολλὰς μὲν ἀμφοτέρων συνέβη πεσεῖν· ἰσοῤῥόπȣ δὲ κἀκείνης τῆς μάχης ἐπὶ πολὺν χρόνον διαμενέσης, ἀνατείνας εἰς τὸν ȣρανὸν τὰς χεῖρας ὁ Τύλλος ἔυξατο τοῖς θεοῖς, ἐὰν νικήσῃ τῇ τόδ' ἡμέρᾳ Σαβίνȣς, Κρόνȣ τε καὶ Ῥέας κατασήσεσθαι δημοτελεῖς ἑορτὰς, ἃς ἄγȣσι Ῥωμαῖοι καθ' ἕκασον ἐνιαυτὸν, ὅταν ἅπαντας ἐκ γῆς συγκομίσωσι τὰς καρπὰς· καὶ τὸν τῶν Σαλίων καλȣμένων διπλασιάσειν ἀριθμόν. ȣ͂τοι δ' εἰσὶ πατέρων εὐγενῶν, ἐνοπλίȣς ὀρχήσεις κινȣ́μενοι πρὸς αὐλὸν ἐν τοῖς καθήκȣσι χρόνοις, καὶ ὕμνȣς τινὰς ᾄδοντες πατρίȣς, ὡς ἐν τῷ προτέρῳ δεδήλωκα λόγῳ. μετὰ δὲ τὴν εὐχὴν ταύτην θάρσος τι καταλαμβάνει τὰς Ῥωμαίȣς, καὶ ὥσπερ ἀκμῆτες εἰς κάμνοντας ὠσάμενοι, διασπῶσι τὰς τάξεις αὐτῶν περὶ δείλην ὀψίαν ἤδη, καὶ ἀναγκάζȣσι τὰς πρωτοσάτας ἄρξαι φυγῆς· ἀκολȣθήσαντές τε αὐτοῖς φεύγȣσιν ἐπὶ τὸν χάρακα, καὶ περὶ τὰς τάφρȣς πολλῷ πλείȣς καταλαβόντες, ȣ̓δ' ȣ͂τως ἀπετρέποντο, ἀλλὰ παραμείναντες τὴν ἐπιȣ͂σαν νύκτα, καὶ τὰς ἀπὸ τȣ͂ ἐρύματος μαχομένȣς ἀνείρξαντες, ἐκράτησαν τῆς παρεμβολῆς. μετὰ δὲ τȣ͂το τὸ ἔργον, ὅσην ἐβȣ́λοντο γῆν τῶν Σαβίνων λεηλατήσαντες, ὡς ȣ̓δεὶς αὐτοῖς ȣ̓κ ἔτι περὶ τῆς χώρας ὁ μαχόμενος ἦν, ἀπῄεσαν ἐπ' οἴκȣ. ἀπὸ ταύτης τῆς μάχης τὸν τρίτον κατήγαγε θρίαμβον ὁ βασιλεὺς· καὶ μετ' ȣ̓ πολὺ πρεσβευσαμένοις τοῖς Σαβίνοις καταλύεται τὸν πόλεμον, αἰχμαλώτȣς τε παρ' αὐτῶν κομισάμενος, ȣ̔̀ς ἐτύγχανον εἰληφότες ἐν ταῖς προνομαῖς, καὶ αὐτομόλȣς· βοσκημάτων τε καὶ ὑποζυγίων, καὶ τῶν ἄλλων χρημάτων ὅσα τὰς γεωργὰς ἀφείλοντο, ἣν ἔταξεν ἡ βȣλὴ τῶν Ῥωμαίων ζημίαν, τιμησαμένη τὰς βλάβας πρὸς ἀργύριον, ἀναπράξας.

cap. 33. Ἐπὶ τȣ́τοις καταλυσάμενοι τὸν πόλεμον οἱ Σαβῖνοι, καὶ τῶν ὁμολογιῶν σήλας ἀντιγράφȣς θέντες ἐν τοῖς ἱεροῖς, ἐπειδὴ συνέση Ῥωμαίοις πρὸς τὰς Λατίνων πόλεις κοινῇ συνηῤῥαγμένος πόλεμος, ȣ̓ ῥᾴδιος ἐν ὀλίγῳ καθαιρεθῆναι χρόνῳ· δι' ἃς δὲ αἰτίας, ὀλίγῳ ὕσερον ἐρῶ· δεξάμενοι τὸ συμβὰν ἀγαπητῶς, ὅρκων μὲν ἐκείνων καὶ συνθηκῶν, ὥσπερ ȣ̓δὲ γεγενημένων, ἐπελάθοντο· καιρὸν δὲ νομίσαντες ἐπιτήδειον, ὧν χρημάτων ἐξέτισαν Ῥωμαίοις, πολ-

πολλαπλάσια παρ' αὐτῶν ἀπολαβεῖν, ὀλίγοι μὲν τὸ πρῶτον καὶ ἀφανῶς ἐξιόντες ἐληΐζοντο τὴν ὅμορον· ἔπειτα δὲ πολλοὶ συνιόντες, καὶ ἐκ τῦ φανερῦ, ἐπεὶ τὰ πρῶτα κατὰ γνώμην αὐτοῖς ἐχώρει, μηδεμιᾶς ἐπὶ τὴν φυλακὴν τῶν γεωργῶν ἀφικομένης βοηθείας, καταφρονήσαντες τῶν πολεμίων, ἐπ' αὐτὴν διενοῦντο τὴν Ῥώμην ἐλαύνειν, καὶ συνῆγον ἐξ ἁπάσης πόλεως ϛρατόν. διελέγοντο δὲ καὶ ταῖς Λατίνων πόλεσι συμμαχίας. ὐ μὴ ἐξεγένετό γε αὐτοῖς, φιλίαν τε καὶ ὁμαιχμίαν ποιήσαϑαι πρὸς τὸ ἔϑνος. μαϑὼν γὰρ τὴν διάνοιαν αὐτῶν ὁ Τύλλος, ἀνοχὰς μετὰ τῶν Λατίνων ποιησάμενος, ἐπὶ τὔτυς ἔγνω ϛρατὸν ἐξάγειν· τήν τε Ῥωμαίων ἅπασαν δύναμιν καϑοπλίσας διπλασίαν ὖσαν ἤδη τῆς πρότερον, ἐξ ὖ τὴν Ἀλβανῶν πόλιν προσέλαβε, καὶ ἀπὸ τῶν ἄλλων συμμάχων ὅσον ἐπικυρικὸν πλεῖϛον ἐδύνατο μεταπεμψάμενος. συνῆκτο δὲ καὶ τοῖς Σαβίνοις ἤδη τὰ ϛρατεύματα· καὶ ἐπειδὴ πλησίον ἐγένοντο περὶ τὴν καλυμένην ὕλην κακὔργων, ὀλίγον τὸ μεταξὺ χωρίον ἀφέντες κατεϛρατοπεδεύσαντο. τῇ δ' ἑξῆς ἡμέρᾳ συμπεσόντες ἐμάχοντο, καὶ ἦσαν ἰσόῤῥοποι μέχρι πολλῦ. ἤδη δὲ περὶ δείλην ὀψίαν ἐγκλίνυσιν οἱ Σαβῖνοι, βιαϑέντες ὑπὸ τῦ Ῥωμαίων ἱππικῦ, καὶ πολὺς αὐτῶν γίνεται φόνος ἐν τῇ φυγῇ. Ῥωμαῖοι δὲ νεκρύς τε τῶν πολεμίων σκυλεύσαντες, καὶ χρήματα, ὅσα ἦν ἐν τῷ χάρακι, διαρπάσαντες, τῆς τε χώρας τὴν κρατίϛην λεηλατήσαντες, ἀπῆεσαν ἐπ' οἴκυ. τῦτο τὸ τέλος ἔλαβεν ὁ συμβὰς Ῥωμαίοις πρὸς Σαβίνυς πόλεμος ἐπὶ τῆς Τύλλυ ἀρχῆς.

Αἱ δὲ τῶν Λατίνων πόλεις Ῥωμαίοις ἐγένοντο τότε πρῶτον διάφοροι, ὐκ ἀξιῦσαι κατεσκαμμένης τῆς Ἀλβανῶν πόλεως τοῖς ἀνῃρηκόσιν αὐτὴν Ῥωμαίοις τὴν ἡγεμονίαν παραδῦναι. ἐτῶν γὰρ διαγενομένων πεντεκαίδεκα μετὰ τὸν ἀφανισμὸν τῆς Ἄλβας, πρέσβεις ἀποϛείλας ὁ τῶν Ῥωμαίων βασιλεὺς εἰς τὰς ἀποίκυς τε καὶ ὑπηκόυς αὐτῆς τριάκοντα πόλεις, ἠξίυ πείϑεϑαι τοῖς ὑπὸ Ῥωμαίων ἐπιταττομένοις, ὡς παρειληφότων αὐτῶν ἅμα τοῖς ἄλλοις, οἷς εἶχον Ἀλβανοὶ, καὶ τὴν ἡγεμονίαν τῦ Λατίνων ἔϑνυς· δύο μὲν ἀποφαίνων τρόπυς κτήσεων, καϑ' ὓς ἄνϑρωποι γίνονται τῶν ἀλλοτρίων κύριοι, τόν τε ἀναγκαῖον καὶ τὸν ἑκύσιον· Ῥωμαίυς δὲ λέγων καϑ' ἑκάτερον τῶν τρόπων παρειληφέναι cap. 34.

τὴν ἡγεμονίαν, ὧν εἶχον Ἀλβανοὶ πόλεων. πολεμίων τε γὰρ αὐτῶν σφίσι γενομένων τοῖς ὅπλοις κεκρατηκέναι, καὶ τὴν πόλιν τὴν ἑαυτῶν ἀπολωλεκόσι τῆς ἰδίας αὐτοῖς μεταδεδωκέναι· ὥστε καὶ ἄκουσιν Ἀλβανοῖς καὶ ἑκοῦσι προσήκειν, ἐξεστάναι Ῥωμαίοις τῆς τῶν ὑπηκόων ἀρχῆς. αἱ δὲ τῶν Λατίνων πόλεις ἰδίᾳ μὲν οὐδὲν ἀπεκρίναντο πρὸς τοὺς πρέσβεις, κοινῇ δὲ τοῦ ἔθνους ἀγορὰν ἐν Φερεντίνῳ ποιησάμενοι, ψηφίζονται μὴ παραχωρεῖν Ῥωμαίοις τῆς ἀρχῆς. καὶ αὐτίκα αἱροῦνται δύο στρατηγοὺς αὐτοκράτορας εἰρήνης τε καὶ πολέμου, Ἄγκον Πουπλίκιον, ἐκ πόλεως Κόρας, καὶ Σπούσιον Οὐεκίλιον ἐκ Λαουϊνίου. διὰ ταύτας μὲν δὴ τὰς αἰτίας συνέστη Ῥωμαίοις ὁ πρὸς τοὺς ὁμοεθνεῖς πόλεμος, προῦβη δὲ ἄχρι πενταετοῦς χρόνου, πολιτικός τις γενόμενος καὶ ἀρχαϊκός. οὔτε γὰρ ἐκ παρατάξεως ὅλοις τοῖς στρατεύμασι πρὸς ὅλα συμβαλοῦσι μεγάλη συμφορὰ καὶ φόνος ὁλοσχερὴς συνέβη, οὔτε πόλις αὐτῶν οὐδεμία πολέμῳ κρατηθεῖσα, κατασκαφῆς, ἢ ἀνδραποδισμοῦ, ἢ ἄλλης τινὸς ἀνηκέστου συμφορᾶς ἐπειράθη· ἀλλ' ἐμβαλόντες εἰς τὴν ἀλλήλων γῆν ὑπὸ τὴν ἀκμὴν τοῦ σίτου, καὶ προνομεύσαντες, ἀπῆγον ἐπ' οἴκων τὰς δυνάμεις, διαμειβόμενοι τοὺς αἰχμαλώτους. μίαν δὲ πόλιν ἐκ τοῦ Λατίνων ἔθνους Μεδύλλειαν, παλαίτερον ἔτι Ῥωμαίων ἀποικίαν γενομένην ἐπὶ τῆς Ῥωμύλου ἀρχῆς, ὡς ἐν τῷ πρὸ τούτου δεδήλωται λόγῳ, μεταθεμένην αὖθις ὡς τοὺς ὁμοεθνεῖς, πολιορκίᾳ παραστησάμενος ὁ τῶν Ῥωμαίων βασιλεὺς, ἔπεισε μηδὲν ἔτι νεωτερίζειν· ἄλλο δὲ οὐδὲν, ὧν οἱ πόλεμοι φέρουσι δεινῶν, οὐδ' ἑτέροις ἐν τῷ τότε συνέβη χρόνῳ. τοιγάρτοι ῥᾴδιαί τε καὶ οὐδὲν ἔγκοτον ἔχουσαι προθυμίᾳ τῶν Ῥωμαίων αἱ διαλύσεις ἐπετελέσθησαν.

cap. 35. Tullii obitus.

Ταῦτα διαπραξάμενος ἐπὶ τῆς ἰδίας ἀρχῆς ὁ βασιλεὺς Τύλλος Ὁστίλλιος, ἀνὴρ ἐν ὀλίγοις ἄξιος εὐλογεῖσθαι τῆς τε εὐτολμίας ἕνεκα τῆς πρὸς τὰ πολέμια, καὶ τῆς φρονήσεως τῆς περὶ τὰ δεινά· ὑπὲρ ἄμφω δὲ ταῦτα, ὅτι οὐ ταχὺς ὢν εἰς πόλεμον ἰέναι, βέβαιος ἦν, καταστὰς εἰς αὐτὸν, ἐν ἅπασι τῶν ἀντιπάλων προέχειν. ἔτη δὲ κατασχὼν τὴν ἀρχὴν δύο καὶ τριάκοντα, τελευτᾷ τὸν βίον, ἐμπρησθείσης τῆς οἰκίας· καὶ σὺν αὐτῷ γυνή τε ἀπόλλυται, καὶ τέκνα, καὶ ὁ ἄλλος οἰκετικὸς ἅπας ὄχλος, καταληφθεὶς ὑπὸ τοῦ πυρός. Μετὰ

Μετὰ δὲ τὴν Ὀσιλλίε Τύλλε τελευτὴν, ἡ μεσοβασίλειος ὑπὸ τῆς βελῆς ἀποδειχθεῖσα ἀρχὴ, κατὰ πατρίες ἐθισμὲς, αἱρεῖται βασιλέα τῆς πόλεως Μάρκιον ἐπίκλησιν Ἄγκον· ἐπικυρώσαντος δὲ τε δήμε τὰ δόξαντα τῇ βελῇ, καὶ τῶν ἐκ τε θεε καλῶν γενομένων, συντελέσας τὰ κατὰ νόμον ἅπαντα, παραλαμβάνει τὴν ἀρχὴν ὁ Μάρκιος, ἐνιαυτῷ δευτέρῳ τῆς τριακοςῆς καὶ πέμπτης ὀλυμπιάδος, ἣν ἐνίκα Σφαῖρος ὁ Λακεδαιμόνιος, καθ' ὃν χρόνον Ἀθήνησι τὴν ἐνιαύσιον ἀρχὴν εἶχε Δαμασίας. ἕτος ὁ βασιλεὺς πολλὰς τῶν ἱερεργιῶν ἀμελεμένας καταμαθὼν, ἃς ὁ μητροπάτωρ αὐτε Πομπίλιος Νομᾶς κατεςήσατο, πολεμικές τε καὶ πλεονέκτας τὲς πλείες τῶν Ῥωμαίων γεγονότας ὁρῶν, καὶ ἐκ ἔτι ὡς πρότερον τὴν γῆν ἐργαζομένες, συναγαγὼν εἰς ἐκκλησίαν τὸ πλῆθος, τά τε θεῖα σέβειν αὐτὲς ἠξίε πάλιν, ὥσπερ ἐπὶ Νομᾶ διετέλεν σέβοντες, διεξιὼν, ὅτι παρὰ τὴν τῶν θεῶν ὀλιγωρίαν νόσοι τε καὶ λοιμοὶ καὶ βλάβαι πολλαὶ κατέσκηψαν εἰς τὴν πόλιν, ὑφ' ὧν ἐφθάρη μοῖρα τε πλήθες ἐκ ὀλίγη· καὶ βασιλεὺς Ὀσίλλιος, ὁ μὴ ποιέμενος αὐτῶν φυλακὴν ἣν ἔδει, κάμνων ἐπὶ πολλὲς χρόνες τὸ σῶμα πάθεσι παντοδαποῖς, καὶ ἐδὲ τῆς γνώμης ἔτι τῆς αὐτε καρτερὸς διαμένων, ἀλλὰ συνδιαφθαρεὶς τῷ σώματι τὰς φρένας, οἰκτρᾶς καταςροφῆς ἔτυχεν αὐτός τε καὶ γένος τὸ ἐξ αὐτε· πολιτείας τε ἀγωγὴν τὴν ὑπὸ Νομᾶ καταςαθεῖσαν Ῥωμαίοις ἐπαινῶν ὡς καλὴν καὶ σώφρονα, ἀπὸ τῶν δικαιοτάτων ἔργων τὰς καθ' ἡμέραν ἑκάςῳ παρέχεσαν εὐπορίας, ἀνανεώσαθαι πάλιν αὐτὴν παρεκάλει, γεωργίαις τε καὶ κτηνοτροφίαις, καὶ ταῖς ἄλλαις ἐργασίαις, ὅσαις μηδὲν ἀδίκημα προσῆν ἁρπαγῆς τε καὶ βίας, καὶ τῶν ἐκ τε πολέμε γινομένων ὠφελειῶν ὑπεριδεῖν. ταῦτα καὶ τὰ τέτοις ὅμοια διαλεγόμενος, καὶ εἰς πολλὴν ἐπιθυμίαν καθισὰς ἅπαντας ἡσυχίας ἀπολέμε καὶ φιλεργίας σώφρονος, καὶ μετὰ τἔτο συγκαλέσας τὲς ἱεροφάντας, καὶ τὰς περὶ τῶν ἱερῶν συγγραφὰς, ἃς Πομπίλιος συνεςήσατο, παρ' αὐτῶν λαβὼν, ἀνέγραψεν εἰς δέλτες, καὶ προὔθηκεν ἐν ἀγορᾷ πᾶσι τοῖς βελομένοις σκοπεῖν, ἃς ἀφανισθῆναι συνέβη τῷ χρόνῳ· χάλκεαι γὰρ ςῆλαι ἔπω τότε ἦσαν, ἀλλ' ἐν δρυΐναις ἐχαράττοντο σανίσιν οἵ τε νόμοι καὶ αἱ περὶ τῶν ἱερῶν διαγραφαί· μετὰ δὲ τὴν ἐκβε-

cap. 36. Ancus Marcius, 640–616. ante Chr. A.U. 113–138.

Religionis & agriculturæ studium instaurat.

ἐκβολὴν τῶν βασιλέων εἰς ἀναστροφὴν δημοσίαν αὖθις ἤχθησαν ὑπ' ἀνδρὸς ἱεροφάντου Γαΐου Παπιρίου, τὴν ἁπάντων τῶν ἱερῶν ἡγεμονίαν ἔχοντος. ἀνακτησάμενος δὲ τὰ κατεῤῥαθυμημένα τῶν ἱερῶν, καὶ τὸν ἀργὸν ὄχλον ἐπὶ τὰς ἰδίας ἐργασίας ἀποστείλας, ἐπῄνει μὲν τοὺς ἐπιμελεῖς γεωργοὺς, ἐμέμφετο δὲ τοὺς κακῶς προϊσταμένους τῶν ἰδίων κτημάτων, ὡς οὐ βεβαίους πολίτας.

cap. 37. Bellum gerit cum Latinis.

Ταῦτα καθιστάμενος τὰ πολιτεύματα, καὶ διὰ παντὸς μάλιστα ἐλπίσας, ἄνευ πολέμου καὶ κακῶν ἅπαντα τὸν βίον διατελέσειν, ὥσπερ ὁ μητροπάτωρ, οὐκ ἔσχεν ὁμοίαν τῇ προαιρέσει τὴν τύχην, ἀλλὰ παρὰ τὴν ἑαυτοῦ γνώμην πολεμιστὴς ἠναγκάσθη γενέσθαι, καὶ μηδένα χρόνον ἄνευ κινδύνου καὶ ταραχῆς βιῶσαι. εὐθὺς γὰρ ἅμα τῷ παρελθεῖν αὐτὸν ἐπὶ τὴν ἡγεμονίαν, καὶ τὴν ἀπράγμονα καθίστασθαι πολιτείαν, καταφρονήσαντες αὐτοῦ Λατῖνοι, καὶ νομίσαντες δι' ἀνανδρίαν οὐχ ἱκανὸν εἶναι πολέμου στρατηγεῖν, λῃστήρια διέπεμπον εἰς τὴν ὁμοροῦσαν αὐτοῖς ἕκαστοι χώραν, ὑφ' ὧν πολλοὶ Ῥωμαίων ἐβλάπτοντο. ἀφικομένων δὲ παρὰ τοῦ βασιλέως πρεσβευτῶν, καὶ τὰ δίκαια Ῥωμαίοις ἀξιούντων ὑπέχειν, κατὰ τὰς συνθήκας, οὔτε γινώσκειν ἐσκήπτοντο τῶν περὶ τὰ λῃστήρια κατηγορουμένων οὐδὲν, ὡς οὐ μετὰ κοινῆς γνώμης γεγονότων. οὔτε ὑπόδικοι Ῥωμαίοις περὶ οὐδενὸς πράγματος· οὐδὲ γὰρ πρὸς ἐκείνους ποιήσασθαι τὰς συνθήκας, ἀλλὰ πρὸς Τύλλον· τελευτήσαντος δὲ τοῦ Τύλλου λελύσθαι σφίσι τὰς περὶ τῆς εἰρήνης ὁμολογίας. ἀναγκασθεὶς δὴ διὰ ταύτας τὰς αἰτίας καὶ ἀποκρίσεις τῶν Λατίνων ὁ Μάρκιος ἐξάγει στρατιὰν ἐπ' αὐτούς· καὶ προσκαθεζόμενος τῇ πόλει, πρὶν ἐπικουρίαν τινὰ τοῖς πολιορκουμένοις ἐκ τῶν ἄλλων ἀφικέσθαι Λατίνων, παραλαμβάνει τὴν πόλιν καθ' ὁμολογίας· οὐ μέντοι διέθηκε τοὺς ἀνθρώπους δεινὸν οὐδέν· ἀλλ' ἔχοντας τὰ σφέτερα πανδημεὶ κατήγαγεν εἰς Ῥώμην, καὶ κατένειμεν εἰς φυλάς.

cap. 38. Politorium capit, ejusque incolas Romam traducit;

Τῷ δ' ἑξῆς ἐνιαυτῷ Λατίνων εἰς ἔρημον τὸ Πολιτώριον ἀποίκους ἀποστειλάντων, καὶ τὴν τῶν Πολιτωρίων χώραν ἐπεργαζομένων, ἀναλαβὼν τὴν δύναμιν ὁ Μάρκιος ἦγεν ἐπ' αὐτούς. προελθόντων δὲ τοῦ τείχους τῶν Λατίνων καὶ παραταξαμένων, νικήσας αὐτοὺς παραλαμβάνει τὴν

Digitized by Google

τὴν πόλιν τὸ δεύτερον. ἐμπρήσας δὲ τὰς οἰκίας, καὶ τὸ τεῖχος κατασκάψας, ἵνα μηδὲν αὖθις ὁρμητήριον ἔχοιεν οἱ πολέμιοι, μηδ᾽ ἐργάζοιντο τὴν γῆν, ἀπῆγε τὴν στρατιάν. τῷ δ᾽ ἑξῆς ἔτει Λατῖνοι μὲν ἐπὶ Μεδύλλειαν πόλιν στρατεύσαντες, ἐν ᾗ Ῥωμαίων ἦσαν ἄποικοι προκατασκευαζόμενοι, καὶ τῷ τείχει πανταχόθεν ποιησάμενοι τὰς προσβολὰς, αἱροῦσιν αὐτὴν κατὰ κράτος. Μάρκιος δὲ Τελλήνην πόλιν τῶν Λατίνων ἐπιφανῆ κατὰ τὸν αὐτὸν αἱρεῖ χρόνον, ἐκ παρατάξεώς τε νικήσας, καὶ διὰ τειχομαχίας παραστησάμενος· τοὺς τε ἁλόντας οὐδὲν, ὧν εἶχον, ἀφελόμενος, εἰς Ῥώμην μετήγαγε, καὶ τῆς πόλεως εἰς κατασκευὴν οἰκιῶν τόπον ἀπεμέρισε· Μεδύλλειάν τε τριετῆ χρόνον ὑπὸ τοῖς Λατίνοις γενομένην, τῷ τετάρτῳ κομίζεται πάλιν ἐνιαυτῷ πολλαῖς καὶ μεγάλαις παραστησάμενος μάχαις. καὶ μετ᾽ οὐ πολὺ τὴν Φιδηναίων αἱρεῖ πόλιν, ἣν τρίτῳ πρότερον ἐνιαυτῷ λαβὼν καθ᾽ ὁμολογίας, καὶ τοὺς ἐξ αὐτῆς ἅπαντας εἰς Ῥώμην μεταγαγὼν, ἄλλο δὲ τῆς πόλεως οὐδὲν κακώσας, ἐπιεικέστερον μᾶλλον, ἢ φρονιμώτερον, ἔδοξε βουλεύσασθαι. ἀποίκους γὰρ ἀποστείλαντες εἰς αὐτὴν οἱ Λατῖνοι, καὶ τὴν χώραν αὐτῶν διακατέχοντες, αὐτοὶ τὴν Φιδηναίων ἐκάρπουν· ὥστε ἀναγκάσθη πάλιν ὁ Μάρκιος τὸ δεύτερον ἐπὶ τὴν πόλιν στρατεῦσαι, καὶ μετὰ πολλῆς πραγματείας κύριος αὐτῆς καταστὰς, ἐμπρῆσαί τε τὰς οἰκίας καὶ τὰ τείχη κατασκάψαι.

urbem ipsam solo exæquat.

Medulliam a Latinis captam, recipit; incolas Tellenes & Fidenates Romam traducit; Fidenarum muros demolitur.

Μετὰ τοῦτο γίνονται Λατίνων τε καὶ Ῥωμαίων μάχαι διτταί. τῇ μὲν οὖν προτέρᾳ μέχρι πολλοῦ διαγωνισάμενοι, καὶ δόξαντες ἰσόρροποι γεγονέναι διεκρίθησαν, καὶ ἐπὶ τοὺς ἰδίους ἑκάτεροι χάρακας ἀπηλλάγησαν· τῇ δ᾽ ὑστέρᾳ Ῥωμαῖοι νικῶσι τοὺς Λατίνους, καὶ μέχρι τοῦ στρατοπέδου διώκουσι. μετὰ δὲ ταύτας τὰς μάχας, ἀγὼν μὲν ἐκ παρατάξεως οὐδεὶς αὐτοῖς ἔτι πρὸς ἀλλήλους συνέστη, καταδρομαὶ δὲ τῆς ὁμόρου χώρας ὑπ᾽ ἀμφοτέρων ἐγίνοντο συνεχεῖς, καὶ συμπλοκαὶ τῶν περιπόλων τῆς γῆς ἱππέων τε καὶ ψιλῶν, ἐν αἷς ἐπεκράτουν ὡς τὰ πολλὰ Ῥωμαῖοι, δύναμιν ὕπαιθρον ἔχοντες ἐν τοῖς ἐπικαίροις φρουρίοις ἐπικαθημένην, ἧς ὁ Τυῤῥηνὸς Ταρκύνιος ἡγεῖτο. ἀπέστησαν δὲ καὶ Φιδηναῖοι Ῥωμαίων κατὰ τοὺς αὐτοὺς χρόνους, οὐκ ἐκ τοῦ φανεροῦ τὸν πόλεμον ἀναδείξαντες, ἀλλὰ κατ᾽ ὀλί-

cap. 39. Latinorum & Romanorum mutuæ vastationes.

Novum Fidenate bellum.

γους

Digitized by Google

γες καὶ κρύφα τὴν χώραν αὐτῶν καταδρομαῖς κακεργοῦντες· ἐφ᾽ οὓς ὁ Μάρκιος εὐζώνῳ στρατιᾷ ἐλάσας, πρὶν ἢ τὰ πρὸς τὸν πόλεμον παρεσκευάσθαι, ἐγγὺς τῆς πόλεως τίθεται τὸν χάρακα. οἱ δὲ κατ᾽ ἀρχὰς μὲν ἀγνοεῖν ἐσκήπτοντο, ἀντὶ ποίων ἀδικημάτων στρατὸς ἐπ᾽ αὐτοὺς Ῥωμαίων ἀφῖκται· τοῦ δὲ βασιλέως εἰπόντος, ὅτι δίκας παρ᾽ αὐτῶν ἥκει ληψόμενος, ὧν διήρπασάν τε καὶ κατέβλαψαν αὐτοῦ τὴν γῆν, ἀπελογοῦντο πρὸς ταῦτα, ὡς οὐ τὸ κοινὸν ἦν αἴτιον τῶν ἀδικημάτων, καὶ χρόνον ᾐτοῦντο εἰς διάγνωσίν τε καὶ ζήτησιν τῶν ἐνόχων ταῖς αἰτίαις· καὶ πολλὰς κατέτριψαν ἡμέρας, πράττοντες μὲν οὐδὲν τῶν δεόντων, ἐπικαλούμενοι δὲ κρύφα τοὺς συμμάχους, καὶ περὶ κατασκευὴν ὅπλων γινόμενοι.

cap. 40. Μαθὼν δὲ τὴν διάνοιαν αὐτῶν ὁ Μάρκιος, ὑπονόμους ὤρυττεν, ἀπὸ τῆς ἰδίας παρεμβολῆς ἀρξάμενος, ὑπὸ τὰ τείχη τῆς πόλεως· καὶ ἐπειδὴ τέλος εἶχεν ἤδη τὸ ἔργον, ἀναστήσας τὴν στρατιὰν ἦγεν ἐπὶ τὴν πόλιν, κλίμακάς τε πολλὰς καὶ μηχανὰς καὶ τἄλλα τὰ πρὸς τειχομαχίαν κατεσκευασμένα ἐπαγόμενος, οὐ καθ᾽ ὃν αἱ διώρυγες τοῦ τείχους ἐγίνοντο τόπον, ἀλλὰ καθ᾽ ἕτερον. τῶν δὲ Φιδηναίων ἐπὶ τὰ πολιορκούμενα μέρη τῆς πόλεως συνδραμόντων ἀθρόως, καὶ τὰς προσβολὰς γενναίως ἀποτριβομένων, ἀπαναστομώσαντες τὰ πέρατα τῶν ὑπονόμων οἱ ταχθέντες ἐπὶ τούτῳ Ῥωμαῖοι, ἐντὸς ἐγεγόνεισαν τοῦ περιβόλου· καὶ τοὺς ὁμόσε χωροῦντας διαφθείραντες, ἀνοίγουσι τοῖς πολιορκοῦσι τὰς πύλας. πολλῶν δ᾽ ἐν τῇ καταλήψει τῆς πόλεως ἀπολομένων, τοὺς λοιποὺς τῶν Φιδηναίων ὅπλα τε παραδοῦναι κελεύσας ὁ Μάρκιος, καὶ εἰς ἕνα τόπον τῆς πόλεως προκηρύξας ἅπαντας συνελθεῖν, ὀλίγους ἐξ αὐτῶν, τοὺς αἰτίους τῆς ἀποστάσεως, μάστιξιν αἰκισάμενος ἀπέκτεινεν· οἰκίας δὲ ἁπάντων διαρπάσαι τοῖς στρατιώταις ἐπιτρέψας, καὶ φρουρὰν ἐν τῇ πόλει καταλιπὼν ἀξιόχρεων, ἀπῆγε τὴν δύναμιν ἐπὶ Σαβίνους. οὐδὲ γὰρ ἐκεῖνοι διέμειναν ἐν ταῖς ὁμολογίαις, ἃς ἐποιήσαντο πρὸς βασιλέα Τύλλον, ἀλλ᾽ ἐμβαλόντες εἰς τὴν Ῥωμαίων γῆν, ἐδῄουν αὐτῆς τὴν ὅμορον. μαθὼν δ᾽ ὁ Μάρκιος παρά τε κατασκόπων καὶ αὐτομόλων τὸν καιρὸν τῆς ἐπιχειρήσεως, ἐσκεδασμένων τῶν Σαβίνων καὶ λεηλατούντων τοὺς ἀγρούς, αὐ-

Bellum cum Sabinis III.

τὸς

Digitized by Google

τὸς μὲν ἅμα τοῖς πεζοῖς ἐπὶ τὸν χάρακα τῶν πολεμίων ἀφικόμενος ὀλίγην ἔχοντα φυλακὴν, καταλαμβάνει τὸ ἔρυμα ἐξ ἐφόδε· Ταρκύνιον δὲ τὲς ἵππες ἄγοντα, ἐπὶ τὲς ἐν προνομαῖς ἐσκεδασμένες ἐπείγεσθαι κελεύει. μαθόντες δὲ οἱ Σαβῖνοι τὴν ἵππον τῶν Ῥωμαίων ἐπὶ σφᾶς ἐλαύνεσαν, ἀφέντες τὴν λείαν, καὶ τὰς ἄλλας ὠφελείας, ὅσας ἔφερόν τε καὶ ἦγον, ἔφευγον ἐπὶ τὸν χάρακα. ὡς δὲ κἀκεῖνον ἔγνωσαν κατεχόμενον ὑπὸ τῶν πεζῶν, ἀποροῦντες ὅπῃ τράποιντο, συνέτεινον εἰς ὕλας τε καὶ ὄρη. διωκόμενοι δὲ ὑπὸ τῶν ψιλῶν καὶ τῶν ἱππέων, ὀλίγοι μέν τινες ἐσώθησαν, οἱ πλείες δὲ διεφθάρησαν. καὶ μετὰ τὴν συμφορὰν ταύτην πρεσβευσάμενοι πάλιν εἰς Ῥώμην, εἰρήνης τυγχάνεσιν, οἵας ἐβέλοντο. ἔτι γὰρ ὁ πρὸς τὰς Λατίνων πόλεις συνεστηκὼς τοῖς Ῥωμαίοις πόλεμος, ἀναγκαίας ἐποίει τὰς πρὸς τὲς ἄλλες ἐχθρὲς ἀνοχάς τε καὶ διαλύσεις.

Τετάρτῳ δὲ μάλιστα μετὰ τόνδε τὸν πόλεμον ἐνιαυτῷ, Μάρκιος ὁ τῶν Ῥωμαίων βασιλεὺς τήν τε πολιτικὴν δύναμιν ἄγων, καὶ τὴν συμμαχικὴν μεταπεμψάμενος, ὅσην ἐδύνατο πλείστην, ἐστράτευσεν ἐπὶ Οὐϊεντανὲς, καὶ πολλὴν τῆς χώρας αὐτῶν ἐδήωσεν. ἐκεῖνοι δ' ἤρξαντο ἐνιαυτῷ πρότερον εἰς τὴν Ῥωμαίων γῆν ἐμβαλόντες, καὶ πολλὰς ἁρπαγὰς χρημάτων, πολὺν δὲ ὄλεθρον ἀνθρώπων ποιήσαντες. στρατιᾶς δὲ πολλῆς παρὰ τῶν Οὐϊεντανῶν ἐξελθέσης, καὶ πέραν τε Τιβέριος ποταμε πρὸς τῇ Φιδηναίων πόλει χάρακα θεμένης, ἀναλαβὼν τὴν δύναμιν, ὡς εἶχε τάχες ὁ Μάρκιος, πρῶτον μὲν τὰς ἐπὶ τὴν χώραν ἐξόδες αὐτῶν ἀπέκλεισεν ἱπποκρατῶν, ἔπειτ' εἰς παράταξιν ἐλθεῖν αὐτὲς ἀναγκάσας ἐνίκησε, καὶ τε χάρακος αὐτῶν ἐκράτησε. χωρήσαντος δὲ αὐτῷ καὶ τότε κατὰ γνώμην τε πολέμε, τὴν ἐπινίκιον πομπὴν καὶ τὸν εἰωθότα θρίαμβον τοῖς θεοῖς κατήγαγεν εἰς τὴν πόλιν ἀφικόμενος. δευτέρῳ δ' ὕστερον ἔτει πάλιν τῶν Οὐϊεντανῶν, καταλυσάντων, ἃς ἐποιήσαντο πρὸς αὐτὸν ἀνοχὰς, καὶ τὰς ἄλλας ἀξιέντων ἀπολάβεῖν πόλεις, ὧν ἐπὶ Ῥωμύλε βασιλέως καθ' ὁμολογίας ἀπέστησαν, ἑτέραν τίθεται πρὸς αὐτὲς μάχην πρὸς ταῖς Ἄλλαις, μείζονα τῆς προτέρας, ἣν εὐπετῶς ἐνίκησε· καὶ τὰς ἄλλας πόλεις ἐξ ἐκείνε

cap. 41. Cum Vejentibus;

ἐκείνε κατεῖχεν ἀναμφιλόγως. τὰ δὲ ἀριςεῖα ἐκ ταύτης ἔλαβε τῆς μάχης ὁ τῶν ἱππέων ἡγεμὼν Ταρκύνιος, καὶ αὐτὸν ὁ Μάρκιος ἄνδρα πάντων κράτιςον ἡγησάμενος, τά τε ἄλλα σεμνύνων διετέλει, καὶ εἰς τὸν τῶν πατρικίων τε καὶ βελευτῶν ἀριθμὸν ἀπέγραψεν. ἐγένετο δὲ καὶ πρὸς τὸ τῶν Ὀυολέσκων ἔθνος τῷ Μαρκίῳ πόλεμος, λῃςηρίων κἀκεῖθεν ἐξιόντων ἐπὶ τὲς τῶν Ῥωμαίων ἀγρὲς· καὶ ςρατεύσας ἐπ' αὐτὲς μεγάλῃ ἀλκῇ, πολλὴν περιεβάλετο λείαν, πόλει τε αὐτῶν Ὀυελίτραις προσκαθεζόμενος, ἀπετάφρευε καὶ περιεχαράκε, καὶ τειχομαχίαν συνίςα τὸ τῆς ὑπαίθρε λαβών. ἐξελθόντων δὲ σὺν ἱκετηρίαις τῶν πρεσβυτάτων, καὶ τάς τε βλάβας διαλύσειν ὑποσχομένων, ὡς ἂν ὁ βασιλεὺς δικαιώσῃ, καὶ τὲς ἐνόχες αὐταῖς ἐπὶ δίκην παρέξειν ὁμολογέντων, ἀνοχὰς πρὸς αὐτὲς ποιησάμενος, καὶ τὰ δίκαια παρ' ἑκόντων λαβὼν, εἰρήνην καὶ φιλίαν συντίθεται.

cum Volscis;

cap. 42. cum Sabinis IV.

Ἐκ δὲ τῶ Σαβίνων ἔθνες αὖθις ἕτεροί τινες, τῆς Ῥωμαίων ἔπω πεπειραμένοι δυνάμεως, πόλιν οἰκῦντες εὐδαίμονα καὶ μεγάλην, ἐγκαλεῖν μὲν Ῥωμαίοις ἐδὲν ἔχοντες, φθονεῖν δὲ ταῖς εὐτυχίαις ἀναγκαζόμενοι, μείζοσιν, ἢ κατὰ λόγον γινομέναις, ἄνθρωποι δεινοὶ τὰ πολέμια, τὸ μὲν πρῶτον ἀπὸ λῃςηρίων καταδρομῆς ἀγρῶν ὀλίγοι συνελθόντες ἤρξαντο, ἔπειτα δελεαζόμενοι ταῖς ὠφελείαις, φανερὰν ποιῦνται ςρατείαν ἐπ' αὐτὲς, καὶ τῆς ὁμόρε πολλὴν λεηλατῦντες ἐκάκωσαν ἰσχυρῶς. ἐ μὴν ἐξεγένετό γε αὐτοῖς ἔτε τὰς ὠφελείας ἀπάγειν, ἔτ' ἀθώοις ἀπελθεῖν· ἀλλ' ἐκβοηθήσας κατὰ σπεδὴν ὁ τῶν Ῥωμαίων βασιλεὺς, καὶ πλησίον τῆς ἐκείνων παρεμβολῆς θέμενος τὸν χάρακα, προελθεῖν αὐτὲς ἠνάγκασεν εἰς μάχην. ἐγένετο μὲν ἦν μέγας ἀγὼν, καὶ πολλοὶ παρ' ἀμφοτέρων ἔπεσον· ἐκράτησαν δὲ Ῥωμαῖοι κατὰ τὸ ἔμπειρόν τε καὶ φερέπονον, ὧν ἐθάδες ἦσαν ἐκ πλείςε, καὶ περιεγένοντο παρὰ πολὺ τῶν Σαβίνων, τοῖς τε φεύγεσιν αὐτῶν ἐπὶ τὸν χάρακα σποράσι καὶ ἀσυντάκτοις ἐκποδὸς ἑπόμενοι, πολὺν ἐποίεν φόνον. κρατήσαντες δὲ καὶ τῆς παρεμβολῆς αὐτῆς παντοδαπῶν χρημάτων γεμέσης, καὶ τὲς αἰχμαλώτες, ὃς ἔλαβον οἱ Σαβῖνοι κατὰ τὰς προνομὰς, ἀπολαβόντες, ἀπῆεσαν ἐπ' οἴκε. αἱ μὲν δὴ πολεμικαὶ πρά-

Digitized by Google

πράξεις τοῦδε τοῦ βασιλέως, αἱ μνήμης καὶ λόγου παρὰ Ῥωμαίοις τυγχάνουσαι, τοιαίδε τινὲς λέγονται γενέσθαι· πολιτικαὶ δὲ, ἃς ἔρχομαι λέξων.

cap. 43. Res domi gestæ. Urbem auget.

Πρῶτον μὲν τῇ πόλει μοῖραν οὐ μικρὰν προσέθηκεν, ἐντειχίσας τὸν λεγόμενον Ἀυεντῖνον· ἔστι δὲ λόφος ὑψηλὸς ἐπιεικῶς, ὀκτωκαίδεκά που σταδίων τὴν περίμετρον, ὃς τότε μὲν ὕλης παντοδαπῆς μεστὸς ἦν, πλείστης δὲ καὶ καλλίστης δάφνης, ἐφ' ἧς Λαυρῆτον ὑπὸ Ῥωμαίων καλεῖται τόπος τις ἐξ αὐτοῦ· νῦν δὲ οἰκιῶν ἐστι πλήρης ἅπας· ἔνθα σὺν πολλοῖς ἄλλοις καὶ τὸ τῆς Ἀρτέμιδος ἱερὸν ἵδρυται. εἴργετο δὲ ἀφ' ἑτέρων τῶν συμπεριεχομένων τῇ Ῥώμῃ, λόφου τοῦ καλουμένου Παλαντίου, περὶ ὃν ἡ πρώτη κατασκευασθεῖσα πόλις ἱδρύνθη, βαθείᾳ καὶ στενῇ φάραγγι. ἐν δὲ τοῖς ὕστερον χρόνοις ἐχώσθη πᾶς ὁ μεταξὺ τῶν λόφων αὐλός. τοῦτον δὴ τὸν λόφον ἐπιτείχισμα κατὰ τῆς πόλεως ὁρῶν ἐσόμενον, εἴ τις αὐτῇ ἐπίῃ στρατὸς, τείχει καὶ τάφρῳ περιέβαλε, καὶ τοὺς μεταχθέντας ἐκ Τελλήνης τε καὶ Πολιτωρίου, καὶ τῶν ἄλλων πόλεων, ὅσων ἐκράτησεν, ἐν τούτῳ τῷ χωρίῳ καθίδρυσεν. ἓν μὲν δὴ τοῦτο τὸ πολίτευμα τοῦ βασιλέως παραδίδοται, καλὸν ἅμα καὶ πραγματικὸν, ἐξ οὗ μείζονά τε γενέσθαι συνέβη τὴν πόλιν, ἑτέρας προσθέσει πόλεως, καὶ πολλῇ χειρὶ πολεμίων ἐπιστρατευσάντων ἧττον εὐληπτοτέραν. Ἕτερον δέ τι τοῦ προειρημένου πολιτεύματος κρεῖττον, ὃ καὶ τοῖς κατὰ τὸν βίον ἅπασιν εὐδαιμονεστέραν αὐτὴν ἐποίησε, καὶ πραγμάτων ἐπῆρεν ἅψασθαι γενναιοτέρων. τοῦ γὰρ Τιβέριος ποταμοῦ καταβαίνοντος μὲν ἐκ τῶν Ἀπεννίνων ὀρῶν, παρ' αὐτὴν δὲ τὴν Ῥώμην ῥέοντος, ἐμβάλλοντος δ' εἰς αἰγιαλοὺς ἀλιμένους καὶ προσεχεῖς, οὓς τὸ Τυῤῥηνικὸν ποιεῖ πέλαγος, μικρὰ δὲ καὶ οὐκ ἄξια λόγου τὴν Ῥώμην ὠφελοῦντος, διὰ τὸ μηδὲν ἐπὶ ταῖς ἐκβολαῖς ἔχειν φρούριον, ὃ καὶ τὰς εἰσκομιζομένας διὰ θαλάττης καὶ τὰς καταγομένας ἄνωθεν ἀγορὰς ὑποδέξεταί τε καὶ ἀμείψεται τοῖς ἐμπορευομένοις, ἱκανοῦ δὲ ὄντος ἄχρι μὲν τῶν πηγῶν ποταμηγοῖς σκάφεσιν εὐμεγέθεσιν ἀναπλεῖσθαι, πρὸς αὐτὴν δὲ τὴν Ῥώμην καὶ θαλαττίαις ὁλκάσι μεγάλαις, ἐπίνειον ἔγνω κατασκευάζειν ἐπὶ ταῖς ἐκβολαῖς αὐτοῦ, λιμένι χρησάμενος αὐτῷ τῷ τοῦ ποταμοῦ στόματι. εὐρύνεταί τε γὰρ ἐπιπολὺ τῇ θαλάττῃ συν-

cap. 44. Navigationem in Tiberi emendat.

συνάπτων, καὶ κόλπες λαμβάνει μεγάλες, οἵες οἱ κράτιςοι τῶν θαλαττίων λιμένων. ὃ δὲ μάλιςα θαυμάσειεν ἄν τις, ἐκ ἀποκλείεται, τε̃ ςόματος ὑπὸ τῆς θαλαττίας θινὸς ἐμφραττομένε, ὃ πάσχεσι πολλοὶ καὶ τῶν μεγάλων ποταμῶν, ἐδ᾽ εἰς ἕλη καὶ τέλματα πλανώμενος, ἄλλοτε ἄλλη προκαταναλίσκεται, πρὶν ἢ τῇ θαλάττῃ συνάψαι τὸ ῥεῖθρον, ἀλλὰ ναυσιπέρατός ἐςιν ἀεὶ, καὶ δι᾽ ἑνὸς ἐκδίδωσι τε̃ γνησίε ςόματος, ἀνακόπτων τὰς πελαγίες ῥαχίας τῆς θαλάττης, καίτοι πολὺς αὐτόθι γίνεται καὶ χαλεπὸς ὁ πνέων ἀπὸ τῆς ἑσπέρας ἄνεμος. αἱ μὲν ἐν ἐπίκωποι νῆες, ὁπηλίκαι ποτ᾽ ἂν ἐσαι τύχωσι, καὶ τῶν ὁλκάδων αἱ μέχρι τρισχιλιοφόρων, εἰσάγεσί τε διὰ τε̃ ςόματος αὐτε̃, καὶ μέχρι τῆς Ῥώμης εἰρεσίᾳ καὶ ῥύμασι παρελκόμεναι κομίζονται· αἱ δὲ μείζες πρὸ τε̃ ςόματος ἐπ᾽ ἀγκυρῶν σαλεύεσαι ταῖς ποταμηγοῖς ἀπογεμίζονταί τε καὶ ἀντιφορτίζονται σκάφαις. ἐν δὲ τῷ μεταξὺ τε̃ ποταμε̃ καὶ τῆς θαλάττης ἀγκῶνι πόλιν ὁ βασιλεὺς ἐντειχίσας, ἣν ἀπὸ τε̃ συμβεβηκότος Ὠςίαν ὠνόμασεν, ὡς δ᾽ ἂν ἡμεῖς εἴποιμεν, Θύραν, ἐ μόνον ἠπειρῶτιν, ἀλλὰ καὶ θαλαττίαν παρεσκέυασε τὴν Ῥώμην γενέσθαι, καὶ τῶν διαποντίων ἀγαθῶν ἔγευσεν. Ἐτείχισε δὲ καὶ τὸ καλέμενον Ἰανίκολον, ὄρος ὑψηλὸν ἐπέκεινα τε̃ Τιβέριος ποταμε̃ κείμενον, καὶ φρεὰν ἱκανὴν ἐν αὐτῷ κατέςησεν, ἀσφαλείας ἕνεκα τῶν διὰ τε̃ ποταμε̃ πλεόντων· ἐλῄςευον γὰρ οἱ Τυῤῥηνοὶ τὲς ἐμπόρες, ἅπασαν ἐπέχοντες τὴν ἐπέκεινα τε̃ ποταμε̃ χώραν· καὶ τὴν ξυλίνην γέφυραν, ἣν ἄνευ χαλκε̃ καὶ σιδήρε θέμις ὑπ᾽ αὐτῶν διακρατεῖσθαι τῶν ξύλων, ἐκεῖνος ἐπιθεῖναι τῷ Τιβέρει λέγεται, ἣν ἄχρι τε̃ παρόντος διαφυλάττεσιν, ἱερὰν εἶναι νομίζοντες. εἰ δέ τι πονήσειεν αὐτῆς μέρος, οἱ ἱεροφάνται θεραπεύεσι, θυσίας τινὰς ἐπιτελε̃ντες ἅμα τῇ κατασκευῇ πατρίες. ταῦτα διαπραξάμενος ἐπὶ τῆς ἰδίας ἀρχῆς ὁ βασιλεὺς ἔτος ἱςορίας ἄξια, καὶ τὴν Ῥώμην ἐκ ὀλίγῳ κρείττονα παραδὲς τοῖς ἐπιγινομένοις ἢ αὐτὸς παρέλαβεν, ἐπὶ τέτταρα πρὸς τοῖς εἴκοσιν ἔτη τὴν βασιλείαν κατασχὼν, ἀποθνήσκει, δύο καταλιπὼν υἱὲς, τὸν μὲν, ἔτι παῖδα τῇ ἡλικίᾳ· τὸν δὲ πρεσβύτερον, ἀρτίως γενειῶντα.

cap. 45. Muro Janiculum cingit.

Marci obitus.

Μετὰ

Digitized by Google

Μετὰ δὲ τȣ̃ Ἄγκȣ Μαρκίȣ θάνατον, ἡ βȣλὴ πάλιν, ἐπιτρέψαντος αὐτῇ τȣ̃ δήμȣ πολιτείαν, ἣν ἐβȣ́λετο, καταςήσασθαι, μένειν ἐπὶ τῆς αὐτῆς ἔγνω, καὶ ἀποδείκνυσι μεσοβασιλεῖς. οἱ δὲ συναγαγόντες εἰς ἀρχαιρεσίας τὸ πλῆθος, αἱρȣ̃νται βασιλέα Λεύκιον Ταρκύνιον. βεβαιωσάντων δὲ καὶ τῶν παρὰ τȣ̃ δαιμονίȣ σημείων τὰ κριθέντα ὑπὸ τȣ̃ πλήθȣς, παραλαμβάνει τὴν βασιλείαν ἐνιαυτῷ δευτέρῳ μάλιςα τῆς μιᾶς καὶ τετταρακοςῆς ὀλυμπιάδος ὁ Ταρκύνιος, ἣν ἐνίκα ςάδιον Κλεωνίδας ὁ Θηβαῖος, ἄρχοντος Ἀθήνησιν Ἡνιοχίδȣ. γονέων δ' ὁποίων τινῶν ἦτος ὁ Ταρκύνιος ἦν, καὶ πατρίδος ἐξ ἧς ἔφυ, καὶ διὰ τίνας αἰτίας εἰς Ῥώμην ἀφίκετο, καὶ δι' οἵων ἐπιτηδευμάτων εἰς τὴν βασιλείαν παρῆλθεν, ὡς ἐν ταῖς ἐπιχωρίαις γραφαῖς εὗρον, ἐρῶ. Κορίνθιός τις ἀνὴρ, ὄνομα Δημάρατος, ἐκ τῆς Βακχιαδῶν συγγενείας, ἐμπορεύεσθαι προελόμενος ἔπλευσεν εἰς Ἰταλίαν, ὁλκάδα τε οἰκείαν ἄγων καὶ φόρτον ἴδιον. ἐξεμπολήσας δὲ τὸν φόρτον ἐν ταῖς τῶν Τυῤῥηνῶν πόλεσιν, εὐδαιμονȣ́σαις μάλιςα τῶν ἐν Ἰταλίᾳ τότε, καὶ μεγάλα κέρδη περιβαλόμενος ἐκεῖθεν, ȣ̓κ ἔτι εἰς ἄλλȣς ἐβȣ́λετο κατάγεσθαι λιμένας, ἀλλὰ τὴν αὐτὴν εἰργάζετο συνεχῶς θάλασσαν. Ἑλληνικόν τε φόρτον εἰς Τυῤῥηνȣ̀ς κομίζων, καὶ τὸν Τυῤῥηνικὸν εἰς τὴν Ἑλλάδα φέρων· καὶ γίνεται πάνυ πολλῶν χρημάτων κύριος. ἐπικαταλαβȣ́σης δὲ ςάσεως τὴν Κόρινθον, καὶ τῆς Κυψέλȣ τυραννίδος ἐπανιςαμένης τοῖς Βακχιάδαις, ȣ̓κ ἀσφαλὲς εἶναι δοκῶν, ἐν τυραννίδι ζῆν πολλὰ κεκτημένος, ἄλλως τε καὶ τῆς ὀλιγαρχικῆς οἰκίας ὑπάρχων, συνεσκευασμένος τὴν ȣ̓σίαν, ὅσην οἷός τ' ἦν, ᾤχετο πλέων ἐκ τῆς Κορίνθȣ. ἔχων δὲ φίλȣς πολλȣ̀ς καὶ ἀγαθȣ̀ς Τυῤῥηνῶν, διὰ τὰς συνεχεῖς ἐπιμιξίας, μάλιςα δ' ἐν Ταρκυνίοις, πόλει μεγάλῃ καὶ εὐδαίμονι τότε ȣ̓́σῃ, οἶκόν τε αὐτόθι κατασκευάζεται, καὶ γυναῖκα ἐπιφανῆ κατὰ γένος ἄγεται. γενομένων δ' αὐτῷ δυοῖν παίδων, Τυῤῥηνικὰ θέμενος αὐτοῖς ὀνόματα, τῷ μὲν Ἄροντα· τῷ δὲ Λυκόμωνα· καὶ παιδεύσας ἀμφοτέρȣς Ἑλληνικήν τε καὶ Τυῤῥηνικὴν παιδείαν, εἰς ἄνδρας ἐλθȣ̃σιν αὐτοῖς γυναῖκας ἐκ τῶν ἐπιφανεςάτων οἴκων λαμβάνει. Καὶ μετ' ȣ̓ πολὺν χρόνον ὁ μὲν πρεσβύτερος αὐτȣ̃ τῶν παίδων, γένος ȣ̓δὲν καταλιπὼν ἐμ-

cap. 46. Lucius Tarquinius Priscus, 616–579. ante Chr. A.U. 138–175. Parentes ejus, patria & reliqua vitæ ante susceptum imperium memorabilia.

cap. 47.

ἐμφανὲς ἀποθνήσκει. καὶ μετ' ὀλίγας ἡμέρας αὐτὸς ὁ Δημάρατος ὑπὸ λύπης τελευτᾷ, κληρονόμον ἁπάσης τῆς ȣσίας τὸν περιλειπόμενον τῶν παίδων Λυκόμωνα καταλιπών· ὃς παραλαβὼν τὸν πατρικὸν πλȣ̃τον μέγαν ὄντα, πολιτεύεσθαί τε καὶ τὰ κοινὰ πράττειν, καὶ ἐν τοῖς πρώτοις τῶν ἀςῶν εἶναι προῄρητο. ἀπελαυνόμενος δὲ πανταχόθεν ὑπὸ τῶν ἐπιχωρίων, καὶ ȣ̓χ ὅπως ἐν τοῖς πρώτοις ἀριθμȣ́μενος, ἀλλ' ȣ̓δ' ἐν τοῖς μέσοις, ἀνιαρῶς ἔφερε τὴν ἀτιμίαν. ἀκȣ́ων δὲ περὶ τῆς Ῥωμαίων πόλεως, ὅτι πάντας ἀσμένως ὑποδεχομένη τȣ̀ς ξένȣς, καὶ ἀςȣ̀ς ποιεῖται καὶ τιμᾷ κατὰ τὴν ἀξίαν ἕκαςον, ἐκεῖ μετενέγκασθαι τὴν οἴκησιν ἔγνω, τάτε χρήματα πάντα συσκευασάμενος, καὶ τὴν γυναῖκα ἐπαγόμενος, καὶ τῶν ἄλλων φίλων καὶ οἰκείων τȣ̀ς βȣλομένȣς. ἐγένοντο δὲ οἱ σὺν αὐτῷ ἀπαίρειν προθυμηθέντες συχνοί. ὡς δὲ εἰς τὸ καλȣ́μενον Ἰανίκολον ἦσαν, ὅθεν ἡ Ῥώμη τοῖς ἀπὸ Τυῤῥηνίας ἐρχομένοις πρῶτον ἀφορᾶται, καταπτὰς ἀετὸς ἄφνω, καὶ τὸν πῖλον αὐτȣ̃ τὸν ἐπὶ τῆς κεφαλῆς κείμενον ἁρπάσας, ἄνω πάλιν ἀνέπτη, κατὰ τὴν ἐγκύκλιον αἰώραν φερόμενος, καὶ εἰς τὸ βάθος τȣ̃ περιέχοντος ἀέρος ἀπέκρυψεν· ἔπειτ' ἐξαίφνης ἐπιτίθησι τῷ Λυκόμωνι τὸν πῖλον ἐπὶ τῆς κεφαλῆς ἁρμόσας, ὃν τρόπον πρότερον ἥρμοσο. θαυμαςȣ̃ δὲ καὶ παραδόξȣ πᾶσι τȣ̃ σημείȣ φανέντος, ἡ γυνὴ τȣ̃ Λυκόμωνος, ὄνομα Τανακύλα, ἐμπειρίαν ἱκανὴν ἐκ πατέρων ἔχȣσα Τυῤῥηνικῆς οἰωνοσκοπίας, λαβȣ̃σα μόνον αὐτὸν ἀπὸ τῶν συνόντων, ἠσπάσατό τε καὶ ἀγαθῶν ἐλπίδων ἐνέπλησεν, ὡς ἐξ ἰδιωτικῆς τύχης εἰς ἐξȣσίαν βασιλικὴν ἐλευσόμενον. σκοπεῖν μέντοι συνεβȣ́λευεν, ὅπως παρ' ἑκόντων λήψεται τὴν ἡγεμονίαν Ῥωμαίων, ἄξιον τῆς τιμῆς ταύτης ἑαυτὸν παρασχών. Ὁ δὲ περιχαρὴς τῷ σημείῳ γενόμενος, ἐπειδὴ ταῖς πύλαις ἤδη συνήγγιζεν, εὐξάμενος τοῖς θεοῖς ἐπιτελῆ γενέσθαι τὰ μαντεύματα, καὶ σὺν ἀγαθαῖς εἰσελθεῖν τύχαις, παρῆλθεν εἰς τὴν πόλιν· καὶ μετὰ τȣ̃το συνελθὼν εἰς λόγȣς Μαρκίῳ τῷ βασιλεῖ, πρῶτον μὲν ἑαυτὸν ἐδήλωσεν, ὅςις ἦν· ἔπειθ', ὅτι κατοικεῖν ἐν τῇ πόλει βȣλόμενος παρεῖν πᾶσαν τὴν πατρικὴν ȣ̓σίαν ἐπαγόμενος, καὶ εἰς τὸ κοινὸν ἔφη τῷ βασιλεῖ καὶ τῇ Ῥωμαιων πόλει τιθέναι, μείζονα ȣ̓̃σαν, ἢ κατ' ἰδιώτην ἄνδρα κεκτῆσθαι. ἀσμένως δὲ

cap. 48.

τȣ̃

τῦ βασιλέως αὐτὸν ὑποδεξαμένυ, καὶ καταχαρίσαντος ἅμα τοῖς συμπαρῦσιν αὐτῷ Τυῤῥηνῶν εἰς Φυλήν τε καὶ Φρατρίαν, οἰκίαν τε κατασκευάζεται, τόπον διαλαχὼν τῆς πόλεως τὸν ἀρκῦντα, καὶ γῆς λαμβάνει κλῆρον. ἐπειδὴ δὲ ταῦτα διῳκήσατο, καὶ τῶν ἀςῶν εἷς ἐγεγόνει, μαθὼν ὅτι, Ῥωμαίων ἑκάςῳ κοινόν τι ὄνομα κεῖται, καὶ μετὰ τὸ κοινὸν, ἕτερον, ὃ δὴ συγγενικὸν αὐτοῖς ἐςι καὶ πατρωνυμικὸν, ἐξομοιῦσθαι καὶ κατὰ τῦτο αὐτοῖς βυλόμενος, Λεύκιον μὲν ἀντὶ Λυκόμωνος ἑαυτῷ τίθεται τὸ κοινὸν ὄνομα, Ταρκύνιον δὲ τὸ συγγενικὸν, ἐπὶ τῆς πόλεως, ἐν ᾗ γενέσεώς τε καὶ τροφῆς ἔτυχε· βασιλέως τε Φίλος ἐν ὀλίγῳ πάνυ χρόνῳ γίνεται, δῶρα διδὺς, ὧν ἐν χρείᾳ μάλιςα αὐτὸν γενόμενον ᾔσθετο, καὶ χρήματα παρέχων εἰς τὰς πολεμικὰς χρείας, ὅσων ἐδεῖτο. ἐν δὲ ταῖς ςρατείαις πάντων κράτιςα πεζῶν τε καὶ ἱππέων ἀγωνιζόμενος, γνώμης τε ὅπυ δεήσειεν ἀγαθῆς, ἐν τοῖς πάνυ Φρονίμοις τῶν συμβύλων ἀριθμύμενος. γενόμενος δὲ παρὰ τῷ βασιλεῖ τίμιος, ὐδὲ τῆς ἄλλης εὐνοίας Ῥωμαίων διήμαρτεν, ἀλλὰ καὶ τῶν πατρικίων πολλὺς ταῖς εὐεργεσίαις ὑπηγάγετο, καὶ τὸ δημοτικὸν πλῆθος οἰκείως ἔχειν αὐτῷ παρεσκεύασεν, εὐπροσηγόροις τε ἀσπασμοῖς καὶ κεχαρισμέναις ὁμιλίαις, καὶ χρημάτων μεταδόσει, καὶ ταῖς ἄλλαις Φιλοφροσύναις.

cap. 49.

Τοιῦτος μὲν δή τις ὁ Ταρκύνιος ἦν, καὶ διὰ ταύτας τὰς αἰτίας ζῶντός τε Μαρκίυ πάντων ἐγένετο Ῥωμαίων περιΦανέςατος, καὶ τελευτήσαντος ἐκείνυ τῆς βασιλείας ὑπὸ πάντων ἄξιος ἐκρίθη. ἐπειδὴ δὲ παρέλαβε τὴν ἀρχὴν, πρῶτον μὲν ἐπολέμησε τοῖς καλυμένοις Ἀπιολάνοις, πόλει τῦ Λατίνων ἔθνυς ἐκ ἀΦανεῖ. οἱ γὰρ Ἀπιολάνοι καὶ οἱ ἄλλοι σύμπαντες Λατῖνοι, μετὰ τὸν Ἄγκυ Μαρκίυ θάνατον λελῦσθαι τὰς περὶ τῆς εἰρήνης ὁμολογίας οἰόμενοι, λῃςείαις τε καὶ προνομαῖς τὴν Ῥωμαίων γῆν ἐπόρθυν. ἁλύσης δὲ κατὰ κράτος τῆς πόλεως, οἱ μὲν πλείυς τῶν Ἀπιολάνων μαχόμενοι κατεσΦάγησαν· ὀλίγοι δὲ τὰ ὅπλα παραδόντες, ἅμα τοῖς ἄλλοις λαΦύροις ἐπράθησαν, παῖδές τε αὐτῶν καὶ γυναῖκες ἀνδραποδισθέντες ὑπὸ Ῥωμαίων ἀπήχθησαν, καὶ ἡ πόλις διαρπασθεῖσα ἐνεπρήσθη. ταῦτα διαπραξάμενος ὁ βασιλεὺς, καὶ τὸ τεῖχος ἐκ θεμελίων κατασκάψας, ἀπῆγε τὴν δύναμιν ἐπ᾽ οἴκυ. καὶ μετὰ τῦθ᾽ ἑτε-

Debellat Latinos.

ἑτέραν ϛρατιὰν ἀπῆγεν ἐπὶ τὴν Κρȣϛομερινῶν. αὕτη ἀποικία μὲν ἦν Λατίνων, προσεχώρησε δὲ Ῥωμαίοις ἐπὶ τῆς Ῥωμύλȣ βασιλείας· Ταρκυνίȣ δὲ τὴν ἀρχὴν παραλαβόντος, τὰ Λατίνων αὖθις ἤρξατο φρονεῖν, ȣ̓ μὴν ȣ̓δ᾽ ἐδεήθη γε καὶ ταύτην πολιορκίᾳ τε παραςήσαθαι καὶ πόνῳ· μαθόντες γὰρ οἱ Κρȣϛομερινοὶ τό τε πλῆθος τῆς ἡκȣ́σης ἐπ᾽ αὐτȣ̀ς δυνάμεως, καὶ τὴν ἑαυτῶν ἀθένειαν, ȣ̓δεμιᾶς αὐτοῖς ἐπικȣρίας παρὰ τῶν ἄλλων Λατίνων ἀφικομένης, ἀνέῳξαν τὰς πύλας· καὶ προσελθόντες ὁ πρεσβύτατοι τῶν πολιτῶν καὶ τιμιώτατοι, παρεδίδοσαν αὐτῷ τὴν πόλιν, ἀξιȣ̃ντες ἐπιεικῶς αὐτοῖς χρήσαθαι καὶ μετρίως. τῷ δὲ κατ᾽ εὐχὴν τὸ πρᾶγμα ἐφάνη· καὶ παρελθὼν εἰς τὸ τεῖχος ἀπέκτεινε μὲν ȣ̓δένα Κρȣϛομερινῶν, ὀλίγȣς δὲ πάνυ τȣ̀ς αἰτίȣς τῆς ἀποςάσεως φυγαῖς ἀϊδίαις ἐζημίωσε· τοῖς δ᾽ ἄλλοις ἅπασι τὰ σφέτερα συνεχώρησεν ἔχειν, καὶ τῆς Ῥωμαίων πολιτείας, ὡς πρότερον, μετέχειν· τȣ̃ δὲ μηδὲν ἔτι παρακινῆσαι χάριν, ἐποίκȣς αὐτοῖς κατέλιπε Ῥωμαίȣς.

cap. 50. Τὰ δ᾽ αὐτὰ καὶ Νωμεντανοῖς διανοηθεῖσι, τῶν αὐτῶν τυχεῖν ἐξεγένετο. οἱ δὲ τὴν καλȣμένην Κολλατίαν κατοικȣ̃ντες, ȣ̓ μέντοι τῆς αὐτῆς μετριότητος ἔτυχον, ἧς Νωμεντανοί τε καὶ Κρȣϛομερινοί· ἀλλ᾽ ὅπλα τε ὁ βασιλεὺς ἀφείλετο, καὶ εἰς χρήματα ἐζημίωσε, καὶ φρȣρὰν κατέλιπεν ἐν τῇ πόλει τὴν ἱκανὴν, ἄρχειν τε αὐτῶν ἔταξε τὴν ἀνυπεύθυνον ἀρχὴν διὰ βίȣ, Ταρκύνιον Ἄροντα, τὸν ἴδιον ἀδελφιδȣ̃ν, ὃς μετὰ τὴν τελευτὴν τȣ̃ πατρὸς Ἄροντος καὶ τȣ̃ πάππȣ Δημαράτȣ γενόμενος, ἔτε τῶν πατρῴων, ἔτε τῶν τȣ̃ πάππȣ χρημάτων τὴν προσήκȣσαν ἐκληρονόμησε μοῖραν· καὶ διὰ ταύτην τὴν αἰτίαν Ἠγέριος ἐπωνομάσθη. τȣ̀ς γὰρ ἀπόρȣς καὶ πτωχȣ̀ς ȣ̓́τως ὀνομάζȣσι Ῥωμαῖοι. ἐξ ȣ̓̃ δὲ παρέλαβε τὴν ἐκείνης τῆς πόλεως ἐπιμέλειαν, αὐτός τε Κολλατῖνος ἐπεκλήθη, καὶ πάντες οἱ ἀπ᾽ ἐκείνȣ γενόμενοι. μετὰ δὲ τὴν Κολλατίας παράδοσιν, ἐπὶ τὸν καλȣ́μενον Κορνίκολον ὁ βασιλεὺς ἐςράτευσεν· ἦν δὲ κἀκείνη τȣ̃ Λατίνων ἔθνȣς ἡ πόλις. λεηλατήσας δὲ τὴν χώραν αὐτῶν κατὰ πολλὴν ἄδειαν, ȣ̓δενὸς ὑπὲρ αὐτῆς ἀμυνομένȣ, πρὸς αὐτὴν ςρατεύεται τὴν πόλιν, προκαλȣ́μενος τȣ̀ς ἄνδρας εἰς φιλίαν· ȣ̓ βȣλομένων δὲ αὐτῶν εἰς διαλλαγὰς ἐλθεῖν, ἀλλὰ καὶ τȣ̃ τείχȣς τῇ ὀχυρότητι πεποιθότων, καὶ

συμ-

συμμαχίας πανταχόθεν ἥξειν οἰομένων, περὶ πάντα τὸν κύκλον τῆς πόλεως τὴν δύναμιν περιστήσας ἐτειχομάχει. οἱ δὲ Κορνικόλανοι πολὺν μὲν χρόνον ἀντεῖχον, ἀνδρείως ἀπομαχόμενοι, καὶ πολλὰς τοῖς προσβαλοῦσι πληγὰς ἔδωκαν. κάμνοντες δὲ τῇ συνεχείᾳ τῶν πόνων, καὶ οὐδὲ τὴν αὐτὴν ἔτι γνώμην ἅπαντες φυλάττοντες· τοῖς μὲν γὰρ ἐδόκει, παραδιδόναι τὴν πόλιν, τοῖς δὲ μέχρι παντὸς ἀντέχειν· δι' αὐτὸ τὸ στασιάζειν μᾶλλον καταπονούμενοι, κατὰ κράτος ἑάλωσαν. τὸ μὲν οὖν κράτιστον αὐτῶν μέρος ἐν τῇ καταλήψει τῆς πόλεως μαχόμενον διεφθάρη, τὸ δὲ ἀγεννές, καὶ διὰ τοῦτο σωθὲν, ἐν ἀνδραπόδων ἐπράθη λόγῳ, γυναιξὶν ὁμοῦ καὶ τέκνοις· ἡ δὲ πόλις αὐτῶν διαρπαθεῖσα ὑπὸ τῶν κεκρατηκότων ἐνεπρήσθη· ἐφ' οἷς οἱ Λατῖνοι χαλεπῶς φέροντες ἐψηφίσαντο, κοινῇ στρατιὰν ἐπὶ Ῥωμαίους ἐξαγαγεῖν· καὶ παρασκευασάμενοι πολλὴν δύναμιν, εἰς τὴν κρατίστην χώραν αὐτῶν ἐνέβαλον. ἐξ ἧς αἰχμαλώτους πολλοὺς ἀπήγαγον, καὶ λείας ἐγένοντο μεγάλης κύριοι. βασιλεὺς δὲ Ταρκύνιος ἐξῆλθε μὲν ἐπ' αὐτοὺς τὴν εὔζωνόν τε καὶ ἐν ἑτοίμῳ δύναμιν ἐπαγόμενος, οὐκ ἔτι δὲ καταλαβεῖν αὐτοὺς φθάσας, εἰς τὴν ἐκείνων χώραν ἐνέβαλε, καὶ τὰ ὅμοια διέθηκε. τοιαῦτα συνέβαινε πολλὰ παραλλὰξ ἑκατέροις ἐπὶ τὰς ὁμόρους χώρας ἐκστρατευομένοις ἐλαττώματά τε καὶ πλεονεκτήματα. μία δὲ αὐτῶν ἐκ παρατάξεως ἐγένετο μάχη, Φιδήνης πόλεως πλησίον, ἁπάσαις συμβαλόντων ταῖς δυνάμεσιν. ἐν ᾗ πολλοὶ μὲν ἔπεσον ἀμφοτέρων, ἐνίκησαν δὲ Ῥωμαῖοι, καὶ Λατίνους ἠνάγκασαν λιπόντας τὸν χάρακα νύκτωρ εἰς τὰς ἑαυτῶν πόλεις ἀπελθεῖν.

Μετὰ δὲ τὸν ἀγῶνα τοῦτον, ἔχων συντεταγμένην τὴν Ῥωμαίων δύναμιν ὁ Ταρκύνιος, ἐπὶ τὰς πόλεις αὐτῶν ἐχώρει, λόγους προσφέρων περὶ φιλίας. οἱ δ' οὔτ' ἐν τῷ κοινῷ συνεστῶσαν ἔχοντες δύναμιν, οὔτε ταῖς ἰδίαις παρασκευαῖς πεποιθότες, ἐδέχοντο τὰς προκλήσεις, καὶ παρεδίδοσαν αὐτῶν τινες τὰς πόλεις, ὁρῶντες, ὅτι ταῖς μὲν ἁλούσαις κατὰ κράτος ἀνδραποδισμοί τε ἠκολούθουν καὶ κατασκαφαί· ταῖς δὲ προσχωρούσαις καθ' ὁμολογίας, τὸ πειθαρχεῖν τοῖς κεκρατηκόσι μόνον, ἄλλο δὲ οὐδὲν. Μετὰ δὲ ταῦτα, ἐπὶ τὰς πόλεις τῶν Λατίνων ἦγε τὴν δυνα-

cap. 51.

cap. 54.

δύναμιν, ὡς μάχῃ τὰς μὴ προσχωρέσας αὐτῷ παραςησόμενος· ἐ μὴν ἐδέησέ γε αὐτῷ τειχομαχίας. ἅπαντες γὰρ εἰς ἱκεσίας καὶ δεήσεις ἐτράποντο, καὶ πρέσβεις ἀπὸ τἒ κοινἒ πέμψαντες, καταλύσαθαι τὸν πόλεμον ἠξίεν, ἐφ' ὃις αὐτὸς ἐβέλετο, καὶ τὰς πόλεις παρέδοσαν. γενόμενος δὲ τῶν πόλεων κατὰ τάσδε τὰς ὁμολογίας ὁ βασιλεὺς κύριος, ἐπιεικέςατα πάσαις προσηνέχθη καὶ μετριώτατα. ἔτε γὰρ ἀπέκτεινεν, ἔτε φεύγειν ἠνάγκασεν, ἔτε χρήμασιν ἐζημίωσε Λατίνων ἐδένα· γῆν τε αὐτοῖς καρπἒθαι τὴν ἑαυτῶν ἐπέτρεψε, καὶ πολιτεύμασι χρῆθαι τοῖς πατρίοις ἐφῆκεν· ἀποδἒναι δὲ ἐκέλευσε Ῥωμαίοις τὲς τε αὐτομόλες καὶ τὲς αἰχμαλώτες ἄνευ λύτρων, θεράποντάς τε ἀποκαταςῆσαι τοῖς δεσπόταις, ὅσων ἐγένοντο κατὰ τὰς προνομὰς κύριοι, καὶ χρήματα, ὅσα ἀφείλοντο τὲς γεωργὲς, διαλῦσαι, καὶ εἴ τι ἄλλο κατέβλαψαν ἢ διέφθειραν ἐν ταῖς εἰσβολαῖς, ἐπανορθῶσαι. ταῦτα δὲ ποιήσαντας εἶναι φίλες Ῥωμαίων καὶ συμμάχες, ἅπαντα πράττοντας, ὅσα ἂν ἐκεῖνοι κελεύωσιν. ὁ μὲν δὴ πρὸς Λατίνες Ῥωμαίοις πόλεμος εἰς τἒτο τὸ τέλος κατέσκηψε· καὶ βασιλεὺς Ταρκύνιος τὸν ἐπινίκιον ἐκ τἒ πολέμε τέτε κατήγαγε θρίαμβον.

cap. 55. Sabinos & Hetruscos, (sive Bell. Sab. V.)

Τῷ δ' ἑξῆς ἔτει παραλαβὼν τὴν δύναμιν, ἐπὶ Σαβίνες ἦγεν, ἐκ πολλἒ τὴν προαίρεσιν αὐτἒ καὶ τὴν παρασκευὴν τὴν ἐφ' ἑαυτὲς προεγνωκότας. ἐχ ὑπομείναντες δὲ εἰς τὴν ἑαυτῶν χώραν παρεῖναι τὸν πόλεμον, ἀλλ' ἀντιπαρασκευασάμενοι δύναμιν ἱκανὴν, ἐχώρεν ὁμόσε, Τυῤῥηνῶν ἔχοντες δύναμιν ἱκανὴν πρὸς συμμαχίαν· ἔφθασε δὲ ὁ Ταρκύνιος ἀγχινοίᾳ ςρατηγικῇ πάντα συντρίψας τὰ τῶν Σαβίνων πράγματα, καὶ τὰς παρεμβολὰς αὐτῶν ἀμφοτέρας ἀράμενος.

cap. 56.

Λαβὼν δὲ ὁ Ταρκύνιος ἀμφότερα τὰ ςρατόπεδα, τὰ μὲν ἐν αὐτοῖς καταληφθέντα χρήματα τοῖς ςρατιώταις ἐπέτρεψε διανείμαθαι, τὲς δὲ αἰχμαλώτες πολλὲς πάνυ ὄντας Σαβίνων τε αὐτῶν καὶ Τυῤῥηνῶν, εἰς Ῥώμην ἀγαγὼν διὰ πολλῆς εἶχε φυλακῆς. Σαβῖνοι μὲν ἐν ἐγκωσιμάχησαν ἀπὸ τῆς τότε συμφορᾶς βιαθέντες, καὶ πρεσβευτὰς ἀποςείλαντες ἀνοχὰς ἐποιήσαντο τἒ πολέμε σπονδὰς ἑξαετεῖς· Τυῤῥηνοὶ δὲ, ὀργῇ φέροντες, ὅτι ἥττηντό τε ὑπὸ Ῥωμαίων πολλάκις, καὶ ὅτι τὲς αἰχμαλώτες

Digitized by Google

λῶτες αὐτοῖς ὁ Ταρκύνιος ἐκ ἀπεδίδε πρεσβευσαμένοις, ἀλλ' ἐν ὁμήρων κατεῖχε λόγῳ, ψήφισμα ποιȣ̃νται πάσας Τυῤῥηνῶν πόλεις κοινῇ τὸν κατὰ Ῥωμαίων πόλεμον ἐκφέρειν· τὴν δὲ μὴ μετέχȣσαν τῆς ϛρατείας ἔκσπονδον ἔιναι. Μετὰ δὲ πλείονας μάχας ἡ τελευταία μὲν Ῥωμαίων καὶ Τυῤῥηνῶν ἐγένετο πόλεως Ἠρήτȣ πλησίον, ἐν τῇ Σαβίνων γῇ· διʼ ἐκείνης γὰρ ἐποιήσαντο τὴν ἐπὶ Ῥωμαίȣς ἔλευσιν οἱ Τυῤῥηνοὶ, πειθέντες ὑπὸ τῶν ἐκεῖ δυνατῶν, ὡς συϛρατευσομένων σφίσι τῶν Σαβίνων. αἱ γὰρ ἑξαετεῖς ἀυτοῖς περὶ τῆς ἐιρήνης πρὸς Ταρκύνιον ἀνοχαὶ διεληλύθεσαν ἤδη, καὶ πολλοῖς τῶν Σαβίνων πόθος ἦν, ἐπανορθώσασθαι τὰς προτέρας ἥττας, ἐπιτεθραμμένης ἐν ταῖς πόλεσι νεότητος ἱκανῆς. ȣ̓ μὴν ἐχώρησέ γε ἀυτοῖς ἡ πεῖρα κατὰ νȣ̃ν, θᾶττον ἐπιφανείσης τῆς Ῥωμαίων ϛρατιᾶς, ȣ̓δ' ἐξεγένετο παρ' ȣ̓δεμιᾶς τῶν πόλεων κοινὴν ἀποϛαλῆναι τοῖς Τυῤῥηνοῖς συμμαχίαν, ἀλλὰ ἐθελονταί τινες ἐπεκȣ́ρησαν ἀυτοῖς ὀλίγοι μισθοῖς μεγάλοις ὑπαχθέντες. ἐκ ταύτης τῆς μάχης, μεγίϛης τῶν προτέρων γενομένης, ὅσας πρὸς ἀλλήλȣς ἐπολέμησαν, τὰ μὲν Ῥωμαίων πράγματα θαυμαϛὴν ὅσην ἐπίδοσιν ἔλαβε, νίκην ἐξενεγκαμένων καλλίϛην, καὶ βασιλεῖ Ταρκυνίῳ τὴν τροπαιοφόρον πομπὴν κατάγειν ἥτε βȣλὴ καὶ ὁ δῆμος ἐψηφίσατο. τὰ δὲ τῶν Τυῤῥηνῶν ἔπεσε φρονήματα, πάσας μὲν ἐξαποϛειλάντων ἐις τὸν ἀγῶνα τὰς ἐξ ἑκάϛης πόλεως δυνάμεις, ὀλίγȣς δέ τινας τȣ̀ς διασωθέντας ἐκ πολλῶν ὑποδεξαμένων. οἱ μὲν γὰρ ἐν τῇ παρατάξει μαχόμενοι κατεκόπησαν, οἱ δ' ἐν τῇ τροπῇ δυσχωρίαις ἐγκυρήσαντες ἀνεξόδοις, παρέδοσαν τοῖς κεκρατηκόσιν ἑαυτȣ́ς. τοιαύτης μέντοι συμφορᾶς πειραθέντες οἱ δυνατώτατοι τῶν ἐν ταῖς πόλεσιν, ἔργον ἐποίησαν ἀνθρώπων φρονίμων. ἑτέραν γὰρ ϛρατιὰν ἐξαγαγόντος ἐπ' ἀυτȣ̀ς βασιλέως Ταρκυνίȣ, συναχθέντες ἐις μίαν ἀγορὰν, περὶ καταλύσεως τȣ̃ πολέμȣ διαλέγεσθαι πρὸς ἀυτὸν ἐψηφίσαντο· καὶ πέμπȣσι τȣ̀ς πρεσβυτάτȣς ἄνδρας καὶ τιμιωτάτȣς ἐξ ἑκάϛης πόλεως, αὐτοκράτορας ἀποδείξαντες τῶν περὶ τῆς ἐιρήνης ὁμολογιῶν.

cap. 59.

Ὁ δὲ βασιλεὺς ἀκȣ́σας ἀυτῶν, πολλὰ διαλεχθέντων ἐπαγωγὰ πρὸς ἐπιείκειαν καὶ μετριότητα, καὶ τῆς συγγενείας, ἧς ἔιχε πρὸς τὸ ἔθνος, ὑπομιμνησκόντων, ἓν τȣ̃το μόνον ἔφη βȣ́λεσθαι παρ' ἀυτῶν μαθεῖν, πότερον ἔτι διαφέρονται

cap. 60.

περὶ

περὶ τῶν ἴσων, καὶ ἐπὶ ῥητοῖς τισι τὰς περὶ τῆς εἰρήνης ὁμολογίας πάρεισι ποιησόμενοι, ἢ συγγινώσκουσιν ἑαυτοῖς κεκρατημένοις, καὶ τὰς πόλεις ἐπιτρέπουσιν αὐτῷ. ἀποκριναμένων δ᾽ αὐτῶν, ὅτι καὶ τὰς πόλεις ἐπιτρέπουσιν αὐτῷ, καὶ τὴν εἰρήνην στέρξουσιν, ἐφ᾽ οἷς ἂν ποτε δικαίοις αὐτῆς τύχωσι, περιχαρὴς ἐπὶ τούτοις γενόμενος, "Ἀκούσατε νῦν, "ἔφησεν, ἐφ᾽ οἷς [ἄν ποτε] δικαίοις καταλύσομαι τὸν πό-"λεμον, καὶ τίνας ὑμῖν δίδωμι χάριτας· ἐγὼ Τυῤῥηνῶν "οὔτε ἀποκτεῖναί τινα πρόθυμός εἰμι, οὔτε φυγάδα ποιῆ-"σαι τῆς πατρίδος, οὔτε ἀφαιρέσει τῶν ὑπαρχόντων ζημιῶ-"σαι· τάς τε πόλεις ὑμῖν ἀφίημι πάσας ἀφρουρήτους καὶ "ἀφορολογήτους καὶ αὐτονόμους, πολιτείας τε κόσμον ἑκά-"στῃ φυλάττειν συγχωρῶ τὸν ἀρχαῖον. διδοὺς δὲ ταῦθ᾽ ὑ-"μῖν, ἓν οἴομαι δεῖν, ἀνθ᾽ ὧν δίδωμι πάντων, ὑπάρξαι "μοὶ παρ᾽ ὑμῶν, τὴν ἡγεμονίαν τῶν πόλεων, ἧς κύριος "μὲν ἔσομαι, καὶ μὴ βουλομένων ὑμῶν, ἕως ἂν κρατῶ τοῖς "ὅπλοις· παρ᾽ ἑκόντων δὲ μᾶλλον ἢ παρ᾽ ἀκόντων τυχεῖν "αὐτῆς βούλομαι. ταῦτ᾽ ἀπαγγέλλετε ταῖς πόλεσιν, ἐγὼ "δὲ ὑμῖν ἐκεχειρίαν, ἕως ἂν ἀφίκησθε, παρέξειν ὑπισχνοῦ-"μαι." Ταύτας λαβόντες οἱ πρέσβεις τὰς ἀποκρίσεις ᾤχοντο, καὶ μετ᾽ ὀλίγας ἡμέρας παρῆσαν, οὐ λόγους αὐτῷ μόνον φέροντες ψιλούς, ἀλλὰ καὶ σύμβολα τῆς ἡγεμονίας, οἷς ἐκόσμουν αὐτοὶ τοὺς σφετέρους βασιλεῖς, κομίζοντες, στέφανόν τε χρύσεον, καὶ θρόνον ἐλεφάντινον, καὶ σκῆπτρον ἀετὸν ἔχον ἐπὶ τῆς κεφαλῆς, χιτῶνά τε πορφυροῦν χρυσόσημον, καὶ περιβόλαιον πορφυροῦν ποικίλον, οἷα Λυδῶν τε καὶ Περσῶν ἐφόρουν οἱ βασιλεῖς, πλὴν οὐ τετράγωνόν γε τῷ σχήματι, καθάπερ ἐκεῖνα ἦν, ἀλλ᾽ ἡμικύκλιον. τὰ δὲ τοιαῦτα τῶν ἀμφιεσμάτων Ῥωμαῖοι μὲν τόγας, Ἕλληνες δὲ τήβεννον καλοῦσιν, οὐκ οἶδ᾽, ὁπόθεν μαθόντες· Ἑλληνικὸν γὰρ οὐ φαίνεταί μοι τοὔνομα εἶναι. ὡς δέ τινες ἱστοροῦσι, καὶ τοὺς δώδεκα πελέκεις ἐκόμισαν αὐτῷ, λαβόντες ἐξ ἑκάστης πόλεως ἕνα. Τυῤῥηνὸν γὰρ ἔθος εἰδόκει, ἑκάστου τῶν κατὰ πόλιν βασιλέων ἕνα προηγεῖσθαι ῥαβδοφόρον, ἅμα τῇ δέσμῃ τῶν ῥάβδων πέλεκυν φέροντα· εἰ δὲ κοινὴ γίνοιτο τῶν δώδεκα πόλεων στρατεία, τοὺς δώδεκα πελέκεις ἑνὶ παραδίδοσθαι τῷ λαβόντι τὴν αὐτοκράτορα ἀρχήν. οὐ μὴν ἅπαντές γε συμφέρονται τοῖς ταῦτα λέγουσιν, ἀλλὰ

cap. 61.

παλαί-

Digitized by Google

παλαίτερον ἔτι τῆς Ταρκυνίȣ βασιλείας πελέκεις δώδεκα πρὸ τῶν βασιλέων Φέρεσθαί Φασι· κατασήσασθαι δὲ τὸ ἔθος Ῥωμύλον ἐυθὺς ἅμα τῷ παραλαβεῖν τὴν ἀρχήν. ἐδὲν δὲ κωλύει, τὸ μὲν ἕυρημα Τυῤῥηνῶν ἔιναι, χρήσασθαι δ' αὐτῷ πρῶτον Ῥωμύλον παρ' ἐκείνων λαβόντα, κομισθῆναι δὲ καὶ Ταρκυνίῳ σὺν τοῖς ἄλλοις κόσμοις βασιλικοῖς καὶ τὰς δώδεκα πελέκεις, ὥσπερ γε καὶ νῦν Ῥωμαῖοι τὰ σκῆπτρα καὶ τὰ διαδήματα δωρȣ̃νται τοῖς βασιλεῦσι, βεβαιȣ̃ντες αὐτοῖς τὰς ἐξȣσίας· ἐπεὶ καὶ μὴ λαβόντες παρ' ἐκείνων, ἔχȣσιν αὐτά. Ταύταις μὲν τίμαῖς ὁ Ταρκύνιος ὀκ ἐυθὺς ἐχρήσατο λαβὼν, ὡς οἱ πλεῖςοι γράφȣσι τῶν Ῥωμαϊκῶν συγγραφέων· ἀλλ' ἀποδȣ̀ς τῇ βȣλῇ καὶ τῷ δήμῳ τὴν διάγνωσιν, ἐι ληπτέον αὐτὰ, ἐπειδὴ πᾶσι βȣλομένοις ἦν, τότε προσεδέξατο, καὶ πάντα τὸν ἐξ ἐκείνȣ χρόνον, ἕως εἰς τὸ χρεὼν μετέςη, ςέφανόν τε χρύσεον ἐφόρει καὶ πορφυρᾶν ἐσθῆτα ποικίλην ἀμπείχετο, καὶ σκῆπτρον ἐλεφάντινον ἔχων ἐπὶ θρόνȣ ἐκαθέζετο ἐλεφαντίνȣ, καὶ οἱ δώδεκα ῥαβδȣ̃χοι τȣ̀ς πελέκεις φέροντες ἅμα ταῖς ῥάβδοις δικάζοντί τε αὐτῷ παρίςαντο, καὶ πορευομένȣ προηγȣ̃ντο. ὗτος ὁ κόσμος ἅπασι, καὶ τοῖς μετ' ἐκεῖνον τὴν βασιλικὴν ἀρχὴν ἔχȣσι παρέμεινε, καὶ μετὰ τὴν ἐκβολὴν τῶν βασιλέων τοῖς κατ' ἐνιαυτὸν ὑπάτοις, ἔξω τȣ̃ ςεφάνȣ καὶ τῆς ποικίλης ἐσθῆτος· ταῦτα δ' αὐτῶν ἀφηρέθη μόνα, φορτικὰ δόξαντα ἔιναι καὶ ἐπίφθονα. πλὴν ὅταν ἐκ πολέμȣ νίκην κατάγοντες, θριάμβȣ παρὰ τῆς βȣλῆς ἀξιωθῶσι, τότε καὶ χρυσοφορȣ̃σι, καὶ ποικίλαις ἀλȣργίσιν ἀμφιέννυνται. ὁ μὲν ὖν πρὸς Τυῤῥηνȣ̀ς συςὰς Ταρκυνίῳ πόλεμος, ἔτη κατασχὼν ἐννέα, τοιαύτην ἔσχε συντέλειαν. *cap. 62.*

Ἑνὸς δὲ καταλειπομένȣ τȣ̃ Σαβίνων ἔθνȣς ἀντιπάλȣ Ῥωμαίοις ὑπὸ τῆς ἀλκῆς, ἄνδρας τε μαχητὰς ἔχοντος, καὶ χώραν νεμομένȣ πολλὴν καὶ ἀγαθὴν, καὶ τῆς Ῥώμης ȣ̓ πρόσω κειμένην, πολλὴν ἔσχεν ὁ Ταρκύνιος προθυμίαν, καὶ τȣ́τȣς ὑπαγαγέσθαι, καὶ προεῖπεν αὐτοῖς τὸν πόλεμον, ἐγκαλῶν ταῖς πόλεσιν, ὅτι τȣ̀ς ὑποσχομένȣς Τυῤῥηνοῖς, ἐὰν ἀφίκωνται ςρατὸν ἄγοντες εἰς τὴν χώραν αὐτῶν, ἐκείνοις μὲν φίλας, Ῥωμαίοις δ' ἐχθρὰς ποιήσειν τὰς ἰδίας πατρίδας, ἀπαιτȣ́μενοι ὀκ ἐβȣ́λοντο ἐκδȣ̃ναι. οἱ δὲ ἄσμενοί τε ὑποδέχονται τὸν πόλεμον, ὀκ ἀξιȣ̃ντες τȣ̀ς δυνατωτάτȣς *cap. 63. Sabinos iterum.*

τῶν

τῶν ἀςῶν ἀφαιρεθῆναι· καὶ πρὶν ἀφικέσθαι Ῥωμαίων δυνάμιν ἐπὶ σφᾶς, αὐτοὶ ςρατὸν ἐξάγουσιν ἐπὶ τὴν ἐκείνων.

cap. 65. Οὗτος ὁ πόλεμος ἔτη πέντε διέμεινε συνεχῶς πολεμούμενος, ἐν ᾧ γῆν ἀμφότεροι τὴν ἀλλήλων πορθοῦντες, καὶ μάχας πολλὰς ἐλάττους τε καὶ μείζους μαχόμενοι διετέλεσαν, ὀλίγα μέν τινα καὶ τῶν Σαβίνων διευτυχούντων ἐν τοῖς ἀγῶσι, τὰ δὲ πλεῖςα Ῥωμαίων. ἐν δὲ τῇ τελευταίᾳ μάχῃ τέλος ἔλαβεν ὁλοσχερές. Σαβῖνοι γὰρ οὐχ ὡς πρότερον ἐκ διαδοχῆς, ἀλλ᾽ ἅμα πάντες οἱ ςρατεύσιμον ἔχοντες ἡλικίαν, ἐξῆλθον ἐπὶ τὸν πόλεμον· Ῥωμαῖοί τε σύμπαντες, τὰς Λατίνων καὶ Τυῤῥηνῶν καὶ τῶν ἄλλων συμμάχων δυνάμεις παραλαβόντες, ἐχώρουν ὁμόσε

cap. 66. τοῖς πολεμίοις. Γενομένου δὲ ἀγῶνος καρτεροῦ δι᾽ ὅλης ἡμέρας, ἐνίκων οἱ Ῥωμαῖοι κατὰ πολύ· καὶ πολλοὺς μὲν ἀποκτείναντες ἐν τῇ μάχῃ τῶν πολεμίων γενομένους ἄνδρας ἀγαθοὺς, πολλῷ δ᾽ ἔτι πλείους αἰχμαλώτους λαβόντες ἐν τῇ φυγῇ, τῶν δὲ παρεμβολῶν ἀμφοτέρων ἐγκρατεῖς γενόμενοι, καὶ χρημάτων μέγαν περιβαλόμενοι πλοῦτον, ἀδεῶς ἤδη τῆς ὑπαίθρου πάσης ἐκράτουν· ἣν πυρὶ καὶ σιδήρῳ καὶ πᾶσι λωβησάμενοι κακοῖς, ἐπειδὴ τὸ θέρος ἐτελεύτα, λύσαντες τὰς παρεμβολὰς ἀπῄεσαν ἐπ᾽ οἴκου. καὶ ὁ βασιλεὺς Ταρκύνιος τρίτον ἐπὶ τῆς ἰδίας ἀρχῆς τὸν ἐκ τῆσδε τῆς μάχης κατήγαγε θρίαμβον. τῷ δ᾽ ἑξῆς ἐνιαυτῷ παρασκευαζομένου πάλιν ςρατὸν τοῦ βασιλέως ἐπὶ τὰς πόλεις τῶν Σαβίνων ἐξάγειν, καὶ πολιορκίαις αὐτὰς προσάγεσθαι διεγνωκότος, γενναῖον μὲν οὐδὲν ἔτι βούλευμα καὶ νεανικὸν οὐδεμιᾶς ἐγένετο, κοινῇ δὲ πᾶσαι γνώμῃ χρησάμεναι, πρὶν εἰς κίνδυνον ἐλθεῖν ἀνδραποδισμοῦ καὶ κατασκαφῆς, καταλύσασθαι τὸν πόλεμον ἔγνωσαν. καὶ παρῆσαν ἐξ ἑκάςης πόλεως οἱ κράτιςοι τῶν Σαβίνων πρὸς βασιλέα Ταρκύνιον, ἐξεληλυθότα μετὰ πάσης ἤδη δυνάμεως, παραδιδόντες αὐτῷ τὰ τείχη, καὶ δεόμενοι μετρίας ποιήσασθαι συμβάσεις. ὁ δὲ ἀσπαςῶς δεξάμενος τὴν ἄνευ κινδύνου ὑποταγὴν τοῦ ἔθνους, σπονδάς τε ποιεῖται πρὸς αὐτοὺς ὑπὲρ εἰρήνης τε καὶ φιλίας, ἐπὶ ταῖς αὐταῖς ὁμολογίαις, αἷς Τυῤῥηνοὺς πρότερον ὑπηγάγετο, καὶ τοὺς αἰχμαλώτους ἀπέδωκεν αὐτοῖς ἄνευ λύτρων.

Αυ-

Digitized by Google

Αὗται αἱ πολεμικαὶ πράξεις βασιλέως Ταρκυνίου μνημονεύονται. εἰρηνικαὶ δὲ καὶ πολιτικαὶ τοιαίδε τινές. οὐδὲ γὰρ αὐτὰς βούλομαι παρελθεῖν ἀμνημονεύτους. εὐθὺς γὰρ ἅμα τῷ παραλαβεῖν τὴν ἀρχὴν, τὸν δημοτικὸν ὄχλον οἰκεῖον ἑαυτῷ ποιῆσαι προθυμηθεὶς, ὥσπερ οἱ πρότερον βασιλεῖς ἐποίουν, διὰ τοιαύτης εὐεργεσίας ὑπηγάγετο. ἐπιλέξας ἄνδρας ἑκατὸν ἐκ πάντων τῶν δημοτικῶν, οἷς ἀρετήν τινα πολεμικὴν ἢ πολιτικὴν φρόνησιν ἅπαντες ἐμαρτύρουν, πατρικίους ἐποίησε, καὶ κατέταξεν εἰς τὸν τῶν βουλευτῶν ἀριθμόν. καὶ τότε πρῶτον ἐγένοντο Ῥωμαίοις τριακόσιοι βουλευταὶ, τέως ὄντες διακόσιοι. ἔπειτα ταῖς ἱεραῖς παρθένοις, ὑφ᾽ ὧν τὸ ἄσβεστον φυλάττεται πῦρ, τέτταρσιν οὔσαις, δύο προσκατέλεξεν ἑτέρας· πλειόνων γὰρ ἤδη συντελουμένων ὑπὲρ τῆς πόλεως ἱερουργιῶν, αἷς ἔδει τὰς τῆς Ἑστίας παρεῖναι θυηπόλους, οὐκ ἐδόκουν αἱ τέτταρες ἀρκεῖν. Ταρκυνίου δὲ ἄρξαντος ἠκολούθουν οἱ λοιποὶ βασιλεῖς, καὶ μέχρι τῶν καθ᾽ ἡμᾶς χρόνων ἀποδείκνυνται ἓξ τῆς Ἑστίας ἀμφίπολοι. δοκεῖ δὲ καὶ τὰς τιμωρίας, αἷς κολάζονται πρὸς τῶν ἱεροφαντῶν αἱ μὴ φυλάττουσαι τὴν παρθενίαν, ἐκεῖνος ἐξευρεῖν πρῶτος, εἴτε κατὰ λογισμὸν, εἴτε, ὡς οἴονταί τινες, ὀνείροις πειθόμενος, ἃ μετὰ τὴν ἐκείνου τελευτὴν ἐν τοῖς Σιβυλλείοις εὑρεθῆναι χρησμοῖς οἱ τῶν ἱερῶν ἐξηγηταὶ λέγουσιν. ἐφωράθη γάρ τις ἐπὶ τῆς ἐκείνου βασιλείας ἱέρεια Πιναρία Ποπλίου θυγάτηρ, οὐχ ἁγνὴ προσιοῦσα τοῖς ἱεροῖς. Τήν τε ἀγορὰν, ἐν ᾗ δικάζουσι καὶ ἐκκλησιάζουσι, καὶ τὰς ἄλλας ἐπιτελοῦσι πολιτικὰς πράξεις, ἐκεῖνος ἐκόσμησεν, ἐργαστηρίοις τε καὶ τοῖς ἄλλοις κόσμοις περιλαβών· καὶ τὰ τείχη τῆς πόλεως αὐτοσχέδια, καὶ φαῦλα ταῖς ἐργασίαις ὄντα, πρῶτος ἐδοκίμασε λίθοις ἁμαξιαίοις εἰργασμένοις πρὸς κανόνα κατασκευάζειν. ἤρξατο δὲ καὶ τὰς ὑπονόμους ὀρύττειν τάφρους, δι᾽ ὧν ἐπὶ τὸν Τίβεριν ὀχετεύεται πᾶν τὸ συῤῥέον ἐκ τῶν στενωπῶν ὕδωρ, ἔργα θαυμαστὰ καὶ κρείττω λόγου κατασκευασάμενος. ἔγωγ᾽ οὖν ἐν τρισὶ τοῖς μεγαλοπρεπεστάτοις κατασκευάσμασι τῆς Ῥώμης, ἐξ ὧν μάλιστα τὸ τῆς ἡγεμονίας ἐμφαίνεται μέγεθος, τάς τε τῶν ὑδάτων ἀγωγὰς τίθεμαι, καὶ τὰς τῶν ὁδῶν στρώσεις, καὶ τὰς τῶν ὑπονόμων ἐργασίας, οὐ μόνον εἰς τὸ χρήσιμον τῆς κατασκευῆς

cap. 67. Res domi gestæ.

Senatum auxit centum senatoribus.

Virginibus quatuor Vestalibus duas alias addidit.

Forum officinis ornavit, muros e lapidibus quadratis exstruendos, cloacas fodendas curavit.

Digitized by Google

σκευῆς τὴν διάνοιαν Φέρων· ὑπὲρ ȣ̃ κατὰ τὸν οἰκεῖον καιρὸν ἐρῶ· ἀλλὰ καὶ εἰς τὴν τῶν ἀναλωμάτων πολυτέλειαν, ἣν ἐξ ἑνὸς ἔργȣ τεκμήραιτ' ἄν τις, Γάϊον Ἀκύλιον ποιησάμενος τȣ̃ μέλλοντος λέγεσθαι βεβαιωτὴν, ὅς Φησιν ἀμεληθεισῶν ποτε τῶν τάΦρων καὶ μηκέτι διαῤῥεομένων, τȣ̀ς τιμητὰς τὴν ἀνακάθαρσιν αὐτῶν καὶ τὴν ἐπισκευὴν χιλίων μισθῶσαι ταλάντων.

cap. 68. Circum maximum adornavit.

Κατεσκεύασε δὲ καὶ τὸν μέγισον τῶν ἱπποδρόμων Ταρκύνιος τὸν μεταξὺ τȣ̃ τε Ἀυεντίνȣ καὶ τȣ̃ Παλαντίȣ κείμενον, πρῶτον ὑποσέγȣς περὶ αὐτὸν ποιήσας καθέδρας· τέως γὰρ ἑςῶτες ἐθεώρȣν ἐπ' ἰκρίων, δοράτων ξυλίναις σκηναῖς ἐπικειμένων· καὶ διελὼν τȣ̀ς τόπȣς εἰς τριάκοντα Φράτρας, ἑκάςῃ Φράτρᾳ μοῖραν ἀπέδωκε μίαν, ὥςε ἐν τῇ προσηκέσῃ χώρᾳ καθεζόμενον ἕκασον θεωρεῖν. ἔμελλε δὲ ἄρα σὺν χρόνῳ καὶ τȣ̃το τὸ ἔργον ἐν τοῖς πάνυ καλοῖς καὶ θαυμασοῖς κατασκευάσμασι τῆς πόλεως γενήσεσθαι. μῆκος μὲν γὰρ τȣ̃ ἱπποδρόμȣ τριῶν καὶ ἡμίσεȣς ἐσὶ σαδίων· εὖρος δὲ, τεττάρων πλέθρων· πέριξ δὲ αὐτȣ̃ κατά τε τὰς μείζȣς πλευρὰς, καὶ κατὰ μίαν τῶν ἐλαττόνων, εὔριπος εἰς ὑποδοχὴν ὕδατος ὀρώρυκται, βάθος τε καὶ πλάτος δεκάπȣς. μετὰ δὲ τὸν εὔριπον ᾠκοδόμηνται σοαὶ τρίσεγοι. τȣ́των δὲ αἱ μὲν ἐπίπεδοι, λιθίνας ἔχȣσιν, ὥσπερ ἐν τοῖς θεάτροις, ὀλίγον ὑπερανεσηκυίας καθέδρας· αἱ δ' ὑπερῷοι, ξυλίνας. συνάγονται δ' εἰς τὸ αὐτὸ καὶ συνάπτȣσιν ἀλλήλαις αἱ μείζȣς, ὑπὸ τῆς ἐλάττονος, μηνοειδȣ̃ς ἐχȣ́σης τὸ σχῆμα, συγκλειόμεναι· ὥςε μίαν ἐκ τῶν τριῶν γενέσθαι σοὰν ἀμΦιθέατρον, ὀκτὼ σαδίων, ἱκανὴν ὑποδέξασθαι πεντεκαίδεκα μυριάδας ἀνθρώπων. ἡ δὲ λοιπὴ τῶν ἐλαττόνων πλευρῶν ἄιθριος ἀνειμένη ψαλιδωτὰς ἱππαΦέσεις ἔχει, διὰ μιᾶς ὕσπληγγος ἅμα πάσας ἀνοιγομένας. ἔςι δὲ καὶ περὶ τὸν ἱππόδρομον ἔξωθεν ἑτέρα σοὰ μονόσεγος, ἐργασήρια ἔχȣσα ἐν αὐτῇ, καὶ οἰκήσεις ὑπὲρ αὐτὰ· δι' ἧς εἰσιν εἴσοδοί τε καὶ ἀναβάσεις τοῖς ἐπὶ τὴν θέαν ἀΦικνȣμένοις παρ' ἕκασον ἐργασήριον, ὥςε μηδὲν ἐνοχλεῖσθαι τὰς τοσάσδε μυριάδας εἰσιȣ́σας τε καὶ ἀπολυομένας.

cap. 69. Templum Jovi, Junoni & Minervæ ædificare aggressus est.

Ἐνεχείρησε δὲ καὶ τὸν νεὼν κατασκευάζειν τȣ̃τε Διὸς καὶ τῆς Ἥρας καὶ τῆς Ἀθηνᾶς, ὁ βασιλεὺς ἔτος, εὐχὴν ἀποδιδȣ̀ς, ἥνπερ ἐποιήσατο τοῖς θεοῖς ἐν τῇ τελευταίᾳ πρὸς

Σα-

Digitized by Google

Σαβίνες μάχῃ. τὸν μὲν ἦν λόφον, ἐφ' ᾧ τὸ ἱερὸν ἔμελλεν ἱδρῦσθαι, πολλῆς δεόμενον πραγματείας· ἄτε γὰρ εὐπρόσοδος ἦν, ἄτε ὁμαλὸς, ἀλλ' ἀπότομος καὶ εἰς κορυφὴν συναγόμενος ὀξεῖαν· ἀναλήμμασιν ὑψηλοῖς πολλαχόθεν περιλαβὼν, καὶ πολὺν χῶν εἰς τὸν μεταξὺ τῶν τε ἀναλημμάτων καὶ τῆς κορυφῆς τόπον ἐμφορήσας, ὁμαλὸν γενέσθαι παρεσκεύασε, καὶ πρὸς ὑποδοχὴν ἱερῶν ἐπιτηδειότατον. τὰς δὲ θεμελίας ἐκ ἔφθασε θεῖναι τῷ νεῷ, χρόνον ἐπιβιώσας μετὰ τὴν κατάλυσιν τῦ πολέμυ τετραετῆ. πολλοῖς δ' ὕστερον ἔτεσιν ὁ τρίτος βασιλεύσας ἀπ' ἐκείνυ Ταρκύνιος, ὁ τῆς ἀρχῆς ἐκπεσὼν, τάς τε θεμελίας κατεβάλετο, καὶ τῆς οἰκοδομῆς τὰ πολλὰ εἰργάσατο. ὁ μὲν ἐτελείωσε τὸ ἔργον ἐδ' αὐτὸς, ἀλλ' ἐπὶ τῶν ἐνιαυσίων ἀρχόντων τῶν κατὰ τὸν τρίτον ἐνιαυτὸν ὑπατευσάντων, τὴν συντέλειαν ἔλαβεν ὁ νεώς.

cap. 72. Tarquinii oblitus per insidias filiorum Anci Marcii.

Βασιλεὺς δὲ Ταρκύνιος ἀναπεπαυμένος ἤδη τῶν πολεμικῶν διὰ γῆρας· ἦν γὰρ ὀγδοηκονταέτης· δολοφονηθεὶς ὑπὸ τῶν Ἄγκυ Μαρκίυ παίδων ἀποθνήσκει, ἐπιχειρησάντων μὲν ἔτι πρότερον ἐκβαλεῖν αὐτὸν ἐκ τῆς ἀρχῆς, καὶ πολλάκις τῦτο διαπραγματευσαμένων, κατ' ἐλπίδα τῦ περιπεσεῖν εἰς αὐτὰς, ἐκπεσόντος ἐκείνυ, τὴν δυναστείαν, ὡς δὴ πατρῴαν σφίσιν ὑπάρχυσαν, καὶ ἐκ τῦ ῥᾴσυ πρὸς τῶν πολιτῶν δοθησομένην. ἐπεὶ δὲ διήμαρτον τῆς ἐλπίδος, ἐπιβυλὴν ἄφυκτον κατ' αὐτῦ ἐμηχανήσαντο, ἣν ἐκ εἴασεν ἀτιμώρητον γενέσθαι τὸ δαιμόνιον. Νεανίσκυς δύο τῶν ἀπὸ τῆς συνωμοσίας τὰς τολμηροτάτυς ποιμενικαῖς ἐνδύσαντες στολαῖς, καὶ δρεπάνοις καθοπλίσαντες ὑλυργοῖς, πέμπυσιν ἐπὶ τὴν οἰκίαν τῦ βασιλέως ἡμέρας μεσύσης, διδάξαντες, ἃ χρὴ λέγειν, καὶ τὸν τρόπον τῆς ἐπιθέσεως αὐτοῖς ὑφηγησάμενοι. ἦτοι πλησίον τῶν βασιλείων γενόμενοι, κακῶς τε ἀλλήλυς ἔλεγον, ὡς ἀδικύμενοι, καὶ ὐδὲ τὼ χεῖρε τῶν σωμάτων ἀπείχοντο, βοῇ τε μεγάλῃ χρώμενοι τὴν παρὰ τῦ βασιλέως βοήθειαν ἐκάλυν ἀμφότεροι, παρόντων αὐτοῖς συχνῶν ἐκ τῆς συνωμοσίας ἀγροίκων δὲ τῷ λόγῳ, συναγανακτύντων ἀμφοτέροις καὶ συμμαρτυρύντων. ὡς δὲ εἰσκαλέσας αὐτὰς ὁ βασιλεὺς λέγειν ἐκέλευσε περὶ ὧν διεφέροντο· αἰγῶν μὲν ἕνεκα διαμφισβητεῖν ἐσκή-

cap. 73.

πτον-

Digitized by Google

πτοντο· κεκραγότες δὲ ἅμα καὶ παθαινόμενοι τὸν ἄγριοι τρόπον, καὶ μηδὲν εἰς τὸ πρᾶγμα λέγοντες, πολὺν ἐκίνησαν ἐξ ἁπάντων γέλωτα. ὡς δ᾽ ἐκ τοῦ καταφρονεῖσθαι καιρὸν ἔδοξαν εἰληφέναι τῆς ἐπιθέσεως τὸν ἐπιτήδειον; φέρουσι κατὰ τῆς κεφαλῆς τοῦ βασιλέως πληγὰς τοῖς δρεπάνοις, καὶ τοῦτο πράξαντες ἔφευγον ἔξω θυρῶν. κραυγῆς δὲ γενομένης ἐπὶ τῷ πάθει, καὶ συνδραμούσης πολλῆς βοηθείας, οὐ δυνηθέντες διαφυγεῖν, συλλαμβάνονται πρὸς τῶν ἐπιδιωξάντων· καὶ μετὰ τοῦτο βασάνοις καταικισθέντες, καὶ τοὺς ἀρχηγοὺς τῆς ἐπιβουλῆς ἀναγκασθέντες εἰπεῖν, τῆς προσηκούσης τιμωρίας ἔτυχον σὺν χρόνῳ.

Ibidem. Lib. IV. c. 1. Servius Tullius, 578–535. ante Chr. A. U. 176–219. Quibus natalibus ortus.

Βασιλεὺς μὲν δὴ Ταρκύνιος, οὐ μικρῶν, οὐδὲ ὀλίγων Ῥωμαίοις ἀγαθῶν αἴτιος γενόμενος, ὀκτὼ καὶ τριάκοντα ἔτη τὴν ἀρχὴν κατασχὼν, οὕτω τελευτᾷ, υἱούς τε δύο καταλιπὼν νηπίους, καὶ δύο θυγατέρας ἀνδράσιν ἤδη συνοικούσας. διάδοχος δὲ τῆς ἡγεμονίας ὁ γαμβρὸς αὐτοῦ γίνεται Τύλλιος, ἐνιαυτῷ τετάρτῳ τῆς πεντηκοστῆς ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Ἐπιτελίδης Λάκων, ἄρχοντος Ἀθήνησιν Ἀρχεστρατίδου· περὶ οὗ καιρὸς ἤδη λέγειν, ἃ κατ᾽ ἀρχὰς παρελίπομεν, ἐξ ὧν τε γονέων ἔφυ, καὶ τίνας ἀπεδείξατο πράξεις ἰδιώτης ὢν ἔτι, καὶ πρὶν ἐπὶ τὴν δυναστείαν παρελθεῖν. τὰ μὲν οὖν γένους αὐτοῦ λεγόμενα, οἷς μάλιστα ἔγωγε συγκατατίθεμαι, τοιαῦτ᾽ ἐστιν. ἐν Κορνικόλῳ πόλει τοῦ Λατίνων ἔθνους ἀνήρ τις ἐκ τοῦ βασιλείου γένους, Τύλλιος ὄνομα, γυναικὶ συνῆν Ὀκρισίᾳ, καλλίστῃ τε καὶ σωφρονεστάτῃ τῶν ἐν Κορνικόλῳ γυναικῶν. αὐτὸς μὲν ὁ Τύλλιος, ὅθ᾽ ἡ πόλις ὑπὸ Ῥωμαίων κατελαμβάνετο, μαχόμενος ἀποθνήσκει· τὴν δὲ Ὀκρισίαν, ἐγκύμονα οὖσαν, ἐκ τῶν λαφύρων Ταρκύνιος βασιλεὺς ἐξαίρετον λαμβάνει, καὶ δίδωσι δωρεὰν τῇ ἑαυτοῦ γυναικί. μαθοῦσα δ᾽ ἐκείνη πάντα τὰ περὶ τὴν ἄνθρωπον, οὐ πολλοῖς χρόνοις ὕστερον ἐλευθέραν ἀφίησι, καὶ πασῶν μάλιστα γυναικῶν ἀσπαζομένη τε καὶ τιμῶσα διετέλεσεν. ἐκ ταύτης γίνεται τῆς Ὀκρισίας ἔτι δουλευούσης παιδίον, ᾧ τίθεται τραφέντι ἡ μήτηρ τὸ μὲν ἴδιόν τε καὶ συγγενικὸν ὄνομα, Τύλλιον, ἐπὶ τοῦ πατρός· τὸ δὲ κοινὸν καὶ προσηγορικὸν, Σερούϊον, ἐπὶ τῆς ἰδίας τύχης, ὅτι δουλεύου-

λεύσα ἔτεκεν αὐτόν. εἴη δ᾽ ἂν ὁ Σερέϊος εἰς τὴν Ἑλληνικὴν διάλεκτον μεταβιβαζόμενος, Δέλιος.

Ἃ δὲ πρὸ τοῦ βασιλεῦσαι διεπράξατο λόγου ἄξια, ἐξ ὧν Ταρκύνιός τε αὐτὸν ἠγάσθη, καὶ ὁ Ῥωμαίων δῆμος τῆς μετὰ βασιλέα ἠξίου τιμῆς, τοιάδε. ἀντίπαις μὲν ὢν ἔτι τῇ πρώτῃ στρατείᾳ, ἣν ἐπὶ Τυῤῥηνοὺς ὁ Ταρκύνιος ἐστράτευσεν, ἐν τοῖς ἱππεῦσι τεταγμένος, οὕτως ἔδοξεν ἀγωνίσασθαι καλῶς, ὥστε περιβόητος εὐθὺς γενέσθαι, καὶ τὰ ἀριστεῖα πρῶτος ἁπάντων λαβεῖν· ἔπειθ᾽ ἑτέρας γενομένης ἐπὶ τὸ αὐτὸ ἔθνος στρατείας καὶ μάχης καρτερᾶς περὶ πόλιν Ἤρητον, ἀνδρειότατος ἁπάντων φανεὶς, στεφάνοις αὖθις ἀριστείας ὑπὸ τοῦ βασιλέως ἐκοσμεῖτο. ἔτη δὲ γεγονὼς εἴκοσι μάλιστα, τῆς συμμαχικῆς στρατηγὸς ἀπεδείχθη δυνάμεως, ἣν Λατῖνοι ἔπεμψαν, καὶ συγκατεκτήσατο βασιλεῖ Ταρκυνίῳ τὴν τῶν Τυῤῥηνῶν ἀρχήν· ἔν τε τῷ πρὸς Σαβίνους πολέμῳ τῷ πρώτῳ συστάντι, τῶν ἱππέων ἀποδειχθεὶς ἡγεμὼν, ἐτρέψατο τοὺς τῶν πολεμίων ἱππεῖς, καὶ μέχρι πόλεως Ἀντέμνης ἐλάσας, τὰ ἀριστεῖα καὶ ἐκ ταύτης τῆς μάχης ἔλαβεν· ἑτέρας τε πολλὰς πρὸς τὸ αὐτὸ ἔθνος ἀγωνισάμενος μάχας, τοτὲ μὲν ἱππέων ἡγούμενος, τοτὲ δὲ πεζῶν, ἐν ἁπάσαις ἐφάνη ψυχὴν ἄριστος, καὶ πρῶτος ἐστεφανοῦτο τῶν ἄλλων. καὶ ἐπειδὴ παρέστη Ῥωμαίοις εἰς ὑπόταξίν τε καὶ παράδοσιν τῶν πόλεων τὸ ἔθνος, αἰτιώτατος εἶναι δόξας Ταρκυνίῳ καὶ ταύτης τῆς δυναστείας, τοῖς ἐπινικίοις στεφάνοις ἀνεδεῖτο ὑπ᾽ αὐτοῦ. ἦν δὲ καὶ φρονῆσαι τὰ πολιτικὰ συνετώτατος, καὶ λόγῳ τὰ βουλευθέντα ἐξενεγκεῖν οὐδενὸς χείρων, ἁπάσαις τε ἁρμόσαι ταῖς τύχαις καὶ παντὶ συνεξομοιωθῆναι τρόπῳ δυνατώτατος. καὶ διὰ ταῦτα Ῥωμαῖοι μὲν αὐτὸν ἐκ τοῦ δήμου μεταγαγεῖν ἠξίωσαν εἰς τοὺς πατρικίους, ψήφους ἐπενέγκαντες, ὥσπερ Ταρκύνιόν τε πρότερον, καὶ ἔτι πρὸ τούτου Νομᾶν Πομπίλιον. ὁ δὲ βασιλεὺς κηδεστὴν ἐποιήσατο, τὴν ἑτέραν τῶν θυγατέρων ἐγγυήσας· καὶ πάνθ᾽ ὅσα διὰ νόσους ἢ γῆρας ἀδύνατος ἦν ἐπιτελεῖν δι᾽ ἑαυτοῦ, τούτῳ πράττειν ἐπέσκηπτεν· οὐ μόνον τὸν ἴδιον οἶκον ἐπιτρέπων, ἀλλὰ καὶ τὰ κοινὰ τῆς πόλεως διοικεῖν ἀξιῶν. ἐφ᾽ οἷς ἅπασιν ἐξητάσθη πιστὸς καὶ δίκαιος, καὶ οὐδὲν ᾤοντο

cap. 3. Qua ratione ad imperium evectus.

Digitized by Google

το διαφέρειν οἱ δημόται, Ταρκύνιον ἐπιμελεῖσθαι τῶν κοινῶν, ἢ Τύλλιον· ὅτως ἐξεθεραπεύθησαν ὑπ' αὐτῦ ταῖς ἐυεργεσίαις. cap. 4. Φύσεώς τε δὴ μετειληφὼς ἀποχρώντως πρὸς ἡγεμονίαν κατεσκευασμένης ὅτος ὁ ἀνὴρ, καὶ τὰς παρὰ τῆς τύχης ἐσχηκὼς πολλὰς καὶ μεγάλας ἀφορμὰς, ἐπειδὴ τελευτῆσαι συνέβη Ταρκύνιον, ἐπιβȣλευθέντα ὑπὸ τῶν Ἄγκȣ Μαρκίȣ παίδων, ἀνασώσασθαι τὴν τȣ πατρὸς ἀρχὴν βȣλομένων, ὡς ἐν τῷ πρὸ τȣ́τȣ δεδήλωκα λόγῳ, δόξας ὑπὸ τῶν πραγμάτων αὐτῶν ἐπὶ τὴν βασίλειον καλεῖσθαι ἀρχὴν, δραστήριος ὢν ἀνὴρ, ȣ̓κ ἀφῆκεν ἐκ τῶν χειρῶν τὸν καιρόν. ἡ δὲ συγκατασκευάσασα τὴν ἡγεμονίαν αὐτῷ, καὶ πάντων αἰτία γενομένη τῶν ἀγαθῶν, ἡ τȣ τετελευτηκότος βασιλέως ἦν γυνὴ, γαμβρῷ τε συλλαμβάνȣσα ἰδίῳ, καὶ ἐκ πολλῶν συνεγνωκυῖα θεσφάτων, ὅτι βασιλεῦσαι Ῥωμαίων τὸν ἄνδρα ἐκεῖνον ȣ̔ίμαρτο. ἔτυχε δὲ αὐτῇ νεανίας μὲν υἱὸς, ȣ̓ πρὸ πολλȣ τετελευτηκὼς χρόνȣ, παιδία δὲ ἐξ ἐκείνȣ δύο νήπια καταλειπόμενα. ἐνθυμȣμένη δὲ τὴν περὶ τὸν οἶκον ἐρημίαν, καὶ περιδεὴς ȣ̓̃σα, μὴ κατασχόντες οἱ Μάρκιοι τὴν ἀρχὴν, ἄιρωνται τὰ παιδία, καὶ πᾶσαν τὴν βασιλικὴν συγγένειαν ἀφανίσωσι, πρῶτον μὲν τὰς τῶν βασιλείων θύρας ἔκλεισε, καὶ φύλακας ἐπ' αὐτὰς ἐπέστησε, διακελευσαμένη μηδένα παριέναι, μήτε ἔσω, μήτε ἔξω· ἔπειτ' ἐκ τȣ δωματίȣ πάντας ἐξελθεῖν κελεύσασα τȣ̀ς ἄλλȣς, ἐν ᾧ τὸν Ταρκύνιον ἡμιθνῆτα ἔθεσαν, τὴν δὲ Ὀκρισίαν, καὶ τὸν Τύλλιον, καὶ τὴν θυγατέρα τὴν συνοικȣ̃σαν τῷ Τυλλίῳ, κατασχȣ̃σα, καὶ τὰ παιδία ὑπὸ τῶν τροφῶν ἐνεχθῆναι κελεύσασα, λέγει πρὸς αὐτȣ̀ς· "Ταρκύνιος μὲν ἡμῖν, ὦ Τύλλιε, ὁ βασιλεὺς, παρ' "ᾧ τροφῆς καὶ παιδείας ἔτυχες, ἁπάντων μάλιστα φίλων "σε καὶ συγγενῶν τιμήσας, ἀνόσια παθὼν ἐκπεπλήρωκε "τὴν ἑαυτȣ μοῖραν, ȣ̓́τε περὶ τῶν ἰδίων πραγμάτων διαθέ"μενος ȣ̓δὲν, ȣ̓́τε περὶ τῶν κοινῶν καὶ πολιτικῶν ἐπισκή"ψας, ἀλλ' ȣ̓δὲ ἀσπάσασθαί τινα ἡμῶν, ȣ̓δὲ προσαγορεῦ"σαι τȣ̀ς ἐσχάτȣς ἀσπασμȣ̀ς δυνηθείς. ἔρημα δὲ καὶ ὀρ"φανὰ τὰ δύστηνα ταυτὶ παιδία καταλείπεται, κίνδυνον ȣ̓ "τὸν ἐλάχιστον ὑπὲρ τῆς ψυχῆς τρέχοντα· ἐι γὰρ ἐπὶ "Μαρκίοις, τοῖς ἀνελȣ̃σι τὸν πάππον αυτῶν, τὰ τῆς πό"λεως ἔσται πράγματα, τὸν ὄικτιστον ἀπολȣ̃νται τρόπον ὑπ' "αὐ-

Digitized by Google

"αὐτῶν· ἔσται τε οὐδ' ὑμῖν ἀσφαλὴς ὁ βίος, οἷς ἐνεγγύη-
"σεν ὁ Ταρκύνιος τὰς ἑαυτοῦ θυγατέρας, ἐκείνους ὑπερι-
"δὼν, ἐὰν οἱ φονεύσαντες αὐτὸν τὴν ἀρχὴν κατάσχωσιν,
"οὐδὲ τοῖς ἄλλοις αὐτοῦ φίλοις καὶ συγγενέσιν, οὐδ' ἡμῖν
"ταῖς ἀθλίαις γυναιξὶν· ἀλλὰ πάντας ἡμᾶς φανερῶς τε
"καὶ κρύφα πειράσονται διολέσαι. ταῦτα οὖν ἐνθυμουμέ-
"νους ἡμᾶς δεῖ μὴ περιορᾶν τοὺς ἐκεῖνον ἀποκτείναντας ἄν-
"δρας ἀνοσίους, καὶ πᾶσιν ἡμῖν ἐχθροὺς, τοσαύτην ἀρχὴν
"κτησομένους, ἀλλ' ἐναντιοῦσθαι καὶ κωλύειν, νῦν μὲν ἀπά-
"τῃ καὶ δόλῳ χρησαμένους· τούτων γὰρ ἐν τῷ παρόντι δεῖ·
"ὅταν δὲ τὰ πρῶτα ἡμῖν χωρήσῃ κατὰ νοῦν, τότε καὶ ἐκ
"τοῦ φανεροῦ πάσῃ δυνάμει καὶ μεθ' ὅπλων αὐτοῖς ὁμόσε
"χωροῦντας, ἐὰν ἄρα καὶ τούτων δεήσῃ. ἀλλ' οὐ δεήσει,
"βουληθέντων ἡμῶν πράττειν νῦν ἃ δεῖ. τίνα δὲ ταῦτ'
"ἐστί; πρῶτον μὲν κρυπτώμεθα τὸν τοῦ βασιλέως θάνατον,
"καὶ πρὸς ἅπαντας ἐξενεχθῆναι παρασκευάσωμεν, ὅτι πλη-
"γὴν οὐδεμίαν ἔχει καίριον· οἵ τε ἰατροὶ λεγέτωσαν, ἐν ὀλί-
"γαις ἡμέραις αὐτὸν ἀποδείξειν ὑγιῆ· ἔπειτ' ἐγὼ προελ-
"θοῦσα εἰς τοὐμφανὲς ἐρῶ πρὸς τὸν ὄχλον, ὡς δὴ Ταρκυ-
"νίου μοι ταῦτα εἰπεῖν ἐπισκήψαντος, ὅτι πάντων ἐπιδείκνυ-
"σιν ἐπιμελητὴν καὶ φύλακα τῶν ἰδίων καὶ τῶν κοινῶν,
"ἕως ἂν αὐτὸς ὑγιὴς ἐκ τῶν τραυμάτων γένηται, τὸν ἕτε-
"ρον τῶν ἑαυτοῦ υἱῶν, τὸ σὸν εἰποῦσα ὄνομα, ὦ Τύλλιε·
"ἔσται δὲ οὐκ ἄκουσι Ῥωμαίοις, ἀλλὰ βουλομένοις ὑπὸ
"σοῦ τὴν πόλιν ἐπιτροπεύεσθαι, ὑφ' οὗ πολλάκις ἤδη καὶ
"πρότερον ἐπετροπεύθη. ὅταν δὲ τὸν παρόντα κίνδυνον
"διασκεδάσωμεν· οὐδὲν γὰρ ἔτι τῶν ἐχθρῶν ἔσται ἰσχυρὸν,
"ζῆν τοῦ βασιλέως ἀγγελλομένου· παραλαβὼν σὺ τάς τε
"ῥάβδους καὶ τὴν τῶν ὅπλων ἐξουσίαν, κάλει τοὺς βουλεύ-
"σαντας ἀποκτεῖναι Ταρκύνιον ἐπὶ τὸν δῆμον, ἀπὸ τῶν
"Μαρκίου παίδων ἀρξάμενος, καὶ πρόθες αὐτοῖς δίκας·
"τιμωρησάμενος δὲ τούτους ἅπαντας, ἐὰν μὲν ὑπομείνωσι
"τὰς κρίσεις, θανάτοις· ἐὰν δὲ ἐρήμους ἀφῶσιν, ὃ μᾶλ-
"λον αὐτοὺς οἴομαι ποιήσειν, ἀειφυγίᾳ καὶ δημεύσει τῶν
"ὑπαρχόντων, καθίστασο ἤδη τὰ περὶ τὴν ἀρχὴν, ὁμι-
"λίαις τε φιλανθρώποις ἀναλαμβάνων τὸ πλῆθος, καὶ
"τοῦ μηδὲν ἀδίκημα γενέσθαι πολλὴν ἔχων φροντίδα, καὶ
"τοὺς ἀπόρους τῶν πολιτῶν εὐεργεσίαις τισὶ καὶ δωρεαῖς
"ἐπα-

Digitized by Google

"ἐπαγόμενος· ἔπειθ', ὅταν καιρὸς ἡμῖν εἶναι δοκῇ, τότε
"λέγωμεν ἀποτεθνηκέναι Ταρκύνιον, καὶ ταφὰς αὐτῷ
"ποιῶμεν ἀπὸ τοῦ φανεροῦ. δίκαιος δ' εἶ, Τύλλιε, τρα-
"φείς τε ὑφ' ἡμῶν καὶ παιδευθεὶς, καὶ πάντων μετεσχη-
"κὼς ἀγαθῶν, ὅσων παρὰ μητρός τε καὶ πατρὸς υἱοὶ με-
"ταλαμβάνουσι, καὶ θυγατρὶ συνοικῶν ἡμετέρᾳ, ἐὰν δὴ
"καὶ βασιλεὺς ἔτι γένῃ Ῥωμαίων, ἐμοῦ γε ἕνεκα τῆς εἰς
"τοῦτό σοι συναγωνισαμένης, πατρὸς εὔνοιαν τοῖς παιδίοις
"τοῖσδε παρασχέσθαι· ὅταν δὲ εἰς ἄνδρας ἔλθωσι καὶ τὰ
"κοινὰ πράττειν ἱκανοὶ γένωνται, τὸν πρεσβύτερον αὐτῶν
"ἀποδεῖξαι Ῥωμαίων ἡγεμόνα."

cap. 5. Ταῦτ' εἰποῦσα καὶ τῶν παιδίων ἑκάτερον εἰς τὰς ἀγκάλας ἐμβαλοῦσα τοῦ τε γαμβροῦ καὶ τῆς θυγατρὸς, καὶ πολὺν ἐξ ἀμφοτέρων κινήσασα οἶκτον, ἐπειδὴ καιρὸς ἦν, ἐξῆλθε τοῦ δωματίου, καὶ παρήγγειλε τοῖς ἔνδον εὐτρεπῆ τὰ πρὸς τὴν θεραπείαν ἐπιτήδεια ποιεῖν, καὶ τοὺς ἰατροὺς συγκαλεῖν. διαλιποῦσα δὲ τὴν μεταξὺ νύκτα, τῆς κατόπιν ἡμέρας πολλοῦ πρὸς τὰ βασίλεια συνδραμόντος ὄχλου, προῆλθεν εἰς τοὐμφανὲς ταῖς θυρίσιν ἐπιστᾶσα ταῖς φερούσαις εἰς τὸν πρὸ τῶν θυρῶν στενωπὸν, καὶ πρῶτον μὲν ἐδήλωσε τοῖς παροῦσι τοὺς βουλεύσαντας ἐπὶ τῷ βασιλεῖ τὸν φόνον, καὶ τοὺς ἐπὶ τοὔργον ἀποσταλέντας ὑπ' αὐτῶν δεδεμένους παρήγαγεν· ἔπειθ', ὡς εἶδε πολλοὺς ὀλοφυρομένους τε τὸ πάθος, καὶ τοῖς δεδρακόσιν ἀπεχθανομένους, τελευτῶσα εἶπεν, οὐδὲν αὐτοῖς ἐκ τῶν ἀνοσίων ἐπιβουλευμάτων γεγονέναι, οὐ δυνηθεῖσιν ἀποκτεῖναι Ταρκύνιον. ἀγαπητῶς δὲ ἁπάντων τὸν λόγον δεξαμένων, τότε τὸν Τύλλιον αὐτοῖς συνίστησιν, ὡς ὑπὸ τοῦ βασιλέως ἐπίτροπον ἁπάντων τε τῶν κοινῶν καὶ τῶν ἰδίων ἀποδεικνύμενον, ἕως ἂν αὐτὸς ῥαΐσῃ. ὁ μὲν οὖν δῆμος ἀπῄει περιχαρὴς γενόμενος, εἰ μηδὲν πέπονθε κακὸν ὁ βασιλεὺς, καὶ μέχρι πολλοῦ τὴν δόξαν ἔχων ταύτην διετέλει. ὁ δὲ Τύλλιος ἰσχυρὰν χεῖρα περὶ αὐτὸν ἔχων, καὶ τοὺς ῥαβδούχους ἐπαγόμενος τοὺς βασιλικοὺς, προῆλθεν εἰς τὴν ἀγορὰν, καὶ τοὺς Μαρκίους ἐκήρυττεν ἥκειν ὑφέξοντας δίκην: ὡς δ' οὐχ ὑπήκουον, ἐπικηρύξας αὐτοῖς ἀϊδίους φυγὰς, καὶ τὰς οὐσίας ἀναλαβὼν εἰς τὸ δημόσιον, ἀσφαλῶς ἤδη κατέσχε τὴν Ταρκυνίου ἀρχήν.

Ἐπεί-

Digitized by Google

Ἐπειδὴ δὲ παραλαβὼν τὴν ἐπιτροπὴν τῆς ἡγεμονίας ὁ Τύλλιος, καὶ τὴν ἑταιρείαν τῶν Μαρκίων ἐξελάσας, βεβαίως ἤδη τῆς ἀρχῆς ἐνόμιζε κρατεῖν, τόν τε βασιλέα Ταρκύνιον, ὡς ἐκ τῶν τραυμάτων τετελευτηκότα ἔναγχος, ἐκκομιδῇ τε πολυτελεῖ καὶ μνήματος ἐπισήμου κατασκευῇ, καὶ ταῖς ἄλλαις τιμαῖς ἐκόσμει, καὶ τὸν ἐξ ἐκείνου χρόνον, ὡς ἐπίτροπος ὢν τῶν ἐκ τοῦ βασιλείου γένους παίδων, τόν τε ἴδιον αὐτῶν βίον καὶ τὰ κοινὰ πράγματα τῆς πόλεως διὰ φυλακῆς τε καὶ φροντίδος ἐποιεῖτο. τοῖς δὲ πατρικίοις οὐκ ἦν τὰ γινόμενα καθ' ἡδονάς, ἀλλ' ἠγανάκτουν καὶ χαλεπῶς ἔφερον, οὐκ ἀξιοῦντες αὐτὸν ἑαυτῷ τινα μηχανήσασθαι βασιλικὴν ἐξουσίαν, μήτε βουλῆς ψηφισαμένης, μήτε τῶν ἄλλων τῶν κατὰ νόμον ἐπιτελεσθέντων. συνιόντες τε πολλάκις οἱ πλεῖστον ἐξ αὐτῶν δυνάμενοι, διελέγοντο πρὸς ἀλλήλους περὶ τῆς καταλύσεως τῆς παρανόμου ἀρχῆς· καὶ ἐδόκει αὐτοῖς, ἐπειδὰν πρῶτον εἰς τὸ συνέδριον ὑπὸ τοῦ Τυλλίου συναχθῶσιν, ἀναγκάσαι τὸν ἄνδρα τὰς ῥάβδους ἀποθέσθαι καὶ τὰ λοιπὰ τῆς ἀρχῆς σύμβολα· ὅταν δὲ τοῦτο γένηται, τοὺς καλουμένους μεσοβασιλεῖς ἀποδεῖξαι, καὶ δι' ἐκείνων ἑλέσθαι τὸν ἄρξοντα τῆς πόλεως κατὰ νόμον. ταῦτα διανοουμένων αὐτῶν, ἐπιγνοὺς ὁ Τύλλιος, ἐπὶ τὸ δημαγωγεῖν καὶ θεραπεύειν τοὺς ἀπόρους τῶν πολιτῶν ἐτρέπετο, δι' ἐκείνων ἐλπίσας τὴν ἀρχὴν καθέξειν.

cap. 8. Tullius e vicario rex factus.

Patricii ei insidiantur.

Αὐτὸς μὲν οὖν ἀπογράφεσθαι κελεύσας τοὺς ὑποχρέους, ὅσοι τὴν πίστιν ἀδύνατοι ἦσαν φυλάττειν, τίσιν ὀφείλουσι, καὶ πόσον ἕκαστος, ἐπειδὴ τὰς ἀπογραφὰς ἔλαβε, τραπέζας θεὶς ἐν ἀγορᾷ, πάντων ὁρώντων ἀπηρίθμει τοῖς δανεισταῖς τὰ χρέα. ταῦτα διαπραξάμενος ἐξέθηκεν ἐν φανερῷ διάταγμα βασιλικόν, ἐκχωρεῖν τῆς δημοσίας γῆς τοὺς καρπουμένους τε καὶ ἰδίᾳ κατέχοντας αὐτὴν ἐν ὡρισμένῳ τινὶ χρόνῳ, καὶ τοὺς οὐδένα κλῆρον ἔχοντας τῶν πολιτῶν πρὸς ἑαυτὸν ἀπογράφεσθαι· νόμους τε συνέγραφεν ἐκ τῶν ἀρχαίων καὶ παρημελημένων ἀνανεούμενος, οὓς Ῥωμύλος τε εἰσηγήσατο καὶ Νομᾶς Πομπίλιος, οὓς δὲ αὐτὸς καθιστάμενος. ταῦτα δὲ αὐτοῦ πολιτευομένου χαλεπῶς ἔφερον οἱ πατρίκιοι, καταλυομένην τὴν δυναστείαν τῆς βουλῆς ὁρῶντες, καὶ λογισμοὺς οὐκ ἔτι τοὺς αὐτοὺς, ἀλλ' ἐναντίους

cap. 10. Tullius igitur primum plebis favorem captat, beneficiis in egenos cives collatis.

τοῖς προτέροις ἐλάμβανον. ἐν ἀρχαῖς μὲν γὰρ ὥρμησαν ἀφελέσθαι τὴν παράνομον αὐτȣ̃ δυναςείαν, ἀποδείξαντες μεσοβασιλεῖς, καὶ δι' ἐκείνων ἑλέσθαι τὸν κατὰ νόμȣς ἄξοντα τὴν ἀρχήν· τότε δὲ ςέργειν ἐπὶ τοῖς παρȣ̃σιν ᾤοιτο δεῖν, καὶ μὴ πολυπραγμονεῖν. εἰσπίπτει γὰρ αὐτοῖς λογισμὸς, ὅτι τῆς μὲν βȣλῆς, ὃν αὐτὴ προῃρεῖτο παραγέσης ἐπὶ τὰ πράγματα, ὁ δῆμος ἐναντιώσεται τὴν ψῆφον ἀναλαβών· ἐὰν δὲ ἐπὶ τῷ δήμῳ ποιήσωσι τὴν αἵρεσιν τȣ̃ βασιλέως, ἅπασαι τὸν Τύλλιον ψηφηφορήσȣσιν αἱ φρατριαὶ, καὶ περιέςαι τῷ ἀνδρὶ τὸ δοκεῖν κατὰ νόμȣς ἄρχειν. ἔδοξεν ȣ̃ν αὐτοῖς ἄμεινον εἶναι, κλέπτοντα τὴν ἀρχὴν τὸν ἄνδρα, καὶ παρακρȣόμενον τȣ̀ς πολίτας μᾶλλον, ἢ πείσαντα καὶ φανερῶς λαβόντα κατέχειν. ἀλλ' ȣ̓δὲν αὐτοῖς ἐγένετο πρȣ̀ργȣ τῶν λελογισμένων· ȣ̔́τω κατεςρατήγησεν αὐτȣ̀ς ὁ Τύλλιος, καὶ κατέσχε τὴν βασιλείαν ἀκόντων ἐκείνων. κατασκευάσας γὰρ ἐκ πολλȣ̃ φήμας λέγεσθαι κατὰ τὴν πόλιν, ὡς ἐπιβȣλευόντων αὐτῷ τῶν πατρικίων, προῆλθεν εἰς τὴν ἀγορὰν ἐσθῆτα πιναρὰν περιβεβλημένος, καὶ κατηφὴς, συνȣ́σης αὐτῷ καὶ τῆς μητρὸς Ὀκρισίας, καὶ τῆς Ταρκυνίȣ γαμετῆς Τανακυλίδος, καὶ τῆς συγγενείας τῆς βασιλικῆς ὅλης. ὄχλȣ δὲ συνδραμόντος πολλȣ̃ πρὸς τὸ παράδοξον τῆς ὄψεως, ἐκκλησίαν συγκαλέσας προῆλθεν ἐπὶ τὸ βῆμα, καὶ διεξῆλθε τοιȣ̃τόν τινα λόγον.

cap. 11. deinde in oratione pro concione habita patriciorum insidias & consilia exponit;

"Οὐκ ἔτι περὶ τῶν Ταρκυνίȣ παίδων μόνον ὁ κίν"δυνός ἐςιν, ἵνα μηδὲν ὑπὸ τῶν ἐχθρῶν δεινὸν πάθω"σιν, ἀλλ' ἤδη καὶ περὶ τῆς ἐμῆς ψυχῆς δέος ἐπεισέρχε"ται, μὴ πικρὰς ἀμοιβὰς τῆς δικαιοσύνης ἀπολάβω. ἐπι"βȣλεύομαι γὰρ ὑπὸ τῶν πατρικίων, καὶ μεμήνυνταί μοι "τινὲς ἐξ αὐτῶν ἀποκτεῖναί με συνομνύμενοι, ἀδίκημα μὲν "ȣ̓́τε μεῖζον, ȣ̓́τε ἔλαττον ἔχοντες ἐγκαλεῖν, ὧν δὲ τὸν δῆ"μον εὖ πεποίηκα καὶ παρεσκεύασμαι ποιεῖν, ἀχθόμενοί τε "καὶ ἀναξιοπαθȣ̃ντες· οἱ δανεισαὶ μὲν, ὅτι τȣ̀ς πένητας "ὑμᾶς ȣ̓κ εἴασα τὴν ἐλευθερίαν ἀφαιρεθῆναι, ὑπ' αὐτῶν "πρὸς τὰ χρέα ἀχθέντας· οἱ δὲ κατανοσφιζόμενοι τὰ δη"μόσια, καὶ κατέχοντες, ἣν ὑμεῖς δι' αἵματος ἐκτήσασθε γῆν, "ἐκλιπεῖν ἀναγκαζόμενοι, ὥσπερ τὰ πατρῷα ἀποςερȣ́μενοι· "καὶ οἱ τὰ ἀλλότρια ἀποδιδόντες οἶκȣ, ἀνειμένοι τῶν εἰσφο-

"ρῶν

"ρῶν τῶν ἐις τὺς πολέμυς, ὅτι τιμήσαθαι τὺς βίυς ἀναγ-
"καθήσονται, καὶ ἀπὸ τῶν τιμημάτων τὰς ἐισφορὰς συνεισ-
"φέρειν· κοινῇ δὲ σύμπαντες, ὅτι κατὰ νόμυς γεγραμμέ-
"νυς ἐθιθήσονται ζῆν, τὰ δίκαια ἐξ ἴσυ διδόντες ὑμῖν καὶ
"λαμβάνοντες, ἀλλ' ἐχ ὥσπερ ἀργυρωνήτοις παραχρήσονται
"τοῖς πένησιν, ὃ ποιῦσι νῦν. καὶ ταῦτα δὴ τὰ ἐγκλήματα
"συνενέγκαντες ἐις τὸ κοινὸν, βεβύλευνται καὶ συνομωμόκα-
"σι κατάγειν τὺς φυγάδας, καὶ τοῖς Μαρκίυ παισὶ τὴν βα-
"σιλείαν ἀποδιδόναι, ὓς ὑμεῖς Ταρκύνιον ἀποκτείνοντας, τὸν
"βασιλέα ὑμῶν, ἄνδρα χρηςὸν καὶ φιλόπολιν, καὶ τηλικῦ-
"το διαπραξαμένυς ἄγος, τάς τε δίκας ἐρήμυς ἐκλιπόντας,
"καὶ φυγὴν ἑαυτοῖς ταμιευσαμένυς, πυρὸς καὶ ὕδατος ἔιρ-
"γειν ἐψηφίσαθε· ἔμελλόν τε, ἐι μὴ θᾶττον ἐμοὶ περὶ τύ-
"των ἐγένετο μήνυσις, ξενικήν τινα δύναμιν ἐπαγόμενοι,
"νυκτὸς ἔτι πολλῆς ἐις τὴν πόλιν κατάγειν τὺς φυγάδας.
"τὰ μετὰ ταῦτα πάντες ἴςε δήπυ, κἂν ἐγὼ μὴ λέγω, ὅτι
"Μάρκιοι, συλλαμβανόντων αὐτοῖς τῶν πατρικίων, κατα-
"σχόντες τὰ πράγματα δίχα πόνυ, πρῶτον μὲν ἐμὲ τὸν φύ-
"λακα τῶν βασιλέων, καὶ τὰς κατ' αὐτῶν ἐπιτελεσάμενοι
"δίκας, ἔμελλον ἀναρπάσαθαι, ἔπειτα ταυτὶ τὰ παιδία καὶ
"τὺς ἄλλυς συγγενεῖς τε καὶ φίλυς Ταρκυνίυ πάντας ἀναι-
"ρεῖθαι· γυναῖκας δ' ἡμῶν καὶ μητέρας καὶ θυγατέρας καὶ
"πᾶν τὸ θῆλυ γένος ἐν ἀνδραπόδων ποιήσαθαι λόγῳ, πολὺ
"τὸ θηριῶδες ἔχοντες ἐν τῇ φύσει, καὶ τυραννικόν. ἐι μὲν
"ὖν καὶ ὑμῖν ταῦτα βυλομένοις ἐςὶν, ὦ δημόται, τὺς μὲν
"ἀνδροφόνυς κατάγειν, καὶ βασιλεῖς ἀποδεικνύναι, τὺς δὲ
"τῶν ἐυεργετῶν παῖδας ἐξελαύνειν, καὶ τὴν ὑπὸ τῦ πάππυ
"καταλειφθεῖσαν ἀρχὴν ἀφαιρεῖθαι, ςέρξομεν τὴν τύχην.
"ἀλλὰ πρὸς ἁπάντων τε θεῶν καὶ δαιμόνων, ὅσοι τὸν ἀν-
"θρώπινον ἐποπτεύυσι βίον, ἱκέται πάντων ὑμῶν γενόμενοι
"σὺν γυναιξί τε καὶ τέκνοις, ἀντὶ πολλῶν μὲν, ὧν ὁ Ταρ-
"κύνιος, ὁ τῶν παιδίων πάππος, ἒυ ποιῶν ὑμᾶς διετέλεσεν,
"ἀντὶ πολλῶν δὲ, ὧν ἐγὼ αὐτὸς κατὰ τὴν ἐμαυτῦ δύναμιν
"ἐγενόμην ὑμῖν χρήσιμος, ἀξιῦμεν ὑμᾶς, μίαν ἡμῖν ταύτην
"δῦναι δωρεὰν, φανερὰν ποιῆσαι τὴν ὑμῶν αὐτῶν γνώμην.
"ἐι γὰρ ἀξιονικοτέρυς τινὰς ἑτέρυς ὑπειλήφατε ἡμῶν ἔιναι,
"ταύτης τῆς τιμῆς τυγχάνειν, τὰ μὲν παιδία οἰχήσεται τὴν
"πόλιν ὑμῖν καταλιπόντα, καὶ ἡ ἄλλη Ταρκυνίυ συγγένεια·

"ἐγὼ δὲ ἕτερόν τι βουλεύσομαι γενναιότερον ὑπὲρ ἐμαυτοῦ·
"βεβίωται γὰρ ἤδη μοι καὶ πρὸς ἀρετὴν καὶ πρὸς εὐδοξίαν
"ἀποχρώντως, καὶ οὐκ ἂν ἀξιώσαιμι τῆς παρ' ὑμῶν εὐνοίας
"ψευσθεὶς, ἣν ἀντὶ πάντων εἱλόμην ἀγαθῶν, ζῆν αἰσχρῶς
"ἐν ἄλλοις τισί. παραλάβετε δὴ τὰς ῥάβδους, καὶ δότε,
"εἰ βούλεσθε, τοῖς πατρικίοις· ἐγὼ δ' ὑμῖν οὐκ ἐνοχλήσω
"παρών."

cap. 12. Plebiscito rex creatur.

Ταῦτα λέγοντος αὐτοῦ, καὶ ἀναχωρεῖν οἵου τε ὄντος ἀπὸ τοῦ βήματος, κραυγή τε παρὰ πάντων ἐξαίσιος ἐγένετο, καὶ δεήσεις μεμιγμέναι δάκρυσιν, ἵνα μένῃ τε καὶ διακατέχῃ τὰ πράγματα, μηδένα δεδοικώς. ἔπειτ' ἐγκέλευστοί τινες διειληφότες τὴν ἀγορὰν, βασιλέα ποιεῖν αὐτὸν ἀνεβόων, καὶ συγκαλεῖν τὰς φράτρας ἠξίουν, ψῆφόν τε ᾔτουν. ἀρξαμένων δὲ τούτων, εὐθὺς ὁ δῆμος ἅπας ἐπὶ τῆς αὐτῆς προαιρέσεως ἐγεγόνει. τοῦτο καταμαθὼν ὁ Τύλλιος οὐκ ἔτι παρῆκε τὸν καιρὸν, ἀλλὰ πολλὰ αὐτοῖς εἰδέναι φήσας χάριτας, ὅτι μέμνηνται τῶν εὐεργεσιῶν, καὶ ἔτι πλείονα ὑποσχόμενος ἀγαθὰ ποιήσειν, ἐὰν αὐτὸν ἀποδείξωσι βασιλέα, προεῖπεν ἡμέραν ἀρχαιρεσιῶν, εἰς ἣν ἐκέλευσε καὶ τοὺς ἐκ τῶν ἀγρῶν ἅπαντας παρεῖναι. συνελθόντος δὲ τοῦ δήμου, καλῶν τὰς φράτρας, ἀνεδίδου κατὰ μίαν τὰς ψήφους. ἁπάσαις δὲ ταῖς φράτραις κριθεὶς τῆς βασιλείας ἄξιος, πολλὰ χαίρειν τῇ βουλῇ φράσας, ἣ οὐκ ἠξίωσεν ἐπικυρῶσαι τὰ τοῦ δημοτικοῦ πλήθους, ὥσπερ αὐτῇ ποιεῖν ἔθος ἦν, κατέσχε τὴν ἀρχήν. τοῦτον δὲ τὸν τρόπον ἐπὶ τὴν βασιλείαν παρελθὼν, πολλῶν μὲν καὶ ἄλλων πολιτευμάτων εἰσηγητὴς ἐγένετο, μέγαν δὲ καὶ λόγου ἄξιον πρὸς Τυῤῥηνοὺς ἐπολέμησε πόλεμον. ποιήσομαι δὲ περὶ τῶν πολιτευμάτων αὐτοῦ πρῶτον τοὺς λόγους.

cap. 13. Res domi gestæ. Agrum publicum civibus dividit; duosque colles urbi addit.

Εὐθὺς ἅμα τῷ παραλαβεῖν τὴν ἀρχὴν, διένειμε τὴν δημοσίαν χώραν τοῖς θητεύουσι Ῥωμαίων· ἔπειτα τοὺς νόμους, τούς τε συναλλακτικοὺς, καὶ τοὺς περὶ τῶν ἀδικημάτων, ἐπεκύρωσε ταῖς φράτραις· ἦσαν δὲ πεντήκοντά που μάλιστα τὸν ἀριθμὸν, ὧν οὐδὲν δέομαι μεμνῆσθαι κατὰ τὸ παρόν. τῇ τε πόλει προσέθηκε δύο λόφους, τόν τε Οὐϊμινάλιον καλούμενον καὶ τὸν Ἰσκυλῖνον, ὧν ἑκάτερος ἀξιολόγου πόλεως ἔχει μέγεθος, καὶ διένειμεν αὐτοὺς τοῖς ἀνεστίοις Ῥωμαίων οἰκίας κατασκευάσασθαι, ἔνθα καὶ αὐτὸς ἐποιή-

Digitized by Google

ἐποιήσατο τὴν οἴκησιν, ἐν τῷ κρατίστῳ τῆς Ἰσκυλίας τόπῳ. οὗτος ὁ βασιλεὺς τελευταῖος ηὔξησε τὸν περίβολον τῆς πόλεως, τοὺς δύο τοῖς πέντε προσθεὶς λόφους, ὀρνιθευσάμενός τε, ὡς νόμος ἦν, καὶ τἄλλα τὰ πρὸς θεοὺς ὅσια διαπραξάμενος. προσωτέρω δὲ οὐκ ἔτι προῆλθεν ἡ κατασκευὴ τῆς πόλεως, οὐκ ἐῶντος, ὥς φασι, τοῦ δαιμονίου· ἀλλ' ἐστὶν ἅπαντα τὰ περὶ τὴν πόλιν οἰκούμενα χωρία, πολλὰ ὄντα καὶ μεγάλα, γυμνὰ καὶ ἀτείχιστα, καὶ ῥᾷστα πολεμίοις ἐλθοῦσιν ὑποχείρια γενέσθαι· καὶ εἰ μὲν εἰς ταῦτά τις ὁρῶν, τὸ μέγεθος ἐξετάζειν βουλήσεται τῆς Ῥώμης, πλανᾶσθαί τε ἀναγκασθήσεται, καὶ οὐχ ἕξει βέβαιον σημεῖον οὐδὲν, ᾧ διαγνώσεται, μέχρι τοῦ προβαίνουσα ἡ πόλις ἔτι πόλις ἐστὶ, καὶ πόθεν ἄρχεται μηκέτι εἶναι πόλις· οὕτω συνύφανται τῷ ἄστει ἡ χώρα, καὶ εἰς ἄπειρον ἐκμηκυνομένης πόλεως ὑπόληψιν τοῖς θεωμένοις παρέχεται. εἰ δὲ τῷ τείχει, τῷ δυσευρέτῳ μὲν ὄντι διὰ τὰς περιλαμβανούσας αὐτὸ πολλαχόθεν οἰκήσεις, ἴχνη δέ τινα φυλάττοντι κατὰ πολλοὺς τόπους τῆς ἀρχαίας κατασκευῆς, βουληθείη μετρεῖν αὐτὴν κατὰ τὸν Ἀθηναῖον κύκλον τὸν περιέχοντα ἄστυ, οὐ πολλῷ τινι μείζων ὁ τῆς Ῥώμης ἂν αὐτῷ φανείη κύκλος. ἀλλ' ὑπὲρ μὲν τοῦ μεγέθους τε καὶ κάλλους τῆς πόλεως, ὡς κατὰ τὴν ἐμὴν εἶχεν ἡλικίαν, ἕτερος ἔσται τῇ διηγήσει καιρὸς ἐπιτηδειότερος.

cap. 14. Urbis partes & tribus.

Ὁ δὲ Τύλλιος, ἐπειδὴ τοὺς ἑπτὰ λόφους ἑνὶ τείχει περιέλαβεν, εἰς τέσσαρα μέρη διελὼν τὴν πόλιν, καὶ θέμενος ἐπὶ τῶν λόφων ταῖς μοίραις τὰς ἐπικλήσεις, τῇ μὲν Παλατίνην, τῇ δὲ Σαβουράνην, τῇ τρίτῃ δὲ Κολλίνην, τῇ τετάρτῃ δὲ τῶν μοιρῶν Ἰσκυλίνην, τετράφυλον ἐποίησε τὴν πόλιν εἶναι, τρίφυλον οὖσαν τέως, καὶ τοὺς ἀνθρώπους ἔταξε τοὺς ἐν ἑκάστῃ μοίρᾳ τῶν τεττάρων οἰκοῦντας, ὥσπερ κωμήτας, μήτε λαμβάνειν ἑτέραν οἴκησιν, μήτε ἀλλαχόθι που συντελεῖν τάς τε καταγραφὰς τῶν στρατιωτῶν καὶ τὰς εἰσπράξεις τὰς γινομένας τῶν χρημάτων εἰς τὰ στρατιωτικὰ, καὶ τὰς ἄλλας χρείας, ἃς ἕκαστον ἔδει τῷ κοινῷ παρέχειν· καὶ οὐκ ἔτι κατὰ τὰς τρεῖς φυλὰς τὰς γενικὰς στρατιωτικὰ, ὡς πρότερον, ἀλλὰ κατὰ τὰς τέσσαρας τὰς τοπικὰς, καὶ τὰς ὑφ' ἑαυτοῦ διαταχθείσας ἐποιεῖτο, ἡγεμόνας ἐφ' ἑκάστης ἀποδείξας συμμορίας, ὥσπερ

Digitized by Google

περ Φυλάρχȣς ἢ κωμάρχας, ὃις προσέταξεν ἐιδέναι, ποίαν ὀικίαν ἕκαςος ὀικεῖ· ἔπειτα κατὰ πάντας ἐκέλευσε τὰς ςενωπȣ̀ς ἱερὰς κατασκευασθῆναι καλιάδας ὑπὸ τῶν γειτόνων ἥρωσι προνωπίοις, καὶ θυσίας αὐτοῖς ἐνομοθέτησεν ἐπιτελεῖσθαι καθ' ἕκαςον ἐνιαυτὸν, πελάνȣς ἐισφερȣ́σης ἑκάςης ὀικίας. τοῖς δὲ τὰ περὶ τῶν γειτόνων ἱερὰ συντελȣ̃σιν ἐν τοῖς προνωπίοις, ȣ̓ τȣ̀ς ἐλευθέρȣς, ἀλλὰ τȣ̀ς δȣ́λȣς ἔταξε παρεῖναί τε καὶ συνιερȣργεῖν, ὡς κεχαρισμένης τοῖς ἥρωσι τῆς τῶν θεραπόντων ὑπηρεσίας· ἣν ἔτι καὶ καθ' ἡμᾶς ἑορτὴν ἄγοντες Ῥωμαῖοι διετέλȣν, ὀλίγαις ὕςερον ἡμέραις τῶν Κρονίων, σεμνὴν ἐν ταῖς πάνυ καὶ πολυτελῆ, Κομπιτάλια προσαγορεύοντες αὐτὴν ἐπὶ τῶν ςενωπῶν· κομπίτȣς γὰρ τȣ̀ς ςενωπȣ̀ς καλȣ̃σι· καὶ Φυλάττȣσι τὸν ἀρχαῖον ἐθισμὸν ἐπὶ τῶν ἱερῶν, διὰ τῶν θεραπόντων τȣ̀ς ἥρωας ἱλασκόμενοι, καὶ ἅπαν τὸ δȣ̃λον αὐτῶν ἀφαιρȣ̃ντες ἐν ταῖς ἡμέραις ἐκείναις· ἵνα τῇ Φιλανθρωπίᾳ ταύτῃ τιθασσευόμενοι, μέγα τι καὶ σεμνὸν ἐχȣ́σῃ, χαριέςεροι γίνωνται περὶ τȣ̀ς δεσπότας, καὶ τὰ λυπηρὰ τῆς τύχης ἧττον βαρύνωνται.

cap. 15. Διεῖλε δὲ καὶ τὴν χώραν ἅπασαν, ὡς μὲν Φάβιός Φησιν, ἐις μοίρας ἓξ καὶ ἔικοσιν, ἃς καὶ αὐτὰς καλεῖ Φυλὰς, καὶ τὰς ἀςικὰς προςιθεὶς αὐταῖς τέτταρας, καὶ τριάκοντα Φυλὰς ἀμΦοτέρων. Κάτων μέν τοι τȣ́των ἐπὶ Τυλλίȣ τὰς πάσας γενέσθαι λέγει· ὡς δὲ Ὀυενώνιος ἱςόρηκεν, ἐις μίαν καὶ τριάκοντα Φυλὰς, ἀξιοπιςότερος ὢν, ȣ̓χ ὁρίζει τῶν μοιρῶν τὸν ἀριθμόν. διελὼν δ' ȣ̓̃ν ὁ Τύλλιος ἐις ὁπόσας δήποτε μοίρας τὴν γῆν, κατὰ τȣ̀ς ὀρεινȣ̀ς, καὶ πολὺ τὸ ἀσΦαλὲς τοῖς γεωργοῖς παρέχειν δυνησομένȣς ὀχθȣ̀ς, κρησΦύγετα κατεσκεύασεν, Ἑλληνικοῖς

Pagi. ὀνόμασιν αὐτὰ καλῶν Πάγȣς. ἔνθα συνέΦευγον ἐκ τῶν ἀγρῶν ἅπαντες, ὁπότε πολεμίων ἔΦοδος γένοιτο, καὶ τὰ πολλὰ διενυκτέρευον ἐνταῦθα. ἄρχοντες δὲ καὶ τȣ́των ἦσαν, ὃις ἐπιμελὲς ἐγίνετο, τά τε ὀνόματα τῶν γεωργῶν ἐιδέναι τῶν συντελȣ́ντων ἐις τὸν αὐτὸν πάγον, καὶ τὰς κτήσεις, ἐν ἁις ὁ βίος αὐτῶν ἦν· καὶ, ὁπότε χρεία γένοιτο, ἐπὶ τὰ ὅπλα τȣ̀ς χωρήτας καλεῖν, ἢ χρημάτων ἐισΦορὰς κατ' ἄνδρα ἐκλέγειν, ȣ̓̃τοι τά τε σώματα συνῆγον, καὶ τὰ χρήματα ἐισέπραττον. ἵνα δὲ καὶ τȣ́των ἡ πλη-

πλῆθὺς μὴ δυσεύρετος, ἀλλ' εὐλόγιςος ἢ καὶ Φανερὰ, βωμὸς ἐκέλευσεν αὐτοῖς ἱδρύσασθαι θεῶν ἐπισκόπων τε καὶ Φυλάκων τῦ πάγυ, ὓς ἔταξε θυσίαις κοιναῖς γεραίρειν καθ' ἕκασον ἐνιαυτὸν ἅμα συνερχομένυς, ἑορτήν τινα, καὶ ταύτην ἐν ταῖς πάνυ τιμίαν, κατασησάμενος, τὰ καλύμενα Παγανάλια· καὶ νόμυς ὑπὲρ τῶν ἱερῶν τύτων, ὓς ἔτι διὰ Φυλακῆς ἔχυσι Ῥωμαῖοι, συνέγραψεν. εἰς δὲ τὴν θυσίαν ταύτην καὶ τὴν σύνοδον ἅπαντας ἐκέλευσε τὺς ὁμοπάγυς κατὰ κεΦαλὴν ὡρισμένον νόμισμά τι συνεισΦέρειν, ἕτερον μέν τι τὺς ἄνδρας, ἕτερον δέ τι τὰς γυναῖκας, ἄλλο δέ τι τὺς ἀνήβυς. ἐξ ὗ συναριθμηθέντος ὑπὸ τῶν ἐΦεςηκότων τοῖς ἱεροῖς, Φανερὸς ὁ τῶν ἀνθρώπων ἀριθμὸς ἐγίνετο, κατὰ γένη τε καὶ καθ' ἡλικίαν. ὡς δὲ Πείσων Λεύκιος ἐν τῇ πρώτῃ τῶν ἐνιαυσίων ἀναγραΦῶν ἱςορεῖ, βυλόμενος καὶ τῶν ἐν ἄςει διατριβόντων τὸ πλῆθος εἰδέναι, τῶν τε γενωμένων καὶ ἀπογινομένων, καὶ τῶν εἰς ἄνδρας ἐγγραΦομένων, ἔταξεν, ὅσον ἔδει νόμισμα καταΦέρειν ὑπὲρ ἑκάςυ τὺς προσήκοντας, εἰς μὲν τὸν τῆς Εἰλειθυίας θησαυρὸν, ἣν Ῥωμαῖοι καλῦσιν Ἥραν ΦωσΦόρον, ὑπὲρ τῶν γεννωμένων· εἰς δὲ τὸν τῆς ἈΦροδίτης ἐν ἄλσει καθιδρυμένον, ἣν προσαγορεύυσι Λιβιτίνην, ὑπὲρ τῶν ἀπογινομένων· εἰς δὲ τὸν τῆς Νεότητος, ὑπὲρ τῶν εἰς ἄνδρας ἀρχομένων συντελεῖν· ἐξ ὧν ἤμελλε διαγνώσεσθαι καθ' ἕκασον ἐνιαυτὸν, ὅσοι τε οἱ σύμπαντες ἦσαν, καὶ τίνες ἐξ αὐτῶν τὴν ςρατεύσιμον ἡλικίαν εἶχον. ταῦτα κατασησάμενος ἐκέλευσεν ἅπαντας Ῥωμαίυς ἀπογράΦεσθαί τε καὶ τιμᾶσθαι τὰς ὐσίας πρὸς ἀργύριον, ὀμόσαντας τὸν νόμιμον ὅρκον, ἦ μὴν τἀληθῆ καὶ ἀπὸ παντὸς τῦ βελτίςυ τετιμῆσθαι, πατέρων τε ὧν εἰσι γράΦοντας, καὶ ἡλικίαν ἣν ἔχυσι δηλῦντας, γυναῖκάς τε καὶ παῖδας ὀνομάζοντας, καὶ ἐν τίνι κατοικῦσιν ἕκασοι τῆς πόλεως τόπῳ, ἢ πάγῳ τῆς χώρας, προςιθέντας· τῷ δὲ μὴ τιμησαμένῳ τιμωρίαν ὥρισε τῆς τε ὐσίας ςέρεσθαι, καὶ αὐτὸν μαςιγωθέντα πραθῆναι· καὶ μέχρι πολλῦ διέμεινε παρὰ Ῥωμαίοις ὗτος ὁ νόμος.

Census.

Τιμησαμένων δὲ πάντων ἀναλαβὼν τὰ γραμματεῖα, καὶ διαγνὺς τό τε πλῆθος αὐτῶν καὶ τὰ μεγέθη τῶν βίων, σοΦώτατον πάντων πολιτευμάτων εἰσηγήσατο, καὶ μεγίςων Ῥωμαίοις ἀγαθῶν αἴτιον, ὡς τὰ ἔργα ἐδήλωσε. τὸ δὲ πο-

cap. 16. Classes pro censu, & quam prudenter ordinatæ, ad pauperes a

reipublicae administratione removendos.

πολίτευμα τοιόνδε ἦν· μίαν ἀφεῖλεν ἐξ ἁπάντων μοῖραν, ἧς τὸ μέγιςον τίμημα ἦν τῆς ἐσίας ἐκ ἔλαττον ἑκατὸν μνῶν. τέτες δὲ συντάξας εἰς ὀγδοήκοντα λόχες, ὅπλα φέρειν ἐπέταξεν, ἀσπίδας Ἀργολικὰς καὶ δόρατα, καὶ κράνη χάλκεα, καὶ θώρακας καὶ κνημῖδας καὶ ξίφη. διελὼν δὲ αὐτὲς διχῆ, τετταράκοντα μὲν ἐποίησε νεωτέρων λόχες, οἷς τὰς ὑπαιθρίες ἀπέδωκε ςρατείας, τετταράκοντα δὲ τῶν πρεσβυτέρων, ἐς ἔδει τῆς νεότητος εἰς πόλεμον ἐξιέσης ὑπομένοντας ἐν τῇ πόλει, τὰ ἐντὸς τἒ τείχες φυλάττειν. αὕτη πρώτη σύνταξις ἦν· χώραν δὲ κατεῖχεν ἡ νεότης ἐν τοῖς πολέμοις τὴν προαγωνιζομένην τῆς φάλαγγος ὅλης· ἔπειτα ἐκ τῶν ὑπολειπομένων ἑτέραν ἀφῄρει μοῖραν, οἷς ἦν ἐντὸς μὲν μυρίων δραχμῶν, ἐ μεῖον δὲ πέντε καὶ ἑβδομήκοντα μνῶν τὸ τίμημα. συντάξας δὲ αὐτὲς εἰς εἴκοσι λόχες, τὰ μὲν ἄλλα ὅπλα φορεῖν προσέταξεν, ὅσα τὲς προτέρες, τὲς δὲ θώρακας αὐτῶν ἀφεῖλε, καὶ ἀντὶ τῶν ἀσπίδων ἀνέδωκε θυρεές. διελὼν δὲ καὶ τέτων τὲς ὑπὲρ τετταράκοντα καὶ πέντε ἔτη γεγονότας ἀπὸ τῶν ἐχόντων ςρατεύσιμον τὴν ἡλικίαν, δέκα μὲν ἐποίησε λόχες νεωτέρων, ἐς ἔδει προπολεμεῖν τῆς πόλεως· δέκα δὲ πρεσβυτέρων, οἷς ἀπέδωκε τειχοφυλακεῖν. αὕτη δευτέρα σύνταξις ἦν· ἐκοσμεῖτο δ᾽ ἐν τοῖς ἀγῶσι μετὰ τὲς προμάχες. τὴν δὲ τρίτην ἐποίει σύνταξιν ἐκ τῶν ὑπολειπομένων· ὅσοι τίμησιν εἶχον ἐλάττονα μὲν τῶν ἑπτακισχιλίων καὶ πεντακοσίων δραχμῶν, ἐ μείονα δὲ μνῶν πεντήκοντα. τέτων δὲ ἐμείωσε τὸν ὁπλισμὸν ἐ μόνον τοῖς θώραξιν, ὥσπερ τῶν δευτέρων, ἀλλὰ καὶ ταῖς περικνημῖσι. συνέταξε δὲ καὶ τέτες εἰς εἴκοσι λόχες, καὶ διεῖλε τὸν αὐτὸν τρόπον τοῖς προτέροις καθ᾽ ἡλικίαν, δέκα λόχες ἀποδὲς τοῖς νεωτέροις, καὶ δέκα τοῖς πρεσβυτέροις. χώρα δὲ καὶ ςάσις ἦν τέτων τῶν λόχων ἐν ταῖς μάχαις, μετὰ τὲς ἐφεςῶτας τοῖς προμάχοις.

cap. 17.

Ἀφελὼν δὲ πάλιν ἐκ τῶν ὑπολειπομένων τὲς ἐλάττω πεντακισχιλίων δραχμῶν ἔχοντας ἐσίαν, ἄχρι πέντε καὶ εἴκοσι μνῶν, τετάρτην ἐποιήσατο μοῖραν. διέταξε δὲ καὶ ταύτην εἰς εἴκοσι λόχες· καὶ δέκα μὲν ἐποίησε τῶν ἐν ἀκμῇ, δέκα δὲ τῶν ὑπερηλίκων, κατὰ ταὐτὰ τοῖς προτέροις. ὅπλα δὲ φέρειν ἔταξεν αὐτὲς, θυρεές τε καὶ ξίφη καὶ δόρατα, καὶ ςάσιν ἔχειν ἐν τοῖς ἀγῶσι τὴν ὑςάτην.

τὴν

τὴν δὲ πέμπτην μοῖραν, ὅις ἐντὸς ἔικοσι καὶ πέντε μνῶν ἄχρι δώδεκα καὶ ἡμίσεος μνῶν ὁ βίος ἦν, εἰς τριάκοντα συνέταξε λόχους. διῄρητο δὲ καὶ οὗτοι καθ' ἡλικίαν· πεντεκαίδεκα μὲν γὰρ αὐτῶν λόχοι τοὺς πρεσβυτέρους εἶχον, πεντεκαίδεκα δὲ τοὺς νεωτέρους. τούτους ἔταξε σαυνία καὶ σφενδόνας ἔχοντας ἔξω τάξεως στρατεύεσθαι. τέσσαρας δὲ λόχους οὐδὲν ἔχοντας ὅπλον ἀκολουθεῖν ἐκέλευσε τοῖς ἐν ὅπλοις. ἦσαν δὲ τῶν τεττάρων τούτων δύο μὲν, ὁπλοποιῶν τε καὶ τεκτόνων, καὶ τῶν ἄλλων τῶν κατασκευαζόντων τὰ εἰς τὸν πόλεμον εὔχρηστα· δύο δὲ, σαλπιστῶν τε καὶ βυκανιστῶν, καὶ τῶν ἄλλοις τισὶν ὀργάνοις ἐπισημαινόντων τὰ παρακλητικὰ τοῦ πολέμου. προσέκειντο δὲ οἱ μὲν χειροτέχναι τοῖς τὸ δεύτερον ἔχουσι τίμημα, διῃρημένοι καθ' ἡλικίαν, ὁ μὲν τοῖς πρεσβυτέροις, ὁ δὲ τοῖς νεωτέροις ἀκολουθῶν λόχος. οἱ δὲ σαλπισταί τε καὶ οἱ βυκανισταὶ τῇ τετάρτῃ συνετάττοντο μοίρᾳ. ἦν δὲ καὶ τούτων εἷς μὲν τῶν πρεσβυτέρων λόχος, εἷς δὲ τῶν νεωτέρων· λοχαγοὶ δ' ἐκ πάντων ἐπιλεχθέντες οἱ γενναιότατοι τὰ πολεμικά· τοὺς δ' ἰδίους ἕκαστοι λόχους εὐπειθεῖς τοῖς παραγγελλομένοις παρείχοντο.

Αὕτη μὲν ἡ διακόσμησις ἦν, ἡ τὸ πεζικὸν ἐκπληροῦσα τῶν τε Φαλαγγιτῶν καὶ τῶν ψιλῶν στράτευμα· τὸ δὲ τῶν ἱππέων πλῆθος ἐπέλεξεν ἐκ τῶν ἐχόντων τὸ μέγιστον τίμημα καὶ κατὰ γένος ἐπιφανῶν· συνέταξε δὲ εἰς ὀκτωκαίδεκα λόχους, καὶ προσένειμεν αὐτοὺς τοῖς πρώτοις τῶν Φαλαγγιτῶν ὀγδοήκοντα λόχοις. εἶχον δὲ καὶ οὗτοι τοὺς ἐπιφανεστάτους λοχαγούς. τοὺς δὲ λοιποὺς πολίτας, οἳ τίμησιν εἶχον ἐλάττονα δώδεκα καὶ ἡμίσεος μνῶν, πλείους ἀριθμῷ ὄντας τῶν πρότερον, ἅπαντας εἰς ἕνα συντάξας λόχον, στρατείας τε ἀπέλυσε, καὶ πάσης εἰσφορᾶς ἐποίησεν ἀτελεῖς. ἐγένοντο δὲ συμμορίαι μὲν ἕξ, ἃς καλοῦσι Ῥωμαῖοι κλάσεις, κατὰ τὰς Ἑλληνικὰς ἐπικλήσεις παρονομάσαντες. ὃ γὰρ ἡμεῖς ῥῆμα προστακτικῶς σχηματίζοντες ἐκφέρομεν, κάλει, τοῦτ' ἐκεῖνοι λέγουσι κάλα. καὶ τὰς καλέσεις ἀρχαῖον ἐκάλουν κλάσεις. λόχοι δὲ, οὓς αἱ συμμορίαι περιελάμβανον, ἑκατὸν καὶ ἐννενηκοντατρεῖς. ἐπεῖχον δὲ τὴν μὲν πρώτην συμμορίαν ὀκτὼ καὶ ἐννενήκοντα λόχοι σὺν τοῖς ἱππεῦσι· τὴν δὲ δευτέραν, εἴκοσι καὶ

cap. 18.

Digitized by Google

καὶ δύο σὺν τοῖς χειροτέχναις· τὴν δὲ τρίτην, εἴκοσι· τὴν δὲ τετάρτην, πάλιν εἴκοσι καὶ δύο σὺν τοῖς σαλπισαῖς καὶ βυκανισαῖς· τὴν δὲ πέμπτην, τριάκοντα· τὴν δὲ ἐπὶ πάσαις τεταγμένην, εἷς λόχος ὁ τῶν ἀπόρων.

cap. 19. Ταύτῃ τῇ διακοσμήσει χρησάμενος, τὰς μὲν τῶν ϛρατιωτῶν καταγραφὰς κατὰ τὴν διαίρεσιν ἐποιεῖτο τὴν τῶν λόχων, τὰς δὲ τῶν εἰσφορῶν ἐπιταγὰς, κατὰ τὰ τιμήματα τῶν βίων. ὁπότε γὰρ αὐτῷ δεήσειε μυρίων ἢ δισμυρίων, εἰ τύχοι, ϛρατιωτῶν, καταδιαιρῶν τὸ πλῆθος εἰς τὺς ἑκατὸν ἐννενηκοντατρεῖς λόχυς, τὸ ἐπιβάλλον ἑκάϛῳ λόχῳ ἐκέλευε παρέχειν ἕκαϛον λόχον· τὴν δὲ δαπάνην τὴν εἰς τὸν ἐπισιτισμὸν τῶν ϛρατευομένων καὶ εἰς τὰς ἄλλας χορηγίας τὰς πολεμικὰς ἐπιτελεσθησομένην συμμετρησάμενος, ὁπόση τις ἀρκῦσα ἔϛαι, διαιρῶν τὸν αὐτὸν τρόπον εἰς τὺς ἑκατὸν ἐννενηκοντατρεῖς λόχυς, τὸ ἐκ τῆς τιμήσεως ἐπιβάλλον ἑκάϛῳ διάφορον ἅπαντας ἐκέλευσεν εἰσφέρειν. συνέβαινεν ὖν τοῖς τὰς μεγίϛας ἔχυσιν ὐσίας, ἐλάττοσι μὲν ὖσιν, εἰς πλείονας δὲ λόχυς μεμερισμένοις, ϛρατεύεσθαί τε πλείυς ϛρατείας ὐδέποτε ἀναπαυομένυς, καὶ χρήματα πλείω τῶν ἄλλων εἰσφέρειν· τοῖς δὲ τὰ μικρὰ καὶ μέτρια κεκτημένοις, πλείοσιν ὖσιν, ἐν ἐλάττοσι δὲ λόχοις, ϛρατεύεσθαί τε ὀλιγάκις καὶ ἐκ διαδοχῆς, καὶ βραχείας συντελεῖν εἰσφορὰς· τοῖς δ' ἐλάττω τῶν ἱκανῶν τετιμημένοις, ἀφεῖσθαι πάντων τῶν ὀχληρῶν. ἐποίει δὲ τύτων ἕκαϛον ὐκ ἄτερ αἰτίας, ἀλλὰ πεπεισμένος, ὅτι πᾶσιν ἀνθρώποις ἆθλα τῶν πολέμων ἐϛὶ τὰ χρήματα, καὶ περὶ τῆς τύτων φυλακῆς ἅπαντες κακοπαθῦσιν, ὀρθῶς ἔχειν ᾤετο, τὺς μὲν περὶ μειζόνων κινδυνεύοντας ἄθλων, μείζονας ὑπομένειν κακοπαθείας τοῖς τε σώμασι καὶ τοῖς χρήμασι· τὺς δὲ περὶ ἐλαττόνων, ἧσσον ἐνοχλεῖσθαι κατ' ἀμφότερα· τὺς δὲ περὶ μηδενὸς δεδοικότας, μηδὲν κακοπαθεῖν, τῶν μὲν εἰσφορῶν ἀπολυομένυς διὰ τὴν ἀπορίαν, τῶν δὲ ϛρατειῶν διὰ τὴν ἐκ εἰσφοράν. ὐ γὰρ ἐλάμβανον ἐκ τῦ δημοσίυ τότε Ῥωμαῖοι ϛρατιωτικὺς μισθὺς, ἀλλὰ τοῖς ἰδίοις τέλεσιν ἐϛρατεύοντο. ὔτε δὴ χρήματα συνεισφέρειν τὺς ὐκ ἔχοντας ὁπόθεν συνεισοίσυσιν, ἀλλὰ τῶν καθ' ἡμέραν ἀναγκαίων ἀπορυμένυς ᾤετο δεῖν, ὔτε μηδὲν

μηδὲν συμβαλλομένους στρατεύεσθαί τινας ἐκ τῶν ἀλλοτρίων ἐψωνιαζομένους χρημάτων, ὥσπερ τοὺς μισθοφόρους.

Τοῦτον δὲ τὸν τρόπον ἅπαν ἐπιθεὶς τὸ βάρος τοῖς πλουσίοις τῶν τε κινδύνων καὶ τῶν ἀναλωμάτων, ὡς εἶδεν ἀγανακτοῦντας αὐτοὺς, δι' ἑτέρου τρόπου τήν τε ἀθυμίαν αὐτῶν παρεμυθήσατο, καὶ τὴν ὀργὴν ἐπράϋνε, πλεονέκτημα δωρησάμενος, ἐξ οὗ πάσης ἔμελλον τῆς πολιτείας ἔσεσθαι κύριοι, τοὺς πένητας ἀπελάσαντες ἀπὸ τῶν κοινῶν· καὶ τοῦτο διαπραξάμενος ἔλαθε τοὺς δημοτικούς. ἦν δὲ τὸ πλεονέκτημα περὶ τὰς ἐκκλησίας, ἐν αἷς τὰ μέγιστα ἐπεκυροῦντο ὑπὸ τοῦ δήμου. εἴρηται δέ μοι καὶ πρότερον, ὅτι τριῶν πραγμάτων ὁ δῆμος ἐκ τῶν παλαιῶν νόμων κύριος ἦν, τῶν μεγίστων τε καὶ ἀναγκαιοτάτων, ἀρχὰς ἀποδεῖξαι τάς τε κατὰ πόλιν καὶ τὰς ἐπὶ στρατοπέδου, καὶ νόμους τοὺς μὲν ἐπικυρῶσαι, τοὺς δὲ ἀνελεῖν, καὶ περὶ πολέμου συνισταμένου τε καὶ καταλυομένου διαγνῶναι. τὴν δὲ περὶ τούτων διάσκεψιν καὶ κρίσιν ἐποιεῖτο κατὰ τὰς φράτρας ψηφοφορῶν· καὶ ἦσαν οἱ τὰ ἐλάχιστα κεκτημένοι τοῖς τὰς μεγίστας ἔχουσιν οὐσίας ἰσόψηφοι· ὀλίγων δὲ ὄντων, ὥσπερ εἰκὸς, τῶν πλουσίων, οἱ πένητες ἐν ταῖς ψηφοφορίαις ἐπεκράτουν, μακρῷ πλείους ὄντες ἐκείνων. τοῦτο συνιδὼν ὁ Τύλλιος ἐπὶ τοὺς πλουσίους μετέθηκε τὸ τῶν ψήφων κράτος. ὁπότε γὰρ ἀρχὰς ἀποδεικνύειν, ἢ περὶ νόμου διαγινώσκειν, ἢ πόλεμον ἐκφέρειν δόξειεν αὐτῷ, τὴν λοχῖτιν ἀντὶ τῆς φρατρικῆς συνῆγεν ἐκκλησίαν. ἐκάλει δὲ εἰς ἀπόφασιν γνώμης πρώτους μὲν λόχους τοὺς ἀπὸ τοῦ μεγίστου τιμήματος καταγραφέντας, ἐν οἷς ἦσαν οἵ τε τῶν ἱππέων ὀκτωκαίδεκα, καὶ οἱ τῶν πεζῶν ὀγδοήκοντα. οὗτοι τρισὶ πλείους τῶν ὑπολειπομένων, εἰ τὸ αὐτὸ φρονήσειαν, ἐκράτουν τῶν ἑτέρων, καὶ τέλος εἶχεν ἡ γνώμη· εἰ δὲ μὴ γένοιντο ἐπὶ τῆς αὐτῆς προαιρέσεως ἅπαντες οὗτοι, τότε τοὺς ἀπὸ τοῦ δευτέρου τιμήματος καταγραφέντας εἴκοσι καὶ δύο λόχους ἐκάλει. μερισθεισῶν δὲ καὶ τότε τῶν ψήφων, τοὺς ἀπὸ τοῦ τρίτου τιμήματος ἐκάλει· καὶ τετάρτους, τοὺς ἀπὸ τοῦ τετάρτου τιμήματος. καὶ τοῦτ' ἐποίει μέχρι τοῦ γενέσθαι λόχους ἑπτὰ καὶ ἐννενήκοντα ἰσοψήφους. εἰ δὲ μέχρι τῆς πέμπτης κλήσεως μὴ τύχοι τοῦτο γενόμενον, ἀλλ' εἰς ἴσα μέρη σχισθεῖεν αἱ τῶν ἑκατὸν ἐννενήκοντα

cap. 20.

δύο

Digitized by Google

δύο λόχων γνῶμαι, τότε τὸν ἔσχατον ἐκάλει λόχον, ἐν ᾧ τὸ τῶν ἀπόρων, καὶ διὰ τοῦτ' ἀφειμένων ἁπάσης στρατείας τε καὶ εἰσφορᾶς πολιτῶν πλῆθος ἦν· ὁποτέρᾳ δὲ προσθεῖτο μερίδων ὁ λόχος οὗτος, αὕτη τὸ κράτος ἐλάμβανε. τοῦτο δ' ἦν σπάνιον καὶ οὐ μακρὰν ἀπέχον ἀδυνάτου. τὰ πολλὰ μὲν γὰρ ἐκ τῆς πρώτης κλήσεως τέλος ἐλάμβανεν, ὀλίγα δὲ μέχρι τῆς τετάρτης προὔβαινεν· ἡ δὲ πέμπτη κλῆσις καὶ ἡ τελευταία παρείλκοντο.

cap. 21. Τοῦτο τὸ πολίτευμα κατασησάμενος καὶ πλεονέκτημα τοῖς πλουσίοις τηλικοῦτον, διέλαθε τὸν δῆμον, ὥσπερ ἔφην, καταστρατηγήσας, καὶ τοὺς πένητας ἀπελάσας τῶν κοινῶν. ὑπελάμβανον μὲν γὰρ ἅπαντες ἴσον ἔχειν τῆς πολιτείας μέρος, κατ' ἄνδρα διερωτώμενοι τὰς γνώμας ἐν τοῖς ἰδίοις ἕκαστοι λόχοις. ἐξηπατῶντο δὲ τῷ τε μίαν εἶναι ψῆφον ὅλου τοῦ λόχου, τοῦ τε ὀλίγους ἔχοντος ἐν αὐτῷ πολίτας καὶ τοῦ πάνυ πολλούς· καὶ τῷ πρώτους ἐπιφέρειν ψῆφον τοὺς τὸ μέγισον ἔχοντας τίμημα λόχους, πλείους μὲν ὄντας τῶν ὑπολειπομένων, ἐλάττονα δὲ ἀριθμὸν ἀνθρώπων ἔχοντας· μάλιστα δὲ τῷ τοὺς ἀπόρους μίαν ψῆφον ἔχειν πολλοὺς ὄντας, καὶ τελευταίους καλεῖσθαι. γενομένου δὲ τούτου, τοῖς μὲν πλουσίοις τοῖς πολλὰ δαπανωμένοις, καὶ μηδεμίαν ἀνάπαυσιν τῶν πολεμικῶν κινδύνων λαμβάνουσιν, ἧττον ἐπῄει βαρύνεσθαι, κυρίοις τε γεγονόσι τῶν μεγίσων, καὶ πᾶν τὸ κράτος ἀφῃρημένοις τῶν μὴ τὰ αὐτὰ ποιούντων· τοῖς δὲ πένησι, τοῖς πολλοστὴν ἔχουσι τῶν πολιτικῶν μοῖραν, εὐλογίστως καὶ πρᾴως φέρειν τὴν ἐν τούτοις ἐλάττωσιν, ἀφειμένοις τῶν εἰσφορῶν καὶ τῶν στρατειῶν· τῇ δὲ πόλει, τοὺς αὐτοὺς ἔχειν τοὺς βουλευσομένους τε ὑπὲρ αὐτῆς ἃ δεῖ, καὶ τοὺς κινδύνων πλεῖστον τῶν ἄλλων μεταλαχόντας καὶ πράξοντας ὅσα δεῖ. οὗτος ὁ κόσμος τοῦ πολιτεύματος ἐπὶ πολλὰς διέμεινε γενεὰς φυλαττόμενος ὑπὸ Ῥωμαίων· ἐν δὲ τοῖς καθ' ἡμᾶς κεκίνηται χρόνοις, καὶ μεταβέβληται εἰς τὸ δημοτικώτερον, ἀνάγκαις τισὶ βιασθεὶς ἰσχυραῖς, οὐ τῶν λόχων καταλυθέντων, ἀλλὰ τῆς κλήσεως αὐτῶν οὐκ ἔτι τὴν ἀρχαίαν ἀκρίβειαν φυλαττούσης, ὡς ἔγνων ταῖς ἀρχαιρεσίαις αὐτῶν πολλάκις παρών. ἀλλ' ὑπὲρ μὲν τούτων οὐχ ὁ παρὼν καιρὸς ἁρμόττει τοῖς λόγοις.

Τότε

Digitized by Google

cap. 22. Lustratio.

Τότε δ' ὖν ὁ Τύλλιος, ἐπειδὴ διέταξε τὸ περὶ τὰς τιμήσεις, κελεύσας τὸς πολίτας ἅπαντας συνελθεῖν εἰς τὸ μέγισον τῶν πρὸ τῆς πόλεως πεδίων, ἔχοντας τὰ ὅπλα, καὶ τάξας τάς τε ἱππεῖς κατὰ τέλη, καὶ τὸς πεζὸς ἐν φάλαγγι, καὶ τὸς ἐςαλμένὸς ἐς τὸν ψιλικὸν ὁπλισμὸν, ἐν τοῖς ἰδίοις ἑκάςὸς λόχοις, καθαρμὸν αὐτῶν ἐποιήσατο, ταύρῳ καὶ κριῷ καὶ τράγῳ. τὰ δὲ ἱερεῖα ταῦτα τρὶς περιαχθῆναι περὶ τὸ ςρατόπεδον κελεύσας, ἔθυε τῷ κατέχοντι τὸ πεδίον Ἄρει. τῦτον τὸν καθαρμὸν ἕως τῶν κατ' ἐμὲ χρόνων Ῥωμαῖοι καθαίρονται μετὰ τὴν συντέλειαν τῶν τιμήσεων, ὑπὸ τῶν ἐχόντων τὴν ἱερωτάτην ἀρχὴν, Λῦςρον ὀνομάζοντες. ἐγένετο δὲ ὁ σύμπας τῶν τιμησαμένων τὸς βίὸς Ῥωμαίων ἀριθμὸς, ὡς ἐν τοῖς τιμητικοῖς φέρεται γράμμασιν, ἐπὶ μυριάσιν ὀκτὼ χιλιάδες πέντε, τριακοσίων ἀποδέὸσαι. ἐποιήσατο δὲ καὶ τῆς αὐξήσεως τῦ πολιτικῦ συντάγματος ὀ μικρὰν πρόνοιαν ἔτος ὁ βασιλεὺς, πρᾶγμα συνιδὼν, ὃ παρέλιπον ἅπαντες οἱ πρὸ αὐτῦ βασιλεῖς. ἐκεῖνοι μὲν γὰρ τὸς ξένὸς ὑποδεχόμενοι, καὶ μεταδιδόντες τῆς ἰσοπολιτείας, φύσιν δὲ ἢ τύχην ὀδεμίαν ἀπαξιῦντες, εἰς πολυανθρωπίαν προήγαγον τὴν πόλιν. ὁ δὲ Τύλλιος καὶ τοῖς ἐλευθερὸμένοις τῶν θεραπόντων, ἐὰν μὴ θέλωσιν εἰς τὰς ἑαυτῶν πόλεις ἀπιέναι, μετέχειν τῆς ἰσοπολιτείας ἐπέτρεψε. κελεύσας γὰρ, ἅμα τοῖς ἄλλοις ἅπασιν ἐλευθέροις, καὶ τύτὸς τιμήσαθαι τὰς ὀσίας, εἰς φυλὰς κατέταξεν αὐτὸς τὰς κατὰ πόλιν τέτταρας ὑπαρχὸσας, ἐν αἷς καὶ μέχρι τῶν καθ' ἡμᾶς χρόνων ταττόμενον διετέλει τὸ τῶν ἐξελευθερικῶν φῦλον ὅσον ἂν ᾖ· καὶ πάντων ἀπέδωκε τῶν κοινῶν αὐτοῖς μετέχειν, ὧν καὶ τοῖς ἄλλοις δημοτικοῖς.

Libertorum ad jus civium admissio.

cap. 23.

Ἀχθομένων δὲ τῶν πατρικίων ἐπὶ τῷ πράγματι καὶ δυσανασχετὸντων, συγκαλέσας τὸ πλῆθος εἰς ἐκκλησίαν, "Πρῶτον μὲν θαυμάζειν ἔφη τῶν ἀγανακτὸντων, εἰ τῇ φύσει τὸ ἐλεύθερον οἴονται τῦ δόλὸ διαφέρειν, ἀλλ' ὀ τῇ τύχῃ· ἔπειτα, εἰ μὴ τοῖς ἔθεσι καὶ τοῖς τρόποις ἐξετάζὸσι τὸς ἀξίὸς τῶν καλῶν, ἀλλὰ ταῖς συντυχίαις, ὁρῶντες, ὡς ἀςάθμητόν ἐςιν εὐτυχία πρᾶγμα καὶ ἀγχίςροφον, καὶ ὀδενὶ ῥᾴδιον εἰπεῖν ὀδὲ τῶν πάνυ μακαρίων, μέχρι τίνος αὐτῷ παρέςαι χρόνὸ. ἠξίὸ τε αὐτὸς σκοπεῖν, ὅσαι

σαι μὲν ἤδη πόλεις ἐκ δȣλείας μετέβαλον εἰς ἐλευθερίαν, βάρβαροί τε καὶ Ἑλληνίδες, ὅσαι δ' εἰς δȣλείαν ἐξ ἐλευθερίας· εὐήθειάν τε αὐτῶν πολλὴν κατεγίνωσκεν, εἰ τῆς ἐλευθερίας τοῖς ἀξίοις τῶν θεραπόντων μεταδιδόντες, τῆς πολιτείας φθονȣ̃σι. συνεβȣ́λευέ τε αὐτοῖς, εἰ μὲν πονηρȣ̀ς νομίζȣσι, μὴ ποιεῖν ἐλευθέρȣς· εἰ δὲ χρηςȣ̀ς, μὴ περιορᾶν ὄντας ἀλλοτρίȣς· ἄτοπόν τε πρᾶγμα ποιεῖν αὐτȣ̀ς ἔφη καὶ ἀμαθὲς, ἅπασι μὲν τοῖς ξένοις ἐπιτρέποντας τῆς πόλεως μετέχειν, μὴ διακρίνοντας αὐτῶν τὰς τύχας, μηδ' εἴ τινες ἐκ δȣ́λων ἐγένοντο ἐλεύθεροι πολυπραγμονȣ̃ντας· τȣ̀ς δὲ παρὰ σφίσι δεδȣλευκότας ἀναξίȣς ἡγȣμένȣς ταύτης τῆς χάριτος· φρονήσει τε διαφέρειν οἰομένȣς τῶν ἄλλων, ȣ̓δὲ τὰ ἐν ποσὶ καὶ κοινότητι ὁρᾶν ἔφασκεν, ἃ καὶ τοῖς φαυλοτάτοις εἶναι πρόδηλα, ὅτι τοῖς μὲν δεσπόταις πολλὴ φροντὶς ἔςαι τȣ̃ μὴ προχείρως τινὰς ἐλευθερȣ̃ν, ὡς τὰ μέγιςα τῶν ἐν ἀνθρώποις ἀγαθῶν οἷς ἔτυχε δωρησομένοις· τοῖς δὲ δȣ́λοις, ὅτι μείζων ὑπάρξει προθυμία χρηςοῖς εἶναι περὶ τȣ̀ς δεσπότας, ἐὰν μάθωσιν, ὅτι τῆς ἐλευθερίας ἄξιοι κριθέντες εὐδαίμονος εὐθέως ἔσονται καὶ μεγάλης πόλεως πολῖται, καὶ ταῦθ' ἕξȣσιν ἀμφότερα παρὰ τῶν δεσποτῶν τἀγαθά. τελευτῶν δὲ τὸν περὶ τȣ̃ συμφέροντος εἰσηγήσατο λόγον, τȣ̀ς μὲν ἐπιςαμένȣς ὑπομιμνήσκων, τȣ̀ς δὲ ἀγνοȣ̃ντας διδάσκων, ὅτι πόλει δυναςείας ἐφιεμένῃ, καὶ μεγάλων πραγμάτων ἑαυτὴν ἀξιȣ́σῃ, ȣ̓δενὸς ȣ̓́τω δεῖ πράγματος ὡς πολυανθρωπίας, ἵνα διαρκὴς ᾖ πρὸς πάντας τȣ̀ς πολέμȣς οἰκείοις ὅπλοις χρωμένη, καὶ μὴ ξενικοῖς ςρατεύμασι καταμισθοφορȣ̃σα συνεξαναλωθῇ τοῖς χρήμασι· καὶ διὰ τȣ̃το ἔφη τȣ̀ς προτέρȣς βασιλεῖς ἅπασι μεταδεδωκέναι τῆς πολιτείας τοῖς ξένοις. εἰ δὲ καὶ τȣ̃τον καταςήσονται τὸν νόμον, πολλὴν αὐτοῖς ἔλεγεν ἐκ τῶν ἐλευθερȣμένων ἐπιτραφήσεσθαι νεότητα, καὶ ȣ̓δέποτε ἀπορήσειν τὴν πόλιν οἰκείων ὅπλων, ἀλλ' ἕξειν δυνάμεις ἄγειν διαρκεῖς κᾂν πρὸς πάντας ἀνθρώπȣς ἀναγκασθῇ πολεμεῖν. χωρὶς δὲ τȣ̃ κοινῇ χρησίμȣ, καὶ ἰδίᾳ πολλὰ ὠφεληθήσεσθαι τȣ̀ς εὐπορωτάτȣς Ῥωμαίων, ἐὰν τȣ̀ς ἀπελευθέρȣς ἐῶσι τῆς ἐκκλησίας μετέχειν, ἐν ἐκκλησίαις τε καὶ ψηφοφορίαις καὶ ταῖς ἄλλαις πολιτικαῖς χρείαις τὰς χάριτας, ἐν οἷς μάλιςα δέονται, πράγμασι κομιζομένȣς, καὶ τȣ̀ς ἐκ τῶν ἀπελευθέρων γινομένȣς

τας πελάτας τοῖς ἐκγόνοις αὐτῶν καταλιπόντας." Τοιαῦτα λέγοντος αὐτῦ συνεχώρησαν οἱ πατρίκιοι τὸ ἔθος εἰς τὴν πολιτείαν παρελθεῖν, καὶ μέχρι τῶν καθ' ἡμᾶς χρόνων ὡς ἕν τι τῶν ἱερῶν καὶ ἀκινήτων νομίμων διατελεῖ τῦτ' ἐν τῇ πόλει φυλαττόμενον.

cap. 25. Causas privatas judicibus privatis dirimendas tradidit; de publicis Tullius ipse cognovit.

Ὁ δὲ Τύλλιος ὀυκ ἐν μόνοις τύτοις τοῖς πολιτεύμασι δημοτικὸς ὢν ἐδήλωσεν, ἐν ὅις ἐδόκει τήν τε τῆς βυλῆς ἐξυσίαν καὶ τὴν τῶν πατρικίων δυναςείαν ἐλαττῦν, ἀλλὰ καὶ ἐν ὅις τὴν βασιλικὴν ἀρχὴν ἐμείωσε, τὴν ἡμίσειαν τῆς ἐξυσίας αὐτὸς ἀφελόμενος. τῶν γὰρ πρὸ αὐτῦ βασιλέων ἁπάσας ἀξιύντων ἐφ' ἑαυτὺς ἄγειν τὰς δίκας, καὶ πάντα τὰ ἐγκλήματα τά τε ἴδια καὶ τὰ κοινὰ πρὸς τὸν ἑαυτῶν τρόπον δικαζόντων, ἐκεῖνος διελὼν ἀπὸ τῶν ἰδιωτικῶν τὰ δημόσια, τῶν μὲν εἰς τὸ κοινὸν φερόντων ἀδικημάτων αὐτὸς ἐποιεῖτο τὰς διαγνώσεις, τῶν δὲ ἰδιωτικῶν ἰδιώτας ἔταξεν εἶναι δικαςὰς, ὅρυς αὐτοῖς καὶ κανόνας τάξας, ὓς αὐτὸς ἔγραψε νόμυς.

cap. 26. Panegyris Latina.

Μετὰ δὲ ταῦτα, τὺς κρατίςυς ἄνδρας ἐξ ἑκάςης πόλεως συνεκάλει, περὶ μεγάλων καὶ κοινῶν φήσας πραγμάτων συμβύλυς αὐτὺς συγκαλεῖν. ἐπεὶ δὲ συνῆλθον, συναγαγὼν τήν τε Ῥωμαϊκὴν βυλὴν, καὶ τὺς ἀπὸ τῶν πόλεων ἥκοντας, λόγον διεξῆλθε παρακλητικὸν ὁμονοίας, διδάσκων ὡς καλὸν μὲν χρῆμα, πολλαὶ πόλεις μιᾷ χρώμεναι γνώμῃ· αἰσχρὸν δὲ, ὄψις συγγενῶν ἀλλήλοις διαφερομένων. ἐπιών τε ἰσχύος μὲν ταῖς ἀσθενέσιν ἀποφαίνων ὁμοφροσύνην, ταπεινότητος δὲ καὶ ἀσθενείας καὶ ταῖς ἰσχυροτάταις ἀλληλοφθονίαν. μετὰ ταῦτ' ἐδίδασκεν αὐτὺς, ὡς χρὴ Λατίνυς μὲν τῶν προσοίκων ἄρχειν, καὶ τὰ δίκαια προστάττειν, Ἕλληνας ὄντας, βαρβάροις· Ῥωμαίυς δὲ τὴν ἁπάντων Λατίνων ἔχειν προςασίαν, μεγέθει τε πόλεως πρῦχοντας, καὶ πραγμάτων ὄγκῳ, καὶ τῇ προνοίᾳ τῦ δαιμονίυ κρεῖττον κεχρημένυς ἐκείνων, δι' ἣν εἰς τοσαύτην ἐπιφάνειαν προῆλθον. τοιαῦτα διεξελθὼν, συνεβύλευεν αὐτοῖς, ἱερὸν ἄσυλον ἀπὸ κοινῶν ἀναλωμάτων ἐν Ῥώμῃ κατασκευάσασθαι, ἐν ᾧ θύσυσί τε αἱ πόλεις συνερχόμεναι καθ' ἕκαςον ἐνιαυτὸν ἰδίας τε καὶ κοινὰς θυσίας, καὶ πανηγύρεις ἄξυσιν, ἐν ὅις ἂν ὁρίσωσι χρόνοις· καὶ εἴ τι γένοιτο αὐταῖς πρόσκρυσμα πρὸς ἀλλήλας, ἐκ τῶν ἱερῶν τύτων διαλύσονται, ταῖς ἄλλαις πόλεσιν ἐπιτρέψασαι διαγνῶναι τὰ

ἐγκλή-

ἐγκλήματα. ταῦτα διεξιὼν τε, καὶ ὅσα ἄλλα ἔξεσιν ἀγαθὰ βελευτήριον ἐγκατασησάμενοι, πάντας ἔπεισε τὰς ἐν τῷ συνεδρίῳ παρόντας· καὶ μετὰ τῦτο κατεσκεύασεν, ἐξ ὧν ἅπασαι συνήνεγκαν ἁι πόλεις χρημάτων, τὸν τῆς Ἀρτέμιδος ναὸν, τὸν ἐπὶ τῦ μεγίςυ τῶν ἐν τῇ Ῥώμῃ λόφων ἱδρυμένον, Ἀυεντίνυ· καὶ τὰς νόμες συνέγραψε ταῖς πόλεσι πρὸς ἀλλήλας, καὶ τἄλλα τὰ περὶ τὴν ἑορτὴν καὶ πανήγυριν, ὃν ἐπιτελεσθήσεται τρόπον, ἔταξεν. ἵνα δὲ μηδεὶς χρόνος ἀυτὰς ἀφανίσῃ, σήλην κατασκευάσας χαλκῆν, ἔγραψεν ἐν ταύτῃ τά τε δόξαντα τοῖς συνέδροις, καὶ τὰς μετασχέσας τῆς συνόδυ πόλεις. ἄυτη διέμεινεν ἡ σήλη μέχρι τῆς ἐμῆς ἡλικίας ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ κειμένη, γραμμάτων ἔχυσα χαρακτῆρας Ἑλληνικῶν, ὅις τὸ παλαιὸν ἡ Ἑλλὰς ἐχρᾶτο. ὃ καὶ ἀυτὸ ποιήσαιτ᾽ ἄν τις ὐ μικρὸν τεκμήριον τῦ μὴ βαρβάρυς ἔιναι τὰς οἰκίσαντας τὴν Ῥώμην. ὐ γὰρ ἂν Ἑλληνικοῖς ἐχρῶντο γράμμασιν, ὄντες βάρβαροι. πολιτικαὶ μὲν δὴ πράξεις τῦ βασιλέως τέτυ σὺν ἄλλαις πολλαῖς ἐλάττοσί τε καὶ ἀμαυροτέραις, ἁι μέγισαι καὶ λαμπρόταται ἅυται μνημονεύονται. πολεμικαὶ δὲ ἁι πρὸς ἓν τὸ τῶν Τυῤῥηνῶν ἔθνος γενόμεναι, περὶ ὧν μέλλω νῦν διεξιέναι.

cap. 27. Bello quæ gesserit Tullius.

Μετὰ τὴν τῦ Ταρκυνίυ τελευτὴν ἁι παραδῦσαι τὴν ἡγεμονίαν ἐκείνῳ πόλεις ὐκ ἔτι Φυλάττειν ἐβύλοντο τὰς ὁμολογίας, Τυλλίῳ τε ὐκ ἀξιῦσαι, ταπεινῷ κατὰ γένος ὄντι, ὑπακύειν, καὶ τὴν διαφορὰν τῶν πατρικίων τὴν πρὸς τὸν ἡγεμόνα γενομένην μεγάλην σφίσιν ὠφέλειαν παρέξειν νομίζυσαι. ἤρξαντο δὲ τῆς ἀποσάσεως οἱ καλύμενοι Ὀυϊεντανοὶ, καὶ τοῖς ἐλθῦσι παρὰ τῦ Τυλλίυ πρεσβευταῖς ἀπεκρίναντο, μηδεμίαν ἔιναι σφίσι πρὸς ἐκεῖνον μήθ᾽ ὑπὲρ ἡγεμονίας παραχώρησιν, μήτε περὶ φιλίας καὶ συμμαχίας συνθήκην. ἀρξάντων δὲ τύτων, Καιρητανοί τε ἠκολύθησαν, καὶ Ταρκυνῖται, καὶ τελευτῶσα ἐν ὅπλοις ἦν ἅπασα ἡ Τυῤῥηνία. ἔτος ὁ πόλεμος ἔικοσι διέμεινεν ἔτη συνεχῶς πολεμύμενος, ἐισβολάς τε πολλὰς ἀμφοτέρων μεγάλοις σρατεύμασι ποιυμένων ἐις τὴν ἀλλήλων, καὶ παρατάξεις ἄλλας ἐπ᾽ ἄλλαις συνισαμένων. ἐν ἁπάσαις δὲ ταῖς μάχαις κατορθῶν ὁ Τύλλιος, ὅσαι κατὰ πόλεις τε καὶ πρὸς ὅλον τὸ ἔθνος ἀυτῷ συνέσησαν, καὶ τριαὶν ἐπι-

Digitized by Google

ἐπιφανεστάτοις κοσμηθεὶς θριάμβοις, τελευτῶν ἠνάγκασε τὰς οὐκ ἀξιοῦντας ἄρχεσθαι, τὸν χαλινὸν ἑκόντας λαβεῖν. ἐικοστῷ δ' οὖν ἔτει συνελθοῦσαι πάλιν αἱ δώδεκα πόλεις, ἐξανηλωμέναι τῷ πολέμῳ τά τε σώματα καὶ τὰ χρήματα, γνώμην ἔσχον παραδοῦναι Ῥωμαίοις τὴν ἡγεμονίαν, ἐφ' οἷς πρότερον ἐψηφίσαντο. καὶ παρῆσαν ἐξ ἁπάσης πόλεως οἱ προχειρισθέντες σὺν ἱκετηρίαις, ἐπιτρέποντες Τυλλίῳ τὰς πόλεις, καὶ μηδὲν ἀνήκεστον βουλεύσασθαι περὶ αὐτῶν ἀξιοῦντες. Τύλλιος δὲ τῆς μὲν ἀφροσύνης ἕνεκα, καὶ τῶν εἰς τοὺς θεοὺς ἀθετημάτων, οὓς ἐγγυητὰς ποιησάμενοι τῶν ὁμολογιῶν, παρέβησαν τὰ συγκείμενα, πολλῶν αὐτοὺς ἔφη τιμωριῶν ἀξίους εἶναι καὶ μεγάλων· τῆς δὲ Ῥωμαίων ἐπιεικείας καὶ μετριότητος, ἐπειδὴ συγγνόντες ἀδικεῖν, σέμμασι καὶ λιτανείαις παρῃτοῦντο τὴν ὀργὴν, οὐδ' ἂν τῷ παρόντι ἀτυχήσειν. ταῦτα εἰπὼν, καταλύεται τὸν πρὸς αὐτοὺς πόλεμον, ταῖς μὲν ἄλλαις πόλεσιν ἁπλῶς καὶ δίχα ὀργῆς μνησικάκου πολιτεύεσθαί τε ἀποδοὺς, ὡς πρότερον, καὶ τὰ ἴδια καρποῦσθαι, μενούσαις ἐν ταῖς γραφείσαις πρὸς αὐτὰς συνθήκαις ὑπὸ βασιλέως Ταρκυνίου· τρεῖς δὲ ἐξ αὐτῶν πόλεις, αἳ προεξανέστησάν τε, καὶ τὰς ἄλλας ὑπηγάγοντο, κατὰ Ῥωμαίων ἐξενεγκεῖν τὸν πόλεμον, Καιρητανῶν καὶ Ταρκυνιτῶν καὶ Οὐϊεντανῶν, ταύτας ἀφαιρέσει χώρας τιμωρησάμενος, ἣν κατεκληρούχησε Ῥωμαίων τοῖς καινὶ προσεληλυθόσι πρὸς τὴν πολιτείαν. ταῦτα διαπραξάμενος ἐν εἰρήνῃ τε καὶ κατὰ πολέμους, καὶ ναοὺς δύο κατασκευασάμενος Τύχης, ᾗ παρὰ πάντα τὸν βίον ἔδοξεν ἀγαθῇ κεχρῆσθαι, τὸν μὲν ἐν ἀγορᾷ τῇ καλουμένῃ Βοαρίᾳ, τὸν δ' ἕτερον ἐπὶ ταῖς ἠϊόσι τοῦ Τιβέριος, ὃν ἀνδρείαν προσηγόρευσεν, ὡς καὶ νῦν ὑπὸ Ῥωμαίων καλεῖται· ἡλικίας τε προβεβηκὼς ἐπὶ πολὺ, καὶ τῆς κατὰ φύσιν τελευτῆς οὐ μακρὰν ἀπέχων, ἐπιβουλευθεὶς ὑπὸ Ταρκυνίου τε τοῦ γαμβροῦ καὶ τῆς ἑαυτοῦ θυγατρὸς ἀποθνήσκει. διηγήσομαι δὲ καὶ τῆς ἐπιβουλῆς τὸν τρόπον, μικρὰ τῶν ἔμπροσθεν γενομένων ἀναλαβών.

cap. 28. Tarquinii generi & filiæ suæ insidiis sublatus periit.

Ἦσαν δὴ Τυλλίῳ δύο θυγατέρες ἐκ γυναικὸς γενόμεναι Ταρκυνίας, ἣν ἐνεγγύησεν αὐτῷ βασιλεὺς Ταρκύνιος. ταύτας τὰς κόρας ἐπιγάμους γενομένας ἐκδίδοται τοῖς ἀδελφιδοῖς τῆς μητρὸς αὐτῶν, υἱανοῖς τε Ταρκυνίου, τῷ πρεσβυ-

πρεσβυτέρῳ τὴν πρεσβυτέραν ἁρμόσας, καὶ τῷ νεωτέρῳ τὴν νεωτέραν· ἔτως οἰόμενος αὐτοῖς μᾶλλον συνοίσεσθαι τοῖς λαβῦσιν. ἔτυχε δὲ τῶν γαμβρῶν ἑκάτερος ἐναντίᾳ συναφθεὶς τύχῃ, κατὰ τὴν ἐχ ὁμοτροπίαν· Λευκίῳ μὲν γὰρ τῷ πρεσβυτέρῳ, τολμηρῷ καὶ αὐθάδει καὶ τυραννικῷ τὴν φύσιν ὄντι, χρηςὴ καὶ σώφρων καὶ φιλοπάτωρ συνῆλθε γυνή· Ἀρόντα δὲ τῷ νεωτέρῳ, πολὺ τὸ πρᾶον ἔχοντι καὶ εὐλόγιςον, ἀνοσία καὶ μισοπάτωρ καὶ πάντολμος ἦν ἡ γαμετή. συνέβαινε δὲ τῶν ἀνδρῶν ἑκάτερον φέρεσθαι μὲν ἐπὶ τὴν ἑαυτῦ φύσιν, μετάγεσθαί δὲ ὑπὸ τῆς γυναικὸς ἐπὶ τἀναντία. ὁ μέν γε πονηρὸς, ἐκβαλεῖν τῆς βασιλείας τὸν κηδεςὴν προθυμέμενος, καὶ πάντα μηχανώμενος εἰς τῦτο, ὑπὸ τῆς γυναικὸς μετεπείθετο ἀντιβολέσης τε καὶ ὀδυρομένης· ὁ δ' ἐπιεικὴς, ἐδὲν οἰόμενος δεῖν ἐξαμαρτάνειν εἰς τὸν πενθερὸν, ἀλλὰ περιμένειν, ἕως ἡ φύσις αὐτὸν ἐκ τῦ ζῆν ἐξαγάγοι, καὶ τὸν ἀδελφὸν ἐκ ἐῶν πράττειν τὰ μὴ δίκαια, ὑπὸ τῆς ἀνοσίας γυναικὸς εἰς τἀναντία μετήγετο, νεθετέσης τε καὶ λοιδορεμένης, καὶ τὴν ἀνανδρίαν κακιζέσης. ὡς δ' ἐδὲν ἐπέραινον ἔτε αἱ τῆς σώφρονος λιτανεῖαι, τὰ κράτιςα τὸν ἐ δίκαιον ἄνδρα πειθέσης, ἔτε αἱ τῆς μιαρᾶς παραινέσεις, ἐπὶ τὰς ἀνοσίες πράξεις τὸν ἐ πονηρὸν εἶναι πεφυκότα παρακαλέσης, ἀλλ' ἑκάτερος ἐπὶ τὴν ἑαυτῦ φύσιν ἐφέρετο, καὶ λυπηρὰν ἡγεῖτο τὴν μὴ τὰ ὅμοια βελομένην, τῇ μὲν, ὀδύρεσθαί τε καὶ φέρειν τὸν ἑαυτῆς δαίμονα περιῆν· τῇ δὲ παντόλμῳ, χαλεπαίνειν καὶ ἀπαλλαγῆναι ζητεῖν ἀπὸ τῦ συνοικῦντος. ἔπειτα δ' ἡ κακὴ φύσιν ἀπονοηθεῖσα, καὶ νομίσασα τοῖς ἑαυτῆς τρόποις ἁρμόττειν μάλιςα τὸν τῆς ἀδελφῆς ἄνδρα, μεταπέμπεταί τε αὐτὸν, ὡς ὑπὲρ ἀναγκαίε πράγματος διαλεξομένη.

cap. 29. Καὶ ἐπειδὴ παρεγένετο, μεταναςῆναι κελεύσασα τὲς ἔνδον, ἵνα μόνη διαλεχθείη πρὸς μόνον, "Ἆρ', ἔφη, ὦ "Ταρκύνιε, μετὰ παῤῥησίας ἔξεςί μοι καὶ ἀκινδύνως ἅ"παντα εἰπεῖν, ὅσα φρονῶ περὶ τῶν κοινῶν συμφερόντων; "καὶ καθέξεις ὃς ἂν ἀκέσῃς λόγες; ἢ σιωπᾶν ἄμεινόν ἐςί "μοι, καὶ μὴ φέρειν εἰς μέσον βελὰς ἀποῤῥήτες;" κελεύσαντος δὲ τῦ Ταρκυνίε λέγειν, ὃ βέλεται, καὶ περὶ τῦ καθέξειν ἐν ἑαυτῷ τὲς λόγες πίςεις ἐπιθέντος δι' ὅρκων, ἃς ἐκείνη προῃρεῖτο, ἐδὲν ἔτι αἰσχυνθεῖσα λέγει πρὸς αὐτόν·

Digitized by Google

τόν· "Μέχρι τίνος, ὦ Ταρκύνιε, τῆς βασιλείας ἀποςερέ-
"μενος ἀνέχεσθαι διανοῇ; πότερον ἐκ ταπεινῶν καὶ ἀσήμων
"ἔφυς προγόνων, καὶ διὰ τοῦτο οὐκ ἀξιοῖς, ἐπὶ σεαυτῷ μέγα
"φρονεῖν; ἀλλὰ πάντες ἴσασιν, ὅτι τοῖς μὲν ἀρχαίοις προ-
"γόνοις ὑμῶν Ἕλλησιν οὖσι, καὶ ἀφ' Ἡρακλέους γεγονόσι,
"τῆς εὐδαίμονος ἄρξαι Κορίνθου τὴν αὐτοκράτορα ὑπῆρξεν
"ἀρχὴν ἐπὶ πολλὰς, ὡς ἀκούω, γενεάς· τῷ δὲ πάππῳ σου
"Ταρκυνίῳ, μεταθεμένῳ τὴν οἴκησιν ἐκ Τυῤῥηνῶν, ταύτης
"τῆς πόλεως βασιλεῦσαι ἐξεγένετο δι' ἀρετήν· οὗ σὺ κλη-
"ρονομεῖν οὐ μόνον τῶν χρημάτων, ἀλλὰ καὶ τῆς βασι-
"λείας ὀφείλεις, πρεσβύτερος υἱωνὸς ὤν. ἢ σώματος οὐκ
"ἔτυχες ἱκανοῦ πράττειν, ὅσα βασιλεῖ προσῆκε, δι' ἀσθένειάν
"τε καὶ ἀμορφίαν; ἀλλὰ σοί γε καὶ ῥώμη πάρεσιν, οἵα
"τοῖς κράτιςα πεφυκόσι, καὶ μορφὴ τοῦ βασιλείου γένους
"ἀξία. ἢ τούτων μὲν οὐδ' ἕτερον, ἡ δὲ ἀσθενὴς ἔτι καὶ πο-
"λὺ ἀπέχουσα τοῦ φρονεῖν τὰ προσήκοντα νεότης μεθέλκει
"σε, δι' ἣν οὐκ ἀξιοῖς τὰ πολιτικὰ πράττειν, ὃς οὐ πολὺ
"ἀποδέῃ πεντηκονταέτης εἶναι; κράτιςα δὲ ἄνθρωποι φρο-
"νεῖν πεφύκασιν οἱ περὶ ταύτην μάλιςα γενόμενοι τὴν ἡλι-
"κίαν. Φέρε, ἀλλ' ἡ τοῦ κατέχοντος τὰ πράγματα εὐγέ-
"νεια, καὶ ἡ πρὸς τοὺς κρατίςους τῶν πολιτῶν ἐπιτηδειότης,
"δι' ἣν οὐκ ἐπιχείρητός ἐςιν, ἀνέχεσθαί σε ἀναγκάζει; ἀλ-
"λὰ καὶ ταῦτα ἀμφότερα κακῶς ἔχοντα αὐτῷ τυγχάνει·
"καὶ οὐδ' αὐτὸς αὐτά γε ἀγνοεῖ. καὶ μὴν ἥ τε τόλμα καὶ
"τὸ φιλοκίνδυνον ἔνεςί σοι τοῖς τρόποις, ὧν μάλιςα τῷ βα-
"σιλεύειν μέλλοντι δεῖ. ὑπάρχει δέ σοι καὶ πλοῦτος ἱκα-
"νὸς, καὶ φίλοι πολλοὶ, καὶ ἄλλαι ἀφορμαὶ πρὸς τὰ πρά-
"γματα πολλαὶ καὶ μεγάλαι. τί οὖν ἔτι μέλλεις, καὶ τὸν
"αὐτόματον ἐκδέχῃ καιρὸν, ὃς ἥξει σοι φέρων τὴν βασι-
"λείαν, μηδὲν εἰς τοῦτο πραγματευσαμένῳ; μετὰ τὴν τοῦ
"Τυλλίου δήπου τελευτήν; ὥσπερ ἀναμενούσης τῆς τύχης
"ἀνθρωπίνας μελλήσεις, ἢ τῆς φύσεως ἡμῶν καθ' ἡλικίαν
"τὰς τελευτὰς φερούσης, ἀλλ' οὐκ ἐν ἀδήλῳ καὶ δυστεκμάρ-
"τῳ τέλει πάντων τῶν ἀνθρωπίνων κειμένων. ἐρῶ δὲ
"μετὰ παῤῥησίας, καὶ εἴ με φήσεις θρασεῖαν, τὸ δοκοῦν
"αἴτιον εἶναί μοι τοῦ μηδεμιᾶς ὀρέγεσθαί σε μήτε φιλο-
"τιμίας, μήτε δόξης. γυνή σοι σύνεςι μηδὲν ἐοικυῖα τοῖς
"σοῖς τρόποις, ἥ σε κηλοῦσα καὶ καταδοῦσα μαλθακὸν ἀπο-

"δέδωκε, καὶ λήσεις ἐξ αὐτῆς γενόμενος ἐξ ἀνδρὸς τὸ
"μηδέν· ὥσπερ κἀμοὶ ψοφοδεὴς καὶ ὀδὲν ἔχων ἀνδρὸς
"ἀνὴρ, ὅς με ταπεινὴν ποιεῖ μεγάλων ὖσαν ἀξίαν, καὶ
"καλὴν τὸ σῶμα, μαρανθεῖσαν δὲ ὑπ᾽ αὐτῦ. εἰ δ᾽ ἐξε-
"γένετό σοι λαβεῖν με γυναῖκα, κἀμοί σε τυχεῖν ἀνδρὸς,
"ὀκ ἂν ἐν ἰδιώτῃ βίῳ τοσῦτον διεζήσαμεν χρόνον. τί
"ὖν ὀκ ἐπανορθέμεθα τὸ τῆς τύχης ἐλάττωμα ἡμεῖς με-
"ταθέμενοι τὰς γάμυς, καὶ σὺ μὲν ἀπαλλάττεις τῦ βίυ
"τὴν σαυτῦ γυναῖκα; ἐγὼ δὲ τὸ αὐτὸ διαθήσω τὸν ἐμὸν
"ἄνδρα. ὅταν δὲ τέτων διαχειρισθέντων συνέλθωμεν εἰς
"τὸ αὐτὸ, ἀσφαλῶς ἤδη τὰ λοιπὰ βυλεύσομεν, ἐκποδὼν
"πεποιημένοι τὰ λυπῦντα ἡμᾶς. καὶ γὰρ ἐὰν τἄλλα τις
"ἀδικεῖν ὀκνῇ, βασιλείας γε χάριν ὀ νέμεσις ἅπαντα τολ-
"μᾶν."

cap. 30. Τοιαῦτα τῆς Τυλλίας λεγέσης, ἀσμένως δέχεται τὰς αἱρέσεις ὁ Ταρκύνιος, καὶ αὐτίκα δὺς αὐτῇ πίστεις καὶ λαβὼν, καὶ τὰ προτέλεια τῶν ἀνοσίων γάμων διαπραξάμενος, ἀπέρχεται. διελθόντες δὲ ὀ πολλῦ μετὰ ταῦτα χρόνυ, τοῖς αὐτοῖς πάθεσιν ἀποθνήσκυσιν ἥτε πρεσβυτέρα τῶν Τυλλίυ θυγατέρων καὶ ὁ νεώτερος τῶν Ταρκυνίων. Μετὰ τῦτο τὸ ἔργον ὀδὲν ἔτι διαμελλήσας ὁ Ταρκύνιος ἐπάγεται γυναῖκα τὴν Τυλλίαν, ὄτε τῦ πατρὸς αὐτῆς βεβαιῦντος τὸν γάμον, ὄτε τῆς μητρὸς συνευδοκέσης, ἀλλ᾽ αὐτὴν παρ᾽ ἑαυτῆς λαβών. ὡς δὲ συνεκεράσθησαν ἀνόσιοι καὶ ἀνδροφόνοι φύσεις, ἐκβάλλειν ἐκ τῆς βασιλείας τὸν Τύλλιον, εἰ μὴ βέλοιτο ἑκὼν παραδῦναι τὴν ἀρχὴν, ἐμηχανῶντο, ἑταιρίας τε συνάγοντες, καὶ τῶν πατρικίων τὰς ἀλλοτρίως ἔχοντας πρὸς τὸν βασιλέα καὶ τὰ δημοτικὰ πολιτεύματα παρακαλῦντες, ἔκ τε τῦ δημοτικῦ πλήθυς τὰς ἀπορωτάτυς, οἷς ὀδενὸς τῶν δικαίων φροντὶς ἦν, χρήμασιν ἐξωνέμενοι, καὶ ὀδὲ ἀφανῶς ἅπασα τέτων πράττοντες.

cap. 38. Ὁ δὲ Ταρκύνιος πάσης διήμαρτε πείρας, τῆς μὲν ἐν τῇ βυλῇ, τῆς δὲ ἐν τῇ τῦ δήμυ ἐκκλησίᾳ· ἀδημονῶν μὲν ὖν ἐπὶ τῷ μηδεμίαν αὐτῷ βοήθειαν παρὰ τῆς βυλῆς, ᾗ μάλιστα ἐπεποίθει, γίνεσθαι, χρόνον μέν τινα διέτριβε κατ᾽ οἰκίαν, τοῖς ἑταίροις μόνοις διαλεγόμενος· ἔπειτα γνώμην ἀποδειξαμένης τῆς γυναικὸς, μηδὲν ἔτι μαλακίζεσθαι, μηδὲ κατοκνεῖν, ἀλλὰ καταβαλόντα τὰς λόγυς, ἐπὶ τὰ ἔρ-
γα

Digitized by Google

γὰ χωρεῖν, διαλλαγὰς πρῶτον εὑρόμενον διὰ Φίλων πρὸς τὸν Τύλλιον, ἵνα πιστεύσας ὡς Φίλῳ γεγονότι, ἧττον αὐτὸν φυλάττοιτο· δόξας [δὲ] αὐτὴν κράτιστα ὑποθέσθαι, μετανοεῖν τε περὶ τῶν γεγονότων ἐσκήπτετο, καὶ πολλὰ διὰ Φίλων λιπαρῶν τὸν Τύλλιον ἠξίου συγγνώμονα γενέσθαι· ῥᾳστα δὲ πείσας τὸν ἄνδρα, φύσει τ' εὐδιάλλακτον ὄντα, καὶ οὐκ ἀξιοῦντα πόλεμον ἄσπειστον θυγατρὶ καὶ γαμβρῷ πολεμεῖν· ἐπειδὴ τὸν οἰκεῖον καιρὸν ἔλαβε, διεσκεδασμένου τοῦ δήμου κατὰ τοὺς ἀγροὺς ἐπὶ τὴν τῶν καρπῶν συλλογὴν, ἐξῆλθε μετὰ τῶν ἑταίρων ἐχόντων ὑπὸ ταῖς περιβολαῖς ξίφη, τοὺς τε πελέκεις ὑπηρέταις τισὶν ἀναδοὺς, καὶ αὐτὸς τὴν βασιλικὴν ἐσθῆτα ἀναλαβὼν, καὶ τἄλλα παράσημα τῆς ἀρχῆς ἐπαγόμενος· ἐλθὼν δ' εἰς τὴν ἀγορὰν, καὶ πρὸ τοῦ βουλευτηρίου στὰς, ἐκέλευσε τῷ κήρυκι τοὺς βουλευτὰς καλεῖν εἰς τὸ συνέδριον. ἦσαν δ' ἐκ παρασκευῆς ἕτοιμοι περὶ τὴν ἀγορὰν οἱ συνειδότες αὐτῷ τὴν πρᾶξιν, καὶ παρορμῶντες ἐκ τῶν πατρικίων συχνοί. οἱ μὲν δὴ συνίεσαν· τῷ δὲ Τυλλίῳ λέγει τις ἐλθὼν ὄντι κατ' οἰκίαν, ὅτι Ταρκύνιος ἐν ἐσθῆτι βασιλικῇ προελήλυθε, καὶ καλεῖ τοὺς βουλευτὰς εἰς τὸ συνέδριον. ὁ δὲ, θαυμάσας τὴν τόλμαν αὐτοῦ, τάχιον ἢ φρονιμώτερον προῆλθεν ἐκ τῆς οἰκίας, οὐ πολλοὺς περὶ αὐτὸν ἔχων. ἐλθὼν δὲ εἰς τὸ συνέδριον, καὶ τὸν Ταρκύνιον ἰδὼν ἐπὶ τῆς βασιλικῆς καθήμενον καθέδρας, καὶ τὸν ἄλλον βασίλειον ἔχοντα κόσμον· "Τίς, εἶπεν, ὦ μια-"ρώτατε ἀνθρώπων. τοῦτό σοι τὸ σχῆμα συνεχώρησε λα-"βεῖν;" καὶ ὃς, ὑπολαβὼν· "Ἡ σὴ τόλμα καὶ ἀναίδεια, "ὦ Τύλλιε, ὃς οὐδὲ ἐλεύθερος ὢν, ἀλλὰ δοῦλος ἐκ δούλης, "ἣν οὑμὸς ἐκτήσατο πάππος ἐκ τῶν αἰχμαλώτων, ἐτόλμη-"σας, βασιλέα Ῥωμαίων σεαυτὸν ἀναδεῖξαι." ὡς δὲ ταῦτ' ἤκουσεν ὁ Τύλλιος, ἐκπικρανθεὶς ἐπὶ τῷ λόγῳ, παρὰ τὸ συμφέρον ὥρμησε πρὸς αὐτὸν, ὡς ἐξαναστήσων τῆς ἕδρας. καὶ ὁ Ταρκύνιος, ἄσμενος τοῦτο ἰδὼν, ἀναπηδᾷ τε ἀπὸ τοῦ δίφρου, καὶ συναρπάσας τὸν γέροντα κεκραγότα καὶ τοὺς ὑπηρέτας ἐπικαλούμενον ἔφερε. γενόμενος δ' ἔξω τοῦ βουλευτηρίου, μετέωρον ἐξαρπάσας αὐτὸν, ἀκμάζων τὸ σῶμα καὶ ῥωμαλέος, ἀναῤῥίπτει κατὰ τῶν κρηπίδων τοῦ βουλευτηρίου τῶν εἰς τὸ ἐκκλησιαστήριον φερουσῶν. μόγις δ' ἐκ τοῦ πτώματος ἀναστὰς ὁ πρεσβύτης, ὡς εἶδε μεστὰ τὰ πέριξ ἅ-

πανταχ

παντα τῆς περὶ τὸν Ταρκύνιον βοηθείας, τῶν δὲ αὐτȣ̃ φίλων πολλὴν ἐρημίαν, ἀπῄει ϛένων, κρατȣ́ντων καὶ παραπεμπόντων αὐτὸν ὀλίγων, ἄιματι πολλῷ περιῤῥεόμενος, καὶ κακῶς ὅλον ἑαυτὸν ἐκ τȣ̃ πτώματος ἔχων.

cap. 39. Τὰ μετὰ ταῦτα δὲ δεινὰ μὲν ἀκȣσθῆναι, θαυμαϛὰ δὲ καὶ ἄπιϛα πραχθῆναι, τῆς ἀνοσίας αὐτȣ̃ θυγατρὸς ἔργα παραδίδοται. πεπυσμένη γὰρ τὴν ἐις τὸ βȣλευτήριον τȣ̃ πατρὸς ἔισοδον, καὶ σπȣδὴν ἔχȣσα μαθεῖν, διότι λήψεται τὰ πράγματα τέλος, ἐπὶ τῆς ἀπήνης καθεζομένη παρῆν ἐις τὴν ἀγοράν. μαθȣ̃σα δὲ τὰ γενόμενα, καὶ τὸν Ταρκύνιον ἐπὶ τῆς κρηπῖδος ἐσῶτα τȣ̃ βȣλευτηρίȣ θεασαμένη, βασιλέα τε αὐτὸν ἠσπάσατο πρώτη μεγάλῃ τῇ φωνῇ, καὶ τοῖς θεοῖς ἔυξατο, ἐπὶ τῷ συμφέροντι τῆς Ῥωμαίων πόλεως τὴν ἀρχὴν αὐτὸν κατασχεῖν. ἀσπασαμένων δὲ καὶ τῶν ἄλλων αὐτὸν ὡς βασιλέα, τῶν συγκατασκευασάντων τὴν ἀρχὴν, λαβȣ̃σα μόνον αὐτὸν ἔφη· "Τὰ μὲν πρῶτα, ὦ Ταρκύνιε, πέπρακταί σοι κατὰ τὸ "δέον· βεβαίως δὲ τὴν βασιλείαν ἔχειν Τυλλίȣ περιόντος "ȣ̓κ ἔνεϛί σοι. ἐκδημαγωγήσει γὰρ ἄυθις ἐπί σοι τὸν "ὄχλον, ἐὰν καὶ ὁποσονȣ̃ν ταύτης τῆς ἡμέρας περιγένη"ται χρόνον· ἐπίϛασαι δ', ὡς ἔυνȣν ἐϛὶν αὐτῷ τὸ δημο"τικὸν ἅπαν. ἀλλὰ πρὶν ἐις τὴν οἰκίαν αὐτὸν εἰσελθεῖν, "ἀποϛείλας τȣ̀ς διαχρησομένȣς, ἐκποδὼν ποίησον." Ταῦτα εἰπȣ̃σα, καὶ καθεζομένη πάλιν ἐπὶ τῆς ἀπήνης, ᾤχετο. Ταρκύνιος δὲ καὶ ταῦτα ὀρθῶς δόξας τὴν ἀνοσιωτάτην γυναῖκα ὑποτίθεσθαι, πέμπει τινὰς τῶν θεραπόντων ἐπ' αὐτὸν ἔχοντας ξίφη· οἳ, τάχει πολλῷ τὴν μεταξὺ διανύσαντες ὁδὸν, ἐγγὺς ὄντα τῆς οἰκίας ἤδη τὸν Τύλλιον καταλαβόντες, κατέσφαξαν. ἔτι δὲ νεοσφαγȣ̃ς ἐῤῥιμμένȣ τȣ̃ σώματος καὶ σπαίροντος, ἡ θυγάτηρ παρῆν. ϛενȣ̃ δὲ ὄντος πάνυ τȣ̃ ϛενωπȣ̃, δι' ȣ̃ τὴν ἀπήνην ἔδει διελθεῖν, αἱ ἡμίονοι τὸ πτῶμα ἰδȣ̃σαι διεταράχθησαν, καὶ ὁ προηγȣ́μενος αὐτῶν ὀρεωκόμος παθών τι πρὸς τὸ τῆς ὄψεως ἐλεεινὸν, ἐπέϛη, καὶ πρὸς τὴν δέσποιναν ἀπέβλεψε. πυνθανομένης δ' ἐκείνης, τί παθὼν ȣ̓κ ἄγει τὸ ζεῦγος· "Οὐχ ὁρᾷς, ἔιπεν, ὦ Τυλλία, τὸν πατέρα σȣ νε"κρὸν κείμενον, καὶ πάροδον ȣ̓κ ȣ̓̃σαν ἄλλην, εἰ μὴ διὰ "τȣ̃ πτώματος;" ἡ δ' ἐκπικρανθεῖσα, καὶ ἀπὸ τῶν ποδῶν

δῶν τὸ βάθρον ἁρπάσασα, βάλλει τὸν ὀρεωκόμον, καί φησιν· "Ουκ ἄξεις, ἀλιτήριε, καὶ διὰ τῦ νεκρῦ;" κἀκεῖνος ἐπὶ τῷ πάθει μᾶλλον ἢ τῇ πληγῇ ϛενάξας, ἄγει βίᾳ τὰς ἡμιόνυς κατὰ τῦ πτώματος. ὗτος ὁ ϛενωπὸς, Ὄλβιος καλύμενος πρότερον, ἐξ ἐκείνυ τῦ δεινῦ καὶ μυσαρῦ πάθυς Ἀσεβὴς ὑπὸ Ῥωμαίων κατὰ τὴν πάτριον γλῶτταν καλεῖται.

Τοιαύτης τελευτῆς ἔτυχε Τύλλιος, ἔτη τετταράκοντα τὴν βασιλείαν κατασχών. τῦτον τὸν ἄνδρα λέγυσι Ῥωμαῖοι πρῶτον τὰ πάτρια ἔθη καὶ νόμιμα κινῆσαι, τὴν ἀρχὴν λαβόντα ὐ παρὰ τῆς βυλῆς καὶ τῦ δήμυ, καθάπερ οἱ πρὸ αὐτῦ πάντες, ἀλλὰ παρὰ μόνυ τῦ δήμυ, δεκασμοῖς καὶ δωροδοκίαις, καὶ ἄλλαις πολλαῖς κολακείαις ἐκθεραπεύσαντα τὺς ἀπόρυς· καὶ ἔχει τἀληθὲς ὕτως. ἐν γὰρ τοῖς πρότερον χρόνοις, ὁπότε βασιλεὺς ἀποθάνοι, τὴν μὲν ἐξυσίαν ἐδίδυ ὁ δῆμος τῷ συνεδρίῳ τῆς βυλῆς, ὅιαν προέλοιτο καταϛήσασθαι πολιτείαν· ἡ δὲ βυλὴ μεσοβασιλεῖς ἀπεδείκνυεν· ἐκεῖνοι δὲ τὸν ἄριϛον ἄνδρα, ἔιτ' ἐκ τῶν ἐπιχωρίων, ἔιτ' ἐκ τῶν πολιτῶν, ἔιτ' ἐκ τῶν ξένων, βασιλέα καθίϛασαν. ἐι μὲν ὖν ἥ τε βυλὴ τὸν αἱρεθέντα ὑπ' αὐτῶν ἐδοκίμασε, καὶ ὁ δῆμος ἐπεψήφισε, καὶ τὰ μαντεύματα ἐπεκύρωσε, παρελάμβανεν ὗτος τὴν ἀρχήν· ἐλλείποντος δέ τινος τύτων, ἕτερον ὠνόμαζον, καὶ τρίτον, ἐι μὴ συμβαίη τῷ δευτέρῳ τά τε παρὰ τῶν ἀνθρώπων καὶ τὰ παρὰ τῶν θεῶν ἀνεπίληπτα. ὁ δὲ Τύλλιος ἐπιτρόπυ βασιλικῦ σχῆμα κατ' ἀρχὰς λαβὼν, ὡς ἔιρηταί μοι πρότερον, ἔπειτα φιλανθρωπίαις τισὶ τὸν δῆμον οἰκειωσάμενος, ὑπ' ἐκείνυ βασιλεὺς ἀπεδείχθη μόνυ. ἐπιεικὴς δὲ καὶ μέτριος ἀνὴρ γενόμενος, ἔλυσε τὰς ἐπὶ τῷ μὴ πάντα κατὰ τὺς νόμυς πρᾶξαι διαβολὰς, τοῖς μετὰ ταῦτα ἔργοις, παρέσχε τε πολλοῖς ὑπόληψιν, ὡς, ἐι μὴ θᾶττον ἀνῃρέθη, μεταϛήσων τὸ σχῆμα τῆς πολιτείας ἐις δημοκρατίαν. καὶ ἐπὶ ταύτῃ μάλιϛα λέγεται τῇ αἰτίᾳ τῶν πατρικίων αὐτῷ τινας συνεπιβυλεῦσαι· ἀδυνάτυς δὲ ὄντας, δι' ἑτέρυ τρόπυ τὴν ἐξυσίαν αὐτῦ καταλῦσαι, καὶ Ταρκύνιον ἐπὶ τὰ πράγματα παραλαβεῖν, καὶ συγκατασκευάσαι τὴν ἀρχὴν ἐκείνῳ, κακῶσαί τε βυλομένυς τὸ δημοτικὸν, ἰσχύας γε ὐ μικρᾶς ἐπειλημμένον ἐκ τῆς Τυλλίυ

cap. 40.

Digitized by Google

λίυ πολιτείας, καὶ τὴν ἰδίαν ἀξίωσιν, ἣν εἶχον πρότερον, ἀναλαβεῖν. Θορύβυ δὲ γενομένυ πολλῦ ἐπὶ τὴν πόλιν ὅλην, καὶ οἰμωγῆς ἐπὶ τῷ Τυλλίυ θανάτῳ, δείσας ὁ Ταρκύνιος, ἐι διὰ τῆς ἀγορᾶς ὁ νεκρὸς φέροιτο, ὡς ἔςι Ῥωμαίοις ἔθος, τόν τε βασίλειον κόσμον ἔχων, καὶ τἆλλα, ὅσα νόμος ἐπὶ ταῖς ταφαῖς, μή τις ἐις αὐτὸν ὁρμὴ γένηται τῦ δημοτικῦ, πρὶν ἢ βεβαίως κρατύνασθαι τὴν ἀρχὴν, ὐκ ἔιασε τῶν νομίμων ὐδὲν αὐτῷ γενέσθαι· ἀλλ' ἡ γυνὴ τῦ Τυλλίυ σὺν ὀλίγοις τισὶ τῶν φίλων, Ταρκυνίυ θυγάτηρ ὖσα τῦ πρώτυ βασιλέως, νυκτὸς ἐκκομίζει τὸ σῶμα τῆς πόλεως, ὡς τῶν ἐπιτυχόντων τινός· καὶ πολλὰ μὲν τὸν ἑαυτῆς κἀκείνυ δαίμονα κατοδυρομένη, μυρίας δὲ κατάρας τῷ τε γαμβρῷ καὶ τῇ θυγατρὶ καταρασαμένη, κρύπτει γῇ τὸ σῶμα. ἀπελθῦσα δὲ ἀπὸ τῦ σήματος ὄικαδε, καὶ μίαν ἡμέραν ἐπιβιώσασα μετὰ τὴν ταφὴν, τῇ κατόπιν νυκτὶ ἀποθνήσκει.

cap. 41. Tarquinius Superbus, 534-510. ante Chr A.U.220-244. Ejus tyrannis,

Μετὰ δὲ Τύλλιον παραλαμβάνει Λεύκιος Ταρκύνιος τὴν Ῥωμαίων δυναςείαν, ὐ κατὰ νόμυς, ἀλλὰ διὰ τῶν ὅπλων κατασχὼν, κατὰ τὸν τέταρτον ἐνιαυτὸν τῆς ἑξηκοςῆς καὶ πρώτης ὀλυμπιάδος, ἣν ἐνίκα ςάδιον Ἀγάθαρχος, ἄρχοντος Ἀθήνησιν Θηρικλέυς. ὗτος ὑπεριδὼν μὲν τῦ πλήθυς τῦ δημοτικῦ, ὑπεριδὼν δὲ τῶν πατρικίων, ὑφ' ὧν ἐπὶ τὴν δυναςείαν προήχθη, ἔθη τε καὶ νόμυς καὶ πάντα τὸν ἐπιχώριον κόσμον, ᾧ τὴν πόλιν ἐκόσμησαν οἱ πρὸ αὐτῦ βασιλεῖς, συγχέας καὶ διαφθείρας, ἐις ὁμολογυμένην τυραννίδα μετέςησε τὴν ἀρχήν. καὶ πρῶτον μὲν φυλακὴν κατεςήσατο περὶ ἑαυτὸν ἀνθρώπων θρασυτάτων, ξίφη τε καὶ λόγχας φερόντων, ἐπιχωρίων καὶ ἀλλοδαπῶν, οἱ νυκτὸς περὶ τὴν βασίλειον αὐλιζόμενοι αὐλὴν, καὶ μεθ' ἡμέραν ἐξιόντι παρακολυθῦντες, ὅποι πορεύοιτο, πολλὴν τὴν ἀπὸ τῶν ἐπιβυλευσόντων ἀσφάλειαν παρεῖχοντο. ἔπειτα τὰς ἐξόδυς ὔτε συνεχεῖς, ὔτε τεταγμένας, ἀλλὰ σπανίυς καὶ ἀπροσδοκήτυς ἐποιεῖτο. ἐχρημάτιζέ τε περὶ τῶν κοινῶν, κατ' ὄικον μὲν τὰ πολλὰ, καὶ αὐτῶν τῶν ἀναγκαιοτάτων συμπαρόντων· ὀλίγα δ' ἐν ἀγορᾷ. προσελθεῖν δὲ ὐδενὶ τῶν βυλομένων ἐπέτρεπεν, ἐι μή τινα καλέσειεν αὐτός· ὔτε τοῖς προσιῦσιν ἐυμενὴς, ὔτε πρᾶος ἦν, ἀλλ' οἷα δὴ τύραννος, βαρὺς, καὶ χαλεπὸς ὀργὴν, καὶ φοβερὸς μᾶλλον

Digitized by Google

μᾶλλον ἢ Φαιδρὸς ὀφθῆναι· καὶ τὰς περὶ τῶν ἀμφισβητουμένων συμβολαίων ἐπικρίσεις ἐκ ἐπὶ τὰ δίκαια καὶ τὲς νόμες, ἀλλ' ἐπὶ τὲς ἑαυτῦ τρόπες ἀναφέρων, ἐποιεῖτο. διὰ ταῦτα ἐπωνυμίαν τίθενται αὐτῷ Ῥωμαῖοι τὸν Σϋπερβον. τῦτο δὲ δηλῦν βϋλεται κατὰ τὴν ἡμετέραν γλῶτταν, τὸν ὑπερήφανον. τὸν δὲ πάππον αὐτῦ Πρίσκον ἐκάλϋν· ὡς δὲ ἡμεῖς ἂν εἴπριμεν, τὸν προγενέςερον· ὁμώνυμος γὰρ ἦν τῷ νεωτέρῳ κατ' ἄμφω τὰ ὀνόματα.

Ἐπεὶ δ' ἐγκρατῶς ἤδη κατέχειν ὑπελάμβανε τὴν ἀρχὴν, παρασκευάσας ἐκ τῶν ἑταιριῶν τὲς πονηροτάτες, δι' ἐκείνων ἦγεν εἰς ἐγκλήματα καὶ θανάτϋ δίκας πολλὲς τῶν ἐπιφανῶν· πρώτες μὲν τὲς ἐχθρῶς διακειμένες πρὸς αὐτὸν, οἷς ἐκ ἦν βϋλομένοις, Τύλλιον ἐκπεσεῖν τῆς ἀρχῆς· ἔπειτα καὶ τῶν ἄλλων, ὓς ὑπελάμβανε βαρεῖαν ἡγϋμένες τὴν μεταβολὴν, καὶ οἷς πολὺς πλῦτος ἦν. οἱ δ' ὑπάγοντες αὐτὲς εἰς τὰς δίκας, ἄλλες ἐπ' ἄλλες ψευδέσιν αἰτίαις, μάλιςα δ' ἐπιβϋλεύειν αἰτιώμενοι τῷ βασιλεῖ, κατηγόρϋν ἐπ' αὐτῷ δικαςῇ. ὁ δὲ τῶν μὲν θάνατον κατεδίκαζε· τῶν δὲ φυγὴν, καὶ τὰ χρήματα τές τε ἀναιρϋμένες καὶ ἐξελαυνομένες ἀφαιρϋμενος, τοῖς μὲν κατηγόροις μικράν τινα μοῖραν ἀπένειμεν, αὐτὸς δὲ τὰ πλείω κατεῖχεν. ἔμελλον δὲ ἄρα τῶν δυνατῶν πολλοὶ, πρὶν ἁλῶναι ταῖς ἐπαγομέναις σφίσι δίκαις, εἰδότες, ὧν ἕνεκα ἐπεβϋλεύοντο, καταλείψειν τῷ τυράννῳ ἑκόντες τὴν πόλιν, καὶ πολλῷ πλείονες ἐγένοντο τῶν ἑτέρων. ἦσαν δέ τινες, οἳ καὶ κρύφα διεφθάρησαν ὑπ' αὐτῦ, κατ' οἰκίας τε καὶ ἀπ' ἀγρῶν ἁρπαζόμενοι, λόγϋ ἄξιοι ἄνδρες, ὧν ἐδὲ τὰ σώματα ἐφάνη. ἐπεὶ δὲ διέφθειρε τὸ κράτιςον τῆς βϋλῆς μέρος, θανάτοις τε καὶ ἀειφυγίαις, ἑτέραν βϋλὴν αὐτὸς κατεςήσατο, παραγαγὼν εἰς τὰς τῶν ἐκλιπόντων τιμὰς τὲς ἰδίες ἑταίρϋς. καὶ ἐδὲ τϋτοις μέντοι τοῖς ἀνδράσιν ἔτε πράττειν ἐπέτρεπεν ἐδὲν, ἔτε λέγειν, ὅ τι μὴ κελεύσειεν αὐτός. ὥςε ὁπόσοι κατελείφθησαν ἐν τῷ συνεδρίῳ βϋλευταὶ τῶν ἐπὶ Τυλλίϋ καταλεγέντων, διάφοροι τοῖς δημοτικοῖς τέως ὄντες, καὶ τὴν μεταβολὴν τῆς πολιτείας ἐπὶ τῷ σφετέρῳ νομίζοντες ἀγαθῷ γενήσεσθαι· τοιαύτας γὰρ αὐτοῖς ὑπέτεινεν ὁ Ταρκύνιος τὰς ὑποσχέσεις, ἐξαπατῶν καὶ φενακίζων· τότε μαθόντες, ὅτι τῶν κοινῶν ἐδὲν ἔτι μετεῖχον, ἀλλὰ

cap. 42. In patricios & senatum.

ἀλλὰ καὶ αὐτοὶ τὴν παῤῥησίαν ἅμα τοῖς δημοτικοῖς ἀφῃρέθησαν, ὠδύροντο μὲν, καὶ τὰ μέλλοντα τῶν παρόντων δεινότερα ὑπώπτευον, στέργειν δὲ τὰ παρόντα ἠναγκάζοντο, δύναμιν ἐκ ἔχοντες, κωλύειν τὰ πραττόμενα.

cap. 43. In plebejos.

Ταῦτα δὲ ὁρῶντες οἱ δημοτικοὶ, δίκαια πάσχειν αὐτὲς ὑπελάμβανον, καὶ ἐπέχαιρον ὑπ' εὐηθείας, ὡς ἐκείνοις μόνοις τῆς τυραννίδος βαρείας ἐσομένης, σφίσι δ' αὐτοῖς ἀκινδύνε. ἧκε δὲ κἀκείνοις ἐ μετὰ πολὺν χρόνον ἔτι πλείω τὰ χαλεπά. τὲς τε γὰρ νόμες τὲς ὑπὸ Τυλλίε γραφέντας, καθ' ὃς ἐξ ἴσε τὰ δίκαια παρ' ἀλλήλων ἐλάμβανον, καὶ ἐδὲν ὑπὸ τῶν πατρικίων, ὡς πρότερον, ἐβλάπτοντο περὶ τὰ συμβόλαια, πάντας ἀνεῖλε· καὶ ἐδὲ τὰς σανίδας, ἐν αἷς ἦσαν γεγραμμένοι, κατέλιπεν· ἀλλὰ καὶ ταύτας ἀναιρεθῆναι κελεύσας ἐκ τῆς ἀγορᾶς, διέφθειρεν. ἔπειτα κατέλυσε τὰς ἀπὸ τῶν τιμημάτων εἰσφορὰς, καὶ τὸν ἐξ ἀρχῆς τρόπον ἀποκατέστησε· καὶ ὁπότε δεήσειεν αὐτῷ χρημάτων, τὸ ἴσον διάφορον ὁ πενέστατος τῷ πλεσίῳ κατέφερε. τὲτο τὸ πολίτευμα πολὺ τε δημοτικε πλήθες ἀπανάλωσεν, ἐπὶ τῆς πρώτης εὐθὺς εἰσφορᾶς ἀναγκαζομένε κατὰ κεφαλὴν ἑκάστε δραχμὰς δέκα εἰσφέρειν. συνόδες τε συμπάσας, ὅσαι πρότερον ἐγίνοντο κωμητῶν ἢ φρατριαστῶν ἢ γειτόνων ἔν τε τῇ πόλει καὶ ἐπὶ τῶν ἀγρῶν, ἐφ' ἱερὰ καὶ θυσίας πάσας κοινὰς, προεῖπε, μηκέτι συντελεῖν, ἵνα μὴ συνιόντες εἰς τὸ αὐτὸ πολλοὶ βελὰς ἀποῤῥήτες μετ' ἀλλήλων ποιῶνται περὶ καταλύσεως τῆς ἀρχῆς. ἦσαν δ' αὐτῷ πολλαχῇ διεσπαρμένοι κατόπται τινὲς καὶ διερευνηταὶ τῶν λεγομένων τε καὶ πραττομένων, λεληθότες τὲς πολλὲς, οἱ συγκαθιέντες εἰς ὁμιλίαν τοῖς πέλας, καὶ ἔστιν, ὅτε κατὰ τε τυράννε λέγοντες αὐτοὶ, πεῖραν τῆς ἑκάστε γνώμης ἐλάμβανον· ἔπειτα, ὃς ᾔσθοντο τοῖς καθεστηκόσι πράγμασιν ἀχθομένες, κατεμήνυον πρὸς τὸν τύραννον· αἱ δὲ τιμωρίαι κατὰ τῶν ἐλεγχθέντων ἐγίνοντο πικραὶ καὶ ἀπαραίτητοι.

cap. 44.

Καὶ ἐκ ἀπέχρη ταῦτα μόνον εἰς τὲς δημοτικὲς αὐτῷ παρανομεῖν, ἀλλ' ἐπιλέξας ἐκ τε πλήθες, ὅσον ἦν πιστὸν ἑαυτῷ, καὶ εἰς τὰς πολεμικὰς χρείας ἐπιτήδειον, τὸ λοιπὸν ἠνάγκαζεν ἐργάζεσθαι τὰς κατὰ πόλιν ἐργασίας, μέγιστον οἰόμενος εἶναι κίνδυνον τοῖς μονάρχαις, ὅταν οἱ πονη-

Digitized by Google

πονηρότατοι τῶν πολιτῶν καὶ ἀπορώτατοι σχολὴν ἄγωσι· καὶ ἅμα προθυμίαν ἔχων, ἐπὶ τῆς ἰδίας ἀρχῆς τὰ καταλειφθέντα ἡμίεργα ὑπὸ τοῦ πάππου τελειῶσαι, τὰς μὲν ἐξαγωγίμους τῶν ὑδάτων τάφρους, ἃς ἐκεῖνος ὀρύττειν ἤρξατο, μέχρι τοῦ ποταμοῦ καταγαγεῖν· τὸν δὲ ἀμφιθέατρον ἱππόδρομον, οὐδὲν ἔξω τῶν κρηπίδων ἔχοντα, παστάσιν ὑποστέγοις περιλαβεῖν· εἰς ταῦτα δὴ πάντες οἱ πένητες εἰργάζοντο, σῖτα παρ' αὐτοῦ μέτρια λαμβάνοντες· οἱ μὲν ὑλοτομοῦντες, οἱ δὲ τὰς κομιζούσας ταῦτα ἁμάξας ἄγοντες, οἱ δ' ἐπὶ τῶν ὤμων αὐτοὶ τὰ ἄχθη φέροντες. μεταλλεύοντές τε ὑπονόμους καὶ σήραγγας ἕτεροι, καὶ πλάττοντες τὰς ἐν αὐταῖς καμάρας, καὶ παστάδας ἐγείροντες, καὶ τοῖς ταῦτα πράττουσι χειροτέχναις ὑπηρετοῦντες χαλκοτύποι τε καὶ τέκτονες καὶ λιθουργοὶ, τῶν ἰδιωτικῶν ἔργων ἀφεστῶτες, ἐπὶ ταῖς δημοσίαις κατείχοντο χρείαις. περὶ ταῦτα δὴ τὰ ἔργα τριβόμενος ὁ λεὼς, οὐδεμίαν ἀνάπαυσιν ἐλάμβανεν· ὥστε οἱ πατρίκιοι, τὰ τούτων κακὰ καὶ τὰς λατρείας ὁρῶντες ἔχαιρόν τ' ἐν μέρει, καὶ τῶν ἰδίων ἐπελανθάνοντο ἀλγεινῶν· κωλύειν μὲν γὰρ οὐδέτεροι τὰ γινόμενα ἐπεχείρουν.

cap. 45. Octavium Mamilium, virum rei militaris peritum, generum eligit, bellaque externa tentat.

Λογιζόμενος δὲ ὁ Ταρκύνιος, ὅτι τοῖς μὴ κατὰ νόμον λαβοῦσι τὰς δυναστείας, ἀλλὰ διὰ τῶν ὅπλων κτησαμένοις, οὐ μόνον ἐπιχωρίου δεῖ φυλακῆς, ἀλλὰ καὶ ξενικῆς, τὸν ἐπιφανέστατον ἐκ τοῦ Λατίνων ἔθνους, καὶ πλεῖστον ἁπάντων δυνάμενον, ἐσπούδασε φίλον ποιήσασθαι, τῷ γάμῳ συζεύξας τῆς θυγατρὸς, ὃς ἐκαλεῖτο Ὀκταΐος Μαμίλιος. ἀνέφερε δὲ τὸ γένος εἰς Τηλέγονον τὸν ἐξ Ὀδυσσέως καὶ Κίρκης, κατῴκει δ' ἐν πόλει Τύσκλῳ. ἐδόκει δὲ τὰ πολιτικὰ συνετὸς ἐν ὀλίγοις εἶναι, καὶ πολέμους στρατηγεῖν ἱκανός. τοῦτον τὸν ἄνδρα φίλον ἔχων, καὶ δι' αὐτοῦ τοὺς ἀρίστους ἐν ἑκάστῃ πόλει τῶν τὰ κοινὰ πραττόντων προσλαβὼν, τότε δὴ τῶν ὑπαιθρίων ἐπεχείρει πειρᾶσθαι πολέμων, καὶ στρατιὰν ἐπὶ Σαβίνους ἐξάγειν, οὐ βουλομένους ὑπηκόους εἶναι τοῖς ἐπιτάγμασιν, ἀλλ' ἀπηλλάχθαι τῶν ὁμολογιῶν οἰομένους, ἐξ οὗ Τύλλιος ἐτελεύτησε, πρὸς ὃν ἐποιήσαντο τὰς ὁμολογίας. γνοὺς δὲ ταῦτα, προεῖπε δι' ἀγγέλων, ἥκειν εἰς τὴν ἐν Φερεντίνῳ γενομένην ἀγορὰν τοὺς εἰωθότας ὑπὲρ τοῦ κοινοῦ τῶν Λατίνων συνεδρεύειν·

Digitized by Google

δρεύειν· ἡμέραν τινὰ ὁρίσας, ὡς περὶ κοινῶν καὶ μεγάλων πραγμάτων σὺν αὐτοῖς βουλευσόμενος.

cap. 49. Fœdus cum Latinis, Hernicis & Volscis.

Τυχὼν δὲ ἐν τούτῳ τῷ συλλόγῳ τῆς Λατίνων ἡγεμονίας ὁ Ταρκύνιος ἐπρεσβεύσατο πρὸς τὰς Ἐρνίκων πόλεις, καὶ πρὸς τὰς Οὐολούσκων, προκαλούμενος κἀκείνας εἰς φιλίαν τε καὶ συμμαχίαν. ἐκ μὲν οὖν τοῦ Οὐολούσκων ἔθνους δύο πόλεις ἐδέξαντο μόναι τὰς προκλήσεις, Ἐχετρανοί τε καὶ Ἀντιάται· Ἕρνικες δὲ ἅπαντες ἐψηφίσαντο ποιεῖν τὴν συμμαχίαν. τοῦ δὲ μένειν εἰς ἅπαντα τὸν χρόνον τὰ συγκείμενα ταῖς πόλεσι πρόνοιαν ὁ Ταρκύνιος λαμβάνων, ἱερὸν ἔγνω κοινὸν ἀποδεῖξαι Ῥωμαίων τε καὶ Λατίνων καὶ Ἐρνίκων, καὶ Οὐολούσκων τῶν ἐγγραψαμένων εἰς τὴν συμμαχίαν, ἵνα συνερχόμενοι καθ' ἕκαστον ἐνιαυτὸν εἰς τὸν ἀποδειχθέντα τόπον πανηγυρίζωσι καὶ συνεστιῶνται, καὶ κοινῶν ἱερῶν μεταλαμβάνωσιν. ἀγαπητῶς δὲ πάντων τὸ πρᾶγμα δεξαμένων, τόπον μὲν ἀπέδειξεν, ἔνθα ποιήσονται τὴν σύνοδον, ἐν μέσῳ μάλιστα τῶν ἐθνῶν κείμενον, ὄρος ὑψηλὸν, ὃ τῆς Ἀλβανῶν ὑπέρκειται πόλεως, ἐν ᾧ πανηγύρεις τε ἀνὰ πᾶν ἔτος ἄγεσθαι, καὶ ἐκεχειρίας εἶναι πᾶσι πρὸς πάντας ἐνομοθέτησε, θυσίας τε συντελεῖσθαι κοινὰς τῷ καλουμένῳ Λατιαρίῳ Διῒ καὶ συνεστιάσεις, τάξας, ἃ δεῖ παρέχειν ἑκάστην πόλιν εἰς τὰ ἱερὰ, καὶ μοῖραν, ἣν ἑκάστην δεήσει λαμβάνειν. αἱ δὲ μετασχοῦσαι τῆς ἑορτῆς τε καὶ τῆς θυσίας πόλεις, τριῶν δέουσαι, πεντήκοντα ἐγένοντο. ταύτας τὰς ἑορτάς τε καὶ τὰς θυσίας μέχρι τῶν καθ' ἡμᾶς χρόνων τελοῦσι Ῥωμαῖοι, Λατίνας καλοῦντες· καὶ φέρουσιν εἰς ταύτας αἱ μετέχουσαι τῶν ἱερῶν πόλεις, αἱ μὲν ἄρνας, αἱ δὲ τυροὺς, αἱ δὲ γάλακτός τι μέτρον, αἱ δὲ ὅμοιόν τι τούτοις πελάνου γένος· ἑνὸς δὲ ταύρου κοινῶς ὑπὸ πασῶν θυομένου μέρος ἑκάστη τὸ τεταγμένον λαμβάνει. θύουσι δὲ ὑπὲρ πάντων, καὶ τὴν ἡγεμονίαν τῶν ἱερῶν ἔχουσι Ῥωμαῖοι.

Feriæ Latinæ.

cap. 50. Bellum Tarquinii. Urbe Suessa potitur.

Ὡς δὲ καὶ ταύταις ἐκρατύνατο τὴν ἀρχὴν ταῖς συμμαχίαις, στρατὸν ἐξάγειν ἐπὶ Σαβίνους ἔγνω. Ῥωμαίων δὲ αὐτῶν ἐπιλέξας, οὓς ἥκιστα ὑπώπτευεν, εἰ κύριοι τῶν ὅπλων γένοιντο, ἐλευθερίας μεταποιήσεσθαι, καὶ τὴν παρὰ τῶν συμμάχων ἀφιγμένην δύναμιν προσλαβὼν πολλῷ πλείονα

Digitized by Google

πλείονα τῆς πολιτικῆς ὑπάρχουσαν, δῃώσας τε αὐτῶν τοὺς ἀγροὺς, καὶ τοὺς ὁμόσε χωρήσαντας μάχῃ νικήσας, ἐπὶ τοὺς καλουμένους Πωμεντίνους ἦγε τὴν δύναμιν, οἳ πόλιν μὲν Σύεσσαν ᾤκουν, εὐδαιμονέστατοι δ' ἁπάντων ἐδόκουν εἶναι τῶν πλησιοχώρων, καὶ διὰ τὴν πολλὴν εὐτυχίαν ἅπασι λυπηροὶ καὶ βαρεῖς· ἐγκαλῶν αὐτοῖς ἁρπαγὰς καὶ λῃστείας τινὰς, ὑπὲρ ὧν αἰτούμενοι δίκας, αὐθάδεις ἔδωκαν ἀποκρίσεις. γενόμενος δὲ τῆς πόλεως ἐγκρατὴς ὁ Ταρκύνιος, τοὺς μὲν ἐν τοῖς ὅπλοις διέφθειρε, γυναῖκας δὲ αὐτῶν καὶ τέκνα, καὶ τοὺς ὑπομείναντας αἰχμαλώτους γενέσθαι, καὶ τὸ τῶν θεραπόντων πλῆθος οὐδὲ ἀριθμηθῆναι ῥᾴδιον, τοῖς στρατιώταις ἐπέτρεψεν ἀπάγεσθαι· τήν τε ἄλλην τῆς κτήσεως ἄγειν καὶ φέρειν, ἥ τις ἐπιτύχοι, τήν τε ἐντὸς τοῦ τείχους καὶ τὴν ἐπὶ τῶν ἀγρῶν, ἀφῆκεν· ἄργυρον δὲ καὶ χρυσὸν, ὅσος εὑρέθη, συναγαγὼν εἰς ἓν χωρίον, καὶ τὴν δεκάτην ἐξελόμενος εἰς κατασκευὴν ἱεροῦ, τὰ λοιπὰ χρήματα τοῖς στρατιώταις διεῖλεν. οὕτω δὲ ἄρα πολὺς ὁ καταληφθεὶς ἄργυρός τε ἦν καὶ χρυσὸς, ὥστε τῶν μὲν στρατιωτῶν ἕκαστον πέντε μνᾶς ἀργυρίου λαβεῖν, τὸ δὲ τοῖς θεοῖς δεκατευθὲν ἀργύριον τετρακοσίων οὐ μεῖον γενέσθαι ταλάντων.

cap. 51. Ad Eretum Sabinos caedit. (sive Bell. Sab. VI.)

Ἔτι δ' ἐν τῇ Συέσσῃ διατρίβοντος αὐτοῦ, παρῆν τις ἀγγέλλων, ὅτι Σαβίνων ἡ κρατίστη νεότης ἐξελήλυθε, καὶ ἰοῦσιν εἰς τὴν Ῥωμαίων στρατεύμασιν ἐμβαλοῦσα λεηλατεῖ τοὺς ἀγροὺς, ἡ μὲν Ἠρήτου πλησίον θεμένη τὸν χάρακα, ἡ δὲ περὶ Φιδήνην· καὶ εἰ μή τις αὐτοῖς δύναμις ἐναντιωθήσεται, πάντα οἰχήσεται τἀκεῖ. ὡς δὲ ταῦτ' ἤκουσεν, ἐν μὲν τῇ Συέσσῃ βραχύ τι καταλείπει μέρος τῆς στρατιᾶς, τά τε λάφυρα καὶ τὴν ἀποσκευὴν φυλάττειν παρακελευσάμενος· τὴν δὲ ἄλλην δύναμιν εὔζωνον ἀναλαβὼν, ἦγεν ἐπὶ τοὺς πρὸς Ἠρήτῳ κατεστρατοπεδευκότας, ὧν μὲν πλείους κατεκόπησαν ὑπ' αὐτοῦ, ἢ παρέδοσαν ἑαυτούς.

cap. 52. & ad Fidenas.

Ὡς δὲ ἡ πρώτη πεῖρα τῷ Ταρκυνίῳ κατὰ νοῦν ἐχώρησεν, ἀναλαβὼν τὴν δύναμιν, ἧκεν ἐπὶ τοὺς ἐν Φιδήνῃ ἐστρατοπεδευκότας τῶν Σαβίνων, οἷς οὔπω δῆλος ἦν ὁ τῶν σφετέρων ὄλεθρος. ἔτυχον δὲ κἀκεῖνοι προεληλυθότες ἐκ τοῦ χάρακος, καὶ ἤδη ὄντες ἐν ὁδῷ· ὡς δὲ πλησίον ἐγένοντο, καὶ εἶδον ἐπὶ δορατίων ἀναπεπηγυίας τὰς κεφαλὰς τῶν σφετέρων ἡγεμόνων· προὔτεινον γὰρ αὐτὰς καταπλήξεως

ξεως τῶν πολεμίων ἕνεκα οἱ Ῥωμαῖοι· μαθόντες, ὅτι διέφθαρται αὐτῶν τὸ ἕτερον στράτευμα, οὐδὲν ἔτι ἀπεδείξαντο γενναῖον ἔργον, ἀλλ' εἰς ἱκεσίας καὶ δεήσεις τραπόμενοι, παρεδίδοσαν ἑαυτούς. ἐποιήσατο καὶ μετὰ ταῦτα πολλὰς ἐξόδους ἐπὶ τὴν Οὐολούσκων χώραν, τοτὲ μὲν ἁπάσῃ τῇ δυνάμει, τοτὲ δὲ μέρει τινί· καὶ λείας πολλῆς ἐγένετο κύριος. ἤδη δὲ τῶν πλείστων αὐτῷ κατὰ νοῦν χωρούντων, πόλεμος ἐκ τῶν ὁμόρων ἀνέστη, χρόνῳ τε μακρὸς· ἔτη γὰρ ἑπτὰ συνεχῶς ἐπολεμήθη· καὶ παθήμασι χαλεποῖς καὶ ἀπροσδοκήτοις μέγας.

Excursiones in agrum Volscorum.

cap. 53. Gabii post bellum septem annorum capiuntur.

Πόλις ἦν τοῦ Λατίνων γένους, Ἀλβανῶν ἀπόκτισις, ἀπέχουσα τῆς Ῥώμης σταδίους ἑκατὸν, ἐπὶ τῆς εἰς Πραίνεστον φερούσης ὁδοῦ κειμένη. Γαβίους ταύτην ἐκάλουν· νῦν μὲν οὐκέτι συνοικουμένη πᾶσα, πλὴν ὅσα μέρη πανδοκεύεται κατὰ τὴν ὁδὸν· τότε δὲ πολυάνθρωπος, καὶ, εἴ τις ἄλλη, μεγάλη. τεκμήραιτο δ' ἄν τις αὐτῆς τὸ μέγεθος καὶ τὴν ἀξίωσιν, ἐρείπια θεασάμενος οἰκιῶν πολλαχῇ, καὶ τείχους κύκλον· ἔτι γὰρ ἕστηκεν αὐτοῦ τὰ πλεῖστα. εἰς ταύτην συνεῤῥύησαν Πωμεντίνων τε τῶν ἐκ Σουέσσης διαφυγόντων τινὲς, ὅτε τὴν πόλιν αὐτοῖς Ταρκύνιος κατελάβετο, καὶ τῶν ἐκ Ῥώμης φυγάδων συχνοί· οὗτοι δεόμενοι καὶ λιπαροῦντες τιμωρῆσαι σφίσι τοὺς Γαβίους, καὶ πολλὰς ὑπισχνούμενοι δωρεὰς, εἰ κατέλθοιεν ἐπὶ τὰ σφέτερα, τήν τε κατάλυσιν τοῦ τυράννου δυνατὴν ἀποφαίνοντες καὶ ῥᾳδίαν, ὡς καὶ τῶν ἐν τῇ πόλει συλληψομένων, ἔπεισαν αὐτοὺς, συμπροθυμηθέντων καὶ Οὐολούσκων· ἐπρεσβεύσαντο γὰρ κἀκεῖνοι δεόμενοι συμμαχίας· τὸν κατὰ τοῦ Ταρκυνίου πόλεμον ἀναλαβεῖν. ἐγένοντο δὴ μετὰ ταῦτα μεγάλοις στρατεύμασιν εἰς τὴν ἀλλήλων γῆν εἰσβολαὶ καὶ καταδρομαὶ, μάχαι τε, ὥσπερ εἰκὸς, τοτὲ μὲν ὀλίγοις πρὸς ὀλίγους, τοτὲ δὲ πᾶσι πρὸς πάντας, ἐν αἷς πολλάκις μὲν οἱ Γάβιοι, τοὺς Ῥωμαίους τρεψάμενοι μέχρι τῶν πυλῶν, καὶ πολλοὺς καταβαλόντες, ἀδεῶς τὴν χώραν ἐπόρθουν· πολλάκις δὲ οἱ Ῥωμαῖοι, τοὺς Γαβίους ὠσάμενοι καὶ κατακλείσαντες εἰς τὴν πόλιν, ἀνδράποδα καὶ λείαν αὐτῶν πολλὴν ἀπήγαγον. (ἐπὶ δὲ τέλει προδοσίας γενομένης) δίχα πόνου κύριος ἐγεγόνει τῆς πόλεως. ὡς δ' ἐγνώσθη τὸ πάθος, ἁπάντων κατοδυρομένων ἑαυτοὺς, οἵας πείσον-

cap. 58.

σονται σφαγὰς καὶ ἀνδραποδισμοὺς, καὶ πάντα, ὅσα καταλαμβάνει δεινὰ τοὺς ὑπὸ τυράννων ἁλόντας, προσδοκώντων· εἰ δὲ τὰ κράτιστα πράξειαν, δουλείας τε καὶ χρημάτων ἀφαιρέσεις, καὶ τὰ ὅμοια τούτοις κατεψηφικότων, οὐδὲν ὁ Ταρκύνιος, ὧν προσεδόκων τε καὶ ἐδεδοίκεσαν, καίτοι πονηρὸς ὢν καὶ περὶ τὰς τιμωρίας τῶν ἐχθρῶν ἀπαραίτητος, ἔδρασεν. οὔτε γὰρ ἀπέκτεινεν οὐδένα Γαβίων, οὔτ' ἐξήλασε τῆς πόλεως, οὔτ' εἰς ἀτιμίαν ἢ χρημάτων ζημίαν ἐνέβαλε· συγκαλέσας δ' εἰς ἐκκλησίαν τὸ πλῆθος, καὶ βασιλικὸν ἐκ τυραννικοῦ τρόπον μεταλαβὼν, τήν τε πόλιν αὐτοῖς ἔφη τὴν ἰδίαν ἀποδιδόναι, καὶ τὰς οὐσίας, ἃς ἔχουσι συγχωρεῖν· καὶ σὺν τούτοις τὴν Ῥωμαίων ἰσοπολιτείαν ἅπασι χαρίζεσθαι, οὐ δι' εὔνοιαν τὴν πρὸς τοὺς Γαβίους, ἀλλ' ἵνα σὺν τούτοις τὴν Ῥωμαίων ἡγεμονίαν ἐγκρατέστερον κατέχοι, ταῦτα πράττων· κρατίστην ἡγούμενος ἔσεσθαι φυλακὴν ἑαυτοῦ τε καὶ τῶν παίδων, τὴν ἐκ τῶν παρ' ἐλπίδα σεσωσμένων καὶ τὰ ἴδια πάντα κεκομισμένων πίστιν. καὶ ἵνα μηδὲν αὐτοῖς δεῖμα περὶ τοῦ μέλλοντος ὑπάρχῃ χρόνου, μηδ' ἐνδοιάζωσι, βέβαια δὲ ταῦτα σφίσι μένῃ, γράψας, ἐφ' οἷς ἔσονται δικαίοις φίλοι, τὰ περὶ τούτων ὅρκια συνετέλεσεν ἐπὶ τῆς ἐκκλησίας παραχρῆμα, καὶ διωμόσατο κατὰ τῶν σφαγίων. τούτων ἐστὶ τῶν ὁρκίων μνημεῖον ἐν Ῥώμῃ κείμενον ἐν ἱερῷ Διὸς Πιστίου, ὃν Ῥωμαῖοι Σάγκτον καλοῦσιν, ἀσπὶς ξυλίνη βύρσῃ βοείᾳ περίτονος τοῦ σφαγιασθέντος ἐπὶ τῶν ὁρκίων τότε βοὸς, γράμμασιν ἀρχαϊκοῖς ἐπιγεγραμμένη τὰς γενομένας αὐτοῖς ὁμολογίας. ταῦτα πράξας, καὶ βασιλέα τῶν Γαβίων τὸν υἱὸν Σέξτον ἀποδείξας, ἀπῆγε τὴν δύναμιν. ὁ μὲν δὴ πρὸς Γαβίους πόλεμος τοιούτου τετύχηκε τέλους.

cap. 59. Templa Jovi, Junoni & Minervæ ædificat,

Ταρκύνιος δὲ μετὰ τοῦτο τὸ ἔργον ἀναπαύσας τὸν λεὼν τῶν στρατειῶν καὶ πολέμων, περὶ τὴν κατασκευὴν τῶν ἱερῶν ἐγίνετο, τὰς τοῦ πάππου προθυμούμενος εὐχὰς ἐπιτελέσαι. ἐκεῖνος γὰρ, ἐν τῷ τελευταίῳ μαχόμενος πρὸς Σαβίνους, εὔξατο τῷ Διῒ καὶ τῇ Ἥρᾳ καὶ τῇ Ἀθηνᾷ, ἐὰν νικήσῃ τῇ μάχῃ, ναοὺς αὐτοῖς κατασκευάσειν· καὶ τὸν μὲν σκόπελον, ἔνθα ἱδρύσεσθαι ἔμελλε τοὺς θεοὺς, ἀναλήμμασί τε καὶ χώμασι μεγάλοις ἐξειργάσατο, καθάπερ ἔφην ἐν τῷ πρὸ τούτου λόγῳ· τὴν δὲ τῶν ναῶν κατασκευὴν οὐκ

ἔφθη

Digitized by Google

ἔφθη τελέσαι. τῦτο δὴ τὸ ἔργον ὁ Ταρκύνιος ἀπὸ τῆς δεκάτης τῶν ἐκ Συέσσης λαφύρων ἐπιτελέσαι προαιρόμενος, ἅπαντας τὰς τεχνίτας ἐπέστησε ταῖς ἐργασίαις. ἔνθα δὴ λέγεται τέρας τὶ θαυμαστὸν ὑπόγειον, ὀρυττομένων τῶν θεμελίων, καὶ τῆς ὀρυγῆς εἰς πολὺ βάθος ἤδη παρέσης, εὑρῆσθαι, κεφαλὴν νεοσφαγᾶς ἀνθρώπε, τό τε πρόσωπον ἔχουσαν τοῖς ἐμψύχοις ὅμοιον, καὶ τὸ καταφερόμενον ἐκ τῆς σφαγῆς αἷμα θερμὸν ἔτι καὶ νεαρόν. τῦτο τὸ τέρας ἰδὼν ὁ Ταρκύνιος, τῦ μὲν ὀρύγματος ἐπισχεῖν ἐκέλευσε τὰς ἐργαζομένας· συγκαλέσας δὲ τὰς ἐπιχωρίας μάντεις, ἐπυνθάνετο παρ᾽ αὐτῶν, τί βέλεται σημαίνειν τὸ τέρας. ἐδὲν δ᾽ αὐτῶν ἀποφαινομένων, ἀλλὰ Τυῤῥηνοῖς ἀποδιδόντων τὴν περὶ τῶν τοιέτων ἐπιστήμην, ἐξετάσας παρ᾽ αὐτῶν, καὶ μαθὼν τὸν ἐπιφανέστατον τῶν ἐν Τυῤῥηνοῖς τερατοσκόπων, ὅστις ἦν, πέμπει τῶν ἀστῶν τὰς δοκιμωτάτας πρέσβεις πρὸς αὐτόν. τέτοις τοῖς ἀνδράσιν ὁ μάντις, "Ἄνδρες Ῥωμαῖοι, ἔφη, λέγετε πρὸς τὰς ἑαυτῶν πολίτας, ὅτι κεφαλὴν εἵμαρται γενέσθαι συμπάσης Ἰταλίας τὸν τόπον τῦτον, ἐν ᾧ τὴν κεφαλὴν εὕρετε." ἐξ ἐκείνε καλεῖται Καπιτωλῖνος ὁ τόπος, ἀπὸ τῆς εὑρεθείσης ἐν αὐτῷ κεφαλῆς· κάπιτα γὰρ οἱ Ῥωμαῖοι καλᾶσι τὰς κεφαλάς. ταῦτα παρὰ τῶν πρεσβευσάντων ἀκέσας ὁ Ταρκύνιος, ἐπέστησε τοῖς ἔργοις τὰς τεχνίτας· καὶ τὰ μὲν πολλὰ ἐξειργάσατο τῦ ναῦ, τελειῶσαι δ᾽ ἐκ ἔφθασεν ἅπαν τὸ ἔργον, ἐκπεσὼν τάχιον ἐκ τῆς δυναστείας· ἀλλ᾽ ἐπὶ τῆς τρίτης ὑπατείας ἡ Ῥωμαίων πόλις αὐτὸν εἰς συντέλειαν ἐξειργάσατο.

cap. 61. in clivo Capitolino.

cap. 62. Libri Sibyllini.

— Λέγεται δέ τι καὶ ἕτερον ἐπὶ τῆς Ταρκυνίε βασιλείας πάνυ θαυμαστὸν εὐτύχημα τῇ Ῥωμαίων ὑπάρξαι πόλει, εἴτε θεῶν τινος, εἴτε δαιμόνων εὐνοίᾳ δωρηθέν· ὅπερ ἐ πρὸς ὀλίγον καιρὸν, ἀλλ᾽ εἰς ἅπαντα τὸν βίον πολλάκις αὐτὴν ἔσωσεν ἐκ μεγάλων κακῶν. γυνή τις ἀφίκετο πρὸς τὸν τύραννον, ἐκ ἐπιχωρία, βίβλας ἐννέα μεστὰς Σιβυλλείων χρησμῶν ἀπεμπολῆσαι θέλεσα. ἐκ ἀξιᾶντος δὲ τῦ Ταρκυνίε τῆς αἰτηθείσης τιμῆς πρίασθαι τὰς βίβλας, ἀπελθᾶσα τρεῖς ἐξ αὐτῶν κατέκαυσε· καὶ μετ᾽ ἐ πολὺν χρόνον τὰς λοιπὰς ἐνέγκασα, τῆς αὐτῆς ἐπώλει τιμῆς. δόξασα δ᾽ ἄφρων τις εἶναι, καὶ γελαθεῖσα ἐπὶ τῷ τὴν αὐτὴν

αὐτὴν τιμὴν αἰτεῖν περὶ τῶν ἐλαττόνων, ἣν ὐδὲ περὶ τῶν πλειόνων ἐδυνήθη λαβεῖν, ἀπελθῦσα πάλιν τὰς ἡμισείας τῶν ἀπολειπομένων κατέκαυσε, καὶ τὰς λοιπὰς τρεῖς ἐνέγκασα τὸ ἴσον ᾔτει χρυσίον. θαυμάσας δὲ τὸ βύλευμα τῆς γυναικὸς ὁ Ταρκύνιος, τὺς οἰωνοσκόπυς μετεπέμψατο, καὶ διηγησάμενος αὐτοῖς τὸ πρᾶγμα, τί χρὴ πράττειν, ἤρετο. κἀκεῖνοι διὰ σημείων τινῶν μαθόντες, ὅτι θεόπεμπτον ἀγαθὸν ἀπεστράφη, καὶ μεγάλην συμφορὰν ἀποφαίνοντες, τὸ μὴ πάσας αὐτὸν τὰς βίβλυς πρίασθαι, ἐκέλευσαν ἀπαριθμῆσαι τῇ γυναικὶ τὸ χρυσίον, ὅσον ᾔτει, καὶ τὺς περιόντας τῶν χρησμῶν λαβεῖν· ἡ μὲν ὖν γυνὴ τὰς βίβλυς δῦσα, καὶ φράσασα τηρεῖν ἐπιμελῶς, ἐξ ἀνθρώπων ἠφανίσθη. ὁ δὲ Ταρκύνιος τῶν ἀςῶν ἄνδρας ἐπιφανεῖς δύο προχειρισάμενος, καὶ δημοσίυς αὐτοῖς δύο θεράποντας παραζεύξας, ἐκείνοις ἀπέδωκε τὴν τῶν βιβλίων φυλακὴν, ὧν τὸν ἕτερον Μάρκον Ἀτύλιον, ἀδικεῖν τι δόξαντα περὶ τὴν πίςιν, καὶ μηνυθέντα ὑφ' ἑνὸς τῶν δημοσίων, ὡς πατροκτόνον, εἰς ἀσκὸν ἐῤῥάψας βόειον, ἔῤῥιψεν εἰς τὸ πέλαγος. μετὰ δὲ τὴν ἐκβολὴν τῶν βασιλέων ἡ πόλις ἀναλαβῦσα τὴν τῶν χρησμῶν προςασίαν, ἄνδρας τὺς ἐπιφανεςάτυς ἀποδείκνυσιν αὐτῶν φύλακας, οἱ διὰ βίυ ταύτην ἔχυσι τὴν ἐπιμέλειαν, ςρατειῶν ἀφειμένοι καὶ τῶν ἄλλων τῶν κατὰ τὴν πόλιν πραγματειῶν, καὶ δημοσίυς αὐτοῖς παρακαθίςησιν, ὧν χωρὶς ὐκ ἐπιτρέπει τὰς ἐπισκέψεις τῶν χρησμῶν τοῖς ἀνδράσι ποιεῖσθαι. συνελόντι δ' εἰπεῖν, ὐδὲν ὕτω Ῥωμαῖοι φυλάττυσιν, ὔτε ὅσιον κτῆμα, ὔτε ἱερὸν, ὡς τὰ Σιβύλλεια θέσφατα. χρῶνται δ' αὐτοῖς, ὅταν ἡ βυλὴ ψηφίσηται, ςάσεως καταλαβύσης τὴν πόλιν, ἢ δυςυχίας τινὸς μεγάλης συμπεσύσης κατὰ πόλεμον, ἢ τεράτων τινῶν καὶ φαντασμάτων μεγάλων καὶ δυσευρέτων αὐτοῖς φανέντων, οἷα πολλὰ συνέβη. ὗτοι διέμειναν οἱ χρησμοὶ μέχρι τῦ Μαρσικῦ κληθέντος πολέμυ, κείμενοι κατὰ γῆς, ἐν τῷ ναῷ τῦ Καπιτωλίνυ Διὸς, ἐν λιθίνῃ λάρνακι, ὑπ' ἀνδρῶν δέκα φυλαττόμενοι. μετὰ δὲ τὴν τρίτην ἐπὶ ταῖς ἑβδομήκοντα καὶ ἑκατὸν ὀλυμπιάσιν ἐμπρησθέντος τῦ ναῦ, εἴτ' ἐξ ἐπιβυλῆς, ὡς οἴονταί τινες, εἴτ' ἀπὸ ταὐτομάτυ, σὺν τοῖς ἄλλοις ἀναθήμασι τῦ θεῦ καὶ ὗτοι διεφθάρησαν ὑπὸ τῦ πυρός. οἱ δὲ νῦν ὄντες, ἐκ πολλῶν εἰσι συμφόρητοι τῶν τόπων· οἱ

μὲν ἐκ τῶν ἐν Ἰταλίᾳ πόλεων κομισθέντες· οἱ δ' ἐξ Ἐρυθρῶν τῶν ἐν Ἀσίᾳ, κατὰ δόγμα βȣλῆς ἀποςαλέντων πρεσβευτῶν ἐπὶ τὴν ἀντιγραφήν· οἱ δ', ἐξ ἄλλων πόλεων, καὶ παρ' ἀνδρῶν ἰδιωτῶν μεταγραφέντες· ἐν οἷς εὑρίσκονταί τινες ἐμπεποιημένοι τοῖς Σιβυλλείοις, ἐλέγχονται δὲ ταῖς καλȣμέναις ἀκροςιχίσι· λέγω δὲ, ἃ Τερέντιος Οὐάῤῥων ἱςόρηκεν ἐν τῇ θεολογικῇ πραγματείᾳ.

cap. 63. Colonias condit, Signiam & Circeios.

Ταῦτα διαπραξάμενος ἐν εἰρήνῃ τε καὶ κατὰ πολέμȣς ὁ Ταρκύνιος, καὶ δύο πόλεις ἀποικίσας, τὴν μὲν καλȣμένην Σιγναίαν, ȣ̓ κατὰ προαίρεσιν, ἀλλ' ἐκ τȣ̃ αὐτομάτȣ· χειμασάντων ἐν τῷ πεδίῳ τῶν ςρατιωτῶν, καὶ κατασκευασαμένων τὸ ςρατόπεδον, ὡς μηδὲν διαφέρειν πόλεως· Κιρκαίαν δὲ κατὰ λογισμὸν, ὅτι τȣ̃ Πωμεντίνων πεδίȣ μεγίςȣ τῶν περὶ τῇ Λατίνῃ, καὶ τῆς συναπτȣ́σης αὐτῷ θαλάσσης, ἔκειτο ἐν καλῷ· ἔςι δὲ χερσοειδὴς σκόπελος ὑψηλὸς ἐπιεικῶς ἐπὶ τȣ̃ Τυῤῥηνικȣ̃ πελάγȣς κείμενος. ἔνθα λόγος ἔχει, Κίρκην τὴν Ἡλίȣ θυγατέρα κατοικῆσαι· καὶ τὰς ἀποικίας ἀμφοτέρας δυσὶ τῶν παίδων οἰκισαῖς ἀναθεὶς, Κιρκαίαν μὲν Ἄροντι, Σιγναίαν δὲ Τίτῳ, δέος ȣ̓δὲν ἔτι περὶ τῆς ἀρχῆς ἔχων, διὰ γυναικὸς ὕβριν, ἣν ὁ πρεσβύτατος αὐτȣ̃ τῶν παίδων Σέξτος διέφθειρεν, ἐξελαύνεται τῆς τ' ἀρχῆς καὶ τῆς πόλεως.

cap. 64. Inter urbis Ardeæ obsidionem Sextus Tarquinius Lucretiæ vim infert.

Ἀρδεατῶν πόλιν ὁ Ταρκύνιος ἐπολέμει, πρόφασιν μὲν ποιȣ́μενος, ὅτι τȣ̀ς ἐκ Ῥώμης φυγάδας ὑπεδέχετο, καὶ συνέπραττεν αὐτοῖς περὶ καθόδȣ· ὡς δὲ τἀληθὲς εἶχεν, ἐπιβȣλεύων αὐτῇ διὰ τὸν πλȣ̃τον, εὐδαιμονȣ́σῃ μάλιςα τῶν ἐν Ἰταλίᾳ πόλεων. γενναίως δὲ τῶν Ἀρδεατῶν ἀπομαχομένων, καὶ πολυχρονίȣ τῆς πολιορκίας γενομένης, οἵ τ' ἐπὶ τȣ̃ ςρατοπέδȣ κάμνοντες ἐπὶ τῇ τριβῇ τȣ̃ πολέμȣ, καὶ οἱ κατὰ πόλιν ἀπειρηκότες ταῖς εἰσφοραῖς, ἕτοιμοι πρὸς ἀποςασίαν ἦσαν, εἴ τις ἀρχὴ γένοιτο. ἐν τȣ́τῳ δὴ τῷ καιρῷ Σέξτος ὁ πρεσβύτατος τῶν Ταρκυνίȣ παίδων ἀποςαλεὶς ὑπὸ τȣ̃ πατρὸς εἰς πόλιν, ἣ ἐκαλεῖτο Κολλάτεια, χρείας τινὰς ὑπηρετήσων ςρατιωτικὰς, παρ' ἀνδρὶ κατήχθη συγγενεῖ, Λευκίῳ Ταρκυνίῳ τῷ Κολλατίνῳ προσαγορευομένῳ. τȣ̃τον τὸν ἄνδρα Φάβιος μὲν υἱὸν εἶναί φησιν Ἠγερίȣ, περὶ ȣ̃ δεδήλωκα πρότερον, ὅτι Ταρκυνίȣ τȣ̃ πρότερον βασιλεύσαντος Ῥωμαίων ἀδελφȣ̃ παῖς

Digitized by Google

παῖς ἦν, καὶ Κολλατείας ἡγεμὼν ἀποδειχθεὶς, ἀπὸ τῆς ἐν ἐκείνῃ τῇ πόλει διατριβῆς αὐτός τε Κολλατῖνος ἐκλήθη, καὶ τοῖς ἐγγόνοις ἀφ' ἑαυτοῦ τὴν αὐτὴν κατέλιπεν ἐπίκλησιν· ἐγὼ δὲ καὶ τοῦτον υἱωνὸν εἶναι τοῦ Ἠγερίου πείθομαι, εἴ γε τὴν αὐτὴν εἶχε τοῖς Ταρκυνίου παισὶν ἡλικίαν, ὡς Φάβιός τε καὶ οἱ πολλοὶ συγγραφεῖς παραδεδώκασιν· ὁ γὰρ χρόνος ταύτην μοι τὴν ὑπόληψιν βεβαιοῖ. ὁ μὲν οὖν Κολλατῖνος ἐπὶ στρατοπέδου τότε ὢν ἐτύγχανεν· ἡ δὲ συνοικοῦσα αὐτῷ γυνὴ Ῥωμαία, Λουκρητίου θυγάτηρ, ἀνδρὸς ἐπιφανοῦς, ἐξένιζεν αὐτὸν, ὡς συγγενῆ τοῦ ἀνδρὸς, πολλῇ προθυμίᾳ τε καὶ φιλοφροσύνῃ. ταύτην τὴν γυναῖκα, καλλίστην τῶν ἐν Ῥώμῃ γυναικῶν καὶ σωφρονεστάτην, ἐπεχείρησεν ὁ Σέξτος διαφθεῖραι, παλαίτερον μὲν ἐπειγόμενος, ὁπότε κατάγοιτο παρὰ τῷ συγγενεῖ, τότε δὲ καιρὸν ἁρμόττοντα οἰόμενος ἔχειν. ὡς δὲ μετὰ τὸ δεῖπνον ἀπῆλθε κοιμησόμενος, ἐπισχὼν τῆς νυκτὸς πολὺ μέρος, ἐπειδὴ καθεύδειν ἅπαντας ἐνόμιζεν, ἀναστὰς ἧκεν ἐπὶ δωμάτιον, ἐν ᾧ τὴν Λουκρητίαν ᾔδει καθεύδουσαν, καὶ λαθὼν τοὺς παρὰ ταῖς θύραις τοῦ δωματίου κοιμωμένους, εἰσέρχεται ξίφος ἔχων.

Ἐπιστὰς δὲ τῇ κλίνῃ, διεγερθείσης ἅμα τῷ συνιέναι τὸν ψόφον τῆς γυναικὸς, καὶ πυνθανομένης, ὅστις εἴη, φράσας τοὔνομα, σιωπᾶν ἐκέλευσε καὶ μένειν ἐν τῷ δωματίῳ, σφάξειν αὐτὴν ἀπειλήσας, ἐὰν ἐπιχειρήσῃ φεύγειν ἢ βοᾶν. τούτῳ καταπληξάμενος τῷ τρόπῳ τὴν ἄνθρωπον, αἱρέσεις αὐτῇ δύο προὔτεινεν· ὧν ὁποτέραν αὐτὴ προῃρεῖτο, λαβεῖν ἠξίου, θάνατον μετ' αἰσχύνης, ἢ βίον μετ' εὐδαιμονίας. "Εἰ μὲν γὰρ ὑπομενεῖς, ἔφη, χαρίσασθαί μοι, γυναῖκά σε ποιήσομαι, καὶ βασιλεύσεις σὺν ἐμοὶ, νῦν μὲν, ἧς ὁ πατήρ ἔδωκέ μοι πόλεως, μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, Ῥωμαίων τε καὶ Λατίνων καὶ Τυῤῥηνῶν, καὶ τῶν ἄλλων, ὅσων ἐκεῖνος ἄρχει. ἐγὼ γὰρ οἶδ', ὅτι παραλήψομαι τὴν τοῦ πατρὸς βασιλείαν, ὥσπερ ἐστὶ δίκαιον, τῶν υἱῶν αὐτοῦ πρεσβύτατος ὤν. ὅσα δὲ ὑπάρχει τοῖς βασιλεῦσιν ἀγαθὰ, ὧν ἁπάντων ἔσῃ σὺν ἐμοὶ κυρία, τί δεῖ σε καλῶς ἐπισταμένην διδάσκειν; εἰ δ' ἀντιπράττειν ἐπιχειρήσεις, σώζειν βουλομένη τὸ σῶφρον, ἀποκτενῶ σε, καὶ τῶν θεραπόντων ἐπικατασφάξας ἕνα, θήσω τὰ σώματα ὑμῶν

cap. 65.

ἅμα,

Digitized by Google

ἅμα, καὶ φήσω κατειληφὼς ἀσχημονοῦσάν σε μετὰ τοῦ δούλου τετιμωρῆσθαι, τὴν τοῦ συγγενοῦς ὕβριν μετερχόμενος· ὥς' αἰσχρὰν καὶ ἐπονείδιςόν σου γενέσθαι τὴν τελευτὴν, καὶ μηδὲ ταφῆς τὸ σῶμά σου τυχεῖν, μηδ' ἄλλων νομίμων μηδενός." Ὡς δὲ πολὺς ἦν ἀπειλῶν τε ἅμα καὶ ἀντιβολῶν καὶ διομνύμενος, ἀληθεύειν τῶν λεγομένων ἕκαςον, εἰς ἀνάγκην ἦλθεν ἡ Λουκρητία, φοβηθεῖσα τὴν περὶ τὸν θάνατον ἀσχημοσύνην, εἶξαί τε καὶ περιϊδεῖν αὐτὸν, ἃ προήρητο, διαπραξόμενον.

cap. 66. Ἡμέρας δὲ γενομένης, ὁ μὲν ἐπὶ τὸ ςρατόπεδον ἀπῄει, πονηρὰν καὶ ὀλέθριον ἐπιθυμίαν ἐκπεπληρωκώς· ἡ δὲ Λουκρητία, δεινῶς φέρουσα τὸ συμβεβηκὸς, ὡς εἶχε τάχους ἐπιβᾶσα τῆς ἀπήνης, εἰς Ῥώμην ᾤχετο, μέλαιναν ἐσθῆτα περιβαλομένη, καὶ ξιφίδιόν τι κρύψασα ὑπὸ τῇ ςολῇ, οὔτε προσαγορεύουσα κατὰ τὰς συναντήσεις οὐδένα τῶν προσαγορευόντων, οὔτ' ἀποκρινομένη τοῖς μαθεῖν βουλομένοις, ὅ τι πέπονθεν, ἀλλὰ σύννους καὶ κατηφὴς, καὶ μεςοὺς ἔχουσα τοὺς ὀφθαλμοὺς δακρύων. ὡς δὲ τὴν οἰκίαν εἰσῆλθε τοῦ πατρὸς· ἔτυχον δὲ συγγενεῖς ὄντες τινὲς παρ' αὐτῷ· τῶν γονάτων αὐτοῦ λαβομένη καὶ περιπεσοῦσα, τέως μὲν ἔκλαιε, φωνὴν οὐδεμίαν προϊεμένη· ἔπειτ', ἀνιςάντος αὐτὴν τοῦ πατρὸς, καὶ τί πέπονθεν ἀξιοῦντος λέγειν· "Ἱκέτις, ἔφη, γίνομαί σου, πάτερ, δεινὴν καὶ ἀνήκεςον ὑπομείνασα ὕβριν, τιμωρῆσαί μοι, καὶ μὴ περιϊδεῖν τὴν σαυτοῦ θυγατέρα θανάτου χείρονα παθοῦσαν." Θαυμάσαντος δ' αὐτοῦ καὶ τῶν ἄλλων ἁπάντων, καὶ, τίς ὕβρικεν αὐτὴν, καὶ ποταπὴν ὕβριν, ἀξιοῦντος λέγειν· "Ἀκούσῃ τὰς ἐμὰς συμφορὰς, ἔφη, ὦ πάτερ, οὐκ εἰς μακράν· χάρισαι δέ μοι ταύτην, πάτερ, πρῶτον αἰτουμένῃ τὴν χάριν· κάλεσον, ὅσους δύνασαι φίλους τε καὶ συγγενεῖς, ἵνα παρ' ἐμοῦ τῆς τὰ δεινὰ παθούσης ἀκούσωσι, καὶ μὴ παρ' ἑτέρων. ὅταν δὲ μάθῃς τὰς κατασχούσας αἰσχρὰς καὶ δεινὰς ἀνάγκας, βουλεύσῃ μετ' αὐτῶν, ὅντινα τιμωρήσεις ἐμοί τε καὶ σεαυτῷ τρόπον· καὶ μὴ πολὺν ποίει χρόνον τὸν διὰ μέσου."

cap. 67. Ταχεῖα δὲ καὶ κατεσπουδασμένη παρακλήσει τῶν ἐπιφανεςάτων ἀνδρῶν εἰς τὴν οἰκίαν συνελθόντων, ὥσπερ ἠξίου, πρὸς αὐτοὺς λέγει ἅπαν τὸ πρᾶγμα, ἐξ ἀρχῆς ἀναλαβοῦ-

Digitized by Google

λαβȣ̃σα. καὶ μετὰ τȣ̃το ἀσπασαμένη τὸν πατέρα, καὶ πολλὰς λιτανείας ἐκείνȣ τε καὶ τῶν σὺν αὐτῷ παρόντων ποιησαμένη, θεοῖς τε καὶ δαίμοσιν εὐξαμένη, ταχεῖαν αὐτῇ δȣ̃ναι τὴν ἀπαλλαγὴν τȣ̃ βίȣ, σπάσασα τὸ ξιφίδιον, ὃ κατέκρυπτεν ὑπὸ τοῖς πέπλοις, καὶ μίαν ἐνέγκασα διὰ τῶν στέρνων πληγὴν, ἕως τῆς καρδίας ὤθεῖ τὸ ξίφος. κραυγῆς δὲ καὶ θρήνȣ καὶ τυπετȣ̃ γυναικείȣ τὴν οἰκίαν ὅλην κατασχόντος, ὁ μὲν πατὴρ περιχυθεὶς τῷ σώματι περιέβαλλε καὶ ἀνεκαλεῖτο, καὶ ὡς ἀνοίσȣσαν ἐκ τȣ̃ τραύματος ἐπιμελεῖτο. ἡ δ' ἐν ταῖς ἀγκάλαις αὐτȣ̃ σπαίρȣσα καὶ ψυχοῤῥαγȣ̃σα ἀποθνήσκει. τοῖς δὲ παρȣ̃σι Ῥωμαίων ȣ̃τω δεινὸν ἔδοξεν εἶναι καὶ ἐλεεινὸν τὸ πάθος, ὥστε μίαν ἁπάντων γενέσθαι φωνὴν, ὡς μυριάκις αὐτοῖς κρεῖττον εἴη, τεθνάναι περὶ τῆς ἐλευθερίας, ἢ τοιαύτας ὕβρεις ὑπὸ τῶν τυράννων γινομένας περιορᾶν. ἦν δέ τις ἐν αὐτοῖς Πȣ́πλιος Ὀυαλέριος, ἑνὸς τῶν ἅμα τῷ Τατίῳ παραγενομένων εἰς Ῥώμην Σαβίνων ἀπόγονος, δραστήριος ἀνὴρ καὶ φρόνιμος. ȣ̃τος ἐπὶ τὸ στρατόπεδον πέμπεται ὑπ' αὐτῶν, τῷ τ' ἀνδρὶ τῆς Λȣκρητίας τὰ συμβεβηκότα φράσων, καὶ σὺν ἐκείνῳ πράξων ἀπόστασιν τȣ̃ στρατιωτικȣ̃ πλήθȣς ἀπὸ τῶν τυράννων. ἄρτι δ' αὐτῷ τὰς πύλας ἐξεληλυθότι συναντᾷ κατὰ δαίμονα παραγινόμενος εἰς τὴν πόλιν ὁ Κολλατῖνος ἀπὸ τȣ̃ στρατοπέδȣ, τῶν κατεσχηκότων τὴν οἰκίαν αὐτȣ̃ κακῶν ȣ̓δὲν εἰδώς· καὶ σὺν αὐτῷ Λεύκιος Ἰȣ́νιος, ᾧ Βρȣ̃τος ἐπώνυμον ἦν· εἴη δ' ἂν ἐξερμηνευόμενος ὁ Βρȣ̃τος εἰς τὴν Ἑλληνικὴν διάλεκτον, ἠλίθιος. ὑπὲρ ȣ̔ μικρὰ προειπεῖν ἀναγκαῖον, ἐπειδὴ τȣ̃τον ἀποφαίνȣσι Ῥωμαῖοι τῆς καταλύσεως τῶν τυράννων γενέσθαι αἰτιώτατον, τίς τ' ἦν, καὶ ἀπὸ τίνων, καὶ διὰ τί τῆς ἐπωνυμίας ταύτης ἔτυχεν ȣ̓δὲν αὐτῷ προσηκȣ́σης.

Τῷ ἀνδρὶ τȣ́τῳ πατὴρ μὲν ἦν Μάρκος Ἰȣ́νιος, ἑνὸς τῶν σὺν Αἰνείᾳ τὴν ἀποικίαν στειλάντων ἀπόγονος, ἐν τοῖς ἐπιφανεστάτοις τῶν Ῥωμαίων ἀριθμȣ́μενος δι' ἀρετήν· μήτηρ δὲ Ταρκυνία, τȣ̃ πρότερον βασιλέως Ταρκυνίȣ θυγάτηρ· αὐτὸς δὲ τροφῆς τε καὶ παιδείας πάσης τῆς ἐπιχωρίȣ μετέλαβε, καὶ φύσιν εἶχε πρὸς ȣ̓δὲν τῶν καλῶν ἀντιπράττȣσαν. ἐπεὶ δὲ Τύλλιον ἀποκτείνας Ταρκύνιος, σὺν ἄλλοις ἀνδράσι πολλοῖς καὶ ἀγαθοῖς καὶ τὸν ἐκείνȣ πατέρα

cap. 68.

τέρα διεχρήσατο ἀφανεῖ θανάτῳ· δι' ὐδὲν μὲν ἀδίκημα, τῦ δὲ πλύτυ προαχθεὶς εἰς ἐπιθυμίαν, ὃν ἐκ παλαιᾶς τε καὶ προγονικῆς παραλαβὼν ἐυτυχίας ἐκέκτητο· καὶ σὺν αὐτῷ τὸν πρεσβύτατον ὑιὸν ἐυγενές τι φρόνημα διαφαίνοντα, καὶ τὸ μὴ τιμωρῆσαι τῷ θανάτῳ τῦ πατρὸς ὐκ ἂν ὑπομείναντα· νέος ὢν ὁ Βρῦτος ἔτι καὶ κομιδῆ βοηθείας συγγενικῆς ἔρημος, ἔργον ἐπεχείρησε ποιῆσαι πάντων φρονιμώτατον, ἐπίθετον ἑαυτῦ καταψεύσασθαι μωρίαν· καὶ διέμεινεν ἅπαντα τὸν ἐξ ἐκείνυ χρόνον, ἕως ὗ τὸν ἐπιτήδειον ἔδοξε καιρὸν ἔχειν, φυλάττων τὸ προσποίημα τῆς ἀνοίας· ἐξ ὗ δὲ ταύτης ἔτυχε τῆς ἐπωνυμίας, τῦτ' αὐτὸν ἐῤῥύσατο, μηδὲν ὑπὸ τῦ τυράννυ παθεῖν, πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν ἀπολλυμένων.

cap. 69. Καταφρονήσας γὰρ ὁ Ταρκύνιος τῆς δοκύσης εἶναι περὶ αὐτὸν, ἀλλ' ὐ κατ' ἀλήθειαν ὑπαρχύσης μωρίας, ἀφελόμενος ἅπαντα τὰ πατρῷα, μικρὰ δ' εἰς τὸν καθ' ἡμέραν βίον ἐπιχορηγῶν, ὡς παῖδα ὀρφανὸν ἐπιτρόπων δεόμενον ἐφύλαττεν ὑφ' ἑαυτῷ, διαιτᾶσθαί τε μετὰ τῶν οἰκείων παίδων ἐπέτρεπεν, ὐ διὰ τιμὴν, ὡς ἐσκήπτετο πρὸς τὺς πέλας, ὅτι δὴ συγγενὴς, ἀλλ' ἵνα γέλωτα παρέχῃ τοῖς μειρακίοις, λέγων τ' ἀνόητα πολλὰ, καὶ πράττων ὅμοια τοῖς κατ' ἀλήθειαν ἠλιθίοις· καὶ δὴ καὶ, ὅτε τῷ Δελφικῷ μαντείῳ χρησομένυς ἀπέστελλε τῶν παίδων τὺς δύο, Ἄροντα καὶ Τίτον, ὑπὲρ τῦ λοιμῦ· κατέσκηψε γάρ τις ἐπὶ τῆς ἐκείνυ βασιλείας ὐκ ἐιωθυῖα νόσος εἰς παρθένυς τε καὶ παῖδας, ὑφ' ἧς πολλὰ διεφθάρη σώματα, χαλεπωτάτη δὲ καὶ δυσίατος εἰς τὰς κυύσας γυναῖκας, αὐτοῖς βρέφεσιν ἀποκτείνυσα τὰς μητέρας ἐν ταῖς ἀγοραῖς· τήν τ' αἰτίαν τῆς νόσυ γνῶναι παρὰ τῦ θεῦ καὶ τὴν λύσιν βυλόμενος, συνέπεμψε κἀκεῖνον ἅμα τοῖς μειρακίοις δεηθεῖσιν, ἵνα κατασκώπτειν τε καὶ περιυβρίζειν ἔχοιεν. ὡς δὲ παρεγενήθησαν εἰς τὸ μαντεῖον οἱ νεανίσκοι, καὶ τὺς χρησμὺς ἔλαβον ὑπὲρ ὧν ἐπέμφθησαν, ἀναθήμασι δωρησάμενοι τὸν θεὸν, καὶ τῦ Βρύτυ πολλὰ καταγελάσαντες, ὅτι βακτηρίαν ξυλίνην ἀνέθηκε τῷ Ἀπόλλωνι· ὁ δὲ διατρήσας ὅλην, ὥσπερ αὐλὸν, χρυσῆν ῥάβδον ἀνέθηκεν ὐδενὸς ἐπισταμένυ· καὶ μετὰ τῦτ' ἠρώτων τὸν θεὸν, τίνι πέπρωται τὴν Ῥωμαίων ἀρχὴν παραλαβεῖν·

ὁ

Digitized by Google

ὁ δὲ θεὸς αὐτοῖς ἀνεῖλε, τῷ πρώτῳ τὴν μητέρα φιλήσαντι. οἱ μὲν ἐν νεανίσκοι, τε χρησμε τὴν διάνοιαν ἀγνοήσαντες, συνέθεντο πρὸς ἀλλήλες, ἅμα φιλῆσαι τὴν μητέρα, βελόμενοι κοινῇ τὴν βασιλείαν κατασχεῖν. ὁ δὲ Βρῦτος συνεὶς, ὃ βέλεται δηλεν ὁ θεὸς, ἐπειδὴ τάχισα τῆς Ἰταλίας ἐπέβη, προκύψας κατεφίλησε τὴν γῆν, ταύτην οἰόμενος ἁπάντων εἶναι μητέρα. τὰ μὲν ἐν προγεγενημένα τῷ ἀνδρὶ τέτῳ τοιαῦτα ἦν.

Τότε δ', ὡς ἤκεσε τε Ὀυαλερίε τὰ συμβάντα τῇ Λεκρητίᾳ καὶ τὴν ἀναίρεσιν αὐτῆς διηγεμένε, τὰς χεῖρας ἀνατείνας εἰς τὸν ἐρανὸν εἶπεν· "Ὦ Ζεῦ καὶ θεοὶ πάντες, ὅσοι τὸν ἀνθρώπινον ἐπισκοπεῖτε βίον, ἆρά γε ὁ καιρὸς ἐκεῖνος ἥκει νῦν, ὃν ἐγὼ περιμένων ταύτην τε βίε τὴν προσποίησιν ἐφύλαττον; ἆρα πέπρωται Ῥωμαίοις, ὑπ' ἐμε καὶ δι' ἐμὲ τῆς ἀποῤῥήτε τυραννίδος ἀπαλλαγῆναι;" Ταῦτα εἰπὼν ἐχώρει κατὰ σπεδὴν ἐπὶ τὴν οἰκίαν ἅμα τῷ Κολλατίνῳ τε καὶ Ὀυαλερίῳ. ὡς δ' εἰσῆλθον, ὁ μὲν Κολλατῖνος, ἰδὼν τὴν Λεκρητίαν ἐν τῷ μέσῳ κειμένην, καὶ τὸν πατέρα περικείμενον αὐτῇ, μέγα ἀνοιμώξας καὶ περιλαβὼν τὴν νεκρὰν κατεφίλει, καὶ ἀνεκαλεῖτο, καὶ διελέγετο ὡς πρὸς ζῶσαν, ἔξω τε φρονεῖν γεγονὼς ὑπὸ τε κακε. πολλὰ δ' αὐτε κατολοφυρομένε, καὶ τε πατρὸς ἐν μέρει, καὶ τῆς οἰκίας ὅλης κλαυθμῷ καὶ θρήνῳ κατεχομένης, βλέψας εἰς αὐτὲς ὁ Βρῦτος λέγει· "Μυρίες ἕξετε καιρὲς, ὦ Λυκρήτιε καὶ Κολλατῖνε, καὶ ἅπαντες ὑμεῖς οἱ τῇ γυναικὶ προσήκοντες, ἐν οἷς αὐτὴν κλαύσετε. νυνὶ δὲ, ὡς τιμωρήσομεν αὐτῇ, μελετῶμεν· τετο γὰρ ὁ παρὼν καιρὸς ἀπαιτεῖ." Ἐδόκει τὰ εἰκότα λέγειν· καὶ καθεζόμενοι καθ' ἑαυτὲς, τὸν οἰκετικὸν ὄχλον ἐκ ποδῶν μεταστήσαντες, ἐβελεύοντο, τί χρὴ πράττειν. πρῶτος δὲ ὁ Βρῦτος ἀρξάμενος ὑπὲρ ἑαυτε λέγειν, ὅτι τὴν δοκεσαν τοῖς πολλοῖς μωρίαν ἐκ εἶχεν ἀληθινὴν, ἀλλ' ἐπίθετον, καὶ τὰς αἰτίας εἰπὼν, δι' ἃς τὸ προσποίημα τετο ὑπέμεινεν, καὶ δόξας ἁπάντων ἀνθρώπων εἶναι φρονιμώτατος, μετὰ τετ' ἔπειθεν αὐτὲς τὴν αὐτὴν γνώμην ἅπαντας λαβόντας, ἐξελάσαι Ταρκύνιόν τε καὶ τὲς παῖδας ἐκ τῆς πόλεως, πολλὰ καὶ ἐπαγωγὰ εἰς τετο διαλεχθείς. ἐπεὶ δὲ πάντας εἶδεν ἐπὶ τῆς αὐτῆς γνώμης ὄντας,

cap. 70. Scelere palam facto L. Junius Brutus primum Lucretiæ cognatos, deinde populum ad defectionem a tyrannis faciendam sollicitat.

Digitized by Google

ὄντας, ὐ λόγων ἔφη δεῖν, ὐχ ὑποσχέσεων, ἀλλ' ἔργων, εἴ τι τῶν δεόντων μέλλει γενήσεσθαι· ἄρξειν δὲ τύτων αὐτὸς ἔφη. Ταῦτ' εἰπὼν, καὶ λαβὼν τὸ ξιφίδιον, ᾧ διεχρήσατο ἑαυτὴν ἡ γυνὴ, καὶ τῷ πτώματι προσελθὼν αὐτῆς· ἔτι γὰρ ἔκειτο ἐν τῷ φανερῷ θέαμα οἴκτισον· ὤμοσε τόν τ' Ἄρην καὶ τὺς ἄλλυς θεὺς, πάντα, καθ' ὅσον δύναται, πράξειν ἐπὶ καταλύσει τῆς Ταρκυνίυ δυναστείας· καὶ ὔτ' αὐτὸς διαλλαγήσεσθαι πρὸς τὺς τυράννυς, ὔτε τοῖς διαλλαττομένοις ἐπιτρέψειν, ἀλλ' ἐχθρὸν ἡγεῖσθαι τὸν μὴ ταὐτὰ βυλόμενον, καὶ μέχρι θανάτυ τῇ τυραννίδι καὶ τοῖς συναγωνιζομένοις αὐτῇ διεχθρεύσειν. εἰ δὲ παραβαίη τὸν ὅρκον, τοιαύτην αὐτῷ τελευτὴν ἠράσατο τῦ βίυ γενέσθαι καὶ τοῖς αὐτῦ παισὶν, οἵας ἔτυχεν ἡ γυνή.

cap. 71. Ταῦτ' εἰπὼν ἐκάλει καὶ τὺς ἄλλυς ἅπαντας ἐπὶ τὸν αὐτὸν ὅρκον. οἱ δ' ὐδὲν ἔτι ἐνδοιάσαντες ἀνίσταντο, καὶ τὸ ξίφος δεχόμενοι παρ' ἀλλήλων, ὤμνυον. γενομένων δὲ τῶν ὅρκων, μετὰ τῦτ' ἐζήτυν, τίς αὐτοῖς ὁ τῆς ἐπιχειρήσεως ἔσαι τρόπος. καὶ ὁ Βρῦτος αὐτοῖς ὑποτίθεται τοιαῦτα· "Πρῶτον μὲν διὰ φυλακῆς τὰς πύλας ἔχωμεν, ἵνα μηδὲν τῶν ἐν τῇ πόλει λεγομένων τε καὶ πραττομένων κατὰ τῆς τυραννίδος αἴσθηται Ταρκύνιος, πρὶν ἢ τὰ παρ' ἡμῶν εὐτρεπῆ γενέσθαι. ἔπειτα κομίσαντες τὸ σῶμα τῆς γυναικὸς, ὡς ἔσιν αἵματι πεφυρμένον, εἰς τὴν ἀγορὰν, καὶ προθέντες ἐν φανερῷ, συγκαλῶμεν τὸν δῆμον εἰς ἐκκλησίαν. ὅταν δὲ συνέλθῃ, καὶ πληθῦσαν ἴδωμεν τὴν ἀγορὰν, προελθὼν Λυκρήτιός τε καὶ Κολλατῖνος, ἀποδυράσθωσαν τὰς ἑαυτῶν τύχας, ἅπαντα τὰ γενόμενα φράσαντες. ἔπειτα τῶν ἄλλων ἕκασος παριὼν κατηγορείτω τῆς τυραννίδος, καὶ τὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν παρακαλείτω. ἔσαι δὲ πᾶσι Ῥωμαίοις κατ' εὐχὴν, ἐὰν ἴδωσιν ἡμᾶς τὺς πατρικίυς ἄρχοντας τῆς ἐλευθερίας· πολλὰ γὰρ καὶ δεινὰ πεπόνθασιν ὑπὸ τῦ Ταρκυνίυ, καὶ μικρᾶς ἀφορμῆς δέονται. ὅταν δὲ λάβωμεν τὸ πλῆθος ὡρμημένον καταλῦσαι τὴν μοναρχίαν, ψῆφόν τ' αὐτοῖς ἀναδῶμεν ὑπὲρ τῦ μηκέτι Ῥωμαίων Ταρκύνιον ἄρξειν, καὶ τὸ περὶ τύτυ δόγμα πρὸς τὺς ἐπὶ ςρατοπέδυ διαπεμψώμεθα ἐν τάχει. καὶ γ ρ οἱ τὰ ὅπλα ἔχοντες, εἰ μάθοιεν, ὅτι τὰ ἐν τῇ πόλει πάντα τοῖς τυράννοις ἐσὶν ἀλλότρια,

Digitized by Google

λότρια, πρόθυμοι περὶ τὴν τῆς πατρίδος ἐλευθερίαν γενήσονται, ἔτε δωρεαῖς ἔτι κατεχόμενοι, ἔτε τὰς ὕβρεις τῶν Ταρκυνίε παίδων τε καὶ κολάκων φέρειν δυνάμενοι." Ταῦτα λέξαντος αὐτῦ, παραλαβὼν τὸν λόγον Ουαλέριος, "Τἄλλα μὲν, ἔφη, ὀρθῶς ἐπιλογίζεσθαί μοι δοκεῖς, Ἰένιε· περὶ δὲ τῆς ἐκκλησίας ἔτι βέλομαι μαθεῖν, τίς ὁ καλέσων ἔσαι αὐτὴν κατὰ νόμες, καὶ τὴν ψῆφον ἀναδώσων ταῖς φράτραις. ἄρχοντι γὰρ ἀποδέδοται τῦτο πράττειν· ἡμῶν δὲ ἐδεὶς ἐδεμίαν ἀρχὴν ἔχει." Ὁ δὲ ὑπολαβὼν· "Ἐγὼ, φησὶν, Οὐαλέριε. τῶν γὰρ Κελερίων ἄρχων εἰμί· καὶ ἀποδέδοταί μοι κατὰ νόμες ἐκκλησίαν, ὅτε βελοίμην, συγκαλεῖν. ἔδωκέ μοι τὴν ἀρχὴν ταύτην ὁ Ταρκύνιος, μεγίσην ἔσαν, ὡς ἠλιθίῳ, καὶ ἔτ' αἰσθησομένῳ τῆς δυνάμεως αὐτῆς, ἔτ', εἰ γνοίην, χρησομένῳ· καὶ τὸν κατὰ τῦ τυράννε λόγον πρῶτος ἐγὼ διαθήσομαι."

Ὡς δὲ τῦτ' ἤκεσαν, ἅπαντες ἐπήνεσάν τε καὶ ὡς ἀπὸ καλῆς ὑποθέσεως ἀρξάμενον καὶ νομίμε, καὶ τἄλλα λέγειν αὐτὸν ἠξίεν. κἀκεῖνος εἶπεν, "Ἐπειδὴ ταῦτα ἔτω πράττειν ἡμῖν δοκεῖ, σκοπώμεθα πάλιν, τίς ἡ τὴν πόλιν ἐπιτροπεύεσα ἀρχὴ γενήσεται μετὰ τὴν κατάλυσιν τῶν βασιλέων, καὶ ὑπὸ τίνος ἀποδειχθεῖσα ἀνδρὸς, καὶ ἔτι πρότερον, ὅσις ἔσαι πολιτείας λόγος, ὃν ἀπαλλαττόμενοι τῦ τυράννε κατασησόμεθα. βεβελεῦσθαι γὰρ ἅπαντα βέλτιον, πρὶν ἐπιχειρεῖν ἔργῳ τηλικῷδε, καὶ μηδὲν ἀνεξέτασον ἀφεῖσθαι, μηδ' ἀπροβέλευτον. ἀποφαινέσθω δὲ περὶ τέτων ἕκασος ὑμῶν ἃ φρονεῖ." Μετὰ τῦτ' ἐλέχθησαν πολλοὶ καὶ παρὰ πολλῶν λόγοι. ἐδόκει δὲ τοῖς μὲν, βασιλικὴν αὖθις κατασήσασθαι πολιτείαν, ἐξαριθμεμένοις, ὅσα εἰς τὴν πόλιν ἐποίησαν ἀγαθὰ πάντες οἱ πρότερον βασιλεῖς· τοῖς δὲ, μηκέτι ποιεῖν ἐφ' ἑνὶ δυνάσῃ τὰ κοινὰ, τὰς τυραννικὰς διεξιέσι παρανομίας, αἷς ἄλλοι τε πολλοὶ κατὰ τῶν ἰδίων πολιτῶν ἐχρήσαντο, καὶ Ταρκύνιος τελευτῶν· ἀλλὰ τὸ συνέδριον τῆς βελῆς ἁπάντων ἀποδεῖξαι κύριον, ὡς ἐν πολλαῖς τῶν Ἑλληνίδων πόλεων· οἱ δὲ, τέτων μὲν ἐδετέραν προῃρῦντο τῶν πολιτειῶν, δημοκρατίαν δὲ συνεβέλευον, ὥσπερ Ἀθήνησι, κατασῆσαι, τὰς ὕβρεις καὶ τὰς πλεονεξίας τῶν ὀλίγων προφερόμενοι, καὶ τὰς σάσεις τὰς γινομένας τοῖς ταπεινοῖς πρὸς τὰς ὑπερέχον-

cap. 72.

χοντας· ἐλευθέρᾳ δὲ πόλει τὴν ἰσονομίαν ἀποφαίνοντες ἀσφαλεςάτην ἔσαν καὶ πρεπωδεςάτην τῶν πολιτειῶν.

cap. 73. Χαλεπῆς δὲ καὶ δυσκρίτε τῆς αἱρέσεως ἅπασι φαινομένης, διὰ τὰς παρακολεθέσας ἑκάςῃ τῶν πολιτειῶν κακίας, τελευταῖος παραλαβὼν τὸν λόγον ὁ Βρῦτος εἶπεν· "Ἐγὼ δ', ὦ Λεκρήτιε καὶ Κολλατῖνε, καὶ πάντες ὑμεῖς "οἱ παρόντες ἄνδρες ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν, καινὴν μὲν "ἐδεμίαν ἡμᾶς οἴομαι δεῖν καθίςαθαι πολιτείαν κατὰ τὸ "παρόν· ὅ τε γὰρ καιρὸς, εἰς ὃν συνήγμεθα ὑπὸ τῶν "πραγμάτων, βραχὺς, ἐν ᾧ μεθαρμόσαθαι πόλεως κόσμον "ἐ ῥᾴδιον· ἥ τε πεῖρα τῆς μεταβολῆς, κἂν τὰ κράτιςα "τύχωμεν περὶ αὐτῆς βελευσάμενοι, σφαλερὰ καὶ ἐκ ἀκινδυνος· ἐξέςαι δ' ἡμῖν ὕςερον, ὅταν ἀπαλλαγῶμεν τῆς τυ"ραννίδος, μετὰ πλείονος ἐξεσίας καὶ κατὰ σχολὴν βελευ"σαμένοις τὴν κρείττονα πολιτείαν ἀντὶ τῆς χείρονος ἑλέ"θαι· εἰ δή τις ἄρα ἐςὶ κρείττων, ἧς Ῥωμύλος τε καὶ "Πομπίλιος, καὶ πάντες οἱ μετ' ἐκείνες βασιλεῖς καταςη"σάμενοι παρέδοσαν ἡμῖν, ἐξ ἧς μεγάλη καὶ εὐδαίμων καὶ "πολλῶν ἄρχεσα ἀνθρώπων ἡ πόλις ἡμῶν διετέλεσεν. ἃ "δὲ παρακολεθεῖν εἴωθε ταῖς μοναρχίαις δεινὰ, ἐξ ὧν εἰς "τυραννικὴν ὠμότητα περιίςανται, καὶ δι' ἃ δυσχεραίνεσιν "ἅπαντες πρὸς αὐτὰς, ταῦθ' ὑμῖν ἐπανορθώσαθαί τε τὰ "νῦν, καὶ ἵνα μηδ' ἐξ ὑςέρε γένηταί ποτε, φυλάξαθαι "παραινῶ. τίνα δέ ἐςι ταῦτα; πρῶτον μὲν, ἐπειδὴ τὰ "ὀνόματα τῶν πραγμάτων οἱ πολλοὶ σκοπῦσι, καὶ ἀπὸ τέ"των ἢ προσίενταί τινα τῶν βλαβερῶν, ἢ φεύγεσι τῶν "ὠφελίμων, ἐν οἷς καὶ τὴν μοναρχίαν εἶναι συμβέβηκε, "μεταθέθαι τἔνομα τῆς πολιτείας ὑμῖν παραινῶ, καὶ τὲς "μέλλοντας ἕξειν τὴν ἁπάντων ἐξεσίαν, μήτε βασιλεῖς ἔτι, "μήτε μονάρχες καλεῖν, ἀλλὰ μετριωτέραν τινὰ καὶ φι"λανθρωποτέραν αὐτοῖς θέθαι προσηγορίαν. ἔπειτα μὴ "ποιεῖν γνώμην μίαν ἁπάντων κυρίαν, ἀλλὰ δυσὶν ἐπιτρέ"πειν ἀνδράσι τὴν βασιλικὴν ἀρχὴν, ὡς Λακεδαιμονίες πυν"θάνομαι ποιεῖν ἐπὶ πολλὰς ἤδη γενεὰς, καὶ διὰ τῦτο τὸ "σχῆμα τε πολιτεύματος ἁπάντων μάλιςα τῶν Ἑλλήνων "εὐνομεῖθαί τε καὶ εὐδαιμονεῖν· ἧττον γὰρ ὑβριςαὶ καὶ "βαρεῖς ἔσονται, διαιρεθείσης τῆς ἐξεσίας διχῆ, καὶ τὴν "αὐτὴν ἰσχὺν ἐχόντων ἑκατέρων· αἰδώς τ' ἀλλήλων καὶ

"κώλυ-

"κώλυσις τῦ καθ' ἡδονὴν ζῆν, φιλοτιμία τε πρὸς ἀρετῆς "ἄσκησιν, ἐκ ταύτης γένοιτ' ἂν τῆς ἰσοτίμυ δυναςείας μά-"λιςα."

"Τῶν τε παρασήμων, ἃ τοῖς βασιλεῦσι παραδέδο-"ται, πολλῶν ὄντων, ἔι τινα λυπηρὰς ὄψεις καὶ ἐπιφθό-"νυς τοῖς πολλοῖς παρέχεται, τὰ μὲν μειῶσαι, τὰ δ' ἀφε-"λεῖν ὄιομαι δεῖν· τὰ σκῆπῖρα ταυτὶ λέγω, καὶ τὺς χρυ-"σῦς ςεφάνυς, καὶ τὰς ἁλυργεῖς καὶ χρυσοσήμυς ἀμπε-"χόνας, πλὴν ἐι μὴ κατὰ καιρύς τινας ἑορταίυς, καὶ ἐν "πομπαῖς θριάμβων, ὅτε αὐτὰ τιμῆς θεῶν ἕνεκα λήψον-"ται. λυπήσει γὰρ ὐδένα, ἐὰν γένωνται σπάνια· θρόνον "δὲ τοῖς ἀνδράσιν ἐλεφάντινον, ἐν ᾧ καθεζόμενοι δικά-"συσι, καὶ λευκὴν ἐσθῆτα περιπόρφυρον, καὶ τὺς προηγυ-"μένυς ἐν ταῖς ἐξόδοις δώδεκα πελέκεις καταλιπεῖν. ἔτι "πρὸς τύτοις, ὃ πάντων ὄιομαι τῶν ἐιρημένων χρησιμώτα-"τον ἔσεσθαι, καὶ τῦ μὴ πολλὰ ἐξαμαρτάνειν τὺς παραλη-"ψομένυς τὴν ἀρχὴν αἰτιώτατον, τὸ μὴ διὰ βίυ τὺς αὐ-"τὺς ἐᾶν ἄρχειν· χαλεπὴ γὰρ ἅπασιν ἀόριςος ἀρχὴ, καὶ "μηδεμίαν ἐξέτασιν διδῦσα τῶν πραττομένων, ἐξ ἧς φύε-"ται τυραννίς· ἀλλ' ἐις ἐνιαύσιον χρόνον, ὡς παρ' Ἀθη-"ναίοις γίνεται, τὸ κράτος τῆς ἀρχῆς συνάγειν. τὸ γὰρ "ἐν μέρει τὸν αὐτὸν ἄρχειν τε καὶ ἄρχεσθαι, καὶ πρὸ τῦ "διαφθαρῆναι τὴν διάνοιαν ἀφίςασθαι τῆς ἐξυσίας, συςέλ-"λει τὰς αὐθάδεις φύσεις, καὶ ὐκ ἐᾷ μεθύσκεσθαι ταῖς "ἐξυσίαις τὰ ἤθη. Ταῦθ' ἡμῖν καταςησαμένοις ὑπάρξει "τὰ μὲν ἀγαθὰ καρπῦσθαι τῆς βασιλικῆς πολιτείας, τῶν "δὲ παρακολυθέντων αὐτῇ κακῶν ἀπηλλάχθαι. ἵνα δὲ "καὶ τὔνομα τῆς βασιλικῆς ἐξυσίας πάτριον ὑπάρχον ἡμῖν, "καὶ σὺν ὀιωνοῖς αἰσίοις θεῶν ἐπικυρωσάντων παρεληλυθὸς "ἐις τὴν πόλιν, αὐτῆς ἕνεκα τῆς ὁσίας φυλάτ]ηται, ἱερῶν "ἀποδεικνύσθω τις ἀεὶ-βασιλεὺς, ὁ τὴν τιμὴν ταύτην ἕξων "διὰ βίυ, πάσης ἀπολελυμένος πολεμικῆς ἀσχολίας, ἓν "τῦτο μόνον ἔχων ἔργον, ὥσπερ ὁ βασιλεὺς, τὴν ἡγεμο-"νίαν τῶν θυηπολιῶν, ἄλλο δ' ὐδέν."

cap. 74.

"Ὃν δὲ τρόπον ἔςαι τύτων ἕκαςον, ἀκύσατέ μυ· "συνάξω μὲν ἐγὼ τὴν ἐκκλησίαν, ὥσπερ ἔφην, ἐπειδὴ "συγκεχώρηταί μοι κατὰ νόμον, καὶ γνώμην ἐισηγήσομαι· "φεύγειν Ταρκύνιον ἅμα τοῖς παισὶ καὶ τῇ γυναικὶ, πό-

cap. 75.

"λεώς

"λεὼς τε καὶ χώρας τῆς Ῥωμαίων εἰργομένες τὸν ἀεὶ χρό-
"νον, καὶ γένος τὸ ἐξ αὐτῶν· ὅταν δ' ἐπιψηΦίσωσι τὴν
"γνώμην οἱ πολῖται, δηλώσας αὐτοῖς ἣν διανοέμεθα πο-
"λιτείαν κατασήσασθαι, μεσοβασιλέα ἑλῶμαι τὸν ἀποδεί-
"ξοντα τὲς παραληψομένες τὰ κοινὰ, καὶ αὐτὸς ἀποθήσο-
"μαι τὴν τῶν Κελερίων ἀρχήν. ὁ δὲ κατασαθεὶς ὑπ' ἐμῦ
"μεσοβασιλεὺς, συναγαγὼν τὴν λοχῖτιν ἐκκλησίαν, ὀνο-
"μασάτω τε τὲς μέλλοντας ἕξειν τὴν ἐνιαύσιον ἡγεμονίαν,
"καὶ ψῆΦον ὑπὲρ αὐτῶν τοῖς πολίταις δότω· ἐὰν δὲ τοῖς
"πλείοσι δόξῃ λόχοις κυρίαν εἶναι τὴν τῶν ἀνδρῶν αἵρε-
"σιν, καὶ τὰ μαντεύματα γένηται περὶ αὐτῶν καλὰ, τὲς
"πελέκεις ἔτοι παραλαβόντες, καὶ τὰ λοιπὰ τῆς βασιλικῆς
"ἐξεσίας σύμβολα, πραττέτωσαν, ὅπως ἐλευθέραν οἰκήσο-
"μεν τὴν πατρίδα, καὶ μηκέτι κάθοδον ἕξεσιν εἰς αὐτὴν
"Ταρκύνιοι· πειράσονται γὰρ, εὖ ἴσε, καὶ πειθοῖ καὶ βίᾳ
"καὶ δόλῳ, καὶ παντὶ ἄλλῳ τρόπῳ παρελθεῖν πάλιν ἐπὶ
"τὴν δυναςείαν, ἐὰν μὴ Φυλαττώμεθα αὐτές. Ταυτὶ μὲν
"ἔν ἐσι τὰ μέγισα καὶ κυριώτατα, ὧν ὑμῖν ἐν τῷ παρόντι
"λέγειν ἔχω καὶ παραινεῖν· τὰ δὲ κατὰ μέρος, πολλὰ
"ὄντα καὶ ἐ ῥάδια νῦν δι' ἀκριβείας ἐξετασθῆναι· συνήγμε-
"θα γὰρ εἰς ὀξὺν καιρόν· ἐπ' αὐτοῖς οἴομαι δεῖν ποιῆσαι
"τοῖς παραληψομένοις τὴν ἀρχήν. σκοπεῖσθαι μέντοι Φη-
"μὶ χρῆναι τὲς ἄνδρας ἅπαντα μετὰ τῦ συνεδρίε τῆς βε-
"λῆς, ὥσπερ οἱ βασιλεῖς ἐποίεν, καὶ μηδὲν πράττειν δίχα
"ἡμῶν, καὶ τὰ δόξαντα τῇ βελῇ Φέρειν εἰς τὸν δῆμον,
"ὡς τοῖς προγόνοις ἡμῶν ἔθος ἦν, μηδενὸς ἀΦαιρεμένες
"αὐτὸν, ὧν ἐν τοῖς προτέροις καιροῖς κύριος ἦν. ἔτω γὰρ
"αὐτοῖς ἀσΦαλέςατα καὶ κάλλισα ἕξει τὰ τῆς ἀρχῆς."

cap. 76. Ταύτην ἀποδειξαμένε τὴν γνώμην Ἰενίε Βρέτε, πάν-
τες ἐπήνεσαν, καὶ αὐτίκα περὶ τῶν παραληψομένων τὴν
ἡγεμονίαν ἀνδρῶν βελευόμενοι, μεσοβασιλέα μὲν ἔκριναν
ἀποδειχθῆναι Σπόριον Λεκρήτιον, τὸν πατέρα τῆς διαχρη-
σαμένης ἑαυτήν· ὑπ' ἐκείνε δὲ τὲς ἕξοντας τὴν τῶν βασι-
λέων ἡγεμονίαν ἐξετασθῆναι, Λεύκιον Ἰένιον Βρῦτον, καὶ
Λεύκιον Ταρκύνιον Κολλατῖνον. τὲς δ' ἄρχοντας τέτες
ἔταξαν καλεῖσθαι κατὰ τὴν ἑαυτῶν διάλεκτον, Κωνσέλας.
τῦτο μεθερμηνευόμενον εἰς τὴν Ἑλλάδα γλῶτταν τὔνομα,
συμβέλες ἢ προβέλες δύναται δηλῦν· κωνσίλια γὰρ οἱ Ῥω-
μαῖοι

μαῖοι τὰς συμβȣλὰς καλȣ͂σιν· ὕπατοι δὲ ὑφ' Ἑλλήνων ἀνὰ χρόνον ὠνομάσθησαν ἐπὶ τȣ͂ μεγέθȣς τῆς ἐξȣσίας, ὅτι πάντων τ' ἄρχȣσι, καὶ τὴν ἀνωτάτω χώραν ἔχȣσι. τὸ γὰρ ὑπερέχον καὶ ἄκρον, ὕπατον ἐκάλȣν ὁι παλαιοί. ταῦτα βȣλευσάμενοί τε καὶ κατασησάμενοι, καὶ τȣ̀ς θεȣ̀ς ἐυχαῖς λιτανεύσαντες συλλαβέσθαι σφίσιν ὁσίων καὶ δικαίων ἔργων ἐφιεμένοις, ἐξῆεσαν ἐις τὴν ἀγοράν. ἠκολȣ́θȣν δ' ἀυτοῖς ὁι θεράποντες ἐπὶ κλίνης μέλασιν ἀμφίοις ἐσρωμένης κομίζοντες ἀθεράπευτόν τε καὶ πεφυρμένην ἅιματι τὴν νεκράν· ἣν πρὸ τȣ͂ βȣλευτηρίȣ τεθῆναι κελεύσαντες ὑψηλῷ καὶ περιφανῆ, συνεκάλȣν τὸν δῆμον ἐις ἐκκλησίαν. ὄχλȣ δὲ συναχθέντος ȣ̓ μόνον τȣ͂ κατ' ἀγορὰν τότε ὄντος, ἀλλὰ καὶ τȣ͂ κατὰ τὴν πόλιν ὅλην· διεξῄεσάν γὰρ ὁι κήρυκες διὰ τῶν σενωπῶν τὸν δῆμον ἐις τὴν ἀγορὰν καλȣ͂ντες· ἀναβὰς ὁ Βρȣ͂τος, ἔνθα τοῖς συνάγȣσι τὰς ἐκκλησίας δημηγορεῖν ἔθος ἦν, καὶ τȣ̀ς πατρικίȣς παρασησάμενος, ἔλεξε (τὰ ἄνωθεν λεχθέντα).

Τȣ͂ δὲ Βρȣ́τȣ δημηγορȣ͂ντος, ἀναβοήσεις τε συνεχεῖς ἐφ' ἑκάσῳ τῶν λεγομένων ἐκ τȣ͂ πλήθȣς ἐγένοντο, διασημαίνȣσαι τὸ βȣλόμενόν τε καὶ ἐπικελευόμενον. τοῖς δὲ πλείοσιν ἀυτῶν καὶ δάκρυα ὑφ' ἡδονῆς ἐῤῥει, θαυμασῶν καὶ ἀπροσδοκήτων ἀκȣ́ȣσι λόγων· πάθη τε ποικίλα τὴν ἑκάσȣ ψυχὴν κατελάμβανεν ȣ̓δὲν ἀλλήλοις ἐοικότα· λύπαις τε γὰρ καὶ ἡδοναῖς ἐκέκραντο· ἅις μὲν, ἐπὶ τοῖς προγεγονόσι δεινοῖς· ἅις δ', ἐπὶ τοῖς προσδοκωμένοις ἀγαθοῖς· καὶ θυμοὶ συνεξέπιπτον φόβοις, ὁι μὲν ἐπὶ τῷ κακῶς δράσοντι τὰ μισȣ́μενα, τῆς ἀσφαλείας ὑπερορῶν ἐπαίροντες· ὁι δὲ κατὰ λογισμὸν τȣ͂ μὴ ῥαδίαν ἔιναι τὴν καθαίρεσιν τῆς τυραννίδος, ὄκνον ταῖς ἐπιβολαῖς ἐπιφέροντες. ἐπεὶ δ' ἐπαύσατο λέγων, ὥσπερ ἐξ ἑνὸς σόματος ἅπαντες τὴν ἀυτὴν φωνὴν ἀνέκραγον, ἄγειν σφᾶς ἐπὶ τὰ ὅπλα. καὶ ὁ Βρȣ͂τος ἡσθεὶς, "Ἐάν γε πρότερον, ἔφη, τὰ δόξαντα τῷ συνεδρίῳ μαθόντες, ἐπικυρώσητε τὸ ταχθέν. δέδοκται γὰρ "ἡμῖν, φεύγειν Ταρκυνίȣς πόλιν τε τὴν Ῥωμαίων, καὶ "χώραν, ὅσης ἄρχȣσι Ῥωμαῖοι, καὶ γένος τὸ ἐξ ἀυτῶν "ἅπαν· καὶ μηδενὶ ἐξεῖναι περὶ καθόδȣ Ταρκυνίων μήτε "πράττειν μηδὲν, μήτε λέγειν· ἐὰν δέ τις παρὰ ταῦτα "ποιῶν ἑυρίσκηται, τεθνάναι. ταύτην ἐι βȣλομένοις ὑμῖν "ἐσι

cap. 84. Populus Tarquinios in exsilium pellere, & duumviris annuum magistratum cum potestate regia committere decernit.

"ἐςὶ τὴν γνώμην εἶναι κυρίαν, διαςάντες κατὰ Φράτρας "ψῆφον ἐπενέγκατε. τῦτο γὰρ ὑμῖν πρῶτον ἀρξάτω τὸ δίκαιον τῆς ἐλευθερίας." Ἐγίνετο ταῦτα· καὶ ἐπειδὴ πᾶσαι τὴν φυγὴν τῶν τυράννων αἱ Φράτραι κατεψηφίσαντο, παρελθὼν πάλιν ὁ Βρῦτος λέγει· "Ἐπειδὴ τὰ "πρῶτα ἡμῖν κεκύρωται κατὰ τὸ δέον, ἀκέσατε καὶ τὰ "λοιπὰ ὅσα βεβυλεύμεθα περὶ τῆς πολιτείας. ἡμῖν σκο"πυμένοις, τίς ἀρχὴ γενήσεται τῶν κοινῶν κυρία, βασι"λείαν μὲν ὐκέτι καταςήσασθαι δοκεῖ, ἄρχοντας δὲ δύο "καθ' ἕκαςον ἐνιαυτὸν ἀποδεικνύναι βασιλικὴν ἐξυσίαν "ἔχοντας, ὓς ἂν ὑμεῖς ἐν ἀρχαιρεσίαις ἀποδείξητε, ψῆ"φον ἐπιφέροντες κατὰ λόχυς. ἐι δὴ καὶ ταῦτα βυλο"μένοις ἐςὶν ὑμῖν, ψηφίσατε." Ἐπῄνει καὶ ταύτην τὴν γνώμην ὁ δῆμος, καὶ ψῆφος ὐδεμία ἐγένετο ἐναντία. μετὰ τῦτο παρελθὼν ὁ Βρῦτος ἀποδείκνυσι μεσοβασιλέα, τὸν ἐπιμελησόμενον τῶν ἀρχαιρεσιῶν κατὰ τὺς πατρίυς νόμυς, Σπόριον Λυκρήτιον. κἀκεῖνος ἀπολύσας τὴν ἐκκλησίαν, ἐκέλευσεν ἅπαντας ἥκειν ἐις τὸ πεδίον, ἔνθα σύνηθες ἦν ἀυτοῖς ἀρχαιρεσιάζειν, ἔχοντας τὰ ὅπλα ἐν τάξει. ἀφικομένων δ' ἀυτῶν, ἄνδρας ἁιρεῖται δύο τὺς πράξοντας, ὅσα τοῖς βασιλεῦσιν ἐξῆν, Βρῦτόν τε καὶ Κολλατῖνον· καὶ ὁ δῆμος καλύμενος κατὰ λόχυς ἐπεκύρωσε τοῖς ἀνδράσι τὴν ἀρχήν. καὶ τὰ μὲν κατὰ πόλιν ἐν τύτῳ τῷ χρόνῳ πραχθέντα τοιαῦτα ἦν.

Spurius Lucretius creatur interrex; Brutus & Collatinus Consules.

Βασιλεὺς δὲ Ταρκύνιος ὡς ἤκυσε παρὰ τῶν ἀπὸ τῆς πόλεως ἀγγέλων ὃις ἐξεγένετο πρώτοις, πρὶν ἢ κλειθῆναι τὰς πύλας, διαδρᾶναι, τοσῦτον μόνον ἀπαγγελλόντων, ὅτι Βρῦτος κατέχει τὴν ἐκκλησίαν δημαγωγῶν, καὶ τὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν παρακαλῶν, ὐδενὶ τῶν ἄλλων φράσας ἠπείγετο, τὺς ὑιὺς ἀναλαβὼν καὶ τῶν ἑταίρων τὺς πιςοτάτυς, ἐλαύνων τὺς ἵππυς ἀπὸ ῥυτῆρος, ὡς φθάσων τὴν ἀπόςασιν. ἑυρὼν δὲ κεκλεισμένας τὰς πύλας, καὶ μεςὰς ὅπλων τὰς ἐπάλξεις, ᾤχετο πάλιν ἐπὶ τὸ ςρατόπεδον, ὡς εἶχε τάχυς, ὀιμώζων καὶ δεινοπαθῶν. ἔτυχε δὲ κἀκεῖ τὰ πράγματα ἤδη διεφθαρμένα. ὁι γὰρ ὕπατοι, ταχεῖαν ἀυτῦ τὴν παρυσίαν ἐπὶ τὴν πόλιν προορώμενοι, πέμπυσι γράμματα καθ' ἑτέρας ὁδὺς πρὸς τὺς ἐπὶ ςρατοπέδυ, παρακαλῦντες ἀυτὺς, ἀποςῆναι τῦ τυράν-

cap. 85. Tarquinii urbe simul & castris excluduntur.

Digitized by Google

νε, καὶ τὰ δόξαντα τοῖς ἐν ἄςει ποιῦντες φανερά. ταῦτα τὰ γράμματα λαβόντες οἱ καταλειφθέντες ὑπὸ τῦ τυράννυ εἰς τὸ ςρατόπεδον, Τίτος Ἑρμήνιος καὶ Μάρκος Ὁράτιος, ἀνέγνωσαν ἐν ἐκκλησίᾳ· καὶ γνώμας διερωτήσαντες κατὰ λόχυς, ὅ τι χρὴ ποιεῖν, ἐπειδὴ πᾶσιν ἐφάνη, κύρια ἡγεῖσθαι τὰ κριθέντα ὑπὸ τῆς πόλεως, ὐκέτι προσδέχονται παραγενηθέντα τὸν Ταρκύνιον. ἀπωσθεὶς δὲ καὶ ταύτης ὁ βασιλεὺς τῆς ἐλπίδος, φεύγει σὺν ὀλίγοις εἰς Γαβίων πόλιν, ἧς βασιλέα τὸν πρεσβύτερον υἱὸν ἀπέδειξε Σέξτον, ὡς καὶ πρότερον ἔφην· ἡλικίαν μὲν ἤδη πολιὸς, ἔτη δὲ πέντε καὶ εἴκοσι τὴν βασιλείαν κατασχών. οἱ δὲ περὶ τὸν Ἑρμήνιόν τε καὶ Ὁράτιον ἀνοχὰς τῦ πολέμυ καταςησάμενοι πρὸς τὺς Ἀρδεάτας πεντεκαιδεκαετεῖς, ἀπήγαγον ἐπ᾽ οἴκυ τὰς δυνάμεις.

---

2) Sub Consulibus aristocraticis.

A. U. C. 245—466. *ante Chr. nat.* 509—288.

Ibidem. Lib. V. cap. 1. Regibus exactis primi Coss. creati L. Junius Brutus & L. Tarquinius Collatinus, A. U. 245. ante Chr. 509.

Ἡ μὲν δὴ βασιλικὴ Ῥωμαίων πολιτεία διαμείνασα μετὰ τὸν οἰκισμὸν τῆς Ῥώμης, ἐτῶν τετ]άρων καὶ τετ]αράκοντα καὶ διακοσίων ἀριθμὸν, ἐπὶ δὲ τῦ τελευταίυ βασιλέως τυραννὶς γενομένη, διὰ ταύτας τὰς προφάσεις ὑπὸ τύτων κατελύθη τῶν ἀνδρῶν, ὀλυμπιάδος μὲν ὀγδόης καὶ ἑξηκοςῆς ἐνεςώσης, καθ᾽ ἣν ἐνίκα ςάδιον Ἰσχόμαχος Κροτωνιάτης· Ἀθήνησι δὲ τὴν ἐνιαύσιον ἀρχὴν ἔχοντος Ἰσαγόρυ. ἀριςοκρατίας δὲ γενομένης οἱ πρῶτοι τὴν βασιλικὴν ἀρχὴν παραλαβόντες ὕπατοι, τετ]άρων μηνῶν εἰς τὸν ἐνιαυτὸν ἐκεῖνον ὑπολειπομένων, Λεύκιος Ἰύνιος Βρῦτος, καὶ Λεύκιος Ταρκύνιος Κολλατῖνος, ὓς καλῦσι Ῥωμαῖοι κατὰ τὴν ἑαυτῶν διάλεκ]ον, ὥσπερ ἔφην, προβύλυς, ἑτέρυς παραλαβόντες πολλὺς ἐλθόντας εἰς τὴν πόλιν τῶν ἐπὶ ςρατοπέδυ, μετὰ τὰς σπονδὰς τὰς γενομένας αὐτοῖς πρὸς Ἀρδεάτας, ὀλίγαις ἡμέραις ὕςερον τῆς ἐκβολῆς τῦ τυράννυ, συγκαλέσαντές τε τὸν δῆμον εἰς τὴν ἐκκλησίαν, καὶ πολλὺς ὑπὲρ ὁμονοίας λόγυς ποιησάμενοι, ψηφίσματι πάλιν ἐπεκύρωσαν ἑτέρῳ, περὶ ὧν οἱ κατὰ πόλιν ὄντες πρότερον ἐψηφίσαντο, φυγὴν Ταρκυνίοις ἐπιβαλόντες ἀΐδιον. καὶ

μετὰ

Digitized by Google

μετὰ τῦτο καθαρμὲς τῆς πόλεως ποιησάμενοι, καὶ ὅρκια τεμόντες, ἀυτοί τε πρῶτοι ςάντες ἐπὶ τῶν τομίων, ὤμοσαν, καὶ τὲς ἄλλες πολίτας ἔπεισαν ὀμόσαι, μὴ κατάξειν ἀπὸ τῆς Φυγῆς βασιλέα Ταρκύνιον, μήτε τὲς παῖδας αὐτῦ, μήτε τὲς ἐξ ἐκείνων γενησομένες· βασιλέα τε τῆς Ῥωμαίων πόλεως μηκέτι καταςήσειν μηδένα, μήτε τοῖς καθιςάνειν βελομένοις ἐπιτρέψειν. ταῦτα μὲν περὶ ἑαυτῶν τε καὶ τῶν τέκνων καὶ τῦ μεθ' ἑαυτὲς γένες ὤμοσαν. ἐπειδὴ δὲ πολλῶν καὶ μεγάλων ἀγαθῶν ἄιτιοι γενόμενοι τοῖς κοινοῖς πράγμασιν ἔδοξαν ὁι βασιλεῖς, Φυλάτlειν τὔνομα τῆς ἀρχῆς, ὅσον ἂν ἡ πόλις διαμένῃ χρόνον, βελόμενοι, τὲς ἱεροΦάντας τε καὶ οἰωνομάντεις ἐκέλευσαν ἀποδεῖξαι τὸν ἐπιτηδειότατον τῶν πρεσβυτέρων, ὃς ἐδενὸς ἤμελλεν ἕξειν ἑτέρε, πλὴν τῶν περὶ τὰ θεῖα σεβασμάτων, τὴν προστασίαν, ἁπάσης λειτεργίας πολεμικῆς ἀΦειμένος, ἱερῶν καλέμενος βασιλεύς. καὶ καθίςαται πρῶτος ἱερῶν βασιλεὺς Μάνιος Παπίριος, ἐκ τῶν πατρικίων ἀνὴρ ἡσυχίας Φίλος.

Rex sacrificulus.

Ὡς δὲ κατεςήσαντο ταῦτα, δείσαντες, ὡς ἐμοὶ δοκεῖ, μὴ δόξα τοῖς πολλοῖς ἐγγένηται περὶ τῆς καινῆς πολιτείας ἐκ ἀληθὴς, ὅτι δύο βασιλεῖς κύριοι γεγόνασι τῆς πόλεως ἀνθ' ἑνὸς, ἑκατέρε τῶν ὑπάτων τὲς δώδεκα πελέκεις ἔχοντος, ὥσπερ ἔιχον ὁι βασιλεῖς, ἔκριναν τό τε δέος ἀΦελέσθαι τῶν πολιτῶν, καὶ τῆς ἐξεσίας μειῶσαι τὸν Φθόνον, τῦ μὲν ἑτέρε τῶν ὑπάτων τὲς δώδεκα κατατάξαντες ἡγεῖσθαι πελέκεις, τῦ δ' ἑτέρε, δώδεκα ὑπηρέτας ῥάβδες ἔχοντας μόνον· ὡς δέ τινες ἱςορῦσι, καὶ κορώνας· γίνεσθαι δὲ τῶν πελέκεων τὴν παράληψιν ἐκ περιτροπῆς, ἕνα μῆνα κατέχοντος αὐτὲς παραλλὰξ ἑκατέρε. τῦτο δὴ τὸ πολίτευμα καταςησάμενοι, πρόθυμον ἐποίησαν εἰς τὴν διαμονὴν τῶν πραγμάτων τὸν δημότην καὶ ταπεινὸν ὄχλον, καὶ ἄλλα τέτοις παραπλήσια ἐκ ὀλίγα. καὶ γὰρ τὲς νόμες τὲς περὶ τῶν συμβολαίων τὲς ὑπὸ Τυλλίε γραΦέντας, Φιλανθρώπες καὶ δημοτικὲς ἔιναι δοκῦντας, ὃς ἅπαντας κατέλυσε Ταρκύνιος, ἀνενεώσαντο· καὶ τὰς θυσίας τάς τε κατὰ τὴν πόλιν καὶ τὰς ἐπὶ τῶν ἀγρῶν, ἃς ἐποιῦντο κοινῇ συνιόντες ὁι δημόται καὶ ὁι Φυλέται, πάλιν προσέταξαν ἐπιτελεῖσθαι, ὡς ἐπὶ Τυλλίε συνετελῦντο· ἐκτέ-

cap. 2. Consules per vices secures accipiunt.

Leges & consuetudines a Tarquinio sublatas restituunt.

Digitized by Google

κλησίαν τε καὶ αὐτοῖς ἀπέδοσαν ὑπὲρ τῶν μεγίστων, καὶ ψῆφον ἐπιφέρειν, καὶ τἄλλα πράττειν, ὅσα κατὰ τοὺς προτέρους ἐθισμοὺς ἔπραττον. τοῖς μὲν οὖν πολλοῖς καθ' ἡδονὴν τὰ γινόμενα ὑπ' αὐτῶν ἦν, ἐκ πολυχρονίου δουλείας εἰς ἀνέλπιστον ἀφιγμένοις ἐλευθερίαν· εὑρέθησαν δέ τινες ἐξ αὐτῶν ὅμως, οἷς πόθος ἦν, δι' εὐήθειαν τῶν ἐν τυραννίδι κακῶν, ἢ καὶ διὰ πλεονεξίαν, ἄνδρες οὐκ ἀφανεῖς, οἳ συνώμοσαν ἐπὶ προδοσίᾳ τῆς πόλεως, Ταρκύνιόν τε καταδέξασθαι συνθέμενοι, καὶ τοὺς ὑπάτους ἀποκτεῖναι. ἡγεμόνες δ' αὐτῶν οἵτινες ἐγένοντο, καὶ δι' οἵας ἐξηλέγχθησαν ἀνελπίστους συντυχίας, καίτοι πάντας ἀνθρώπους λεληθέναι δοκοῦντες, μικρὰ τῶν ἔμπροσθεν γενομένων ἀναλαβὼν, λέξω.

Tarquinii machinamenta.

cap. 3. Etruscis persuadet, ut legatos Romam mitterent, suo nomine populo Rom. pacis conditiones oblaturos.

Ταρκύνιος ἐπειδὴ τῆς βασιλείας ἐξέπεσε, χρόνον μέν τινα οὐ πολὺν ἐν πόλει Γαβίων διέτριβε, τούς τε συνιόντας ἐκ τῆς πόλεως πρὸς αὐτὸν ὑποδεχόμενος, οἷς ἦν ἡ τυραννὶς ἀσπαστότερον χρῆμα ἐλευθερίας, καὶ ταῖς Λατίνων ἐλπίσιν ἐπέχων, ὡς δι' ἐκείνων καταχθησόμενος ἐπὶ τὴν ἀρχήν. ὡς δ' οὐ προσεῖχον αὐτῷ τὸν νοῦν αἱ πόλεις, οὐδ' ἐβούλοντο πόλεμον ὑπὲρ αὐτοῦ πρὸς τὴν Ῥωμαίων πόλιν ἐκφέρειν, ἀπογνοὺς τὰς παρὰ τούτων ἐπικουρίας, εἰς Ταρκυνίους Τυρρηνικὴν καταφεύγει πόλιν, ἐξ ἧς τὸ πρὸς μητρὸς αὐτῷ γένος ἦν. πείσας δὲ γένος τὸ Ταρκυνιτῶν δωρεαῖς, καὶ δι' ἐκείνων ἐπὶ τὴν ἐκκλησίαν παραχθεὶς, τήν τε συγγένειαν ἀνενεώσατο τὴν ὑπάρχουσαν αὐτῷ πρὸς τὴν πόλιν, καὶ τὰς εὐεργεσίας διεξῆλθεν, ἃς ὁ πάππος αὐτοῦ πάσαις ἐχαρίσατο ταῖς ἐν Τυῤῥηνίᾳ πόλεσι, καὶ τὰς συνθήκας ὑπεμίμνησκεν, ἃς ἦσαν πεποιημένοι πρὸς αὐτόν. ἐπὶ δὲ τούτοις ἅπασι, τὰς κατειληφυίας αὐτὸν ὠδύρετο τύχας, ὡς ἐκ μεγάλης ἐκπεσὼν εὐδαιμονίας ἐν ἡμέρᾳ μιᾷ, πλάνης, καὶ τῶν ἀναγκαίων ἐνδεὴς σὺν υἱοῖς τρισὶν, ἐπὶ τοὺς ὑφ' ἑαυτῷ ποτε γενομένους ἠναγκάσθη καταφυγεῖν. διεξελθὼν δὲ τοιαῦτα μετὰ πολλῶν οἴκτων τε καὶ δακρύων, ἔπεισε τὸν δῆμον, πρέσβεις ἀποστεῖλαι πρῶτον εἰς Ῥώμην, συμβατηρίους φέροντας ὑπὲρ αὐτοῦ λόγους, ὡς δὴ συμπρασσόντων αὐτῷ τῶν δυνατῶν ἐκεῖθεν, καὶ συλληψομένων τῆς καθόδου. ἀποδειχθέντων δὲ τῶν πρεσβευτῶν, οὓς αὐτὸς προείλετο, καὶ διδάξας, ἃ χρὴ λέγειν

τε καὶ πράττειν τοὺς ἄνδρας, καὶ παρὰ τῶν σὺν αὐτῷ φυγάδων γράμματα δοὺς δεήσεις ἔχοντα πρὸς τοὺς οἰκείους αὐτῶν καὶ φίλους, ἀπέστειλε φέροντάς τι καὶ χρυσίον.

cap. 4. Primum de Tarquiniorum reditu cum senatu egerunt;

Οὗτοι δὲ οἱ ἄνδρες, εἰς τὴν Ῥώμην ἐλθόντες, ἔλεγον ἐπὶ τῆς βουλῆς, "Ὅτι Ταρκύνιος ἀξιοῖ λαβὼν ἄδειαν ἐλθεῖν σὺν ὀλίγοις, πρῶτον μὲν ἐπὶ τὸ συνέδριον, ὥσπερ ἐστὶ δίκαιον· ἔπειτα ἂν λάβῃ παρὰ τῆς βουλῆς τὸ συγχώρημα, τότε καὶ ἐπὶ τὴν ἐκκλησίαν ἐλθεῖν, λόγον ὑφέξων ὑπὲρ ἁπάντων, ὧν ἔπραξεν, ἀφ' οὗ τὴν ἀρχὴν ἔλαβε, καὶ δικασταῖς χρησόμενος, ἐάν τις αὐτοῦ κατηγορήσῃ, πᾶσι Ῥωμαίοις. ἀπολογηθεὶς δὲ, καὶ πείσας ἅπαντας, ὡς οὐδὲν ἄξιον εἴργασται φυγῆς, ἐὰν μὲν ἀποδῶσιν αὐτῷ τὴν βασιλείαν, αὖθις ἄρξειν, ἐφ' οἷς ἂν ὁρίσωσιν οἱ πολῖται δικαίοις· ἐὰν δὲ μηκέτι βασιλεύεσθαι προαιρῶνται, καθάπερ ἔμπροσθεν, ἀλλ' ἑτέραν τινὰ καταστήσασθαι πολιτείαν, μένων ἐν τῇ πόλει πατρίδι οὔσῃ, καὶ τὸν ἴδιον οἶκον ἔχων, πολιτεύσεσθαι μετὰ πάντων ἐξ ἴσου, φυγῆς δ' ἀπηλλάχθαι καὶ πλάνης." ταῦτα διεξελθόντες, ἐδέοντο τῆς βουλῆς, "μάλιστα μὲν διὰ τὸ δίκαιον, ὃ πᾶσιν ἀνθρώποις καθέστηκε, μηδένα λόγου καὶ κρίσεως ἀποστερεῖν, συγχωρῆσαι τῷ ἀνδρὶ τὴν ἀπολογίαν, ἧς αὐτοὶ γενήσονται δικασταί· εἰ δ' ἐκείνῳ ταύτην οὐ βούλονται δοῦναι τὴν χάριν, τῆς δεομένης ὑπὲρ αὐτοῦ πόλεως ἕνεκα, μετριάσαι, δωρεὰν αὐτῇ διδόντας, ἐξ ἧς οὐδὲν αὐτοὶ βλαπτόμενοι μεγάλην δόξουσι τιμὴν κατατίθεσθαι τῇ λαμβανούσῃ· ἀνθρώπους δ' ὄντας, μηδὲν ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν φρονεῖν, μηδ' ἀθανάτους ἔχειν τὰς ὀργὰς ἐν θνητοῖς σώμασιν, ἀλλὰ καὶ παρὰ γνώμην τι πράττειν ἐπιεικὲς ὑπομεῖναι, τῶν δεομένων χάριν· ἐνθυμηθέντας, ὅτι φρονίμων μὲν ἀνθρώπων ἔργον ἐστὶ, ταῖς φιλίαις χαρίζεσθαι τὰς ἔχθρας, ἀνοήτων δὲ καὶ βαρβάρων, τοῖς ἐχθροῖς συναναιρεῖν τοὺς φίλους."

cap. 5. sed ejus repulsam tulerunt:

Τοιαῦτα λεξάντων αὐτῶν, ἀναστὰς ὁ Βροῦτος ἔφη· "Περὶ μὲν εἰσόδου Ταρκυνίων εἰς τήνδε τὴν πόλιν παύσασθε, ἄνδρες Τυῤῥηνοὶ, τὰ πλείω λέγοντες. κεῖται γὰρ ψῆφος ἀΐδιον κατ' αὐτῶν ὁρίζουσα φυγὴν, καὶ θεοὺς ὀμωμόκαμεν ἅπαντες, μήτ' αὐτοὶ κατάξειν τοὺς τυράννους, μήτε τοῖς κατάγουσιν ἐπιτρέψειν· εἰ δέ τινος ἄλλου δεῖσθε

τῶν

Digitized by Google

τῶν μετρίων, ἃ μήτ' ὅρκοις μήτε νόμοις κεκωλύμεθα δρᾷν, λέγετε." Μετὰ τοῦτο παρελθόντες οἱ πρέσβεις λέγουσι· "Παράδοξα μὲν ἡμῖν ἀπήντηται τὰ πρῶτα· πρεσβευσάμενοι γὰρ ὑπὲρ ἀνδρὸς ἱκέτου λόγον ὑμῖν ὑποσχεῖν ἀξιοῦντος, καὶ τὸ κοινὸν ἁπάντων δίκαιον εἰς ἰδίαν αἰτούμενοι χάριν, οὐ δεδυνήμεθα τούτου τυχεῖν. ἐπεὶ δ' οὕτως ὑμῖν δοκεῖ, περὶ μὲν εἰσόδου Ταρκυνίων οὐδὲν ἔτι λιπαροῦμεν· προκαλέμεθα δ' ὑμᾶς εἰς ἕτερόν τι δίκαιον, ὑπὲρ οὗ τὰς ἐντολὰς ἡμῖν ἔδωκεν ἡ πατρίς, καὶ οὔτε νόμος ὁ κωλύσων αὐτὸ ποιεῖν ὑμᾶς ἐστιν, οὔτ' ὅρκος, ἀποδοῦναι τῷ βασιλεῖ τὴν οὐσίαν, ἣν ὁ πάππος αὐτοῦ πρότερον ἐκέκτητο, οὐδὲν τῶν ὑμετέρων οὔτε βίᾳ κατασχὼν, οὔτε λάθρα, παρὰ δὲ τοῦ πατρὸς διαδεξάμενος, καὶ πρὸς ὑμᾶς μετενέγκας. ἀπόχρη γὰρ αὐτῷ τὰ ἑαυτοῦ κομισαμένῳ ζῆν ἑτέρωθί τε μακαρίως, μηδὲν ἐνοχλοῦντι ὑμῖν." Τοιαῦτα μὲν οἱ πρέσβεις διαλεχθέντες, ἐξῆλθον. τῶν δ' ὑπάτων Βροῦτος μὲν κατέχειν τὰ χρήματα συνεβούλευσε, τιμωρίας τε χάριν, ἀνθ' ὧν οἱ τύραννοι τὸ κοινὸν ἠδίκησαν πολλῶν ὄντων καὶ μεγάλων, καὶ τοῦ συμφέροντος ἕνεκεν, ἵνα μὴ γένοιτο αὐτοῖς ἀφορμὴ πρὸς τὸν πόλεμον· διδάσκων, ὡς οὐκ ἀγαπήσουσι Ταρκύνιοι τὰς οὐσίας ἀπολαβόντες, οὐδ' ὑπομενοῦσιν ἰδιώτην βίον ζῆν, ἀλλὰ πόλεμον ἐπάξουσι Ῥωμαίοις ἀλλόεθνῆ, καὶ βίᾳ πειράσονται κατελθεῖν ἐπὶ τὴν ἀρχήν. Κολλατῖνος δὲ τἀναντία παρῄνει, λέγων, ὡς οὐδὲν τὰ χρήματα τῶν τυράννων ἠδίκει τὴν πόλιν, ἀλλὰ τὰ σώματα, φυλάττεσθαί τ' αὐτοὺς ἀξιῶν ἀμφότερα, μὴ δόξης τε πονηρᾶς παρὰ πάντων τύχωσιν, ὡς διὰ τὸν πλοῦτον ἐξεληλακότες ἐκ τῆς ἀρχῆς Ταρκυνίους, καὶ πρόφασιν πολέμου δικαίαν παράσχωσιν αὐτοῖς, ὡς ἀποστερουμένοις τῶν ἰδίων· ἄδηλον μὲν εἶναι φάσκων, εἰ κομισάμενοι τὰ χρήματα πολεμεῖν ἐπιχειρήσουσιν ἔτι πρὸς αὐτοὺς περὶ τῆς καθόδου, πρόδηλον δὲ θάτερον, ὡς οὐκ ἀξιώσουσιν εἰρήνην ἄγειν τὰς οὐσίας ἀφαιρεθέντες.

deinde de bonorum restitutione;

Ταῦτα τῶν ὑπάτων λεγόντων καὶ πολλῶν συναγορευόντων ἀμφοτέροις, ἀποροῦσα, ὅ τι χρὴ πράττειν, ἡ βουλὴ, καὶ ἐφ' ἡμέρας συχνὰς σκοποῦσα, ἐπεὶ συμφορώτερα μὲν ὁ Βροῦτος ἐδόκει λέγειν, δικαιότερα δ' ὁ Κολλατῖνος παρῄνει, τελευτῶσα διέγνω, τὸν δῆμον εἶναι τοῦ τε συμφέρον-

cap. 6. quae impetrata;

φέροντος καὶ τῦ δικαίε κριτήν. πολλῶν δὲ λεχθέντων ὑφ' ἑκατέρυ τῶν ὑπάτων, ἀναλαβῦσαι ψῆφον αἱ φράτρι τριάκοντα ἦσαι τὸν ἀριθμὸν, ὕτω μικρὰν ἐποιήσαντο τὴν ἐπὶ θάτερα ῥοπὴν, ὥςε μιᾷ ψήφῳ πλείυς γενέθαι τῶν κατέχειν τὰ χρήματα βυλευομένων τὰς ἀποδιδόναι κελευύσας. λαβόντες δὲ παρὰ τῶν ὑπάτων τὰς ἀποκρίσεις οἱ Τυῤῥηνοὶ, καὶ πολλὰ τὴν πόλιν ἐπαινέσαντες, ὅτι τὰ δίκαια πρὸ τῶν συμφερόντων εἵλοντο, Ταρκυνίῳ μὲν ἐπέςειλαν τὺς ἀποληψομένυς τὰ χρήματα πέμπειν, ἀυτοὶ δ' ἐπέμειναν ἐν τῇ πόλει, συναγωγήν τε τῶν ἐπίπλων, καὶ διάθεσιν τῶν μὴ δυναμένων ἄγεθαί τε καὶ φέρεθαι σκηπτόμενοι· ὡς δὲ τἀληθὲς εἶχε, πράτ]οντές τε καὶ σκευωρύμενοι τὰ κατὰ τὴν πόλιν, ὡς ὁ τύραννος ἀυτοῖς παρήγγειλε. τάς τε γὰρ ἐπιςολὰς τὰς παρὰ τῶν φυγάδων τοῖς ἐπιτηδείοις ἀυτῶν ἀπεδίδυν, καὶ παρ' ἐκείνων ἑτέρας πρὸς τὺς φυγάδας ἐλάμβανον. συνιόντες δὲ πολλοῖς εἰς ὁμιλίαν, καὶ διάπειραν ἀυτῶν τῆς προαιρέσεως λαμβάνοντες, ὓς εὑρίσκοιεν ἂν εὐαλώτυς δι' ἀθένειαν γνώμης, ἢ βίυ σπάνιν, ἢ πόθον τῶν ἐν τῇ τυραννίδι πλεονεξιῶν, ἐλπίδας τε χρηςὰς ὑποτείνοντες ἀυτοῖς, καὶ χρήματα διδόντες, ἐπεχείρυν διαφθείρειν. ἔμελλον δὲ, ὥσπερ εἰκὸς ἐν πόλει μεγάλῃ καὶ πολυόχλῳ ὕσῃ, φανήσεθαί τινες οἱ τὴν χείρω πολιτείαν αἱρησόμενοι πρὸ τῆς κρείτ]ονος, ὐ τῶν ἀσήμων μόνον, ἀλλὰ καὶ τῶν ἐπιφανῶν, ἐν οἷς ἦσαν Ἰύνιοί τε δύο, Τίτος καὶ Τιβέριος, Βρύτυ παῖδες, τῦ ὑπατεύοντος, ἀρτίως ἀρχόμενοι γενειᾶν· καὶ σὺν ἀυτοῖς Γέλλιοί τε δύο, Μάρκος καὶ Μάνιος, ἀδελφοὶ τῆς Βρύτυ γυναικὸς, ἱκανοὶ τὰ κοινὰ πράτ]ειν· καὶ Κολλατίνυ θατέρυ τῶν ὑπάτων ἀδελφῆς υἱοὶ δύο, Λεύκιος καὶ Μάρκος Ἀκυίλλιοι, τὴν ἀυτὴν ἔχοντες τοῖς Βρύτυ παισὶν ἡλικίαν, παρ' οἷς αἱ σύνοδοι τὰ πολλὰ ἐγίνοντο, πατρός γ' ὐκέτι περιόντος ἀυτοῖς, καὶ τὰ περὶ τῆς καθόδυ τῶν τυράννων βυλεύματα συνετίθεντο.

res urbanas insidiose pertentare coeperunt.

Conjuratio urbana de tyrannide reducenda,

cap. 7.

Ἐκ πολλῶν μὲν ὖν καὶ ἄλλων ἔδοξέ μοι τὰ Ῥωμαίων πράγματα προνοίᾳ θεῶν εἰς τοσαύτην παρελθεῖν εὐδαιμονίαν, ὐχ ἥκιςα δ' ἐκ τῶν τότε γενομένων. τοιαύτη γὰρ ἄνοια καὶ θεοβλάβεια τὺς δυςήνυς ἐκείνυς κατέσχεν, ὥςθ' ὑπέμειναν ἐπιςολὰς γράψαι πρὸς τὸν τύραννον ἀυτο-

ἀυτογράφους, δηλοῦντες ἀυτῷ τὸ πλῆθός τε τῶν μετεχόντων τῆς συνωμοσίας, καὶ χρόνον, ἐν ᾧ τὴν κατὰ τῶν ὑπάτων ἔμελλον ποιήσεσθαι ἐπίθεσιν, πεισθέντες ὑπὸ τῶν ἀφικομένων ὡς ἀυτοὺς παρὰ τοῦ τυράννου γραμμάτων, ὅτι βούλεται προειδέναι, τίνας ἀυτῷ Ῥωμαίων προσήκει εὖ ποιεῖν κατασχόντι τὴν ἀρχήν. τούτων δ' ἐγένοντο τῶν ἐπιστολῶν ἐγκρατεῖς ὁι ὕπατοι κατὰ τοιάνδε τινὰ συντυχίαν. παρ' Ἀκυηλλίοις τοῖς ἐκ τῆς Κολλατίνου γεγονόσιν ἀδελφῆς ὁι κορυφαιότατοι τῶν ἐν τῇ συνωμοσίᾳ κατήγοντο, παρακληθέντες ὡς ἐφ' ἱερὰ καὶ θυσίαν. μετὰ δὲ τὴν ἑστίασιν ἐξελθεῖν ἐκ τοῦ συμποσίου κελεύσαντες τοὺς διακόνους, καὶ πρὸ τῶν θυρῶν τοῦ ἀνδρῶνος ἀπελθεῖν, διεφέροντο πρὸς ἀλλήλους ὑπὲρ τῆς καταγωγῆς τῶν τυράννων, καὶ τὰ δόξαντα εἰς ἐπιστολὰς κατεχώριζον ἀυτογράφους, ἃς ἔδει τοὺς Ἀκυηλλίους λαβόντας, ἀποδοῦναι τοῖς ἐκ Τυῤῥηνίας πρέσβεσιν, ἐκείνους δὲ Ταρκυνίῳ. ἐν τούτῳ δὴ τῷ χρόνῳ τῶν θεραπόντων τις ὀινοχόος, ἐκ πόλεως Καινίνης ἀιχμάλωτος, ὄνομα Ὀυϊνδίκιος, ὑποπτεύσας τι τοὺς ἄνδρας βουλεύειν πονηρὸν τῇ μεταστάσει τῶν διακόνων, ἔμεινε μόνος ἔξω παρὰ ταῖς θύραις, καὶ τούς τε λόγους παρ' ἀυτῶν ἠκροάσατο, καὶ τὰς ἐπιστολὰς εἶδεν ὑπὸ πάντων γραφομένας, ἁρμῷ τινι τῆς θύρας διαφανεῖ τὴν ὄψιν προσβαλών. ἐξελθὼν δὲ πολλῆς ἔτι νυκτὸς οὔσης, ὡς ἀπεσταλμένος ὑπὸ τῶν δεσποτῶν ἐπὶ χρείαν τινὰ, πρὸς μὲν τοὺς ὑπάτους ὤκνησεν ἐλθεῖν, δεδιὼς, μὴ τὸ πρᾶγμα συγκρύψαι βουλόμενοι διὰ τὴν εὔνοιαν τῶν συγγενῶν, τὸν μηνύσαντα τὴν συνωμοσίαν ἀφανίσωσιν· ἀφικόμενος δ' εἰς Πόπλιον Ὀυαλέριον, ὃς ἐν τοῖς πρώτοις τέσσαρσιν ἦν τῶν τὴν τυραννίδα καταλυσάντων, δεξιὰν δίδωσι, καὶ δι' ὅρκων τὸ πιστὸν παρ' ἀυτοῦ λαβὼν ὑπὲρ ἀσφαλείας τῆς ἑαυτοῦ, μηνυτὴς, ὧν τ' ἤκουσε καὶ ὧν εἶδε γίνεται. ὁ δ' ὡς ἔμαθεν, οὐδεμίαν ἀναβολὴν ποιησάμενος, ἐπὶ τὴν ὀικίαν τῶν Ἀκυηλλίων σὺν χειρὶ πολλῇ πελατῶν τε καὶ φίλων παραγίνεται περὶ τὸν ὄρθρον. καὶ παρελθὼν εἴσω τῶν θυρῶν, ὡς ἐπ' ἄλλην τινὰ χρείαν παρὼν, ἀκωλύτως, κατ' οἶκον ἔτι τῶν μειρακίων ὄντων, ἐγκρατὴς γίνεται τῶν ἐπιστολῶν, καὶ τοὺς νεανίσκους συλλαβὼν καθίστησιν ἐπὶ τοὺς ὑπάτους.

quae a servo proditur.

Τὰ

cap. 8. Brutus filios suos, qui e conjuratis erant, capitali supplicio damnat;

Τὰ δὲ μετὰ ταῦτα ἔργα θατέρου τῶν ὑπάτων Βρού-
του μεγάλα καὶ θαυμαστὰ λέγειν ἔχων, ἐφ' οἷς μέγιστα
φρονοῦσι Ῥωμαῖοι, δέδοικα μὴ σκληρὰ καὶ ἄπιστα τοῖς ἄλ-
λοις Ἕλλησι δόξω λέγειν· ἐπειδὴ πεφύκασιν ἅπαντες ἀπὸ
τῶν οἰκείων τὰ περὶ τῶν ἄλλων λεγόμενα κρίνειν, καὶ
τὸ πιστὸν ἢ ἄπιστον ἐφ' ἑαυτοῖς ποιεῖν· ἐρῶ δ' οὖν ὅμως.
ἐπειδὴ γὰρ ἡμέρα τάχιστα ἐγένετο, καθίσας ἐπὶ τὸ βῆμα,
καὶ τὰς ἐπιστολὰς τῶν, ἐν τῇ συνωμοσίᾳ διασκεπτόμενος,
ὡς εὗρε τὰς ὑπὸ τῶν υἱῶν γραφείσας, ταῖς σφραγῖσιν
ἑκατέραν γνωρίσας, μετὰ τὸ λῦσαι τὰ σημεῖα [τοῖς χει-
ρογράφοις,] ἀναγνωσθῆναι πρῶτον ἐκέλευσεν ἀμφοτέρας
ὑπὸ τοῦ γραμματέως, εἰς τὴν ἁπάντων τῶν παρόντων ἀ-
κοήν· ἔπειτα λέγειν ἐκέλευσε τοῖς παισὶν, εἴ τι βούλονται.
ὡς δ' οὐκ ἐτόλμησεν αὐτῶν οὐδέτερος πρὸς ἄρνησιν ἀναιδῆ
τραπέσθαι πάλαι κατεψηφικότες ἑαυτῶν, ἔκλαιον δ' ἀμφό-
τεροι, ὀλίγον ἐπισχὼν χρόνον ἀνίσταται, καὶ σιωπὴν προ-
κηρύξας, ἐκδεχομένων ἁπάντων, τί τὸ τέλος ἐξοίσει, θά-
νατον ἔφη καταδικάζειν τῶν τέκνων· ἐφ' ᾧ πάντες ἀνέ-
κραγον, οὐκ ἀξιοῦντες τοιοῦτον ἄνδρα ζημιωθῆναι τέκνων θα-
νάτῳ, καὶ χαρίζεσθαι τὰς ψυχὰς τῶν μειρακίων ἐβούλοντο
τῷ πατρί. ὁ δ' οὔτε τὰς φωνὰς αὐτῶν, οὔτε τὰς οἰμωγὰς
ἀνεχόμενος, ἐκέλευσε τοῖς ὑπηρέταις ἀπάγειν τοὺς νεανί-
σκους ὀλοφυρομένους καὶ ἀντιβολοῦντας καὶ ταῖς φιλτάταις
αὐτὸν ἀνακαλουμένους προσηγορίαις. θαυμαστὸν μὲν καὶ τοῦ-
το ἅπασιν ἐφάνη, τὸ μηδὲν ἐνδοῦναι τὸν ἄνδρα μήτε πρὸς
τὰς δεήσεις τῶν πολιτῶν, μήτε πρὸς τοὺς οἴκτους τῶν τέκ-
νων. πολλῷ δ' ἔτι τούτου θαυμασιώτερον τὸ περὶ τὰς τιμω-
ρίας αὐτῶν ἀμείλικτον. οὔτε γὰρ ἄλλοθί που συνεχώρησεν,
ἀπαχθέντας τοὺς υἱοὺς ἔξω τῆς ἁπάντων ὄψεως ἀποθανεῖν,
οὔτ' αὐτὸς ἐκ τῆς ἀγορᾶς παρεχώρησεν, ἕως ἐκεῖνοι κολασθῶ-
σι, τὴν δεινὴν θέαν ἐκτρεπόμενος, οὔτ' ἄνευ προπηλακισμοῦ
ἀφῆκεν αὐτοὺς τὴν ἐψηφισμένην ἐκπληρῶσαι μοῖραν· ἀλλὰ
πάντα τὰ περὶ τὴν τιμωρίαν ἔθη καὶ νόμιμα φυλάττων,
ὅσα τοῖς κακούργοις ἀπόκειται παθεῖν, ἐν ἀγορᾷ πάντων
ὁρώντων, αἰκισθέντας τὰ σώματα πληγαῖς, αὐτὸς ἅπασι
τοῖς γινομένοις παρὼν, τότε συνεχώρησε τοὺς αὐχένας τοῖς
πελέκεσιν ἀποκοπῆναι. ὑπὲρ ἅπαντα δὲ τὰ παράδοξα καὶ
θαυμαστὰ τοῦ ἀνδρὸς, τὸ ἀτενὲς τῆς ὄψεως καὶ τὸ ἄτεγκτον

ἦν

Digitized by Google

ἦν· ὅσγε τῶν ἄλλων ἁπάντων, ὅσοι τῷ πάθει παρεγένοντο κλαιόντων, μόνος ἔτ' ἀνακλαυσάμενος ὤφθη τὸν μόρον τῶν παίδων, ἔτ' ἀποιμώξας ἑαυτὸν τῆς καθεξούσης τὸν οἶκον ἐρημίας, ἔτ' ἄλλο μαλακὸν ὐδὲν ἐνδὺς, ἀλλ' ἀδακρύς τε καὶ ἀστένακτος καὶ ἀτενὴς διαμένων, εὐκαρδίως ἤνεγκε τὴν συμφοράν. ὕτως ἰσχυρὸς ἦν τὴν γνώμην καὶ βέβαιος τὰ κριθέντα διατηρεῖν, καὶ τῶν ἐπιταραττόντων τὺς λογισμὺς παθῶν καρτερός.

cap. 9. Collatinus Aquilios, sororis filios, contra Bruti capitalem sententiam, absolvit.

Ἀποκτείνας δὲ τὺς υἱὺς, εὐθὺς ἐκάλει τὺς ἀδελφιδὺς τῦ συνάρχοντος Ἀκυηλίυς, παρ' οἷς αἱ σύνοδοι τῶν κατὰ τῆς πόλεως συνομοσαμένων ἐγίνοντο· καὶ τὰς ἐπιστολὰς αὐτῶν ἀναγνῶναι τῷ γραμματεῖ κελεύσας, ὥστε πάντας ἀκύειν τὺς παρόντας, ἀπολογίαν ἔφησεν αὐτοῖς διδόναι. ὡς δὲ προήχθησαν οἱ νεανίσκοι πρὸς τὸ βῆμα, εἶθ' ὑποθεμένυ τινὸς τῶν φίλων, εἴτ' αὐτοὶ συμφρονήσαντες, τοῖς γόνασι τῦ θείυ προσπίπτυσιν, ὡς δι' αὐτῦ σωθησόμενοι. κελεύσαντος δὲ τῦ Βρύτυ τοῖς ῥαβδύχοις, ἀποσπᾷν αὐτὺς καὶ ἀπάγειν ἐπὶ τὸν θάνατον, εἰ μὴ βύλοιντο ἀπολογεῖσθαι, μικρὸν ἐπισχεῖν τοῖς ὑπηρέταις ὁ Κολλατῖνος εἰπὼν, ἕως τῷ συνάρχοντι διαλεχθῇ, λαβὼν τὸν ἄνδρα κατὰ μόνας, πολλὰς ἐξέτεινεν ὑπὲρ τῶν μειρακίων δεήσεις· τὰ μὲν, ἀπολογύμενος, ὡς διὰ νεότητος ἄγνοιαν καὶ πονηρὰς φίλων ὁμιλίας εἰς ταύτην ἐμπεσόντων τὴν φρενοβλάβειαν· τὰ δὲ παρακαλῶν αὐτῷ, χαρίσασθαι τῶν συγγενῶν τὰς ψυχὰς, μίαν αἰτυμένῳ ταύτην δωρεὰν, καὶ περὶ ὐδενὸς ἔτι διενοχλήσοντι ἑτέρυ· τὰ δὲ, διδάσκων, ὅτι συνταραχθῆναι κίνδυνος ὅλην τὴν πόλιν, ἐὰν ἅπαντας ἐπιχειρῶσι θανάτῳ ζημιῦν τὺς δόξαντάς τι συμπράττειν τοῖς φυγάσιν ὑπὲρ τῆς καθόδυ· πολλὺς γὰρ εἶναι, καὶ ὐκ ἀσήμων οἰκιῶν ἐνίυς. ὡς δ' ὐκ ἔπειθε, τελευτῶν ἠξίυ μὴ θάνατον, ἀλλὰ μετρίαν κατ' αὐτῶν ὁρίσαι κόλασιν· ἄτοπον εἶναι λέγων, τὺς μὲν τυράννυς φυγαῖς ἐζημιῶσθαι, τὺς δὲ τῶν τυράννων φίλυς θανάτῳ. ἀντιλέγοντος δὲ καὶ πρὸς τὴν ἐπιείκειαν τῆς κολάσεως τῦ ἀνδρὸς, καὶ ὐδ' εἰς ἑτέρυς ἀναβαλέσθαι χρόνυς τὰς κρίσεις τῶν ἐν ταῖς αἰτίαις βυλομένυ· τελευταία γὰρ αὕτη τῦ συνάρχοντος δέησις ἦν· ἀλλ' αὐθημερὸν ἀποκτείνειν ἅπαντας ἀπειλῦντος καὶ διομνυμένυ, ἀδημονῶν ὁ Κολλατῖνος ἐπὶ τῷ μηδενὸς, ὧν ἠξίυ τυγχά-

Digitized by Google

χάνειν, "Τοιγαρȣ̃ν, ἔφησεν, ἐπεὶ σκαιὸς εἶ καὶ πικρὸς, ἐγὼ τὰ μειράκια καὶ ἀφαιρȣ̃μαι, τῆς αὐτῆς ἐξȣσίας, ἧς σὺ, κύριος ὤν." καὶ ὁ Βρȣ̃τος ἐκπικρανθεὶς, "Ουκ ἐμȣ̃ γ', ἔφη, ζῶντος, ὦ Κολλατῖνε, τὰς προδότας τῆς πατρίδος ἰσχύσεις ἐξελέσθαι· ἀλλὰ καὶ σὺ δώσεις δίκας, ἃς σοὶ προσῆκον, ȣ̓κ εἰς μακράν."

cap. 10. Quam ob causam Brutus magistratum Collatino abrogat, eumque in aliam civitatem migrare jubet.

Ταῦτα εἰπὼν καὶ φυλακὴν τοῖς μειρακίοις ἐπιςήσας, ἐκάλει τὸν δῆμον εἰς ἐκκλησίαν. πληρωθείσης δὲ τῆς ἀγορᾶς ὄχλȣ· περιβόητον γὰρ ἀνὰ τὴν πόλιν ὅλην τὸ περὶ τὰς παῖδας αὐτȣ̃ πάθος ἐγεγόνει· προελθών τε καὶ τὰς ἐντιμοτάτȣς τῶν ἐν τῷ συνεδρίῳ παραςησάμενος, ἔλεξε τοιάδε· "Ἐβȣλόμην μὲν δὴ, ὦ ἄνδρες πολῖται, Κολλατῖνον τȣτονὶ τὸν ἄνδρα, συνάρχοντα ὄντα, περὶ ἁπάντων μοὶ τὰ αὐτὰ φρονεῖν, καὶ μὴ τῷ λόγῳ μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις μισεῖν τȣ̀ς τυράννȣς καὶ πολεμεῖν. ἐπειδὴ δὲ τἀναντία φρονῶν γέγονέ μοι καταφανὴς, καὶ ἔςιν ȣ̓ μόνον τῇ φύσει Ταρκυνίων συγγενὴς, ἀλλὰ καὶ τῇ προαιρέσει, διαλλαγάς τε πράττων πρὸς αὐτȣ̀ς, καὶ ἀντὶ τῶν κοινῇ συμφερόντων τὸ ἑαυτȣ̃ σκοπῶν λυσιτελὲς, αὐτός τε κωλύειν αὐτὸν παρεσκεύασμαι πράττειν, ἃ κατὰ νȣ̃ν ἔχει, πονηρὰ ὄντα, καὶ ὑμᾶς ἐπὶ τȣ̃το παρακαλῶ. φράσω δ' ὑμῖν πρῶτον, ἐν οἷς ἐγένετο κινδύνοις τὰ πράγματα τῆς πόλεως, ἔπειτα πῶς αὐτοῖς ἑκάτερος ἡμῶν κέχρηται. τῶν πολιτῶν τινες συνελθόντες εἰς τὴν Ἀκυηλίων οἰκίαν τῶν ἐκ τῆς Κολλατίνȣ γεγονότων ἀδελφῆς, ἐν οἷς ἦσαν οἵ τ' ἐμοὶ παῖδες ἀμφότεροι, καὶ οἱ τῆς γυναικὸς ἀδελφοὶ τῆς ἐμῆς, καὶ ἅμα τινὲς ἄλλοι σὺν τȣ́τοις ȣ̓κ ἀφανεῖς, συνθήκας ἐποιήσαντο πρὸς ἀλλήλȣς, καὶ συνώμοσαν, ἀποκτείναντες ἐμὲ, Ταρκύνιον ἐπὶ τὴν ἀρχὴν καταγαγεῖν· ἐπιςολάς τε περὶ τȣ́των γράψαντες αὐτογράφȣς, καὶ ταῖς ἑαυτῶν σφραγῖσι κατασημηνάμενοι, πέμπειν πρὸς τȣ̀ς φυγάδας ἔμελλον. ταῦθ' ἡμῖν θεῶν τινος εὐνοίᾳ καταφανῆ γέγονεν ὑπὸ τȣ̃δε μηνυθέντα τȣ̃ ἀνδρὸς· ἔςι δ' Ἀκυηλίων δȣ̃λος, παρ' οἷς καταγόμενοι τῇ παρελθȣ́σῃ νυκτὶ τὰς ἐπιςολὰς ἔγραψαν· καὶ τῶν γραμμάτων αὐτῶν γεγόναμεν ἐγκρατεῖς. Τίτον μὲν ȣ̃ν ἐγὼ καὶ Τιβέριον τȣ̀ς ἐμȣ̀ς παῖδας τετιμώρημαι· καὶ ȣ̓δὲν καταλέλυται διὰ τὴν ἐμὴν ἐπιείκειαν, ȣ̓́τε νόμος, ȣ̓́θ' ὅρ-

κος·

Digitized by Google

κος· Ἀκυΐλιυς δὲ Κολλατῖνος ἀφαιρεῖταί με, καί φησιν ὀκ ἐάσειν ὅμοια τοῖς ἐμοῖς παισὶ βουλεύσαντας τῶν ὁμοίων ἐκείνοις τυχεῖν. εἰ δ' ἔσται μηδεμίαν ὑφέξουσι δίκην, οὐδὲ τοὺς ἀδελφοὺς τῆς ἐμῆς γυναικὸς, οὐδὲ τοὺς ἄλλους προδότας τῆς πατρίδος ἐξέσται μοι κολάσαι. τί γὰρ δὴ δικαιότερον πρὸς αὐτοὺς ἕξω λέγειν, ἂν τούτους ἀφῶ; τίνος οὖν ταῦτα μηνύματα ἡγεῖσθε; πότερα τῆς πρὸς τὴν πόλιν εὐνοίας, ἢ τῶν πρὸς τοὺς τυράννους διαλλαγῶν; καὶ πότερα τῆς ἐμπεδώσεως τῶν ὅρκων, οὓς ἀφ' ἡμῶν ἀρξάμενοι πάντες ὠμόσατε, ἢ τῆς συγχύσεώς τε καὶ ἐπιορκίας; καὶ εἰ μὲν ἔλαθεν ἡμᾶς, ταῖς ἀραῖς ἔνοχος ἂν ἦν, καὶ θεοῖς ὑπέσχεν, οὓς ἐπιορκεῖ, δίκας. ἐπειδὴ δὲ καταφανὴς γέγονεν, ὑφ' ἡμῶν αὐτὸν προσήκει κολασθῆναι· ὅς γε ὀλίγαις μὲν ἡμέραις πρότερον τὰ χρήματα τοῖς τυράννοις ὑμᾶς ἔπεισε παραδοῦναι, ἵνα μὴ κατὰ τῶν ἐχθρῶν ἡ πόλις αὐτοῖς ἔχῃ χρῆσθαι πρὸς τὸν πόλεμον, ἀλλὰ κατὰ τῆς πόλεως οἱ ἐχθροί. νῦν δὲ τοὺς ἐπὶ καθόδῳ τοῖς τυράννοις συνομοσαμένους ἀφεῖσθαι τῆς τιμωρίας οἴεται δεῖν, ἐκείνοις αὐτοῖς δηλονότι χαριζόμενος, ἵν', ἐὰν ἄρα κατέλθωσιν, εἴτ' ἐκ προδοσίας εἴτε πολέμῳ, ταύτας προφερόμενος τὰς χάριτας, ἀπαιτῶν, ὡς φίλος, ὅσων ἂν αἰρῆται, παρ' αὐτῶν τυγχάνῃ. ἔπειτα ἐγὼ τῶν ἐμῶν οὐ φεισάμενος τέκνων, σοῦ φείσομαι, Κολλατῖνε, ὃς τὸ μὲν σῶμα παρ' ἡμῖν ἔχεις, τὴν δὲ ψυχὴν παρὰ τοῖς πολεμίοις· καὶ τοὺς μὲν προδότας τῆς πατρίδος σώζεις, ἐμὲ δὲ τὸν ὑπὲρ αὐτῆς ἀγωνιζόμενον ἀποκτείνεις; πόθεν; πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἵνα μηδὲν ἔτι τοιοῦτον ἐξεργάσῃ, τὴν μὲν ἀρχὴν ἀφαιροῦμαί σε, καὶ πόλιν ἑτέραν κελεύω μεταλαβεῖν. ὑμῖν δ', ὦ πολῖται, ψῆφον ἀναδώσω, καλέσας αὐτίκα μάλα τοὺς λόχους, ἵνα διαγνῶτε, εἰ χρὴ ταῦτ' εἶναι κύρια. εὖ δ' ἴστε [ὅτι] δυοῖν θάτερον, ἢ Κολλατῖνον ἕξοντες ὕπατον, ἢ Βροῦτον."

Τοιαῦτα δὲ λέγοντος αὐτοῦ, βοῶν καὶ δεινοπαθῶν ὁ Κολλατῖνος, ἐπίβουλόν τε καὶ προδότην τῶν φίλων αὐτὸν παρ' ἕκαστα ἀποκαλῶν, καὶ τὰ μὲν ὑπὲρ τῶν αὐτοῦ διαβολῶν ἀπολογούμενος, τὰ δ' ὑπὲρ τῶν ἀδελφιδῶν δεόμενος, ψῆφόν τε καθ' ἑαυτοῦ τοῖς πολίταις οὐκ ἐῶν ἀναδοῦναι, χαλεπώτερον ἐποίει τὸν δῆμον, καὶ δεινοὺς ἤγειρεν ἐπὶ [cap. 11.]

πᾶσι

πᾶσι τοῖς λεγομένοις θορύβȣς. ἠγριωμένων δὲ τῶν πολιτῶν πρὸς αὐτὸν, καὶ ἔτ' ἀπολογίαν ὑπομενόντων, ἔτε δέησιν προσιεμένων, ἀλλὰ τὰς ψήφȣς ἀναδοθῆναι σφίσι κελευσάντων, δι' εὐλαβείας τὸ πρᾶγμα ὁ κηδεςὴς αὐτȣ̃ λαβὼν Σπόριος Λȣκρήτιος, ἀνὴρ τῷ δήμῳ τίμιος, μὴ μεθ' ὕβρεως τῆς ἀρχῆς καὶ τῆς πατρίδος ἐκπέσῃ, λόγον αἰτησάμενος παρ' ἀμφοτέρων τῶν ὑπάτων, καὶ τυχὼν τῆς ἐξȣσίας ταύτης πρῶτος, ὥς φασιν οἱ Ῥωμαίων συγγραφεῖς, ἔπω τότε Ῥωμαίοις ὄντος ἐν ἔθει, δημηγορεῖν ἰδιώτην ἐν ἐκκλησίᾳ, κοινὴν ἐποιήσατο δέησιν ἀμφοτέρων τῶν ὑπάτων, Κολλατίνῳ μὲν παραινῶν, μὴ θυμομαχεῖν, μηδ' ἀκόντων κατέχειν τῶν πολιτῶν τὴν ἀρχὴν, ἣν παρ' ἑκόντων ἔλαβεν, ἀλλ' εἰ δοκεῖ τοῖς ἐȣ̃σιν αὐτὴν ἀπολαβεῖν, ἑκόντα καταθέσθαι, καὶ μὴ τοῖς λόγοις ἀπολύεσθαι τὰς καθ' ἑαυτȣ̃ διαβολὰς, ἀλλὰ τοῖς πράγμασι· μεταθέσθαι δὲ τὴν οἴκησιν ἑτέρωθί γέ ποί ποτε γῆς πάντα τὰ ἑαυτȣ̃ λαβόντα, ἕως ἂν ἐν ἀσφαλείᾳ γένηται τὰ κοινά· ἐπεὶ τȣ̃το δοκεῖ τῷ δήμῳ συμφέρειν· ἐνθυμέμενον, ὅτι τοῖς μὲν ἄλλοις ἀδικήμασι γενομένοις ὀργίζεσθαι πεφύκασιν ἅπαντες, προδοσίας δ' ὑποπτευομένης, σωφρονέςερον ἡγȣ̃νται καὶ διὰ κενῆς φοβηθέντας αὐτὴν φυλάξασθαι μᾶλλον, ἢ καταφρονήσει ἐπιτρέψαντας ἀνατραπῆναι· Βρȣ̃τον δὲ πείθων, μὴ μετ' αἰσχύνης καὶ προπηλακισμȣ̃ τὸν συνάρχοντα τῆς πόλεως ἐκβάλλειν, μεθ' ȣ̃ τὰ κράτιςα τῇ πατρίδι ἐβȣ́λευσεν· ἀλλ' ἐὰν αὐτὸς ὑπομένῃ τὴν ἀρχὴν ἀποθέσθαι, καὶ παραχωρῇ τῆς πατρίδος ἑκὼν, τήν τ' ȣ̓σίαν αὐτῷ πᾶσαν ἐπιτρέψαι κατὰ σχολὴν μετασκευάσασθαι, καὶ ἐκ τȣ̃ δημοσίȣ προσθεῖναί τινα δωρεὰν, ἵνα παραμύθιον ἔχῃ τῆς συμφορᾶς τὴν ἀπὸ τȣ̃ δήμȣ χάριν.

Sp. Lucretius moderationem utrique commendat,

cap. 12. ejusque suasu Collatinus magistratu se abdicat & Lavinium petit.

Ταῦτα τȣ̃ ἀνδρὸς ἀμφοτέροις παραινȣ̃ντος, καὶ τῶν πολιτῶν ἐπαινεσάντων τὸν λόγον, ὁ μὲν Κολλατῖνος πολλὰ κατολοφυρόμενος ἑαυτὸν, εἰ διὰ συγγενῶν ἔλεος ἐκλιπεῖν ἀναγκασθήσεται τὴν πατρίδα μηδὲν ἀδικῶν, ἀποτίθεται τὴν ἀρχήν. ὁ δὲ Βρȣ̃τος ἐπαινέσας αὐτὸν, ὡς τὰ κράτιςα καὶ συμφέροντα ἑαυτῷ τε καὶ τῇ πόλει βεβȣλευμένον, παρεκάλει μήτ' αὐτῷ, μήτε τῇ πατρίδι μνησικακεῖν· ἑτέραν δὲ καταλαβόντα οἴκησιν, τὴν καταλειπομένην πατρίδα ἡγεῖσθαι, μηδενὸς μήτε λόγȣ, μήτ' ἔργȣ κοι-

Digitized by Google

κοινωνοῦντα τοῖς ἐχθροῖς κατ' αὐτῆς· τὸ δ' ὅλον ἀποδημίαν ὑπολαβόντα τὴν μετανάστασιν, ἐκ ἐξορισμὸν, ἐδὲ Φυγὴν, τὸ μὲν σῶμα παρὰ τοῖς ὑποδεξαμένοις ἔχειν, τὴν δὲ ψυχὴν παρὰ τοῖς προπέμπεσι. ταῦτα δ' ὑποθέμενος τῷ ἀνδρὶ, πείθει τὸν δῆμον εἴκοσι ταλάντων δῦναι αὐτῷ δωρεὰν, καὶ αὐτὸς πέντε τάλαντα προστίθησιν ἐκ τῶν ἰδίων. Ταρκύνιος μὲν δὴ Κολλατῖνος τοιαύτῃ τύχῃ πεπεσὼν, εἰς Λαουΐνιον ᾤχετο τὴν μητρόπολιν τῦ Λατίνων γένες, ἐν ᾗ γηραιὰς ἐτελεύτα. ὁ δὲ Βρῦτος ἐκ ἀξιῶν μόνος ἄρχειν, ἐδ' εἰς ὑπόνοιαν ἐλθεῖν τοῖς πολίταις, ὅτι μοναρχίας ὑπαχθεὶς πόθῳ τὸν συνύπατον ἐξήλασεν ἐκ τῆς πατρίδος, καλέσας τὸν δῆμον εὐθὺς εἰς τὸ πεδίον, ἔνθα σύνηθες ἦν αὐτοῖς, τὰς τε βασιλεῖς καὶ τὰς ἄλλας ἀρχὰς καθιστάναι, συνάρχοντα αἱρεῖται Πόπλιον Ὀυαλέριον [συνυπατεύειν], ἀπόγονον, ὡς καὶ πρότερον εἶπον, τῦ Σαβίνων γένες, ἄνδρα καὶ πολλῶν μὲν ἄλλων ἐπιτηδευμάτων χάριν ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι ἄξιον, μάλιςα δὲ τῆς αὐταρκείας τῦ βίυ. Φιλοσοφία γάρ τις αὐτοδίδακτος ἐγένετο περὶ αὐτὸν, ἣν ἐν πολλοῖς ἀπεδείξατο πράγμασι, ὑπὲρ ὧν ὀλίγον ὕςερον ἐρῶ.

P. Valerius ejus in locum subrogatus,

Μετὰ τῦτ' ἤδη μιᾷ γνώμῃ περὶ πάντων χρώμενοι, τὰς μὲν ἐπὶ τῇ καθόδῳ τῶν Φυγάδων συνομοσαμένυς ἅπαντας ἀπέκτειναν παραχρῆμα, καὶ τὸν μηνύσαντα τὴν συνωμοσίαν δῦλον ἐλευθερίας τε καὶ πολιτείας μεταδόσει ἐτίμησαν, καὶ πολλοῖς χρήμασιν. ἔπειτα τρία πολιτεύματα κάλλιςα καὶ συμφορώτατα τῷ κοινῷ καταςησάμενοι, τάς τ' ἐν τῇ πόλει πάντας ὁμονοεῖν παρεσκεύασαν, καὶ τὰς τῶν ἐχθρῶν ἑταιρίας ἐμείωσαν. ἦν δὲ τὰ πολιτεύματα τῶν ἀνδρῶν τοιάδε. πρῶτον μὲν ἐκ τῶν δημοτικῶν τὰς κρατίςυς ἐπιλέξαντες, πατρικίυς ἐποίησαν, καὶ συνεπλήρωσαν ἐξ αὐτῶν τὴν βυλὴν εἰς τριακοσίυς. ἔπειτα τὰς ὀσίας τῶν τυράννων εἰς τὸ κοινὸν πᾶσι τοῖς πολίταις Φέροντες ἔθεσαν, συγχωρήσαντες, ὅσον ἂν λάβοι τις ἐξ αὐτῶν, ἔχειν· καὶ τὴν αὐτῶν γῆν, ὅσην ἐκέκτηντο, τοῖς μηδένα κλῆρον ἔχυσι διένειμαν, ἓν μόνον ἐξελόμενοι πεδίον, ὃ κεῖται μεταξὺ τῆς τε πόλεως καὶ τῦ ποταμῦ. τῦτο δ' Ἄρεος ὑπάρχειν ἱερὸν οἱ πρότερον ἐψηΦίσαντο, ἵπποις τε λειμῶνα, καὶ νέοις ἀσκῦσι τὰς ἐνοπλίυς μελέτας

cap. 13. cum Bruto de conjuratis continuo supplicium sumit, & res urbanas ordinat.

Bona regia, quæ reddi antea censuerant, diripienda plebi dantur.

Digitized by Google

τας γυμνάσιον ἐπιτηδειότατον· ὅτι δὲ καὶ πρὸ τούτου ἱερὸν ἦν τοῦ θεοῦ τοῦδε, Ταρκύνιος δὲ σφετερισάμενος ἔσπειρεν αὐτὸ, μέγιστον δὴ ἡγοῦμαι τούτου τεκμήριον εἶναι τὸ πραχθὲν ὑπὸ τῶν ὑπάτων τότε περὶ τοὺς ἐν αὐτῷ καρπούς. ἅπαντα γὰρ ἐπιτρέψαντες τῷ δήμῳ τὰ τῶν τυράννων ἄγειν τε καὶ φέρειν, τὸν ἐν τούτῳ γενόμενον τῷ πεδίῳ σῖτον, τὸν μὲν ἐπὶ ταῖς ἅλωσιν ἔτι κείμενον, τὸν δ' ἐπὶ ταῖς καλάμαις καὶ τὸν ἤδη κατειργασμένον, οὐκ ἐπέτρεψαν οὐδενὶ φέρειν, ἀλλ' ὡς ἐξάγιστόν τε καὶ οὐδαμῶς ἐπιτήδειον εἰς οἰκίας εἰσενεχθῆναι, εἰς τὸν ποταμὸν καταβαλεῖν ἐψηφίσαντο. καὶ ἔτι νῦν μνημεῖον ἐμφανὲς τοῦ τότε ἔργου, νῆσος εὐμεγέθης Ἀσκληπιοῦ ἱερὰ, περίκλυστος ἐκ τοῦ ποταμοῦ, ἥν φασιν ἐκ τοῦ σωροῦ τῆς καλάμης σαπείσης, καὶ ἔτι καὶ τοῦ ποταμοῦ προσλιπαίνοντος αὐτὴν, νῆσον γενέσθαι. καὶ τοῖς μετὰ τοῦ τυράννου πεφευγόσι Ῥωμαίων κάθοδον εἰς τὴν πόλιν ἐπ' ἀδείᾳ τε καὶ ἀμνηστίᾳ παντὸς ἁμαρτήματος ἔδωκαν, χρόνον ὁρίσαντες ἡμερῶν εἴκοσιν· εἰ δὲ μὴ κατέλθοιεν ἐν ταύτῃ τῇ προθεσμίᾳ, τιμωρίας αὐτοῖς ὥρισαν ἀϊδίους φυγὰς, καὶ κτημάτων, ὧν ἐκέκτηντο, δημεύσεις. ταῦτα τῶν ἀνδρῶν τὰ πολιτεύματα τοὺς μὲν ἀπολαύσαντας ἐκ τῆς οὐσίας τῶν τυράννων ὅτου δή τινος, ὑπὲρ τοῦ μὴ ἀφαιρεθῆναι πάλιν, ἃς ἔσχον, ὠφελείας, πάντα κίνδυνον ἐποίησαν ὑπομένειν· τοὺς δὲ κατὰ δέος, ὧν παρενόμησαν ἐπὶ τῆς τυραννίδος, μὴ ἀναγκασθεῖεν ὑποσχεῖν τιμὴν, ἑαυτοὺς τιμησαμένους, ἀπαλλαγέντας τοῦ φόβου, μηκέτι τὰ τῶν τυράννων, ἀλλὰ τὰ τῆς πόλεως φρονεῖν.

cap. 14.
Bellum contra Etruscos, Tarquiniorum reditum adjuturos.

Διαπραξάμενοι δὲ ταῦτα, καὶ τὰ πρὸς τὸν πόλεμον εὐτρεπισάμενοι, τέως μὲν ὑπὸ τῇ πόλει τὰς δυνάμεις συνεῖχον ἐν τοῖς πεδίοις ὑπὸ σημείοις τε καὶ ἡγεμόσι τεταγμένας, καὶ τὰ πρὸς τὸν πόλεμον ἀσκούσας· πυνθανόμενοι τοὺς φυγάδας ἐξ ἁπασῶν τῶν πόλεων τῶν ἐν Τυρρηνίᾳ ἀγείρειν ἐπὶ σφᾶς στρατὸν, καὶ δύο μὲν πόλεις ἐκ τοῦ φανεροῦ συλλαμβάνειν αὐτοῖς τῆς καθόδου, Ταρκυνίτας τε καὶ Οὐϊεντανοὺς, ἀξιοχρέοις δυνάμεσιν ἀμφοτέρας, ἐκ δὲ τῶν ἄλλων ἐθελοντάς τινας, οὓς μὲν ὑπὸ φίλων παρασκευασθέντας, οὓς δὲ μισθοφόρους. ἐπεὶ δ' ἔμαθον ἐξεληλυθότας ἤδη τοὺς πολεμίους, ἀπαντᾶν αὐτοῖς ἔγνωσαν, καὶ πρὶν ἐκείνους διαβῆναι τὸν ποταμὸν, αὐτοὶ τὰς δυνάμεις διαβι-

βάσαν-

Digitized by Google

βάσαντες, ἐχώρουν πρόσω, καὶ καταστρατοπεδεύσαντες πλησίον Τυῤῥηνῶν ἐν λειμῶνι καλουμένῳ Ὀυϊνίῳ, παρὰ δρυμὸν ἱερὸν ἥρωος Ὁράτου.

cap. 15. Brutus & Aruns vulnera lethalia sibi mutuo infligunt.

Μελλόντων δ' αὐτῶν εἰς χεῖρας ἰέναι, προελθὼν ἐκ τῆς τάξεως τῶν Τυῤῥηνῶν εἰς τῶν Ταρκυνίου παίδων, Ἀρόντας τοὔνομα, μορφήν τε κάλλιστος, καὶ ψυχὴν λαμπρότατος τῶν ἀδελφῶν, ἐγγὺς τῶν Ῥωμαίων ἐλάσας τὸν ἵππον, ὅθεν τὴν φωνὴν πάντες ἔμελλον αὐτοῦ συνήσειν, λόγους ὑβριστὰς εἰς τὸν Ῥωμαίων ἡγεμόνα Βροῦτον ἀπεῤῥίπτει, θηρίον ἄγριον ἀποκαλῶν, καὶ τέκνων αἵματι μιαρὸν, ἀνανδρίαν τ' ἐν ταὐτῷ καὶ δειλίαν ὀνειδίζων, καὶ τελευτῶν εἰς τὸν ὑπὲρ ἁπάντων ἀγῶνα, προκαλεῖται μόνος αὐτῷ συνοισόμενος. κἀκεῖνος, οὐκ ἀξιῶν τοὺς ὀνειδισμοὺς ὑπομένειν, ἤλαυνε τὸν ἵππον ἐκ τῆς τάξεως, ὑπεριδὼν τῶν ἀποτρεπόντων φίλων, ἐπὶ τὸν κατεψηφισμένον ὑπὸ τῆς μοίρας θάνατον καρτερῶς ἐπειγόμενος. ὁμοίῳ δ' ἀμφότεροι θυμῷ φερόμενοι καὶ λογισμὸν οὐχ, ὧν πείσονται, λαβόντες, ἀλλ' ὧν ἐβούλοντο δρᾶσαι, συναράττουσι τοὺς ἵππους ἐξ ἐναντίας ἐλαύνοντες, καὶ φέρουσι ταῖς σαρίσσαις κατ' ἀλλήλων ἀμφότεροι πληγὰς ἀφύκτους, δι' ἀσπίδων τε καὶ θωράκων, ὁ μὲν εἰς τὰς πλευρὰς βάψας τὴν αἰχμὴν, ὁ δ' εἰς τὰς λαγόνας· καὶ οἱ ἵπποι αὐτῶν ἐμπλέξαντες τὰ στήθη τῇ ῥύμῃ τῆς φορᾶς, ἐπὶ τοῖς ὀπισθίοις ἀνίστανται ποσὶν, καὶ τοὺς ἐπιβάτας ἀναχαιτίσαντες ἀποσείονται. οὗτοι μὲν δὴ πεσόντες ἔκειντο, πολὺ διὰ τῶν τραυμάτων ἐκβαλόντες αἷμα καὶ ψυχοῤῥαγοῦντες. αἱ δ' ἄλλαι δυνάμεις, ὡς τοὺς ἡγεμόνας εἶδον πεσόντας, ὠθοῦνται σὺν ἀλαλαγμῷ καὶ πατάγῳ, καὶ γίνεται μέγιστος ἁπάντων ἀγὼν πεζῶν τε καὶ ἱππέων· καὶ τύχη περὶ ἀμφοτέρους ὁμοία. Ῥωμαίων τε γὰρ οἱ τὸ δεξιὸν κέρας ἔχοντες, ἐφ' οὗ τεταγμένος ἦν ὁ ἕτερος τῶν ὑπάτων Ὀυαλέριος, ἐνίκων τοὺς Ὀυϊεντανοὺς, καὶ μέχρι τοῦ στρατοπέδου διώξαντες, ἐπλήρωσαν νεκρῶν τὸ πεδίον· Τυῤῥηνῶν δ' οἱ τὴν ἐπὶ τοῦ δεξιοῦ κέρατος ἔχοντες στάσιν, ὧν ἡγοῦντο Τῖτος καὶ Σέξτος, οἱ Ταρκυνίου τοῦ βασιλέως παῖδες, ἐτρέψαντο τοὺς ἐπὶ τοῦ λαιοῦ ὄντας Ῥωμαίων κέρατος· καὶ πλησίον τοῦ χάρακος αὐτῶν γενόμενοι, πείρας μὲν οὐκ ἀπέστησαν, εἰ δύναιντο ἑλεῖν τὸ ἔρυμα ἐξ ἐφόδου· πολλὰς δὲ πληγὰς λαβόντες, ὑποστάντων αὐτοὺς τῶν ἔνδον,

ἀνε-

ἀνετρέποντο. ἦσαν δ' αὐτῷ Φύλακες οἱ τριάριοι λεγόμενοι, παλαιοί τε καὶ πολλῶν ἔμπειροι πολέμων, οἷς ἐσχάτοις, ὅταν ἀπογνωσθῇ πᾶσα ἐλπίς, εἰς τοὺς περὶ τῶν μεγίστων ἀγῶνας καταχρῶνται.

cap. 17. Bruti funus & laudes.

Τοιοῦτο μὲν ἡ μάχη τέλος ἔλαβεν· τῇ δ' ἑξῆς ἡμέρᾳ σκυλεύσαντες οἱ Ῥωμαῖοι τοὺς τῶν πολεμίων νεκροὺς, καὶ τοὺς ἑαυτῶν θάψαντες, ἀπῄεσαν. τὸ δὲ Βρούτου σῶμα ἀράμενοι μετὰ πολλῶν ἐπαίνων τε καὶ δακρύων, εἰς τὴν Ῥώμην ἀπεκόμιζον οἱ κράτιστοι τῶν ἱππέων, στεφάνοις κεκοσμημένον ἀριστείας. ὑπήντα δ' αὐτοῖς ἥ τε βουλὴ, θριάμβου καταγωγῇ ψηφισαμένη κοσμῆσαι τὸν ἡγεμόνα, καὶ ὁ δῆμος ἅπας κρατῆρσι καὶ τραπέζαις ὑποδεχόμενος τὴν στρατιάν. ὡς δ' εἰς τὴν πόλιν ἀφίκοντο, πομπεύσας ὁ ὕπατος, ὡς τοῖς βασιλεῦσιν ἔθος ἦν, ὅτε τὰς τροπαιοφόρους πομπάς τε καὶ θυσίας ἐπιτελοῖεν, καὶ τὰ σκῦλα τοῖς θεοῖς ἀναθεὶς, ἐκείνην μὲν τὴν ἡμέραν ἱερὰν ἦγε, καὶ τοὺς ἐπιφανεστάτους τῶν πολιτῶν ἑστίασιν προθεὶς ὑπεδέχετο. τῇ δ' ἑξῆς ἡμέρᾳ φαιὰν ἐσθῆτα λαβὼν, καὶ τὸ Βρούτου σῶμα προθεὶς ἐν ἀγορᾷ κεκοσμημένον, ἐπὶ στρωμνῆς εὐπρεποῦς, συνεκάλει τὸν δῆμον εἰς ἐκκλησίαν, καὶ προελθὼν ἐπὶ τὸ βῆμα, τὸν ἐπιτάφιον ἔλεξεν ἐπ' αὐτῷ λόγον.

cap. 19. Valerius, adscitis sibi collegis, fascibus secures adimit, lègesque fert in plebis favorem, ob quas Poplicolæ nomen ei impositum est.

Μετὰ δὲ τὴν Βρούτου τελευτὴν, ὁ συνύπατος αὐτοῦ Οὐαλέριος ὕποπτος γίνεται τοῖς δημοτικοῖς, ὡς βασιλείαν κατασκευαζόμενος· πρῶτον μὲν, ὅτι μόνος κατέσχε τὴν ἀρχὴν, δέον εὐθὺς ἑλέσθαι τὸν συνύπατον, ὥσπερ ὁ Βροῦτος ἐποίησε, Κολλατῖνον ἐκβαλών· ἔπειθ', ὅτι τὴν οἰκίαν ἐν ἐπιφθόνῳ τόπῳ κατεσκευάσατο, λόφον ὑπερκείμενον τῆς ἀγορᾶς ὑψηλὸν ἐπιεικῶς καὶ περίτομον, ὃν καλοῦσι Ῥωμαῖοι Ἐλίαν, ἐκλεξάμενος. πυθόμενος δὲ παρὰ τῶν ἐπιτηδείων, ὅτι ταῦτα λυπεῖ τὸν δῆμον, ἀρχαιρεσιῶν προθεὶς ἡμέραν, ὕπατον αἱρεῖται τὸν Σπόριον Λουκρήτιον, ὃς οὐ πολλὰς ἡμέρας κατασχὼν τὴν ἀρχὴν ἀποθνήσκει. εἰς δὲ τὸν ἐκείνου τόπον καθίστησι Μάρκον Ὁράτιον, καὶ τὴν οἰκίαν ἀπὸ τοῦ λόφου μετατίθεται κάτω, ἵνα ἐξείη Ῥωμαίοις, ὡς αὐτὸς ἐκκλησιάζων ἔφη, βάλλειν αὐτὸν ἄνωθεν ἀπὸ τοῦ μετεώρου τοῖς λίθοις, εἴ τι λάβωσιν ἀδικοῦντα. βεβαίαν τε πίστιν ὑπὲρ τῆς ἐλευθερίας τοὺς δημοτικοὺς λαβεῖν βουλόμενος, ἀφεῖλεν ἀπὸ τῶν ῥάβδων τοὺς πελέκεις, καὶ κατεστήσα-

Digitized by Google

σήσατο τοῖς μετ' αὐτὸν ὑπάτοις ἔθος, ὃ καὶ μέχρι τῆς ἐμῆς διέμεινεν ἡλικίας, ὅταν ἔξωθεν τῆς πόλεως γένωνται, χρῆσθαι τοῖς πελέκεσιν, ἔνδον δὲ ταῖς ῥάβδοις κοσμεῖσθαι μόναις· νόμες τε Φιλανθρωποτάτες ἔθετο, βοηθείας ἔχοντας τοῖς δημοτικοῖς· ἕνα μὲν, ἐν ᾧ διαῤῥήδην ἀπεῖπεν, ἄρχοντα μηδένα εἶναι Ῥωμαίων, ὃς ἂν μὴ παρὰ τῦ δήμυ λάβῃ τὴν ἀρχὴν, θάνατον ἐπιθεὶς ζημίαν, ἐάν τις παρὰ ταῦτα ποιῇ, καὶ τὸν ἀποκτείναντα τύτων τινὰ ποιῶν ἀθῷον· ἕτερον δὲ, ἐν ᾧ γέγραπ]αι, "Ἐάν τις ἄρχων Ῥωμαίων τινὰ ἀποκτείνειν, ἢ μαςιγῦν, ἢ ζημιῦν εἰς χρήματα θέλῃ, ἐξεῖναι τῷ ἰδιώτῃ προκαλεῖσθαι τὴν ἀρχὴν ἐπὶ τὴν τῦ δήμυ κρίσιν, πάσχειν δ' ἐν τῷ μεταξὺ χρόνῳ μηδὲν ὑπὸ τῆς ἀρχῆς, ἕως ἂν ὁ δῆμος ὑπὲρ αὐτῦ ψηΦίσηται." ἐκ τύτων γίνεται τῶν πολιτευμάτων τίμιος τοῖς δημοτικοῖς, καὶ τίθενται αὐτῷ ἐπώνυμον Ποπλικόλαν· τῦτο κατὰ τὴν Ἑλληνικὴν διάλεκ]ον βύλεται δηλῦν δημοκηδῆ.

cap. 21. A. U. 247. ante Chr. 507. Bellum Etruscum cum rege Porsena Tarquiniorum causa gestum.

Ποπλίυ Οὐαλερίυ τῦ προσαγορευθέντος Ποπλικόλα, τὸ τρίτον ἐπὶ τὴν αὐτὴν ἀποδεχθέντος ἀρχὴν, καὶ σὺν αὐτῷ Μάρκυ Ὁρατίυ τὸ δεύτερον, βασιλεὺς Κλυσιανῶν τῶν ἐν Τυῤῥηνίᾳ, Λάρος ὄνομα, Πορσῖνος ἐπίκλησιν, καταΦυγόντων ἐπ' αὐτὸν τῶν Ταρκυνίων, ὑποσχόμενος αὐτοῖς δυοῖν θάτερον, ἢ διαλλάξειν αὐτὺς πρὸς τὺς πολίτας ἐπὶ καθόδῳ καὶ ἀναλήψει τῆς ἀρχῆς, ἢ τὰς ὐσίας ἀνακομισάμενος, ἃς ἀΦῃρέθησαν, ἀποδώσειν, ἐπειδὴ πρέσβεις ἀποςείλας εἰς τὴν Ῥώμην ἐν τῷ παρελθόντι ἐνιαυτῷ, μεμιγμένας ἀπειλαῖς ἐπικλήσεις κομίζοντας, ὔτε διαλλαγὰς εὕρατο τοῖς ἀνδράσι καὶ κάθοδον, αἰτιωμένης τῆς βυλῆς τὰς ἀρὰς καὶ τὺς ὅρκυς τὺς γενομένυς κατ' αὐτῶν, ὔτε τὰς ὐσίας ἀνεπράξατο αὐτοῖς, τῶν διανειμαμένων καὶ κατακληρυχησάντων αὐτὰς ὐκ ἀξιύντων ἀποδιδόναι· ὑβρίζεσθαι Φήσας ὑπὸ Ῥωμαίων, καὶ δεινὰ πάσχειν, ὅτι τῶν ἠξιωμένων ὐδετέρυ παρ' αὐτῶν ἔτυχεν, ἀνὴρ αὐθάδης καὶ διεΦθαρμένος τὴν γνώμην ὑπό τε πλύτυ καὶ ἀρχῆς μεγέθυς καὶ χρημάτων, ἀΦορμὰς ὑπέλαβεν ἔχειν καλὰς, καταλῦσαι τὴν Ῥωμαίων ἀρχὴν, παλαίτερον ἔτι τῦτο βυλόμενος· καὶ προεῖπεν αὐτοῖς τὸν πόλεμον. συνήρατο δ' αὐτῷ τῦ πολέμυ πᾶσαν προθυμίαν ἀποδεῖξαι βυλόμενος ὁ Ταρκυνίυ γαμβρὸς, Ὀκ]αύϊος Μαμίλιος, ἐκ πόλεως ὁρμώ-

Ex Latinis Camerinos & Antemnates ad belli socie-

tatem adducit Tarquinii gener.

μώμενος Τάσκλε, Καμερινὲς μὲν καὶ Ἀντεμνάτας, οἳ τε Λατίνων μετεῖχον γένες, ἅπαντας ἐπαγόμενος, ἀφεστηκότας ἤδη Ῥωμαίων ἐκ τε φανερε· παρὰ δὲ τῶν ἄλλων ὁμοεθνῶν, οἷς ἐκ ἦν βελομένοις πολεμεῖν ἀναφανδὸν ἐνσπόνδῳ καὶ μεγάλην ἐχέσῃ ἰσχὺν τῇ πόλει, διὰ προφάσεις ἐκ ἀναγκαίας, ἐθελοντὰς συχνὲς, ἰδίᾳ πεπεικὼς χάριτι.

cap. 22. Consulum apparatus bellicus.

Ταῦτα μαθόντες οἱ τῶν Ῥωμαίων ὕπατοι, πρῶτον μὲν τὰ ἐκ τῶν ἀγρῶν χρήματά τε, καὶ βοσκήματα, καὶ ἀνδράποδα μετάγειν τοῖς γεωργοῖς ἐκέλευσαν εἰς τὰ πλησίον ὄρη, φρέρια κατασκευάσαντες ἐπὶ τοῖς ἐρυμνοῖς, ἱκανὰ σώζειν τὲς εἰς αὐτὰ καταφυγόντας. ἔπειτα τὸν καλέμενον Ἰανίκολον ὄχθον· ἔςι δὲ τἔτο τὸ ὄρος ὑψηλὸν, ἀγχε τῆς Ῥώμης πέραν τε Τιβέριος ποταμε κείμενον· ὀχυρωτέραις ἐκρατύναντο κατασκευαῖς τε καὶ φυλακαῖς, περὶ παντὸς ποιέμενοι μὴ γενέσθαι τοῖς πολεμίοις ἐπίκαιρον [χωρίον] ἐπιτείχισμα κατὰ τῆς πόλεως, καὶ τὰς εἰς τὸν πόλεμον παρασκευὰς ἐνταῦθ' ἀπέθεντο. τά τ' ἐντὸς τείχες ἐπὶ τὸ δημοτικώτερον καθίσαντο, πολλὰ πολιτευόμενοι φιλάνθρωπα πρὸς τὲς πένητας, ἵνα μὴ μεταβάλλοιντο πρὸς τὲς τυράννες, ἐπὶ τοῖς ἰδίοις κέρδεσι πεισθέντες προδῆναι τὸ κοινόν. καὶ γὰρ ἀτελεῖς αὐτὲς ἁπάντων ἐψηφίσαντο εἶναι τῶν κοινῶν τελῶν, ὅσα βασιλευομένης τῆς πόλεως ἐτέλεν, καὶ ἀνεισφόρες τῶν εἰς τὰ ςρατιωτικὰ καὶ τὲς πολέμες ἀναλισκομένων ἐποίησαν· μέγα κέρδος ἡγέμενοι τῷ κοινῷ, εἰ τὰ σώματα μόνον αὐτῶν ἕξεσι προκινδυνεύοντα τῆς πατρίδος. τήν τε δύναμιν ἠσκημένην ἐκ πολλε καὶ παρεσκευασμένην ἔχοντες, ἐν τῷ προκειμένῳ τῆς πόλεως ἐςρατοπεδεύοντο πεδίῳ.

Porsena Janiculum occupat.

βασιλεὺς δὲ Πορσῖνος ἄγων τὴν ςρατιὰν, τὸν μὲν Ἰανίκολον ἐξ ἐφόδε καταλαμβάνεται, καταπληξάμενος τὲς φυλάττοντας αὐτὸν, καὶ φρερὰν Τυῤῥηνῶν ἐν αὐτῷ καθίςησιν. ἐπὶ δὲ τὴν πόλιν ἐλαύνων, ὡς καὶ αὐτὴν δίχα πόνε παραςησόμενος, ἐπειδὴ πλησίον τῆς γεφύρας ἐγένετο, καὶ τὲς Ῥωμαίες ἐθεάσατο προκαθημένες τε ποταμε, παρεσκευάζετό τε πρὸς μάχην, ὡς ἀναρπασόμενος αὐτὲς πλήθει, καὶ ἐπήγαγε σὺν πολλῇ καταφρονήσει τὴν δύναμιν.

Ὡς

Digitized by Google

cap. 23. Romani per pontem sublicium in urbem refugiunt, a cujus transitu Sp. Largius, T. Herminius & P. Horat. Cocles hostes prohibent.

Ὡς δὲ συνῆλθον εἰς χεῖρας, ἐμάχοντο γενναίως ἀμφότεροι, καὶ πολὺν ἀντεῖχον χρόνον· ἐμπειρίᾳ μὲν καὶ καρτερίᾳ κρείττους ὄντες οἱ Ῥωμαῖοι τῶν Λατίνων καὶ Τυῤῥηνῶν, πλήθει δὲ κρατοῦντες τῶν Ῥωμαίων οἱ Τυῤῥηνοὶ καὶ Λατῖνοι μακρῷ. πολλῶν δὲ πεσόντων ἀφ' ἑκατέρων, δέος εἰσέρχεται Ῥωμαίους, πρῶτον μὲν τοὺς κατέχοντας τὸ ἀριστερὸν κέρας, ἐπειδὴ τοὺς ἡγεμόνας ἐθεάσαντο Οὐαλέριόν τε καὶ Λυκρήτιον τραυματίας ἀποκομισθέντας ἐκ τῆς μάχης· ἔπειτα καὶ τοὺς ἐπὶ τοῦ δεξιοῦ κέρατος τεταγμένους, νικῶντας ἤδη τὴν σὺν Ταρκυνίοις δύναμιν, τὸ αὐτὸ καταλαμβάνει πάθος, ὁρῶντας τὴν τροπὴν τῶν ἑταίρων. Φευγόντων δ' εἰς τὴν πόλιν ἁπάντων, καὶ διὰ μιᾶς γεφύρας βιαζομένων ἀθρόων, ὁρμὴ γίνεται τῶν πολεμίων ἐπ' αὐτοὺς μεγάλη· ὀλίγου τε πάλιν ἐδέησεν ἡ πόλις ἁλῶναι κατὰ κράτος, ἀτείχιστος οὖσα ἐκ τῶν παρὰ τὸν ποταμὸν μερῶν, εἰ συνεισέπεσον εἰς αὐτὴν ἅμα τοῖς φεύγουσιν οἱ διώκοντες. οἱ δὲ τὴν ὁρμὴν τῶν πολεμίων ἐπισχόντες καὶ διασώσαντες ὅλην τὴν στρατιὰν, τρεῖς ἄνδρες ἐγένοντο, Σπόριος Λάρκιος καὶ Τῖτος Ἑρμήνιος, οἱ τὸ δεξιὸν ἔχοντες κέρας, ἐκ τῶν πρεσβυτέρων· Πόπλιος δὲ Ὁράτιος, ὁ καλούμενος Κόκλης, ἐκ τοῦ κατὰ τὴν ὄψιν ἐλαττώματος, ἐκκοπεὶς ἐν μάχῃ τὸν ἕτερον τῶν ὀφθαλμῶν, ἐκ τῶν νεωτέρων, μορφῇ τε κάλλιστος ἀνθρώπων καὶ ψυχὴν ἄριστος. οὗτος ἀδελφιδοῦς μὲν ἦν Ὁρατίου Μάρκου, θατέρου τῶν ὑπάτων, τὸ δ' εὐγενὲς κατῆγεν ἀφ' ἑνὸς τῶν τριδύμων Ὁρατίου Μάρκου, τοῦ νικήσαντος τοὺς Ἀλβανοὺς τριδύμους, ὅτε περὶ τῆς ἡγεμονίας αἱ πόλεις εἰς πόλεμον καταστᾶσαι, συνέβησαν, μὴ πάσαις ἀποκινδυνεῦσαι ταῖς δυνάμεσιν, ἀλλὰ τρισὶν ἀνδράσιν ἀφ' ἑκατέρας, ὡς ἐν τοῖς προτέροις δεδήλωκα λόγοις. οὗτοι δὴ μόνοι κατὰ νώτου λαβόντες τὴν γέφυραν, εἶργον τοὺς πολεμίους τῆς διαβάσεως μέχρι πολλοῦ, καὶ διέμενον ἐπὶ τῆς αὐτῆς βάσεως βαλλόμενοί τε ὑπὸ πολλῶν παντοδαποῖς βέλεσι, καὶ ἐκ χειρὸς παιόμενοι τοῖς ξίφεσιν, ἕως ἅπασα ἡ στρατιὰ διῆλθε τὸν ποταμόν.

cap. 24. Herminius & Largius tandem se ab eo recipiunt;

Ὡς δ' ἐν ἀσφαλεῖ τοὺς σφετέρους ἔδοξαν γεγονέναι, δύο μὲν ἐξ αὐτῶν, Ἑρμήνιός τε καὶ Λάρκιος, διεφθαρμένων αὐτοῖς ἤδη τῶν σκεπαστηρίων διὰ τὰς συνεχεῖς πληγὰς,

solus Horatius Cocles in eo defendendo pergit, donec maxima pontis pars rupta esset;

γὰς, ἐχώρυν ἐπὶ πόδα. Ὁράτιος δὲ μόνος, ἀνακαλυμένων αὐτὸν ἀπὸ τῆς πόλεως τῶν τε ὑπάτων καὶ τῶν ἄλλων πολιτῶν, καὶ περὶ παντὸς ποιυμένων σωθῆναι τοιῦτον ἄνδρα τῇ πατρίδι καὶ τοῖς γειναμένοις, ὐκ ἐπείθη, ἀλλ' ἔμενεν, ἔνθα καὶ τὸ πρῶτον ἔςη, κελεύσας τοῖς περὶ τὸν Ἑρμήνιον λέγειν πρὸς τὺς ὑπάτυς, ὡς αὐτῦ φράζοντος, ἀποκόπ]ειν τὴν γέφυραν ἀπὸ τῆς πόλεως ἐν τάχει· ἦν δὲ μία κατ' ἐκείνυς τὺς χρόνυς ξυλόφρακ]ος, ἄνευ σιδήρυ δεδεμένη ταῖς σανίσιν αὐταῖς, ἣν καὶ μέχρις ἐμῦ τοιαύτην φυλάτ]υσι Ῥωμαῖοι· ἐπιςείλας δὲ τοῖς ἀνδράσιν, ὅταν τὰ πλείω τῆς γεφύρας λυθῇ, καὶ βραχὺ τὸ λειπόμενον ᾖ μέρος, φράσαι πρὸς αὐτὸν σημείοις τισὶν, ἢ φωνῇ γεγωνοτέρᾳ· τὰ λοιπὰ λέγων ἑαυτῷ μελήσειν. ταῦτ' ἐπικελευσάμενος τοῖς δυσὶν, ἐπ' αὐτῆς ἵςαται τῆς γεφύρας, καὶ τῶν ὁμόσε χωρύντων ὓς μὲν τῷ ξίφει παίων, ὓς δὲ τῷ θυρεῷ περιτρέπων, πάντας ἀνέςειλε τὺς ὁρμῶντας ἐπὶ τὴν γέφυραν· ὐκέτι γὰρ εἰς χεῖρας αὐτῷ χωρεῖν ἐτόλμων οἱ διώκοντες, ὡς μεμηνότι καὶ θανατῶντι· καὶ ἅμα ὐδὲ ῥάδιον αὐτῷ προσελθεῖν ὑπάρχον, ἐξ εὐωνύμων μὲν καὶ δεξιῶν ἔχοντι πρόβλημα τὸν ποταμὸν, ἐκ δὲ τῦ κατὰ πρόσωπον, ὅπλων τε καὶ νεκρῶν σωρὸν· ἀλλ' ἄποθεν ἀθρόοι ἑςῶτες, λόγχαις τε καὶ σαυνίοις καὶ λίθοις χειροπληθέσιν ἔβαλλον· οἷς δὲ μὴ παρείη ταῦτα, τοῖς ξίφεσι καὶ ταῖς ἀσπίσι τῶν νεκρῶν. ὁ δ' ἠμύνετο, τοῖς ἐκείνων χρώμενος ὅπλοις κατ' αὐτῶν· καὶ ἔμελλεν, ὥσπερ εἰκὸς, εἰς ἀθρόυς βάλλων, ἀεί τινος τεύξεσθαι σκοπῦ. ἤδη δὲ καταβελὴς ὢν, καὶ τραυμάτων πλῆθος ἐν πολλοῖς μέρεσι τῦ σώματος ἔχων, μίαν δὲ πληγὴν λόγχης, ἣ διὰ θατέρυ τῶν γλυτῶν ὑπὲρ τῆς κεφαλῆς τῦ μηρῦ ἀντία ἐνεχθεῖσα, ἐκάκωσεν αὐτὸν ὀδύναις, καὶ τὴν βάσιν ἔβλαπ]εν, ἐπεὶ ἐκ τῶν κατόπιν ἤκυσεν ἐμβοησάντων λελῦσθαι τῆς γεφύρας τὸ πλεῖον μέρος, καθάλλεται σὺν τοῖς ὅπλοις εἰς τὸν ποταμὸν· καὶ διανηξάμενος τὸ ῥεῦμα χαλεπῶς πάνυ· περὶ γὰρ τοῖς ὑπερείσμασι τῶν σανίδων σχιζόμενος ὁ ῥῦς ὀξὺς ἦν, καὶ δίνας ἐποίει μεγάλας· ἐξεκολύμβησεν εἰς τὴν γῆν, ὐδὲν τῶν ὅπλων ἐν τῷ νεῖν ἀποβαλών.

quo facto in Tiberim se dejicit & ad terram tranatat.

Τῦτο

Digitized by Google

Τῦτο τὸ ἔργον ἀθάνατον αὐτῷ δόξαν ἐιργάσατο. παραχρῆμά τε γὰρ ὁι Ῥωμαῖοι ϛεφανώσαντες αὐτὸν, ἀπέφερον ἐις τὴν πόλιν ὑμνῦντες, ὡς τῶν ἡρώων ἕνα. καὶ πᾶς ὁ κατοικίδιος ὄχλος ἐξεχεῖτο ποθῶν αὐτῦ, ἕως ἔτι περιῆν, θεάσασθαι τὴν τελευταίαν πρόσοψιν· ἐδόκει γὰρ ὑπὸ τῶν τραυμάτων ἐκ ἐις μακρὰν διαφθαρήσεσθαι. καὶ ἐπειδὴ διέφυγε τὸν θάνατον, ἐικόνα χαλκῆν ἔνοπλον ὁ δῆμος ἔϛησεν αὐτῦ, τῆς ἀγορᾶς ἐν τῷ κρατίϛῳ· καὶ χώραν ἐκ τῆς δημοσίας ἔδωκεν, ὅσην αὐτὸς ἐν ἡμέρᾳ μιᾷ ζεύγει βοῶν περιαρόσειε, χωρὶς δὲ τῶν δημοσίᾳ δοθέντων, κατὰ κεφαλὴν ἕκαϛος ἀνδρῶν τε καὶ γυναικῶν, ὅτε μάλιϛα δεινὴ σπάνις τῶν ἀναγκαίων ἐπιτηδείων ἅπαντας κατεῖχε, μιᾶς ἡμέρας τροφὴν ἐχαρίσαντο, μυριάδες ἀνθρώπων ἀι σύμπασαι πλείυς ἢ τριάκοντα.

cap. 25. Publici & privati honores, in Horatium collati.

Μετὰ γὰρ τὴν μάχην ἐκείνην ὁ μὲν Τυῤῥηνῶν βασιλεὺς ἐν τῷ πλησίον ὄρει καταϛρατοπεδευσάμενος, ὅθεν τὴν Ῥωμαίων φρυρὰν ἐξέβαλε, τῆς ἐπέκεινα τῦ Τιβέριος ποταμῦ χώρας ἁπάσης ἐκράτει. ὁι δὲ Ταρκυνίυ παῖδες καὶ ὁ κηδεϛὴς αὐτῦ Μαμίλιος, σχεδίαις τε καὶ σκάφαις διαβιβάσαντες τὰς ἑαυτῶν δυνάμεις ἐπὶ θάτερα μέρη τῦ ποταμῦ, τὰ πρὸς Ῥώμην φέροντα, ἐν ὀχυρῷ τίθενται χωρίῳ τὸν χάρακα· ὅθεν ὁρμώμενοι τῶν τε Ῥωμαίων ἐδῄυν τὴν γῆν καὶ τὰς ἀυλὰς κατέσκαπτον, καὶ τοῖς ἐπὶ νομὰς ἐξιῦσιν ἐκ τῶν ἐρυμάτων βοσκήμασιν ἐπετίθεντο. κρατυμένης δὲ τῆς ὑπαιθρίυ πάσης ὑπὸ τῶν πολεμίων, καὶ ὔτ' ἐκ γῆς ἐις τὴν πόλιν ἐισκομιζομένων τῶν ἀγορῶν, ὔτε μὴν διὰ τῦ ποταμῦ καταγομένων ὅτι μὴ σπανίων, ταχεῖα τῶν ἀναγκαίων σπάνις ἐγένετο μυριάσι πολλαῖς τὰ παρασκευαθέντα ὐ πολλὰ ὄντα δαπανώσαις. καὶ μετὰ τῦθ' ὁι θεράποντες πολλοὶ καταλιπόντες τὺς δεσπότας, ηὐτομόλυν ὁσημέραι, καὶ ἐκ τῦ δημοτικῦ πλήθυς ὁι πονηρότατοι πρὸς τὺς τυράννυς ἀφίϛαντο· ταῦθ' ὁρῶσι τοῖς ὑπάτοις ἔδοξε, Λατίνων μὲν δεῖσθαι τῶν ἔτι αιδυμένων τὸ συγγενὲς, καὶ μένειν δοκύντων ἐν τῇ φιλίᾳ, συμμαχίας σφίσι πέμψαι διὰ ταχέων· ἐις δὲ τὴν Καμπανίδα Κύμην καὶ τὰς ἐν τῷ Πωμεντίνῳ πεδίῳ πόλεις ἀποϛεῖλαι πρέσβεις, ἀξιώσοντας αὐτὰς σφίσι σίτυ ἐξαγωγὴν ἐπιτρέψαι. Λατῖνοι μὲν ὖν διεκρύσαντο τὴν ἐπικυρίαν, ὡς ὐχ ὅσιον αὐτοῖς ὂν, ὔτε Ταρκυνίῳ πολε-

cap. 26. Omnibus locis extra muros ab hostibus occupatis, brevi in urbe oritur rerum ad victum necessariarum inopia.

Digitized by Google

πολεμεῖν ὅτε Ῥωμαίοις, ἐπειδὴ κοινῇ συνέθεντο πρὸς ἀμ-
Φοτέρους τὰ περὶ τῆς Φιλίας ὅρκια. ἐκ δὲ τοῦ Πωμεντίνου
πεδίου Λάρκιός τε καὶ Ἑρμήνιος οἱ πεμφθέντες ἐπὶ τὴν
παρακομιδὴν τοῦ σίτου πρέσβεις, πολλὰς γεμίσαντες σκάφας
παντοίας τροφῆς, ἀπὸ θαλάττης ἀνὰ τὸν ποταμὸν, ἐν
νυκτὶ ἀσελήνῳ, λαθόντες τοὺς πολεμίους, διεκόμισαν. τα-
χὺ δὲ καὶ ταύτης ἐξαναλωθείσης τῆς ἀγορᾶς, καὶ τῆς αὐ-
τῆς κατασχούσης τοὺς ἀνθρώπους ἀπορίας, μαθὼν παρὰ τῶν
αὐτομόλων ὁ Τυῤῥηνὸς, ὅτι κάμνουσιν ἀπὸ τοῦ λιμοῦ οἱ ἔν-
δον, ἐπεκηρυκεύσατο πρὸς αὐτοὺς, ἐπιτάττων δέχεσθαι τὸν
Ταρκύνιον, εἰ βούλοιντο πολέμου καὶ λιμοῦ ἀπηλλάχθαι.

cap. 27.

Οὐκ ἀνεχομένων δὲ Ῥωμαίων τὰς ἐπιταγὰς, ἀλλὰ πάν-
τα τὰ δεινὰ ὑπομένειν βουλομένων, καταμαθὼν Γάϊος Μούκιος
(ἀνὴρ εὐγενὴς), ὅτι δυοῖν θάτερον αὐτοῖς συμβήσεται, ἢ μὴ
διαμεῖναι πολὺν ἐν τοῖς λελογισμένοις χρόνον ὑπὸ τῆς ἀπο-
ρίας τῶν ἀναγκαίων ἐκβιασθεῖσιν, ἢ Φυλάττουσι βεβαίας τὰς
κρίσεις, τὸν οἴκτιστον ἀπολέσθαι μόρον, διαβαίνει τὸν ποταμὸν
(τοῦ ἐγχειρήματος συνίστορας ἔχων τοὺς ὑπάτους σὺν τῇ βουλῇ).
καὶ παραγενηθεὶς ἐπὶ τὸν χάρακα τῶν Τυῤῥηνῶν, εἰσέρχε-
ται, παρακρουσάμενος τοὺς Φυλάττοντας τὰς πύλας, ὡς τῶν
ὁμοεθνῶν τις, ὅπλων τ' οὐδὲν Φανερὸν ἔχων, καὶ γλώττῃ
Τυῤῥηνικῇ διαλεγόμενος, ἣν ἐξέμαθεν ἔτι παῖς ὢν, ὑπὸ
τροφοῦ Τυῤῥηνίδος τὸ γένος ἐκδιδαχθείς. ὡς δ' ἐπὶ τὴν
ἀγορὰν καὶ τὸ στρατήγιον ἀφίκετο, ἄνδρα ὁρᾷ μεγέθει σώ-
ματος καὶ ῥώμῃ διαφέροντα, ἐσθῆτα πορφύρας ἐνδεδυκότα,
καθήμενον ἐπὶ τοῦ στρατηγικοῦ βήματος, καὶ περὶ αὐτὸν
ἑστῶτας ἐνόπλους συχνούς. διαμαρτὼν δὲ τῆς δόξης, οἷα δὴ
μηδέποτε τὸν βασιλέα τῶν Τυῤῥηνῶν θεασάμενος, τοῦτον
τὸν ἄνδρα ὑπέλαβε Πορσῖνον εἶναι· ὁ δ' ἦν ἄρα γραμμα-
τεὺς τοῦ βασιλέως, ἐκάθητο δ' ἐπὶ τοῦ βήματος διαριθμῶν
τοὺς στρατιώτας, καὶ διαγράφων αὐτοῖς τοὺς ὀψωνιασμούς.
ἐπὶ τοῦτον δὴ τὸν γραμματέα χωρήσας διὰ τοῦ περιεστηκότος
ὄχλου, καὶ ἀναβὰς, ὡς ἄνοπλος ὑπ' οὐδενὸς κωλυόμενος,
ἐπὶ τὸ βῆμα, σπᾶται τὸ ξιφίδιον, ὃ ἐντὸς τῆς περιβολῆς
ἔκρυπτε, καὶ παίει τὸν ἄνδρα κατὰ τῆς κεφαλῆς. ἀποθα-
νόντος δὲ τοῦ γραμματέως πληγῇ μιᾷ, συλληφθεὶς εὐθὺς
ὑπὸ τῶν περὶ τὸ βῆμα, πρὸς τὸν βασιλέα, πεπυσμένον
ἤδη τὴν τοῦ γραμματέως ἀναίρεσιν, ἀπάγεται. ὁ δ' ὡς

cap. 28. Ut eam fame & bello simul liberaret, transfugæ specie castra Etruscorum adit C. Mucius, Porsenam interfecturus.

Is vero regiis insignibus deceptus, scribam regis pro rege obtruncat, ausoque excidit:

εἶδεν

Digitized by Google

εἶδεν αὐτόν. "Ὦ μιαρώτατε πάντων, εἶπεν, ἀνθρώπων, καὶ δίκας ὑφέξων ȣ̓κ εἰς μακρὰν, ὧν ἄξιος εἶ, λέγε τίς εἶ, καὶ πόθεν ἀφιγμένος, καὶ τίνι βοηθείᾳ πεποιθὼς, ἐπεχείρησας ἔργῳ τηλικῷδε· καὶ πότερον τὸν γραμματέα τὸν ἐμὸν ἀποκτεῖναί σοι πρȣ̈́κειτο μόνον, ἢ κἀμέ· καὶ τίνας ἔχεις κοινωνȣ̀ς τῆς ἐπιβȣλῆς; ἀπόκρυψαι δὲ μηδὲν τῶν ἀληθῶν, ἵνα μὴ βασανιζόμενος ἀναγκασθείης λέγειν."

Καὶ ὁ Μȣ́κιος ȣ̈́τε μεταβολῇ χρώματος, ȣ̈́τε συννοίᾳ προσώπȣ τὸν ὀῤῥωδȣ̃ντα διασημαίνας, ȣ̈́τ' ἄλλο παθῶν ȣ̓δὲν, ὧν Φιλȣ̃σι πάσχειν οἱ μέλλοντες ἀποθνήσκειν, λέγει πρὸς αὐτόν· "Ἐγὼ μὲν Ῥωμαῖός εἰμι, καὶ ȣ̓ τῶν ἐπιτυχόντων ἕνεκά τε, ἐλευθερῶσαι δὲ τὴν πατρίδα βȣληθεὶς τȣ̃ πολέμȣ, ἦλθον ἐπὶ τὸ ςρατόπεδον ὑμῶν, ὡς τῶν αὐτομόλων εἷς, ἀποκτεῖναί σε βȣλόμενος· ȣ̓κ ἀγνοῶν μὲν, ὅτι καὶ κατορθώσαντι καὶ διαμαρτόντι τῆς ἐλπίδος, ἀποθανεῖν ὑπάρχει μοι, χαρίσασθαι δὲ τῇ γειναμένῃ τὴν ἐμαυτȣ̃ ψυχὴν προαιρȣ́μενος, καὶ ἀντὶ τȣ̃ γεννητȣ̃ σώματος ἀθάνατον δόξαν καταλιπεῖν· ψευσθεὶς δὲ τῆς ἐλπίδος, ἀντί σȣ τὸν γραμματέα, ὃν ȣ̓δὲν ἐδεόμην, ἀνήρηκα, τῇ τε πορφύρᾳ καὶ τῷ δίφρῳ, καὶ τοῖς ἄλλοις τῆς ἐξȣσίας συμβόλοις πλανηθείς. τὸν μὲν ȣ̓̃ν θάνατον, ὃν αὐτὸς ἐμαυτȣ̃ κατεψηφισάμην, ὅτ' ἐπὶ τὴν πρᾶξιν ἔμελλον ὁρμᾶν, ȣ̓ παραιτȣ̃μαι· βασάνȣς δὲ καὶ τὰς ἄλλας ὕβρεις εἴ μοι παρείης, πίςεις δȣ̀ς ἐπὶ θεῶν, ὑπισχνȣ̃μαί σοι μέγα πρᾶγμα δηλώσειν, καὶ πρὸς τὴν σωτηρίαν ἀνῆκόν σοι." Ὁ μὲν δὴ ταῦτ' ἔλεγε, ςρατηγῆσαι τὸν ἄνδρα διανοȣ́μενος. ὁ δ' ἔξω τȣ̃ φρονεῖν γεγονὼς, καὶ ἅμα κινδύνȣς ἐκ πολλῶν μαντευόμενος ἀνθρώπων ȣ̓κ ἀληθεῖς, δίδωσιν αὐτῷ δι' ὅρκων τὸ πιςόν. μετὰ δὲ τȣ̃το, καινότατον ἐνθυμηθεὶς ὁ Μȣ́κιος ἀπάτης τρόπον, ἧς ἐν ἀφανεῖ τὸν ἔλεγχον εἶχε, λέγει πρὸς αὐτόν· "Ὦ βασιλεῦ, Ῥωμαίων ἄνδρες τριακόσιοι τὴν αὐτὴν ἔχοντες ἡλικίαν, ἐκ τȣ̃ γένȣς τῶν πατρικίων ἅπαντες, ἐβȣλευσάμεθα συνελθόντες ἀποκτεῖναί σε, καὶ τὸ πιςὸν ὅρκοις παρ' ἀλλήλων ἐλάβομεν. ἔδοξε δ' ἡμῖν βȣλευσαμένοις, ὅςις ἦν ὁ τῆς ἐπιβȣλῆς τρόπος, μήτε ἅπαντας ἅμα χωρεῖν ἐπὶ τὸ ἔργον, ἀλλὰ καθ' ἕνα, μήτε φράζειν ἕτερον ἑτέρῳ, πότε καὶ πȣ̃ καὶ πῶς, καὶ τίσιν

cap. 29. commentus autem trecentos juvenes Romanos idem moliri.

τίσιν ἀφορμαῖς χρησάμενος ἐπιθήσεταί σοι· ἵνα ῥᾷον ἡμῖν ὑπάρχῃ τὸ λαθεῖν. ταῦτα διανοηθέντες, ἐκληρωσάμεθα, καὶ πρῶτος ἄρξαι τῆς πείρας ἔλαχον ἐγώ. προειδὼς οὖν, ὅτι πολλοὶ καὶ ἀγαθοὶ τὴν αὐτὴν ἕξουσιν ἐπιθυμίαν δόξης, ὧν ἴσως καὶ εἴς τις ἀμείνονι τύχῃ χρήσεται τῆς ἐμῆς, σκόπει, τίς ἔσται σοι πρὸς πάντας ἀρκοῦσα φυλακή."

cap. 30. regem ad pacis consilia ineunda movet.

Ὡς δὲ ταῦτ' ἤκουσεν ὁ βασιλεύς, ἐκεῖνον μὲν ἀπαγαγόντας τοὺς δορυφόρους ἐκέλευσε δῆσαι, καὶ φυλάττειν ἐπιμελῶς· αὐτὸς δὲ τοὺς πιστοτάτους τῶν φίλων παραλαβών, καὶ τὸν υἱὸν Ἄροντα παρακαθισάμενος, μετ' ἐκείνων ἐσκόπει, τί ποιῶν τὰς ἐπιβουλὰς αὐτῶν διακρούσεται. τῶν μὲν οὖν ἄλλων ἕκαστος εὐήθεις ἀσφαλείας λέγων, ἐδόκει τῶν δεόντων φρονεῖν οὐδέν· ὁ δὲ υἱὸς αὐτοῦ τελευταίαν ἀπεφήνατο γνώμην πρεσβυτέραν τῆς ἡλικίας, ἀξιῶν αὐτόν, μὴ σκοπεῖν, τίσι φυλακαῖς χρώμενος οὐδὲν πείσεται δεινόν, ἀλλά, τί ποιῶν οὐ δεήσεται φυλακῆς· θαυμασάντων δὲ τὴν διάνοιαν αὐτοῦ πάντων, καί, πῶς ἂν τοῦτο γένοιτο μαθεῖν βουλομένων, "Εἰ φίλους ἀντὶ πολεμίων, ἔφη, ποιήσαιο τοὺς ἄνδρας, τιμιωτέραν ἡγησάμενος τὴν σαυτοῦ ψυχὴν τῆς καθόδου τῶν σὺν Ταρκυνίοις φυγάδων." Καὶ ὁ βασιλεὺς τὰ κράτιστα μὲν ἔφησεν αὐτὸν λέγειν, βουλῆς δ' εἶναι ἄξιον τὸ πρᾶγμα, πῶς εὐπρεπεῖς γενήσονται πρὸς αὐτοὺς αἱ διαλλαγαί· μεγάλην αἰσχύνην φάσκων εἶναι, εἰ κρατήσας αὐτῶν μάχῃ, καὶ τειχήρεις ἔχων, ἀπελεύσεται, μηδέν, ὧν Ταρκυνίοις ὑπέσχετο διαπραξάμενος, ὥσπερ ἡττημένος ὑπὸ τῶν νενικημένων, καὶ πεφευγὼς τοὺς μηδ' ἐκ τῶν πυλῶν ὑπομένοντας ἔτι προελθεῖν· μίαν δὲ μόνην ἔσεσθαι ὑποφαίνων καλὴν τῆς ἔχθρας λύσιν, εἰ παρὰ τῶν πολεμίων παραγένοιντό τινες πρὸς αὐτὸν περὶ φιλίας διαλεξόμενοι.

cap. 31. Pacis conditiones a Porsena propositas,

Ταῦτα μὲν τότε πρὸς τὸν υἱὸν καὶ τοὺς παρόντας εἶπεν· ὀλίγαις δ' ὕστερον ἡμέραις αὐτὸς ἠναγκάσθη πρότερος ἄρχειν λόγων διαλλακτηρίων, διὰ τοιαύτην αἰτίαν· ἐσκεδασμένων ἀνὰ τὴν χώραν τῶν στρατιωτῶν, καὶ τὰς ἀγομένας εἰς τὴν πόλιν ἀγορὰς ἀφαιρουμένων, καὶ τοῦτο ποιούντων συνεχῶς, οἱ τῶν Ῥωμαίων ὕπατοι λοχήσαντες αὐτοὺς ἐν καλῷ χωρίῳ, διαφθείρουσί τε συχνούς, καὶ ἔτι πλείους

Digitized by Google

πλείες τῶν ἀναιρεθέντων αἰχμαλώτες λαμβάνεσιν. ἐφ' ᾧ χαλεπαίνοντες οἱ Τυῤῥηνοὶ, διελέγοντο πρὸς ἀλλήλες κατὰ συςροφὰς, δἰ αἰτίας τόν τε βασιλέα καὶ τὲς ἄλλες ἡγεμόνας ἔχοντες ἐπὶ τῇ τριβῇ τε πολέμε, καὶ ἀπαλλάτθεσθαι ποθεντες ἐπὶ τὰ οἰκεῖα. δόξας ἐν ἅπασι κεχαρισμένας φανήσεσθαι τὰς διαλλαγὰς, ἀποςέλλει πρεσβευτὰς ἐκ τῶν οἰκείων φίλων τὲς ἀναγκαιοτάτες. τινὲς μὲν ἐν φασι καὶ τὸν Μέκιον ἅμα τέτοις ἀποςαλῆναι, δόντα πίςιν τῷ βασιλεῖ δἰ ὅρκων ὑπὲρ τε πάλιν ἐλεύσεσθαι· οἱ δὲ λέγεσιν, ὅμηρον, ἕως ἂν διαλλαγαὶ γένωνται, τὸν ἄνδρα τετον ἐν τῷ ςρατοπέδῳ φυλάττεσθαι· καὶ τάχ' ἂν εἴη τετ' ἀληθέςερον. ἐντολαὶ δ' ἦσαν, ἃς ἔδωκε τοῖς πρεσβευταῖς ὁ βασιλεὺς, τοιαίδε· "Περὶ μὲν καθόδε Ταρκυνίων μηδένα ποιεῖσθαι λόγον, τὰ δὲ χρήματα αὐτοῖς ἀξιεν ἀποδοθῆναι, μάλιςα μὲν ἅπαντα, ὅσα Ταρκύνιός τε ὁ πρεσβύτατος κατέλιπεν, καὶ αὐτοὶ σὺν τῷ δικαίῳ κτησάμενοι κατέσχον· εἰ δὲ μή γε, ὅσα δυνατὰ, ἀγρῶν τε καὶ οἰκιῶν καὶ βοσκημάτων, καὶ ὧν ἐκ γῆς ἀνῄρηνται καρπῶν τὰς ἀξίας, ὁποτέρως ἂν αὐτοῖς δόξῃ συμφέρειν, ἐάν τε τὲς κατέχοντας αὐτὰ καὶ καρπεμένες εἰσφέρειν, ἐάν τ' ἐκ τε δημοσίε διαλύειν. ταῦτα μὲν ὑπὲρ ἐκείνων. ἑαυτῷ δὲ αἰτεῖσθαι διαλυομένῳ τὴν ἔχθραν, τὲς καλεμένες Ἑπτὰ πάγες· ἅυτη Τυῤῥηνῶν ἡ χώρα τὸ ἀρχαῖον ἦν, Ῥωμαῖοι δ' αὐτὴν κατέσχον πολέμῳ, τὲς ἔχοντας ἀφελόμενοι· καὶ ἵνα μένωσι Ῥωμαῖοι Τυῤῥηνοῖς βέβαιοι φίλοι, παῖδας ἐκ τῶν ἐπιφανεςάτων οἰκιῶν τὲς ὁμηρεύσοντας ὑπὲρ τῆς πόλεως αἰτεῖν παρ' αὐτῶν."

Ἀφικομένων δὲ τῶν πρέσβεων εἰς Ῥώμην, ἡ βελὴ μὲν ἐψηφίσατο, Ποπλικόλᾳ θατέρῳ τῶν ὑπάτων πεισθεῖσα, πάντα συγχωρεῖν, ὅσα ὁ Τυῤῥηνὸς ἠξίε, κάμνειν τὸν δῆμον καὶ τὸν ἄπορον ὄχλον οἰομένη τῇ σπάνει τῶν ἐπιτηδείων, καὶ ἀγαπητῶς δέξεσθαι τὴν τε πολέμε λύσιν, ἐφ' οἷς ἂν γένηται δικαίοις. ὁ δὲ δῆμος τὰ μὲν ἄλλα τε προβελεύματος ἐψηφίσατο κύρια εἶναι, τὴν δ' ἀπόδοσιν τῶν χρημάτων ἐκ ἠνέσχετο, ἀλλὰ τἀναντία ἔγνω, μήτ' ἐκ τῶν κοινῶν, μήτ' ἐκ τῶν ἰδίων τοῖς Ταρκυνίοις μηδὲν ἀποδεναι, πρεσβευτὰς δὲ περὶ τέτων πρὸς βασιλέα Πορσῖνον ἀποςεῖλαι, οἵτινες ἀξιώσεσιν αὐτὸν τὰ μὲν ὅμηρα

cap. 31. ratas quidem fecit populus Romanus, excepta ea, quæ bona Tarquinio restitui volebat, cognitione tamen hujus causæ regi relicta, & traditis obsidibus in [illegible] fidei argumentum.

ςα

Digitized by Google

ρα καὶ τὴν χώραν παραλαβεῖν· περὶ δὲ τῶν χρημάτων αὐτὸν δικαςὴν γενόμενον Ταρκυνίῳ τε καὶ Ῥωμαίοις, ὅταν ἀμφοτέρων ἀκέσῃ, κρῖναι τὰ δίκαια δοκοῦντα, μήτε χάριτι, μήτ' ἔχθρᾳ παραχθέντα. ἀπῄεσαν οἱ Τυῤῥηνοὶ τὰς ἀποκρίσεις ταύτας κομίζοντες πρὸς βασιλέα, καὶ σὺν αὐτοῖς οἱ καταςαθέντες ὑπὸ τοῦ δήμου πρέσβεις, ἄγοντες ἐκ τῶν πρώτων οἰκιῶν ἔικοσι παῖδας, οὓς ἔδει περὶ τῆς πατρίδος ὁμηρεῦσαι, τῶν ὑπάτων πρώτων τὰ τέκνα ἐπιδόντων, Μάρκου μὲν Ὁρατίου τὸν υἱὸν, Ποπλίου δὲ Ὀυαλερίου τὴν θυγατέρα γάμων ἔχουσαν ὥραν. ἀφικομένων δὲ τούτων ἐπὶ τὸ ςρατόπεδον, ἡσθεὶς ὁ βασιλεὺς, καὶ πολλὰ τοὺς Ῥωμαίους ἐπαινέσας, ἀνοχὰς σπένδεται πρὸς αὐτοὺς εἰς ὡρισμένον τινὰ ἡμερῶν ἀριθμὸν, καὶ τὴν δίκην ἀναδέχεται δικάσειν. Ταρκύνιοι δ' ἤχθοντο μὲν ἀπὸ μειζόνων ἐκπεσόντες ἐλπίδων, ἃς εἶχον ἐπὶ τῷ βασιλεῖ, καταχθῆναι δόξαντες ἐπὶ τὴν ἀρχὴν ὑπ' ἐκείνου· ςέργειν δὲ ὅμως τὰ παρόντα ἠναγκάζοντο, καὶ τὰ δεδογμένα δέχεσθαι. ἀφικομένων δ' εἰς τὸν ὁρισθέντα χρόνον ἐκ τῆς πόλεως τῶν ἀπολογησομένων τὴν δίκην, καὶ ἀπὸ τῆς βουλῆς τῶν πρεσβυτάτων, καθίσας ἐπὶ τοῦ βήματος ὁ βασιλεὺς μετὰ τῶν φίλων, καὶ τὸν υἱὸν συνδικάζειν κελεύσας, ἐπέδωκεν αὐτοῖς λόγον.

cap. 33. Virgines, quae inter obsides erant, fluvio, insciis patribus, tranato in urbem revertuntur, Romanosque perfidiae suspectos faciunt;

Ἔτι δὲ τῆς δικαιολογίας γινομένης, ἧκέ τις ἀπαγγέλλων τὴν φυγὴν τῶν ὁμηρευουσῶν παρθένων. δεηθεῖσαι γὰρ τῶν φυλαττόντων, ἵνα συγχωρήσωσιν αὐταῖς λούσασθαι παραγενομέναις εἰς τὸν ποταμὸν, ἐπειδὴ τὸ συγχώρημα ἔλαβον, ἀποςῆναι μικρὸν ἀπὸ τοῦ ποταμοῦ τοῖς ἀνδράσιν εἰποῦσαι, ἕως ἂν ἀπολούσωνται, καὶ τὰς ἐσθῆτας ἀπολάβωσιν, ἵνα μὴ γυμνὰς ὁρῶσιν αὐτάς· ποιησάντων καὶ τοῦτο τῶν ἀνδρῶν, παρακελευσαμένης αὐταῖς τῆς Κλοιλίας, καὶ πρώτης καταρξάσης, διανηξάμεναι τὸν ποταμὸν, εἰς τὴν πόλιν ἀπῆλθον. ἔνθα δὴ πολὺς ὁ Ταρκύνιος ἦν ἐπιορκίαν καὶ ἀπιςίαν τοῖς Ῥωμαίοις ἐγκαλῶν, καὶ τὸν βασιλέα παροξύνων, ὡς ἐξαπατώμενον ὑπ' ἀνθρώπων δολίων, μηδὲν προσέχειν αὐτοῖς. ἀπολογουμένου δὲ τοῦ ὑπάτου, καὶ τὸ ἔργον ἐξ αὐτῶν λέγοντος εἶναι τῶν παρθένων, δίχα τῆς ἐπιταγῆς τῶν πατέρων, καὶ τὸ πιςὸν οὐκ εἰς μακρὰν παρέξεσθαι λέγοντος, ὑπὲρ τοῦ μηδὲν ἐξ ἐπιβουλῆς ὑφ' ἑαυτῶν πεπρᾶχθαι, πεισθεὶς ὁ βασιλεὺς, συνεχώρησεν αὐτῷ πορευθέντι

Digitized by Google

θέντι τὰς παρθένυς ἀγαγεῖν, ὡς ὑπισχνεῖτο. Ὀυαλέριος μὲν δὴ τὰς παρθένυς ἄξων ᾤχετο· Ταρκύνιος δὲ καὶ ὁ κηδεστὴς ἀυτῦ τῶν δικαίων ὑπεριδόντες, πράγματι ἐπεβόλευσαν ἀνοσίῳ, λόχον ὑποπέμψαντες εἰς τὴν ὁδὸν ἱππέων, τάς τε παρθένυς ἁρπάσαι τὰς ἀγομένας, καὶ τὸν ὕπατον καὶ τὺς ἄλλυς τὺς ἐπὶ τὸ ςρατόπεδον ἐρχομένυς συλλαβεῖν, ῥύσια καθέξοντες, ἀνθ' ὧν Ταρκύνιον ἀφείλοντο Ῥωμαῖοι χρημάτων, τὰ σώματα ταῦτα, καὶ τὸ τέλος τῆς δίκης ὐκέτι περιμενῦντες. ὐκ ἔιασε δὲ κατὰ νῦν ἀυτοῖς χωρῆσαι τὴν ἐπιβυλὴν τὸ δαιμόνιον. ἐν ὅσῳ γὰρ ἐκ τῦ Λατίνων χάρακος ἐξῄεσαν ὁι μέλλοντες τοῖς παραγινομένοις ἐπιθέσθαι, φθάσας ὁ τῶν Ῥωμαίων ὕπατος, ἧκεν ἄγων τὰς κόρας· καὶ πρὸς ἀυταῖς ἤδη ταῖς πύλαις τῦ Τυῤῥηνῦ χάρακος ὤν, ὑπὸ τῶν ἐπιδιωξάντων ἐκ τῆς ἑτέρας ςρατοπεδείας καταλαμβάνεται. ἔνθα τῆς συμπλοκῆς ἀυτῶν γενομένης, ταχεῖα τοῖς Τυῤῥηνοῖς ἄισθησις ἐγένετο. καὶ κατὰ σπυδὴν ὁ τῦ βασιλέως ὑιὸς ἴλην ἱππέων λαβὼν, ἐβοήθει, καὶ ἐκ τῶν πεζῶν ὁι προκαθήμενοι τῦ χάρακος συνέδραμον.

reductis autem iis a Consule, inter inanes insidias Tarquiniorum,

Ἐφ' ὅις ἀγανακτῶν ὁ Πορσῖνος, ἐις ἐκκλησίαν τὺς Τυῤῥηνὺς συνεκάλει· καὶ διεξελθὼν, ὡς ἐπιτρεψάντων ἀυτῷ, δίκας Ῥωμαίων δικάσαι, περὶ ὧν ἐνεκαλῦντο ὑπὸ Ταρκυνίυ, πρὶν ἐπιτελεσθῆναι τὴν δίκην, ἐις ἱερὰ σώματα πρέσβεών τε καὶ ὁμήρων παρανομεῖν ἐν σπονδαῖς ἐπεχείρησαν ἀδικαίως ὑπ' ἀυτῶν ἐξελαθέντες· ὅθεν Τυῤῥηνοὶ Ῥωμαίυς μὲν ἀπολύυσι τῶν ἐγκλημάτων, Ταρκυνίων δὲ καὶ Μαμιλίυ διαλύονται τὴν ξενίαν, καὶ προεῖπον ἀυθημερὸν ἐκ τῦ χάρακος ἀπιέναι. Ταρκύνιοι μὲν ὖν ἐν ἐλπίσι χρησαῖς γενόμενοι κατ' ἀρχὰς, ὡς ἢ τυραννήσοντες ἄυθις τὴν πόλιν, Τυῤῥ[illegible]ῶν σφίσι βοηθύντων, ἢ τὰ χρήματα κομιύμενοι, διὰ τὴν ἐις τὺς πρέσβεις καὶ τὰ ὅμηρα παρανομίαν, ἀμφοτέρων διαμαρτόντες ἀπῆλθον ἐκ τῦ ςρατοπέδυ σὺν ἀισχύνῃ τε καὶ μύσει. ὁ δὲ τῶν Τυῤῥηνῶν βασιλεὺς τὰ ὅμηρα τῶν Ῥωμαίων ἐπὶ τὸ βῆμα προαχθῆναι κελεύσας, ἀποδίδωσι τῷ ὑπάτῳ, ἐιπὼν, ὅτι πάσης ὁμηρείας κρείττονα ἡγεῖται τὴν πίςιν τῆς πόλεως. μίαν δὲ παρθένον, ὑφ' ἧς ἐπείσθησαν ἁι λοιπαὶ διανήξασθαι τὸν ποταμὸν, ἐπαινέσας, ὡς κρεῖττον ἔχυσαν φρόνημα τῆς τε φύσεως καὶ τῆς ἡλικίας, καὶ τὴν πόλιν μακαρίσας, ἐπὶ τῷ μὴ μόνον ἄνδρας

cap. 34. Porsena, repudiatis Tarquiniis, magnifice cum Romanis agit;

ἀ.α-

Digitized by Google

ἀγαθὰς ἐκτρέφειν, ἀλλὰ καὶ παρθένους ἀνδράσιν ὁμοίας, δωρεῖται τὴν κόρην ἵππῳ πολεμιστῇ φαλάροις κεκοσμημένῳ διαπρεπέσι. μετὰ δὲ τὴν ἐκκλησίαν, τὰ περὶ εἰρήνης καὶ φιλίας ὅρκια πρὸς τοὺς πρέσβεις τῶν Ῥωμαίων ποιησάμενος, καὶ ξενίσας αὐτοὺς, δῶρα τῇ πόλει φέρεσθαι δίδωσι τοὺς αἰχμαλώτους ἅπαντας ἄνευ λύτρων, συχνοὺς πάνυ ὄντας· καὶ τὸ χωρίον, ἐν ᾧ κατεστρατοπεδευκὼς ἦν, οὐχ ὡς στρατόπεδον ἐν ξένῃ γῇ πρὸς ὀλίγον καιρὸν, ἀλλ' ὡς πόλιν ἰδίως τε καὶ δημοσίως ἀποχρώντως κοσμήσας, οὐκ ὄντος τοῖς Τυῤῥηνοῖς ἔθους, ὁπότε ἀναστρατοπεδεύοιεν ἐκ πολεμίας, ὀρθὰς καταλείπειν τὰς κατασκευὰς, ἀλλὰ κατακαίειν, οὐ κατέκαυσεν, ἀλλ' ἀφῆκεν οὕτω μένειν· οὐ μικρὰν τῇ πόλει χαρισάμενος εἰς χρημάτων λόγον δωρεάν. ἐδήλωσε δ' ἡ πρᾶσις, ἣν ἐποιήσαντο μετὰ τὴν ἀπαλλαγὴν τοῦ βασιλέως οἱ ταμίαι. ὁ μὲν δὴ πόλεμος ὁ στὰς Ῥωμαίοις πρὸς Τυῤῥηνούς τε καὶ βασιλέα Κλουσινῶν Λάρον Πορσῖνον, εἰς κινδύνους μεγάλους ἀγαγὼν τὴν πόλιν, τοιούτου τέλους ἔτυχεν.

cap. 35. senatus vicissim Romanus dona Porsenæ mittit, Mucium etiam & Cloeliam virginem remuneratur.

Ἡ δὲ τῶν Ῥωμαίων βουλὴ μετὰ τὴν ἀπαλλαγὴν τῶν Τυῤῥηνῶν συνελθοῦσα, ἐψηφίσατο Πορσίνῳ μὲν πέμψαι θρόνον ἐλεφάντινον, καὶ σκῆπτρον, καὶ στέφανον χρύσεον, καὶ θριαμβικὴν ἐσθῆτα ὑφ' ἧς οἱ βασιλεῖς ἐκοσμοῦντο· Μουκίῳ δὲ τῷ προελομένῳ περὶ τῆς πατρίδος ἀποθανεῖν, αἰτιωτάτῳ δόξαντι γεγονέναι τῆς καταλύσεως τοῦ πολέμου, χαρίσασθαι χώραν ἐκ τῆς δημοσίας, πέραν τοῦ Τιβέριος ποταμοῦ, τὸν αὐτὸν τρόπον, ὅνπερ Ὁρατίῳ, τῷ πρὸ τῆς γεφύρας ἀγωνισαμένῳ πρότερον, ὅσην ἂν ἀρότρῳ περιλαβεῖν ἐν ἡμέρᾳ μιᾷ δύνηται. οὗτος ὁ χῶρος, ἕως τῶν καθ' ἡμᾶς χρόνων, Μούκιοι λειμῶνες καλοῦνται. ταῦτα μὲν τοῖς ἀνδράσι· Κλοιλίᾳ δὲ τῇ παρθένῳ στάσιν εἰκόνος χαλκῆς ἔδοσαν, ἣν ἀνέθεσαν ἐπὶ τῆς ἱερᾶς ὁδοῦ, τῆς εἰς τὴν ἀγορὰν φερούσης, οἱ τῶν παρθένων πατέρες.

cap. 37. Bellum Sabinum, A.U. 249–251. ante Chr. 505–503.

Ἐνιαυτῷ δὲ πέμπτῳ μετὰ τὴν ἐκβολὴν τῶν βασιλέων, ὀλυμπιὰς μὲν ἦν ἐννάτη καὶ ἑξηκοστὴ, ἣν ἐνίκα στάδιον Ἰσχόμαχος Κροτωνιάτης, Ἀθήνησι δὲ τὸ δεύτερον ἄρχων Ἀκεστορίδης, ὕπατοι δὲ Ῥωμαίων Μάρκος Οὐαλέριος, ἀδελφὸς Οὐαλερίου Ποπλικόλα, καὶ Πόπλιος Ποστούμιος Τούβερτος ἐπικαλούμενος· ἐπὶ τούτων ἕτερος ἐξεδέξατο

Digitized by Google

ξατο Ῥωμαίοις πόλεμος ἐκ τῶν ἔγγιστα οἰκούντων (Σαβίνων), ὃς ἤρξατο μὲν ἀπὸ λῃστηρίων, προύβη δ' εἰς πολλοὺς καὶ μεγάλους ἀγῶνας, ἐχώρησε μέντοι τελευτῶν εἰς διαλλαγὰς εὐπρεπεῖς, ἐπὶ τῆς τετάρτης μετὰ τούτους τοὺς ἄνδρας ὑπατείας, πάντα τὸν μεταξὺ χρόνον πολεμηθείς.

cap. 50. Latini, Tarquiniis incitantibus, nova contra Romanos moliuntur, A. U. 252. ante Chr. 502

Ἐπὶ δὲ τῆς ἑβδομηκοστῆς Ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Νικαίας ὁ Λοκρὸς ἐξ Ὀποῦντος, ἄρχοντος Ἀθήνησι Μύρου, παραλαμβάνουσι τὴν ὕπατον ἀρχὴν Πόστουμος Κομήνιος καὶ Τῖτος Λάρκιος· ἐφ' ὧν ἀπέστησαν αἱ Λατίνων πόλεις ἀπὸ τῆς Ῥωμαίων φιλίας, Ὀκταουΐου Μαμιλίου, τοῦ κηδεστοῦ Ταρκυνίου, τοὺς ἐπιφανεστάτους ἐξ ἑκάστης πόλεως, τοὺς μὲν ὑποσχέσεσι δώρων, τοὺς δὲ δεήσεσι πείσαντος, συμπρᾶξαι τοῖς φυγάσι τὴν κάθοδον. καὶ γίνεται κοινὴ τῶν συναγομένων εἰς Φερεντῖνον ἀγορά, πλὴν μιᾶς τῆς Ῥωμαίων πόλεως·

nec ad concilium commune evocant.

ταύτῃ γὰρ οὐκ ἐπήγγειλαν μόνῃ, καθάπερ εἰώθεισαν, παρεῖναι· ἐν ᾗ ψῆφον ἐνεγκεῖν ἔδει τὰς πόλεις περὶ τοῦ πολέμου, καὶ στρατηγοὺς ἀποδεῖξαι, καὶ περὶ τῶν ἄλλων βουλεύσασθαι παρασκευῶν. ἐτύγχανε δὲ κατὰ τὸν χρόνον τοῦτον ἀπεσταλμένος ὑπὸ Ῥωμαίων Μάρκος Οὐαλέριος πρεσβευτής, ἀνὴρ ὑπατικός, εἰς τὰς ὁμόρους πόλεις, δεησόμενος αὐτῶν μηδὲν νεωτερίζειν· ἐλῄστευον γὰρ ἐξ αὐτῶν τινες τοὺς ὁμοτέρμονας ἀγρούς, ὑπὸ τῶν δυνατῶν ἀποστελλόμενοι, καὶ πολλὰ τοὺς γεωργοὺς τῶν ἀγρῶν ἔβλαπτον·

Casui illi interest M. Valerius,

ὃς ἐπειδὴ τὴν κοινὴν σύνοδον ἔγνω τῶν πόλεων γενομένην, ἐπὶ τῷ διενεγκεῖν ἁπάσας τὴν περὶ τοῦ πολέμου ψῆφον, ἐλθὼν ἐπὶ τὸν σύλλογον, καὶ λόγον αἰτησάμενος παρὰ τῶν προέδρων, ἔλεξεν, ὅτι πεμφθείη μὲν ὑπὸ τῆς πόλεως πρεσβευτὴς πρὸς τὰς ἀποστελλούσας τὰ λῃστήρια πόλεις, δεησόμενος αὐτῶν, τοὺς ἐνόχους τοῖς ἀδικήμασιν ἐξευρούσας ἐκδοῦναι σφίσι τιμωρίας ὑφέξοντας, κατὰ τὸν νόμον, ὃν ἐν ταῖς συνθήκαις ὥρισαν, ὅτε συνετίθεντο τὴν φιλίαν· καὶ τὸ λοιπὸν ἀξιώσων φυλάττειν, ἵνα μηδὲν ἁμάρτημα γίνηται κοινόν, ὃ διαστήσει τὴν φιλίαν αὐτῶν καὶ τὴν συγγένειαν. ὁρῶν δὲ ἁπάσας συνεληλυθυίας τὰς πόλεις ἐπὶ τῷ κατὰ Ῥωμαίων πολέμῳ, καὶ τοῦτ' ἐκ πολλῶν μὲν καὶ ἄλλων καταλαμβανόμενος, μάλιστα δέ, ὅτι Ῥωμαίοις μόνοις οὐ παρήγγειλαν, ἐπὶ τὴν ἀγορὰν παρεῖναι, γεγραμμένου ἐν ταῖς συνθήκαις, ἁπάσας παρεῖναι τὰς πόλεις ταῖς κοιναῖς ἀγοραῖς,

Digitized by Google

ραῖς, ὅσαι τοῦ Λατίνων εἰσὶ γένους, παραγγειλάντων αὐταῖς τῶν προέδρων, θαυμάζειν τί δήποτε παθόντες, ἢ τί κατηγορεῖν ἔχοντες τῆς πόλεως, οἱ σύνεδροι, μόνην ἐκείνην οὐ παρέλαβον ἐπὶ τὸν σύλλογον, ἣν πρώτην ἁπασῶν ἔδει παρεῖναι, καὶ πρώτην ἐρωτᾶσθαι γνώμην, ἡγεμονίαν ἔχουσαν τοῦ ἔθνους, ἧς ἔτυχε παρ' αὐτῶν ἑκόντων ἀντὶ πολλῶν καὶ μεγάλων εὐεργεσιῶν.

cap. 51. & omnia crimina Romanis objecta diluit.

Μετὰ τοῦτον Ἀρικηνοί τε λόγον αἰτησάμενοι, κατηγόρουν τῶν Ῥωμαίων, ὅτι τὸν Τυῤῥηνικὸν πόλεμον ἐπήγαγον σφίσιν ὄντες συγγενεῖς, καὶ παρέσχον, ὅσον ἐφ' ἑαυτοῖς, ἁπάσας τὰς Λατίνων πόλεις ὑπὸ Τυῤῥηνῶν ἀφαιρεθῆναι τὴν ἐλευθερίαν· καὶ Ταρκύνιος ὁ βασιλεὺς ἀνανεούμενος τὰς γενομένας αὐτῷ πρὸς τὸ κοινὸν τῶν πόλεων συνθήκας περὶ φιλίας τε καὶ συμμαχίας, ἠξίου τὰς πόλεις ἐμπεδοῦν τοὺς ὅρκους, κατάγειν δ' αὐτὸν ἐπὶ τὴν ἀρχήν· Καμαριναίων τε καὶ Φιδηναίων φυγάδες, οἱ μὲν τὴν ἅλωσιν καὶ τὴν φυγὴν τῆς πατρίδος, οἱ δὲ τὸν ἀνδραποδισμὸν καὶ τὴν κατασκαφὴν ὀδυρόμενοι, παρεκάλουν αὐτοὺς εἰς τὸν πόλεμον. τελευταῖος δὲ πάντων ὁ Ταρκυνίου κηδεστὴς Μαμίλιος, μέγιστον ἐν τοῖς τότε χρόνοις παρὰ τοῖς Λατίνοις δυνάμενος, ἀναστὰς, μακρὰν κατὰ τῆς πόλεως διεξῆλθε δημηγορίαν. ἀπολογουμένου δὲ πρὸς ἅπαντα τοῦ Οὐαλερίου, καὶ δοκοῦντος περιεῖναι τοῖς δικαίοις, ἐκείνην μὲν τὴν ἡμέραν εἰς τὰ κατηγορήματα καὶ τὰς ἀπολογίας ἀναλώσαντες, οὐδὲν ἐπέθηκαν τῇ βουλῇ τέλος. τῇ δὲ κατόπιν οὐκέτι τοὺς πρεσβευτὰς τῶν Ῥωμαίων οἱ πρόεδροι προαγαγόντες ἐπὶ τὸν σύλλογον, ἀλλὰ Ταρκυνίῳ τε καὶ Μαμιλίῳ καὶ Ἀρικηνοῖς καὶ τοῖς ἄλλοις βουλομένοις τῆς πόλεως κατηγορεῖν ἀποδόντες τὸν λόγον, ἐπειδὴ πάντων διήκουσαν, ψηφίζονται λελῦσθαι τὰς σπονδὰς ὑπὸ Ῥωμαίων, καὶ τοῖς περὶ Οὐαλέριον πρέσβεσιν ἀπόκρισιν ἔδωκαν, ὅτι τὸ συγγενὲς ἐκείνων τοῖς ἀδικήμασι λελυκότων, βουλεύσονται κατὰ σχολὴν ὄντινα τρόπον αὐτοὺς ἀμύνεσθαι χρή.

Servi Romæ conspirant, & in crucem tolluntur.

ἐν ᾧ δὲ ταῦτ' ἐπράττετο χρόνῳ, συνωμοσία κατὰ τῆς πόλεως ἐγένετο, δούλων συχνῶν συνειπαμένων τάς τ' ἄκρας καταλαβέσθαι, καὶ κατὰ πολλοὺς τόπους ἐμπρῆσαι τὴν πόλιν. μηνύσεως δὲ γενομένης ὑπὸ τῶν συνειδότων, αἱ πύλαι τ' εὐθὺς ὑπὸ τῶν ὑπάτων ἐκλείοντο, καὶ πάντα τὰ

Digitized by Google

ἐρύματα τῆς πόλεως ὑπὸ τῶν ἱππέων κατείληπτο· καὶ αὐτίκα οἱ μὲν ἐξ οἰκιῶν συλληφθέντες, οἱ δ' ἐκ τῶν ἀγρῶν ἀναχθέντες, ὅσυς ἀπέφαινον οἱ μηνυταὶ μετασχεῖν τῆς συνωμοσίας, μάςιξι καὶ βασάνοις αἰκισθέντες ἀνεσκολοπίσθησαν ἅπαντες. ταῦτα ἐπὶ τέτων ἐπράχθη τῶν ὑπάτων.

Σερυΐε δὲ Σελπικίε Καμερινῦ καὶ Μανίε Τυλλίε Λόγγε τὴν ἀρχὴν παραλαβόντων, Φιδηναίων τινὲς, παρὰ Ταρκυνίων ςρατιώτας μεταπεμψάμενοι, τὴν ἄκραν καταλαμβάνονται, καὶ τῶν μὴ τὰ αὐτὰ προαιρεμένων ὓς μὲν διαφθείραντες, ὓς δ' ἐξελάσαντες, ἀφιςᾶσιν αὖθις ἀπὸ Ῥωμαίων τὴν πόλιν· πρεσβείας τε Ῥωμαϊκῆς ἀφικομένης, ἤρξαντο ὡς πολεμίοις χρήσασθαι τοῖς ἀνδράσι. κωλυθέντες δὲ ὑπὸ τῶν πρεσβύτερων, ἐξέβαλον αὐτὺς ἀπὸ τῆς πόλεως, ὔτε δῦναι λόγον ἀξιῦντες, ὔτε λαβεῖν. ταῦτα ἡ βυλὴ τῶν Ῥωμαίων μαθῦσα, πρὸς μὲν τὸ κοινὸν τῶν Λατίνων ὔπω τὸν πόλεμον ἐκφέρειν πρόθυμός ἦν, πυνθανομένη, ὐ πᾶσιν εἶναι τὰ ψηφισθέντα ὑπὸ τῶν προβύλων κατὰ νῦν· ἐν δ' ἑκάςῃ πόλει τὺς δημοτικὺς ἀναδύεσθαι τὸν πόλεμον, καὶ πλείυς εἶναι τὺς ἀξιῦντας μένειν τὰς σπονδὰς τῶν διαλελῦσθαι λεγόντων· ἐπὶ δὲ τὺς ἐν Φιδήνῃ τὸν ἕτερον ἐψηφίσαντο τῶν ὑπάτων Μάνιον ἀποςεῖλαι ςρατιὰν ἄγοντα πολλήν· ὃς ἐπειδὴ τὴν χώραν αὐτῶν ἐδήωσε κατὰ πολλὴν ἄδειαν, μηδενὸς ὑπὲρ αὐτῆς ἀμυνομένυ, πλησίον τῦ τείχυς ςρατοπεδευσάμενος, ἐφύλαττε μήτ' ἀγορὰς εἰσάγεσθαι τοῖς ἔνδον, μήτε ὅπλα, μήτ' ἄλλην βοήθειαν μηδεμίαν. Φιδηναῖοι μὲν δὴ τειχήρεις ἐγένοντο, καὶ πρὸς τὰς Λατίνων ἐπρεσβεύοντο πόλεις, δεόμενοι ταχείας συμμαχίας. οἱ δὲ προεςηκότες τῶν Λατίνων, ἀγορὰν ποιησάμενοι τῶν πόλεων, Ταρκυνίοις τ' αὖθις ἀποδόντες λόγον, καὶ τοῖς παρὰ τῶν πολιορκυμένων ἥκυσιν, ἐκάλυν τὺς συνέδρυς εἰς ἀπόφασιν γνώμης, τίνα χρὴ πολεμεῖν Ῥωμαίοις τρόπον, ἀπὸ τῶν πρεσβυτάτων τε καὶ ἐπιφανεςάτων ἀρξάμενοι. πολλῶν δὲ ῥηθέντων λόγων, καὶ περὶ αὐτῦ τῦ πολέμυ πρῶτον, εἰ δέοι αὐτὸν ἐπικυρῶσαι, οἱ μὲν ταραχωδέςεροι τῶν συνέδρων τὸν βασιλέα κατάγειν ἐπὶ τὴν ἀρχὴν ἠξίυν, καὶ Φιδηναίοις βοηθεῖν παρῄνυν· ἐν ἡγεμονίαις βυλόμενοι γενέσθαι ςρατιωτικαῖς κύριοι, καὶ πρα-

cap. 52. Latini adhuc in pace manent: Fidenates vero Romanos lacessunt. Fidenæ obsidentur, A. U. 254. ante Chr. 500.

Digitized by Google

πραγμάτων ἐφάψασθαι μεγάλων· μάλιστα δ' οἱ δυναστείας καὶ τυραννίδος ἐν ταῖς ἑαυτῶν πατρίσιν ἐρῶντες, ἣν κατασκευάσειν αὐτοῖς Ταρκυνίους ἐπείθοντο τὴν Ῥωμαίων ἀρχὴν ἀνακτησαμένους. οἱ δ' εὐπορώτατοί τε καὶ ἐπιεικέστατοι μένειν ἐν ταῖς σπονδαῖς ἠξίουν τὰς πόλεις, καὶ μὴ προχείρως ἐπὶ τὰ ὅπλα χωρεῖν· καὶ ἦσαν οὗτοι τῷ πλήθει πιθανώτατοι. ἐξωθέμενοι δὴ πρὸς τῶν παραινούντων τὴν εἰρήνην ἄγειν οἱ τὸν πόλεμον ἐπισπεύδοντες, τοῦτό γε πείθουσι τὴν ἐκκλησίαν ποιῆσαι τελευτῶντες, πρεσβευτὰς εἰς Ῥώμην ἀποστεῖλαι τούς τε παρακαλέσοντας ἅμα καὶ συμβουλεύσοντας τῇ πόλει δέχεσθαι Ταρκυνίους καὶ τοὺς ἄλλους φυγάδας ἐπ' ἀδείᾳ καὶ ἀμνηστίᾳ, καὶ περὶ τούτων ὅρκια τεμόντας τῇ πατρίῳ κοσμεῖσθαι πολιτείᾳ, καὶ τῆς Φιδηναίων πόλεως ἀπανιστάναι τὸν στρατόν, ὡς σφῶν οὐχ ὑπεροψομένων συγγενεῖς καὶ φίλους ἀφαιρεθέντας τὴν πατρίδα· ἐὰν δὲ μηδέτερον τούτων ὑπομείνωσι πράττειν, τότε βουλεύσεσθαι περὶ τοῦ πολέμου· οὐκ ἀγνοοῦντες μέν, ὅτι τούτων οὐδέτερον ὑπομενοῦσι Ῥωμαῖοι πράττειν, προφάσεις δὲ τῆς ἔχθρας βουλόμενοι λαβεῖν εὐπρεπεῖς, καὶ τοὺς ἐναντιουμένους σφίσι θεραπείαις ἐν τῷ μεταξὺ χρόνῳ καὶ χάρισιν ἐπάξεσθαι νομίζοντες. ταῦτα ψηφισάμενοι, καὶ χρόνον ὁρίσαντες ἐνιαύσιον, Ῥωμαίοις μὲν βουλῆς, ἑαυτοῖς δὲ παρασκευῆς, καὶ πρεσβευτὰς ἀποδείξαντες, οὓς Ταρκύνιος ἐβούλετο, διέλυσαν τὸν σύλλογον.

Latini cum Romanis de Tarquiniis restituendis & copiis a Fidenis abducendis per legatos agunt.

cap. 53. Externa spe missa Tarquinii bellum civile Romae concitare student, missis in urbem cum Latinorum legatis rerum novarum molitoribus.

Διασκεδασθέντων δὲ τῶν Λατίνων κατὰ πόλεις, ὁρῶντες οἱ περὶ Μαμίλιόν τε καὶ Ταρκύνιον, ὅτι ταῖς σπονδαῖς ἀναπεπτώκασιν οἱ πολλοί, τὰς μὲν ὑπερορίους ἐλπίδας, ὡς οὐ πάνυ βεβαίας, ἀφίεσαν· μεταθέμενοι δὲ τὰς γνώμας, τὸν πολιτικόν τε καὶ ἀφύλακτον ἐμηχανῶντο πόλεμον ἐξ αὐτῆς ἀναστῆσαι τῆς Ῥώμης, στάσιν εἰσάγοντες τοῖς πένησι πρὸς τοὺς εὐπόρους. ἤδη δ' ὑπεκινεῖτο τὸ πολὺ τοῦ δημοτικοῦ μέρος, καὶ ἐνόσει, μάλιστα δὲ τὸ ἄπορον καὶ ὑπὸ δανείων ἠναγκασμένον, μηκέτι τὰ κράτιστα τῷ κοινῷ φροντίζειν· οὐ γὰρ ἐμετρίαζον ἐν ταῖς ἐξουσίαις οἱ δανείζοντες, ἀλλ' εἰς δεσμοὺς τὰ τῶν ὑποχρέων ἀπῆγον σώματα, καὶ ὥσπερ ἀργυρωνήτοις οὕτως ἐχρῶντο· ταῦτα δὴ μαθών, ἔπεμψεν ὁ Ταρκύνιος εἰς τὴν πόλιν ἅμα τοῖς πρέσβεσι τῶν Λατίνων ἀνυπόπτους τινὰς ἄνδρας, φέροντας χρυ-

Digitized by Google

χρυσίον. ὃι συνιόντες ἐις λόγȢς τοῖς ἀπόροις καὶ θρασυτάτοις, καὶ τὰ μὲν ἤδη διδόντες ἀυτοῖς, τὰ δ', ἐι κατέλθοιεν ὁι βασιλεῖς, ἐπαγγελλόμενοι, πολλȢ̀ς πάνυ τῶν πολιτῶν διέφθειραν· καὶ γίνεται συνωμοσία κατὰ τῆς ἀριστοκρατίας Ȣ̓ μόνον ἐλευθέρων ἀπόρων, ἀλλὰ καὶ δȢ́λων πονηρῶν ἐλευθερίας ἐλπίσιν ὑπαχθέντων, ὃι διὰ τȢ̀ς κολαθέντας ὁμοδȢ́λȢς ἐν τῷ παρελθόντι ἐνιαυτῷ, δυσμενῶς καὶ ἐπιβȢ́λως διακείμενοι πρὸς τȢ̀ς δεσπότας, ἀπιςȢ́μενοί τε ὑπ' ἀυτῶν, καὶ ἐν ὑποψίαις ὄντες, ὡς καὶ ἀυτοὶ σφίσιν ἐπιθησόμενοί ποτε, ἐι καιρὸν λάβοιεν, ἄσμενοι τοῖς παρακαλȢ̃σι πρὸς τὴν ἐπίθεσιν ὑπήκȢσαν. ὁ δὲ τῆς συνωμοσίας ἀυτῶν τοιόσδ' ἦν λογισμός. τȢ̀ς μὲν ἡγεμόνας τῆς ἐπιχειρήσεως ἔδει, φυλάξαντας νύκτα ἀσέληνον, τὰς ἄκρας καὶ τȢ̀ς ἐρυμνȢ̀ς τόπȢς τῆς πόλεως καταλαβέσθαι· τȢ̀ς δὲ θεράποντας, ὅταν ἄισθωνται κρατȢ̃ντας ἐκείνȢς τῶν ἐπικαίρων χωρίων· ἀλαλαγμῷ δὲ τȢ̃το ἔμελλεν ἀυτοῖς γενήσεσθαι φανερὸν· ἀποκτεῖναι τȢ̀ς δεσπότας καθεύδοντας. ταῦτα διαπραξαμένȢς, τάς τ' ὀικίας διαρπάσαι τῶν ἐυπόρων, καὶ τὰς πύλας τοῖς τυράννοις ἀνοῖξαι.

cap. 54. Conspiratio detegitur,

Ἡ δ' ἐν παντὶ καιρῷ σώζȢσα τὴν πόλιν, καὶ μέχρι τῶν κατ' ἐμὲ χρόνων παραμένȢσα θεία πρόνοια, διεκάλυψεν ἀυτῶν τὰ βȢλεύματα, μηνύσεως θατέρῳ τῶν ὑπάτων γενομένης ΣȢλπικίῳ, ἣν ἐποίησαν ἀδελφοὶ δύο Ταρκύνιοι, Πόπλιος καὶ Μάρκος, ἐκ ΛαυρέντȢ πόλεως, κορυφαιότατοι τῶν μετασχόντων τῆς συνωμοσίας, ὑπὸ θείας ἀνάγκης βιαζόμενοι. ἐφίςαντο γὰρ ἀυτοῖς, ὅτε κοιμηθεῖεν, ὄψεις ὀνείρων φοβεραὶ, τιμωρίας ἐπαπειλȢ̃σαι μεγάλας, ἐι μὴ παύσαιντο καὶ ἀποςαῖεν τῆς ἐπιθέσεως· διώκεσθαί τε ὑπὸ δαιμόνων τινῶν, καὶ παίεσθαι, καὶ τȢ̀ς ὀφθαλμȢ̀ς ἐξορύττεσθαι, καὶ ἄλλα πολλὰ καὶ σχέτλια πάσχειν τελευτῶντες ἐδόκȢν· ὑφ' ὧν περίφοβοι καὶ τρόμῳ παλλόμενοι διηγείροντο, καὶ Ȣ̓δὲ καθεύδειν διὰ ταῦτα τὰ δείματα ἐδύναντο. κατ' ἀρχὰς μὲν Ȣ̓͂ν ἀποτροπαίοις τισὶ καὶ ἐξακεςηρίοις θυσίαις ἐπειρῶντο παραιτεῖσθαι τȢ̀ς ἐνιςαμένȢς σφίσι δαίμονας· ὡς δ' Ȣ̓δὲν ἐπέραινον, ἐπὶ μαντείας ἐτράποντο, τὴν μὲν διάνοιαν τῆς ἐπιχειρήσεως ἀπόρρητον φυλάττοντες, τȢ̃το δὲ μόνον μαθεῖν ἀξιȢ̃ντες, ἐι καιρὸς ἤδη πράττειν ἃ βȢ́λονται. ἀποκριναμένȢ δὲ τȢ̃ μάντεως, ὅτι πονηρὰν καὶ

ὀλέ-

Digitized by Google

ὀλέθριον βαδίζουσιν ὁδὸν, καὶ εἰ μὴ μεταθήσοιεν τὰ βουλεύματα, τὸν ἄισχιστον ἀπολοῦνται τρόπον, δείσαντες, μὴ φθάσωσιν αὐτοὺς ἕτεροι τὰ κρυπτὰ εἰς φῶς ἐξενεγκόντες, αὐτοὶ γίνονται μηνυταὶ πρὸς τὸν ἐνδημοῦντα τῶν ὑπάτων. ὁ δὲ ὕπατος ἐπαινέσας αὐτοὺς, καὶ πολλὰ ὑποσχόμενος εὖ ποιῆσαι, ἐὰν καὶ τὰ ἔργα ὅμοια τοῖς λόγοις ἐπιδείξονται, τούτους μὲν ἔνδον παρ' ἑαυτῷ κατεῖχε μηδενὶ φράσας· τοὺς δὲ Λατίνων πρέσβεις, ἀναβαλλόμενος τέως καὶ παρέλκων τὴν ἀπόκρισιν, τότ' εἰσαγαγὼν εἰς τὸ βουλευτήριον, κατὰ τὰ δόξαντα τοῖς συνέδροις ἀποκρίνεται πρὸς αὐτούς· "Ἄνδρες φίλοι τε καὶ συγγενεῖς, ἀπαγγέλλετε ἀπιόντες πρὸς τὸ κοινὸν τῶν Λατίνων, ὅτι Ῥωμαίων δῆμος οὔτε πρότερον Ταρκυνίταις ἀξιοῦσιν ἐχαρίσατο τὴν τῶν τυράννων κάθοδον, οὔθ' ὕστερον ἅπασι Τυῤῥηνοῖς, οὓς ἦγε βασιλεὺς Πορσῖνος, ὑπὲρ τῶν αὐτῶν δεομένοις, καὶ πόλεμον ἐπάγουσιν ἁπάντων πολέμων βαρύτατον, ἐνέκλινεν, ἀλλ' ἀνέσχετο γῆν τε κειρομένην ὁρῶν, καὶ αὐλὰς ἐμπιπραμένας, τειχήρης γενόμενος ὑπὲρ τῆς ἐλευθερίας, καὶ τοῦ μηδὲν, ὧν μὴ βούλεται, πράττειν κελευσθείς. ὑμῶν τ', ὦ Λατῖνοι, τεθαυμάκαμεν, εἰ ταῦτα εἰδότες, οὐδὲν ἧττον δέχεσθαι τοὺς τυράννους, καὶ τὴν Φιδήνης πολιορκίαν λῦσαι [ἐπιτάττοντες ἥκετε, καὶ μὴ πειθομένοις πόλεμον ἀπειλεῖτε. παύσασθε δὴ ψυχρὰς καὶ ἀπιθάνους παραβαλλόμενοι προφάσεις τῆς ἔχθρας· καὶ εἰ διὰ ταῦτα μέλλετε διαλύειν τὸ συγγενὲς, καὶ τὸν πόλεμον ἐπικυροῦν, μηδὲν ἔτι ἀναβάλλεσθε."

cap. 55. & conjurati supplicio afficiuntur.

Ταῦτα τοῖς πρέσβεσιν ἀποκρινάμενος, καὶ προπέμψας ἐκ τῆς πόλεως, μετὰ τοῦτο φράζει τῇ βουλῇ περὶ τῆς ἀποῤῥήτου συνωμοσίας, ἃ παρὰ τῶν μηνυτῶν ἔμαθε· καὶ λαβὼν ἐξουσίαν παρ' αὐτῶν αὐτοκράτορα τοῦ διερευνᾶσθαι τοὺς μετασχόντας τῶν ἀποῤῥήτων βουλευμάτων, καὶ κολάσαι τοὺς εὑρεθέντας, οὐ τὴν αὐθάδη καὶ τυραννικὴν ἦλθεν ὁδὸν, ὡς ἕτερος ἄν τις ἐποίησεν, εἰς τοσαύτην κατακλεισθεὶς ἀνάγκην· ἀλλ' ἐπὶ τὴν εὐλογιστόν τε καὶ ἀσφαλῆ, καὶ τῷ σχήματι τῆς καθεστώσης τότε πολιτείας πρέπουσαν, [ἀκόλουθον] ἐτράπετο. οὔτε γὰρ ἐκ τῶν οἰκιῶν συλλαμβανομένους ἄγεσθαι τοὺς πολίτας ἐπὶ τὸν θάνατον, ἀποσπωμένους γυναικῶν τε καὶ παίδων καὶ πατέρων, ἐβουλήθη,

Digitized by Google

θῇ, τόν τ' οἶκτον ἐνθυμέμενος οἷος ἔσαι τῶν προσηκόντων ἑκάσοις παρὰ τὸν ἀποσπασμὸν τῶν ἀναγκαιοτάτων, καὶ δεδοικὼς, μή τινες ἀπονοηθέντες ἐπὶ τὰ ὅπλα τὴν ὁρμὴν λάβωσι, καὶ δι' αἵματος ἐμΦυλίε χωρήσῃ τὸ ἀναγκασθὲν παρανομεῖν· ὄτε δικασήρια καθίζειν αὐτοῖς ᾤετο δεῖν, λογιζόμενος, ὅτι πάντες ἀρνήσονται, καὶ ὀδὲν ἔσαι βέβαιον τοῖς δικασαῖς τεκμήριον ὀδ' ἀναμΦίλεκτον ἔξω τῆς μηνύσεως, ᾗ πισεύσαντες θάνατον τῶν πολιτῶν καταψηΦιοῦνται· καινὸν δέ τινα τρόπον ἀπάτης ἐξεῦρε τῶν νεωτεριζόντων, δι' ὃ πρῶτον μὲν αὐτοὶ μηδενὸς ἀναγκάζοντος εἰς ἓν χωρίον ἥξεσιν οἱ τῶν ἀποῤῥήτων βελευμάτων ἡγεμόνες, ἔπειτ' ἀναμΦιλέκτοις ἁλώσονται τεκμηρίοις, ὥσε μηδεμίαν αὐτοῖς ἀπολογίαν καταλείπεσθαι· πρὸς δὲ τέτοις οὐκ εἰς ἔρημον συναχθέντες τόπον, ὀδ' ἐν ὀλίγοις μάρτυσιν ἐξελεγχθέντες, ἀλλ' ἐν ἀγορᾷ, πάντων ὁρώντων γενόμενοι καταΦανεῖς, ἃ προσήκει πείσονται, ταραχή τ' ὀδεμία γενήσεται κατὰ τὴν πόλιν, ὀδ' ἐπανάσασις ἑτέρων, οἷα συμβαίνειν Φιλεῖ περὶ τὰς κολάσεις τῶν νεωτεριζόντων, καὶ ταῦτα ἐν ἐπισΦαλέσι καιροῖς.

cap. 58. Fidenæ capiuntur, A. U. 255. ante Chr. 499.

Ὕπατοι δ' εἰς τὸν ἐπιόντα ἐνιαυτὸν ἀπεδείχθησαν Πόπλιος Ὀυετέριος, καὶ Πόπλιος Ἀιβέτιος Ἐλαάλβας. τέτων ὁ μὲν Ἀιβέτιος ἐπὶ τῶν πολιτικῶν ἐτάχθη πραγμάτων, Φυλακῆς ἐ μικρᾶς δεῖσθαι δοκέντων, μή τις ἑτέρως νεωτερισθῇ πρᾶξις ἐκ τῶν πενήτων. Ὀυετέριος δὲ τὴν ἡμίσειαν τῆς σρατιᾶς ἐπαγόμενος, τὴν Φιδηναίων γῆν ἐδῄε μηδενὸς κωλύοντος· καὶ προσκαθεζόμενος τῇ πόλει, προσβολὰς ἐποιεῖτο συνεχεῖς. ἐ δυνάμενος δὲ πολιορκίᾳ τὸ τεῖχος ἑλεῖν, ἀπεχαράκε τὰ πέριξ καὶ ἀπετάΦρευεν, ὡς λιμῷ τὲς ἀνθρώπες παρασησόμενος.

cap. 61. Latini contra Romanos conspirant, A. U. 256. ante Chr. 498.

Ὡς δ' ἀπηγγέλθη τοῖς Λατίνοις ἡ τῆς Φιδήνης ἅλωσις, ὀρθὴ καὶ περίΦοβος πᾶσα πόλις ἦν, καὶ τοῖς προεσηκόσι τῶν κοινῶν ἅπαντες ἐχαλέπαινον, ὡς προδεδωκόσι τὲς συμμάχες. συναχθείσης δ' ἀγορᾶς ἐν Φερεντίνῳ, πολλὴν ἐποιῶντο τῶν ἀποσπευδόντων τὸν πόλεμον κατηγορίαν οἱ τὰ ὅπλα πείθοντες ἀναλαβεῖν· μάλισα δὲ Ταρκύνιος καὶ ὁ κηδεσὴς αὐτῆ Μαμίλιος, καὶ οἱ προεσηκότες τῆς Ἀρικηνῶν πόλεως. ὑΦ' ὧν ἐκδημαγωγηθέντες, ὅσοι τῆ Λατίνων μετεῖχον γένες, κοινῇ τὸν κατὰ τῶν

Digitized by Google

Ῥωμαίων ἀναιρῦνται πόλεμον· καὶ ἵνα πόλις μηδεμία μήτε προδῷ τὸ κοινὸν, μήτε προκαταλύσηται τὴν ἔχθραν ἄνευ τῆς ἁπάντων γνώμης, ὅρκες ἔδοσαν ἀλλήλοις, καὶ τὲς μὴ φυλάσσοντας τὰς ὁμολογίας, ἐκσπόνδες εἶναι καὶ καταράτες ἐψηφίσαντο, καὶ πολεμίες ἁπάντων. οἱ δ' ἐγγραψάμενοι ταῖς συνθήκαις ταῦτα πρόβελοι, καὶ τὲς ὅρκες ὁμόσαντες, ἀπὸ τέτων τῶν πόλεων ἦσαν ἄνδρες, Ἀρδεατῶν, Ἀρικηνῶν, Βοϊαλανῶν, Βεβεντανῶν, Κόρνων, Κορυεντανῶν, Γαβίων, Λαρατίνων, Λαενίων, Λαβινιατῶν, Λαβικανῶν, Νωμεντανῶν, Μωρεανῶν, Πραινεστηνῶν, Παιδανῶν, Κορκοτελανῶν, Σατρικανῶν, Σκαπτηνίων, Σητίνων, Τελληνίων, Τιβερτίνων, Τυσκλανῶν, Τρικρίνων, Ὀυελιτρανῶν· ἐκ τέτων πασῶν τῶν πόλεων τὲς ἐν ἀκμῇ στρατεύειν, ὅσων ἂν δέῃ τοῖς ἡγεμόσιν, Ὀκταυΐῳ Μαμιλίῳ καὶ Σέξτῳ Ταρκυνίῳ· τέτες γὰρ ἀπέδειξαν στρατηγὲς αὐτοκράτορας. ἵνα δ' εὐπρεπεῖς δόξωσι ποιεῖσθαι τὰς τὲ πολέμε προαιρέσεις, πρεσβευτὰς ἐξ ἑκάστης πόλεως τὲς ἐπιφανεστάτες εἰς Ῥώμην ἀπέστειλαν· οἱ καταστάντες ἐπὶ τὴν βελὴν, ἔλεγον κατηγορεῖσθαι τὴν πόλιν αὐτῶν ὑπὸ τῆς πόλεως τῶν Ἀρικηνῶν, ὅτι πόλεμον ἐπιφερόντων Τυῤῥηνῶν Ἀρικηνοῖς, ἐ μόνον ἀσφαλεῖς παρεῖχον αὐτοῖς τὰς διόδες διὰ τῆς ἑαυτῶν χώρας, ἀλλὰ καὶ συνέπραξαν, ὅσων αὐτοῖς εἰς τὸν πόλεμον ἔδει, καὶ τὲς φυγόντας ἐκ τῆς τροπῆς ὑποδεξάμενοι, τραυματίας τε καὶ ἀνόπλες ὄντας ἅπαντας ἔσωσαν· ἐκ ἀγνοῦντες, ὅτι κοινὸν ἐπῆγον ἅπασι τοῖς ὁμοεθνέσι πόλεμον· καὶ εἰ τὴν Ἀρικηνῶν πόλιν ὑποχείριον ἔλαβεν, ἐδὲν ἂν ἦν τὸ κωλῦσον αὐτὲς καὶ τὰς ἄλλας καταδελώσασθαι ἁπάσας. εἰ μὲν ἒν βελήσονται αὐτῶν δίκας Ἀρικηνοῖς ὑπέχειν, ἐπὶ τὸ κοινὸν τῶν Λατίνων ἀφικόμενοι δικαστήριον, καὶ εἴξεσι τοῖς ὑπὸ πάντων δικασθησομένοις, ἐδὲν αὐτοῖς ἔφασαν δεήσειν πολέμε· εἰ δὲ τὴν συνήθη φυλάξαντες αὐθάδειαν, ἐδὲν ἀξιώσεσι συγχωρήσειν τοῖς συγγενέσι τῶν δικαίων καὶ μετρίων, ἠπείλεν πολεμήσειν αὐτοῖς Λατίνες ἅπαντας ἀνὰ κράτος.

ils bellum minantur; nisi vellent coram communi Latinorum judicio jure cum Aricinis experiri.

cap. 62. Senatus bellum suscipere decernit, & ad ejus socie-

Ταῦτα προκαλεμένων τῶν πρεσβευτῶν, ἐκ ἀξιῦσα δίκην ὑποσχεῖν τοῖς Ἀρικηνοῖς ἡ βελὴ, περὶ ὧν οἱ κατηγορῦντες ἔμελλον γίνεσθαι κριταὶ, καὶ ἐδὲ μέχρι τέτων κριτὰς ἔσεσθαι ὑπολαμβάνεσα τὲς ἐχθρὲς, ἀλλὰ προσθήσειν

σειν ἔτι τέτων βαρύτερα ἐπιτάγματα, δέχεσθαι τὸν πόλεμον ἐψηφίσατο. τῆς μὲν ἒν ἀρετῆς ἕνεκα καὶ τῆς ἐμπειρίας τῶν ἀγώνων ἐδεμίαν ὑπελάμβανε καταλήψεσθαι τὴν πόλιν συμφοράν· τὸ δὲ πλῆθος ὠῤῥώδει τῶν πολεμίων· καὶ πολλαχῆ διαπέμπεσα πρέσβεις, παρεκάλει τὰς πλησιοχώρες πόλεις ἐπὶ συμμαχίαν, ἀντιπορευομένων εἰς τὰς αὐτὰς πόλεις καὶ τῶν Λατίνων, καὶ πολλὰ τῆς Ῥώμης κατηγορέντων. Ἕρνικες μὲν ἒν κοινῇ συνελθόντες, ὕποπτα καὶ ἐδὲν ὑγιὲς ἀμφοτέραις ταῖς πρεσβείαις ἀπεκρίναντο, συμμαχήσειν μὲν ἐδετέροις λέγοντες κατὰ τὸ παρὸν, βελεύσεσθαι δ' ὁπότεροι δικαιότερα ἀξιέσι, κατὰ σχολήν· τῇ δὲ βελῇ χρόνον ἐνιαύσιον ἀποδώσειν. Ῥότολοι δὲ Λατίνοις μὲν ἐπικερίαν πέμπειν ἄντικρυς ὑπέσχοντο· Ῥωμαίοις δ', ἂν βεληθῶσι καταλύσασθαι τὴν ἔχθραν, διὰ σφῶν μετριωτέρες παρέξειν Λατίνες ἔφασαν, καὶ τὰς συμβάσεις αὐτοῖς διαιτήσειν. Ὀυολέσκοι δὲ καὶ θαυμάζειν ἔλεγον τὴν Ῥωμαίων ἀναισχυντίαν, οἳ συνειδότες ἑαυτοῖς, ὅτι τἄλλα τ' ἠδικηκότες ἦσαν αὐτὲς, καὶ τὰ τελευταῖα, [ὡς] τῆς χώρας τὴν κρατίστην αὐτὲς ἀφελόμενοι κατεῖχον, ἐδὲν ἧττον ἐτόλμησαν ἐπὶ συμμαχίαν ἐχθρὲς ὄντας σφᾶς παρακαλεῖν· συνεβέλευόν τ' αὐτοῖς ἀποδέσι τὴν χώραν, τότε παρὰ τῶν φίλων ἀπαιτεῖν τὰ δίκαια. Τυῤῥηνοὶ δ' ἀμφοτέροις ἐκποδὼν ἐγίνοντο, Ῥωμαίοις μὲν σπονδὰς γεγονέναι λέγοντες ἐ πρὸ πολλε, πρὸς δὲ Ταρκυνίες συγγένειαν εἶναι σφίσι καὶ φιλίαν. τοιαῦτα τέτων ἀποκριναμένων, ἐδὲν οἱ Ῥωμαῖοι ταπεινωθέντες, ὃ παθεῖν εἰκὸς ἦν τὲς μέγαν τε πόλεμον ἀναιρεμένες, καὶ πάσας ἀπεγνωκότας συμμαχικὰς ἐλπίδας· ἀλλὰ ταῖς οἰκείαις δυνάμεσι πιςεύοντες μόναις, πολλῷ προθυμότεροι πρὸς τὸν ἀγῶνα ἐγίνοντο, ὡς διὰ τὴν ἀνάγκην ἄνδρες ἀγαθοὶ παρὰ τὲς κινδύνες ἐσόμενοι, καὶ ἐὰν κατὰ νἒν πράξωσι, ταῖς ἰδίαις ἀρεταῖς κατορθώσαντες τὸν πόλεμον, ἐδενὶ κοινωσόμενοι τῆς δόξης. τοσἒτον αὐτοῖς φρονήματος καὶ τόλμης ἐκ τῶν πολλῶν ἀγώνων περιῆν.

tatem finitimos populos frustra sollicitat.

Παρασκευαζόμενοι δὲ τὰ εἰς τὸν πόλεμον ἐπιτήδεια, καὶ τὰς δυνάμεις ἀρξάμενοι καταγράφειν, εἰς πολλὴν ἐνέπιπτον ἀμηχανίαν, ἐ τὴν αὐτὴν ἁπάντων προθυμίαν εἰς τὰ ἔργα παρεχομένων. οἱ γὰρ ἐνδεεῖς βίε, καὶ μάλισα οἱ

cap. 63. Turbæ intestinæ ex inope plebe.

Digitized by Google

οἱ τὰ χρέα τοῖς συμβαλοῦσι διαλῦσαι οὐ δυνάμενοι, πολλοὶ σφόδρα ὄντες, οὐχ ὑπήκουον ἐπὶ τὰ ὅπλα καλούμενοι, οὐδ' ἐβούλοντο κοινωνεῖν οὐδενὸς ἔργου τοῖς πατρικίοις, εἰ μὴ ψηφίσαιντο αὐτοῖς χρεῶν ἄφεσιν· ἀλλὰ καὶ καταλείψειν τινὲς αὐτῶν τὴν πόλιν ἔλεγον, καὶ παρεκελεύοντο ἀλλήλοις, μὴ φιλοχωρεῖν ἐν πόλει μηδενὸς αὐτοῖς ἀγαθοῦ μεταδιδούσῃ. τέως μὲν οὖν παρακαλεῖν αὐτοὺς οἱ πατρίκιοι καὶ μεταπείθειν ἐπειρῶντο. ἐπεὶ δ' οὐδὲν ἐγίνοντο μετριώτεροι πρὸς τὰς παρακλήσεις, οὕτω δὴ συνελθόντες εἰς τὸ βουλευτήριον, ἐσκόπουν, τίς εὐπρεπὴς πρόφασις λύσει τὴν πόλιν τῆς ταραχῆς. ὅσοι μὲν οὖν ἐπιεικεῖς τὴν φύσιν, καὶ μέτριοι τοῖς τιμήμασι τῶν βίων ἦσαν, παρῄνουν, ἀφεῖναι τὰ χρέα τοῖς πένησι, καὶ πρίασθαι πολιτικὴν εὔνοιαν ὀλίγου διαφόρου, μεγάλα μέλλοντας ἐξ αὐτῆς κερδαίνειν ἰδίᾳ τε καὶ δημοσίᾳ.

Alii, ut æs alienum inopibus remitteretur suadebant, alii contrarium, alii alia.

cap. 64. Ἦν δ' ὁ ταύτης ἡγούμενος τῆς γνώμης Μάρκος Οὐαλέριος, υἱὸς Μάρκου Οὐαλερίου, ἑνὸς τῶν καταλυσάντων τὴν τυραννίδα, Ποπλίου, τοῦ κληθέντος διὰ τὴν εἰς τὸ δημοτικὸν εὔνοιαν Ποπλικόλα, ἀδελφός.

cap. 69. Ἄππιος δὲ Κλαύδιος Σαβῖνος, ἐν τῷ προσήκοντι κληθεὶς τόπῳ, παρῄει διδάσκων τἀναντία. ἕτεραι δέ τινες (γνῶμαι) αἱ τὴν μεταξὺ τούτων ἔχουσαι χώραν, συχναί. οἱ μὲν γὰρ αὐτοὺς μόνον ἀφεῖσθαι τῶν χρεῶν τοὺς μηδὲν κεκτημένους ἠξίουν, τὰ χρήματα ποιοῦντες ἀγώγιμα τοῖς δανεισαῖς, οὐ τὰ σώματα· οἱ δὲ τὸ δημόσιον ὑπὲρ τῶν ἀδυνάτων διαλῦσαι τὰ συμβόλαια συνεβούλευον, ἵνα ἥτε πίστις τῶν πενήτων ὑπὸ τῆς δημοσίας φυλαχθῇ χάριτος, καὶ οἱ συμβεβληκότες αὐτοῖς μηδὲν ἀδικηθῶσιν. ἐδόκει δέ τισι καὶ τῶν ἤδη κατεχομένων πρὸς τὰ χρέα, καὶ τῶν μελλόντων ἀφαιρεθήσεσθαι τὴν ἐλευθερίαν, ῥύσασθαι τὰ σώματα, ἐκ τῶν αἰχμαλώτων ἕτερα τοῖς δανεισαῖς διαμειψαμένους ὑπὲρ αὐτῶν σώματα. τοιούτων δέ τινων λεχθέντων, ἡ νικῶσα ἦν γνώμη, μηδὲν ἐν τῷ παρόντι γενέσθαι περὶ αὐτῶν προβούλευμα· ὅταν δὲ τὸ κράτιστον τέλος οἱ πόλεμοι λάβωσι, τότε προθεῖναι τοὺς ὑπάτους λόγον, καὶ ψῆφον ἀποδοῦναι τοῖς συνέδροις· τέως δὲ μηδεμίαν εἴσπραξιν εἶναι, μήτε συμβολαίου μηδενός, μήτε καταδίκης μηδεμιᾶς, ἀφεῖσθαι δὲ καὶ τὰς ἄλλας ἀμφισβητήσεις πάσας, καὶ μήτε τὰ δικα-

Frustra promulgatur senatusconsultum de suspendendis exactionibus.

Digitized by Google

δικαστήρια καθίζειν, μήτε τὰς ἀρχὰς διαγινώσκειν περὶ μηδενὸς, ἔξω τῶν εἰς τὸν πόλεμον ἀνηκόντων. τȣτο τὸ προβέλευμα εἰς τὸν δῆμον ἐξενεχθὲν ἐμείωσε μέν τι τῆς πολιτικῆς ταραχῆς, ȣ μὴν ἅπαν γε τὸ ςασιάζον ἐξεῖλεν ἐκ τῆς πόλεως. ἦσαν γάρ τινες ἐκ τȣ̃ θητικȣ̃ πλήθȣς, οἷς ȣ̓κ ἐφαίνετο ἀποχρῶσα εἶναι βοήθεια ἡ παρὰ τῆς βȣλῆς ἐλπὶς, φανερὸν ȣ̓δὲ βέβαιον ἔχȣσα ȣ̓δὲν· ἀλλὰ δυοῖν θάτερον ἠξίȣν αὐτὴν ποιεῖν, ἢ διδόναι σφίσιν ἤδη τὴν ἄφεσιν τῶν χρεῶν, εἰ βȣ́λεται κοινωνȣ̀ς τῶν κινδύνων ἕξειν, ἢ μὴ φενακίζειν εἰς ἑτέρȣς ἀναβαλλομένην χρόνȣς· ȣ̓ γὰρ ὁμοίας εἶναι τὰς διανοίας τῶν ἀνθρώπων δεομένων τε καὶ ἀποπληρωθέντων, ὅτȣ ἂν δεηθῶσιν.

cap. 70. Alterum senatusconsultum de creando dictatore plebs ratum facit.

Ἐν τοιαύτῃ δὲ καταςάσει τῶν κοινῶν ὑπαρχόντων, σκοπȣ̃σα ἡ βȣλὴ, δι' ȣ̃ μάλιςα διαπράξεται τρόπȣ, μηδὲν ἔτι νεωτερίσαι τȣ̀ς δημοτικȣ̀ς, ἔκρινε τὴν μὲν ὑπατικὴν ἐξȣσίαν ἀνελεῖν κατὰ τὸ παρὸν, ἑτέραν δέ τινα ἀρχὴν ἀποδεῖξαι, πολέμȣ τε καὶ εἰρήνης καὶ παντὸς ἄλλȣ πράγματος κυρίαν, αὐτοκράτορα καὶ ἀνυπεύθυνον, ὧν ἂν βȣ́ληται καὶ πρᾶξαι. χρόνȣ δ' εἶναι μέτρον τῇ νέᾳ ἀρχῇ μῆνας ἕξ, μετὰ δὲ τὸν ἑξάμηνον, αὖθις ἄρχειν τȣ̀ς ὑπάτȣς. τὰ δ' ἀναγκάσαντα αὐτὴν ἐπὶ τῷ καταλῦσαι τὸν τυραννικὸν πόλεμον, αὐθαίρετον ὑπομεῖναι τυραννίδα, πολλὰ μὲν καὶ ἄλλα ἦν, ὑπὲρ ἅπαντα δὲ, ὁ κυρωθεὶς ὑφ' ἑνὸς τῶν ὑπάτων, Ποπλίȣ Οὐαλερίȣ, τȣ̃ κληθέντος Ποπλικόλα, νόμος, περὶ ȣ̃ κατ' ἀρχὰς ἔφην, ὅτι τὰς τῶν ὑπάτων γνώμας ἀκύρȣς ἐποίησε, μὴ τιμωρεῖσθαι Ῥωμαίων τινὰ πρὸ δίκης ἐπιτρέψας, τοῖς δ' ἀγομένοις ἐπὶ τὰς κολάσεις ὑπ' αὐτῶν προκαλεῖσθαι ἐπὶ τὴν διάγνωσιν τὸν δῆμον, καὶ, ἕως ἂν ἡ πληθὺς ἐνέγκῃ ψῆφον ὑπὲρ αὐτῶν, σώματι καὶ βίοις τὸ ἀσφαλὲς ἔχειν· τὸν δὲ παρὰ ταῦτά τι ποιεῖν ἐπιχειρȣ̃ντα νηποινὶ τεθνάναι κελεύων. ἐλογίζετο δὴ μένοντος μὲν κυρίȣ τȣ̃δε τȣ̃ νόμȣ, μηδὲν ὑπηρετήσειν ἀναγκαζομένȣς ταῖς ἀρχαῖς τȣ̀ς πένητας, καταφρονȣ̃ντας, ὡς εἰκὸς, τῶν τιμωριῶν, ἃς ȣ̓ παραχρῆμα ὑφέξειν ἔμελλον, ἀλλ' ὅταν ὁ δῆμος αὐτῶν καταψηφίσηται· ἀναιρεθέντος δ' αὐτȣ̃, κατὰ πολλὴν ἀνάγκην τὰ κελευόμενα ποιήσειν ἅπαντας. ἵνα δὲ μηδὲν ἐναντιωθεῖεν οἱ πένητες, εἴ τις αὐτῶν καταλύῃ τὸν νόμον ἐκ τȣ̃ φανερȣ̃,

Digitized by Google

νερῦ, τὴν ἰσοτύραννον ἀρχὴν ἔκρινεν ἐπὶ τὰ πράγματα παραγεῖν, ἣ πάντας ἔμελλεν ἕξειν ὑφ' ἑαυτῇ τὰς νόμους. καὶ γράφει προβύλευμα, δι' ὃ παρακρυσαμένη τὺς πένητας, καὶ τὸν βεβαιῦντα τὴν ἐλευθερίαν αὐτοῖς νόμον ἀνελῦσα ἔλαθεν. ἦν δὲ τὸ προβύλευμα τοιόνδε· "Λάρκιον μὲν καὶ Κλοίλιον τὺς τότε ὑπατεύοντας ἀποθέσθαι τὴν ἐξυσίαν, καὶ εἴ τις ἄλλος ἀρχήν τινα εἶχεν, ἢ πραγμάτων κοινῶν ἐπιμέλειαν· ἕνα δ' ἄνδρα, ὃν ἂν ἥ τε βυλὴ προέληται, καὶ ὁ δῆμος ἐπιψηφίσηται, τὴν ἁπάντων ἐξυσίαν παραλαβόντα ἄρχειν μὴ πλείονα χρόνον ἐξαμήνυ, κρείττονα ἐξυσίαν ἔχοντα τῶν ὑπάτων." τῦτο ἀγνοήσαντες, ἣν ἔχει δύναμιν, οἱ δημοτικοὶ, ψηφίζονται κύρια εἶναι τὰ δόξαντα τῇ βυλῇ· ἦν δ' ἄρα κρείττων ἀρχὴ τῆς κατὰ τὺς νόμυς τυραννίδος· τήν τε αἵρεσιν τῦ μέλλοντος ἄρχειν, τοῖς ἐκ τῦ συνεδρίυ συνεχώρησαν αὐτοῖς ἐφ' ἑαυτῶν βυλευομένοις ποιήσασθαι.

Plebs senatui permisit, ut eum eligeret, qui solus imperaturus esset;

cap. 71. senatus alteri consulum summum imperium decrevit, ita,

Μετὰ τῦτο πολλὴ ζήτησις ἐνέπιπτε τοῖς προεστηκόσι τῆς βυλῆς, καὶ πρόνοια περὶ τῦ παραληψομένυ τὴν ἡγεμονίαν. ἐδόκει γὰρ αὐτοῖς δραστηρίυ τ' ἀνδρὸς εἰς τὰ πράγματα δεῖν, καὶ πολλὴν τῶν πολεμικῶν ἀγώνων ἐμπειρίαν ἔχοντος, πρὸς δὲ τύτοις, φρονίμυ τε καὶ σώφρονος, καὶ μηδὲν ὑπὸ τῦ μεγέθυς τῆς ἐξυσίας ἐπὶ τὸ ἀνόητον παραχθησομένυ· ὑπὲρ ἅπαντα δὲ ταῦτα, καὶ τἄλλα, ὅσα δεῖ προσεῖναι στρατηλάταις ἀγαθοῖς, ἄρχειν ἐγκρατῶς εἰδότος, καὶ μηδὲν μαλακὸν ἐνδώσοντος τοῖς ἀπειθῦσιν· ὃ μάλιστα ἐν τῷ παρόντι ἐδέοντο. ἅπαντα δὲ ὁρῶντες, ὅσα ἠξίυν, περὶ τὸν ἕτερον ὑπάρχοντα τῶν ὑπάτων Τίτον Λάρκιον· ὁ γὰρ Κλοίλιος ἐν ταῖς πολιτικαῖς ἀρεταῖς διάφορος ὢν, τὸ δραστήριον καὶ φιλοπόλεμον ὐκ εἶχεν, ὐδὲ τὸ ἀρχικὸν καὶ φοβερὸν, ἀλλ' ἐπιεικὴς ἦν τιμωρὸς τῶν ἀπειθύντων· ἡ δὲ βυλὴ δι' αἰσχύνης ἐλάμβανε, τῦ μὲν ἀφελέσθαι τὴν ἀρχὴν, ἣν κατὰ τὺς νόμυς εἶχε, τῷ δὲ χαρίσασθαι τὴν ἀμφοτέρων ἐξυσίαν, μείζονα βασιλικῦ σχήματος γινομένην· καί τι καὶ δέος αὐτὴν ὑπῄει, μὴ βαρεῖαν ὁ Κλοίλιος λογισάμενος τὴν ἀπαξίωσιν τῆς ἀρχῆς, ὡς ἠτιμασμένος ὑπὸ τῆς βυλῆς, ἔπειτα μεταθῆται τὴν προαίρεσιν τῦ βίυ, τῦ δήμυ γενόμενος προστάτης, καὶ πάντα ἀνατρέψῃ τὰ κοινά· αἰδυμένων δ' ἁπάντων, ἃ φρονῦντες ἐτύγχανον,

εἰς

Digitized by Google

εἰς μέσον ἐκφέρειν, καὶ μέχρι πολλοῦ τοῦτο ποιούντων, ὁ πρεσβύτατος καὶ τιμιώτατος τῶν ὑπατικῶν γνώμην ἀπεδείξατο, δι' ἧς ἀμφοτέρους ἐν ἴσῃ τιμῇ τοὺς ὑπάτους φυλάξας, παρ' αὐτῶν ἐκείνων τὸν ἐπιτηδειότερον ἄρχειν εὕρατο· «Ἔφη γὰρ αὐτῷ δοκεῖν, ἐπειδὴ τὸ μὲν τῆς ἀρχῆς κράτος ἥ τε βουλὴ διέγνωκε, καὶ ὁ δῆμος ἐψηφίσατο, ἑνὶ δοθῆναι· δύο δὲ καταλείπεται βουλῆς καὶ φροντίδος δεόμενα οὐ μικρᾶς, τίς ὁ παραληψόμενος τὴν ἰσοτύραννον ἀρχὴν ἔσται, καὶ ὑπὸ τίνος ἀποδειχθεὶς ἐξουσίας νομίμου· ἐκ τῶν τότε ὑπάτων ὄντων τὸν ἕτερον, εἴτε παραχωρήσαντος τοῦ συνάρχοντος, εἴτε κλήρῳ λαχόντα, ἑλέσθαι Ῥωμαίων, ὃν ὑπολαμβάνει κράτιστα καὶ συμφορώτατα τὰ τῆς πόλεως ἐπιτροπεύσειν· μεσοβασιλέων δ' αὐτοῖς μηδὲν ἐν τῷ παρόντι δεῖν, οὓς ἐν ταῖς μοναρχίαις ἀποδείκνυσθαι μονογνώμονας τῶν μελλόντων ἄρξειν ἔθος ἦν, ἐχούσης τῆς πόλεως τὴν ὅσιαν ἀρχήν."

Ἐπαινεσάντων δὲ τὴν γνώμην ἁπάντων, μετὰ τοῦτον ἀναστὰς ἕτερος, εἶπεν· "Ἐμοὶ δ', ὦ βουλή, δοκεῖ καὶ τοῦτο ἔτι προσθεῖναι τῇ γνώμῃ, δυοῖν ἀνδρῶν κρατίστων εἰς τόδε χρόνου τὰ κοινὰ διοικούντων, ὧν οὐκ ἂν εὕροιτε ἀμείνους, τὸν μὲν ἕτερον αὐτῶν κύριον ἀποδειχθῆναι τῆς ἀναῤῥήσεως, τὸν δ' ἕτερον ὑπὸ τοῦ συνάρχοντος αἱρεθῆναι, διαγνόντων αὐτῶν ἐν ἀλλήλοις τὸν ἐπιτηδειότερον· ἵν' αὐτοῖς περιγένηται σὺν τῷ τιμίῳ καὶ τὸ χαῖρον ἴσον, τῷ μέν, ὅτι τὸν συνάρχοντα κράτιστον ἀπέφηνε, τῷ δ', ὅτι πρὸς τοῦ συνάρχοντος ἄριστος ἐκρίθη· ἡδὺ γὰρ καὶ καλὸν ἑκάτερον. οἶδα μὲν οὖν, ὅτι καὶ μὴ προστεθέντος τῇ γνώμῃ τοῦδε τοῦ μέρους, αὐτοῖς ἂν ἐφάνη τοῖς ἀνδράσιν οὕτω ποιεῖν· κρεῖττον δὲ τὸ μηδ' ὑμῶν ἕτερόν τι βουλομένων." ἐδόκει τοῦτο κατὰ νοῦν ἅπασιν εἰρῆσθαι· καὶ οὐδενὸς ἔτι τῇ γνώμῃ προστεθέντος, ἐπικυροῦται τὸ δόγμα. ὡς δὲ παρέλαβον τὴν ἐξουσίαν οἱ ὕπατοι, τοῦ διαγνῶναι πότερος ἐξ αὐτῶν ἄρχειν ἐστὶν ἐπιτηδειότερος, θαυμαστόν τι καὶ παρὰ πάσας τὰς ἀνθρωπίνας ὑπολήψεις πρᾶγμα ἐποίουν. οὐ γὰρ ἑαυτὸν ἑκάτερος ἄξιον ἀπέφηνε τῆς ἡγεμονίας, ἀλλὰ τὸν ἕτερον· καὶ κατέτριψαν ὅλην τὴν ἡμέραν ἐκείνην, τὰς ἀλλήλων ἀρετὰς ἐξαριθμούμενοι, καὶ λιπαροῦντες, μὴ λαβεῖν αὐτοὶ τὴν ἀρχήν· ὥστ' ἐν πολλῇ γενέσθαι τοὺς ἐν τῷ συνεδρίῳ παρόντας ἀμηχανίᾳ.

cap. 72. ut alteri summa nominandi potestas daretur, alter a suo collega crearetur.

Uterque Imperium deprecatur, ut illud in collegam transferret;

διω-

διαλυθείσης δὲ τῆς βȣλῆς, ὁι προσήκοντες κατὰ γένος ἑκατέρῳ, καὶ τῶν ἄλλων βȣλευτῶν ὁι ἐντιμότατοι, πρὸς τὸν Λάρκιον ἀφικόμενοι, πολλὰς ἐποιȣ̃ντο τȣ̃ ἀνδρὸς ἄχρι πολλῆς νυκτὸς δεήσεις, διδάσκοντες, ὡς ἐν ἐκείνῳ τὰς ἐλπίδας ἡ βȣλὴ τέθειται πάσας, καὶ τὸ ἀσπȣ́δαςον αὐτȣ̃ περὶ τὴν ἀρχὴν πονηρὸν ἔιναι τῷ κοινῷ λέγοντες. ὁ δ' ἦν ἀτενὴς, καὶ πολλὰ ἐν μέρει δεόμενός τε καὶ ἀντιβολῶν ἕκαςον διετέλει. τῇ δ' ἑξῆς ἡμέρᾳ πάλιν τȣ̃ συνεδρίȣ συναχθέντος, ἐπειδὴ καὶ τότε διεμάχετο, καὶ πειθόμενος ὑπὸ πάντων ȣ̓κ ἀφίςατο τῆς γνώμης, ἀναςὰς ὁ Κλοίλιος ἀναγορεύει τ' αὐτὸν, ὥσπερ ἐιώθεσαν ποιεῖν ὁι μεσοβασιλεῖς, καὶ τὴν ὑπατείαν αὐτὸς ἐξόμνυται.

tandem Cloelius se consulatu abdicat,

cap. 73. & T. Lartium primum Dictatorem creat.

Ὅυτος πρῶτος ἐν Ῥώμῃ μόναρχος ἀπεδείχθη, πολέμȣ τε καὶ ἐιρήνης καὶ παντὸς ἄλλȣ πράγματος αὐτοκράτωρ. ὄνομα δ' αὐτῷ τίθενται Δικτάτωρα, ἔιτε διὰ τὴν ἐξȣσίαν τȣ̃ κελεύειν καὶ διατάττειν, ὅπῃ θέλει, τά τε δίκαια καὶ τὰ καλὰ τοῖς ἄλλοις, ὡς ἂν αὐτῷ δοκῇ· τὰ γὰρ ἐπιτάγματα καὶ τὰς διαγραφὰς τῶν δικαίων τε καὶ ἀδίκων, Ἐδίκτα ὁι Ῥωμαῖοι καλȣ̃σιν· ἔιτε, ὥς τινες γράφȣσι, διὰ τὴν τότε γενομένην ἀνάῤῥησιν· ἐπειδὴ ȣ̓ παρὰ τȣ̃ δήμȣ τὴν ἀρχὴν εὑρόμενος, κατὰ τȣ̀ς πατρίȣς ἐθισμȣ̀ς, ἔμελλεν ἕξειν, ἀλλ' ὑπ' ἀνδρὸς ἀποδειχθεὶς ἑνός. ȣ̓ γὰρ ᾤοντο δεῖν ἐπίφθονον ὄνομα καὶ βαρὺ θέσθαι ἀρχῇ πόλιν ἐλευθέραν ἐπιτροπευȣ́σῃ, τῶν τ' ἀρχομένων ἕνεκα, ἵνα μηδὲν ἐπὶ ταῖς μισȣμέναις προσηγορίαις ἐκταράττωνται, καὶ τῶν παραλαμβανόντων τὰς ἀρχὰς προνοίᾳ, μὴ λάθωσί τι ἢ παθόντες ὑφ' ἑτέρων πλημμελὲς, ἢ δράσαντες αὐτοὶ τȣ̀ς πέλας, ὧν φέρȣσιν ἁι τοιαῦται δυναςεῖαι· ἐπεὶ τό γε τῆς ἐξȣσίας μέγεθος, ἧς ὁ δικτάτωρ ἔχει, ἥκιςα δηλȣ̃ται ὑπὸ τȣ̃ ὀνόματος· ἔςι γὰρ αἱρετὴ τυραννὶς ἡ Δικτατωρία.

cap. 75. T. Lartius magistrum equitum dicit Sp. Cassium; lictoribus imperat, ut ad terrorem plebi injiciendum cum fas-

Ἐυθὺς δὲ ὁ Λάρκιος ἅμα τῷ παραλαβεῖν τὴν ἐξȣσίαν, ἱππάρχην ἀποδείκνυσι Σπόριον Κάσσιον, τὸν ὑπατεύσαντα κατὰ τὴν ἑβδομηκοςὴν ὀλυμπιάδα. τȣ̃το τὸ ἔθος ἕως τῆς κατ' ἐμὲ γενεᾶς ἐφυλάττετο ὑπὸ Ῥωμαίων, καὶ ȣ̓δεὶς ἐις τόδε χρόνȣ δικτάτωρ αἱρεθεὶς χωρὶς ἱππάρχȣ τὴν ἀρχὴν διετέλεσεν. ἔπειτα τῆς ἐξȣσίας τὸ κράτος ἐπιδεῖξαι βȣλόμενος, ὅσον ἐςὶ, καταπλήξεως μᾶλλον ἢ χρήσεως ἕνε-

ἕνεκα, τοῖς ῥαβδέχοις ἐκέλευσεν ἅμα ταῖς δέσμαις τῶν ῥάβδων τὲς πελέκεις διὰ τῆς πόλεως φέρειν· ἔθος ἐπιχώριον μὲν τοῖς βασιλεῦσιν, ἐκλειφθὲν δὲ ὑπὸ τῶν ὑπάτων, ἐξ ὃ Ὀυαλέριος Ποπλικόλας ὁ πρῶτος ὑπατεύσας ἐμείωσε τὸν φθόνον τῆς ἀρχῆς, αὐτὸς ἀνανεωσάμενος. καὶ καταπληξάμενος τέτῳ τε καὶ τοῖς ἄλλοις συμβόλοις τῆς βασιλικῆς ἡγεμονίας τὲς ταρακτικὲς καὶ νεωτεριςὰς, τὸ κράτισον τῶν ὑπὸ Σερϐίε Τυλλίε τε̃ δημοτικωτάτε βασιλέως κατασαθέντων νομίμων, πρῶτον ἐπέταξε Ῥωμαίοις ἅπασι ποιῆσαι, τιμήσεις κατὰ φυλὰς τῶν βίων ἐνεγκεῖν, προσγράφοντας γυναικῶν καὶ παίδων ὀνόματα, καὶ ἡλικίας ἑαυτῶν τε καὶ τέκνων. ἐν ὀλίγῳ δὲ χρόνῳ πάντων τιμησαμένων, διὰ τὸ μέγεθος τῆς τιμωρίας· τήν τε γὰρ ἐσίαν ἀπολέσαι τὲς ἀπειθήσαντας ἔδει, καὶ τὴν πολιτείαν· ἑπτακοσίοις πλείες εὑρέθησαν οἱ ἐν ἥβῃ Ῥωμαίων πεντεκαίδεκα μυριάδων. μετὰ τε̃το διακρίνας τὲς ἔχοντας τὴν ςρατεύσιμον ἡλικίαν ἀπὸ τῶν πρεσβυτέρων, καὶ καταχωρίσας εἰς λόχες, διένειμε πεζὲς τε καὶ ἱππεῖς εἰς τέτλαρας μοίρας· ὧν μίαν μὲν τὴν κρατίςην περὶ αὐτὸν εἶχεν, ἐκ δὲ τῶν ὑπολειπομένων Κλοίλιον ἐκέλευσε, τὸν συνύπατον, ἣν αὐτὸς ἐβέλετο, λαβεῖν, τὴν δὲ τρίτην Σπόριον Κάσσιον τὸν ἵππαρχην, τὴν δὲ καταλειπομένην τὸν ἀδελφὸν Σπόριον Λάρκιον· αὕτη φρερεῖν τὴν πόλιν ἐτάχθη σὺν τοῖς πρεσβυτέροις ἐντὸς τείχες μένεσα.

cibus secures sibi præferrent, census habet, & rem militarem ordinat.

Ὡς δ' ἦν αὐτῷ πάντα τὰ εἰς τὸν πόλεμον ἐπιτήδεια εὐτρεπῆ, προήγαγε τὰς δυνάμεις εἰς τὴν ὕπαιθρον· καὶ προτίθεται ςρατόπεδα τρία, καθ' ἃς μάλιςα ὑπελάμβανε τόπες ποιήσεθαι τὲς Λατίνες τὴν ἔφοδον. ἐνθυμέμενος δὲ, ὅτι φρονίμων ςρατηγῶν ἐςιν, ἐ μόνον τὰ ἑαυτῶν πράγματα ποιεῖν ἰσχυρὰ, ἀλλὰ καὶ τὰ τῶν πολεμίων ἀσθενῆ, καὶ μάλιςα μὲν ἄνευ μάχης καὶ πόνε καταλύεθαι τὲς πολέμες, εἰ δὲ μή γε, σὺν ἐλαχίςῃ τε̃ ςρατιωτικε̃ πλήθες δαπάνῃ, πολέμων τε ἁπάντων κακίςες ἡγέμενος, καὶ πλεῖςα λυπηρὰ ἔχοντας, ἐς πρὸς συγγενεῖς καὶ φίλες ἀναγκαζόμενοί τινες ἀναιρε̃νται, ἐπιεικεςέρων μᾶλλον ἢ δικαιοτέρων ᾤετο δεῖν αὐτοῖς διαλύσεων. κρύφα τε δὴ πέμπων πρὸς τὲς ἐπιφανεςάτες Λατίνων

cap. 76. Plures populos Latinos missis legatis a Tarquiniis alienat;

Digitized by Google

τίνων ἀνυπόπτους τινάς, ἔπειθε φιλίαν πράττειν ταῖς πόλεσι· καὶ ἐκ τοῦ φανεροῦ πρεσβευόμενος κατὰ πόλεις τε καὶ πρὸς τὸ κοινόν, οὐ χαλεπῶς ἐξειργάσατο, μηκέτι τὴν αὐτὴν ἅπαντας ὁρμὴν ἔχειν πρὸς τὸν πόλεμον· μάλιστα δ' αὐτοὺς ἐξεθεράπευσε, καὶ διὰ τοιαύτης εὐεργεσίας διαστῆναι πρὸς τοὺς ἡγεμόνας ἐποίησεν. οἱ δὲ τὴν αὐτοκράτορα παρειληφότες Λατίνων στρατηγίαν, Μαμίλιός τε καὶ Σέξτος, ἐν Τούσκλῳ πόλει τὰς δυνάμεις συνέχοντες, παρεσκευάζοντο μέν, ὡς ἐλάσοντες ἐπὶ τὴν Ῥώμην· ἐδαπάνων δὲ πολὺν εἰς τὸ μέλλειν χρόνον, εἴτε τὰς ὑστεριζούσας ἀναμένοντες πόλεις, εἴτε τῶν ἱερῶν αὐτοῖς οὐ γινομένων καλῶν. ἐν τούτῳ δὴ τῷ χρόνῳ τινὲς ἀποσκιδνάμενοι τοῦ στρατοπέδου, τὴν χώραν τῶν Ῥωμαίων ἐπόρθουν. τοῦτο μαθὼν ὁ Λάρκιος, ἀποστέλλει τὸν Κλοίλιον ἐπ' αὐτούς, ἄγοντα τῶν ἱππέων τε καὶ ψιλῶν τοὺς ἀνδρειοτάτους. ὃς ἐπιφανεὶς αὐτοῖς ἀπροσδόκητος, ὀλίγους μέν τινας ἀποκτείνει μαχόμενος, τοὺς δὲ λοιποὺς αἰχμαλώτους λαμβάνει. τούτους ὁ Λάρκιος ἐκ τῶν τραυμάτων ἀναλαβών, καὶ ταῖς ἄλλαις ἐκθεραπεύσας φιλανθρωπίαις, ἀπέστειλεν εἰς Τούσκλον ἀθρόους ἄνευ λύτρων, πρεσβευτὰς σὺν αὐτοῖς πέμψας Ῥωμαίων τοὺς ἐπιφανεστάτους. οὗτοι διεπράξαντο, καταλυθῆναι τὸ στράτευμα τῶν Λατίνων, καὶ γενέσθαι ταῖς πόλεσιν ἐνιαυσιαίους ἀνοχάς.

iis vero, qui agrum Romanum populantur, vel cæsis vel captis, inducias in annum facit,

cap. 77. seque, consulibus designatis, dictatura abdicat. Hoc primi dictatoris exemplum reliqui omnes secuti sunt usque ad Syllam.

Ταῦτα διαπραξάμενος ὁ ἀνήρ, ἀπῆγε τὰς δυνάμεις ἐκ τῆς ὑπαίθρου, καὶ πρὶν ἢ πάντα τὸν τῆς ἐξουσίας ἐκπληρῶσαι χρόνον, ὑπάτους ἀποδείξας, ἀπέθετο τὴν ἀρχήν, οὔτ' ἀποκτείνας οὐδένα Ῥωμαίων, οὔτ' ἐξελάσας τῆς πατρίδος, οὔτ' ἄλλῃ συμφορᾷ βαρείᾳ περιβαλὼν οὐδεμιᾷ. οὗτος ὁ ζῆλος, ἀπ' ἐκείνου τοῦ ἀνδρὸς ἀρξάμενος, ἅπασι παρέμεινε τοῖς λαμβάνουσι τὴν αὐτὴν ἐξουσίαν, ἄχρι τῆς τρίτης πρὸ ἡμῶν γενεᾶς. οὐδένα γοῦν ἐκ τῆς ἱστορίας παρειλήφαμεν, ὃς οὐ μετρίως αὐτῇ καὶ πολιτικῶς ἐχρήσατο, πολλάκις ἀναγκασθείσης τῆς πόλεως καταλῦσαι τὰς νομίμους ἀρχάς, καὶ πάντα ποιῆσαι τὰ πράγματα ὑφ' ἑνί. καὶ εἰ μὲν ἐν τοῖς ὀθνείοις πολέμοις μόνον ἦσαν οἱ λαμβάνοντες τὴν δικτατωρίαν ἀγαθοὶ προστάται τῆς πατρίδος, μηδὲν ὑπὸ τοῦ μεγέθους τῆς ἀρχῆς διαφθειρόμενοι, ἦν ἂν ἧττον θαυμαστόν· νῦν δὲ καὶ ἐν ταῖς ἐμφυλίοις διχοστασίαις, πολ-

Digitized by Google

πολλαῖς καὶ μεγάλαις γενομέναις, καὶ ἐπὶ καταλύσει βασιλειῶν καὶ τυραννίδων ὑποπτευομένων, καὶ ἐπ' ἄλλων συμφορῶν κωλύσει μυρίων, ὅσοι τηλικαύτης ἔτυχον ἐξουσίας, ἅπαντες ἀνεπιλήπτους καὶ τῷ πρώτῳ λαβόντι τὴν ἀρχὴν ὁμοίους ἑαυτοὺς παρέσχοντο. ὥσθ' ἅπασι παραστῆναι τὴν αὐτὴν δόξαν, ὅτι μία βοήθεια παντός ἐστιν ἀνιάτου κακοῦ, καὶ τελευταία σωτηρίας ἐλπὶς, ὅταν ἀποῤῥαγῶσιν ἅπασαι διὰ καιροὺς τινας, ἡ τοῦ δικτάτωρος ἀρχή. ἐπὶ δὲ τῆς κατὰ τοὺς πατέρας ἡμῶν ἡλικίας ὁμοῦ τι τετρακοσίων διαγενομένων ἐτῶν ἀπὸ τῆς Τίτου Λαρκίου δικτατωρίας, διεβλήθη καὶ μισητὸν ἅπασιν ἀνθρώποις διεφάνη τὸ πρᾶγμα Λευκίου Κορνηλίου Σύλλα πρώτου καὶ μόνου πικρῶς καὶ ὠμῶς αὐτῇ χρησαμένου· ὥστε τότε πρῶτον αἰσθέσθαι Ῥωμαίους, ὃ τὸν ἄλλον ἅπαντα χρόνον ἠγνόουν, ὅτι τυραννίς ἐστιν ἡ τοῦ δικτάτωρος ἀρχή. βουλήν τε γὰρ ἐκ τῶν ἐπιτυχόντων ἀνθρώπων συνέστησε, καὶ τὸ τῆς δημαρχίας κράτος εἰς ἐλάχιστον συνέστειλε, καὶ πόλεις ὅλας ἐξῴκισε, καὶ βασιλείας τὰς μὲν ἀνεῖλε, τὰς δ' αὐτὸς ἀπέδειξε, καὶ ἄλλα πολλὰ καὶ αὐθάδη διεπράξατο, περὶ ὧν πολὺ ἔργον ἂν εἴη λέγειν· πολίτας τε, χωρὶς τῶν ἐν ταῖς μάχαις ἀπολομένων, τοὺς παραδόντας αὐτῷ σφᾶς αὐτοὺς, οὐκ ἐλάττους τετρακισμυρίων ἀπέκτεινεν, ὧν τινας καὶ βασάνοις πρῶτον ᾐκίσατο.

qui primus dictaturæ odium conflavit.

Οἱ δ' ἐν τῷ κατόπιν ἐνιαυτῷ τὴν ὕπατον ἀρχὴν παραλαβόντες, *Αὖλος Σεμπρώνιος Ἀτρατῖνος καὶ Μάρκος Μινύκιος, ἐπὶ τῆς ἑβδομηκοστῆς καὶ πρώτης ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Τισικράτης Κροτωνιάτης, ἄρχοντος Ἀθήνησιν Ἱππάρχου, ἄλλο μὲν οὐδὲν οὔτε πολεμικὸν, οὔτε πολιτικὸν ἱστορίας ἄξιον ἐπὶ τῆς ἑαυτῶν ἀρχῆς ἔπραξαν· αἵ τε γὰρ πρὸς Λατίνους ἀνοχαὶ πολλὴν αὐτοῖς ἀπὸ τῶν ἔξωθεν πολέμων παρέσχον εἰρήνην, ἥ τε τῆς ἀναπράξεως τῶν δανείων κώλυσις, ἣν ἐψηφίσατο ἡ βουλὴ, ἕως ἂν ὁ προσδοκώμενος πόλεμος εἰς ἀσφαλὲς ἔλθῃ τέλος, ἔπαυσε τοὺς ἐντὸς τείχους νεωτερισμοὺς, οὓς ἐποιοῦντο οἱ πένητες, ἀφεῖσθαι τῶν χρεῶν ἀξιοῦντες δημοσίᾳ.

Ibidem. Lib. VI. c. 1. A. U. 257. ante Chr. 497. quies a bellis & urbanis motibus.

Μετὰ δὲ τούτους παραλαμβάνουσι τὴν ἀρχὴν *Αὖλος Ποστόμιος καὶ Τῖτος Οὐεργίνιος· ἐφ' ὧν αἱ μὲν ἐνιαύσιοι ἀνοχαὶ πρὸς Λατίνους διελέλυντο. παρασκευαὶ δὲ πρὸς τὸν πόλεμον ὑφ' ἑκατέρων ἐγίνοντο μεγάλαι. ἦν δὲ τὸ μὲν Ῥω-

cap. 2. A. U. 258. ante Chr. 496. redintegratur bellum Latinum.

Digitized by Google

τίνων ἀνυπόπτους τινὰς, ἔπειθε Φιλίαν πράττειν ταῖς πόλεσι· καὶ ἐκ τοῦ Φανεροῦ πρεσβευόμενος κατὰ πόλεις τε καὶ πρὸς τὸ κοινὸν, οὐ χαλεπῶς ἐξειργάσατο, μηκέτι τὴν αὐτὴν ἅπαντας ὁρμὴν ἔχειν πρὸς τὸν πόλεμον· μάλιστα δ' αὐτοὺς ἐξεθεράπευσε, καὶ διὰ τοιαύτης εὐεργεσίας διαστῆναι πρὸς τοὺς ἡγεμόνας ἐποίησεν. οἱ δὲ τὴν αὐτοκράτορα παρειληΦότες Λατίνων στρατηγίαν, Μαμίλιός τε καὶ Σέξτος, ἐν Τούσκλῳ πόλει τὰς δυνάμεις συνέχοντες, παρεσκευάζοντο μὲν, ὡς ἐλάσοντες ἐπὶ τὴν Ῥώμην· ἐδαπάνων δὲ πολὺν εἰς τὸ μέλλειν χρόνον, εἴτε τὰς ὑστεριζούσας ἀναμένοντες πόλεις, εἴτε τῶν ἱερῶν αὐτοῖς οὐ γινομένων καλῶν. ἐν τούτῳ δὴ τῷ χρόνῳ τινὲς ἀποσκιδνάμενοι τοῦ στρατοπέδου, τὴν χώραν τῶν Ῥωμαίων ἐπόρθουν. τοῦτο μαθὼν ὁ Λάρκιος, ἀποστέλλει τὸν Κλοίλιον ἐπ' αὐτοὺς, ἄγοντα τῶν ἱππέων τε καὶ ψιλῶν τοὺς ἀνδρειοτάτους. ὃς ἐπιΦανεὶς αὐτοῖς ἀπροσδόκητος, ὀλίγους μέν τινας ἀποκτείνει μαχόμενος, τοὺς δὲ λοιποὺς αἰχμαλώτους λαμβάνει. τούτους ὁ Λάρκιος ἐκ τῶν τραυμάτων ἀναλαβὼν, καὶ ταῖς ἄλλαις ἐκθεραπεύσας ΦιλανθρωπίαιςἈ, ἀπέστειλεν εἰς Τοῦσκλον ἀθρόους ἄνευ λύτρων, πρεσβευτὰς σὺν αὐτοῖς πέμψας Ῥωμαίων τοὺς ἐπιΦανεστάτους. οὗτοι διεπράξαντο, καταλυθῆναι τὸ στράτευμα τῶν Λατίνων, καὶ γενέσθαι ταῖς πόλεσιν ἐνιαυσιαίους ἀνοχάς.

Iis vero, qui agrum Romanum populantur, vel cæsis vel captis, inducias in annum facit,

cap. 77. seque, consulibus designatis, dictatura abdicat. Hoc primi dictatoris exemplum reliqui omnes secuti sunt usque ad Syllam.

Ταῦτα διαπραξάμενος ὁ ἀνὴρ, ἀπῆγε τὰς δυνάμεις ἐκ τῆς ὑπαίθρου, καὶ πρὶν ἢ πάντα τὸν τῆς ἐξουσίας ἐκπληρῶσαι χρόνον, ὑπάτους ἀποδείξας, ἀπέθετο τὴν ἀρχὴν, οὔτ' ἀποκτείνας οὐδένα Ῥωμαίων, οὔτ' ἐξελάσας τῆς πατρίδος, οὔτ' ἄλλῃ συμΦορᾷ βαρείᾳ περιβαλὼν οὐδεμιᾷ. οὗτος ὁ ζῆλος, ἀπ' ἐκείνου τοῦ ἀνδρὸς ἀρξάμενος, ἅπασι παρέμεινε τοῖς λαμβάνουσι τὴν αὐτὴν ἐξουσίαν, ἄχρι τῆς τρίτης πρὸ ἡμῶν γενεᾶς. οὐδένα γοῦν ἐκ τῆς ἱστορίας παρειλήΦαμεν, ὃς οὐ μετρίως αὐτῇ καὶ πολιτικῶς ἐχρήσατο, πολλάκις ἀναγκασθείσης τῆς πόλεως καταλῦσαι τὰς νομίμους ἀρχὰς, καὶ πάντα ποιῆσαι τὰ πράγματα ὑΦ' ἑνί. καὶ εἰ μὲν ἐν τοῖς ὀθνείοις πολέμοις μόνον ἦσαν οἱ λαμβάνοντες τὴν δικτατωρίαν ἀγαθοὶ προστάται τῆς πατρίδος, μηδὲν ὑπὸ τοῦ μεγέθους τῆς ἀρχῆς διαΦθειρόμενοι, ἦν ἂν ἧττον θαυμαστόν· νῦν δὲ καὶ ἐν ταῖς ἐμΦυλίοις διχοστασίαις, πολ-

Digitized by Google

πολλαῖς καὶ μεγάλαις γενομέναις, καὶ ἐπὶ καταλύσει βασιλειῶν καὶ τυραννίδων ὑποπτευομένων, καὶ ἐπ᾽ ἄλλων συμφορῶν κωλύσει μυρίων, ὅσοι τηλικαύτης ἔτυχον ἐξουσίας, ἅπαντες ἀνεπιλήπτους καὶ τῷ πρώτῳ λαβόντι τὴν ἀρχὴν ὁμοίους ἑαυτοὺς παρέσχοντο. ὥσθ᾽ ἅπασι παραστῆναι τὴν αὐτὴν δόξαν, ὅτι μία βοήθεια παντός ἐστιν ἀνιάτου κακοῦ, καὶ τελευταία σωτηρίας ἐλπὶς, ὅταν ἀποῤῥαγῶσιν ἅπασαι διὰ καιροὺς τινας, ἡ τοῦ δικτάτωρος ἀρχή. ἐπὶ δὲ τῆς κατὰ τοὺς πατέρας ἡμῶν ἡλικίας ὁμοῦ τι τετρακοσίων διαγενομένων ἐτῶν ἀπὸ τῆς Τίτου Λαρκίου δικτατωρίας, διεβλήθη καὶ μισητὸν ἅπασιν ἀνθρώποις διεφάνη τὸ πρᾶγμα Λευκίου Κορνηλίου Σύλλα πρώτου καὶ μόνου πικρῶς καὶ ὠμῶς αὐτῇ χρησαμένου· ὥστε τότε πρῶτον αἰσθέσθαι Ῥωμαίους, ὃ τὸν ἄλλον ἅπαντα χρόνον ἠγνόουν, ὅτι τυραννίς ἐστιν ἡ τοῦ δικτάτωρος ἀρχή. βουλήν τε γὰρ ἐκ τῶν ἐπιτυχόντων ἀνθρώπων συνέστησε, καὶ τὸ τῆς δημαρχίας κράτος εἰς ἐλάχιστον συνέστειλε, καὶ πόλεις ὅλας ἐξῴκισε, καὶ βασιλείας τὰς μὲν ἀνεῖλε, τὰς δ᾽ αὐτὸς ἀπέδειξε, καὶ ἄλλα πολλὰ καὶ αὐθάδη διεπράξατο, περὶ ὧν πολὺ ἔργον ἂν εἴη λέγειν· πολίτας τε, χωρὶς τῶν ἐν ταῖς μάχαις ἀπολομένων, τοὺς παραδόντας αὐτῷ σφᾶς αὐτοὺς, οὐκ ἐλάττους τετρακισμυρίων ἀπέκτεινεν, ὧν τινας καὶ βασάνοις πρῶτον ᾐκίσατο.

qui primus dictaturæ odium conflavit.

Οἱ δ᾽ ἐν τῷ κατόπιν ἐνιαυτῷ τὴν ὕπατον ἀρχὴν παραλαβόντες, Αὖλος Σεμπρώνιος Ἀτρατῖνος καὶ Μάρκος Μινύκιος, ἐπὶ τῆς ἑβδομηκοστῆς καὶ πρώτης ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Τισικράτης Κροτωνιάτης, ἄρχοντος Ἀθήνησιν Ἱππάρχου, ἄλλο μὲν οὐδὲν οὔτε πολεμικὸν, οὔτε πολιτικὸν ἱστορίας ἄξιον ἐπὶ τῆς ἑαυτῶν ἀρχῆς ἔπραξαν· αἵ τε γὰρ πρὸς Λατίνους ἀνοχαὶ πολλὴν αὐτοῖς ἀπὸ τῶν ἔξωθεν πολέμων παρέσχον εἰρήνην, ἥ τε τῆς ἀναπράξεως τῶν δανείων κώλυσις, ἣν ἐψηφίσατο ἡ βουλὴ, ἕως ἂν ὁ προσδοκώμενος πόλεμος εἰς ἀσφαλὲς ἔλθῃ τέλος, ἔπαυσε τοὺς ἐντὸς τείχους νεωτερισμοὺς, οὓς ἐποιοῦντο οἱ πένητες, ἀφεῖσθαι τῶν χρεῶν ἀξιοῦντες δημοσίᾳ.

Ibidem. Lib. VI. c. 1. A. U. 257. ante Chr. 497. quies a bellis & urbanis motibus.

Μετὰ δὲ τούτους παραλαμβάνουσι τὴν ἀρχὴν Αὖλος Ποστόμιος καὶ Τῖτος Οὐεργίνιος· ἐφ᾽ ὧν αἱ μὲν ἐνιαύσιοι ἀνοχαὶ πρὸς Λατίνους διελέλυντο. παρασκευαὶ δὲ πρὸς τὸν πόλεμον ὑφ᾽ ἑκατέρων ἐγίνοντο μεγάλαι. ἦν δὲ τὸ μὲν Ῥω-

cap. 2. A. U. 258. ante Chr. 496. redintegratur bellum Latinum.

Ῥωμαίων πλῆθος ἅπαν ἑκούσιον καὶ σὺν πολλῇ προθυμίᾳ χωροῦν ἐπὶ τὸν ἀγῶνα· τὸ δὲ Λατίνων τὸ πλέον ἀπρόθυμον καὶ ὑπ' ἀνάγκης κατειργόμενον, τῶν μὲν δυναστευόντων ἐν ταῖς πόλεσιν, ὀλίγου δεῖν πάντων, δωρεαῖς τε καὶ ὑποσχέσεσιν ὑπὸ Ταρκυνίου καὶ Μαμιλίου διεφθαρμένων, τῶν δὲ δημοτικῶν, ὅσοις οὐκ ἦν βουλομένοις ὁ πόλεμος, ἀπελαυνομένων ἀπὸ τῆς τῶν κοινῶν φροντίδος· οὐδὲ γὰρ λόγος ἔτι τοῖς βουλομένοις ἀπεδίδοτο. ἠναγκάζοντο δὴ χαλεπαίνοντες ἐπὶ τούτῳ συχνοὶ καταλιπεῖν τὰς πόλεις, καὶ πρὸς Ῥωμαίους αὐτομολεῖν. κωλύειν γὰρ οὐκ ἠξίουν οἱ ἐφ' ἑαυτῶν πεποιημένοι τὰς πόλεις, ἀλλὰ πολλὴν τοῖς διαφόροις τῆς ἑκουσίου φυγῆς χάριν ᾔδεσαν. ὑποδεχόμενοι δ' αὐτοὺς οἱ Ῥωμαῖοι, τοὺς μὲν ἅμα γυναιξὶ καὶ τέκνοις ἀφικνουμένους, εἰς τὰς ἐντὸς τείχους κατέταττον στρατείας, τοῖς πολιτικοῖς ἐγκαταμιγνύντες λόχοις· τοὺς δὲ λοιποὺς εἰς τὰ περὶ τὴν πόλιν ἀποστέλλοντες φρούρια, καὶ ταῖς ἀποικίαις ἀπομερίζοντες, ἵνα μή τι νεωτερίσειαν, εἶχον ἐν φυλακῇ. ἁπάντων δὲ τὴν αὐτὴν γνώμην λαβόντων, ὅτι μιᾶς δεῖ πάλιν τοῖς πράγμασιν ἀφειμένης ἅπαντα διοικεῖν κατὰ τὸν αὐτῆς λογισμὸν ἀνυπευθύνου ἀρχῆς, δικτάτωρ ἀποδείκνυται τῶν ὑπάτων ὁ νεώτερος Αὖλος Ποστούμιος, ὑπὸ τοῦ συνάρχοντος Οὐεργινίου· ἱππάρχην δὲ αὐτὸς ἑαυτῷ προσείλετο κατὰ τὸν αὐτὸν τρόπον τῷ προτέρῳ δικτάτωρι, Τίτον Αἰβούτιον Ἔλβαν· καὶ καταγράψας ἐν ὀλίγῳ χρόνῳ τοὺς ἐν ἥβῃ Ῥωμαίους ἅπαντας, καὶ διελὼν εἰς τέτταρα μέρη τὴν δύναμιν, μιᾶς μὲν αὐτὸς ἡγεῖτο μοίρας, ἑτέρας δὲ τὸν συνύπατον Οὐεργίνιον ἔταξεν ἄρχειν, τῆς δὲ τρίτης Αἰβούτιον τὸν ἱππάρχην· ἐπὶ δὲ τῆς τετάρτης κατέλιπεν ἔπαρχον Αὖλον Σεμπρώνιον, ᾧ τὴν πόλιν φυλάττειν ἐπέτρεψεν.

Consul A. Postumius a collega Virginio dictator dicitur.

cap. 3.

Παρεσκευασμένῳ δὲ τούτῳ πάντα τὰ ἐπιτήδεια πρὸς τὸν πόλεμον, ἧκον ἀγγέλλοντες οἱ σκοποὶ πανστρατιᾷ Λατίνους ἐξεληλυθότας. ταῦτα μαθὼν ὁ Ποστούμιος ἐξεβοήθει διὰ ταχέων, πρὶν ἢ συνελθεῖν τοὺς πολεμίους ἅπαντας· ἀγαγὼν δ' ἐν νυκτὶ τὴν σὺν αὐτῷ στρατιὰν πορείᾳ συντόνῳ, πλησίον γίνεται τῶν Λατίνων ἐστρατοπεδευκότων παρὰ λίμνῃ Ῥηγίλλῃ καλουμένῃ, ἐν ἰσχυρῷ χωρίῳ· καὶ τίθεται τὸν χάρακα κατὰ κεφαλῆς τῶν πολεμίων ἐν ὑψηλῷ

Pugna ad lacum Regillum.

Digitized by Google

ψηλῷ λόφῳ καὶ δυσβάτῳ. Ὡς δὲ πολὺ τὸ παράλογον ἀμφοτέροις τῆς δόξης· ὐδέτεροι γὰρ ἐλπίσαντες μάχης δεήσειν σφίσιν, ἀλλὰ τῇ πρώτῃ ἐφόδῳ τὺς πολεμίυς ὑπολαβόντες φοβήσειν· Λατῖνοι μὲν τῷ πλήθει τῆς σφετέρας ἵππυ πιςεύσαντες, ἧς ὐδὲ τὸ ῥόθιον ᾤοντο τὺς Ῥωμαίων ἱππεῖς ἀνέξεσθαι· Ῥωμαῖοι δὲ τῷ τολμηρῷ καὶ ἀπερισκέπτῳ ἐπὶ τὰ δεινὰ χωρῦντες, καταπλήξεσθαι τὺς πολεμίυς· ταῦτα ὑπὲρ ἀλλήλων καταδοξάσαντες ἐν ἀρχαῖς, τὰ ἐναντία ἑώρων γινόμενα. ὐκέτι δὲ τὸ τῶν ἀντιπολεμίων δέος, ἀλλὰ τὸ ἴδιον θάρσος ἑκάτεροι τῦ τε σωθήσεσθαι καὶ τῦ νικήσειν ἄιτιον σφίσι νομίσαντες, ἀγαθοὶ μαχηταὶ καὶ ὑπὲρ δύναμιν ἐφάνησαν. ἐγίνοντο δὲ ποικίλαι καὶ ἀγχίςροφοι περὶ αὐτὺς ἀι τῦ ἀγῶνος τύχαι.

cap. 10.

Πρῶτον μὲν ὖν οἱ κατὰ μέσην τὴν φάλαγγα τεταγμένοι Ῥωμαίων, ἔνθα ὁ δικτάτωρ Ποςύμιος ἦν λογάδας ἔχων περὶ αὐτὸν ἱππεῖς, καὶ αὐτὸς ἐν πρώτοις μαχόμενος, τὸ καθ᾽ ἑαυτὺς ἐξωθῦσι μέρος, τρωθέντος ὑσσῷ τὸν δεξιὸν ὦμον θατέρυ τῶν Ταρκυνίυ παίδων Τίτυ, καὶ μηκέτι δυναμένυ τῇ χειρὶ χρῆσθαι. (Λικίννιος μὲν γὰρ καὶ οἱ περὶ Γέλλιον, ὐδὲν ἐξητακότες ὔτε τῶν εἰκότων, ὔτε τῶν δυνατῶν, αὐτὸν εἰσάγυσι τὸν βασιλέα Ταρκύνιον ἀγωνιζόμενον ἐφ᾽ ἵππυ καὶ τιτρωσκόμενον, ἄνδρα ἐνενήκοντα ἔτεσι προσάγοντα.) πεσόντος δὲ Τίτυ, μικρὸν ἀγωνισάμενοι χρόνον οἱ περὶ αὐτὸν, καὶ τὸ σῶμα ἔμψυχον ἀράμενοι, γενναῖον ὐδὲν ἔτι ἔπραξαν, ἀλλ᾽ ἐχώρυν ἐπιῦσι τοῖς Ῥωμαίοις ἐπὶ πόδα· ἔπειτα αὖθις ἔςησάν τε καὶ εἰς ἀντίπαλα ἐχώρυν, θατέρυ τῶν Ταρκυνίυ παίδων Σέξτυ μετὰ τῶν ἐκ Ῥώμης φυγάδων τε καὶ τῶν ἄλλων ἐπιλέκτων ἱππέων ἐπιβοηθησάντων αὐτοῖς. ὗτοι μὲν ὖν πάλιν ἀναλαβόντες αὐτὺς, ἐμάχοντο· οἱ δὲ τῆς φάλαγγος ἑκατέρας ἡγεμόνες, Τῖτος Αἰβύτιος καὶ Μαμίλιος Ὀκταύϊος, λαμπρότατα πάντων ἀγωνιζόμενοι, καὶ τρέποντες μὲν τὺς ὑφιςαμένυς, καθ᾽ ὃ χωρήσειαν μέρος, ἀντικαθιςάντες δὲ τῶν σφετέρων τὺς θορυβηθέντας, χωρῦσιν ἐκ προκλήσεως ὁμόσε· καὶ συῤῥάξαντες πληγὰς κατ᾽ ἀλλήλων φέρυσιν ἰσχυρὰς, ὐ μὴν καιρίυς, ὁ μὲν ἱππάρχης εἰς τὰ ςέρνα τῦ Μαμιλίυ διὰ τῦ θώρακος ἐλάσας τὴν

cap. 11. Tito altero Tarquinii filio sauciato milites ejus non diutius præliati sunt, donec Sextus, alter Tarquinii filius, subsidio illis veniret.

Mamillus prosternitur,

Digitized by Google

τὴν αἰχμὴν, ὁ δὲ Μαμίλιος μέσον περονήσας τὸν δεξιὸν ἐκείνȣ βραχίονα· καὶ πίπτȣσιν ἀπὸ τῶν ἵππων.

cap. 12. Ἀποκομισθέντων δ' ἀμφοτέρων ἐκ τῆς μάχης, ὁ τεταγμένος [αὖθις καὶ πρεσβύτερος] πρεσβευτὴς Μάρκος Οὐαλέριος τὴν τȣ̃ ἱππάρχȣ παρειληφὼς ἡγεμονίαν, ἐπιϛὰς τοῖς ἀμφ' αὐτὸν ἱππεῦσιν ἐπὶ τȣ̀ς κατὰ πρόσωπον, καὶ μικρὸν ἀντισχὼν χρόνον, ἐξωθεῖται τῆς τάξεως ἐπιπολύ· ἧκον δὲ καὶ τȣ́τοις ἐκ τῶν φυγάδων τῶν ἐκ Ῥώμης ἱππέων τε καὶ ψιλῶν βοήθειαι, καὶ ὁ Μαμίλιος ἀνειληφὼς ἐκ τῆς πληγῆς ἑαυτὸν, ἤδη παρῆν αὖθις, ἄγων πλῆθος ἱππέων τε καὶ ψιλῶν πεζῶν καρτερόν· ἐν τȣ́τῳ τῷ ἀγῶνι ὁ πρεσβευτὴς Μάρκος Οὐαλέριος, ὁ τὸν κατὰ Σαβίνων πρῶτος εἰσαγαγὼν θρίαμβον, καὶ τὸ φρόνημα τῆς πόλεως τεταπεινωμένον ἐκ τȣ̃ Τυῤῥηνικȣ̃ πτώματος διαναϛήσας, δόρατι πληγεὶς πίπτει, καὶ περὶ αὐτὸν ἄλλοι Ῥωμαίων καλοί τε καὶ ἀγαθοί. περὶ δὲ τῷ πτώματι αὐτȣ̃ γίνεται καρτερὸς ἀγὼν, Ποπλίȣ καὶ Μάρκȣ τῶν Ποπλικόλα παίδων τὸν θεῖον ὑπερασπισάντων. ἐκεῖνον μὲν ȣ̂ν ἀσκύλευτόν τε καὶ μικρὸν ἔτι ἐμπνέοντα τοῖς ὑπασπιϛαῖς ἀναθέντες, ἀπέϛειλαν ἐπὶ τὸν χάρακα, ἑαυτȣ̀ς δ' εἰς μέσȣς τȣ̀ς πολεμίȣς ὑπὸ λήματός τε καὶ προθυμίας ὠσάμενοι, καὶ πολλὰ τραύματα λαβόντες, ἀθρόων περιχυθέντων σφίσι τῶν φυγάδων, ἀποθνήσκȣσιν ἅμα. ἐξωθεῖται δὲ μετὰ τȣ̃το τὸ πάθος ἡ Ῥωμαίων φάλαγξ, καὶ ἀπὸ τῶν ἀριϛερῶν ἐπιπολὺ καὶ μέχρι τῶν μέσων παρεῤῥήγνυτο. ἔπειτα μαθὼν ὁ δικτάτωρ τὴν φυγὴν τῶν σφετέρων, ἐβοήθει κατὰ τάχος, ἄγων τȣ̀ς περὶ αὐτὸν ἱππεῖς. κελεύσας δὲ τὸν ἕτερον πρεσβευτὴν, Τῖτον Ἑρμήνιον, ἴλην ἱππέων ἄγοντα κατὰ νώτȣ χωρεῖν τῆς σφετέρας φάλαγγος, καὶ τȣ̀ς φεύγοντας ἐπιϛρέφειν, εἰ δὲ μὴ πείθοιντο, ἀποκτεῖναι, αὐτὸς ἅμα τοῖς κρατίϛοις ἐπὶ τὸ ξίφος ὠθεῖται. κἀπειδὴ πλησίον τῶν πολεμίων ἐγένετο, πρῶτος εἰσελαύνει τὸν ἵππον ἀφειμένῳ τῷ χαλινῷ. ἀθρόας δὲ γενομένης καὶ καταπληκτικῆς τῆς ἐλάσεως, ȣ̓ δεξάμενοι τὸ μανικὸν αὐτῶν καὶ τεθηριωμένον οἱ πολέμιοι, τρέπονται καὶ πίπτȣσι συχνοί. ἐν δὲ τȣ́τῳ καὶ ὁ πρεσβευτὴς Ἑρμήνιος ἀνειληφὼς τȣ̀ς φοβηθέντας ἐκ τῆς ϛροπῆς τῶν σφετέρων, ἦγεν ἐπὶ τȣ̀ς περὶ τὸν Μαμίλιον συνε-

συνεστῶτας· καὶ συμπεσὼν αὐτῷ, μεγίστῳ τ' ὄντι καὶ ῥώ-
μης ἀρίστῳ τῶν καθ' ἑαυτὸν τότε ἀνθρώπων, ἐκεῖνόν τ'
ἀποκτείνει, καὶ αὐτὸς, ἐν τῷ σκυλεύειν τὸν νεκρὸν πλη-
γεὶς ὑπό τινος ξίφει διὰ τῆς λαγόνος, ἀποθνήσκει.

nec non Sextus Tarquinius interficitur.

Σέξ-
τος δὲ Ταρκύνιος, τοῦ λαιοῦ τῶν Λατίνων κέρατος ἡγούμε-
νος, ἀντεῖχεν ἔτι τοῖς δεινοῖς, καὶ τοὺς ἐπὶ τοῦ δεξιοῦ τῶν
Ῥωμαίων κέρατος ἐξωθεῖ τῆς στάσεως. ὡς δὲ τὸν Ποστού-
μιον ἐθεάσατο σὺν τοῖς ἐπιλέκτοις ἱππεῦσιν ἐπιφαινόμενον,
ἀπογνοὺς ἁπάσης ἐλπίδος, εἰς μέσους αὐτοὺς ἵεται· ἔνθα δὴ
κυκλωθεὶς ὑπὸ τῶν Ῥωμαίων ἱππέων τε καὶ πεζῶν, καὶ
βαλλόμενος πανταχόθεν, ὥσπερ θηρίον, οὐκ ἄνευ τοῦ πολ-
λοὺς ἀποκτεῖναι τῶν ὁμόσε χωρησάντων, ἀποθνήσκει.

Cæsis ducibus Latini fugæ se mandant.

πε-
σόντων δὲ τῶν ἡγεμόνων, ἀθρόα γίνεται πάντων αὐτίκα
τῶν Λατίνων φυγὴ, καὶ τοῦ χάρακος αὐτῶν ἐρήμου κατα-
λειφθέντος ὑπὸ τῶν φυλάκων ἅλωσις· ὅθεν οἱ Ῥωμαῖοι
πολλὰς καὶ καλὰς ἔλαβον ὠφελείας· συμφορά τε αὕτη
μεγίστη Λατίνοις ἐγένετο, δι' ἣν ἐπὶ πλεῖστον ἐκακώθησαν,
καὶ φθόρος σωμάτων, ὅσος οὔπω πρότερον. ἀπὸ γὰρ τετρα-
κισμυρίων πεζῶν, καὶ τρισχιλίων ἱππέων, ὥσπερ ἔφην,
οἱ λειφθέντες ἐλάττους μυρίων, ἐσώθησαν ἐπὶ τὰ σφέτερα.

cap. 17. De Latinis triumphus.

Ἁπάντων δὲ χωρησάντων τῷ Ποστουμίῳ κατ' εὐχὴν,
θάψας τοὺς οἰκείους νεκροὺς, καὶ τὴν στρατιὰν καθήρας, ἀνέ-
στρεψεν εἰς τὴν πόλιν εὐπρεπεῖ θριάμβῳ κοσμούμενος, ὅπλων
τε σωρὸν ἐφ' ἁμάξαις πολλαῖς κομίζων, καὶ χρημάτων
στρατιωτικῶν παρασκευὰς ἀφθόνους εἰσφέρων, καὶ τοὺς ἁλόν-
τας ἐν τῇ μάχῃ πεντακοσίων ἀποδέοντας ἑξακισχιλίους ἐπα-
γόμενος. ἀπὸ δὲ τῶν λαφύρων ἐξελόμενος τὰς δεκάτας,
ἀγῶνάς τε καὶ θυσίας τοῖς θεοῖς ἀπὸ τετταράκοντα ταλάν-
των ἐποίει, καὶ ναῶν κατασκευὰς ἐξεμίσθωσε Δήμητρι, καὶ
Διονύσῳ, καὶ Κόρῃ, κατ' εὐχήν. ἐσπάνισαν γὰρ αἱ τρο-
φαὶ τοῦ πολέμου κατ' ἀρχὰς, καὶ πολὺν αὐτοῖς παρέσχον
φόβον, ὡς ἐπιλείψουσαι, τῆς τε γῆς ἀκάρπου γενομένης, καὶ
τῆς ἔξωθεν ἀγορᾶς οὐκέτι παρακομιζομένης διὰ τὸν πόλε-
μον. διὰ τοῦτο τὸ δέος ἀνασκέψασθαι τὰ Σιβύλλεια τοὺς
φύλακας αὐτῶν κελεύσας, ὡς ἔμαθεν, ὅτι τούτους ἐξιλάσα-
σθαι τοὺς θεοὺς οἱ χρησμοὶ κελεύουσιν, εὐχὰς αὐτοῖς ἐποιήσα-
το, μέλλων ἐξάγειν τὸν στρατὸν, ἐὰν εὐετηρία γένηται κα-
τὰ τὴν πόλιν ἐπὶ τῆς ἰδίας ἀρχῆς, οἵα πρότερον ἦν, ναοὺς
τ' αὐ-

Digitized by Google

τ' αὐτοῖς καθιδρύσεσθαι, καὶ θυσίας καταςήσεσθαι καθ' ἕκαςον ἐνιαυτόν· οἱ δὲ ὑπακέσαντες, τήν τε γῆν παρεσκεύασαν ἀνιέναι πλεσίες καρπὲς, ἐ μόνον τὴν σπόριμον, ἀλλὰ καὶ τὴν δενδροφόρον, καὶ τὰς ἐπεισάκτες ἀγορὰς πάσας ἐπικλῦσαι μᾶλλον ἢ πρότερον. ἅπερ ὁρῶν αὐτὸς ὁ Ποςέμιος ἐψηφίσατο τὰς τῶν ναῶν τότε κατασκευάς. Ῥωμαῖοι μὲν δὴ τὸν τυραννικὸν ἀπωσάμενοι πόλεμον εὐνοίᾳ θεῶν, ἐν ἑορταῖς τε καὶ θυσίαις ἦσαν.

cap. 18. Latini pacem petunt.

Ὀλίγαις δ' ὕςερον ἡμέραις πρέσβεις ἀπὸ τῦ κοινῦ τῶν Λατίνων ἧκον ὡς αὐτὲς ἐξ ἁπασῶν τῶν πόλεων ἐπιλεχθέντες, δια τὴν ἐναντίαν ἔχοντες περὶ τῦ πολέμε γνώμην, ἱκετηρίας καὶ ςέμματα προεχόμενοι. ἕτοι παραχθέντες ἐπὶ τὴν βελὴν, τῆς μὲν ἀρχῆς τῦ πολέμε τὲς δυναςεύοντας ἐν ταῖς πόλεσιν ἀπέφαινον αἰτίες· τὸ δὲ πλῆθος ἓν μόνον τῦτο ἁμαρτεῖν ἔλεγον, ὅτι πονηροῖς ἐπείθη δημαγωγοῖς ἴδια κέρδη παρεσκευασμένοις. ταύτης δὲ τῆς ἀπάτης, ἐν ᾗ τὸ πλεῖον ἀνάγκης μέρος ἦν, ἐ μεμπτὰς τετικέναι δίκας ἑκάςην πόλιν ἔλεγον, τῆς κρατίςης νεότητος ἀναιρεθείσης, ὥςε μὴ ῥᾴδιον εἶναι, πένθες καθαρὰν εὑρεῖν οἰκίαν. ἠξίεν τ' αὐτὲς παραλαβεῖν σφᾶς ἑκόντας, ἔτε περὶ τῆς ἀρχῆς ἔτι διαφερομένες, ἔτε περὶ τῶν ἴσων φιλονεικῦντας, συμμάχες τε καὶ ὑπηκόες ἅπαντα τὸν λοιπὸν χρόνον ἐσομένες, καὶ πᾶν, ὅσον ὁ δαίμων ἀφείλετο τῦ Λατίνων ἀξιώματος, τῦτο τῇ Ῥωμαίων προσθήσοντας εὐποτμίᾳ. τελευτῶντες δὲ τῦ λόγε, συγγένειαν ἐπεκαλῦντο, καὶ συμμαχιῶν ἀπροφασίςων ποτὲ γενομένων ἀνεμίμνησκον, καὶ συμφορὰς ἀνέκλαιον τὰς καταληψομένας τὲς μηδὲν ἡμαρτηκότας, οἳ μακρῷ πλείες ἦσαν τῶν ἡμαρτηκότων, ὀδυρόμενοι παρ' ἕκαςα, καὶ τῶν γονάτων ἁπτόμενοι πάσης τῆς γερεσίας, καὶ τὰς ἱκετηρίας παρὰ τοῖς ποσὶ τῦ Ποςεμίε τιθέντες· ὥςε παθεῖν τι πρὸς τὰ δάκρυα καὶ τὰς δεήσεις αὐτῶν τὸ συνέδριον ἅπαν.

cap. 19.

Ὡς δὲ μετέςησαν ἐκ τῦ βελευτηρίε, καὶ λόγος ἀπεδόθη τοῖς εἰωθόσιν ἀποφαίνεσθαι γνώμας, Τίτος μὲν Λάρκιος, ὁ πρῶτος ἀποδειχθεὶς δικτάτωρ ἐν τῷ παρελθόντι

cap. 21.

ἐνιαυτῷ, τεταμιεῦσθαι τὴν τύχην αὐτοῖς συνεβέλευε. Τῦ δὲ δικτάτωρος τὴν Λαρκίε γνώμην (δοκιμάζοντος), καὶ ἐδενὸς λέξαντος τὰ ἐναντία, παρῆσαν εἰσκληθέντες εἰς τὸ συνέ-

συνέδριον οἱ πρέσβεις, τὰς ἀποκρίσεις ληψόμενοι· καὶ ὁ Ποςύμιος, ὀνειδίσας αὐτοὺς τῆς οὐδέποτε σωφρονισθῆναι δυναμένης κακίας· "νῦν μὲν οὖν, ἔφη, παντὸς ἠλευθερωμένοι, πορεύεσθε· ἐὰν δὲ τοὺς αἰχμαλώτους ἀπολύσητε, καὶ τοὺς αὐτομόλους παραδῶτε ἡμῖν, καὶ τοὺς φυγάδας ἐξελάσητε, τότε τοὺς περὶ φιλίας τε καὶ συμμαχίας διαλεξομένους πρέσβεις πέμπετε πρὸς ἡμᾶς, ὡς οὐδενὸς ἀτυχήσοντας τῶν μετρίων." ἀπῄεσαν οἱ πρέσβεις ταύτας τὰς ἀποκρίσεις λαβόντες, καὶ μετ᾽ ὀλίγας ἡμέρας ἧκον τούς τ᾽ αἰχμαλώτους ἀφεικότες, καὶ τοὺς ἁλόντας τῶν αὐτομόλων δεσμίους ἄγοντες, καὶ τοὺς ἅμα Ταρκυνίῳ φυγάδας ἐξεληλακότες ἐκ τῶν πόλεων. ἀνθ᾽ ὧν εὗρόν τε παρὰ τῆς βουλῆς τὴν ἀρχαίαν φιλίαν καὶ συμμαχίαν, καὶ τοὺς ὅρκους τοὺς ὑπὲρ τούτων ποτὲ γενομένους διὰ τῶν εἰρηνοδικῶν ἀνενεώσαντο. ὁ μὲν δὴ πρὸς τοὺς τυράννους συςὰς πόλεμος, τετρακαιδεκαέτης ἀπὸ τῆς ἐκπτώσεως αὐτῶν γενόμενος, τοιαύτης ἔτυχε τελευτῆς. Ταρκύνιος δ᾽ ὁ βασιλεὺς, οὗτος γὰρ ἔτι λοιπὸς ἐκ τοῦ γένους ἦν, ὁμοῦ τι γεγονὼς ἐνενήκοντα ἔτη, κατὰ τὸν χρόνον τοῦτον, ἀπολωλεκὼς τὰ τέκνα, καὶ τὸν τῶν κηδεςῶν οἶκον, καὶ γῆρας ἐλεεινὸν καὶ παρ᾽ ἐχθροῖς διαντλῶν, οὔτε Λατίνων ὑποδεχομένων αὐτὸν ἔτι ταῖς πόλεσιν, οὔτε Τυῤῥηνῶν, οὔτε Σαβίνων, οὔτ᾽ ἄλλης πλησιοχώρου πόλεως ἐλευθέρας οὐδεμιᾶς, εἰς τὴν Καμπανίδα Κύμην ᾤχετο πρὸς Ἀριςόδημον, τὸν ἐπικληθέντα Μαλακὸν, τυραννοῦντα τότε Κυμαίων· παρ᾽ ᾧ βραχύν τινα ἡμερῶν ἀριθμὸν ἐπιβιοὺς ἀποθνήσκει, καὶ θάπτεται ὑπ᾽ αὐτοῦ. τῶν δὲ σὺν ἐκείνῳ φυγάδων οἱ μὲν ἐν τῇ Κύμῃ κατέμειναν, οἱ δ᾽ εἰς ἄλλας τινὰς πόλεις σκεδασθέντες, ἐπὶ ξένης τὸν βίον κατέςρεψαν.

Cum Latinis foedus renovatur.

Tarquinius superbus, solus ex suo genere superstes moritur Cumis.

Ῥωμαίοις δὲ καταλυσαμένοις τοὺς ὑπαίθρους πολέμους ἡ πολιτικὴ ςάσις αὖθις ἐπανίςαται, τῆς μὲν βουλῆς ψηφισαμένης καθίζειν τὰ δικαςήρια, καὶ τὰς ἀμφισβητήσεις, ἃς διὰ τὸν πόλεμον ἀνεβάλοντο, κρίνεσθαι κατὰ τοὺς νόμους· τῶν δὲ περὶ τὰς συναλλαγὰς ἀμφισβητημάτων εἰς μεγάλους κλύδωνας καὶ δεινὰς προβεβηκότων ἀτοπίας τε καὶ ἀναισχυντίας, τῶν μὲν δημοτῶν ἀδυνάτως ἔχειν σκηπτομένων διαλύειν τὰ χρέα, χώρας τ᾽ αὐτοῖς κεκωλυμένης ἐν τῷ πολυετεῖ πολέμῳ, καὶ βοσκημάτων διεφθαρμέ-

Cap. 22. Intestinae turbae recrudescunt.

Digitized by Google

μένων, καὶ ἀνδραπόδων αὐτομολίαις καὶ καταδρομαῖς σπανισθέντων, τῆς τε κατὰ πόλιν κτήσεως ἐξανηλωμένης ταῖς εἰς τὴν στρατείαν δαπάναις· τῶν δὲ δανειστῶν ταύτας μὲν τὰς συμφορὰς ὁμοίας ἅπασι γεγονέναι λεγόντων, καὶ οὐ μόνον τοῖς χρεωφειλέταις, οὐκ ἀνεκτὸν δὲ ἡγουμένων σφίσι, μὴ μόνον, ἃ διὰ τὸν πόλεμον ἀφῃρέθησαν ὑπὸ τῶν ἐχθρῶν, ἀλλὰ καὶ ἃ δεομένοις τισὶ τῶν πολιτῶν ἐν εἰρήνῃ συνήλλαξαν, ἀπολωλέναι· ἀξιούντων δ' οὔτε τῶν δανειστῶν οὐδὲν μέτριον ὑπομένειν, οὔτε τῶν χρεωφειλετῶν οὐδὲν ποιεῖν δίκαιον, ἀλλὰ τῶν μὲν οὐδὲ τοὺς τόκους ἀφιέναι, τῶν δὲ μηδ' αὐτὰ τὰ συναλλάγματα διαλύειν· ἐξ ὧν σύνοδοι μὲν ἤδη κατὰ συστροφὰς τῶν ἐν ταῖς ὁμοίαις ὄντων τύχαις ἐγίνοντο, καὶ ἀντιπαρατάξεις κατὰ τὴν ἀγοράν, ἔστι δ' ὅτε καὶ χειρῶν ἀψιμαχίαι, καὶ συνετετάρακτο πᾶς ὁ πολιτικὸς κόσμος· ταῦτα ὁρῶν ὁ Ποστούμιος, ἐν ᾧ ἔτι τὸ τιμώμενον εἶχε παρὰ πάντων ὅμοιον, καλὸν ὑπεκδῦναι πολέμῳ βαρεῖ τοὺς πολιτικοὺς χειμῶνας ἔγνω· καὶ πρὶν ἐκπληρῶσαι τὸν ἔσχατον τῆς αὐτοκράτορος ἀρχῆς χρόνον, τήν τε δικτατωρείαν ἐξωμόσατο, καὶ προθεὶς ἀρχαιρεσιῶν ἡμέραν, μετὰ τοῦ συνυπάτου τὰς πατρίους κατέστησεν ἀρχάς.

Postumius dictatura se abdicat.

Παραλαμβάνουσι δ' ὕπατοι πάλιν τὴν ἐνιαύσιόν τε καὶ νόμιμον ἀρχὴν Ἄππιος Κλαύδιος Σαβῖνος καὶ Πόπλιος Σερουΐλιος Πρίσκος· οἱ τὸ μὲν ἀνωτάτω σύμφορον εἶδον ὀρθῶς, ὅτι δεῖ περισπᾶν τὸν ἐντὸς τείχους θόρυβον ἐπὶ τοὺς ἔξω πολέμους· καὶ παρεσκευάζοντο κατὰ τοῦ Οὐολούσκων ἔθνους τὸν ἕτερον σφῶν ἐξάγειν στρατιάν, τιμωρήσασθαί τ' αὐτοὺς προθυμούμενοι τῆς ἀποσταλείσης κατὰ Ῥωμαίων Λατίνοις συμμαχίας, καὶ προκαταλαβεῖν τὰς παρασκευὰς αὐτῶν ἔτι συνεσταλμένας. ἠγγέλλοντο γὰρ κἀκεῖνοι δυνάμεις ἤδη καταγράφειν ἁπάσῃ σπουδῇ, καὶ εἰς τὰ πλησίον ἔθνη πρεσβεύεσθαι, παρακαλοῦντες ἐπὶ τὴν συμμαχίαν, πυνθανόμενοι τοὺς δημοτικοὺς ἀφεστηκέναι τῶν πατρικίων, καὶ νομίσαντες οὐ χαλεπὸν εἶναι, πόλιν οἰκείῳ πολέμῳ νοσοῦσαν ἑλέσθαι. ἐπὶ τούτοις δὴ στρατιὰν ἐξάγειν βουλευσάμενοι, καὶ δόξαντες ἅπασι τοῖς συνέδροις ὀρθῶς βεβουλεῦσθαι, προεῖπον ἥκειν ἅπασι τοῖς ἐν ἀκμῇ, χρόνον ὁρίσαντες, ἐν ᾧ τὴν καταγραφὴν τῶν στρατιωτῶν ἔμελλον ποιεῖσθαι. ὡς δ' οὐχ ὑπήκουον αὐτοῖς οἱ δημοτικοὶ καλούμενοι πολλάκις ἐπὶ τὸν στρα-

cap. 23. A. U. 259. ante Chr. 495. Turbæ domi, & foris bellum cum Volscis.

στρατιωτικὸν ὅρκον, ἐκέτι τὴν αὐτὴν ἑκάτερος εἶχε γνώμην· ἀλλ᾽ ἔνθεν ἀρξάμενοι, διεστήκεσάν τε καὶ τὰ ἐναντία πράττοντες ἀλλήλοις παρὰ πάντα τὸν τῆς ἀρχῆς χρόνον διετέλεσαν. Σερουϊλίῳ μὲν γὰρ ἐδόκει τὴν ἐπιεικεστέραν τῶν ὁδῶν πορεύεσθαι, τῇ Μανίε Ὀυαλερίε γνώμῃ τε δημοτικωτάτε προσθεμένῳ, ὅς ἠξίε τὴν ἀρχὴν ἰάσασθαι τῆς στάσεως, μάλιστα μὲν ἄφεσιν ἢ μείωσιν τῶν χρεῶν ψηφισαμένες· εἰ δὲ μήγε, κώλυσιν τῆς ἀπαγωγῆς τῶν ὑπερημέρων κατὰ τὸ παρὸν, παρακλήσει τε μᾶλλον ἢ ἀνάγκῃ τὲς πένητας ἐπὶ τὸν στρατιωτικὸν ὅρκον ἄγειν, καὶ τὰς τιμωρίας κατὰ τῶν ἀπειθέντων μὴ χαλεπὰς ποιεῖσθαι καὶ ἀπαραιτήτες, ὡς ἐν ὁμονοέσῃ πόλει, μετρίες δέ τινας καὶ ἐπιεικεῖς· κίνδυνον γὰρ ἂν εἶναι, μὴ πρὸς ἀπόνοιαν τράπωνται συνελθόντες εἰς ταὐτὸν ἄνθρωποι τῶν καθ᾽ ἡμέραν ἐνδεεῖς, ἀναγκαζόμενοι στρατεύεσθαι τέλεσιν οἰκείοις.

Servilii mitior sententia de remissione vel imminutione pecuniarum debitarum;

Ἀππίε δ᾽ ἦν γνώμη τε κορυφαιοτάτε τῶν προεστηκότων τῆς ἀριστοκρατίας αὐστηρὰ καὶ αὐθάδης, μηδὲν ἐνδιδόναι τῷ δήμῳ μαλακὸν, ἀλλὰ καὶ τῶν συναλλαγμάτων τὰς ἀναπράξεις ἐπιτρέπειν τοῖς δεδανεικόσιν, ἐφ᾽ οἷς ἔμελλον δικαίοις ποιεῖσθαι, καὶ τὰ δικαστήρια καθίζειν τὸν ἐν τῇ πόλει μένοντα τῶν ὑπάτων κατὰ τὲς πατρίες ἐθισμὲς, καὶ τὰς τιμωρίας, ἃς κατὰ τῶν ἐκλιπόντων οἱ περὶ αὐτῶν νόμοι δεδώκασιν, ἀναπράττεσθαι, εἴκειν δὲ τοῖς δημοτικοῖς μηδὲν, ὅ τι μὴ δίκαιον, μηδὲ δύναμιν αὐτοῖς συγκατασκευάζειν πονηράν.

cap. 24. Appii sententia durior.

Ἔτι δὲ τῆς βελῆς ἐν τῷ βελευτηρίῳ καθεζομένης, καὶ, τίνας εἶναι δυνάμεις τὰς ἐξελευσομένας, σκοπέσης, εἰς τὴν ἀγορὰν ἀνὴρ πρεσβύτερος ἐφάνη, ῥάκος ἠμφιεσμένος, πώγωνα βαθὺν καθεικὼς καὶ κόμην, βοῶν καὶ ἐπικαλέμενος τὴν ἐξ ἀνθρώπων ἐπικερίαν. συνδραμόντος δὲ τε πλησίον ὄχλε, στὰς, ὅθεν ἔμελλε πολλοῖς καταφανὴς ἔσεσθαι, ἔφη, "Γεννηθεὶς ἐλεύθερος, ἐστρατευμένος τὰς ἐν ἡλικίᾳ στρατείας πάσας, καὶ δυεῖν δεέσας τριάκοντα μάχας ἀγωνισάμενος, καὶ ἀριστεῖα πολλάκις εἰληφὼς ἐκ τῶν πολέμων, ἐπειδὴ κατέσχον οἱ τὴν πόλιν εἰς τὰς ἐσχάτας ἄγοντες στενοχωρίας καιροὶ, χρέος ἀναγκασθεὶς λαβεῖν ἕνεκα τε διαλῦσαι τὰς εἰσπραττομένας εἰσφορὰς· ὡς τὸ μὲν χωρίον οἱ πολέμιοι κατέδραμον, τὰ δὲ κατὰ πόλιν αἱ σιτοδεῖαι κατανά-

cap. 26. Senex aliquis, nexus ob æs alienum duriterque tractatus tumultum excitat,

Digitized by Google

τανάλωσαν· ὅθεν διαλῦσαί με τὸ χρέος, ὐκ ἔχων, ἀπήχθην δῦλος ὑπὸ τῦ δανειςῦ σὺν υἱοῖς δυσίν· ἐπιτάττοντος δὲ τῦ δεσπότυ τῶν ὐ ῥαδίων ἔργων τι, ἀντειπὼν αὐτῷ, πληγὰς ἔλαβον μάςιξι πάνυ πολλάς." ταῦτα ἐιπὼν, ἐῤῥίπτει τὸ ῥάκιον, καὶ ἐδείκνυε τὸ ςῆθος μεςὸν τραυμάτων, τὰ δὲ νῶτα ἅιματος ἐκ τῶν πληγῶν ἀνάπλεω. κραυγῆς δὲ καὶ ὀιμωγῆς ἐκ τῶν παρόντων γενομένης, ἥ τε βυλὴ διελύθη, καὶ κατὰ τὴν πόλιν ὅλην δρόμος ἦν τῶν ἀπόρων ἰδίαν τύχην ἀνακλαιομένων, καὶ βοηθεῖν τὺς πέλας ἀξιύντων· ἔκ τε τῶν ὀικιῶν ὁι πρὸς τὰ χρέα δυλωθέντες, κομῶντες, ἁλύσεις ἔχοντες ὁι πλεῖςοι καὶ πέδας, ὐδενὸς ἀντιλαμβάνεσθαι τολμῶντος αὐτῶν· ἐι δ' ἅψαιτο μόνον, ἐν χειρὸς νόμῳ διασπαραττομένυ. τοσαύτη λύττα τὸν δῆμον ἐν τῷ τότε καιρῷ κατεῖχε. καὶ ὐ μετὰ πολὺ μεςὴ τῶν ἐκφυγόντων τὰς ἀνάγκας ἦν ἡ ἀγορά. ὁ μὲν ὖν Ἄππιος, δείσας τὴν ἐφ' ἑαυτὸν ὁρμὴν τῦ πλήθυς, ἐπειδὴ τῶν κακῶν ἦν ἄιτιος, καὶ δι' ἐκεῖνον ἐδόκει ταῦτα γεγονέναι, φεύγων ἐκ τῆς ἀγορᾶς ᾤχετο. ὁ δὲ Σερυΐλιος ῥίψας τὴν περιπόρφυρον ἐσθῆτα, καὶ προκυλιόμενος τῶν δημοτικῶν ἑκάςυ μετὰ δακρύων, μόλις αὐτὺς ἔπεισεν, ἐκείνην μὲν τὴν ἡμέραν ἐπισχεῖν, ἐις δὲ τὴν ἐπιῦσαν ἥκειν, ὡς τῆς βυλῆς ἐπιμέλειάν τινα περὶ αὐτῶν ποιησομένης. ταῦτ' ἐιπὼν, καὶ τὸν κήρυκα ἀνειπεῖν κελεύσας, μηδένα τῶν δανειςῶν ἐξεῖναι σῶμα πολιτικὸν πρὸς ἴδιον χρέος ἄγειν, ἕως ἂν ἡ βυλὴ περὶ αὐτῶν διαγνοίη, τὺς δὲ παρόντας, ὅποι βύλοιντο, ἀδεῶς ἀπιέναι, διέλυσε τὸν θόρυβον.

qui quidem a Servilio sedatur;

cap. 17.

Τότε μὲν ὖν ᾤχοντο ἐκ τῆς ἀγορᾶς· τῇ δ' ἑξῆς ἡμέρᾳ παρῆν ὐ μόνον ὁ κατὰ πόλιν ὄχλος, ἀλλὰ καὶ ἐκ τῶν σύνεγγυς ἀγρῶν τὸ δημοτικὸν πλῆθος, καὶ ἦν ἐξ ἑωθινῦ πλήρης ἡ ἀγορά. τῆς δὲ βυλῆς συναχθείσης, ἵνα περὶ τύτων βυλεύσειεν, ὅ τι χρὴ πράττειν, ὁ μὲν Ἄππιος δημοκόπον ἐκάλει τὸν συνάρχοντα, καὶ τῆς ἀπονοίας τῶν ἀπόρων ἡγεμόνα· ὁ δὲ Σερυΐλιος ἐκεῖνον αὐςηρὸν καὶ αὐθάδη, καὶ τῶν παρόντων τῇ πόλει κακῶν ἄιτιον· τέλος δ' ὐδὲν ἐγίνετο τῶν λόγων. ἐν δὲ τύτῳ Λατίνων ἱππεῖς, κατὰ σπυδὴν ἐλαύνοντες τὺς ἵππυς, παρῆσαν ἐις τὴν ἀγορὰν, ἐξεληλυθότας ἀγγέλλοντες τὺς πολεμίυς μεγάλῃ ςρατιᾷ,

Digitized by Google

τιᾷ, καὶ ὄντας ἐπὶ τοῖς ἑαυτῶν ὁρίοις ἤδη. καὶ οἱ μὲν ταῦτα· οἱ δὲ πατρίκιοι, καὶ τὸ τῶν ἱππέων πλῆθος, τῶν τ' ἄλλων, ὅσοι ἢ πλέτες ἢ δόξας προγονικὰς εἶχον, διὰ δὴ περὶ μεγάλων κινδυνεύοντες, ὡπλίζοντο διὰ τάχες· ὅσοι δ' ἦσαν αὐτῶν ἄποροι, μάλιςα δὲ οἱ τοῖς δανείοις πιεζόμενοι, ἔτε ὅπλων ἥπτοντο, ἔτ' ἄλλως παρείχοντο τοῖς κοινοῖς πράγμασιν ἐπικερίαν ἐδεμίαν· ἡδόμενοι δὲ καὶ κατ' εὐχὴν δεχόμενοι τὸν ἔξωθεν πόλεμον, ὡς τῶν παρόντων σφᾶς κακῶν ἐλευθερώσοντα· τοῖς [δὲ] δεομένοις ἀμύνειν ἐπιδεικνύντες τὰς ἁλύσεις καὶ τὰς πέδας, ἐπικερτομῶντες ἠρώτων, εἰ τέτων φυλακῆς ἕνεκα τῶν ἀγαθῶν ἄξιον εἴη σφίσι πολεμεῖν. πολλοὶ δὲ καὶ λέγειν ἐτόλμων, ὡς ἄμεινον εἴη Ὀυολέσκοις δελεύειν μᾶλλον, ἢ τὰς ὕβρεις τῶν πατρικίων ὑπομένειν. ἥ τε πόλις οἰμωγῆς καὶ θορύβε καὶ παντοίων γυναικείων ὀδυρμῶν ἐπίμπλατο.

attamen inopes contra Volscos arma capere recusant.

Ταῦτα ὁρῶντες οἱ βελευταὶ, τὸν ἕτερον τῶν ὑπάτων Σερέϊλιον, ὃς ἐν τῷ παρόντι πιθανώτερος εἶναι τοῖς πολλοῖς ἐδόκει, βοηθεῖν ἐδέοντο τῇ πατρίδι. ὁ δὲ συγκαλέσας εἰς τὴν ἀγορὰν, τε παρόντος καιρε τὴν ἀνάγκην ἐπεδείκνυεν, ἐκέτι προσδεχομένην πολιτικὰς φιλονεικίας, καὶ ἠξίε, νῦν μὲν ὁμόσε χωρεῖν τοῖς πολεμίοις, κοινῇ γνώμῃ χρησαμένες, καὶ μὴ περιϊδεῖν ἀνάςατον τὴν πατρίδα γενομένην, ἐν ᾗ θεοὶ πατρῷοι καὶ θῆκαι προγόνων ἑκάςοις ἦσαν, ἃ τιμιώτατά ἐςιν ἅπασιν ἀνθρώποις· γονέων τ' αἰδῶ λαβεῖν ἐχ ἱκανῶν ἐσομένων ἑαυτοῖς διὰ γῆρας ἀμύνειν, καὶ γυναικῶν ἔλεον τῶν αὐτίκα μάλα δεινὰς καὶ ἀποῤῥήτες ὕβρεις ἀναγκασθησομένων ὑπομένειν· μάλιςα δὲ παιδίων ἔτι νηπίων, ἐκ ἐπὶ τοιαύταις ἐλπίσιν ἀνατραφέντων, οἰκτεῖραι λώβας καὶ προπηλακισμὲς ἀνηλεεῖς· ὅταν δὲ τὸν παρόντα κίνδυνον ἅπαντες ὁμοίαις προθυμίαις χρησάμενοι παραλύσωνται, τότε δὴ σκοπεῖν, τίνα τρόπον ἴσην καὶ κοινὴν καὶ σωτήριον ἅπασι τὴν πολιτείαν καταςήσονται, μήτε τῶν πενήτων ἐπιβελευόντων ταῖς τῶν πλεσίων ἐσίαις, μήτ' ἐκείνων προπηλακιζόντων τὲς ταῖς τύχαις ταπεινοτέρες· ἥκιςα γὰρ εἶναι ταῦτα πολιτικά· ἀλλὰ καὶ τοῖς ἀπόροις ἐπικερία τις ἔςαι πολιτικὴ, καὶ τοῖς συμβαλῦσι τὰ χρέα βοήθεια μετρία, τοῖς γῦν ἀδικεμένοις, καὶ τὸ κράτιςον τῶν ἐν ἀνθρώποις ἀγαθῶν, καὶ πάσας φυλάττου-

cap. 28. Servilii autem interventu & promissis,

λάττον ἐν ὁμονοίᾳ τὰς πόλεις, πίςις ἐπὶ συναλλαγαῖς, ἐχ ἅπασα καὶ διὰ παντὸς ἐκ μόνης ἀναιρεθήσεται τῆς Ῥωμαίων πόλεως. Ταῦτα, καὶ ὅσα ἄλλα ἐν τοιέτῳ καιρῷ λεχθῆναι προσῆκε, διεξελθὼν, τελευτῶν ὑπὲρ τῆς ἰδίας εὐνοίας, ἣν ἔχων διετέλει πρὸς τὸν δῆμον, ἀπελογεῖτο, καὶ ἠξίε συνάρασθαι τῆς ςρατείας αὐτῷ ταύτης, ἀνθ' ὧν πρόθυμος εἰς αὐτὲς ἦν, τῆς μὲν κατὰ πόλιν ἐπιμελείας τῷ συνάρχοντι προσηκέσης, ἑαυτῷ δὲ τῆς ἡγεμονίας τῶν πολέμων ἀποδεδομένης· ταύτας γὰρ αὐτοῖς βραβεῦσαι τὰς τύχας τὸν κλῆρον. ὑπεσχῆσθαι δ' αὐτῷ ἔφη τὴν βελὴν ἐμπεδώσειν, ὅ τι ἂν διομολογήσηται τῷ πλήθει· αὐτὸν δ' ἐκείνοις, πείσειν τὲς δημότας, μὴ προδώσειν τοῖς πολεμίοις τὴν πατρίδα.

cap. 29. per omne belli contra Volscos tempus divitum ab inopibus pecuniam exigendi jus esse cessaturum, armant se in hostem;

Ταῦτ' εἰπὼν, ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν, ὅσοι ἂν Ῥωμαίων ἐπὶ τὸν κατὰ Ὀυολέσκων πόλεμον καταςάντες ἐκςρατεύσωσι, τὰς τέτων οἰκίας μηδένα ἐξεῖναι μήτε κατέχειν, μήτε πωλεῖν, μήτ' ἐνεχυράζειν, μήτε γένος αὐτῶν ἀπάγειν πρὸς μηδὲν συμβόλαιον, μήτε κωλύειν τὸν βελόμενον τῆς ςρατείας κοινωνεῖν· ὅσοι δ' ἂν ἀπολειφθῶσι τῆς ςρατείας, τὰς κατὰ τέτων πράξεις ὑπάρχειν τοῖς δανειςαῖς, ἐφ' οἷς ἕκαςοι συνέβαλον. ὡς δὲ ταῦτ' ἤκεσαν οἱ πένητες, αὐτίκα συνέγνωσάν τε, καὶ πολλῇ προθυμίᾳ πάντες εἰς τὸν πόλεμον ὥρμηντο, οἱ μὲν ὠφελειῶν ἐλπίσιν ἐπαρθέντες, οἱ δὲ τε ςρατηλάτε χάριτι, οἱ δὲ πλεῖςοι τὸν Ἄππιον καὶ τὲς ἐν τῇ πόλει κατὰ τῶν ὑπομεινάντων προπηλακισμὲς φεύγοντες. παραλαβὼν δὲ ὁ Σερεΐλιος τὸ ςράτευμα, σὺν πολλῇ σπεδῇ ἐλαύνει, διαλιπὼν ἐδένα χρόνον, ἵνα συμμίξῃ τοῖς πολεμίοις, πρὶν εἰς τὴν Ῥωμαίων χώραν αὐτὲς εἰσβαλεῖν· καὶ καταλαβὼν περὶ τὸ Πωμεντῖνον χωρίον ἐςρατοπεδευκότας, καὶ τὴν Λατίνων χώραν προνομεύοντας, ὅτι παρακαλέσιν αὐτοῖς ἐ συνήραντο τε πολέμε, περὶ δείλην ὀψίαν, παρὰ λόφον τινὰ, ὡς εἴκοσι ςάδια τῆς ςρατοπεδείας αὐτῶν ἀφεςῶτα, τίθεται τὸν χάρακα· καὶ αὐτοῖς νυκτὸς ἐπιτίθενται Ὀυολέσκοι, ὀλίγες τε καταδοξάσαντες εἶναι, καὶ, ὡς ἐξ ὁδε μακρᾶς, κατακόπες, προθυμίας τ' ἐνδεῶς ἔχοντας, διὰ τὲς ἐκ τῶν πενήτων περὶ τὰ χρέα νεωτερισμὲς, ἐν ἀκμῇ μάλιςα δοκέντας εἶναι. ὁ δὲ Σερεΐλιος, ἔτι νυκτὸς ἀπὸ

τε

Digitized by Google

τῦ χάρακος ἀγωνισάμενος, ἐπειδὴ Φῶς τ' ἤδη ἐγένετο, καὶ τὺς πολεμίυς ἔμαθεν ἀτάκτως προνομεύοντας, ἀνοῖξαι κελεύσας πυλίδας ἐκ τῦ χάρακος ἀδήλως συχνὰς, ἀφ' ἑνὸς παραγγέλματος ἐΦῆκεν ἐπ' αὐτὺς τὸ ϛράτευμα. ἐξαπιναίυ δὲ τῦ δεινῦ καὶ παρὰ δόξαν τοῖς Ὀυολύσκοις προσπεσόντος, ὀλίγοι μέν τινες ὑποϛάντες πρὸς τῷ χάρακι μαχόμενοι κατεκόπησαν· ὁι δ' ἄλλοι Φεύγοντες προτροπάδην, καὶ πολλὺς τῶν σΦετέρων ἀπολέσαντες, τραυματίαι τε ὁι πλεῖϛοι καὶ τὰ ὅπλα ἀπολωλεκότες, ἐις τὸν χάρακα διεσώζοντο. ἑπομένων δ' αὐτοῖς τῶν Ῥωμαίων ἐκ ποδὸς, καὶ περισχόντων τὸ ϛρατόπεδον, βραχύν τινα χρόνον ἀμυνάμενοι, παρέδοσαν τὸν χάρακα, πολλῶν ἀνδραπόδων τε καὶ βοσκημάτων καὶ ὅπλων καὶ τῆς ἐις τὸν πόλεμον παρασκευῆς γέμοντα. ἑάλω δὲ καὶ σώματα ἐλεύθερα συχνὰ, τὰ μὲν αὐτῶν Ὀυολύσκων, τὰ δὲ τῶν αὐτοῖς συναγωνισαμένων ἐθνῶν· χρήματά τε, καὶ ὅσα χρυσὸς καὶ ἄργυρος καὶ ἐσθὴς, ὥσπερ ἂν πόλεως τῆς κρατίϛης ἁλύσης, πάνυ πολλὰ, τοῖς ϛρατιώταις ταῦτα ἐΦιεὶς ὁ Σερυΐλιος, ὡς ἕκαϛος ὠΦεληθείη, μηδὲν δ' ἐις τὸ δημόσιον ἀναΦέρων, ἀλλὰ διανείμασθαι κελεύσας, καὶ τὸν χάρακα πυρὶ δὺς, ἀναλαβὼν τὰς δυνάμεις, ἦγεν ἐπὶ τὴν ἐγγύτατα Συέσσαν Πωμεντιανήν. μεγέθει τε γὰρ περιβόλυ, καὶ πλήθεσιν ὀικητόρων, ἔτι δὲ δόξῃ καὶ πλύτῳ πολὺ ταύτας ὑπερέχειν ἐδόκει, καὶ ἦν ὥσπερ ἡγεμὼν τῦ ἔθνυς. περιϛρατοπεδεύσας δ' αὐτὴν, καὶ ὔτε ἡμέρας ὔτε νυκτὸς ἀνακαλῶν τὸν ϛρατὸν, ἵνα μηδένα χρόνον ὁι πολέμιοι διαναπαύσαιντο, μήτε ὕπνον αἱρύμενοι, μήτε πολέμυ παῦλαν δεχόμενοι, λιμῷ καὶ ἀμηχανίᾳ καὶ σπάνει συμμάχων παρατείνας, εἷλεν αὐτὺς ἐν ὐ πολλῷ χρόνῳ, καὶ τὺς ἐν ἥβῃ πάντας κατέσΦαξεν. ἐπιτρέψας δὲ καὶ ὅσα ἦν ἐνταῦθα χρήματα τοῖς ϛρατιώταις Φέρειν τε καὶ ἄγειν, ἐπὶ τὰς ἄλλας πόλεις ἀπῆγε τὴν δύναμιν, ὐδενὸς ὐκέτι τῶν Ὀυολύσκων ἀμύνειν τι δυναμένυ.

Servilius Volscos vincit, omnemque prædam militibus concedit.

Ὡς δὲ τοῖς Ῥωμαίοις τεταπεινωμένα ἦν τὰ τῶν Ὀυολύσκων πράγματα, προαγαγὼν τὺς ὁμήρυς αὐτῶν ἐις τὴν ἀγορὰν ὁ ἕτερος τῶν ὑπάτων Ἄππιος Κλαύδιος, ἄνδρας τριακοσίυς, ἵνα δι' ἐυλαβείας ἔχοιεν ὁι προσθέμενοι σΦίσι πίϛεις, ὁμηρειῶν μὴ παρασπονδεῖν, μάϛιξί τ' ᾐκίσατο,

cap. 30. Appius senatui persuadet, ne triumphum Servilio concedat;

Digitized by Google

το, πάντων ὁρώντων, καὶ τοὺς αὐχένας αὐτῶν ἐκέλευσεν ἀποκόψαι. ἀφικομένου δ' ἀπὸ τῆς στρατείας οὐ πολλαῖς ὕστερον ἡμέραις τοῦ συνυπάτου, καὶ τὸν εἰωθότα δίδοσθαι θρίαμβον ἀπὸ τῆς βουλῆς τοῖς ἀγῶνα λαμπρὸν ἀγωνισαμένοις στρατηγοῖς ἀξιοῦντος λαβεῖν, ἐμποδὼν ἐγίνετο, στασιαστὴν ἀποκαλῶν, καὶ πολιτείας πονηρᾶς ἐραστήν· μάλιστα δ' αὐτοῦ κατηγορῶν, ὅτι ἐκ τῶν τοῦ πολέμου λαφύρων οὐδεμίαν μοῖραν εἰς τὸ δημόσιον ἀνήγαγεν, ἀλλ' οἷς αὐτὸς ἐβούλετο κατεχαρίσατο· καὶ ἔπεισε τὴν βουλὴν, μὴ δοῦναι τῷ ἀνδρὶ τὸν θρίαμβον. ὁ δὲ Σερουΐλιος ὑβρίσθαι δοκῶν ὑπὸ τοῦ συνεδρίου, εἰς αὐθάδειαν οὐκ εἰωθυῖαν Ῥωμαίοις ἐτράπετο. καλέσας γὰρ εἰς ἐκκλησίαν τὸν δῆμον ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ, καὶ διεξελθὼν τὰ πραχθέντα κατὰ τὸν πόλεμον, καὶ τοῦ συνάρχοντος τὸν φθόνον, καὶ τῆς βουλῆς τὸν προπηλακισμὸν διηγησάμενος, ἔφη παρὰ τῶν ἑαυτοῦ πράξεων καὶ τοῦ συναγωνισαμένου στρατεύματος ἔχειν τὴν τοῦ πομπεύειν ἐπὶ καλοῖς τε καὶ εὐτυχέσιν ἔργοις ἐξουσίαν, ταῦτ' εἰπὼν, στεφανώσασθαι τοὺς ἄνδρας ἐκέλευσεν, καὶ αὐτὸς στεφανωσάμενος, ἔχων τὴν θριαμβικὴν ἐσθῆτα, προῆγεν εἰς τὴν πόλιν ὑπὸ τοῦ δήμου παντὸς προπεμπόμενος, ἕως εἰς τὸ Καπιτώλιον ἀνέβη, καὶ τὰς εὐχὰς ἀπέδωκε, καὶ τὰ σκῦλα ἀνέθηκεν. ἐκ δὲ τούτου φθόνον μὲν ἔτι μείζονα παρὰ τῶν πατρικίων ἐπεσπάσατο, οἰκεῖον δ' αὐτῷ παρεσκευάσατο τὸ δημοτικόν.

is igitur injussu patrum de Volscis triumphat.

Ἐν τοιαύταις δ' ἀκαταστασίαις τῆς πόλεως οὔσης, ἐκεχειρία τις ἐν τῷ διὰ μέσου γενομένη θυσιῶν πατρίων ἕνεκα, καὶ πανηγύρεις ἐπιλαβοῦσαι λαμπραὶ ταῖς δαπάναις ἐπέσχον ἐν τῷ παρόντι τὴν τοῦ πλήθους διχοστασίαν. ἑορτάζουσι δ' αὐτοῖς ἐπιτίθενται πολλῇ δυνάμει Σαβῖνοι, τοῦτον ἐκ πολλοῦ φυλάξαντες τὸν χρόνον, ἀρχομένης ἔτι νυκτὸς ποιησάμενοι τὴν ἐπίστασιν, ἵνα πρὶν αἰσθέσθαι τοὺς ἔνδον, ἐν τῇ πόλει γένωνται· καὶ ῥᾷστα ἂν ἐκράτησαν αὐτῶν, εἰ μὴ τῶν ψιλῶν τινες, ἀποσχισθέντες τῆς φάλαγγος, αὐλαῖς ἐπιβαλόντες ἁρπαγῆς ἕνεκεν, θόρυβον εἰργάσαντο. βοή τε γὰρ εὐθὺς ἐγένετο, καὶ δρόμος τῶν γεωργῶν εἰς τὸ τεῖχος, πρὶν ἢ ταῖς πύλαις τοὺς πολεμίους προσελθεῖν. ὡς δ' ἔγνωσαν αὐτῶν τὴν ἔφοδον οἱ κατὰ τὴν πόλιν, θεωροῦντες μεταξὺ καὶ τοὺς στεφάνους ἐπικείμενοι, καταλιπόντες τοὺς ἀγῶ-

cap. 31. Sabinos feriarum tempore irruentes fundit & fugat idem Servilius.

ἀγῶνας, ἐπὶ τὰ ὅπλα ὥρμησαν· καὶ φθάνει τῷ Σερουϊλίῳ συναχθεῖσα δύναμις αὐτοκέλευστος ἱκανή· ἣν ἐκεῖνος ἔχων συντεταγμένην, προσπίπτει τοῖς πολεμίοις ὑπό τ' ἀγρυπνίας καὶ κόπου τεταλαιπωρηκόσι, καὶ οὐ προσδεχομένοις τὴν Ῥωμαίων ἔφοδον. ὡς δὲ συνέτεινον εἰς χεῖρας, ἐγίνετο μάχη, τὸ μὲν ἐν τάξει καὶ κόσμῳ διὰ τὴν σπουδὴν ἑκατέρων ἀφῃρημένη· οἱ δ' ὡς ἀπὸ τύχης τινὲς, ἢ φάλαγξ φάλαγγι, ἢ λόχος λόχῳ, ἢ ἀνὴρ ἀνδρὶ συνέπεσον, ἱππεῖς τε καὶ πεζοὶ ἅμα πεφυρμένοι ἐμάχοντο. ἀρωγοὶ δ' αὐτοῖς ἑκατέρωθεν ἐπῄεσαν, οὐ διὰ μακροῦ τῶν πόλεων οὐσῶν· οἳ τὸ κάμνον ἀναθαῤῥύνοντες, ἐπὶ πολὺν χρόνον ἀντέχειν ταῖς ταλαιπωρίαις ἐποίουν. ἔπειτα οἱ Ῥωμαῖοι προσγενομένης σφίσι τῆς ἵππου, πάλιν νικῶσι τοὺς Σαβίνους· καὶ πολλοὺς ἀποκτείναντες, ἀνέστρεψαν εἰς τὴν πόλιν, ἄγοντες αἰχμαλώτους πάνυ συχνούς· τούς τε κατὰ τὴν πόλιν ὄντας Σαβίνων, οἳ κατὰ θέας πρόφασιν ἀφιγμένοι, προκαταλήψεσθαι τοῖς ἐπιοῦσι τὰ ἐρύματα τῆς πόλεως ἔμελλον, ὥσπερ αὐτοῖς συνετέτακτο, ἀναζητοῦντες εἰς τὰ δεσμωτήρια κατετίθεντο. τὰς δὲ θυσίας, ἅις ὁ πόλεμος ἐμποδὼν ἐγένετο, διπλασίας τῶν προτέρων ψηφισάμενοι, αὖθις ἐν εὐπαθείαις ἦσαν.

Μετὰ ταῦτα παραλαμβάνουσι τὴν ὑπατικὴν ἀρχὴν Αὖλος Οὐεργίνιος Μοντανὸς, καὶ Τίτος Οὐετούριος Γέμινος. ἐπὶ τούτων Σαβῖνοι πάλιν ἐπὶ Ῥωμαίους στρατιὰν ἐξάγειν μείζονα παρεσκευάζοντο· καὶ Μεδυλλῖνοι Ῥωμαίων ἀποστάντες, πρὸς τὸ Σαβίνων ἔθνος ὅρκους ἐποιήσαντο περὶ συμμαχίας. πυνθανόμενοι δὲ τὴν διάνοιαν αὐτῶν οἱ πατρίκιοι, παρεσκευάζοντο διὰ ταχέων ἐξιέναι πανστρατιᾷ· τὸ δὲ δημοτικὸν οὐχ ὑπήκουον αὐτοῖς, ἀλλ' ἐμνησικάκουν τῆς ψευσθείσης αὐτοῖς πολλάκις ὑποσχέσεως περὶ τῶν ἐπικουρίας δεομένων ἀπόρων, ἀντιδιεπαγόντων δὲ τῶν ὑπὲρ ἐκείνους ψηφιζομένων. κατ' ὀλίγους δὲ συλλεγόμενοι, ὅρκοις ἀλλήλους κατελάμβανον ὑπὲρ τοῦ μηκέτι συνάρασθαι τοῖς πατρικίοις πολέμου μηδενὸς, καθ' ἕνα τε τῶν ἀπόρων κατισχόμενοι κοινῇ καὶ πρὸς τοὺς ἐντυγχάνοντας βοηθήσοντες. καὶ ἐγίνετο πολλαχῇ μὲν καὶ ἄλλῃ τὰ τῶν συνωμοτῶν ἐν ἀψιμαχίαις λόγων τε καὶ ἔργων ἐμφανὲς, μάλιστα δ' ἐδηλοῦτο τοῖς ὑπάτοις. οἳς ἐπειδὴ οὐ προσῄεσαν οἱ καλούμενοι πρὸς τὴν ἀπολογίαν, συναρπάσαι τινὰ τῶν ἐκ τοῦ δήμου κελευσάν-

cap. 34.
A. U. 260.
ante Chr. 494.
Occasione belli cum Sabinis, Volscis & Aequis denuo imminentis intestinæ turbæ recrudescunt.

πάντων, οἱ πένητες ἀθρόοι συςραφέντες, τόν τε φερόμενον ἀφῃρῦντο, καὶ τὲς ὑπηρέτας τῶν ὑπάτων ἐ μεθιεμένες αὐτοὶ, παίοντες ἀπήλαυνον, καὶ ἐδ' ἱππέων ἔτε πατρικίων, ὅσοι παρόντες τὰ γινόμενα κωλύειν ἠξίεν, ἀπείχοντο μὴ ἐ παίειν· καὶ δι' ὀλίγε πᾶσα ἡ πόλις ἦν ἀκοσμίας πλήρης καὶ θορύβε. ἅμα δὲ τῇ ςάσει τῇ κατὰ τὴν πόλιν αὐξομένῃ, καὶ τὰ τῶν πολεμίων, πρὸς κατασκευὴν παρασκευαζόμενα, μείζω τὴν ἐπίδοσιν ἐλάμβανεν. Οὐολέσκων δὲ πάλιν ἀπόςασιν βελευσαμένων καὶ τῶν καλεμένων Αἰκανῶν, πρεσβεία ἀπὸ πάντων τῶν Ῥωμαίων ὑπηκόων παρῆν, ἀξιέντων σφίσι συμμαχεῖν ἐν τρίβῳ τε πολέμε κειμένοις. Λατῖνοι μὲν γὰρ ἔφασκον Αἰκανὲς, ἐμβαλόντας εἰς τὴν χώραν αὐτῶν, λεηλατεῖν τὲς ἀγρὲς [αὐτῶν,] καὶ πόλεις τινὰς ἤδη διηρπακέναι· οἱ δ' ἐν Κρεςομερίᾳ φρερoὶ πλησίον εἶναι Σαβίνες ἀποφαίνοντες, καὶ πολλῇ χρωμένες προθυμίᾳ τὸ φρέριον πολεμεῖν· ἄλλοι δέ τι ἄλλο κακὸν ἀπαγγέλλοντες γεγονὸς, ἢ γενησόμενον, καὶ βοήθειαν διαταχέων αἰτησόμενοι. παρεγένοντο δ' ἐπὶ τὸ συνέδριον καὶ παρὰ Οὐολέσκων πρέσβεις, ἀξιέντες ἀπολαβεῖν, ἣν ἀφῃρέθησαν ὑπ' αὐτῶν χώραν, πρὶν ἄρξαθαι πολέμε.

cap. 38. App. Claudius in plebem invehitur & Dictatorem creandum suadet.

Συναχθείσης δὲ περὶ τέτων τῆς βελῆς ὁ μὲν Ἄππιος Κλαύδιος, ὁ τὴν ὕπατον ἀρχὴν τῷ παρελθόντι ἔτει σχὼν, ἔλεξεν. "Ἀεὶ μὲν, ὦ βελὴ, ὁσάκις ὑπὲρ τέτων προτεθῇ λόγος, ἐπὶ τῆς αὐτῆς εἰμι γνώμης, μὴ ἐπιτρέπειν τῷ δήμῳ μηδὲν τῶν ἀξιεμένων, ὅ τι μὴ νόμιμον, μήτε καλὸν, μήτε τὸ φρόνημα τῆς πόλεως ἐλαττὲν· καὶ ἐδὲ νῦν μεταγινώσκω τῶν ἐξ ἀρχῆς μοι φανέντων ἐδέν· ἢ πάντων ἂν εἴην ἀνθρώπων ἀφρονέςατος, εἰ πέρυσι μὲν, ὕπατος ὢν, ἀντιπράττοντός μοι τε συνυπάτε, καὶ τὸν δῆμον ἐπισείοντος, ἀντέσχον, καὶ διέμεινα ἐπὶ τῶν ἐγνωσμένων, ἔτε φόβῳ ἀποτραπεὶς, ἔτε δεήσει, ἔτε χάρισιν εἴξας· νῦν δ', ἰδιώτης ὢν, ῥίψαιμι ἐμαυτὸν, καὶ τὴν παῤῥησίαν καταπροδοίην· εἴτε με τὸ ἐλεύθερον τῆς ψυχῆς ὑμῶν ἕκαςος βέλεται ἀποκαλεῖν εὐγενὲς, εἴτ' αὔθαδες, ὅσον ἂν ζῶ χρόνον, ἐκ ἀποςήσομαι τε ἤδη καλῶς δεδογμένε, καὶ ἐδέποτ' εἰσάξω χαριζόμενος τοῖς κακοῖς χρεῶν ἀποκοπὰς, ἀλλὰ καὶ πρὸς τὲς εἰσάγοντας αὐτὰς ἁπάσῃ προθυμίᾳ χρώμενος, ὁμόσε χωρήσω· λογιζόμενος, ὅτι πᾶσα κακία καὶ διαφθορὰ,

καὶ

Digitized by Google

καὶ συλλήβδην ἀνατροπὴ πόλεως ἀπὸ χρεοκοπίας ἄρχεται. καὶ εἴτε τις ἀπὸ νȣ̃ Φρονίμȣ, εἴτε, νὴ Δία, μανίας τινὸς, ἐπειδὴ ȣ̓ τὸ ἴδιον ἀσφαλὲς, ἀλλὰ τὸ τῆς πόλεως ἀξιῶ σκοπεῖν, εἴτε ὅπως δή ποτε οἰήσεται τάδε λέγεσθαι, συγχωρῶν αὐτῷ νομίζειν, ὅπως βȣ́λεται, μέχρι παντὸς ἐναντιώσομαι τοῖς μὴ τὰ πάτρια πολιτεύματα εἰσηγησαμένοις. ἐπειδὴ δ' ȣ̓ τὰ χρέα ἀπαιτȣ̃σιν οἱ καιροὶ, μεγάλην δὲ βοήθειαν, ὃ μόνον ἐςὶ τῆς διχοςασίας Φάρμακον ἐν τῷ παρόντι, Φράσαι, δικτάτωρα ἑλέσθαι κατὰ τάχος, ὃς ἀνυπευθύνῳ χρώμενος ἐξȣσίᾳ καὶ τὴν βȣλὴν καὶ τὸν δῆμον ἀναγκάσει τὰ κράτιςα τῷ κοινῷ Φρονεῖν· ἄλλη γὰρ ȣ̓κ ἔςαι τηλικȣ́τȣ κακȣ̃ λύσις."

Ταῦτ' εἰπόντος Ἀππίȣ, καὶ τῶν νέων ἐπιθορυβησάντων, ὡς τὰ δέοντα εἰσηγȣμένȣ, Σερȣΐλιος μὲν ἀντιλέξων ἀνέςη καὶ ἄλλοι τινὲς τῶν πρεσβυτέρων· ἡττῶντο δὲ ὑπὸ τῶν νεωτέρων, ἐκ παρασκευῆς τ' ἀφικνȣμένων καὶ βίᾳ πολλῇ χρωμένων· καὶ πέρας ἐνίκησεν ἡ Ἀππίȣ γνώμη. καὶ μετὰ ταῦτα οἱ ὕπατοι κοινῇ γνώμῃ χρησάμενοι, τῶν πλείςων οἰομένων Ἄππιον ἀποδειχθήσεσθαι δικτάτωρα, ὡς μόνον ἐπικρατῆσαι τῆς προςασίας δυνησόμενον, ἐκεῖνον μὲν ἀπήλασαν, Μάνιον δὲ Οὐαλέριον, ἀδελφὸν Ποπλίȣ τȣ̃ πρώτȣ ὑπατεύσαντος, καὶ δημοτικώτατον δοκȣ̃ντα ἔσεσθαι, καὶ ἄνδρα γηραιὸν, ἀπέδειξαν, αὐτὸ τὸ Φοβερὸν οἰόμενοι τῆς ἐξȣσίας ἀποχρῆναι· ἀνδρὸς δὲ τὰ πάντα ἐπιεικȣ̃ς τοῖς πράγμασι δεῖν, ἵνα μηδὲν ἐξεργάσηται νεώτερον.

cap. 39. Manius Valerius dictator tertius.

Παραλαβὼν δὲ τὴν ἀρχὴν Οὐαλέριος, καὶ προσελόμενος ἱππάρχην Κόϊντον Σερȣΐλιον, ἀδελφὸν τȣ̃ συνυπατεύσαντος Ἀππίῳ Σερȣϊλίȣ, παρήγγειλε τὸν δῆμον εἰς ἐκκλησίαν παρεῖναι. συνελθόντος δ' ὄχλȣ συχνȣ̃, τότε πρῶτον, ἐξ ȣ̃ τὴν ἀρχὴν ὁ Σερȣΐλιος ἀπέθετο, καὶ ὁ δῆμος ἀγόμενος ἐπὶ τὰς ςρατείας εἰς Φανερὰν ἀπόνοιαν ἐτράπετο, ἐλθὼν ἐπὶ τὸ βῆμα ἔλεξεν· "Ὦ πολῖται, εὖ ἴσμεν, ὅτι βȣλομένοις ὑμῖν ἐςιν, ἀεί τινας ἐκ τȣ̃ Οὐαλερίων γένȣς ἄρχειν ὑμῶν, ὑφ' ὧν ἐλεύθεροι τυραννίδος χαλεπῆς γεγονότες, ȣ̓δενὸς τῶν μετρίων ἀτυχήσειν, ȣ̓δὲ πάσχειν βίαν προσδοκᾶτε, ὑμᾶς αὐτȣ̀ς ἐπιτρέψαντες τοῖς ἁπάντων δημοτικωτάτοις δοκȣ̃σι καὶ ȣ̃σιν. ὥς' ȣ̓ διδαχῆς ὑμῖν δεομένοις, ὅτι βεβαιώσομεν τῷ δήμῳ τὸ ἐλεύθερον, ὅπερ καὶ ἐξ

cap. 40. Valerius populum ad arma contra hostes capienda admonet, quibus profligatis senatus ejus inopiam sublevaturum esse spondet.

ἐξ ἀρχῆς αὐτῷ ἐδώκαμεν, οἱ λόγοι ἔσονται, ἀλλὰ παρακλήσεως μετρίας, ἵνα πιςεύητε ἡμῖν, ὅ τι ἂν ὑποσχώμεθα ἐμπεδώσειν. ἡλικίας τε γὰρ, ἣ τὸ Φενακίζειν ἥκιςα ἐπιδέχεται, ἐπὶ τὸ τέλειον ἥκομεν, καὶ ἀξιώσεως, ἥτις τὸ ῥᾳδιουργεῖν ἐλάχιςον Φέρεται μέρος, ἀρκούντως ἔχομεν, χρόνον τ' οὐχ ἑτέρωθί που τὸν λειπόμενον βιοτεύσειν μέλλομεν, ἀλλ' ἐν ὑμῖν, δίκας, ὧν ἂν ἐξαπατῆσαι δοκῶμεν, ὑΦέξοντες. — προθύμως οὖν ἀποδύσασθε, καὶ δείξατε αὐτοῖς, ὅτι καὶ ςασιάζουσα ἡ Ῥωμαίων δύναμις κρείττων ἑτέρας ἐςὶν ὁμονοούσης· ἢ γὰρ οὐχ ὑπομενοῦσιν ἡμᾶς ἐπιόντας ὁμοθυμαδὸν, ἢ δίκας ὑΦέξουσι τῆς τόλμης ἀξίας· ἐνθυμήθητε γὰρ, ὅτι Οὐολοῦσκοι καὶ Σαβῖνοί εἰσιν, ὧν πολλάκις ἐκρατήσατε μαχομένων, οἱ τὸν πόλεμον ἐπάγοντες ἡμῖν, οὔτε σώματα νῦν μείζονα λαβόντες, οὔτε ψυχὰς τῶν προτέρων ἀλκιμωτέρας κτησάμενοι, ἀλλ' ὡς πρὸς ἀλλήλους ἐχόντων, καταΦρονήσαντες ὑμῶν. ὅταν δὲ τοὺς πολεμίους τιμωρήσησθε, ἐγγυῶμαι ὑμῖν τὴν βουλὴν ἐγὼ τάς τε ὑπὲρ τῶν χρεῶν Φιλονεικίας, καὶ ὅ τι ἂν ἄλλο παρ' αὐτῆς αἰτῆσθε μέτριον, ἀξίως τῆς ἀρετῆς, ἣν ἂν παράσχησθε ἐν τῷ πολέμῳ, βραβεύσειν. τέως δὲ ἀΦείσθω πᾶσα μὲν οὐσία, πᾶν δὲ σῶμα, πᾶσα δ' ἐπιτιμία πολίτου Ῥωμαίου ἀῤῥυσίαςος, ἀπό τε δανείου καὶ ἄλλου παντὸς συμβολαίου. τοῖς δὲ προθύμως ἀγωνισαμένοις κάλλιςος μὲν ςέΦανος πόλις ἥδε ἡ γειναμένη ςᾶσα ὀρθὴ, καλὸς δὲ καὶ ὁ παρὰ τῶν συνόντων ἔπαινος ὑπάρξει· καὶ ὁ παρ' ἡμῶν κόσμος ἱκανὸς οἶκόν τ' ἐπανορθῶσαι χρήμασι, καὶ γένος ἐπιλαμπρῦναι τιμαῖς. παράδειγμά τε ὑμῖν ἀξιῶ γενέσθαι τὸ ἐμὸν εἰς τοὺς κινδύνους πρόθυμον. ὑπεραγωνιοῦμαι γὰρ, ὡς οἱ κράτιςα ἐῤῥωμένοι ὑμῶν."

cap. 41.

cap. 42. Arma capiuntur.

Ταῦτ' εἰπόντος αὐτοῦ, πᾶς ὁ δῆμος ἀσμένως ἀκούσας, ὡς οὐδὲν ἔτι Φενακισθησόμενος, ὑπέσχετο συνάρασθαι τοῦ πολέμου, καὶ γίνεται δέκα ςρατιωτικὰ τάγματα, ἐξ ἀνδρῶν τετρακισχιλίων ἕκαςον. τούτων τρία μὲν ἕκαςος τῶν ὑπάτων ἔλαβε, καὶ τῶν ἱππέων, ὅσον ἑκάςῳ προσεμερίσθη· τὰ δὲ τέτταρα, καὶ τοὺς λοιποὺς ἱππεῖς, ὁ δικτάτωρ. καὶ αὐτίκα παρασκευασάμενοι, ᾤχοντο διὰ τάχους, ἐπὶ μὲν Αἰκανοὺς Τῖτος Οὐετούριος, ἐπὶ δὲ Οὐολούσκους Αὖλος Οὐεργίνιος, αὐτὸς δὲ ὁ δικτάτωρ Οὐαλέριος ἐπὶ Σαβίνους.

Digitized by Google

νες. τὴν δὲ πόλιν ἅμα τοῖς γεραιτέροις καὶ ὀλίγῳ τινὶ στρατεύματι τῶν ἀκμαίων Τῖτος Λάρκιος ἐφύλαττεν. ὁ μὲν ἦν Ὀυολέσκων πόλεμος ταχεῖαν τὴν κρίσιν ἔλαβε· πλήθει γὰρ ὑπεραίρειν πολὺ νομίσαντες, τῶν προτέρων κακῶν ἀναμνηθέντες, ἀγωνίσαι ταχέως ἢ φρονιμώτεροι ἀναγκασθέντες γενέσθαι, θᾶττον πρῶτοι ὥρμησαν ἐπὶ τὰς Ῥωμαίους, ἡνίκα ὤφθησαν ἐν συνόψει στρατοπεδεύσαντες. γενομένης δὲ μάχης καρτερᾶς, πολλὰ μὲν δράσαντες γενναῖα, πλείω δὲ τὰ δεινὰ ὑπομείναντες, εἰς φυγὴν τρέπονται· καὶ ὅ τε χάραξ αὐτῶν ἑάλω, καὶ πόλις ἐπιφανὴς ἐκ πολιορκίας παρέστη· Ὀυέλιτραι δ' ὄνομα αὐτῇ. ὁμοίως δὲ καὶ τὸ Σαβίνων φρόνημα ἐν ὀλίγῳ πάνυ ἐταπεινώθη χρόνῳ, μιᾷ παρατάξει ἐξ ἀμφοτέρων βληθέντων. ἔπειτα ἥ τε χώρα προενομεύθη, καὶ πολίχναι τινὲς ἑάλωσαν, ἐξ ὧν πολλὰ καὶ σώματα καὶ χρήματα οἱ στρατιῶται ἔλαβον. Αἰκανοὶ δὲ τὰ τῆς ἀσθενείας αὐτῶν ὑφορῶντες, ἐπεὶ τὰ τῶν συμμάχων τέλος ἔχοντα ἐπύθοντο, χωρίοις τ' ἐχυροῖς ὑπεκάθηντο, καὶ εἰς μάχας οὐ προῄεσαν, τάς τ' ἀποχωρήσεις, ὅπῃ ἐδύναντο, δι' ὀρῶν ἢ δρυμῶν κορυφῶν ἐποιοῦντο, καὶ διέτριψαν μὲν ἄχρι τινὸς διαφέροντες τὸν πόλεμον· οὐ μέντοιγε διασώσασθαι ἀθῷον τὴν στρατιὰν ἐδυνήθησαν, ἐπιθεμένων αὐτοῖς τῶν Ῥωμαίων ἐν χωρίοις κρημνώδεσι τολμηρῶς, καὶ λαβόντων τὸ στρατόπεδον κατὰ κράτος. ἔπειτα φυγή τ' αὐτῶν ἐκ τῆς Λατίνων γῆς ἐγένετο, καὶ παραδόσεις τῶν πόλεων, ἃς ἔτυχον αὐτῶν τῇ πρώτῃ ἐφόδῳ καταλαβόμενοι. εἰσὶ δ' ὧν καὶ, ἐκ φιλονεικίας οὐκ ἐκλιπόντων τὰς ἄκρας, ἁλώσεις.

Volsci profligati.

Sabini devicti.

Aequi domiti.

Ὀυαλέριος δὲ, κατὰ νοῦν χωρήσαντος αὐτῷ τοῦ πολέμου, τὸν εἰωθότα θρίαμβον ἀπὸ τῆς νίκης καταγαγών, ἀπέλυσε τὸν δῆμον ἀπὸ τῆς στρατείας, οὔπω τῆς βουλῆς καιρὸν εἶναι νομιζούσης, ἵνα μὴ τὰς ὑποσχέσεις ἀπαιτοῖεν οἱ ἄποροι· εἰς δὲ τὴν δορίκτητον, ἣν Ὀυολέσκους ἀφείλοντο, κληρούχους ἀπέστειλεν, ἐπιλέξας ἄνδρας ἐκ τῶν ἀπόρων, οἳ τήν τε πολεμίαν φρουρήσειν ἔμελλον, καὶ τὸ ἐν τῇ πόλει στασιάζον ἔλαττον ἀπολείψειν. ταῦτα διοικησάμενος, ἠξίου τὴν βουλὴν τὰς ὑποσχέσεις αὐτῷ βεβαιῶσαι, κεκομισμένην τὸ παρὰ τοῦ πλήθους πρόθυμον ἐν τοῖς ἀγῶσιν,

cap. 43. Senatus, quæ Valerius populo promiserat, præstare recusat.

σιν. ὡς δ' ὁ προσεῖχεν αὐτῷ τὸν νοῦν, ἀλλ' ὅπερ πρότερον ἠναντιοῦντο τῇ γνώμῃ συστρέψαντες ἑαυτοὺς νέοι καὶ βίαιοι, καὶ πλήθει τῶν ἑτέρων ἐπικρατοῦντες, οὗτοι καὶ τότε ἀντέπραττον, καὶ πολλῇ καταβοῇ ἐχρῶντο, τὴν οἰκίαν αὐτῶν δημοκόλακα ἀποφαίνοντες, καὶ νόμων πονηρῶν ἀρχηγόν, ᾧ δὲ μάλιστα ἠγάλλοντο οἱ ἄνδρες ἐπὶ τῆς ἐκκλησίας καὶ τῶν δικαστηρίων πολιτεύματι, τούτῳ πᾶσαν ἠφανικέναι τὴν τῶν πατρικίων δυναστείαν αἰτιώμενοι· σχετλιάσας Οὐαλέριος πολλά, καὶ, ὅτι μὴ δίκαια πάσχοι διαβεβλημένος ὑπ' αὐτῶν πρὸς τὸν δῆμον, ὀνειδίσας, τήν τε μέλλουσαν καταλήψεσθαι σφᾶς τύχην, τοιαῦτα βουλευσαμένους, ἀνακλαυσάμενος, καὶ, οἷα εἰκὸς ἐν τοιούτῳ κακῷ, τὰ μὲν ἐκ πάθους, τὰ δ' ἀπὸ τοῦ πλεῖόν τι τῶν πολλῶν νοεῖν, ἀποθεσπίσας, ᾤχετο ἀπιὼν ἐκ τοῦ βουλευτηρίου· καὶ συγκαλέσας τὸν δῆμον εἰς ἐκκλησίαν, ἔλεξε. "Πολλὴν χάριν ὑμῖν εἰδώς, ὦ πολῖται, τῆς τε προθυμίας, ἣν παρέσχεσθέ μοι, ἑκούσιοι συναράμενοι τοῦ πολέμου, καὶ ἔτι μᾶλλον τῆς ἀρετῆς, ἣν ἐν τοῖς ἀγῶσιν ἀπεδείξασθε, μεγάλην μὲν ἐποιούμην σπουδήν, ἀμείψασθαι ὑμᾶς τοῖς τ' ἄλλοις, καὶ τῷ μὴ ψεύσασθαι τὰς ὑποσχέσεις, ἃς ὑπὲρ τῆς βουλῆς ἐποιούμην πρὸς ὑμᾶς, καὶ εἰς ὁμόνοιαν ἤδη ποτὲ καταστῆσαι τὴν στάσιν ὑμῶν, σύμβουλος καὶ διαιτητὴς ἀμφοῖν γενόμενος· κωλύομαι δὲ πράττειν αὐτά, διὰ τοὺς οὐ τὰ βέλτιστα τῷ κοινῷ φρονοῦντας, τὰ δὲ σφίσιν αὐτοῖς ἐν τῷ παρόντι κεχαρισμένα προαιρουμένους, οἳ πλήθει τ' ἐπικρατοῦντες τῶν ἑτέρων, καὶ δυνάμει, ἣν τὸ νέον αὐτοῖς παρέχεται μᾶλλον ἢ τὰ πράγματα, ἔρρωνται. ἐγὼ δὲ γέρων τε δή, ὡς ὁρᾶτε, καὶ ἑτέρους τοιούτους ἔχω συμμάχους, ὧν ἥ τ' ἐν τῇ γνώμῃ οὖσα ἰσχύς, ἀδύνατός ἐστιν ἔργῳ ἐπεξελθεῖν, καὶ περιέστηκεν ἡ δοκοῦσα ἡμῶν τοῦ κοινοῦ πρόνοια, ἰδίᾳ πρὸς ἑκάτερον μέρος ἀπέχθειαν φερομένη. τῇ τε γὰρ βουλῇ δι' αἰτίας εἰμί, ὡς τὸ ὑμέτερον πλῆθος θεραπεύων, καὶ πρὸς ὑμᾶς διαβέβλημαι, ὡς ἐκείνῃ μᾶλλον τὴν εὔνοιαν ἀποδεικνύμενος. — ἐπειδὴ δὲ ὑπὲρ ἑβδομήκοντα ἔτη γέγονα, καὶ οὐ δυνατὸς ἔτι ἀμύνειν ἑαυτῷ εἰμι, ὁρῶν τε, ὅτι οὐκ ἂν ἔτι ὑπ' ἐμοῦ παύσαιτο ἡ στάσις ὑμῶν, ἀποτίθεμαι τὴν ἀρχήν, καὶ ἐπὶ τοῖς βουλομένοις τὸ σῶμα ἐμαυτοῦ ποιῶ, εἴ τι δίονται ὑπ' ἐμοῦ ἐξηπατῆσθαι, χρήσασθαί μοι, ὅτι ἂν δικαιῶσι." Ταῦτ'

Valerius tergiversatione senatus populo exposita imperium deponit.

cap. 44.

Digitized by Google

Ταῦτ' εἰπὼν, τὸ μὲν δημοτικὸν ἅπαν εἰς συμπάθειαν ὑπηγάγετο, καὶ πρέπεμψαν αὐτὸν ἐκ τῆς ἀγορᾶς ἀπιόντα· τὴν δὲ βουλὴν ἔτι χαλεπωτέραν αὐτῷ γενέσθαι ἐποίησεν. εὐθὺς δὲ μετὰ τοῦτο τάδ' ἐγίνετο· οἱ μὲν πένητες οὐκέτι κρύφα, οὐδὲ νύκτωρ, ὡς πρότερον, ἀλλ' ἀναφανδὸν ἤδη συνιόντες, ἐβούλευον ἀπόστασιν ἐκ τῶν πατρικίων. ἡ δὲ βουλὴ κωλύειν διανοουμένη, τοῖς ὑπάτοις ἐπέταξε, μήπω λύειν τὰ στρατεύματα. τῶν γὰρ ἱερῶν ταγμάτων ἔτι κύριος ἦν, τοῖς στρατιωτικοῖς ὅρκοις κατειργομένων, καὶ οὐδεὶς ἀπολείπεσθαι τῶν σημείων ἠξίου· τοσοῦτον ἴσχυσεν ὁ τῶν ὅρκων ἐν ἑκάστῳ φόβος. πρόφασις δὲ κατεσκευάσθη τῆς στρατείας, ὡς Αἰκανῶν καὶ Σαβίνων συνεληλυθότων εἰς ἓν ἐπὶ τῷ κατὰ Ῥωμαίων πολέμῳ. ὡς δὲ προῆλθον ἔξω τῆς πόλεως οἱ ὕπατοι τὰς δυνάμεις ἔχοντες, καὶ τὰς παρεμβολὰς οὐ πρόσω ἀπ' ἀλλήλων ἔθεντο, συνελθόντες οἱ στρατιῶται εἰς ἓν πάντες, ὅπλων τε καὶ σημείων ὄντες κύριοι, Σικιννίου τινὸς Βέλλου παροξύναντος αὐτοὺς, ἀφίστανται τῶν ὑπάτων, ἁρπάσαντες τὰ σημεῖα· τιμιώτατα γὰρ Ῥωμαίοις ταῦτα ἐπὶ στρατείας, καὶ ὥσπερ ἱδρύματα θεῶν ἱερὰ νομίζονται· λοχαγούς τε ἑτέρους, καὶ περὶ ἁπάντων ἄρχοντα τὸν Σικίννιον ἀποδείξαντες, ὄρος τι καταλαμβάνονται πλησίον Ἀνίητος ποταμοῦ κείμενον, οὐ πρόσω τῆς Ῥώμης, ὃ νῦν ἐξ ἐκείνου Ἱερὸν ὄρος καλεῖται. τῶν δὲ ὑπάτων καὶ λοχαγῶν μετακαλούντων αὐτοὺς ἅμα δεήσει καὶ οἰμωγῇ, καὶ πολλὰ ὑπισχνουμένων, ἀπεκρίνατο ὁ Σικίννιος· "Τίνα γνώμην ἔχοντες, ὦ πατρίκιοι, οὓς ἀπηλάσατε ἐκ τῆς πατρίδος, καὶ ἀντ' ἐλευθέρων δούλους ἐποιήσατε, νῦν μετακαλεῖτε; ποίᾳ δὲ πίστει τὰς ὑποσχέσεις ἡμῖν ἐμπεδώσετε, ἃς πολλάκις ἤδη ψευσάμενοι ἐλέγχεσθε; ἀλλ' ἐπειδὴ μόνοι τὴν πόλιν ἀξιοῦτε κατέχειν, ἄπιτε μηδὲν ὑπὸ τῶν πενήτων καὶ ταπεινῶν ἐνοχλούμενοι· ἡμῖν δ' ἀρκέσει πᾶσα γῆ, ἐν ᾗ ἂν τὸ ἐλεύθερον ἔχωμεν, ὁποία ποτ' ἂν ᾖ, νομίζεσθαι πατρίς."

cap. 45. Inopes propalam consultant de defectione a patriciis facienda.

Belli summa ad Sicinnium delata, secedunt in montem Sacrum ad Anienem.

Ὡς δ' ἠγγέλθη ταῦτα τοῖς ἐν τῇ πόλει, πολὺς θόρυβος καὶ οἰμωγὴ ἦν, καὶ διὰ τῶν στενωπῶν δρόμος, τοῦ μὲν δήμου καταλιπεῖν τὴν πόλιν παρασκευαζομένου, τῶν δὲ πατρικίων ἀποτρέπειν ἀξιούντων, καὶ βίαν τοῖς μὴ βουλομένοις προσφέρειν· βοή τε περὶ τὰς πύλας καὶ πολὺς ἀνα-

cap. 46. Status urbis exinde ortus.

ἀνακλαυσμὸς ἦν, λόγοι τε κατ' ἀλλήλων ἐχθροί, καὶ ἔργα πολεμίων ἐγίνοντο, οὐκέτι διακρίνοντος οὐδενὸς οὔτε ἡλικίαν, οὔτε ἑταιρείαν, οὔτ' ἀξίωσιν ἀρετῆς. ἐπειδὴ δὲ οἱ ταχθέντες ὑπὸ τῆς βουλῆς φρουρεῖν τὰς ἐξόδους· ἦσαν γὰρ δὴ ὀλίγοι· οὐχ ἱκανοὶ ἔτι ἀντέχειν, ἐκβιασθέντες ὑπὸ τοῦ δήμου, κατέλιπον τὴν φυλακήν, τότε ἤδη τὸ δημοτικὸν πολὺ ἐξεχεῖτο, καὶ τὸ πάθος ἦν ἁλώσει πόλεως ἐμφερές, οἰμωγή τε τῶν ὑπομενόντων, καὶ κατάμεμψις ἀλλήλων ἐγίνετο ἐρημουμένην τὴν πόλιν ὁρώντων. μετὰ τοῦτο βουλαί τε συχναὶ καὶ κατηγορίαι τῶν αἰτίων τῆς ἀποστάσεως ἐγίνοντο. ἐν δὲ τῷ αὐτῷ καιρῷ, καὶ τὰ πολέμια ἔθνη ἐπετίθεντο αὐτοῖς, προνομεύοντα τὴν γῆν ἄχρι τῆς πόλεως. οἱ μέντοι ἀποστάται, τὸν ἀναγκαῖον ἐπισιτισμὸν ἐκ τῶν πλησίον ἀγρῶν λαμβάνοντες, ἄλλο δ' οὐδὲν τὴν χώραν κακουργοῦντες, ἔμενον ὑπαίθριοι, καὶ τοὺς προσιόντας ἐκ τῆς πόλεως καὶ τῶν πέριξ φρουρίων ὑπελάμβανον, συχνοὺς ἤδη γινομένους. οὐ γὰρ μόνον οἱ τὰ χρέα καὶ τὰς καταδίκας καὶ τὰς προσδοκωμένας ἀνάγκας διαφυγεῖν προαιρούμενοι συνέρρεον ὡς αὐτούς, ἀλλὰ καὶ τῶν ἄλλων, ὅσοις ὁ βίος ἦν ἀργός, ἢ ῥάθυμος, ἢ ταῖς ἐπιθυμίαις χορηγεῖν οὐχ ἱκανός, ἢ πονηρῶν ἐπιτηδευμάτων ζηλωτής, ἢ φθονερὸς ταῖς ἑτέρων εὐτυχίαις, ἢ δι' ἄλλην τινὰ συμφορὰν ἢ αἰτίαν ἀλλοτρίως διακείμενος τῇ καθεστώσῃ πολιτείᾳ.

cap. 47. Τοῖς δὲ πατρικίοις ἐν μὲν τῷ παρόντι ταραχὴ ἐνέπεσε πολλὴ καὶ ἔκπληξις, καὶ ὡς αὐτίκα δὴ μάλα τῶν ἀποστατῶν ἅμα τοῖς ἀλλοεθνέσι πολεμίοις ἐπὶ τὴν πόλιν ἡξόντων δέος. ἔπειτα, ὡς ἐξ ἑνὸς παρακελεύματος ἁρπάσαντες τὰ ὅπλα, σὺν τοῖς οἰκείοις ἕκαστοι πελάταις, οἱ μὲν ἐπὶ τὰς ὁδούς, ἃς ἥξειν ἐνόμιζον τοὺς πολεμίους, παρεβοήθουν· οἱ δ' ἐπὶ τὰ φρούρια, φυλακῆς ἕνεκα τῶν ἐρυμάτων, ἐξῄεσαν· οἱ δ' ἐν τοῖς προκειμένοις τῆς πόλεως πεδίοις ἐστρατοπεδεύοντο· ὅσοι δὲ διὰ γῆρας ἀδύνατοι τούτων τι δρᾶν ἦσαν, ἐπὶ τοῖς τείχεσιν ἐτάξαντο. ἐπεὶ δὲ τοὺς ἀποστάτας κατέμαθον οὔτε τοῖς πολεμίοις προστιθεμένους, οὔτε τὴν χώραν δῃοῦντας, οὔτ' ἄλλο βλάπτοντας οὐδέν, ὅ τι καὶ λόγου ἄξιον, τοῦ δέους ἐπαύσαντο· καὶ μεταθέμενοι τὰς γνώμας, ἐφ' οἷς διαλλαγήσονται πρὸς αὐτοὺς ἐσκό-

ἐσκό-

Digitized by Google

ἐσκόπεν· καὶ ἐλέχθησαν ὑπὸ τῶν ἡγεμένων τῦ συνεδρίυ λόγοι παντοδαποὶ, καὶ πλεῖσον ἀλλήλων διάφοροι, μετριώτατοι καὶ πρεπωδέςατοι ταῖς παρέσαις τύχαις, ὓς οἱ πρεσβύτατοι αὐτῶν ἔλεξαν, διδάσκοντες, ὡς ἐδεμίᾳ κακίᾳ πεποίηται τὴν ἀπόςασιν ἀπ᾽ αὐτῶν ὁ δῆμος, ἀλλὰ τὰ μὲν ὑπὸ τῶν ἀναγκαίων συμφορῶν βιαθεὶς, τὰ δὲ ὑπὸ τῶν συμβέλων ἐξηπατημένος, ὀργῇ δὲ μᾶλλον ἢ λογισμῷ τὰ συμφέροντα κρίνων· οἷα ἐν ἀμαθίᾳ γίγνεθαι φιλεῖ· ἔπειτα, ὅτι συνοίδασιν αὑτοῖς κακῶς βεβελευμένοις οἱ πλεῖες, καὶ ζητῦσιν ἀναλύσαθαι τὰς ἁμαρτίας, ἐυσχήμονας ἀφορμὰς λαμβάνοντες. τὰ γῦν ἔργα δρῶσιν ἤδη μετεγνωκότων, καὶ εἰ λάβοιεν ἐλπίδα χρηςὴν περὶ τῦ μέλλοντος χρόνυ, ψηφισαμένης αὐτοῖς ἄδειαν τῆς βελῆς καὶ διαλλαγὰς ποιησαμένης ἐυπρεπεῖς, ἀγαπητῶς τὰ σφέτερα δέξονται. ἠξίυν τε ταῦτα παραινῦντες, μὴ χεῖρας ὀργὴν εἶναι τῶν κακιόνων τὰς κρείττονας, μηδ᾽ εἰς ἐκεῖνον ἀναβαλλέθαι τὸν χρόνον τὰς διαλλαγὰς, ὅτ᾽ ἢ νῦν ἔχειν ἀναγκαθήσεται τὸ ἀνόητον, ἢ τῷ μείζονι κακῷ τὔλαττον ἰᾶθαι, ὅπλων παραδόσει καὶ σωμάτων ἐπιτροπῇ τὴν ἐλευθερίαν ἀφαιρεθὲν αὐτὸ ὑφ᾽ ἑαυτῦ· ταῦτα γὰρ ἐγγὺς εἶναι τῦ ἀδυνάτυ· μετρίως δὲ χρησαμένυς, ἀρχηγὺς τῶν συμφερόντων βυλευμάτων γενέθαι, καὶ προτέρυς ἐκείνων ἐπὶ τὰς διαλλαγὰς χωρεῖν, ἐνθυμυμένυς, ὅτι τὸ μὲν ἄρχειν καὶ ἐπιτροπεύειν τοῖς πατρικίοις ὑπάρχει, φιλότητος δὲ καὶ εἰρήνης τοῖς ἀγαθοῖς. τὸ δ᾽ ἀξίωμα τῆς βυλῆς ἐκ ἐν τῷδε μάλιςα ἐλαττώσεθαι ἀπέφαινον, ἐν ᾧ [μάλιςα] τὰς ἀναγκαίας συμφορὰς γενναίως φέροντες ἀσφαλῶς πολιτεύσωσιν, ἀλλ᾽ ἐν ᾧ δυσοργήτως ταῖς τύχαις ὁμιλῦντες ἀνατρέψυσι τὸ κοινόν. ἀνοίας δ᾽ ἔργον εἶναι, τὰς ἐυπρεπείας ὀρεγομένυς, τῆς ἀσφαλείας ὑπερορᾷν· ἀγαπητὸν μὲν γὰρ, ἀμφοῖν τυγχάνειν· εἰ δ᾽ ἐξείργοιτό τις θατέρυ, τὰ σωτήρια τῶν ἐυπρεπεςέρων νομιςέα ἀναγκαιότερα. τέλος δ᾽ ἦν τῶν ταῦτα παραινύντων, πρέσβεις ἀποςέλλειν τὺς διαλεξομένυς τοῖς ἀφεςηκόσι περὶ φιλίας, ὡς ὐδὲν αὐτοῖς ἡμάρτηται ἀνήκεςον.

Consultatur, quibus conditionibus res componi possit.

Ἐδόκει ταῦτα τῇ βυλῇ· καὶ μετὰ ταῦτα προχειρισαμένη τὺς ἐπιτηδειοτάτυς, διεπέμψατο πρὸς τὺς ἐπὶ τῦ χάρακος, ἐντειλαμένη πυθάνεθαι παρ᾽ αὐτῶν, τίνος δέονται,

cap. 48. Legati ad plebem de pace acturi mittuntur, promit-

Digitized by Google

tentes delictorum impunitatem, si redierint.

ται, καὶ ἐπὶ τίσι δικαίοις ἀξιᾶσιν εἰς τὴν πόλιν ἀναςρέφειν· εἰ γὰρ εἴη τι μέτριον καὶ δυνατὸν τῶν αἰτημάτων, ὐκ ἐναντιώσεσθαι σφίσι τὴν βȣλήν. νῦν μὲν ȣ̃ν αὐτοῖς ἀποθεμένοις τὰ ὅπλα, καὶ κατιȣ̃σιν εἰς τὴν πόλιν, ἄδειαν ὑπάρξειν τῶν ἡμαρτημένων, καὶ εἰς τὸν ἀπὸ τȣ̃δε χρόνον ἀμνηςίαν· ἐὰν δὲ κράτιςα δȣλεύωσι τῷ κοινῷ, καὶ προθύμως κινδυνεύωσι περὶ τῆς πατρίδος, ἀμοιβὰς καλὰς καὶ λυσιτελεῖς. ταύτας οἱ πρέσβεις τὰς ἐντολὰς κομισάμενοι, ἀπέδοσαν τοῖς ἐπὶ τȣ̃ ςρατοπέδȣ καὶ τὰ ἀκόλȣθα διελέχθησαν. ȣ̓ δεξαμένων δὲ τῶν ἀποςατῶν τὰς προκλήσεις, ἀλλ' ὑπεροψίαν καὶ βαρύτητα καὶ πολλὴν εἰρωνείαν τοῖς πατρικίοις ὀνειδισάντων, εἰ προσποιȣ̃νται μὲν ἀγνοεῖν, ὧν ὁ δῆμος δεῖται, καὶ δι' ἃς ἀνάγκας ἀπ' αὐτῶν ἀπέςη· χαρίζονται δ' αὐτῷ τὴν ἄδειαν τȣ̃ μηδεμίαν ὑποσχεῖν τῆς ἀποςάσεως δίκην, ὥσπερ ἔτι κύριοι, τῆς βοηθείας τ' αὐτοὶ δεόμενοι τῆς πολιτικῆς ἐπὶ τὰς ὀθνείȣς πολεμίȣς ȣ̓κ εἰς μακρὰν ἐλευσομένȣς πανςρατιᾷ, πρὸς ȣ̃ς ȣ̓δ' ἀντᾶραι δυνήσονται, οἱ ȣ̓ σφέτερον ἡγȣ̃νται τὸ σωθῆναι ἀγαθὸν, ἀλλὰ τῶν συναγωνιȣμένων εὐτύχημα· τέλος δὲ τȣ̃το προσθέντων τῷ λόγῳ, ὡς ἄμεινον ἤδη αὐτοὶ μαθόντες τὰς κατεχȣ́σας τὴν πόλιν ἀπορίας, γνώσονται, πρὸς οἵȣς ἀντιπάλȣς αὐτοῖς ἔςαι ὁ ἀγὼν, καὶ πολλὰς καὶ χαλεπὰς ἀπειλὰς ἐπανατειναμένων· οἱ μὲν πρέσβεις, ȣ̓δὲν ἔτι πρὸς ταῦτα ἀντειπόντες, ἀπηλλάττοντο, καὶ τὰ παρὰ τῶν ἀποςατῶν τοῖς πατρικίοις ἐδήλωσαν. ἡ δὲ πόλις, ἐπειδὴ τὰς ἀποκρίσεις ταύτας ἔλαβεν, ἐν ταραχαῖς καὶ δείμασι πολλῷ χαλεπωτέροις ἢ πρόσθεν ἐγένετο, καὶ ȣ̓́τε ἡ βȣλὴ πόρον εὑρεῖν οἵα τ' ἦν, ȣ̓́τ' ἀναβολὰς, δυσφημιῶν δὲ καὶ κατηγοριῶν, ἃς οἱ προεςηκότες αὐτῆς ἐποιȣ̃ντο κατ' ἀλλήλων, ἐπὶ πολλὰς ἀκȣ́ȣσα ἡμέρας, διελύετο· ȣ̓́τε τὸ δημοτικὸν πλῆθος, ὅσον ἔτι παρέμενεν εὐνοίᾳ τῶν πατρικίων, ἢ πόθῳ τῆς πατρίδος ἠναγκασμένον, ὅμοιον ἦν, ἀλλὰ καὶ τȣ́τȣ φανερῶς τε καὶ κρύφα πολὺ μέρος διέῤῥει, βέβαιον δ' ȣ̓δὲν τῶν καταλειπομένων ἐδόκει εἶναι. τȣ́των δὲ γενομένων, οἱ μὲν ὕπατοι· καὶ γὰρ ἦν βραχὺς ὁ λειπόμενος αὐτοῖς ἔτι τῆς ἀρχῆς χρόνος· ἡμέραν ἔςησαν ἀρχαιρεσιῶν.

Hac pacis conditione exacerbati, qui secessionem fecerant, in patriciorum superbiam invehuntur.

Ὁ

Ὁ δὲ δῆμος, ἐπειδὴ παρῆν ὁ χρόνος, ἐν ᾧ τὰς ἀρχὰς ἐπικυροῦν ἔδει συνελθόντας εἰς τὸ πεδίον, οὐδενὸς οὔτε μετιόντος τὴν ὑπατείαν, οὔτε διδομένην ὑπομένοντος λαβεῖν, αὐτὸς ἀποδείκνυσιν ὑπάτους ἐκ τῶν εἰληφότων ἤδη τὴν ἀρχὴν ταύτην, δήμῳ κεχαρισμένους ἄνδρας καὶ ἀριστοκρατίᾳ, Πόστουμον Κομίνιον, καὶ Σπόριον Κάσσιον, ὑφ' ὧν Σαβῖνοι καταπολεμηθέντες τῆς ἡγεμονίας ἀπέστησαν, ἐπὶ τῆς ἑβδομηκοστῆς καὶ ἑβδόμης ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Τισικράτης Κροτωνιάτης, ἄρχοντος Ἀθήνησι Διογνήτου. οὗτοι παραλαβόντες τὴν ἀρχὴν καλάνδαις Σεπτεμβρίαις, θᾶττον ἢ τοῖς προτέροις ἔθος ἦν, πρὶν ἢ τῶν ἄλλων τι διαπράξασθαι, βουλὴν συγκαλέσαντες περὶ τῆς καθόδου τῶν δημοτικῶν, λέγειν ἠξίουν ἣν τινα διάνοιαν ἔχοι.

cap. 49. Plebs, nemine consulatum ambiente, Coss. facit eos, qui eum magistratum jam ante gesserant. A. U. 261. ante Chr. 493.

Novi Coss. de plebis reditu ad senatum referunt.

Οἱ μὲν οὖν ἀριστοκρατικοὶ δοκοῦντες εἶναι, καὶ τὰ δικαιότερα πρὸ τῶν ἀδίκων οἰόμενοι δεῖν σκοπεῖν, τῇ Κλαυδίου γνώμῃ προσετίθεντο, καὶ τοὺς ὑπάτους ἠξίουν μάλιστα μὲν τῇ κρείττονι προσχωρῆσαι μερίδι, διαλογιζομένους, ὅτι βασιλικὸν ἔχουσι τὸ τῆς ἀρχῆς κράτος, οὐ δημοτικόν· εἰ δὲ μή γε, φυλάττειν αὐτοὺς ἴσους, καὶ μὴ κατισχύειν μηδετέραν τῶν στάσεων, διαριθμησαμένους δὲ τὰς γνώμας τῶν συνέδρων, ταῖς πλείοσι γνώμαις στοιχεῖν. εἰ δὲ τούτων ἀμφοτέρων ὑπεριδόντες, αὐτοκράτορας αὐτοὺς ποιήσωνται τῶν διαλύσεων, οὐκ ἐπιτρέψειν αὐτοῖς ἔλεγον, ἀλλ' ἐναντιώσεσθαι πάσῃ προθυμίᾳ, λόγοις τ', ἄχρις ἂν ἐξῇ, χρώμενοι, καὶ ὅπλοις, ὅταν ἀνάγκη γένηται· ἦν δὲ τοῦτο στίφος καρτερόν, καὶ σχεδὸν ἅπασα τῶν πατρικίων ἡ νεότης ταύτης εἴχετο τῆς προαιρέσεως. οἱ δὲ τῆς εἰρήνης ἐπιθυμοῦντες, τῇ Μενινίου τε καὶ Οὐαλερίου (ἐπὶ τὰς διαλλαγὰς τὴν βουλὴν παρακαλούντων) γνώμῃ προσετίθεντο, καὶ μάλιστα οἱ προβεβηκότες ταῖς ἡλικίαις, ἐνθυμούμενοι τὰς συμφοράς, ὅσαι καταλαμβάνουσι τὰς πόλεις ἐκ τῶν ἐμφυλίων πολέμων. ἐξηττώμενοι δὲ τῆς κραυγῆς τῶν νέων καὶ τῆς ἀκοσμίας, τό τε φιλότιμον αὐτῶν ὑφορώμενοι καὶ τὸν ἐπιπολασμόν, ὃν ἐποιοῦντο κατὰ τῶν ὑπάτων, δεδιότες ὡς οὐ πρόσω χειροκρασίας ἐλευσόμενον, εἰ μή τις αὐτοῖς εἴξειεν, εἰς δάκρυα καὶ δεήσεις τῶν ἐναντιουμένων τελευτῶντες ἐτράποντο.

cap. 65. App. Claudii clariori sententiæ assentiuntur patricii & juniores;

mitiori Menenii Agrippæ & Valerii senatores provectioris ætatis.

Λω-

cap. 66. Coss. senatum dimittunt, moti immodestia juniorum.

Λαφήσαντος δὲ τῦ θορύβυ καὶ σιωπῆς γενομένης σὺν χρόνῳ, διαλεχθέντες ἔτι πρὸς αὐτὺς οἱ ὕπατοι, τέλος ἐξήνεγκαν τῆς ἑαυτῶν γνώμης τοιόνδε· "Ἡμεῖς, ὦ βυλή, μάλιστα μὲν ἠξιῦμεν ἅπαντας ὑμᾶς ὁμογνωμονεῖν, [ἄλλως τε] καὶ ταῦτα περὶ κοινῆς σωτηρίας βυλευομένυς· εἰ δὲ μή, τοῖς πρεσβυτέροις ὑμῶν εἴκειν τὺς νεωτέρυς, καὶ μὴ φιλονεικεῖν, ἐνθυμυμένυς, ὅτι κἀκείνοις εἰς ταύτην ἔλθῦσι τὴν ἡλικίαν τῆς ἴσης ὑπάρξει τυγχάνειν τιμῆς παρὰ τῶν ἐγγόνων. ἐπεὶ δ' ὁρῶμεν εἰς ἔριν ὑμᾶς ἐκπεπτωκότας ὀλεθριωτάτην τῶν ἀνθρωπείων νόσων, καὶ πολλὴν τὴν αὐθάδειαν ὑμῶν ὁμιλῦσαν τῷ νέῳ, νῦν μέν, ἐπεὶ βραχὺ τὸ λειπόμενόν ἐστι τῆς ἡμέρας, καὶ ὐκ ἂν δύναιτο τέλος ἐν τύτῳ λαβεῖν τὰ δόξαντα ὑμῖν, ἄπιτε ἐκ τῦ συνεδρίυ· εἰς δὲ τὸν ἐπιόντα σύλλογον ἥξετε μετριώτεροι γενόμενοι, καὶ γνώμας ἔχοντες ἀμείνυς. εἰ δὲ παραμένοι τὸ φιλόνεικον ὑμῖν, νέοις μὲν ὔτε δικασταῖς ὔτε συμβύλοις ἔτι τῶν συμφερόντων χρησόμεθα· ἀλλὰ καὶ εἰς τὸ λοιπὸν ἀνείρξομεν αὐτῶν τὴν ἀκοσμίαν νόμῳ, τάξαντες ἀριθμὸν ἐτῶν, ὃν δεήσει τὺς βυλεύσοντας ἔχειν· τοῖς δὲ πρεσβυτέροις ἀποδόντες λόγον αὖθις, ἐὰν μηδὲν συμφέρωνται ταῖς γνώμαις, ταχεῖᾳ τὴν φιλονεικίαν αὐτῶν λύσομεν ὁδῷ, ἥν ἄμεινόν ἐστιν ὑμῖν προακῦσαι καὶ μαθεῖν. ἴσε δήπυ νόμον ἡμῖν ὑπάρχοντα ἐξ ὗ τήνδ' οἰκῦμεν τὴν πόλιν, πάντων εἶναι κυρίαν τὴν βυλήν, πλὴν ἀρχὰς ἀποδεῖξαι, καὶ νόμυς ψηφίσαι, καὶ πόλεμον ἐξενεγκεῖν, ἢ τὸν συνεστῶτα καταλύσασθαι· τύτων δὲ τῶν τριῶν τὸν δῆμον ἔχειν τὴν ἐξυσίαν, ψῆφον ἐπιφέροντα. ἐν δὲ τῷ παρόντι ὐχ ὑπὲρ ἑτέρυ τινὸς ἢ πολέμυ καὶ εἰρήνης βυλευόμεθα· ὥστε πολλὴ ἀνάγκη τὸν δῆμον ἐπικυρῶσαι τὰς ἡμετέρας γνώμας, ψήφυ γενόμενον κύριον. παραγγείλαντες δὴ τῷ πλήθει παρεῖναι κατὰ τόνδε τὸν νόμον εἰς τὴν ἀγοράν, ἐπειδὰν ὑμεῖς ἀποδείξηθε τὰς γνώμας, ἀποδώσομεν αὐτῷ τὴν ψῆφον, ὕτως ἂν μάλιστα νομίσαντες ἀρθῆναι τὴν ἔριν ὑμῶν· ὅ τι δ' ἂν οἱ πλείυς ψηφίσωνται, τῦθ' ἡγησόμεθα κύριον. ἄξιοι δὲ δήπυ ταύτης εἰσὶ τῆς τιμῆς τυγχάνειν οἱ διαμένοντες εὖνοι τῇ πόλει, καὶ μέλλοντες ἰσομοιρεῖν ἡμῖν κακῶν τε καὶ ἀγαθῶν."

Ταῦτ'

Ταῦτ' εἰπόντες διέλυσαν τὸν σύλλογον· ταῖς δ' ἑξῆς ἡμέραις παραγγεῖλαι κελεύσαντες ἅπασι τοῖς κατὰ τὰς ἀγρὰς καὶ τὰ Φρέρια παρεῖναι, καὶ τῇ βαλῇ προαγορεύσαντες ἥκειν εἰς τὴν αὐτὴν ἡμέραν, ἐπειδὴ κατέμαθον ὄχλα μεςὴν ἔσαν τὴν πόλιν, καὶ τὰς γνώμας τῶν πατρικίων ἐξηττωμένας τῶν δεήσεων, ἃς ἐποιᾶντο σὺν οἰμωγῇ καὶ ὀδυρμῷ πατέρες τε καὶ νήπια τέκνα τῶν ἀποςατῶν, τῇ κυρίᾳ τῶν ἡμερῶν ἐξῄεσαν ἐπὶ τὴν ἀγορὰν ςενοχωραμένην ἐκ πολλῆς ἔτι νυκτὸς ἅπασαν ὄχλῳ παντοδαπῷ. καὶ παρελθόντες ἐπὶ τὸ ἱερὸν τᾶ Ἡφαίςα, ἔνθα ἦν ἔθος αὐτοῖς τὰς ἐκκλησίας ἐπιτελεῖν, πρῶτον μὲν ἐπῄνεσαν τὸν δῆμον ἐπὶ τῇ σπαδῇ καὶ προθυμίᾳ τῆς κατὰ πλῆθος ἀφίξεως· ἔπειτα παρεκάλεσαν ἐκδέχεσθαι μεθ' ἡσυχίας, ἕως ἂν γένηται τὸ προβάλευμα τῆς βαλῆς· τοῖς δ' οἰκείοις τῶν ἀποςατῶν ἀγαθὰς παρῄνεν ἐλπίδας ἔχειν, ὡς ἐ διὰ μακρᾶ κομιαμένοις τὰ φίλτατα. μετὰ τᾶτο παρελθόντες εἰς τὸ συνέδριον, αὐτοί τε διελέχθησαν ἐπιεικεῖς καὶ μετρίας λόγας, καὶ τὰς ἄλλας ἠξίαν χρηςὰς καὶ φιλανθρώπας ἀποδείκνυσθαι γνώμας. πρῶτον δὲ τῶν ἄλλων ἐκάλαν τὸν Μενήνιον· ὃς ἀναςὰς τοῖς αὐτοῖς ἐχρήσατο λόγοις, οἷς καὶ πρότερον, ἐπὶ τὰς διαλλαγὰς παρακαλῶν τὴν βαλήν· καὶ γνώμην ἀπεφήνατο τὴν αὐτήν, ἀξιῶν πρεσβείαν ἀποςέλλειν πρὸς τὰς ἀφεςηκότας διὰ ταχέων, αὐτοκράτορα τῶν διαλλαγῶν.

cap. 67. Diebus quibusdam interjectis senatus denuo convocatur.

Menenii sententia vincit,

Μετὰ τᾶτον ἀνίςανται καθ' ἡλικίαν καλάμενοι οἱ τὴν ὑπατικὴν ἐσχηκότες ἀρχήν· οἷς ἅπασιν ἐδόκει τῇ Μενηνία κεχρῆσθαι γνώμῃ, ἕως ἂν καθῆκεν ὁ λόγος εἰς τὸν Ἄππιον. ὁ δ' ἀναςὰς, "Ὁρῶ μὲν, ἔφησεν, ὅτι καὶ τοῖς ὑπάτοις ἐςὶ κεχαρισμένον, ὦ βαλή, καὶ τοῖς ἄλλοις ὑμῖν ὀλίγα δεῖν πᾶσι, κατάγειν τὸν δῆμον ἐφ' οἷς ἂν αὐτὸς ἀξιοῖ· καὶ μόνος ἐξ ἁπάντων ἐγὼ λείπομαι τῶν ἐναντιωθέντων πρὸς τὰς διαλύσεις, ἐκείνοις τ' ἀπεχθὴς διαμένων, καὶ ὑμῖν ἀδὲν ἔτι χρήσιμος ὤν. ἀ μὴν διὰ ταῦτά γ' ἀποςήσομαι τῶν ἐξ ἀρχῆς ἐγνωσμένων, ἀδὲ καταλείψομαι τὴν γνώμην τῆς πολιτείας ἑκών. ὅσῳ δ' ἂν ἐρημότερος γένωμαι τῶν τὰ αὐτά μοι προελομένων, τοσάτῳ τιμιώτερος ὑμῖν ἔσομαί ποτ' ἐν χρόνῳ, καὶ περιέςαι μοι ζῶντι μὲν ἔπαινος, τελευτήσαντι δὲ ἡ παρὰ τῶν ἐπιγινομένων μνήμη.

cap. 68. licet Appius in sua perseveret.

ἐάν

Digitized by Google

εἴη μὲν ἂν, ὦ Καπιτώλιε Ζεῦ, καὶ θεοὶ πόλεως ἐπίσκοποι τῆς ἡμετέρας, ἥρωές τε καὶ δαίμονες, ὅσοι γῆν τὴν Ῥωμαίων ἐφορᾶτε, καλὴ καὶ συμφέρουσα πᾶσιν ἡ τῶν φυγάδων κάθοδος, καὶ ψευσθείην ἐγὼ τῶν ἐλπίδων, ἃς ὑπὲρ τοῦ μέλλοντος ἔχω χρόνου. ἐὰν δέ τι δεινὸν ἐκ τούτων καταλάβοι τῶν βουλευμάτων τὴν πόλιν· ἔσαι δὲ τοῦτο φανερὸν οὐκ εἰς μακράν· τούτοις μὲν ταχεῖαν ἐπανόρθωσιν αὐτοὶ δοίητε, καὶ σωτηρίαν τοῖς πράγμασιν ἀσφαλῆ. ἐμοὶ δ', ὃς οὔτ' ἐν ἄλλῳ καιρῷ πώποτε τὰ ἥδιστα εἱλόμην λέγειν ἀντὶ τῶν ὠφελιμωτάτων, οὔτε νῦν προδίδωμι τὸ κοινὸν, ἰδίαν καταπραττόμενος ἀσφάλειαν, εὐμενεῖς εἴητε καὶ μειλίχιοι. θεοῖς μὲν δὴ ταῦτα εὔχομαι· λόγων γὰρ οὐδὲν ἔτι δεῖ· γνώμην δ', ἣν καὶ πρότερον, ἀποφαίνομαι, τοὺς μὲν ἐν τῇ πόλει διαμένοντας τῶν δημοτικῶν ἀφεῖσθαι χρεῶν, τοῖς δ' ἀποςάταις πολεμεῖν ἁπάσῃ προθυμίᾳ, ἕως ἂν ἔτι διαμένωσιν ἐν τοῖς ὅπλοις."

cap. 69. Juniores, immodestiæ suæ culpa in ætatem translata, n seniorum sententiam eunt.

Ταῦτ' εἰπὼν ἐπαύσατο. ἐπεὶ δ' αἱ τῶν πρεσβυτέρων γνῶμαι τῇ Μενηνίου προσέθεντο, καὶ καθῆκεν ὁ λόγος ἐπὶ τοὺς νεωτέρους, ὀρθῆς ἁπάσης τῆς βουλῆς οὔσης, ἀνίσαται Σπόριος Ναύτιος, οἰκίας ἐν ταῖς πάνυ λαμπροτάταις διάδοχος· (ὁ γὰρ ἡγεμὼν αὐτῶν τοῦ γένους Ναύτιος, ἀπὸ τῶν σὺν Αἰνείᾳ ςειλάντων τὴν ἀποικίαν, [ὃς] ἦν Ἀθήνας ἱερεὺς Πολιάδος, καὶ τὸ ξόανον ἀπηνέγκατο τῆς θεᾶς μετανιςάμενος, ὃ διεφύλαττον ἄλλοι παρ' ἄλλων μεταλαμβάνοντες οἱ τοῦ γένους ὄντες τῶν Ναυτίων·) ὃς ἐδόκει καὶ διὰ τὴν οἰκείαν ἀρετὴν λαμπρότατος εἶναι τῶν νέων, καὶ οὐκ εἰς μακρὰν τῆς ὑπατικῆς ἐξουσίας τεύξεσθαι. ἀρξάμενος δ' ἀπολογεῖσθαι κοινὴν ἀπολογίαν ὑπὲρ ἁπάντων τῶν νέων, ὡς οὔτε φιλονεικίᾳ τῇ πρὸς τοὺς πατέρας, οὔτ' αὐθαδείᾳ χρησαμένων, ὅτε τὴν ἐναντίαν ἔσχον ἐν τῇ προτέρᾳ βουλῇ προαίρεσιν, ἀλλ', εἴπερ ἄρα ἡμάρτανον, διὰ τὴν ἡλικίαν γνώμῃ σφαλέντων, τελευτῶν ἔφη τὸ πιςὸν τούτου παρέξειν τὴν μεταβολήν. συγχωρεῖν γοῦν αὐτοῖς, ὡς ἄμεινον φρονοῦσιν, ἐπιψηφίζεσθαι πᾶν, ὅ τι ἂν ἡγῶνται τῷ κοινῷ συμφέρειν, ὡς οὐδὲν σφῶν γε πρὸς ταῦτα ἐναντιωσομένων, ἀλλὰ πεισομένων τοῖς πρεσβυτέροις. ὅμοια δὲ τούτῳ καὶ τῶν ἄλλων νέων ἀποφηναμένων, ἐκτὸς ὀλίγων τινῶν πάνυ, τῶν Ἀππίου συγγενῶν, ἐπαινέσαντες

τὴν

τὴν εὐκοσμίαν αὐτῶν οἱ ὕπατοι, καὶ παρακαλέσαντες εἰς πάντα τὰ κοινὰ τοιέτες εἶναι, πρεσβευτὰς εἵλοντο δέκα τὲς ἐπιφανεςάτες τῶν πρεσβυτέρων, ἐκτὸς ἑνὸς ἅπαντας ὑπατικές. οἱ δ' ἀποδειχθέντες ἦσαν οἵδε· Ἀγρίππας Μενίνιος Γαΐε υἱὸς, Πόπλιος Σερεΐλιος Ποπλίε υἱὸς, Ποςέμιος Κοΐντε υἱὸς Τέβερτος, Τῖτος Αἰβέτιος Τίτε υἱὸς Φλαΐος, Σέρβιος Σελπίκιος Ποπλίε υἱὸς Καμερῖνος, Αὖλος Ποςέμιος Ποπλίε υἱὸς Βάλβος, Αὖλος Ὀυεργίνιος Αὔλε υἱὸς καὶ Νωμεντανός. μετὰ ταῦτα τῆς βελῆς διαλυθείσης, οἱ μὲν ὕπατοι προελθόντες εἰς τὴν ἐκκλησίαν, τὸ δόγμα τῆς βελῆς ἀνέγνωσαν, καὶ τὲς πρεσβευτὰς προήγαγον. ἁπάντων δ' ἀξιέντων τὰς ἐντολὰς, ἃς ἔδωκαν αὐτοῖς, μαθεῖν, εἶπον ἐν τῷ φανερῷ, πράττειν ὅτῳ ἂν τρόπῳ δύνωνται φιλίαν τῷ δήμῳ συνθέσθαι πρὸς τὲς πατρικίες, ἄτερ δόλε καὶ ἀπάτης, καὶ κατάγειν τὲς φεύγοντας ἐπὶ τὰ σφέτερα ἐν τάχει.

Legati x creantur, qui patricios plebi reconciliarent.

Ταύτας οἱ πρέσβεις [αὐτῶν] λαβόντες τὰς ἐντολὰς, αὐθημερὸν ἐξῄεσαν. Φθάσασα δὲ τὴν παρεσίαν αὐτῶν ἡ φήμη, διήγγειλε τοῖς ἐπὶ ςρατοπέδε πάντα τὰ ἐν τῇ πόλει γενόμενα· καὶ αὐτίκα πάντες ἐκλιπόντες τὸ ἔρυμα, ὑπήντων ἔτι καθ' ὁδὸν ὖσι τοῖς πρεσβευταῖς. ἦν δέ τις ἐν τῷ ςρατοπέδῳ πάνυ ταραχώδης καὶ ςασιαςὴς ἀνὴρ, ὀξὺς τῇ γνώμῃ προϊδεῖν τι τῶν ἐσομένων ἐκ πολλῦ, καὶ εἰπεῖν, ὅ τι νοήσοι, ὡς λάλος καὶ κωτίλος, ἐκ ἀδύνατος, ὃς ἐκαλεῖτο μὲν Λεύκιος Ἰένιος, ὁμωνύμως τῷ καταλύσαντι τὲς βασιλεῖς· ἐκπληρῶσαι δὲ τὴν ὁμωνυμίαν βελόμενος; ἠξίε καὶ Βρῦτος ἐπικαλεῖσθαι. τοῖς δ' ἄρα πολλοῖς γέλως ἐπὶ τῇ κενοσπεδίᾳ τῦ ἀνδρὸς εἰσήρχετο, καὶ ὅτε βεληθεῖεν ἐπισκώπτειν αὐτὸν, Βρῦτον ἐπεκάλεν. ὗτος ὁ ἀνὴρ τὸν ἡγεμόνα τῦ ςρατοπέδε Σικίννιον διδάξας, ὡς ἐκ ἄμεινον εἴη τῷ δήμῳ ῥᾳδίως ἑαυτὸν ἐπιτρέπειν τοῖς προτεινομένοις, ἵνα μὴ ἀπ' ἐλάττονος ἀξιώσεως ἀτιμωτέραν εὕρηται τὴν κάθοδον, ἀλλ' ἐναντιῦσθαι μέχρι πολλῦ, καὶ τραγῳδίαν τινὰ ἐπιθεῖναι τοῖς πράγμασι προσποιητήν. ὑποσχόμενός τ' αὐτὸς ἀναλήψεσθαι τὸν ὑπὲρ τῦ δήμε λόγον, τά τ' ἄλλα ὑποθέμενος, ἃ χρὴ πράττειν ἢ λέγειν, ἔπεισε τὸν Σικίννιον. καὶ μετὰ τῦτο ὁ μὲν Σικίννιος, συγκαλέσας εἰς ἐκκλησίαν τὸν δῆμον, ἐκέλευσε τὲς πρεσβευτὰς, ὑπὲρ ὧν ἥκεσι λέγειν. (Πα-

cap. 70. L Junius Brutus se verba pro plebe facturum Sicinnio pollicetur.

cap. 83. Manius Valerius, Tit. Lartius & Menenius Agrippa verba ad plebem faciunt.

(Παρῆλθον οὖν Μάνιος Ὀυαλέριος καὶ μετ' αὐτὸν Τῖτος Λάρκιος. Ὡς δ' ἐπαύσαντο, πάντες οἱ παρόντες ἐπεθορύβησαν, ὡς τὰ δέοντα λελογισμένοις συγκατατιθέμενοι.) καὶ μετὰ τοῦτο, ἡσυχίας γενομένης, Μενίνιος Ἀγρίππας, ὅσπερ καὶ τοὺς ἐν τῇ βουλῇ λόγους ὑπὲρ τοῦ δήμου διέθετο, καὶ τοῦ πεμφθῆναι τὴν αὐτοκράτορα πρεσβείαν γνώμην ἀποφηνάμενος, αἰτιώτατος ἦν, διεσήμαινεν, ὅτι βούλεται καὶ αὐτὸς εἰπεῖν. τοῖς δὲ κατ' εὐχὴν τὸ πρᾶγμα ἐφάνη, καὶ νυνί γε τοι λόγων ὑπέλαβον ἀκούσεσθαι συμβάσεις ἀληθινὰς, καὶ γνώμας σωτηρίας ἀμφοῖν ἐχόντων. καὶ τὸ μὲν πρῶτον ἐπεῤῥόθησαν ἅπαντες βοῇ μεγάλῃ, λέγειν κελεύοντες· ἔπειτα ἐπέσχον, καὶ σιγὴ τοσαύτη κατέλαβε τὴν ἐκκλησίαν, ὥστε μηδὲν διαλλάξαι τὸν τόπον ἐρημίας. ὁ δὲ τά τ' ἄλλα, ὡς οἷόν τ' ἦν, πιθανωτάτοις ἔδοξε χρήσασθαι λόγοις, καὶ τοῦ βουλεύματος τῶν ἀκουόντων ἐστοχασμένοις· τελευτῶν δὲ τῆς δημηγορίας λέγεται μῦθόν τινα εἰπεῖν εἰς τὸν Αἰσώπειον τρόπον συμπλάσας, πολλὴν ὁμοιότητα πρὸς τὰ πράγματα ἔχοντα, καὶ τούτῳ μάλιστα αὐτοὺς ἑλεῖν· ὅθεν καὶ μνήμης ἀξιοῦται ὁ λόγος, καὶ φέρεται ἐν ἁπάσαις ταῖς ἀρχαίαις ἱστορίαις.

cap. 86. Fabula Menenii de humani corporis partibus.

"Ἔοικέ πως (ἔφη) ἀνθρωπείῳ σώματι πόλις. σύνθετον γὰρ, καὶ ἐκ πολλῶν μερῶν, ἐστιν ἑκάτερον· καὶ οὔτε δύναμιν ἔχει ἕκαστον τὴν αὐτὴν τῶν ἐν αὐτοῖς μερῶν, οὔτε χρείας παρέχεται τὰς ἴσας, εἰ δὴ λάβοι τὰ μέρη τοῦ ἀνθρωπείου σώματος ἰδίαν αἴσθησιν καθ' αὐτὰ καὶ φωνὴν, ἔπειτα στάσις ἐν αὐτοῖς ἐμπέσοι καθ' ἓν γενομένοις ταῖς ἄλλοις ἅπασι πρὸς τὴν γαστέρα μόνην, καὶ λέγοιεν οἱ μὲν πόδες, ὅτι πᾶν ἐπ' αὐτοῖς τὸ σῶμα ἐπίκειται· αἱ δὲ χεῖρες, ὅτι τὰς τέχνας ἐργάζονται, καὶ τὰ ἐπιτήδεια ἐκπορίζουσι, καὶ μάχονται πολεμίοις, καὶ ἄλλα πολλὰ ὠφελήματα παρέχουσιν εἰς τὸ κοινόν· οἱ δ' ὦμοι, ὅτι τὰ ἄχθη πάντα ἐπ' αὐτοῖς κομίζεται· τὸ δὲ στόμα, ὅτι φθέγγεται, ἡ δὲ κεφαλὴ, ὅτι ὁρᾷ καὶ ἀκούει καὶ τὰς ἄλλας αἰσθήσεις περιλαβοῦσα ἁπάσας ἔχει, δι' ὧν σώζεται τὸ πρᾶγμα· ἔπειτα φαῖεν πρὸς τὴν γαστέρα· Σὺ δ', ὦ χρηστὴ, τί τούτων ποιεῖς; ἢ τίς ἐστιν ἡ σὴ χάρις ἡμῖν καὶ ὠφέλεια; ἀλλὰ σύ γε τοσούτου ἀπέχεις τοῦ πράττειν καὶ συγκατορθοῦν ἡμῖν τῶν τι κοινῇ χρησίμων, ὥστε καὶ ἀντιπράττεις καὶ ἐνοχλεῖς, καὶ εἰ πρᾶγμα

πρᾶγμα ἀφόρητον, ὑπηρετεῖν ἀναγκάζουσα, καὶ φέρειν ἐκ-πανταχόθεν εἰς τὴν ἐκπλήρωσιν τῶν σεαυτῆς ἐπιθυμιῶν. Φέρε, τί ἐ μεταποιώμεθα τῆς ἐλευθερίας, καὶ τῶν πολλῶν ἀφιέμεθα πραγματειῶν, ἃς ἕνεκα ταύτης ὑπομένομεν; εἰ δὴ ταῦτα δόξειεν αὐτοῖς, καὶ μηδὲν ἔτι δρώη τὸ ἑαυτῦ ἔργον, ἔσθ' ὅπως ἂν ἐπὶ πολὺ διαρκέσαι δυνηθείη τὸ σῶμα, ἀλλ' ὐκ ἂν ἐντὸς ὀλίγων ἡμερῶν τῷ κακίσῳ τῶν μόρων ἀναλωθείη, λιμῷ; ὐκ ἂν ἔχοι ἄλλως τις εἰπεῖν. τὸν αὐτὸν δὴ τρόπον ὑπολάβετε καὶ περὶ τῆς πόλεως. πολλὰ γὰρ δὴ καὶ ταύτην τὰ συμπληρῦντα ἔθνη, καὶ ὐδὲν ἀλλήλοις ἐοικότα· ὧν ἕκασον ἰδίαν τινὰ τῷ κοινῷ χρείαν, ὥσπερ τὰ μέλη τῷ σώματι, παρέχεται. οἱ μὲν γὰρ τὺς ἀγρὺς γεωργῦσιν, οἱ δὲ μάχονται περὶ αὐτῶν πρὸς τὺς πολεμίυς, οἱ δ' ἐμπορεύονται πολλὰς διὰ θαλάσσης ὠφελείας, οἱ δὲ τὰς ἀναγκαίας ἐργάζονται τέχνας. εἰ δὲ ταῦτα πάντα τὰ ἔθνη πρὸς τὴν βυλὴν τὴν ἐκ τῶν ἀρίσων συγκειμένην διασασιάσειε, καὶ λέγοι· Σὺ δὲ ἡμῖν, ὦ βυλὴ, τί ποιεῖς ἀγαθόν; καὶ ἀντὶ ποίας αἰτίας ἄρχειν τῶν ἄλλων ἀξιοῖς; ὐδὲν γὰρ ἂν εἰπεῖν ἔχοις· ἔπειτα ὐκ ἀπαλλαγησόμεθά συ τῆς τυραννίδος ταύτης ἤδη ποτὲ, καὶ δίχα ἡγεμόνος οἰκήσομεν; εἰ δὴ ταῦτα διανοηθέντες, τῶν συνήθων ἐπιτηδευμάτων ἀποσαῖεν, τί κωλύσει ταύτην κακὴν κακῶς ἀπολέσθαι τὴν πόλιν, ὑπὸ λιμῦ τε καὶ πολέμυ, καὶ παντὸς ἄλλυ κακῦ; μαθόντες ῦν, ὦ δημόται, ὅτι, καθάπερ ἐν τοῖς σώμασιν ἡμῶν ἡ λοιδορυμένη κακῶς ὑπὸ τῶν πολλῶν τρέφει τὸ σῶμα τρεφομένη, καὶ σώζει σωζομένη, καὶ ἔσιν ὡσεί τις ἑσίασις κοινὴ, τὸ πρόσφορον ἁπάντων καὶ τῆς διαμονῆς αἴτιον ἀποδιδῦσα· ὕτως ἐν ταῖς πόλεσιν ἡ διοικῦσα τὰ κοινὰ, καὶ τῦ προσήκοντος ἑκάσῳ προνουμένη βυλὴ, πάντα σώζει καὶ φυλάττει καὶ ἐπανορθοῖ· παύσασθε τὰς ἐπιφθόνυς κατ' αὐτῆς φωνὰς λέγοντες, ὡς ἐξεβλήθητε τῆς πατρίδος, ὡς ἀλῆται καὶ πτωχοὶ περιέρχεσθε δι' αὐτήν. ὐδὲν γὰρ ὑμᾶς εἴργασαι κακὸν, ὐδ' ἂν ἐργάσαιτο· ἀλλ' αὐτὴ καλεῖ καὶ ἀντιβολεῖ, καὶ τὰς χεῖρας ὑμῖν ἅμα ταῖς πύλαις ἀναπετάσασα, ὑποδέχεται."

Τοιαῦτα λέγοντος τῦ Μενινίυ, πολλαὶ καὶ ποικίλαι παρ' ὅλην τὴν δημηγορίαν ἐγίνοντο ἐκ τῶν παρόντων φωναί,

cap. 87. Parum abest plebs quin

res omnes legatorum arbitrio permittat.

καί. ἐπειδὴ δὲ τελευτῶν τοῦ λόγου, πρὸς ὀλοφυρμοὺς ἐτράπετο, καὶ τὰς μελλούσας καθέξειν συμφορὰς, τούς τε ὑπομένοντας ἐν τῇ πόλει καὶ τοὺς ἀπελαυνομένους, καὶ τὰς ἀμφοῖν ἀπεκλαύσατο τύχας, δάκρυά τε ἁπάντων ἐξεχεῖτο, καὶ μιᾷ βοῇ συμφρονήσαντες ἀνεβόησαν ἀπάγειν σφᾶς εἰς τὴν πόλιν, καὶ μὴ τρίβειν τὸν χρόνον· ὀλίγου τε πάνυ ἐδέησαν ἀπιέναι διὰ τάχους ἐκ τῆς ἐκκλησίας, ἅπαντα τὰ πράγματα τοῖς πρεσβευταῖς ἐπιτρέψαντες, καὶ μηδὲν ἄλλο τῶν εἰς ἀσφάλειαν πραγματευσάμενοι, εἰ μὴ παρελθὼν ὁ Βροῦτος ἐπέσχε τὰς ὁρμὰς αὐτῶν. "Τὰ μὲν ἄλλα καλῶς ἔχειν τῷ δήμῳ, λέγων, ὅσα ἡ βουλὴ ὑπισχνεῖτο, καὶ πολλὴν αὐτῇ τῶν συγχωρηθέντων χάριν ἔχειν ἀξιῶν· δεδοικέναι μέντοι τὸν ἅπαντα χρόνον φάσκων, καὶ τοὺς αὖθίς ποτε τυραννικοὺς ἄνδρας ἐπιχειρήσοντας, εἰ τύχοι, περὶ τῶν γεγονότων τῷ δήμῳ μνησικακεῖν· μίαν δ' εἶναι μόνην ἀσφάλειαν πᾶσι τοῖς δεδοικόσι τοὺς κρείττονας ταύτην; εἰ γένοιτο αὐτοῖς φανερὸν, ὅτι τοῖς βουλομένοις αὐτοὺς ἀδικεῖν, οὐχ ὑπάρξει δύναμις· ἕως δ' ἂν παρῇ τὸ δύνασθαι πονηρὰ δρᾶν, οὐκ ἐλλείψει τοῖς πονηροῖς τὸ βούλεσθαι. ταύτης οὖν εἰ τύχοιεν τῆς ἀσφαλείας, οὐδὲν αὐτοῖς ἔτι δεήσει." ὑποτυχόντος δὲ τοῦ Μενινίου, καὶ κελεύσαντος λέγειν τὴν ἀσφάλειαν, ἧς ἔτι τὸν δῆμον οἴεται δεῖσθαι, "Συγχωρήσατε, φησὶν, ἡμῖν ἄρχοντας ἀποδεικνύναι καθ' ἕκαστον ἐνιαυτὸν ἐξ ἡμῶν ὅσους δή τινας; οἵτινες ἄλλου μὲν οὐδενὸς ἔσονται κύριοι, τοῖς δ' ἀδικουμένοις ἢ κατισχυομένοις τῶν δημοτῶν βοηθήσουσι, καὶ οὐ περιόψονται τῶν δικαίων ἀποστερούμενον οὐδένα· τοῦτο ὑμᾶς ἀντιβολοῦμεν καὶ δεόμεθα πρὸς τοῖς ἄλλοις οἷς δεδώκατε, εἰ μὴ λόγος, ἀλλ' ἔργον εἰσὶν αἱ διαλλαγαὶ, δοῦναι καὶ χαρίσασθαι."

Brutus ei expetit magistratum singularem (tribunos plebis);

cap. 88. de qua cautione legati sine mora ad senatum referunt.

Ὁ μὲν οὖν δῆμος, ὡς τούτων ἤκουσε, μεγάλῃ βοῇ καὶ μέχρι πολλοῦ κατεχούσῃ τόν τ' ἄνδρα ἐπῄνει, καὶ τοὺς πρεσβευτὰς παρεκάλει συγχωρῆσαι σφίσι καὶ τοῦτο. οἱ δὲ πρέσβεις μεταστάντες ἐκ τῆς ἐκκλησίας, καὶ διαλεχθέντες ὀλίγα πρὸς ἀλλήλους, παρῆσαν οὐ διὰ μακροῦ. σιωπῆς δὲ γενομένης, παρελθὼν ὁ Μενίνιος, εἶπε· "Τὸ μὲν πρᾶγμα, ὦ δημόται, μέγα καὶ πολλῶν μεστὸν ὑποψιῶν ἀτόπων· δέος τε καὶ φροντὶς ἡμᾶς εἰσέρχεται, μή ποτε δύο πόλεις ποιήσωμεν ἐν μιᾷ πλὴν, τό γ' ἐφ' ἡμῖν εἶναι μέρος,

ος, ἐδὲ πρὸς ταύτην ἐναντιέμεθα τὴν δέησιν ὑμῶν. τἕτο μέντοι χαρίσαθε ἡμῖν, ὃ καὶ ὑπὲρ ὑμῶν ἐςιν· ἐπιτρέψατε τῶν πρεσβευτῶν τρισὶν εἰς τὴν πόλιν ἀφικομένοις δηλῶσαι τῇ βελῇ ταῦτα· καὶ γὰρ εἰ τὴν ἐξεσίαν παρ' αὐτῆς ἔχομεν, ὅπως ἂν βελώμεθα, ποιήσαθαι τὰς διαλλαγὰς, αὐτοκράτορες ὄντες τῶν ὑποσχέσεων, αὐτοί γε τοι ἐ δικαιἕμεν τἕτο λαβεῖν· ἀλλ' ἐπειδὴ παρὰ δόξαν ἡμῖν ἀπήντηται πρᾶγμα καινὸν, δια ἀφελόμενοι τὴν ἰδίαν ἐξεσίαν, τῷ συνεδρίῳ φέροντες ἀναθήσομεν· πεπείσμεθα μέντοι κἀκείνῳ ταῦτα δόξειν ἅπερ ἡμῖν. ἐγὼ μὲν ἐν ἐνθάδε μενῶ, καὶ σὺν ἐμοί τι μέρος τῆς πρεσβείας· Ὀυαλέριος δὲ πορεύσεται, καὶ οἱ λοιποὶ σὺν αὐτῷ." ἐδόκει ταῦτα· καὶ κατὰ σπεδὴν ἀναβάντες ἐπὶ τὲς ἵππες, ἤλαυνον εἰς τὴν πόλιν οἱ μέλλοντες δηλώσειν τῇ βελῇ τὰ γενόμενα. προθέντων δὲ τῶν ὑπάτων λόγον τοῖς συνέδροις, Ὀυαλερίε μὲν ἦν γνώμη, διδόναι καὶ ταύτην τῷ δήμῳ τὴν χάριν· Ἄππιος δὲ, ὥσπερ ἐξ ἀρχῆς ἠναντιἕτο ταῖς διαλλαγαῖς, καὶ τότ' ἐκ τἕ φανερἕ ἀντέλεγε, βοῶν καὶ θεὲς ἐπιμαρτυρόμενος, καὶ, ὅσων μέλλοι σπέρμα κακῶν βαλεῖν τῇ πολιτείᾳ, προλέγων. ἀλλ' ἐκ ἔπειθε τὲς πολλὲς, ὡρμηκότας, ὥσπερ εἶπον, διαλύσαθαι τὴν ςάσιν. γινέται δὴ ψήφισμα τῆς βελῆς, τά τ' ἄλλα, ὅσα οἱ πρέσβεις ὑπέσχοντο τῷ δήμῳ, εἶναι κύρια, καὶ τὴν ἀσφάλειαν, ἣν ᾐτεῖτο, ἐπιτρέπειν. ταῦτα οἱ πρέσβεις διοικησάμενοι, τῇ κατόπιν ἡμέρᾳ παρῆσαν ἐπὶ τὸ ςρατόπεδον, καὶ τὰ δόξαντα τῇ βελῇ διεσάφησαν. μετὰ τἕτο Μενινίε παραινέσαντος τοῖς δημόταις ἀποςεῖλαί τινας εἰς τὴν βελὴν, οἵς τὰ πιςὰ δώσει, πέμπεται Λεύκιος Ἰένιος Βρἕτος, ὑπὲρ ἕ πρότερον εἴρηκα, καὶ σὺν αὐτῷ Μάρκος Δέκιος, καὶ Σπόριος Ἰκίλιος. τῶν δὲ παρὰ τῆς βελῆς ἀφιγμένων, οἱ μὲν ἡμίσεις ἅμα τοῖς περὶ τὸν Βρἕτον εἰς τὴν πόλιν ἀπεςάλησαν· Ἀγρίππας δὲ μετὰ τῶν λοιπῶν κατέμεινεν ἐπὶ τἕ ςρατοπέδε, διαγράψαι παρακληθεὶς τὸν νόμον τοῖς δημοτικοῖς, καθ' ὃν ἀποδείξεσι τὰς ἀρχάς.

Senatus eam ratam facit.

Τῇ δ' ἑξῆς ἡμέρᾳ παρῆσαν μὲν οἱ περὶ τὸν Βρἕτον, πεποιημένοι τὰς πρὸς τὴν βελὴν συνθήκας διὰ τῶν εἰρηνοδικῶν, ἓς καλἕσι Ῥωμαῖοι Φιτιάλεις. νεμηθεὶς δ' ὁ δῆμος εἰς τὰς τότε ἕσας φρατρίας, ἢ ὅπως βέλεταί τις αὐτὰς

cap. 89. Tribuni plebis magistratus sacrosanctus.

τὰς προσαγορέυειν, ἃς ἐκεῖνοι καλᾶσι κυρίας, ἄρχοντας ἐνιαυσιαίυς ἀποδεικνύυσι τὺς περὶ Λεύκιον Ἰύνιον Βρῦτον, καὶ Γάϊον Σικίννιον Βελλῦτον, ὓς καὶ τέως εἶχον ἡγεμόνας· καὶ ἔτι πρὸς τύτοις, Γάϊον καὶ Πόπλιον Λικιννίυς, καὶ Γάϊον Ἰυσίλλιον Ῥυγανόν. ὗτοι τὴν δημαρχικὴν ἐξυσίαν πρῶται παρέλαβον δι πέντε ἄνδρες, ἡμέρᾳ τετάρτῃ πρὸ τριῶν ἐιδῶν Δεκεμβρίων, ὥσπερ καὶ μέχρι τῦ καθ' ἡμᾶς χρόνυ γίνεται. τελεσθέντων δὲ τῶν ἀρχαιρεσίων, τοῖς μὲν παρὰ τῆς βυλῆς ἥκυσι καλῶς ἔχειν ἐδόκει πάντα, περὶ ὧν ἀπεςάλησαν· ὁ δὲ Βρῦτος ἐκκλησίαν συναγαγὼν, συνεβύλευε τοῖς δημόταις ἱερὰν καὶ ἄσυλον ἀποδεῖξαι τὴν ἀρχὴν, νόμῳ τε καὶ ὅρκῳ βεβαιώσαντας αὐτῇ τὸ ἀσφαλές. ἐδόκει ταῦτα πᾶσι, καὶ γράφεται πρὸς αὐτῦ καὶ τῶν συναρχόντων ὅδε ὁ νόμος· "ὅτι δήμαρχον ἄκοντα, ὥσπερ ἕνα τῶν πολλῶν, μηδεὶς μηδὲν ἀναγκαζέτω δρᾷν, μηδὲ μαςιγύτω, μηδὲ ἐπιταττέτω μαςιγῦν ἑτέρῳ, μηδὲ ἀποκτιννύτω, μηδὲ ἀποκτείνειν κελευέτω. ἐὰν δέ τις τῶν ἀπηγορευμένων τι ποίησῃ, ἐξάγιςος ἔςω, καὶ τὰ χρήματα αὐτῦ Δήμητρος ἱερά· καὶ ὁ κτείνας τινὰ τῶν ταῦτα ἐιργασμένων, φόνυ καθαρὸς ἔςω. καὶ ἵνα μὴ μηδ' ἐις τὸ λοιπὸν τῷ δήμῳ ἐξυσία γένηται καταπαῦσαι τόνδε τὸν νόμον, ἀλλ' ἐις πάντα τὸν χρόνον ἀκίνητος διαμείνῃ, πάντας ἐτάχθη Ῥωμαίυς ὀμόσαι καθ' ἱερῶν, ἦ μὴν χρήσεσθαι τῷ νόμῳ καὶ αὐτὺς καὶ ἐγγόνυς τὸν ἀεὶ χρόνον. ἀρά τε τῷ ὅρκῳ προσετέθη, τοῖς μὲν ἐμπεδῦσι τὺς θεὺς τὺς ὐρανίυς ἵλεως ἐῖναι, καὶ δαίμονας τὺς καταχθονίυς· τοῖς δὲ παραβαίνυσιν, ἐναντία καὶ τὰ παρὰ θεῶν γίνεσθαι, καὶ τὰ παρὰ δαιμόνων, ὡς ἄγει τῷ μεγίςῳ ἐνόχοις. ἐκ τύτων κατέςη τοῖς Ῥωμαίοις ἔθος, τὰ τῶν δημάρχων σώματα ἱερὰ ἐῖναι καὶ παναγῆ, καὶ μέχρι τῦ καθ' ἡμᾶς χρόνυ διαμένει.

cap. 90. Aediles plebis.

Ἐπεὶ δὲ ταῦτα ἐψηφίσαντο, βωμὸν κατεσκεύασαν ἐπὶ τῆς ἀκρωρείας, ἐν ᾗ κατεςρατοπέδευσαν, ὃν ἐπὶ τῦ κατασχόντος αὐτὺς δείματος τότε ὠνόμασαν, ὡς ἡ πάτριος αὐτῶν σημαίνει γλῶσσα, Διὸς Δειματίυ. ᾧ θυσίας ἐπιτελέσαντες, καὶ τὸν ὑποδεξάμενον αὐτὺς τόπον ἱερὸν ἀνέντες, κατῆεσαν ἐις τὴν πόλιν ἅμα τοῖς πρέσβεσιν. ἀποθύοντες δὲ καὶ τοῖς ἐν τῇ πόλει θεοῖς χαριςήρια, καὶ τὺς

πατρι-

Digitized by Google

πατρικίας πείσαντες ἐπικυρῶσαι τὴν ἀρχὴν, ψῆφον ἐπενέγκαντας, ἐπειδὴ καὶ τοῦτο παρ' αὐτῶν ἔτυχον, ἐδεήθησαν ἔτι τῆς βουλῆς, ἐπιτρέψαι σφίσιν ἄνδρας ἐκ τῶν δημοτικῶν δύο καθ' ἕκαστον ἐνιαυτὸν ἀποδεικνύναι, τοὺς ὑπηρετήσοντας τοῖς δημάρχοις, ὅσων ἂν δέωνται, καὶ δίκας, ἃς ἂν ἐπιτρέψωνται ἐκεῖνοι, κρινοῦντας, ἱερῶν τε καὶ δημοσίων τόπων καὶ τῆς κατὰ τὴν ἀγορὰν εὐετηρίας ἐπιμελησομένους. λαβόντες δὲ καὶ τοῦτο τὸ συγχώρημα παρὰ τῆς βουλῆς, ἀποδεικνύουσιν ἄνδρας, οὓς ὑπηρέτας τῶν δημάρχων καὶ συνάρχοντας, καὶ δικαστὰς ἐκάλουν. νῦν μέντοι κατὰ τὴν ἐπιχώριον γλῶτταν ἀφ' ἑνὸς, ὧν πράττουσιν, ἔργων, ἱερῶν τόπων ἐπιμεληταὶ καλοῦνται, καὶ τὴν ἐξουσίαν οὐκέθ' ὑπηρετικὴν ἑτέρων ἔχουσιν, ὡς πρότερον. ἐπιτέτραπται δ' αὐτοῖς πολλὰ καὶ μεγάλα, καὶ σχεδὸν ἐοίκασί πως κατὰ τὰ πλεῖστα τοῖς παρ' Ἕλλησιν ἀγορανόμοις.

cap. 91. Volsci debellantur; Longula & Polusca capiuntur.

Ἐπεὶ δὲ κατέστη τὰ πράγματα, καὶ τὸν ἀπ' ἀρχῆς κόσμον ἐκομίσατο ἡ πόλις, ἐπὶ τοὺς ἔξω πολέμους ὑπὸ τῶν ἡγεμόνων στρατιὰ κατελέγετο, πολλὴν εἰσενεγκαμένου προθυμίαν τοῦ δήμου, καὶ δι' ὀλίγου χρόνου πάντα τὰ εἰς πόλεμον ἐπιτήδεια εὐτρεπῆ ποιήσαντος. τῶν δ' ὑπάτων διακληρωσαμένων περὶ τῆς ἐξουσίας, ὡς ἔστιν αὐτοῖς ἔθος, Σπόριος μὲν Κάσσιος, ὃς ἔλαχε τὴν τῶν κατὰ τὴν πόλιν ἐπιμέλειαν, ὑπέμεινε, μέρος τῆς κατειλεγμένης δυνάμεως λαβὼν τὸ ἀρκοῦν· Πόστουμος δὲ Κομήνιος ἐξῆγε τὴν λοιπὴν στρατιὰν, Ῥωμαίων τ' αὐτῶν ἀξιόχρεων ἄγων μοῖραν, καὶ Λατίνων τὸ συμμαχικὸν, οὐκ ὀλίγον ὄν. κρίνας δὲ Οὐολούσκοις ἐπιχειρεῖν πρώτοις, πόλιν αὐτῶν Λογγόλαν ἐξ ἐφόδου καταλαμβάνεται, ἐπιβαλλομένων μὲν τῶν ἐν αὐτῇ μεταποιεῖσθαί τινος ἀρετῆς, καί τινα στρατιὰν ὕπαιθρον ἀποστειλάντων, ᾗ τοὺς ἐπιόντας ἀνείρξειν ἐπίστευον, αἰσχρῶς δ' ἀναγκασθέντων φυγεῖν, πρὶν ἢ λαμπρόν τι ἔργον ἀποδείξασθαι, καὶ οὐδ' ἐν τῇ τειχομαχίᾳ γενναῖον οὐδὲν ἀποδειξαμένων. μιᾷ γοῦν ἡμέρᾳ τῆς τε γῆς αὐτῶν Ῥωμαῖοι ἐκράτησαν ἀκονιτὶ, καὶ τὴν πόλιν οὐ πολλὰ πραγματευθέντες κατὰ κράτος ἔλαβον. ὁ δὲ τῶν Ῥωμαίων στρατηγὸς τά τε ἐγκαταληφθέντα χρήματα διαρπάσαι τοῖς στρατιώταις ἐφεὶς, καὶ φρουρὰν ἐν τῇ πόλει καταλιπὼν,

ἐξῆγε

Digitized by Google

ἐξῆγε τὴν δύναμιν ἐφ' ἑτέραν πόλιν τῶν Ὀυολέσκων, ἣ καλεῖται μὲν Πολέσκα, διάστημα δ' ὐ πολὺ τῆς Λογγόλας ἀπέχει. ὐδενὸς δ' αὐτῷ τολμήσαντος ὑπαντῆσαι, διανύσας τὴν χώραν κατὰ πολλὴν εὐπέτειαν, προσέβαλε τοῖς τείχεσι· τῶν δὲ στρατιωτῶν οἱ μὲν τὰς πύλας διακόψαντες, οἱ δὲ διὰ κλιμάκων ἐπὶ τὸ τεῖχος ἀναβάντες, αὐθημερὸν γίνονται καὶ ταύτης τῆς πόλεως κύριοι. ὡς δὲ παρέλαβε τὴν πόλιν, ὀλίγους μέν τινας ἐπιλέξας, τοὺς αἰτίους τῆς ἀποστάσεως, ἀπέκτεινε, τοὺς δὲ λοιποὺς χρημάτων ἀφαιρέσει ζημιώσας, καὶ ὅπλα ἀφελόμενος, Ῥωμαίων εἶναι τὸ λοιπὸν ἠνάγκασεν ὑπηκόους.

cap. 92. Corioli obsedentur, & Coriolanis subsidio venturi Antiates proelio vincuntur.

Καταλιπὼν δὲ κἀν ταύτῃ βραχεῖαν τῆς στρατιᾶς μοῖραν ἕνεκα φυλακῆς, τῇ κατόπιν ἡμέρᾳ τὴν δύναμιν ἀναλαβὼν, προῆγεν ἐπὶ Κοριόλαν, πόλιν ἐπιφανῆ σφόδρα, καὶ ὥσπερ ἂν μητρόπολιν τῶν Ὀυολέσκων· ἔνθα καὶ δύναμις ἦν συνειλεγμένη καρτερὰ, καὶ τὸ τεῖχος ὐ ῥᾴδιον ἁλῶναι, τά τε πρὸς τὸν πόλεμον ἐπιτήδεια παρεσκευασμένα τοῖς ἔνδον ἐκ πολλοῦ. ἐπιχειρήσας δὲ τῇ τειχομαχίᾳ μέχρι δείλης ὀψίας, ἀποκρούεται πρὸς τῶν ἐναντίων, πολλοὺς τῶν οἰκείων ἀπολέσας. τῇ δ' ἑξῆς ἡμέρᾳ κριούς τε καὶ γέῤῥα καὶ κλίμακας εὐτρεπισάμενος, παρεσκευάζετο μὲν, ὡς πάσῃ τῇ δυνάμει πειρασόμενος τῆς πόλεως. ἀκούσας δὲ, ὅτι πολλῇ χειρὶ μέλλουσιν Ἀντιᾶται βοηθεῖν τοῖς Κοριολάνοις κατὰ τὸ συγγενὲς, καί εἰσιν οἱ πεμφθέντες ἐν ὁδῷ ἤδη, μερίσας τὸν ἑαυτοῦ στρατὸν, τῷ μὲν ἡμίσει τειχομαχεῖν ἔγνω, Τῖτον Λάρκιον ἐπ' αὐτοῖς καταλιπὼν, τῷ δὲ λοιπῷ κωλύειν τοὺς ἐπιόντας διενοεῖτο. καὶ γίνονται δύο τῆς αὐτῆς ἡμέρας ἀγῶνες· Ῥωμαῖοι δ' ἐνίκων, πάντων μὲν προθύμως ἀγωνισαμένων.

cap. 94.

τῆς δὲ πρὸς τοὺς Ἀντιάτας μάχης τοῦτο λαβούσης τὸ τέλος, αἱ λοιπαὶ τῶν Ὀυολέσκων πόλεις διελύοντο τὴν πρὸς τοὺς Ῥωμαίους ἔχθραν, καὶ ὅσοι τὰ ὅμοια ἐκείνοις ἐφρόνουν· οἵ τ' ἐν τοῖς ὅπλοις ἤδη ὄντες, καὶ οἱ παρασκευαζόμενοι τὸν πόλεμον, ἐπέπαυντο. οἷς ἅπασιν ὁ Ποστούμιος ἐπιεικῶς χρησάμενος, ἀνέστρεψεν ἐπὶ τὰ οἰκεῖα, καὶ διαφῆκε τὴν στρατιάν. Κάσσιος δὲ ὁ ἕτερος τῶν ὑπάτων, ὁ καταλειφθεὶς ἐν τῇ Ῥώμῃ, τόν τε νεὼν τῆς Δήμητρος καὶ Διονύσου καὶ Κόρης ἐν τῷ μεταξὺ χρόνῳ καθιέρωσεν, ὅς

ἐστιν

ἐςιν ἐπὶ τοῖς τῦ μεγίςυ ἱπποδρόμυ τέρμασιν, ὑπὲρ αὐτὰς ἱδρυμένος τὰς ἀφέσεις, εὐξαμένυ μὲν αὐτὸν Αὔλυ Ποςυμίυ τῦ δικτάτωρος ὑπὲρ τῆς πόλεως ἀναθήσειν τοῖς θεοῖς, καθ' ὃν χρόνον ἔμελλεν ἀγωνίζεσθαι πρὸς τὴν Λατίνων ςρατίαν, τῆς τε βυλῆς μετὰ τὸ νίκημα τὴν κατασκευὴν αὐτῦ ψηφισαμένης ἐκ τῶν λαφύρων ποιήσασθαι πᾶσαν, τότε δὲ τῦ ἔργυ λαβόντος τὴ συντέλειαν.

Ἐγένοντο δ' ἐν τῷ αὐτῷ χρόνῳ, καὶ πρὸς τὰς τῶν Λατίνων πόλεις ἁπάσας συνθῆκαι καιναὶ μεθ' ὅρκων, ὑπὲρ εἰρήνης καὶ φιλίας· ἐπειδὴ παρακινῆσαί τ' ὐδὲν ἐπεχείρησαν ἐν τῇ ςάσει, καὶ συνηδόμενοι τῇ καθόδῳ τῦ δήμυ φανεροὶ ἦσαν, τῦ τε πολέμυ τῦ πρὸς τὺς ἀποςάτας ἑτοίμως ἐδόκυν συνάρασθαι. ἦν δὲ τὰ γραφέντα τοιάδε ἐν ταῖς συνθήκαις· "Ῥωμαίοις καὶ ταῖς Λατίνων πόλεσιν ἁπάσαις εἰρήνη πρὸς ἀλλήλυς ἔςω, μέχρις ἂν ὐρανός τε καὶ γῆ τὴν αὐτὴν ςάσιν ἔχωσι· καὶ μήτ' αὐτοὶ πολεμείτωσαν πρὸς ἀλλήλυς, μήτ' ἄλλοθεν πολεμίυς ἐπαγέτωσαν, μήτε τοῖς ἐπιφέρυσι πόλεμον ὁδὺς παρεχέτωσαν ἀσφαλεῖς· βοηθείτωσάν τε τοῖς πολεμυμένοις ἁπάσῃ δυνάμει, λαφύρων τε καὶ λείας τῆς ἐκ τῶν κοινῶν πολέμων τὸ ἴσον λαγχανέτωσαν μέρος ἀμφότεροι· τῶν τ' ἰδιωτικῶν συμβολαίων αἱ κρίσεις ἐν ἡμέραις γιγνέσθωσαν δέκα, παρ' οἷς ἂν γένηται τὸ συμβόλαιον. ταῖς δὲ συνθήκαις ταύταις μηδὲν ἐξέςω προσθεῖναι, μήτ' ἀφελεῖν ἀπ' αὐτῶν, ὅ τι ἂν μὴ Ῥωμαίοις τε καὶ Λατίνοις ἅπασι δοκῇ." ταῦτα μὲν δὴ Ῥωμαῖοί τε καὶ Λατῖνοι συνέθηκαν πρὸς ἀλλήλυς, ὀμόσαντες καθ' ἱερῶν. ἐψηφίσατο δὲ καὶ θυσίας ἀποδῦναι τοῖς θεοῖς ἡ βυλὴ χαριςηρίυς ἐπὶ ταῖς πρὸς τὸν δῆμον διαλλαγαῖς, προσθεῖσα μίαν ἡμέραν ταῖς καλυμέναις Λατίναις ἑορταῖς, δυσὶν ὔσαις. τὴν μὲν πρώτην ἀνιερώσαντος βασιλέως Ταρκυνίυ, καθ' ὃν χρόνον ἐνίκησαν Τυῤῥηνύς· τὴν δ' ἑτέραν τῦ δήμυ προσθέντος, ὅτε τὺς βασιλεῖς ἐκβαλὼν ἐλευθέραν τὴν πόλιν ἐποίησεν· αἷς ἡ τρίτη προσενεμήθη τῆς καθόδυ τῶν ἀποςατῶν ἕνεκα. τὴν δὲ προςασίαν καὶ τὴν ἐπιμέλειαν τῶν ἐν αὐταῖς γινομένων θυσιῶν τε καὶ ἀγώνων, οἱ τῶν δημάρχων ὑπηρέται παρέλαβον, οἱ τὴν νῦν ἀγορανομικὴν ἔχοντες ἐξυσίαν, ὥσπερ ἔφην, κοσμηθέντες ὑπὸ τῆς βυλῆς πορφύρᾳ καὶ θρόνῳ ἐλεφαντίνῳ καὶ τοῖς ἄλλοις ἐπισήμοις, οἷς εἶχον οἱ βασιλεῖς. Τίτυ

cap. 95. Foedus cum Latinorum populis renovatum.

Ibidem. Lib. VII. c. 1. Gravis annonæ caritas, ex secessione orta, A. U. 262. ante Chr. 492.

Τίτε δὲ Γεγανίε Μακερίνε καὶ Ποπλίε Μινυκίε τὴν ὕπατον ἐξεσίαν παραλαβόντων, σίτε σπάνις ἰσχυρὰ τὴν Ῥώμην κατέσχεν, ἐκ τῆς ἀποςάσίας λαβεσα τὴν ἀρχήν. ὁ μὲν γὰρ δῆμος ἀπέςη τῶν πατρικίων μετὰ τὴν μετοπωρινὴν ἰσημερίαν, ὑπ' αὐτὴν μάλιςα τὴν ἀρχὴν τε σπόρε· ἐξέλιπον δὲ τὴν χώραν οἱ γεωργεντες ἅμα τῇ κινήσει, καὶ μετέςησαν οἱ μὲν εὐχερέςεροι πρὸς τες πατρικίες, τὸ δὲ θητικὸν μέρος ὡς τες δημοτικες· καὶ διέμειναν ἐξ ἐκείνε χωρὶς ἀλλήλων ὄντες, ἕως ε κατέςη καὶ συνῆλθεν ἡ πόλις εἰς ἑαυτὴν, ε πολλῷ πρότερον διαλλαγεῖσα τῆς χειμερινῆς τροπῆς. τὸν δὲ μεταξὺ χρόνον, ἐν ᾧ ὁ πᾶς ἐπιτελεῖται σπόρος ὡραῖος, ἔρημος ἡ χώρα τῶν ἐπιμελησομένων ἦν, καὶ ἐπὶ πολὺν χρόνον διετέλεσεν, ὡς μηδὲ κατελθεσι τοῖς γεωργοῖς ἀναλαβεῖν αὐτὴν ἔτι ῥᾴδιον εἶναι, δέλων τ' ἀποςάσει καὶ κτηνῶν ὀλέθρῳ, μεθ' ὧν αὐτὴν ἔμελλον ἐργάζεσθαι, [illegible]κωμένην, ἀφορμῆς τ' ε πολλοῖς εἰς τὸν ἐπιόντα ἐνιαυτὸν ὑπαρχέσης, ὅτε σπερμάτων, ὅτε τροφῆς. ταῦτα ἡ βελὴ μαθεσα, πρέσβεις διέπεμπε πρὸς Τυῤῥηνὲς καὶ Καμπανὲς καὶ τὸ καλέμενον Πωμεντῖνον πεδίον, σῖτον, ὅσον ἂν δύναιντο πλεῖςον ὠνησομένες. Πόπλιος δὲ Ὀυαλέριος καὶ Λεύκιος Γεγάνιος εἰς Σικελίαν ἀπεςάλησαν. Ὀυαλέριος μὲν υἱὸς Ποπλικόλα, Γεγάνιος δὲ θατέρε τῶν ὑπάτων ἀδελφός.

cap. 2. magna commeatuum copia ex Sicilia advecta, levatur; legati vero in agrum Pomentinum & Cumas annonæ caussa missi, pecunia privati Romam redierunt;

Οἱ μὲν ἐν ἐπὶ Σικελίαν πλέοντες πρέσβεις, χειμῶνι χρησάμενοι κατὰ θάλατταν, καὶ κύκλῳ τὴν νῆσον περιπλεῖν ἀναγκασθέντες, χρόνιοί τε κατήχθησαν πρὸς τὸν τύραννον, καὶ τὴν χειμερινὴν ἐκεῖ διατρίψαντες ὥραν, μετὰ τὸ θέρος ἐπανῆλθον εἰς Ἰταλίαν, πολλὰς κομίζοντες ἀγοράς. οἱ δ' εἰς τὸ Πωμεντῖνον ἀποςαλέντες πεδίον, ὀλίγε μὲν ἐδέησαν ὡς κατάσκοποι πρὸς τῶν Ὀυολέσκων ἀναιρεθῆναι, διαβληθέντες ὑπὸ τῶν ἐκ Ῥώμης φυγάδων· χαλεπῶς δὲ πάνυ διὰ τὴν προθυμίαν τῶν ἰδίων ξένων, αὐτὰ διασῶσαι τὰ σώματα δυνηθέντες, δίχα τῶν χρημάτων ἀνέςρεψαν εἰς τὴν Ῥώμην ἄπρακτοι. ὅμοια δὲ τέτοις συνέβη παθεῖν καὶ τοῖς εἰς τὴν Ἰταλιῶτιν ἀφικομένοις Κύμην. καὶ γὰρ ἐν ταύτῃ τῇ πόλει πολλοὶ Ῥωμαίων διατρίβοντες, οἱ σὺν τῷ βασιλεῖ Ταρκυνίῳ διασωθέντες ἐκ τῆς τελευταίας μάχης φυγάδες, τὸ μὲν πρῶτον ἐξαιτεῖσθαι

θαι παρὰ τῷ τυράννῳ τὰς ἄνδρας ἐπεχείρησαν ἐπὶ θανάτῳ· ἀποτυχόντες δὲ τούτου, ῥύσια κατασχεῖν αὐτὰ τὰ σώματα παρὰ τῆς ἀπεσταλκυίας πόλεως ἠξίουν, ἕως ἀπολάβωσι τὰς ἑαυτῶν οὐσίας, ἃς ἔφασαν ὑπὸ Ῥωμαίων ἀδίκως δεδημεῦσθαι, καὶ ταύτης ᾤοντο δεῖν τῆς δίκης τὸν τύραννόν αὐτοῖς γενέσθαι κριτήν. ὁ δὲ τυραννῶν τότε τῆς Κύμης Ἀριστόδημος ἦν ὁ Ἀριστοκράτους, ἀνὴρ οὐ τῶν ἐπιτυχόντων ἕνεκα γένους. οἱ δὲ πρέσβεις τῶν Ῥωμαίων τέως μὲν ἀντέλεγον, ὡς οὔτ' ἐπὶ τοῦτον ἥκοντες τὸν ἀγῶνα, οὔτ' ἐξουσίαν ἔχοντες, ἣν οὐκ ἐπέτρεψεν αὐτοῖς ἡ βουλὴ, περὶ τῆς πόλεως ἀπολογεῖσθαι [δίκην.] ὡς δ' οὐδὲν ἐπέραινον, ἀλλ' ἐγκεκλικότα τὸν τύραννον ἑώρων ἐπὶ θάτερα μέρη, διὰ τὰς σπουδὰς καὶ παρακλήσεις τῶν φυγάδων, αἰτησάμενοι χρόνον εἰς ἀπολογίαν, καὶ διεγγυήσαντες τὰ σώματα χρημάτων, ἐν τῷ διὰ μέσου τῆς δίκης, οὐδενὸς ἔτι φυλάττοντος αὐτοὺς, ἀποδράσαντες ᾤχοντο. θεράποντας δ' αὐτῶν καὶ τὰ ὑποζύγια καὶ τὰ ἐπὶ τῇ σιτωνίᾳ κομισθέντα χρήματα ὁ τύραννος κατέσχε. ταύταις μὲν οὖν ταῖς πρεσβείαις τοιαῦτα παθούσαις, ἀπράκτοις ἀναστρέψαι συνέβη. ἐκ δὲ τῶν ἐν Τυρρηνίᾳ πόλεων οἱ πεμφθέντες κέγχρους τε καὶ ζέας συνωνησάμενοι, ταῖς ποταμηγοῖς σκάφαις συγκατεκόμισαν εἰς τὴν πόλιν. αὕτη βραχύν τινα χρόνον ἡ ἀγορὰ Ῥωμαίους διέθρεψεν· ἔπειτα ἐξαναλωθεῖσα, εἰς τὰς αὐτὰς ἀπορίας κατέστησεν αὐτούς. ἦν δ' οὐδὲν εἶδος ἀναγκαίας τροφῆς, ὃ οὐκ ἐπείραζον ἔτι· συνέβαινέ τ' οὐκ ὀλίγοις αὐτῶν, τὰ μὲν διὰ τὴν σπάνιν, τὰ δὲ διὰ τὴν ἀτοπίαν τῆς οὐκ εἰωθυίας ἐδωδῆς, τοῖς μὲν ἀῤῥώστως διακεῖσθαι τὰ σώματα, τοῖς δὲ παρημελημένως διὰ τὴν πενίαν, καὶ παντάπασιν ἀδυνάτως. ὡς δὲ τοῦτο ἔγνωσαν οἱ νεωστὶ κεκρατημένοι τῷ πολέμῳ Οὐολοῦσκοι, πρεσβειῶν ὑποῤῥήτων διαποστολαῖς ἐνῆγον ἀλλήλους εἰς τὸν κατ' αὐτῶν πόλεμον, ὡς ἀδυνάτων ἐσομένων, εἴ τις αὐτοῖς ἐπίθοιτο κεκακωμένοις πολέμῳ τε καὶ λιμῷ, ἀντέχειν. θεῶν δέ τις εὔνοια, οἷς φροντὶς ἦν, μὴ περιϊδεῖν ὑπὸ τοῖς ἐχθροῖς Ῥωμαίους γενομένους, ἐκφανέστατα καὶ τότε τὴν ἑαυτῆς δύναμιν ἀπεδείξατο. τοσοῦτος γάρ τις ἄφνω εἰς τὰς πόλεις τῶν Οὐολούσκων φθόρος λοιμικὸς ἐνέσκηψεν, ὅσος ἐν οὐδενὶ ἄλλῳ τόπῳ μνημονεύεται γενόμενος, οὔτε βαρβάρου γῆς, οὔθ' Ἑλλάδος, πᾶσαν ἡλικίαν

Cap. 12.

ex Etruria milium & far in urbem comportatur.

Romanis inopia debilitatis Volsci bellum inferre cogitant; sed impediuntur peste, qua Velitræ imprimis exhauriuntur.

κίαν καὶ τύχην καὶ φύσιν ἐῤῥωμένων τε καὶ ἀσθενῶν σωμάτων ὁμοίως διεργαζόμενος. ἐδήλωσε δὲ τὴν ὑπερβολὴν τῆς συμφορᾶς πόλις ἐπιφανὴς τῶν Οὐολέσκων, Οὐέλιτρα ὄνομα αὐτῇ, μεγάλη τε καὶ πολυάνθρωπος οὖσα τέως· ἧς ὁ λοιμὸς μίαν ὑπελείπετο μοῖραν ἐκ τῶν δέκα, τὰς δ' ἄλλας ὑπολαβὼν ἀπήνεγκε. τελευτῶντες οὖν ὅσοι περιῆσαν ἐκ τῆς συμφορᾶς, πρεσβευσάμενοι, Ῥωμαίοις ἔφρασαν τὴν ἐρημίαν, καὶ παρέδοσαν τὴν πόλιν. ἔτυχον δὲ καὶ πρότερον ἐποίκους ἐκ τῆς Ῥώμης εἰληφότες· ἀφ' ἧς αἰτίας καὶ τὸ δεύτερον [τοὺς] κληρούχους παρ' αὐτῶν ᾔτουν.

cap. 13. Velitras coloni a Romanis mittuntur & Norbam, A. U. 261. ante Chr. 493.

Ταῦτα τοῖς Ῥωμαίοις μαθοῦσι τῆς μὲν συμφορᾶς οἶκτος εἰσῄει· καὶ οὐ δεῖν ᾤοντο τοῖς ἐχθροῖς ἐπὶ τοιαύταις τύχαις μνησικακεῖν, ὡς ἱκανὰς δεδωκόσι τοῖς θεοῖς ὑπὲρ σφῶν δίκας, ἀνθ' ὧν ἔμελλον δράσειν. Οὐελίτρας δὲ παραλαμβάνειν ἐδόκει κληρούχων ἀποστολῇ ἐκ ὀλίγων, πολλὰ τὰ συμφέροντα ἐκ τοῦ πράγματος ἐπιλογιζομένοις. τό τε γὰρ χωρίον ἱκανὸν εἶναι ἐφαίνετο, φυλακῇ ἀξιοχρέῳ καταληφθὲν, οἷς ἂν νεωτερίζειν ἢ παρακινεῖν τι βουλομένοις ᾖ, μέγα κώλυμα καὶ ἐμπόδιον εἶναι· ἥ τ' ἀπορία τῆς τροφῆς ἡ κατέχουσα τὴν πόλιν, οὐ παρ' ὀλίγον μετριωτέρα γενήσεσθαι ὑπωπτεύετο, εἰ μεταστείη τις ἐξ αὐτῆς ἀπὸ τοῦ πλήθους μοῖρα ἀξιόλογος. μάλιστα δὲ ἡ στάσις ἀναῤῥιπιζομένη, πρὶν ἢ πεπαῦσθαι καλῶς ἔτι τὴν προτέραν, ἐνῆγεν αὐτοὺς ψηφίζεσθαι τὸν ἀπόστολον. πάλιν γὰρ, ὥσπερ καὶ πρότερον, ὁ δῆμος ἠρεθίζετο, καὶ δι' ὀργῆς εἶχε τοὺς πατρικίους· πολλοί τε καὶ χαλεποὶ κατ' αὐτῶν ἐγίνοντο λόγοι, τῶν μὲν ὀλιγωρίαν ἐγκαλούντων καὶ ῥᾳθυμίαν, ὅτι οὐκ ἐκ πολλοῦ προείδοντο τὴν ἐσομένην τοῦ σίτου σπάνιν, καὶ προεμηχανήσαντο τὰ πρὸς τὴν συμφορὰν ἀλεξήματα· τῶν δ' ἐξ ἐπιβουλῆς ὑπ' αὐτῶν γεγονέναι σιτοδείαν ἀποφαινόντων, δι' ὀργήν τε καὶ ἐπιθυμίαν τοῦ κακῶσαι τὸ δημοτικὸν, ἀναμνήσει τῆς ἀποστασίας. διὰ ταύτας μὲν δὴ τὰς αἰτίας ἡ τῶν κληρούχων ἀποστολὴ ταχεῖα ἐγίνετο, τριῶν ἀποδειχθέντων ἀνδρῶν ὑπὸ τῆς βουλῆς ἡγεμόνων. τῷ δήμῳ δὲ κατ' ἀρχὰς μὲν ἄσμενον ἦν τὸ τοὺς κληρούχους διαλαγχάνειν, ὡς λιμοῦ τε ἀπαλλαχθησομένῳ καὶ χώραν οἰκήσοντι εὐδαίμονα· ἔπειτα ἐνθυμουμένῳ τὸν λοιμὸν, ὃς ἐν τῇ μελλούσῃ αὐτὸν ὑποδέχεσθαι πολὺς γενόμενος, τοὺς τ' οἰκήτο-

κήτορας διεφθάρκει, καὶ δέος παρεῖχε, μὴ καὶ τὰς ἐποίκους τὸ αὐτὸ ἐργάσηται, μεθίςατο κατὰ μικρὸν εἰς τἀναντία ἡ γνώμη· ὥς' ἐ πολλοί τινες ἐφάκησαν οἱ μετέχειν βουλόμενοι τῆς ἀποικίας, ἀλλὰ πολὺ ἐλάττους, ὧν ἡ βουλὴ ἐψηφίσατο. καὶ ἔτοι δ' ἤδη σφῶν αὐτῶν κατεγνώκεσαν, ὡς κακῶς βεβουλευμένων, καὶ ὑπανεδύοντο τὴν ἔξοδον. κατελήφθη μέντοι τοῦτο τὸ μέρος, καὶ τὸ ἄλλο τὸ μὴ ἑκουσίως συναράμενον τῆς ἐξόδου, ψηφισαμένης τῆς βουλῆς ἐξ ἁπάντων γενέσθαι Ῥωμαίων κλήρῳ τὴν ἔξοδον, κατὰ δὲ τῶν λαχόντων, εἰ μὴ ἐξίοιεν, χαλεπὰς καὶ ἀπαραιτήτους θεμένης ζημίας. οὗτός τε δὴ ὁ σόλος ἐυπρεπεῖ ἀνάγκῃ εἰς Οὐελίτρας καταληφθεὶς ἀπεσάλη· καὶ ἕτερος αὖθις οὐ πολλαῖς ἡμέραις ὕςερον εἰς Νώρβαν πόλιν, ἥ ἐςὶ τοῦ Λατίνων ἔθνους οὐκ ἀφανής.

Ἐγένετο δ' οὐδὲν τῶν ἐκ λογισμοῦ τοῖς πατρικίοις, κατὰ γοῦν τὴν ἐλπίδα τοῦ λωφήσειν τὴν ςάσιν· ἀλλ' οἱ περιλειφθέντες ἔτι χεῖρους ταῖς ὀργαῖς ἦσαν, καὶ πολλῇ τῇ καταβοῇ τῶν βουλευτῶν ἐχρῶντο, κατά τε συςροφὰς καὶ ἑταιρίας, ὀλίγοι μὲν συνιόντες τὸ πρῶτον, ἔπειτα ἀθρόοι, συντονωτέρας ἤδη γενομένης τῆς ἀπορίας.

cap. 14. Intestina seditio recrudescit, A. U. 262. ante Chr. 492.

Τοιαύτης δὲ καταςάσεως οὔσης περὶ τὴν Ῥώμην, αἱ πλησιόχωροι πόλεις ἐκάλουν τοὺς βουλομένους οἰκεῖν παρὰ σφίσι Ῥωμαίων, πολιτείας τε μεταδόσει, καὶ ἄλλων φιλανθρώπων ἐλπίσιν ὑπαγόμεναι, αἱ μὲν, ἀπὸ τοῦ βελτίςου, δι' εὔνοιάν τε καὶ ἔλεον τῆς συμφορᾶς, αἱ δὲ πλείους, διὰ φθόνον τῆς πάλαι ποτ' εὐτυχίας. καὶ ἦσαν οἱ ἀνανας άντες πανοικεσίᾳ, καὶ μεταθέμενοι τὰς οἰκήσεις ἑτέρωσε, πολλοὶ πάνυ· ὧν οἱ μὲν ἀνέςησαν αὖθις, ἐπειδὴ κατέςη τὰ πράγματα τῆς πόλεως, οἱ δὲ καὶ διέμειναν.

cap. 18. Magnus civium numerus cum familiis Roma migrat.

Ταῦτα δὲ ὁρῶσι τοῖς ὑπάτοις ἐδόκει, τῆς βουλῆς ἐπιτρεπούσης, ςρατοπέδου ποιεῖσθαι κατάγραφὴν, καὶ ἐξάγειν ἔξω τὴν δύναμιν. εἰλήφεσαν δὲ ἀφορμὴν τῷ ἐγχειρήματι πρέπουσαν, ἐπιδρομαῖς τε καὶ λεηλασίαις κακουμένην τὴν χώραν ὑπὸ τῶν πολεμίων θαμινὰ, τά τ' ἄλλα, ὅσα ἐκ τοῦ πράγματος χρηςὰ ἦν, ἐπιλογιζόμενοι, ὑπερορίου ςρατιᾶς ἐκπεμφθείσης, ὡς εὐπορωτέρᾳ μὲν ἕξουσι τῇ ἀγορᾷ χρῆσθαι οἱ ὑπολειφθέντες, ἐλάττους γενόμενοι, ἐν ἀφθονωτέροις δὲ διάξουσι τοῖς ἐπιτηδείοις οἱ τὰ ὅπλα ἔχοντες,

cap. 19. Ex senatusconsulto delectus habetur; sed pauci ex plebe conscribendos se sistunt.

τες, ἐκ τῶν πολεμίων ἐπισιτιζόμενοι, λωφήσει δὲ ἡ στάσις, ὅσον ἂν ἡ στρατεία κατέχοι χρόνον· μάλιστα δ' ἐφαίνετο ἔργῳ βεβαιώσειν αὐτῶν τὰς διαλλαγὰς, συστρατευόντων ἀλλήλοις πατρικίων καὶ δημοτῶν, ἡ γενησομένη παρὰ τὰς κινδύνους κακῶν τε καὶ ἀγαθῶν ἰσομοιρία. ἀλλ' ἐκ ἦν τὸ πλῆθος ὑπήκοον αὐτοῖς, ἐδὲ, ὥσπερ πρότερον, ἑκέσιον ὑπήντα πρὸς τὴν καταγραφήν. ἀνάγκην δὲ προσφέρειν τοῖς μὴ βελομένοις ἐκ ἐδικαίεν τὴν ἐκ τῶν νόμων οἱ ὕπατοι. ἀλλ' ἐκ τῶν πατρικίων ἐθελονταί τινες κατεγράφησαν ἅμα τοῖς πελάταις· καὶ αὐτοῖς ἐξιᾶσιν ὀλίγον τι ἀπὸ τῦ δήμου μέρος συνεστράτευεν. ἡγεμὼν δὲ τῶν ἐξελθόντων ἦν Γάϊος Μάρκιος, ὁ τὴν Κοριολάνων πόλιν ἑλὼν, καὶ τῇ πρὸς Ἀντιάτας ἀριστεύσας μάχῃ. καὶ οἱ πλεῖστοι τῶν συνηρμένων τὰ ὅπλα δημοτῶν, τῦτον ἐξιόντα ὁρῶντες, ἐπερρώσθησαν, οἱ μὲν δι' εὔνοιαν, οἱ δὲ τῦ κατορθώσειν ἐλπίδι· περιβόητος γὰρ ἦν ἤδη ὁ ἀνὴρ, καὶ δέος αὐτῦ μέγα παρὰ τοῖς πολεμίοις ἐγεγόνει. αὕτη προελθῦσα ἡ στρατιὰ μέχρι πόλεως Ἀντίε, σίτε, πολλῦ καταληφθέντος ἐν τοῖς ἀγροῖς, καὶ ἀνδραπόδων καὶ βοσκημάτων συχνῶν ἐγκρατὴς ἐγένετο, καὶ ἐν μετ' ἐ πολὺ παρῆν εὐπορωτέρα γεγονυῖα τοῖς κατὰ τὸν βίον. ὥστε τοῖς ὑπομείνασι πολλὴν κατήφειαν καὶ κατάμεμψιν τῶν δημαγωγῶν ἐμπεσεῖν, δι' ὓς ἀποστερεῖσθαι ἐδόκεν τῆς ὁμοίας εὐτυχίας. ὁ μὲν δὴ Γεγάνιος καὶ Μινύκιος, οἱ τῦτον τὸν ἐνιαυτὸν ὑπατεύοντες, ἐν μεγάλοις καὶ παντοδαποῖς χειμῶσι γενόμενοι, καὶ πολλάκις ἀνατρέψαι κινδυνεύσαντες τὴν πόλιν, ἐδὲν δεινὸν εἰργάσαντο, ἀλλὰ διέσωσαν τὰ κοινὰ, φρονιμώτερον μᾶλλον, ἢ εὐτυχέστερον, τοῖς συμβαίνεσι χρησάμενοι.

Hic exercitus duce C. Marcio Coriolano Antium usque progressus, facta magna præda domum redit.

cap. 20.

Οἱ δὲ μετὰ τέτες ἀποδειχθέντες ὕπατοι Μάρκος Μινύκιος Αὐγερῖνος καὶ Αὖλος Σεμπρώνιος Ἀτρατῖνος, δεύτερον κατασάντες ἐπὶ τὴν ἀρχὴν, ἄνδρες ἔτε ὅπλων, ἔτε λόγων ἄπειροι, προνοίᾳ μὲν ἐχρήσαντο πολλῇ, σίτε τε καὶ τῆς ἄλλης ἀγορᾶς ἐμπλῆσαι τὴν πόλιν, ὡς ἐν τῇ κατ' αὐτὴν εὐετηρίᾳ τῆς ὁμονοίας τῦ πλήθες κειμένης. ἐ μὴν ἐξεγένετό γ' αὐτοῖς ἀμφοτέρων ἅμα τέτων τυχεῖν, ἀλλὰ συνεισῆλθεν ἅμα τῷ κόρῳ τῶν ἀγαθῶν ἡ τῶν χρησαμένων αὐτοῖς ὕβρις. καὶ τότε δὴ μέγιστος κατέλαβε

τὴν

Digitized by Google

τὴν Ῥώμην κίνδυνος ἐξ ἀρχῆς, ὅτε ἥκιστα ἐδόκει. οἵ τε γὰρ ἐπὶ τὴν σιτωνίαν ἀποσαλέντες ὑπ' αὐτῶν πρέσβεις, ἐκ τῶν παραθαλαττίων τε καὶ μεσογείων ἐμπορίων σῖτον ὠνησάμενοι κατήγαγον δημοσίᾳ· οἵ τε διαμείβεσθαι τὰς ἀγορὰς εἰωθότες, ἐκ παντὸς τόπε συνῆλθον· παρ' ὧν ἡ πόλις ὠνησαμένη τὸν φόρτον ἐκ τῶν κοινῶν χρημάτων, εἶχεν ἐν φυλακῇ. ἦλθον δὲ καὶ οἱ πρότερον ἀποσαλέντες εἰς Σικελίαν πρέσβεις, Γεγάνιος καὶ Ὀυαλέριος, πολλὰς ἄγοντες ὁλκάδας· ἐν αἷς ἐκομίζοντο πυρῶν πέντε μυριάδες μεδίμνων Σικελικῶν, ὧν τὸ μὲν ἥμισυ μέρος ὠνητὸν ἦν βραχείας πάνυ τιμῆς, τὸ δὲ λοιπὸν ὁ τύραννος ἀπεςάλκει προῖκα δὲς, καὶ τέλεσι παρακομίσας τοῖς ἰδίοις. ὡς δ' ἀπηγγέλθη τοῖς ἐν τῇ πόλει ὁ κατάπλες τῶν σιτηγῶν ὁλκάδων τῶν ἀπὸ Σικελίας, πολλὴ ζήτησις ἐνέπιπτε τοῖς πατρικίοις ὑπὲρ τῆς διαθέσεως αὐτῦ. οἱ μὲν γὰρ ἐπιεικέςατοι αὐτῶν καὶ φιλοδημότατοι, πρὸς τὰς κατεχέσας τὸ κοινὸν ἀνάγκας ἀποβλέποντες, τήν τε παρὰ τῦ τυράννε δωρεὰν παρήνεν ἅπασι διανεῖμαι τοῖς δημοτικοῖς, καὶ τὸν ὠνηθέντα ἐκ τῶν δημοσίων χρημάτων σῖτον ὀλίγης αὐτοῖς ἀπεμπολῆσαι τιμῆς, διδάσκοντες, ὡς ἐκ τέτων ἂν μάλιςα γένοιντο τῶν χαρίτων ἐπιεικέςεραι πρὸς τὲς εὐπόρες αἱ τῶν πενήτων ὀργαί· οἱ δ' αὐθαδέςεροι καὶ ὀλιγαρχικώτεροι πάσῃ προθυμίᾳ τε καὶ μηχανῇ κακῦν ᾤοντο δεῖν τὲς δημοτικὲς· καὶ συνεβέλευον, ὡς ἔνι μάλιςα ποιεῖν αὐτοῖς τιμίας τὰς ἀγορὰς, ἵνα σωφρονέςεροι διὰ τὴν ἀνάγκην γένοιντο, καὶ πρὸς τὰ λοιπὰ τῆς πολιτείας δίκαιοι νομιμώτεροι.

Adve&o frumento, tam a legatis coëmto quam dono a rege Siciliæ misso, inter patricios disceptatur, utrum donum tyranni plebeiis dividendum & frumentum coëmtum parvo pretio illis vendendum sit? A. U. 263. ante Chr. 491.

Τέτων ἦν τῶν ὀλιγαρχικῶν καὶ ὁ Μάρκιος ἐκεῖνος ὁ Κοριολάνος ἐπικληθεὶς, ἐχ ὥσπερ οἱ λοιποὶ, κρύφα καὶ δι' εὐλαβείας τὴν ἑαυτῦ γνώμην ἀποφαινόμενος, ἀλλ' ἀντικρυς καὶ θρασέως, ὥςε πολλὲς ἀκῦσαι καὶ τῶν δημοτικῶν. εἶχε γάρ τινας, ἔξω τῶν κοινῶν ἐγκλημάτων, καὶ ἰδίας προφάσεις νεωςὶ γενομένας, ἐξ ὧν εἰκότως ἐδόκει μισεῖν τὲς δημοτικὲς. ὑπατείαν γὰρ αὐτῷ μετιόντι ταῖς ἔγγιςα γενομέναις ἀρχαιρεσίαις, καὶ τὲς πατρικίες ἔχοντι συναγωνιζομένες, ἐναντιωθεὶς ὁ δῆμος ἐκ εἴασε δῦναι τὴν ἀρχήν· τήν τε λαμπρότητα τῦ ἀνδρὸς καὶ τὴν τόλμαν δι' εὐλαβείας ἔχων, μή τι διὰ ταῦτα νεωτερίσῃ περὶ τὴν τῶν δημάρ-

cap. 21. C. Marcius Coriolanus, paucorum dominatui favens, suadet, ut, quam posset, cariss me vendatur, adstipulante majori parte senatorum.

δημάρχων κατάλυσιν, καὶ μάλιςα δεδιὼς, ὅτι συνελάμβανεν αὐτῷ πάσῃ προθυμίᾳ τὸ τῶν πατρικίων πλῆθος, ὡς ἐδενὶ τῶν πρότερον. ταύτης τ᾽ ἐν τῆς ὕβρεως ὀργῇ ἐπαρθεὶς ὁ ἀνὴρ, καὶ τὴν μεταβολὴν τῦ πολιτεύματος εἰς τὸν ἐξ ἀρχῆς κόσμον ἀποκαταςῆσαι προθυμέμενος, αὐτός τε, ὥσπερ καὶ πρότερον ἔφην, ἀναφανδὸν ἔπραττε τὴν τῦ δήμε κατάλυσιν, καὶ τὲς ἄλλες ἐνῆγεν. ἦν δὲ περὶ αὐτὸν ἑταιρία μεγάλη νέων εὐγενῶν, οἷς ἦν τὰ μέγιςα τιμήματα βίων, καὶ πελάται συχνοὶ συνεςηκότες ἐπὶ ταῖς ἐκ τῶν πολέμων ὠφελείαις· οἷς ἐπαιρόμενος ἐφρυάττετο, καὶ λαμπρὸς ἦν, καὶ προῆλθεν ἐπὶ μήκιςον ἐπιφανείας. ἐ μὴν εὐτυχῆς γε διὰ ταῦτα καταςροφῆς ἔτυχε. συναχθείσης γὰρ ὑπὲρ τέτων βελῆς, καὶ τῶν πρεσβυτέρων, ὡς ἔθος ἦν αὐτοῖς, πρώτων ἀποφηναμένων τὰς ἑαυτῶν διανοίας, ἐν οἷς ἐ πολλοί τινες ἦσαν οἱ τὰς κατὰ τῦ δήμε γνώμας ἄντικρυς ἀγορεύσαντες, ἐπειδὴ καθῆκεν εἰς τὲς νεωτέρες ὁ λόγος, αἰτησάμενος ἐξεσίαν παρὰ τῶν ὑπάτων, εἰπεῖν, ὅσα βέλεται, καὶ τυχὼν ἐπισημασίας τε μεγάλης καὶ προσοχῆς, λόγον διεξῆλθε κατὰ τῦ δήμε τοιόνδε·

cap. 24. "Τὰς ἀγορὰς, ἔφη, διὰ φυλακῆς ἔχετε, καὶ τῆς τιμῆς τῶν ὠνίων μηδὲν ἀνίετε, ἀλλ᾽ ὅσε πλείςε ἦν ποτε τὰ ὤνια, τοσέτε καὶ νῦν πωλεῖν αὐτὰ ψηφίσαθε, δικαίας ἀφορμὰς ἔχοντες καὶ προφάσεις εὐλόγες, τήν τ᾽ ἀχάριςον τῦ δήμε καταβοὴν, ὡς ὑφ᾽ ὑμῶν κατασκευαθείσης τῆς σιτοδείας, ἣ διὰ τὴν ἀπόςασιν τὴν ἐκείνων ἐγένετο, καὶ τὴν καταφθορὰν, ἣν ἐποιήσαντο, τῆς γῆς, ἄγοντες αὐτὴν καὶ φέροντες ὥσπερ πολεμίαν, καὶ τὰς ἐξαιρεθείσας ἐκ τῦ δημοσίε δαπάνας εἰς τὲς ἀποςαλέντας ἐπὶ τὴν σιτωνίαν ἄνδρας, καὶ ἄλλα πολλὰ, ἃ ἠδίκηθε ὑπ᾽ αὐτῶν· ἵνα καὶ γνῶμεν ἤδη, τί ποτ᾽ ἐςὶν ἐκεῖνο τὸ δεινὸν, ὃ διαθήσεσιν ἡμᾶς, ἂν μὴ ποιῶμεν ἅπαντα τῷ δήμῳ τὰ καθ᾽ ἡδονὰς, ὡς οἱ δημαγωγοὶ αὐτῶν δεδιττόμενοι ἔλεγον. εἰ δ᾽ ἀφήσετε καὶ τῦτον ἐκ τῶν χειρῶν τὸν καιρὸν, πολλάκις εὔξεσθε τοιέτων τυχεῖν ἑτέρων. καὶ εἰ γνοίη τῦτο ὁ δῆμος, ὅτι βεληθέντες καταλύειν αὐτῦ τὴν ἰσχὺν ἀπετράπεσθε, πολὺ μᾶλλον ὑμῖν βαρὺς ἐγκείσεται, πολέμιον μὲν τὸ βελόμενον ὑμῶν ἡγέμενος, δειλὸν δὲ τὸ μὴ δυνάμενον."

Τοι-

Digitized by Google

Τοιαῦτα εἰπόντος τοῦ Μαρκίου, διέστησαν αἱ γνῶμαι τῶν συνέδρων, καὶ θόρυβος ἐν αὐτοῖς ἐγένετο πολύς. οἱ μὲν γὰρ ἐξ ἀρχῆς ἐναντίοι τοῖς δημοτικοῖς, καὶ τὰς διαλλαγὰς παρὰ γνώμην ὑπομείναντες, ἐν οἷς ἥ τε νεότης ὀλίγου δεῖν πᾶσα ἦν, καὶ τῶν πρεσβυτέρων οἱ πλουσιώτατοί τε καὶ φιλοτιμότατοι, βαρέως φέροντες τὰς ἐκ τοῦ δήμου ἀναισχυντίας, ἐπῄνουν τὸν ἄνδρα, ὡς γενναῖον καὶ φιλόπολιν, καὶ τὰ κράτιστα τῷ κοινῷ λέγοντα· οἱ δὲ δημοτικὰς ἔχοντες τὰς προαιρέσεις τῶν τρόπων, καὶ τὸν πλοῦτον οὐ πέρα τοῦ δέοντος ἐκτετιμηκότες, τῆς τ' εἰρήνης οὐδὲν ἀναγκαιότερον ὑπολαμβάνοντες, ἤχθοντο τοῖς λεγομένοις ὑπ' αὐτοῦ, καὶ τὴν γνώμην οὐ προσίεντο· ἠξίουν τε μὴ τοῖς βιαίοις, ἀλλὰ τοῖς εὐγνώμοσι περιεῖναι τῶν ταπεινοτέρων, μηδ' ἀπρεπὲς, ἀλλ' ἀναγκαῖον ἡγεῖσθαι τὸ ἐπιεικὲς, ἄλλως τε καὶ πρὸς τοὺς συμπολιτευομένους ἐπ' εὐνοίᾳ γινόμενον· μανίαν τ' ἀπέφαινον αὐτοῦ τὴν συμβουλὴν, οὐ παῤῥησίαν, οὐδ' ἐλευθερίαν. βραχὺ μὲν οὖν τοῦτο τὸ μέρος καὶ ἀσθενὲς ὂν περιωθεῖτο ὑπὸ τοῦ βιαιοτέρου. ταῦτα δὲ ὁρῶντες οἱ δήμαρχοι· παρῆσαν γὰρ τῷ συνεδρίῳ, παρακληθέντες ὑπὸ τῶν ὑπάτων· ἐβόων τε καὶ ἤσπαιρον, καὶ τὸν Μάρκιον λυμεῶνα καὶ ὄλεθρον τῆς πόλεως ἀπεκάλουν, πονηροὺς διεξιόντα κατὰ τοῦ δήμου λόγους· καὶ εἰ μὴ κωλύσειαν αὐτὸν οἱ πατρίκιοι, πόλεμον ἐμφύλιον εἰς τὴν πόλιν εἰσάγοντα, θανάτῳ ζημιώσαντες, ἢ φυγῇ, αὐτοὶ ποιήσειν τοῦτο ἔλεγον. θορύβου δ' ἔτι πλείονος ἐπὶ τοῖς λόγοις τῶν δημάρχων γενομένου, καὶ μάλιστα ἐκ τῶν νεωτέρων τὰς ἀπειλὰς δυσανασχετούντων, ἐπαρθεὶς τούτοις ὁ Μάρκιος, αὐθαδέστερον ἤδη καθήπτετο τῶν δημάρχων καὶ θρασύτερον· "Εἰ μὴ παύσεσθε μέντοι, λέγων, ὑμεῖς ταράττοντες τὴν πόλιν καὶ ἐκδημαγωγοῦντες τοὺς ἀπόρους, οὐκέτι λόγῳ διοίσομαι πρὸς ὑμᾶς, ἀλλ' ἔργῳ."

cap. 25.

Tribuni pl. in Marcium aspere invehuntur.

Ἠγριωμένης δὲ τῆς βουλῆς, ὡς ἔμαθον οἱ δήμαρχοι πλείους ὄντας τοὺς βουλομένους ἀφελέσθαι τὴν δοθεῖσαν ἐξουσίαν τῷ δήμῳ, τῶν ἐμμένειν ταῖς ὁμολογίαις ἀξιούντων, ἐξέδραμον ἐκ τοῦ βουλευτηρίου κεκραγότες, καὶ θεοὺς τοὺς ὁρκίους ἐπικαλέμενοι. καὶ μετὰ τοῦτο συναγαγόντες εἰς ἐκκλησίαν τὸν δῆμον, ἐδήλωσαν αὐτῷ τοὺς ἐν τῇ βουλῇ ῥηθέντας λόγους ὑπὸ τοῦ Μαρκίου, καὶ τὸν ἄνδρα εἰς ἀπολογίαν ἐκά-

cap. 26. Instigantibus tribunis pl. Marcius arripitur, sed a patriciis contra ædiles defenditur.

ἐκάλευ. ὡς δ' ἐ προσεῖχεν αὐτοῖς, ἀλλὰ καὶ τὲς ὑπηρέτας, ὑφ' ὧν ἐκαλεῖτο, προπηλακίζων. τοῖς λόγοις ἀνεῖρξεν, ἀγανακτήσαντες ἔτι μᾶλλον οἱ δήμαρχοι, παραλαβόντες τὲς τ' ἀγορανόμες καὶ τῶν ἄλλων πολιτῶν συχνὲς, ὥρμησαν ἐπ' αὐτόν· ὁ δ' ἔτυχεν ἔτι διατρίβων πρὸ τῦ βυλευτηρίυ, τῶν πατρικίων πολλὲς ἐπαγόμενος, καὶ τὴν ἄλλην ἑταιρίαν τὴν περὶ αὐτὸν ἔχων. ὡς δὲ συνεῖδον αὐτὸν οἱ δήμαρχοι, προσέταξαν τοῖς ἀγορανόμοις ἐπιλαβέϑαι τῦ σώματος, καὶ εἰ μὴ ἑκὼν βύλεται ἀκολυϑεῖν, βίᾳ ἄγειν· εἶχον δὲ τότε τὴν ἀγορανομικὴν ἐξυσίαν Τῖτος Ἰύνιος Βρῦτος, καὶ Ἰυκίλλιος Ῥύγας. οἱ μὲν δὴ προσήεσαν ὡς ἐπιληψόμενοι τῦ ἀνδρός· οἱ δὲ πατρίκιοι δεινὸν ἡγύμενοι τὔργον, ὑπὸ τῶν δημάρχων πρὸ δίκης ἄγεϑαί τινα σφῶν βίᾳ, πρῦστησαν τῦ Μαρκίυ, καὶ τύπτοντες τὲς ὁμόσε χωρῦντας ἀπήλασαν. διαβοηϑέντος δὲ, τῦ πάϑυς ἀνὰ τὴν πόλιν ὅλην, ἐξεπήδων ἅπαντες ἐκ τῶν οἰκιῶν· οἱ μὲν ἐν τοῖς ἀξιώμασιν ὄντες, καὶ χρημάτων ἔχοντες εὖ, τὸν Μάρκιον ὑπερασπιῦντες ἅμα τοῖς πατρικίοις, καὶ τὴν ἀρχαίαν ἀνακτησόμενοι πολιτείαν· οἱ δὲ ταπεινοὶ ταῖς τύχαις, καὶ βίυ σπανίζοντες, ἀμύνειν παρεσκευασμένοι τοῖς δημάρχοις, καὶ ποιεῖν, ὅ τι ἂν ἐκεῖνοι κελεύσωσιν· ἥ τ' αἰδὼς, ὑφ' ἧς κρατύμενοι τέως ὐδὲν ἐτόλμων εἰς ἀλλήλυς παρανομεῖν, τότε ἀνῄρητο ὑπ' αὐτῶν. ὐ μὴν ἔδρασάν γ' ὐδὲν ἀνήκεστον τὴν ἡμέραν ἐκείνην, ἀλλ' εἰς τὴν ἐπιῦσαν ἀνεβάλοντο, γνώμῃ τε καὶ παρακλήσει τῶν ὑπάτων εἴξαντες.

cap. 27.
Plebe in concionem convocata, tribuni Marcium accusant.

Τῇ δὲ ἑξῆς ἡμέρᾳ πρῶτοι καταβάντες εἰς τὴν ἀγορὰν, οἱ δήμαρχοι, συνεκάλυν τὸν δῆμον εἰς ἐκκλησίαν, καὶ παριόντες ἐκ διαδοχῆς, πολλὰ μὲν τῶν πατρικίων κατηγόρυν ὡς ἐψευσμένων τὰς συνϑήκας, καὶ παραβεβηκότων τὲς ὅρκυς, ὓς ἐποιήσαντο πρὸς τὸν δῆμον ὑπὲρ ἀμνηςίας τῶν πάλαι, πίςεις παραφέροντες τῦ μὴ βεβαίως αὐτὲς διηλλάχϑαι πρὸς τὸ δημοτικὸν, τήν τε τῦ σίτυ σπάνιν, ἣν αὐτοὶ κατεσκεύασαν, καὶ τὰς ἀποςολὰς τῶν κληρύχων ἀμφοτέρων, καὶ τὰ ἄλλα, ὅσα ἐμηχανήσαντο μειώσεως τῦ πλήϑυς ἕνεκα. πολλὰ δὲ τῦ Μαρκίυ καϑήπτοντο, τὲς ῥηϑέντας ὑπ' αὐτῦ ἐν τῇ βυλῇ λόγυς διεξιόντες, καὶ ὅτι καλύμενος εἰς ἀπολογίαν ὑπὸ τῦ δήμυ, ὐ μόνον

ὐκ

ἐκ ἠξίωσεν ἐλθεῖν, ἀλλὰ καὶ τὰς ἀφικομένας ἐπ' αὐτὸν ἀγορανόμες τύπτων ἀπήλασεν. ἐκάλεν δὲ μάρτυρας τῶν ἐν τῇ βελῇ γενομένων, τὰς ἐντιμοτάτας τῶν ἐκεῖ· τῆς δὲ περὶ τὰς ἀγορανόμες ὕβρεως, ἅπαντας τὰς τότε παρόντας κατὰ τὴν ἀγορὰν δημοτικές. ταῦτα δ' ἐιπόντες, ἐδίδοσαν, ἐι βελομένοις ἐιη, τοῖς πατρικίοις ἀπολογίαν, κατέχοντες ἐπὶ τῆς ἐκκλησίας τὸν δῆμον, ἕως ἡ βελὴ διαλυθείη. ἔτυχον γὰρ ὑπὲρ αὐτῶν τέτων συνεδρέυοντες οἱ πατρίκιοι, διαπορᾶντες, ἐιτ' ἀπολογητέον αὐτοῖς ἐιη πρὸς τὸν δῆμον, ὑπὲρ ὧν διεβλήθησαν, ἐιτε μενητέον ἐφ' ἡσυχίας. ἐπεὶ δὲ αἱ πλείες γνῶμαι τὰ φιλάνθρωπα τῶν αὐθαδεςέρων προείλοντο, διαλύσαντες οἱ ὕπατοι τὸν σύλλογον, προῆλθον ἐις τὴν ἀγορὰν, τάς τε κοινὰς ἀπολυσόμενοι διαβολὰς, καὶ περὶ τῶ Μαρκίε τὸν δῆμον ἀξιώσοντες, μηδὲν βελεύσασθαι ἀνήκεςον.

Μετὰ δὲ ταῦτα, ὁ μὲν Σικίννιος ὁ δήμαρχος, συναγαγὼν τὸ πλῆθος ἐις ἐκκλησίαν, ἐιπεν ἡμέραν, ἐν ᾗ συντελεῖν ἤμελλε τὴν περὶ τῶ Μαρκίε κρίσιν· καὶ παρεκάλει τάς τε κατὰ πόλιν ὑπάρχοντας, ἀθρόως ἥκειν ἐπὶ τὴν διάγνωσιν τῆς δίκης, καὶ τὰς ἐπὶ τῶν ἀγρῶν διατρίβοντας, ἀφεμένας τῶν ἔργων, ἐις τὴν αὐτὴν ἡμέραν ἀπαντᾶν, ὡς ὑπὲρ ἐλευθερίας καὶ σωτηρίας ὅλης τῆς πόλεως τὴν ψῆφον ἀναληψομένας. παρήγγελλε δὲ καὶ τῷ Μαρκίῳ παρεῖναι πρὸς τὴν ἀπολογίαν, ὡς ἐδενὸς ἀτυχήσοντι τῶν περὶ τὰς κρίσεις νομίμων. τοῖς δὲ ὑπάτοις ἐδόκει βελευσαμένοις μετὰ τῶ συνεδρίε, μὴ περιορᾶν τὸν δῆμον ἐξεσίας τηλικαύτης κύριον γινόμενον. Μάνιος δὲ Ὀυαλέριος ὁ δημοτικώτατος τῶν ἐκ τῶ συνεδρίε, καὶ περὶ τὰς διαλλαγὰς πλείςην ἀποδειξάμενος προθυμίαν, φανερῶς καὶ τότε τῷ δήμῳ συνελάμβανε, καὶ λόγον διεξῆλθε μετὰ πολλῆς συγκείμενον φροντίδος, ἐπιτιμῶν μὲν τοῖς ἐκ ἐῶσι μίαν ἐιναι τὴν πόλιν, ἀλλὰ διαιρᾶσι τὸ δημοτικὸν ἀπὸ τῶν πατρικίων, καὶ διὰ μικρὰς προφάσεις πολέμες ἀναζωπυρᾶσιν ἐμφυλίες· ἐπαινῶν δὲ τὰς ἓν τὸ συμφέρον καὶ κοινὸν ἡγεμένας, καὶ πάντα ἐλάττω τῆς ὁμονοίας τιθεμένας, διδάσκων, ὡς, ἐι γένοιτο τῆς δίκης, ὥσπερ ἀξιοῖ, ὁ δῆμος κύριος, καὶ ταύτην παρὰ τῶ συνεδρίε τὴν χάριν ἑκόντος λάβοι, τάχα μὲν ἐδ' ἐπέξεισιν ἄχρι τέλες, ἀλλ' ἀρκεσθεὶς αὐτῷ τῷ κεκρατημέ-

cap. 38. Sicinnius tribunus Marcio diem dicit.

Senatus plebis arbitrio judicium non permittendum censet.

cap. 54. Manius Valerius vero suadet, ut plebis arbitrio judicium permitterent.

Digitized by Google

τημένῳ τȢ σώματος, ἐπιεικέϛερον μᾶλλον, ἢ χαλεπώτερον, αὐτῷ χρήσεται. εἰ δ' ἄρα ἐκ παντὸς οἰομένων τρόπȢ τῶν δημάρχων τέλος ἐπιθεῖναι νόμιμον τῇ δίκῃ, τῆς ψήφȢ γενήσεται κύριος, ἀπολύσει τῆς αἰτίας τὸν ἄνδρα, αἰδȢμενος μὲν αὐτὸ τὸ κινδυνεῦον σῶμα, Ȣ͂ πολλὰ καὶ καλὰ ἔργα ἔχει μεμνῆσθαι, ἀνταποδιδȢ̀ς δὲ τὴν αὐτὴν χάριν τῇ παρασχȢ́σῃ τὴν ἐξȢσίαν αὐτῷ βȢλῇ, καὶ πρὸς μηδὲν ἐναντιωθείσῃ τῶν μετρίων. παρεῖναι μέντοι τῇ δίκῃ συνεβȢ́λευε, καὶ συναπολογεῖσθαι τῷ ἀνδρὶ, καὶ τὸν δῆμον ἀξιȢ͂ν, μηδὲν γνῶναι χαλεπὸν περὶ αὐτȢ͂, τȢ́ς τε ὑπάτȢς καὶ τȢ̀ς ἐκ τȢ͂ συνεδρίȢ πάντας, καὶ τȢ̀ς ἄλλȢς πατρικίȢς κατὰ πλῆθος ἀφικομένȢς· συνοίσειν γὰρ Ȣ̓ μικρὰ τῷ κινδυνεύοντι καὶ τȢ́τȢς εἰς σωτηρίας ῥοπὴν· καὶ μὴ μόνον αὐτȢ̀ς Ȣ̔́τως ἔχειν ταῖς γνώμαις, ἀλλὰ καὶ πελάτας ἕκαϛον τȢ̀ς αὐτȢ͂ παρακαλεῖν, καὶ φίλȢς συνάγειν, καὶ εἴ τινας οἰκείȢς ἔχȢσι τῶν δημοτικῶν δι' εὐεργεσίας, ὑπολαμβάνειν, καὶ τȢ́τȢς νυνὶ τὴν πρότερον ὀφειλομένην χάριν ἐπὶ τῆς ψηφοφορίας ἀπαιτεῖν· τό τε φιλόπολι καὶ μισοπόνηρον, καὶ χρηϛὸν ἐκ ὀλίγον ἀπέφηνεν ἐκ τȢ͂ δημοτικȢ͂ μέρȢς ἐσόμενον· καὶ ἔτι πλεῖον τȢ́τȢ, ὃ πρὸς τὰς τύχας πάσχει τι τὰς ἀνθρωπίνας, καὶ ἐλεεῖν οἶδε τȢ̀ς ἐν τοῖς ἀξιώμασιν, ὅταν εἰς ταπεινὰ πέσωσιν αὐτῶν αἱ τύχαι. ὁ δὲ πλείων λόγος ἐγίνετο αὐτῷ πρὸς τὸν Μάρκιον, παράκλησιν ἔχων νȢθετήσει μεμιγμένην, καὶ δέησιν ἀνάγκῃ. ἠξίȢ γὰρ αὐτὸν, ἐπειδὴ διϊϛάναι τὸν δῆμον ἀπὸ τῆς βȢλῆς αἰτίαν ἔχει, καὶ τυραννικὸς εἶναι διαβάλλεται διὰ τὴν αὐθάδειαν τȢ͂ τρόπȢ, δέος τε παρέϛηκεν ἅπασι, μὴ δι' αὐτὸν ἀρχὴ γένηται ϛάσεως καὶ κακῶν ἀνηκέϛων, ἃ φέρȢσιν ἐμφύλιοι πόλεμοι, μὴ ποιεῖν ἀληθεῖς καὶ κυρίας τὰς κατ' αὐτȢ͂ διαβολȢ̀ς, μένοντα ἐν τῷ φθονȢμένῳ τȢ͂ βίȢ, ἀλλὰ σχῆμα ταπεινὸν μεταλαβεῖν, καὶ τοῖς ἀδικεῖσθαι λέγȢσι τὴν ἐξȢσίαν τȢ͂ σώματος παρασχεῖν, καὶ μὴ φεύγειν ἄδικον ἔγκλημα λόγῳ μετὰ δίκης ἀπολυόμενον. ταῦτα γὰρ αὐτῷ πρός τε σωτηρίαν ἀσφαλέϛατα εἶναι, καὶ πρὸς εὐδοξίαν, ἧς ὀρέγεται, λαμπρότατα, καὶ τοῖς προϋπηργμένοις ἔργοις ἀκόλȢθα. εἰ δ' αὐθαδέϛερος ἔϛαι μᾶλλον, ἢ μετριώτερος, καὶ τὴν βȢλὴν ἀξιώσει πάντα κίνδυνον δι' ἑαυτὸν ὑπομένειν, κακὴν μὲν ἧτταν, αἰσχρὰν δὲ νίκην, τοῖς πεισθεῖσι προσάψειν

ἄψειν αὐτὸν ἀπέφαινεν. ἦν τ' ἐνταῦθα πολὺς ὀλοφυρόμενος, καὶ τῶν καταλαμβανόντων κακῶν τὰς πόλεις ἐν ταῖς διχοστασίαις τὰ μέγιστα καὶ φανερώτατα ἐπιλεγόμενος.

Ταῦτα καὶ τὰ παραπλήσια τούτοις εἰπὼν, ἐπαύσατο. τῶν δὲ βουλευτῶν οἱ μετ' αὐτὸν ἀνιστάμενοι, πλὴν ὀλίγων, οἱ λοιποὶ ταύτῃ προσέθεντο τῇ γνώμῃ. καὶ ἐπειδὴ τὸ προβούλευμα ἔδει γράφεσθαι, λόγον αἰτησάμενος ὁ Μάρκιος εἶπεν· "Οἷος μὲν, ὦ βουλὴ, πρὸς τὰ κοινὰ ἐγὼ γέγονα, καὶ ὡς διὰ τὴν πρὸς ὑμᾶς εὔνοιαν εἰς τοῦτον τὸν κίνδυνον ἐλήλυθα, καὶ ὅτι παρὰ γνώμην ἀπήντηταί μοι τὰ παρ' ὑμῶν, ἅπαντες ἴστε, καὶ ἔτι μᾶλλον εἴσεσθε, ὅταν τὰ κατ' ἐμὲ σχῇ τέλος. ἐπεὶ δὲ ἡ Ὀυαλερίου γνώμη νικᾷ, καὶ συνενέγκῃ μὲν ταῦτα ὑμῖν, καὶ γενοίμην ἐγὼ κακὸς εἰκαστὴς τῶν ἐσομένων. ἵνα δὲ καὶ ὑμεῖς οἱ τὸ προβούλευμα γράφοντες εἰδῆτε, ἐφ' οἷς παραδιδόναι με τῷ δήμῳ μέλλετε, κἀγὼ μὴ ἀγνοῶ, περὶ τίνος ἀγωνιοῦμαι, κελεύσατε δὴ τοὺς δημάρχους εἰπεῖν ἐναντίον ὑμῶν, τί τὸ ἀδίκημά ἐστιν, ἐφ' ᾧ μέλλουσί με κατηγορεῖν, καὶ τὸ ποταπὸν ὄνομα ἐπιγράψουσι τῇ δίκῃ."

	cap. 57. Reliqui senatores in hanc sententiam eunt, ex qua Marcius magna mala reipubl. auguratur.

Γράφεται τὸ προβούλευμα μετὰ ταῦτα ὑπὲρ τῆς δίκης, καὶ χρόνος εἰς παρασκευὴν τῆς ἀπολογίας ὁρίζεται τῷ ἀνδρὶ μέχρι τῆς τρίτης ἀγορᾶς· αἱ δ' ἀγοραὶ Ῥωμαίοις ἐγίνοντο, ὡς καὶ μέχρι τῶν καθ' ἡμᾶς χρόνων, δι' ἡμέρας ἐνάτης. ἐν δὲ ταύταις συνιόντες ἐκ τῶν ἀγρῶν οἱ δημοτικοὶ εἰς τὴν πόλιν, τάς τ' ἀμείψεις ἐποιοῦντο τῶν ὠνίων, καὶ τὰς δίκας παρ' ἀλλήλων ἐλάμβανον, τά τε κοινὰ, ὅσων ἦσαν κύριοι κατὰ τοὺς νόμους, καὶ ὅσα ἡ βουλὴ ἐπιτρέψειεν αὐτοῖς, ψῆφον ἀναλαμβάνοντες ἐπεκύρουν· τὰς δὲ μεταξὺ τῶν ἀγορῶν ἑπτὰ ἡμέρας, αὐτουργοί τ' ὄντες οἱ πολλοὶ καὶ πένητες, ἐν τοῖς ἀγροῖς διέτριβον. ἐπειδὴ δὲ τὸ προβούλευμα ἔλαβον οἱ δήμαρχοι, προελθόντες εἰς τὴν ἀγορὰν, συνεκάλεσαν εἰς ἐκκλησίαν τὸν δῆμον, καὶ πολλὰ ἐγκώμια τῆς βουλῆς διελθόντες, καὶ τὰ δόγματα αὐτῆς ἀναγνόντες, προεῖπον ἡμέραν, ἐν ᾗ τὴν δίκην ἔμελλον ἐπιτελεῖν. εἰς ἣν ἅπαντας ἠξίουν ἥκειν τοὺς πολίτας, ὡς ὑπὲρ τῶν μεγίστων διαγνωσομένους.

cap. 58. Senatus consultum de hoc judicio.

Ὡς δὲ διεβοήθη ταῦτα, πολλὴ σπουδὴ καὶ παράταξις ἐγίνετο τῶν τε δημοτικῶν καὶ τῶν πατρικίων· τῶν μὲν,

cap. 59. Populus tributis comitiis

Digitized by Google

de Coriolano suffragia fert.

μὲν, ὡς τιμωρησομένων τὸν αὐθαδέςατον· τῶν δὲ, ἵνα μὴ γένηται ὑποχείριος τοῖς ἐχθροῖς, ὡς ὑπὲρ τῆς ἀριστοκρατίας ἀγωνιζόμενος. ἐδόκει δὲ πᾶσα κινδυνεύεσθαι ἡ τȣ̃ βίȣ καὶ τῆς ἐλευθερίας δικαίωσις ἐν τῷ τότε ἀγῶνι ἀμφοτέροις· ἐπιςάσης δὲ τῆς τρίτης ἀγορᾶς, ὁ μὲν ἐκ τῶν ἀγρῶν ὄχλος, ὅσος ἔπω πρότερον, συνεληλυθὼς εἰς τὴν πόλιν, ἕωθεν ἔτι κατεῖχε τὴν ἀγοράν. οἱ δὲ δήμαρχοι συνεκάλȣν τὸ πλῆθος ἐπὶ τὴν φυλέτιν ἐκκλησίαν, χωρία τῆς ἀγορᾶς περισχοινίσαντες, ἐν οἷς ἔμελλον αἱ φυλαὶ ςήσεσθαι καθ᾽ αὐτάς. καὶ τότε πρῶτον ἐγένετο Ῥωμαίοις ἐκκλησία κατ᾽ ἄνδρα ψηφηφόρος, ἡ φυλετική· πολλὰ δ᾽ ἐναντιȣμένων τῶν πατρικίων, ἵνα μὴ τȣ̃το γένηται, καὶ τὴν λοχῖτιν ἀξιȣ́ντων συνάγειν ἐκκλησίαν, ὥσπερ αὐτοῖς πάτριον ἦν. ἐν γὰρ τοῖς πρότερον χρόνοις, ὅτε μέλλοι ψῆφον ἐξενεγκεῖν ὁ δῆμος ὑπὲρ ὁτȣδήτινος, ὧν ἐπιτρέψειεν ἡ βȣλὴ, ἐκάλȣν μὲν οἱ ὕπατοι τὴν λοχῖτιν ἐκκλησίαν, ἱερὰ πρότερον ἐπιτελέσαντες, ἃ νόμος αὐτοῖς ἐςι, καὶ μέχρι τȣ̃ καθ᾽ ἡμᾶς χρόνȣ τινὰ ἐξ αὐτῶν ἔτι γίνεται. συνῄει δὲ τὸ πλῆθος εἰς τὸ πρὸ τῆς πόλεως Ἄρειον πεδίον, ὑπό τε λοχαγοῖς καὶ σημείοις τεταγμένον, ὥσπερ ἐν πολέμῳ. ἐπέφερον δὲ τὴν ψῆφον ȣ̓χ ἅπαντες ἀναλαβόντες, ἀλλὰ κατὰ τȣ̀ς ἰδίȣς ἕκαςοι λόχȣς, ὁπότε κληθεῖεν ὑπὸ τῶν ὑπάτων. ὄντων δὲ τῶν συμπάντων τριῶν καὶ ἐννενήκοντα καὶ ἑκατὸν λόχων, καὶ τȣ́των εἰς ἓξ διῃρημένων συμμορίας, πρώτη μὲν ἐκαλεῖτο συμμορία, καὶ τὴν ψῆφον ἐπέφερεν ἡ τῶν ἐχόντων τὸ μέγιςον τίμημα τῆς ȣ̓σίας, καὶ τὴν πρώτην λαμβανόντων τάξιν ἐν πολέμοις· ἐν οἷς ἦσαν ἱππέων μὲν ὀκτωκαίδεκα λόχοι, πεζῶν δ᾽ ὀγδοήκοντα. δευτέρα δ᾽ ἐψηφηφόρει συμμορία τῶν ὑποδεεςέρων τοῖς βίοις, καὶ τὴν ὑποβεβηκυῖαν τάξιν ἐν ταῖς μάχαις [μαχομένων,] καὶ ὁπλισμὸν ȣ̓ τὸν αὐτὸν ἐχόντων τοῖς προτοςάταις, ἀλλ᾽ ἐλάττονα· τȣ̃το δὲ τὸ πλῆθος εἰς εἴκοσι λόχȣς συντεταγμένον ἦν· προσέκειντο δ᾽ αὐτοῖς δύο λόχοι τεκτόνων καὶ χαλκοτύπων, καὶ ὅσοι ἄλλοι πολεμικῶν ἔργων ἦσαν χειροτέχναι. οἱ δ᾽ ἐν τῇ τρίτῃ συμμορίᾳ καλȣ́μενοι, λόχȣς μὲν ἐξεπλήρȣν εἴκοσι, τίμημα δ᾽ εἶχον ἔλαττον τῶν δευτέρων, καὶ τάξιν τὴν ἐπ᾽ ἐκείνοις [ἐλάττονα,] καὶ ὅπλα ȣ̓χ ὅμοια τοῖς πρὸ αὐτῶν ἔφερον.

οἱ

Digitized by Google

οἱ δὲ μετὰ τούτους καλούμενοι, τίμημά τ' οὐσίας ἔλατ]ον εἶχον, καὶ τάξιν ἐν πολέμῳ τὴν ἀσφαλεστέραν ἐλάμβανον, καὶ ὁπλισμὸν εὐσταλέστερον εἶχον· διῄρηντο δ' εἰς εἴκοσι καὶ οὗτοι λόχους· συνετάτ]οντο δὲ καὶ τούτοις δύο λόχοι βυκανιστῶν καὶ σαλπιγκ]ῶν. πέμπ]η δ' ἐκαλεῖτο συμμορία τῶν ὀλίγου πάνυ τετιμημένων ἀργυρίου· ὅπλα δ' ἦν αὐτῶν σαυνία καὶ σφενδόναι· οὗτοι τάξιν οὐκ εἶχον ἐν φάλαγγι, ἀλλὰ ψιλοὶ καὶ κοῦφοι συνεστρατεύοντο τοῖς ὁπλίταις, εἰς τριάκοντα λόχους διῃρημένοι. οἱ δ' απορώτατοι τῶν πολιτῶν, οὐκ ἐλάτ]ους τῶν ἄλλων ἁπάντων ὄντες, ἔσχατοι τὴν ψῆφον ἀνελάμβανον, ἕνα μόνον ἔχοντες λόχον· οὗτοι στρατειῶν τ' ἦσαν ἐλεύθεροι τῶν ἐκ καταλόγου, καὶ εἰσφορῶν τῶν κατὰ τιμήματα γινομένων ἀτελεῖς, καὶ δι' ἄμφω ταῦτα ἐν ταῖς ψηφηφορίαις ἀτιμότατοι. εἰ μὲν οὖν ἐπὶ τῶν πρώτων λόχων, οὓς οἵ τε ἱππεῖς ἐξεπλήρουν, καὶ τῶν πεζῶν οἱ τὴν πρώτην τάξιν ἐν τῷ πολέμῳ λαμβάνοντες, τὸ αὐτὸ φρονήσαιεν ἑπ]ὰ καὶ ἐννενήκοντα λόχοι, τέλος εἶχεν ἡ ψηφηφορία, καὶ οὐκέτι τοῖς λοιποῖς ἓξ καὶ ἐννενήκοντα λόχοις ἀνεδίδοτο ἡ ψῆφος· εἰ δὲ μὴ τοῦτο γένοιτο, ἡ δευτέρα συμμορία τῶν δύο καὶ εἴκοσι λόχων ἐκαλεῖτο, καὶ ἡ τρίτη· καὶ τοῦτο συνέβαινεν, ἕως οὗ τὸ αὐτὸ φρονήσωσιν ἑπ]ὰ καὶ ἐννενήκοντα λόχοι. καὶ τὰ μὲν πολλὰ τῶν ἀγωνισμάτων ἐπὶ τῶν πρώτων κλήσεων τέλος ἐλάμβανεν, ὡς μηδὲν ἔτι δεῖν τῶν ἐσχάτων. σπανίως δέ που πρᾶγμα οὕτως ἐνδοιαζόμενον ἐνέπιπ]εν, ὥστε μέχρι τῆς ἐσχάτης ψήφου τῆς τῶν ἀπορωτάτων προελθεῖν· καὶ ἦν ὥσπερ πέρας τοῦτο σχισθέντων τῶν προτέρων δύο καὶ ἐννενήκοντα καὶ ἑκατὸν λόχων, τὴν τελευταίαν ψῆφον ἐπενεχθεῖσαν ἐκείναις, αἰτίαν γενέσθαι τῆς ἐπὶ θάτερα ῥοπῆς. οἱ μὲν οὖν συναγωνιζόμενοι Μαρκίῳ, ταύτην ἠξίουν καλεῖν τὴν ἀπὸ τῶν τιμημάτων ἐκκλησίαν, ὑπολαμβάνοντες τάχα μὲν ἀπὸ τῆς πρώτης κλήσεως ὑπὸ τῶν ὀκ]ὼ καὶ ἐννενήκοντα λόχων ἀπολυθήσεσθαι τὸν ἄνδρα· εἰ δὲ μή γε, ὑπὸ τῆς δευτέρας, ἢ τρίτης. οἱ δὲ δήμαρχοι ταῦτα ὑφορώμενοι, καὶ αὐτοὶ τὴν φυλετικὴν ἐκκλησίαν ᾤοντο δεῖν συνάγειν, καὶ τοῦ ἀγῶνος ἐκείνην ποιῆσαι κυρίαν· ἵνα μήτε οἱ πένητες τῶν πλουσίων μειονεκ]ῶσι, μήτε οἱ φυλετικοὶ

τικοὶ τῶν ὁπλιτῶν ἀτιμοτέραν ἔχωσι χώραν, μήτε ἀπεῤῥιμμένον εἰς τὰς ἐσχάτας κλήσεις τὸ δημοτικὸν πλῆθος ἀποκλείηται τῶν ἴσων ψήφων· ἰσόψηφοι δὲ καὶ ὁμότιμοι πάντες ἀλλήλοις γενόμενοι, μιᾷ κλήσει τὴν ψῆφον ἐπενέγκωσι κατὰ φυλάς. καὶ ἐδόκει δικαιότερα αὐτοὶ τῶν ἑτέρων ἀξιῦν· δημοτικὸν οἰόμενοι δεῖν, ἀλλ' ἐκ ὀλιγαρχικὸν εἶναι τὸ τῦ δήμυ δικαςήριον, καὶ τὴν περὶ τῶν ἀδικέντων τὸ κοινὸν διάγνωσιν ἁπάντων εἶναι κοινήν.

cap. 60. 61. Minucius Coriolanum a factis præclaris commendat & senatusconsulti argumentum repetit.

Συγχωρηθέντος δ' αὐτοῖς καὶ τύτυ μόγις ὑπὸ τῶν πατρικίων, ἐπειδὴ τὴν δίκην ἐχρῆν λέγεσθαι, πρῶτος ἀνέβη Μινύκιος, ὁ ἕτερος τῶν ὑπάτων, καὶ ἔλεξεν, ὅς ἐπέςειλεν αὐτῷ λόγυς ἡ βυλή· πρῶτον μὲν ἁπάσας τὰς εὐεργεσίας ὑπομιμνήσκων, ὅσας ἦν εἰληφὼς ὁ δῆμος παρὰ τῶν πατρικίων· ἔπειτα ἀξιῶν ἀντὶ πολλῶν καὶ καλῶν ἔργων μίαν ἀποδοθῆναι παρὰ τῦ δήμυ δεομένοις σφίσιν ἀναγκαίαν χρείαν, ἐπὶ τῷ κοινῷ τῆς πόλεως ἀγαθῷ. "πρὸς δὲ τύτοις, ἐπειδὴ (ἔφη) πάντως, ὦ δήμαρχοι, ψῆφον ἐπενεχθῆναι περὶ τῦ ἀνδρὸς προθυμεῖσθε, μηδὲν ἔξω τῦ ἐγκλήματος κατηγορεῖτε· ἀλλ' ἐπειδὴ τυραννίδι αὐτὸν ἐπιχειρεῖν εἰσηγγείλατε, τῦτο διδάσκετε, καὶ περὶ τύτυ τὰς πίςεις φέρετε. λόγων δὲ, ὧν αὐτὸν αἰτιᾶσθε κατὰ τῦ δήμυ πρὸς τὴν βυλὴν εἰπεῖν, μήτε μέμνησθε, μήτε κατηγορεῖτε. ἀφεῖσθαι γὰρ αὐτὸν ἐψηφίσατο ταύτης τῆς αἰτίας τὸ συνέδριον, καὶ ἐπὶ ῥητοῖς ἥκειν εἰς τὸν δῆμον ἐδικαίωσε. καὶ μετὰ τῦτο ἀνέγνω τὸ προβύλευμα." ὁ μὲν δὴ ταῦτα εἰπών τε καὶ ἐπιμαρτυράμενος, κατέβη.

Sicinnius Coriolanum affectatæ tyrannidis accusat.

τῶν δὲ δημάρχων πρῶτος μὲν διέθετο τὴν κατηγορίαν Σικίννιος ἐκ πολλῆς ἐπιμελείας καὶ παρασκευῆς, πάντα, ὅσα πράττων ἢ λέγων ὁ ἀνὴρ κατὰ τῦ δήμυ διετέλεσεν, εἰς κατασκευὴν τυραννίδος ἀναφέρων. ἔπειτα μετ' ἐκεῖνον οἱ δυνατώτατοι τῶν δημάρχων εἰπεῖν.

cap. 62. Quæ Marcius ad se defendendum dixerit & fecerit.

Ὡς δὲ παρέλαβεν ὁ Μάρκιος τὸν λόγον, ἀρξάμενος ἄνωθεν ἀπὸ τῆς πρώτης ἡλικίας, διῆλθεν, ὅσας ἐςρατευμένος ἦν ὑπὲρ τῆς πόλεως ςρατείας, καὶ ὅσυς εἰληφὼς ἐπινικίυς παρὰ τῶν ςρατηγῶν ςεφάνυς, πολεμίων τε τὺς ληφθέντας αἰχμαλώτυς ὑπ' αὐτῦ, καὶ πολιτῶν τὺς διασωθέντας ἐν τοῖς ἀγῶσι· καὶ παρ' ἕκαςον τῶν λεγομένων τά τ' ἀριςεῖα ἐπεδείκνυτο, καὶ τὺς ςρατηγὺς μάρτυ-

ρας

Digitized by Google

ρας παρείχετο, καὶ τῶν πολιτῶν τὰς διασωθέντας ἐξ ὀνόματος ἐκάλει. οἱ δὲ παρῆσαν ὀλοφυρόμενοι, καὶ δεόμενοι τῶν πολιτῶν, μὴ τὸν αἴτιον σφίσι τῆς σωτηρίας, ὡς πολέμιον ἀπολέσαι καὶ κτεῖναι, μίαν τ' ἀντὶ πολλῶν ψυχὴν αἰτᾶμενοι, καὶ παραδιδόντες ἑαυτὰς ἀντ' ἐκείνα χρῆσθαι, ὅ τι βάλονται. ἦσαν δὲ οἱ πλείας αὐτῶν ἐκ τᾶ δημοτικᾶ γένας, καὶ πολλὰ τῷ κοινῷ χρήσιμοι· ὧν τάς τε ὄψεις καὶ τὰς δεήσεις δι' αἰσχύνης ὁ δῆμος λαμβάνων, εἰς οἴκτας καὶ δάκρυα ἐτράπετο. ὡς δὲ καὶ τὴν ἐσθῆτα ὁ Μάρκιος περιῤῥηξάμενος, ἐπεδείξατο τὰ σέρνα τραυμάτων μεσὰ, καὶ πᾶν τὸ ἄλλο μέρος τᾶ σώματος ἀνάπλεων τῶν πληγῶν, καὶ ἐπύθετο, εἰ τῶν αὐτῶν ἀνθρώπων ἔργα εἶναι νομίζασι, σώζειν μὲν ἐκ τῶν πολεμίων τὰς πολλὰς, ἀπολλύναι δὲ τὰς σωθέντας ἐν εἰρήνῃ· καὶ εἰ τυραννίδα κατασκευαζόμενός τις τὸ δημοτικὸν ἐλαύνει μέρος ἐκ πόλεως, ὑφ' ὃ μάλισα αὔξεταί τε καὶ τρέφεται τυραννίς. ἔτι δὲ αὐτᾶ γέγοντος, ὅσον μὲν ἦν τᾶ δημοτικᾶ μέρας ἐπιεικὲς καὶ φιλόχρησον, ἀπολύειν ἐβόα τὸν ἄνδρα, καὶ δι' αἰσχύνης ἐλάμβανεν, εἰ καὶ δίκην ὑπεῖχε τὴν ἀρχὴν τοιαύτης αἰτίας, ἀνὴρ τοσαυτάκις ὑπεριδὼν τῆς ἑαυτᾶ ψυχῆς ἕνεκα τῆς ἁπάντων φυλακῆς. ὅσοι δ' ἦσαν φύσει βάσκανοι καὶ μισόχρησοι καὶ πρὸς πᾶσαν εὐκίνητοι σάσιν, ἤχθοντο μὲν ἀπολύειν τὸν ἄνδρα μέλλοντες, ἀκ εἶχον δὲ, ὅ τι ἂν ἄλλο ποιῶσι, διὰ τὸ μηδεμίαν εὑρίσκειν ἀφορμὴν τυραννίδος ἢ ἐπιθέσεως φαινομένην, ὑπὲρ ἧς τὰς ψήφας ἀνειλήφεσαν.

Plebs ad commiserationem movetur.

Τᾶτο καταμαθὼν ὁ Δέκιος ἐκεῖνος, ὁ καὶ τὰς ἐν τῇ βαλῇ ποιησάμενος λόγας, καὶ τὸ προβάλευμα περὶ τῆς δίκης γραφῆναι παρασκευάσας, ἀνέση, καὶ σιωπὴν γενέσθαι κελεύσας, ἔλεξεν· "Ἐπειδὴ, ὦ δημόται, τῶν ἐν τῇ βαλῇ λεχθέντων ὑπὸ Μαρκία λόγων, καὶ τῶν διὰ τάτων ἀκολαθησάντων ἔργων βιαίων τε καὶ ὑπερηφάνων ἀπολύασιν αὐτὸν οἱ πατρίκιοι, καὶ ἀδὲ ἡμῖν ἐπιτρέπασι κατηγορεῖν, ἀκάσατε, οἷον ὑμῖν ἔργον ἔξω τῶν λόγων ὁ γενναῖος ἅτος ἀνὴρ τυγχάνει διαπεπραγμένος, ὡς αὔθαδες καὶ τυραννικὸν, καὶ οἷον ὑμῶν κατέλυσε νόμον αὐτὸς ἰδιώτης ὢν, μάθετε. ἴσε δήπα πάντες, ὅτι τὰ ἐκ τῶν πολεμίων λάφυρα. ὅσων ἂν ἡμῖν ὑπάρχῃ τυχεῖν δι' ἀρετὴν,

cap. 63. Igitur Decius eum prædæ contra leges amicis divisæ accusat.

τὴν, δημόσια εἶναι κελεύει ὁ νόμος, καὶ τούτων οὐχ ὅπως τις ἰδιώτης γίνεται κύριος, ἀλλ' οὐδὲ αὐτὸς ὁ τῆς δυνάμεως ἡγεμών· ὁ δὲ ταμίας αὐτὰ παραλαβὼν, ἀπεμπολεῖ, καὶ εἰς τὸ δημόσιον ἀναφέρει τὰ χρήματα. καὶ τοῦτον τὸν νόμον, ἐξ οὗ τήνδε οἰκοῦμεν τὴν πόλιν, οὐχ ὅπως κατέλυσέ τις, ἀλλ' οὐδὲ ᾐτιάσατο μὴ οὐχὶ καλῶς ἔχειν· ἀλλ' οὗτος μόνος Μάρκιος ὑπεριδὼν αὐτοῦ κειμένου καὶ κυρίου ὄντος, μόνος ἠξίωσεν ἀφαιρήσασθαι τὰ κοινὰ ἡμῶν, ὦ δημόται, λάφυρα, πέρυσι καὶ οὐ πάλαι. ποιησαμένων γὰρ ὑμῶν καταδρομὴν τῆς Ἀντιατῶν γῆς, καὶ πολλὰ μὲν σώματα, πολλὰ δὲ βοσκήματα, πολὺν δὲ σῖτον, πολλὰ δ' ἄλλα χρήματα περιβαλομένων, οὔτε τῷ ταμίᾳ ταῦτα ἀπέδειξεν, οὔτ' αὐτὸς ἀποδόμενος εἰς τὸ δημόσιον ἀνήνεγκε τὸ ἀργύριον, ἀλλὰ διένειμε καὶ κατεχαρίσατο τοῖς ἑαυτοῦ φίλοις ἅπασαν τὴν λείαν. τοῦτο δὴ τυραννίδος τεκμήριον εἶναί φημι τὸ ἔργον. πῶς γὰρ οὔ; ὃς τοὺς ἑαυτοῦ κόλακάς τε καὶ σωματοφύλακας, καὶ τῆς μελλούσης συνεργοὺς τυραννίδος ἐκ τῶν δημοτικῶν εὐηργέτει χρημάτων· καὶ νόμου κατάλυσιν εἶναι φανερὰν ταύτην λέγω. δυοῖν δὴ θάτερον ἀποφηνάτω παρελθὼν Μάρκιος, ἢ, ὡς οὐ διένειμε τὰ λάφυρα τοῖς ἑαυτοῦ φίλοις, ἃ ἔλαβεν ἐκ τῆς πολεμίας, ἢ, ὡς ταῦτα ποιῶν οὐ καταλύει τοὺς νόμους· ὧν οὐδέτερον ἕξει πρὸς ὑμᾶς εἰπεῖν. αὐτοὶ γὰρ ἀμφότερα ἴστε, καὶ τὸν νόμον, καὶ τὸ ἔργον, καὶ οὐκ ἔνεστιν ὑμῖν ἀποψηφισαμένοις αὐτοῦ τὰ δίκαια καὶ τὰ εὔορκα δοκεῖν ἐγνωκέναι. ἐάσας δὴ τοὺς στεφάνους, καὶ τὰ ἀριστεῖα, καὶ τὰ τραύματα, καὶ τὴν ἄλλην τερατείαν, πρὸς ταῦτα λέγε, ὦ Μάρκιε· παραδίδωμι γὰρ ἤδη σοὶ τὸν λόγον."

cap. 64. Τοῦτο τὸ κατηγόρημα πολλὴν ἐποίησε τὴν ἐπὶ θάτερα μεταβολήν. οἱ μὲν γὰρ ἐπιεικέστεροί τε καὶ σπουδάζοντες ὑπὲρ ἀφέσεως τοῦ ἀνδρὸς, μαλακώτεροι τούτων ἀκούσαντες ἐγένοντο· τὸ δὲ κακόηθες ἅπαν, ὃ τοῦ δήμου πλεῖστον μέρος ἦν, ἐκ παντὸς ἀπολέσαι τὸν ἄνδρα δήπου προθυμούμενον, ἔτι μᾶλλον εἰς ταῦτα ἐπεῤῥώσθη, μεγάλης ἀφορμῆς καὶ φανερᾶς λαβόμενον. ἦν γὰρ ἀληθὴς ἡ τῶν λαφύρων διάδοσις· οὐ μὴν ἐκ προαιρέσεώς γε πονηρᾶς, καὶ ἐπὶ κατασκευῇ τυραννίδος, ὡς ὁ Δέκιος ᾐτιᾶτο, γενομένη, ἀλλ' ἀπὸ παντὸς τοῦ βελτίστου, καὶ ἐπανορθώσεως ἕνεκα τῶν κατεχόντων τὰ κοινὰ κακῶν. Ὄχλῳ

Digitized by Google

Ὄχλῳ δὲ ὑπόπτῳ καὶ φθονερῷ δυσμενῶς αὐτῇ καθ' αὑτὴν ἡ πρᾶξις ἐξεταζομένη, δημαγωγία τις ἐφαίνετο εἶναι, καὶ δεκασμὸς τυραννικός. ὥστε βοῆς καὶ θορύβου πᾶσα ἦν ἀνάπλεως ἡ ἀγορὰ, καὶ οὔτε ὁ Μάρκιος πρὸς ταῦτα εἶχεν, ὅ τι ἀπολογήσαιτο, οὔτε ὁ ὕπατος, οὔτ' ἄλλος οὐδείς, οἷα δὴ παραδόξου καὶ ἀπροσδοκήτου φανείσης ἐπὶ σφίσι τῆς αἰτίας. ἐπειδὴ δ' οὐδεὶς οὐκέτι ἀπελογεῖτο, ἀνέδωκαν οἱ δήμαρχοι τὴν ψῆφον ταῖς φυλαῖς, τίμημα ἐπιγράψαντες τῇ δίκῃ φυγὴν ἀΐδιον, κατὰ δέος, οἶμαι, τοῦ μὴ ἂν ἁλῶναι τὸν ἄνδρα, θανάτου αὐτῷ τιμησάντων. ὡς δ' ἐπεψήφισαν ἅπαντες, διαριθμουμένων τῶν ψήφων, οὐ μέγα τὸ διάλλαγμα ἐφάνη. μιᾶς γὰρ καὶ εἴκοσι τότε φυλῶν οὐσῶν, αἷς ἡ ψῆφος ἀνεδόθη, τὰς ἀπολυούσας ἔσχεν ὁ Μάρκιος ἐννέα· ὥστ', εἰ δύο προσῆλθον αὐτῷ φυλαὶ, διὰ τὴν ἰσοψηφίαν ἀπελύετο ἂν, ὥσπερ ὁ νόμος ἠξίου.

Ibidem. Coriolanus in exsilium ejicitur.

Αὕτη πρώτη κατ' ἀνδρὸς πατρικίου πρόσκλησις εἰς τὸν δῆμον ἐγένετο ἐπὶ δίκῃ. καὶ ἀπ' ἐκείνου τοῦ χρόνου τοῖς ὕστερον λαμβάνουσι τὴν τοῦ δήμου προστασίαν, ἔθος κατέστη, καλεῖν, οὓς δόξειε τῶν πολιτῶν, δίκην ὑφέξοντας ὑπὸ τοῦ δήμου. καὶ ἐνθένδε ἀρξάμενος ὁ δῆμος ἤρθη μέγας· ἡ δ' ἀριστοκρατία πολλὰ τοῦ ἀρχαίου ἀξιώματος ἀπέβαλε, βουλῆς τε μετέχειν ἐπιτρέπουσα τοῖς δημοτικοῖς, καὶ ἀρχὰς μετιέναι συγχωροῦσα, ἱερῶν τε προστασίας λαμβάνειν οὐ κωλύουσα, καὶ ὅσα ἄλλα τιμιώτατα ἦν καὶ ἴδια τῶν πατρικίων μόνων, ἅπασι κοινωσαμένη, τὰ μὲν ὑπ' ἀνάγκης τε καὶ ἄκουσα, τὰ δ' ἐκ προνοίας τε καὶ σοφίας, ὑπὲρ ὧν κατὰ τὸν οἰκεῖον καιρὸν ἐρῶ.

cap. 65.

Τότε δ' οὖν τῆς δίκης τοῦτο λαβούσης τὸ τέλος, ὁ μὲν δῆμος ἀπελύετο προσειληφὼς ἀνόητον αὔχημα, καὶ καθῃρηκέναι τὴν ἀριστοκρατίαν νομίσας· οἱ δὲ πατρίκιοι, κατηφεῖς τε καὶ ταπεινοὶ, καὶ δι' αἰτίας ἔχοντες τὸν Οὐαλέριον, ὑφ' οὗ πεισθέντες ἐπέτρεψαν τῷ δήμῳ τὴν δίκην· ἦν τ' οἰμωγὴ καὶ δάκρυα τῶν οἰκτειρόντων τε καὶ προπεμπόντων τὸν Μάρκιον. αὐτὸς δὲ ὁ Μάρκιος οὔτ' ἀνακλαυσάμενος ὤφθη τὰς αὑτοῦ τύχας, οὔτ' ἀποιμώξας, οὔτ' ἄλλο εἰπὼν ἢ δράσας ἀνάξιον τῆς αὑτοῦ μεγαλοφροσύνης οὐδ' ὁτιοῦν· ἔτι δὲ μᾶλλον ἐδήλωσε τὴν γενναιότητα καὶ καρτερίαν τῆς γνώμης, ἐπειδὴ οἴκαδε ἀφικόμενος γυναῖκά τ' εἶδε

cap. 67. Plebeji triumphant, optimates lugent; Coriolanus, admonitis matre, conjuge & liberis, ut forti animo calamitates ferrent, in exsilium proficiscitur.

τ' ἶδε καὶ μητέρα καταῤῥηγνυμένας τὰς πέπλες, καὶ τὰ ϛέρνα τυπ]έσας, καὶ, οἷα εἰκός ἐϛιν ἐπὶ τοιαύταις συμφοραῖς λέγειν τὰς ἀποζευγνυμένας ἀπὸ τῶν ἀναγκαιοτάτων σφίσι, θανάτοις, ἢ φυγαῖς, ἀναβοώσας, ἐδὲν πρὸς τὰ δάκρυα καὶ τὰς θρήνες τῶν γυναικῶν ἔπαθεν· ἀσπασάμενος δ' αὐτὰς μόνον, καὶ παρακαλέσας, γενναίως φέρειν τὰς συμφορὰς, τές τε παῖδας αὐταῖς παρακαταθέμενος· ὁ γὰρ πρεσβεύτερος τῶν παίδων ἦν δέκα γεγονὼς ἔτη, ὁ δὲ νεώτερος ὑπάγκαλος ἔτι· ἄλλο δ' ἐδὲν ἔτε φιλοφρονησάμενος, οἷς εἰς τὴν φυγὴν χρήσεσθαι ἔμελλεν, ἐξῄει κατὰ σπεδὴν ἐπὶ τὰς πύλας, ἐδενὶ δηλώσας, ὅποι τὴν ἀπαλλαγὴν ποιήσοιτο. Καὶ τὰ μὲν ἐπὶ τέτων συντελεσθέντα τῶν ὑπάτων τοιάδε ἦν.

Lib. VIII. c. 1. A. U. 265. ante Chr. 489. Marcius Coriolanus, poenas de inimicis sumturus, Volscos ad bellum se duce gerendum concitat.

Οἱ δὲ μετὰ τέτες ἀποδειχθέντες ὕπατοι κατὰ τὴν ἑβδομηκοϛὴν καὶ τρίτην ὀλυμπιάδα, καθ' ἣν ἐνίκα ϛάδιον Ἄϛυλος Κροτωνιάτης, ἄρχοντος Ἀθήνησιν Ἀγχίσε, Γάϊος Ἰέλιος Ἴελλος, καὶ Πόπλιος Πινάριος Ῥέφος, ἄνδρες ἥκιϛα πολεμικοὶ, καὶ διὰ τἕτο μάλιϛα τῆς ἀρχῆς ταύτης παρὰ τἕ δήμε τυχόντες, εἰς πολλὲς καὶ μεγάλες ἠναγκάσθησαν κινδύνες καταϛῆναι, πολέμε καταῤῥαγέντος ἐκ τῆς ἐκείνων ἀρχῆς, δι' ὃν ἡ πόλις ὀλίγε ἐδέησεν ἐκ βάθρων ἀναιρεθῆναι. ὁ γὰρ Μάρκιος ἐκεῖνος ὁ Κοριολάνος, ὁ τὴν ἐπὶ τῇ τυραννίδι αἰτίαν ἔχων, καὶ φυγῇ ἀϊδίῳ ἐλαθεὶς, ἀγανακ]ῶν ἐπὶ τῇ συμφορᾷ, καὶ τιμωρίαν παρὰ τῶν ἐχθρῶν βελόμενος λαβεῖν, δι' ἕ δ' ἂν ἄυτη γένοιτο τρόπε, καὶ δι' οἵας δυνάμεως ἀνασκοπῶν, μίαν εὕρισκε Ῥωμαίοις τότε ἀντίπαλον ἰσχὺν τὴν Ὀυολέσκων, εἰ κοινῇ χρησάμενοι γνώμῃ, καὶ τυχόντες ἔμφρονος ἡγεμόνος, ἐνϛήσονται πρὸς αὐτὲς τὸν πόλεμον. ἐλογίζετο γἕν, ὡς, εἰ πείσειε τὲς Ὀυολέσκες δέξασθαί τ' αὐτὸν, καὶ τὴν ἡγεμονίαν ἐπιτρέψαι τἕ πολέμε, ῥᾳδίως αὐτῷ διαπεπράξεται τὸ ἔργον. ἐτάρατ]ε δ' αὐτὸν ἡ συνείδησις, ὅτι πλειϛάκις κατὰ τὰς μάχας δεινὰ δεδρακὼς ἦν, καὶ πόλεις συμμαχίδας ἀφῃρημένος. ἐ μὴν ἀπέϛη γε τῆς πείρας διὰ τὸ τἕ κινδύνε μέγεθος, ἀλλ' εἰς αὐτὰ τὰ δεινὰ χωρεῖν ἐβελεύσατο, καὶ πάσχειν ὑπ' αὐτῶν ὁτιἕν. Φυλάξας δὲ νύκ]α, καὶ ταύτην σκοταίαν, ἧκεν εἰς Ἄντιον, τὴν ἐπιφανεϛάτην τῶν ἐν Ὀυολέσκοις πόλεων, ἡνίκα πε-

ρὶ

ρὶ δεῖπνον ἦσαν οἱ κατὰ τὴν πόλιν· καὶ παρελθὼν εἰς οἰκίαν ἀνδρὸς δυνατοῦ, δι᾽ εὐγένειάν τε καὶ πλοῦτον, καὶ τὰς ἐν τοῖς πολέμοις πράξεις μέγα ἐφ᾽ ἑαυτῷ φρονοῦντος, καὶ τὸ ἔθνος ὅλον ἄγοντος ὡς τὰ πολλὰ, ᾧ Τύλλος Ἄττιος ὄνομα ἦν, ἱκέτης τοῦ ἀνδρὸς γίνεται καθεζόμενος ἐπὶ τῆς ἑστίας. διηγησάμενος δ᾽ αὐτῷ τὰς κατασχούσας αὐτὸν ἀνάγκας, δι᾽ ἃς ὑπέμεινεν ἐπὶ τοὺς ἐχθροὺς καταφυγεῖν, μέτρια ἠξίου φρονῆσαι καὶ ἀνθρώπινα περὶ ἀνδρὸς ἱκέτου, καὶ μηκέτι πολέμιον ἡγεῖσθαι τὸν ὑποχείριον, μηδ᾽ εἰς τοὺς ἀτυχοῦντας καὶ τεταπεινωμένους ἀποδείκνυσθαι τὴν ἰσχὺν· ἐνθυμούμενον, ὡς οὐ μένουσιν ἐπὶ τοῖς αὐτοῖς πράγμασιν αἱ τῶν ἀνθρώπων τύχαι. "Δύναιο δ᾽ ἄν, ἔφη, τοῦτο ἐξ αὐτοῦ μάλιστα μαθεῖν ἐμοῦ, ὃς ἐν τῇ μεγίστῃ πόλει κράτιστός ποτε εἶναι τῶν ἄλλων δοκῶν, νῦν ἔρημος καὶ ἄπολις καὶ ταπεινὸς ἐῤῥιμμένος, τοῦτο πείσομαι, ὅ τι ἂν ἐχθρῷ ὄντι σοι δοκῇ. ὑπισχνοῦμαι δέ σοι τοσαῦτα ἀγαθὰ ποιήσειν Οὐολούσκους, φίλος τῷ ἔθνει γενόμενος, ὅσα κακὰ εἰργασάμην ἐχθρὸς ὤν. εἰ δέ τι ἄλλο γινώσκεις περὶ ἐμοῦ, χρῆσαι τῇ ὀργῇ παραχρῆμα, καὶ θάνατον χάρισαί μοι τὸν τάχιστον, αὐτοχειρίᾳ τε καὶ ἐπὶ τῆς ἑστίας τῆς ἑαυτοῦ καθιερεύσας τὸν ἱκέτην."

Ἔτι δ᾽ αὐτοῦ ταῦτα λέγοντος, ἐμβαλὼν τὴν δεξιὰν ὁ Τύλλος, καὶ ἀπὸ τῆς ἑστίας ἀναστήσας, θαῤῥεῖν τ᾽ αὐτὸν ἐκέλευσεν, ὡς μηδὲν ἀνάξιον τῆς ἰδίας ἀρετῆς πεισόμενον· καὶ πολλὰς αὐτῷ χάριτας εἰδέναι τῆς πρὸς αὐτὸν ἀφίξεως ἔφη, τιμήν τινα οὐ μικρὰν εἶναι καὶ ταύτην ἀποφαινόμενος· Οὐολούσκους τ᾽ αὐτῷ πάντας ὑπισχνεῖτο ποιήσειν φίλους, ἀρξάμενος ἀπὸ τῆς ἑαυτοῦ πατρίδος· καὶ οὐδεμίαν ἐψεύσατο τῶν ὑποσχέσεων. χρόνου δέ τινος οὐ πολλοῦ διελθόντος βουλευομένοις τοῖς ἀνδράσι κατὰ σφᾶς, Μαρκίῳ τε καὶ Τύλλῳ, κινεῖν ἐδόκει τὸν πόλεμον. ὁ μὲν οὖν Τύλλος αὐτίκα μάλα ἐβούλετο, πᾶσαν τὴν Οὐολούσκων δύναμιν παραλαβὼν, ἐπὶ τὴν Ῥώμην χωρεῖν, ἕως ἐστασίαζε, καὶ ἡγεμόνας ἀπολέμους εἶχεν. ὁ δὲ Μάρκιος αἰτίαν πρῶτον ᾤετο δεῖν εὐσεβῆ καὶ δικαίαν ἐνστήσασθαι τοῦ πολέμου· διδάσκων, ὡς ἁπάσαις μὲν πράξεσι θεοὶ συλλαμβάνουσι, μάλιστα δὲ ταῖς κατὰ πολέμους, ὅσῳ μείζους τέ εἰσι τῶν ἄλλων, καὶ εἰς ἀδήλους φιλοῦσι κατασκήπτειν τύχας.

cap. 2.

 ἐτύγ-

ἐτύγχανον δὲ τότε Ῥωμαίοις καὶ Ὀυολέσκοις ἐκεχειρίαι τῶ πολέμω καὶ ἀνοχαὶ πρὸς ἀλλήλους ὖσαι, σπονδαί τε διετεῖς ὀλίγῳ πρότερον χρόνῳ γενόμεναι. "Ἐὰν μὲν ὖν ἀπερισκέπτως, ἔφη, καὶ διὰ τάχους τὸν πόλεμον ἐπιφέρῃς, τῶ λελῦσθαι τὰς σπονδὰς αἴτιος ἔσῃ, καὶ τὸ δαιμόνιον ὐχ ἕξεις εὐμενές· ἐὰν δὲ περιμείνῃς, ἕως ἐκεῖνοι τῦτο ποιήσωσιν, ἀμύνεσθαι δόξεις, καὶ λελυμέναις σπονδαῖς βοηθεῖν. ὅπως δ' ἂν τῦτο γένοιτο, καὶ ὅπως ἂν ἐκεῖνοι μὲν ἄρξειαν παρασπονδεῖν, ἡμεῖς δὲ δόξαιμεν ὅσιον καὶ δίκαιον ἐπιφέρειν τὸν πόλεμον, ἐγὼ σὺν πολλῇ φροντίδι ἐξεύρηκα. δεῖ δὲ ὑφ' ἡμῶν αὐτὺς ἐξαπατηθέντας ἄρξαι τῆς παρανομίας. ὁ δὲ τρόπος τῆς ἐξαπάτης, ὃν ἐγὼ τέως μὲν ἀπόῤῥητον ἐφύλαττον, ἀναμένων τὸν οἰκεῖον αὐτῶ καιρὸν, νῦν δέ σου σπυδάζοντος ἔργου ἔχεσθαι, θᾶττον ἐκφέρειν ἐπὶ μέσον ἀναγκάζομαι, τοιόσδε ἐςίν· θυσίας ἐπιτελεῖν Ῥωμαῖοι μέλλυσι, καὶ ἀγῶνας ἄγειν ἀπὸ πολλῶν χρημάτων σφόδρα λαμπρύς· ἀφίξονται δὲ κατὰ θέαν ἐπὶ τύτυς πολλοὶ τῶν ξένων. τῦτον ἀναμείνας τὸν χρόνον, ἴθι καὶ σὺ, καὶ Ὀυολέσκων ὅσυς δύνασαι πλείςυς παρασκεύασον ἐλθεῖν ἐπὶ τὴν θέαν. ὅταν δ' ἐν τῇ πόλει γένῃ, τῶν ἀναγκαιοτάτων τινά σοι φίλων κέλευσον ἐλθεῖν ὡς τὺς ὑπάτυς, καὶ δι' ἀποῤῥήτων εἰπεῖν, ὅτι μέλλυσιν ἐπιτίθεσθαι τῇ πόλει Ὀυολῦσκοι νύκτωρ, καὶ ἐπὶ τῦτο ἥκυσι τὸ ἔργον ἀθρόοι. ἔυ γὰρ ἴσθι, ὡς, ἐι τῦτο ἀκύσειαν, ὐδὲν ἔτι ἐνδοιάσαντες ἐκβαλῦσιν ὑμᾶς ἐκ τῆς πόλεως, καὶ παρέξυσιν ἀφορμὴν δικαίας ὀργῆς."

Ut Romani jura primi violarent, suadet Tullo, ut ad ludorum spectaculum frequentes Romam proficiscantur Volsci.

cap. 3. Interventu indicis, a Tullo subornati, adventus eorum suspicionis plenus videtur; quare ex urbe sine mora excedere jubentur.

Ὡς δ' ἤκυσε ταῦτα ὁ Τύλλος, ὑπερηγάσθη τε, καὶ τὸν παρόντα καιρὸν τῆς ςρατείας ἀναβαλόμενος, περὶ τὴν παρασκευὴν ἐγίνετο τῶ πολέμυ. ἐπεὶ δὲ καθῆκεν ὁ τῆς ἑορτῆς καιρὸς, Ἰυλίυ τε καὶ Πιναρίυ τὴν ὑπατείαν ἤδη παρειληφότων, ἡ κρατίςη τῶν Ὀυολέσκων νεότης ἐξ ἁπάσης πόλεως, ὡς ὁ Τύλλος ἠξίυ, παρῆν ἐπὶ τὴν τῶν ἀγώνων θέαν· καὶ κατεσκήνυν οἱ πλείυς ἐν ἱεροῖς τε καὶ δημοσίοις τόποις, ὐκ ἔχοντες καταγωγὰς ἐν οἰκίαις τε καὶ παρὰ ξένοις· καὶ ὁπότε διὰ τῶν ςενωπῶν πορέυοιντο, κατὰ συςροφὰς καὶ ἑταιρίας ἀθρόοι διεξῄεσαν· ὥςε καὶ λόγον ἤδη γίνεσθαι περὶ αὐτῶν ἀνὰ τὴν πόλιν, καὶ ὑποψίας ἀτόπυς. ἐν δὲ τύτῳ προσέρχεται τοῖς ὑπάτοις ὁ

κατα-

Digitized by Google

κατασκευασθεὶς ὑπὸ τῦ Τύλλυ μηνυτὴς, ὡς Μάρκιος ὑπέθετο· καὶ ὡς δὴ ἀπόῤῥητον πρᾶξιν κατὰ τῶν αὐτῦ φίλων ἐχθροῖς μέλλων ἐκφέρειν, ὅρκοις καταλαμβάνεται τὺς ὑπάτυς ὑπὲρ ἀσφαλείας τ᾽ αὐτὸς τῆς αὐτῦ, καὶ τῦ μηδένα Ὀυολέσκων μαθεῖν, ὅςις ἦν ὁ τὴν μήνυσιν κατ᾽ αὐτῶν πεποιημένος· καὶ μετὰ τῦτο ἐπιφέρει τὴν περὶ τῆς ἐπιθέσεως τῆς κατεψευσμένης μήνυσιν. ἐδόκει τοῖς ἀνδράσιν ἀληθὴς ἔιναι ὁ λόγος, καὶ αὐτίκα ἡ βυλὴ κατ᾽ ἄνδρα ὑπὸ τῶν ὑπάτων κληθεῖσα συνῆκ]ο, καὶ παραχθεὶς ὁ μηνυτὴς τὺς αὐτὺς ἔιπε, καὶ πρὸς ἐκείνων τὰ πιςὰ λαβὼν, λόγυς. τοῖς δὲ καὶ πάλαι μὲν ἔιναι τὸ πρᾶγμα ἐδόκει μεςὸν ὑποψίας, τοσαύτην νεότητα ἐξ ἑνὸς ἔθνυς διαφόρυ σφίσιν ἐπὶ τὴν θέαν συνελθεῖν· προσελθύσης δὲ μηνύσεως, ἧς τὴν ἀπάτην ἠγνόυν, ἰσχὺν βεβαίαν ἡ δόξα ἔλαβεν. ἐδόκει τε ἅπασιν ἀπαλλάτ]ειν τὺς ἄνδρας ἐκ τῆς πόλεως, πρὶν ἥλιον δῦναι, τοῖς δὲ μὴ πειθεῖσιν ἐπικηρύξαι θάνατον· ἐπιμεληθῆναι δὲ τῆς ἀπαλλαγῆς αὐτῶν, ἵνα χωρὶς ὕβρεως καὶ μετ᾽ ἀσφαλείας γένοιτο, τὺς ὑπάτυς.

cap. 4. Volsci ob læsa fœderis jura bellum decernunt,

Ταῦτα τῆς βυλῆς ψηφισαμένης, οἱ μὲν ἐκήρυτ]ον διὰ τῶν ςενωπῶν διεξιόντες ἀπιέναι Ὀυολύσκυς ἐκ τῆς πόλεως αὐτίκα μάλα, κατὰ μίαν ἅπαντας ἐξιόντας πύλην τὴν καλυμένην Καπυΐνην· ἕτεροι δὲ παρέπεμπον τὺς ἀπαλλατ]ομένυς ἅμα τοῖς ὑπάτοις· ἔνθα μάλιςα ὤφθη, ὅσον αὐτῶν τὸ πλῆθος ἦν, καὶ ὡς ἀκμαῖον ἅπαν, ὑφ᾽ ἕνα καιρὸν καὶ κατὰ μίαν ἐξιόντων πύλην. πρῶτος μὲν αὐτῶν ὁ Τύλλος ἐξῄει διὰ ταχέων, καὶ καταλαβὼν ὐ πρόσω τῆς πόλεως τόπον ἐπιτήδειον, ἐν τύτῳ τὺς ὑςερῦντας ἀνελάμβανεν. ἐπειδὴ δὲ πάντες συνήχθησαν, ἐκκλησίαν ποιησάμενος, πολλῇ καταβοῇ τῆς Ῥωμαίων πόλεως ἐχρήσατο, δεινὴν καὶ ἀπόῤῥητον ἀποφαίνων τὴν ὕβριν, ἣν ὑβρισμένοι πρὸς αὐτῶν ἦσαν Ὀυολῦσκοι, μόνοι τῶν ἄλλων ξένων ἐξελαθέντες ἐκ τῆς πόλεως· καὶ λέγειν ἠξίυ ταῦτα πρὸς τὴν ἑαυτῦ πόλιν ἕκαςον, καὶ πράτ]ειν, ὅπως παύσωνται τῆς ὕβρεως Ῥωμαῖοι, δίκας παρασχόντες τῆς παρανομίας. ταῦτα εἰπὼν καὶ παραθήξας ἀνθρώπυς ἀγανακ]ῦντας ἐπὶ τῷ πάθει, διέλυσε τὴν ἐκκλησίαν. ὡς δ᾽ ἀπαλλαγέντες εἰς τὰς ἑαυτῶν ἕκαςοι πατρίδας, ἐδήλωσαν τοῖς ἄλλοις τὸν προπηλακισμὸν, ἐπὶ μεῖζον ἐξαίροντες τὰ γενόμενα, ἠγα-

Digitized by Google

ἠγανάκτει τε πᾶσα πόλις καὶ κατέχειν τὴν ὀργὴν ἐκ ἠδύνατο· διαπρεσβευομένη τ' ἄλλη πρὸς ἄλλην, εἰς μίαν ἀγορὰν πάντας ἠξίȣν Ὀυολέσκȣς ἰέναι, ὅπως ἂν κοινῇ χρήσαιντο γνώμῃ περὶ τȣ̃ πολέμȣ. ἐγίνετο δὲ ταῦτα, τȣ̃ Τύλλȣ μάλιστα ἐνάγοντος· καὶ συνῆσαν ἐξ ἁπάσης πόλεως ὅι τ' ἐν τοῖς τέλεσι, καὶ πολὺς ἄλλος ὄχλος εἰς τὴν Ἐχετρανῶν πόλιν· αὕτη γὰρ ἐδόκει ἐν καλλίστῃ κεῖσθαι συνόδῳ ταῖς ἄλλαις ἡ πόλις. ῥηθέντων δὲ πολλῶν λόγων, ὃς εἶπον οἱ δυναστεύοντες ἐν ἑκάστῃ πόλει, ψῆφος ἀνεδόθη τοῖς παρȣ̃σι· καὶ ἦν ἡ νικῶσα γνώμη, κινεῖν τὸν πόλεμον, ὡς Ῥωμαίων ἀρξάντων τῆς περὶ τὰς σπονδὰς παρανομίας.

cap. 8. ejusque ducem Marcium eligunt.

Ὑπὲρ δὲ τȣ̃ τίνα χρὴ πολεμεῖν αὐτοῖς τρόπον προθέντων σκοπεῖν τῶν ἐν τοῖς τέλεσι, παρελθὼν ὁ Τύλλος, συνεβȣ́λευσεν αὐτοῖς καλεῖν τὸν Μάρκιον, καὶ παρ' ἐκείνȣ πυνθάνεσθαι, πῶς ἂν ἡ Ῥωμαίων καταλυθείη δύναμις· κράτιστα γὰρ ἁπάντων ἀνθρώπων εἰδέναι, πῇ τε κάμνει τὰ τῆς πόλεως πράγματα, καὶ πῇ μάλιστα ἔρρωται. ἐδόκει ταῦτα, καὶ αὐτίκα πάντες ἐβόων καλεῖν τὸν ἄνδρα.

cap. 9.

Γραφέντος δὲ τȣ̃ δόγματος, εὐθὺς ἐξ ἑκάστης πόλεως τȣ̀ς ἐπιφανεστάτȣς ἄνδρας ἑλόμενοι, πρεσβευτὰς εἰς τὴν Ῥώμην ἀπέστειλαν· τῷ δὲ Μαρκίῳ ψηφίζονται βȣλῆς μετȣσίαν ἐν ἁπάσῃ πόλει, καὶ ἀρχὰς ἐξεῖναι πανταχόσε μετιέναι, καὶ τῶν ἄλλων, ὁπόσα τιμιώτατα ἦν παρ' αὐτοῖς, μετέχειν· καὶ πρὶν ἢ τὰς Ῥωμαίων ἀποκρίσεις ἀναμεῖναι, πάντες ἔργȣ εἴχοντο, παρασκευαζόμενοι τὰ πολέμια. ὅσοι τ' αὐτῶν ἦσαν ἄθυμοι τέως, κακωθέντες ἐν ταῖς προτέραις μάχαις, τότε πάντες ἐῤῥώσθησαν ὡς τὴν Ῥωμαίων καταλύσοντες ἰσχύν. οἱ δ' εἰς τὴν Ῥώμην ἀποσταλέντες ὑπ' αὐτῶν πρέσβεις, καταστάντες ἐπὶ τὴν βȣλὴν, ἔλεγον· "Ὅτι Ὀυολέσκοις περὶ πολλȣ̃ ἐστι καταλύσασθαι τὰ πρὸς Ῥωμαίȣς ἐγκλήματα, καὶ τὸν λοιπὸν χρόνον εἶναι φίλοις καὶ συμμάχοις ἄνευ δόλȣ καὶ ἀπάτης. ἔσεσθαι δὲ τὸ πιστὸν αὐτοῖς τῆς φιλίας βέβαιον ἀπέφαινον, εἰ κομίσαιντο γῆν τε τὴν ἑαυτῶν, καὶ πόλεις, ἃς ὑπὸ Ῥωμαίων ἀφῃρέθησαν· ἄλλως δὲ ȣ̓́τ' εἰρήνην, ȣ̓́τε φιλότητα βέβαιον ὑπάρξειν αὐτοῖς. τὸ γὰρ ἀδικȣ́μενον ἀεὶ πολέμιον εἶναι τῷ πλημμελȣ̃ντι, φύσει. ἠξίȣν τε μὴ καταστῆσαι σφᾶς εἰς ἀνάγκην πολέμȣ τῶν δικαίων ἀποτυγχάνοντας."

Volscorum legati, ut erepta a Romanis oppida populo suo restituerentur, postulant;

Ὡς

cap. 10.

Ὡς δὲ ταῦτα εἶπον οἱ πρέσβεις, ἐβουλεύοντο κατὰ σφᾶς οἱ σύνεδροι, μεταστησάμενοι τοὺς ἄνδρας. καὶ ἐπειδὴ ἔκριναν, ἃς χρὴ ἀποκρίσεις ποιήσασθαι, καλέσαντες αὐτοὺς πάλιν ἐπὶ τὸν σύλλογον, ταύτην ἔδοσαν τὴν ἀπόφασιν· "Ου λανθάνετε ἡμᾶς, ὦ Ὀυολοῦσκοι, φιλίας μὲν οὐδὲν δεόμενοι, πρόφασιν δ' εὐπρεπῆ λαβεῖν βουλόμενοι τοῦ πολέμου. ἃ γὰρ ἥκετε παρ' ἡμῶν ἀπαιτοῦντες, καλῶς ἐπίσταθε οὐδέποτε ληψόμενοι· χρῄζετε γὰρ ἀδίκων καὶ ἀδυνάτων. ει μὲν οὖν δόντες ἡμῖν τὰ χωρία, ἔπειτα μεταδόξαν ὑμῖν, νῦν ἀπαιτεῖτε, ἀδικεῖσθε μὴ κομιζόμενοι· ει δὲ πολέμῳ ἀφαιρεθέντες, οὐκέτι αὐτῶν ὄντες κύριοι, ἀδικεῖτε τῶν ἀλλοτρίων ἐφιέμενοι. ἡμεῖς δὲ κρατίστας ἡγούμεθα κτήσεις, ἃς ἂν πολέμῳ κρατήσαντες λάβωμεν· οὔτε πρῶτοι καταστησάμενοι νόμον τόνδε, οὔτ' αὐτὸν ἀνθρώπων ἡγούμενοι μᾶλλον εἶναι, ἢ οὐχὶ θεῶν· ἅπαντας δὲ καὶ Ἕλληνας καὶ βαρβάρους ειδότες αὐτῷ χρωμένους, οὐκ ἂν ἐνδοίημεν ὑμῖν μαλακὸν οὐδὲν, οὐδ' ἂν ἀποσταίημεν ἔτι τῶν δορυκτήτων. πολλὴ γὰρ ἂν εἴη κακότης, εἴ τις, ἃ μετ' ἀρετῆς καὶ ἀνδρείας ἐκτήσατο, ταῦτα ὑπὸ δειλίας τε καὶ μωρίας ἀφαιρεθείη. πολεμεῖν δ' οὔτε μὴ βουλομένους ὑμᾶς ἀναγκάζομεν, οὔτε προθυμουμένους παραιτούμεθα· ἂν δ' ἄρξησθε, ἀμυνούμεθα. ταῦτα Ὀυολούσκοις ἀπαγγέλλετε, καὶ λέγετε, ὅτι λήψονται μὲν τὰ ὅπλα πρότεροι ἐκεῖνοι, ἀποθήσομεν δὲ ἡμεῖς ὕστεροι."

sed repulsam a Romanis ferunt.

cap. 11. Volsci bellum indicunt & ad illud gerendum necessaria parant.

Ταύτας οἱ πρέσβεις τὰς ἀποκρίσεις λαβόντες, ἀπήγγειλαν τῷ κοινῷ [πλήθει] τῶν Ὀυολούσκων. συναχθείσης οὖν αὖθις ἐκκλησίας, μετὰ τοῦτο κυροῦται δόγμα κοινὸν τοῦ ἔθνους προειπεῖν Ῥωμαίοις τὸν πόλεμον. ἔπειτα αἱροῦνται στρατηγοὺς αὐτοκράτορας τοῦ πολέμου, Τύλλον τε καὶ Μάρκιον, δυνάμεις τε ψηφίζονται καταγράφειν, καὶ χρήματα εισφέρειν, καὶ τὰ ἄλλα παρασκευάσασθαι, ὅσων ὑπελάμβανον δεήσειν τῷ πολέμῳ.

cap. 13. De ratione bellum gerendi consultat Marcius cum Tullo. Tullus remanet ad regionis & oppidorum

Ἐπειδὴ δὲ συνῆκτο πᾶσα ἡ δύναμις, ἐβουλεύετο μετὰ τοῦ συνάρχοντος ὁ Μάρκιος, ὅπως χρήσονται τοῖς λοιποῖς πράγμασιν. ἔφη δ' οὖν λέγων· "Ἐμοὶ δοκεῖ, ὦ Τύλλε, κράτιστον εἶναι, νείμασθαι τὰς δυνάμεις ἡμᾶς διχῇ· ἔπειτα τὸν μὲν ἕτερον ἡμῶν ἄγοντα τοὺς ἀκμαιοτάτους καὶ προθυμοτάτους, ὁμόσε χωρεῖν τοῖς πολεμίοις μαχησόμενον·

καὶ

Digitized by Google

praesidium, Marcius exercitum educit.

καὶ, εἰ μὲν ὑπομένωσιν ἡμῖν εἰς χεῖρας ἰέναι, μιᾷ κρῖναι τὸν ἀγῶνα μάχῃ· εἰ δ᾽ ἀποκνήσωσιν, ὡς ἐγὼ πείθομαι, στρατιᾷ νεοσυλλέκτῳ, καὶ ἡγεμόσιν ἀπείροις πολέμου, τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον ἐπιτρέπειν, τήν τε χώραν αὐτῶν ἐπιόντα πορθεῖν, καὶ τοὺς συμμάχους περισπᾶν, καὶ τὰς ἀποικίας ἀναιρεῖν, καὶ πᾶν ἄλλο κακὸν, ὅ τι δύναιτο, ποιεῖν· τὸν δὲ ἕτερον ἐνθάδε ὑπομένοντα, φυλακὴν ποιεῖσθαι τῆς τε χώρας καὶ τῶν πόλεων, μὴ λάθωσιν ἀφυλάκτῳ αὐτῇ ἐπιπεσόντες οἱ πολέμιοι, καὶ πρᾶγμα αἴσχιστον πάθωμεν, ἐν ᾧ τῶν ἀπόντων ἐφιέμεθα, τὰ παρόντα ἀφαιρεθέντες. ἀλλὰ χρὴ τὸν ἐνθάδε ὑπομένοντα ἤδη τείχη τ᾽ ἀνορθοῦν, ὅσα πέπτωκεν, καὶ τάφρους ἀνακαθαίρειν, καὶ φρούρια ὀχυροῦν, ἵνα τοῖς γεωργοῦσι τὴν χώραν ὑπάρχωσι καταφυγαί· στρατιάν τ᾽ ἄλλην προσκαταγράφειν, καὶ τροφὰς τοῖς ἔξω οὖσιν ἐπιχορηγεῖν, καὶ ὅπλα χαλκεύειν, καὶ, εἴ τι ἄλλο ἀναγκαῖόν ἐστι πρᾶγμα, ὀξέως ὑπηρετεῖν. δίδωμι δέ σοι τὴν αἵρεσιν, εἴτε τῆς ὑπερορίου στρατιᾶς, εἴτε τῆς ἐνθάδε ὑπομενούσης ἐθέλεις στρατηγεῖν." ταῦτα λέγοντος αὐτοῦ, σφόδρα ἠγάσθη τὴν γνώμην ὁ Τύλλος· καὶ τὸ δραστήριον τοῦ ἀνδρὸς εἰδὼς καὶ ἐπιτυχὲς, ἐπέτρεψεν ἐκείνῳ τῆς ἔξω στρατιᾶς ἄρχειν.

cap. 14. Romani ob mutuas simultates res ad bellum necessarias parare negligunt,

Καὶ ὁ Μάρκιος οὐδὲν ἔτι διαμελλήσας, ἧκεν ἄγων τὴν δύναμιν ἐπὶ Κιρκαίαν πόλιν, ἐν ᾗ κληροῦχοι Ῥωμαίων ἦσαν ἅμα τοῖς ἐπιχωρίοις πολιτευόμενοι, καὶ παραλαμβάνει τὴν πόλιν ἐξ ἐφόδου. εἰς δὲ τὴν Ῥώμην ὡς ἠγγέλθη τὰ γενόμενα, πολὺ πλείων ταραχὴ καὶ θόρυβος ἦν· τῶν μὲν πατρικίων τὸν δῆμον ἐχόντων δι᾽ αἰτίας, ὅτι πολεμιστὴν ἄνδρα, καὶ δραστήριον, καὶ φρονήματος εὐγενοῦς μεστὸν, ψευδεῖ περιβαλόντες αἰτίᾳ, τῆς πόλεως ἀπήλασαν, καὶ παρεσκεύασαν ἡγεμόνα Οὐολούσκοις γενέσθαι· τῶν δὲ προεστηκότων τοῦ δήμου, κατηγορίας τοῦ συνεδρίου ποιουμένων, καὶ τὸ πρᾶγμα ὅλον ἐξ ἐπιβουλῆς ὑπ᾽ ἐκείνων κατεσκευάσθαι λεγόντων, τόν τε πόλεμον οὐ κοινὸν ἅπασιν, ἀλλὰ σφίσι μόνοις ἐπάγεσθαι σκηπτομένων· καὶ ἦν τὸ κακοηθέστατον τοῦ δήμου μέρος ἅμα τούτοις. στρατιὰς δὲ καταγράφειν, ἢ καλεῖν τοὺς συμμάχους, ἢ κατασκευάσασθαι τὰ κατεπείγοντα, διὰ τὰ πρὸς ἀλλήλους ἔχθη, καὶ τὰς ἐν ταῖς ἐκκλησίαις κατηγορίας, οὐδ᾽ εἰς νοῦν ἐλάμβανον. Ἦν δὲ βραχὺς ὁ λειπόμενος τῆς ἀρχῆς τοῖς ὑπάτοις χρόνος. Οἱ

Digitized by Google

Οἱ ὖν παρὰ τέτων τὴν ἀρχὴν παραλαβόντες, Σπόριος Ναύτιος καὶ Σέξτος Φέριος, ςρατιάν τε, ὅσην ἐδύναντο, πλείςην ἐκ τῦ πολιτικῦ κατεςήσαντο συλλόγυ, καὶ Φρυκτωρίας καὶ σκοπὺς ἐν τοῖς ἐπικαιροτάτοις Φρυρίοις ἔταξαν, ἵνα μηδὲν ἀγνοήσωσι τῶν ἐπὶ τῆς χώρας πραττομένων· χρήματά τε καὶ σῖτον καὶ ὅπλα ἐν ὀλίγῳ χρόνῳ πολλὰ ἡτοιμάσαντο. τὰ μὲν ὖν οικεῖα παρεσκεύαςο αυτοῖς, ὡς ἐνῆν, ἄριςα, καὶ ὐδὲν αὐτῶν ἔτι δεῖν ἐδόκει· τὰ δὲ συμμαχικὰ ὐχ ἅπαντα ὑπήκυε προθύμως, ἑκύσιά τ' ὐκ ἦν διασυνάρασθαι τῦ πολέμυ· ὥςτ' ὐδὲ προσαναγκάζειν αὐτὰ ἠξίυν, Φοβύμενοι προδοσίαν. ἤδη δέ τινα καὶ ἀΦίςατο αὐτῶν ἐκ τῦ Φανερῦ, καὶ τοῖς Ὀυολύσκοις συνελάμβανε. πρῶτοι δ' ἦρξαν Ἀικανοὶ τῆς ἀποςάσεως, ἅμα τῷ συςῆναι τὸν πόλεμον εὐθὺς ἐλθόντες ὡς τὺς Ὀυολύσκυς, καὶ συμμαχίαν μεθ' ὅρκων συνθέμενοι· ςρατιάν τ' ἀπέςειλαν ὗτοι τῷ Μαρκίῳ πλείςην τε καὶ προθυμοτάτην· ἀρξαμένων δὲ τέτων, πολλοὶ καὶ τῶν ἄλλων συμμάχων κρύΦα συνελάμβανον τοῖς Ὀυολύσκοις, ὐκ ἀπὸ ψηΦισμάτων, ὐδ' ἀπὸ κοινῦ δόγματος ἀποςέλλοντες αὐτοῖς τὰς συμμαχίας· ἐι δέ τισιν [illegible]ν βυλομένοις μετέχειν τῆς ςρατείας τῶν σΦετέρων, ὐχ ὅπως ἀποτρέποντες, ἀλλὰ καὶ παρορμῶντες· ἐγεγόνει τ' ὐ πολλῷ χρόνῳ τοσαύτη δύναμις περὶ τὺς Ὀυολύσκυς, ὅσην ὐ πώποτε ἔσχον, ὅτε μάλιςα ἤκμαζον ἐν ταῖς πόλεσιν. ἣν ἐπαγόμενος ὁ Μάρκιος, ἐνέβαλεν ἀῦθις εἰς τὴν Ῥωμαίων γῆν· καὶ καθεζόμενος ἡμέρας συχνὰς, ἐδῄυ τὴν γῆν, ὅσην ἐν τῇ πρότερον εἰσβολῇ παρέλιπεν. σωμάτων μὲν ὖν ἐλευθέρων ὐκέτι πολλῶν ἐγκρατὴς ἐγένετο κατὰ ταύτην τὴν ςρατείαν· οἱ γὰρ ἄνθρωποι τὰ πλεῖςυ ἄξια συσκευασάμενοι, πάλαι πρότερον ἔτι κατεπεΦεύγεσαν, οἱ μὲν εἰς τὴν πόλιν, οἱ δ' εἰς τὰ πλησίον Φρύρια, ἅτινα ἦν ὀχυρώτατα· τὰ δὲ βοσκήματα αὐτῶν, ὅσα ὐχ οἷοί τ' ἦσαν ἀπελάσαι, καὶ τὺς νέμοντας θεράποντας λαμβάνει, τόν τε σῖτον τὸν ἐπὶ ταῖς ἅλωσιν ἔτι κείμενον, καὶ τὺς ἄλλυς καρπὺς, τὺς μὲν ἐν χερσὶ, τὺς δὲ καὶ συγκεκομισμένυς ἀναιρεῖται. προνομεύσας δὲ καὶ διαπορθήσας ἅπαντα, ὐδενὸς ὁμόσε χωρῆσαι τολμήσαντος, ἐπ' ὄικυ τὴν ςρατιὰν ἀπῆγε, βαρεῖαν ὖσαν ἤδη τῷ πλήθει τῶν ὠΦελειῶν, καὶ σχολῇ πορευομένην.

Μετὰ

cap. 16. donec novi Coss. munus auspicantur, A. U. 266. ante Chr. 488. quibus quidem res domi succedunt; non item apud socios, quorum plures ad Volscos se vertunt.

Nova Marcii irruptio in agrum Romanum.

Digitized by Google

cap. 21. Lavinium tandem resistit, fossaque & vallo circumdatur.

Μετὰ τῦτο χώρα τε, ὅσην διαπορεύοιτο, ὑποχείριος ἦν, καὶ πόλις ὐδεμία ἠναντιῦτο ἔξω Λαϊνίυ, ἣν πρώτην τε πόλιν οἱ σὺν Αἰνείᾳ κατάραντες εἰς Ἰταλίαν Τρῶες ἔκτισαν, καὶ ἀφ' ἧς τὸ Ῥωμαίων ἦν γένος, ὡς καὶ πρότερόν μοι δεδήλωται. οἱ δ' ἐν ταύτῃ κατοικῦντες, πάντα πρότερον ᾤοντο δεῖν ὑπομένειν, ἢ τὸ πρὸς τὰς ἀπογόνυς σφῶν πιστὸν ἐγκαταλιπεῖν. ἐγένοντο μὲν ὖν καὶ τειχομαχίαι τινὲς αὐτόθι καρτεραὶ, καὶ πρὸ τῶν ἐρυμάτων ὀξεῖαι μάχαι. ὐ μὴν ἑάλω γε τὸ τεῖχος κατὰ κράτος τῇ πρώτῃ ἐφόδῳ, ἀλλ' ἐδόκει χρόνυ δεῖν τῇ πολιορκίᾳ καὶ τριβῆς. ἀποστὰς ὖν τῆς πολιορκίας ὁ Μάρκιος, περιετάφρευσε κύκλῳ τὴν πόλιν καὶ ἀπεσαύρυ, τὰς ὁδὺς φυλάττων, ἵνα μήτ' ἀγορὰ, μήτ' ἐπικυρία τις αὐτοῖς ἔξωθεν προσγένηται. Ῥωμαῖοι δὲ τῶν τε κεκρατημένων ἤδη πόλεων τὸν ὄλεθρον ἀκύοντες, καὶ τῶν προσθεμένων τῷ Μαρκίῳ τὴν ἀνάγκην, ταῖς τε πρεσβείαις ἐνοχλύμενοι ταῖς ἀφικνυμέναις ὡς αὐτὺς ὁσημέραι παρὰ τῶν μενυσῶν ἐν τῇ φιλίᾳ, καὶ δεομένων βοηθείας, τῦ τε Λαϊνίυ τὸν περιτειχισμὸν ὀῤῥωδῦντες ἐν χερσὶν ὄντα, καὶ εἰ τόδε τὸ φρύριον ἁλώσεται, τὸν πόλεμον ἐπὶ σφᾶς ἥξειν εὐθὺς οἰόμενοι, μίαν ὑπέλαβον ἔσεσθαι ἁπάντων τῶν κακῶν λύσιν, εἰ ψηφίσαιντο τῷ Μαρκίῳ τὴν κάθοδον. καὶ ὅ τε δῆμος ἅπας ἐβόα τῦτο, καὶ οἱ δήμαρχοι νόμον εἰσφέρειν ὑπὲρ ἀκυρώσεως τῆς καταδίκης ἐβύλοντο· ἀλλ' οἱ πατρίκιοι ἠναντιώθησαν αὐτοῖς, ὐκ ἀξιῦντες τῶν δεδικασμένων λύειν ὐδέν. μὴ γενομένυ δὲ προβυλεύματος ὑπὸ τῆς βυλῆς, ὐδὲ τοῖς δημάρχοις ἔτι προθεῖναι γνώμην εἰς τὸν δῆμον ἐδόκει. ὃ καὶ θαυμάζειν ἄξιον, ἀφ' ἧς δήποτ' αἰτίας ἡ βυλὴ σπυδάζυσα τὸν ἔμπροσθεν χρόνον ὑπὲρ τῦ Μαρκίυ τότε βυλομένῳ τῷ δήμῳ κατάγειν αὐτὸν, ἠναντιώθη· πότερα πεῖραν αὐτῦ ποιυμένη τῆς γνώμης, ἢ τῷ μὴ συγχωρεῖν ἑκάστῳ ἑτοίμως, ἐπὶ τὸ μᾶλλον αὐτὸν σπυδάζειν παρορμῶσα, ἢ τὰς καθ' ἑαυτῆς ἀπολύσασθαι βυλομένη διαβολὰς ὑπὲρ τῦ μηδενὸς, ὧν ἔπραττεν ὁ ἀνὴρ, μήτε αἰτία, μήτε συνεργὸς εἶναι. χαλεπὸν γὰρ ἦν ἀπόῤῥητον αὐτῆς γενόμενον τὸ βύλευμα συμβαλεῖν.

Plebs Marcium in patriam revocandum vociferatur; patricii adversantur.

cap. 22. Quo comperto, Marcius

Ἀκύσας δὲ ταῦτα παρ' αὐτομόλων τινῶν ὁ Μάρκιος, ὡς εἶχεν ὀργῆς, εὐθὺς ἀναστήσας τὴν δύναμιν, ἦγεν ἐπὶ

ἐπὶ τὴν Ῥώμην, Φυλακὴν τῆ Λαϐϊνίε τὴν ἀρκῦσαν καταλιπὼν· καὶ αὐτίκα τῆς πόλεως ςαδίες τετ]αράκοντα ἀποσχὼν, κατεςρατοπέδευσε περὶ τὰς καλυμένας Κλοιλίας τάφρας. μαθῦσι δὲ τὴν παρυσίαν αὐτῦ τοῖς κατὰ τὴν πόλιν τοσῦτος ἐνέπεσε θόρυβος, ὡς αὐτίκα τοῖς τείχεσι τῦ πολέμυ προσάξοντος· ὥςε οἱ μὲν ἐπὶ τὰ τείχη, τὰ ὅπλα λαβόντες, ἔθεον ἄνευ παραγγέλματος· οἱ δ' ἐπὶ τὰς πύλας κατὰ πλῆθος ἐΦέροντο χωρὶς ἡγεμόνος· οἱ δὲ, τὺς δύλυς καθοπλίσαντες, ἐπὶ τοῖς τέγεσι τῶν οἰκιῶν ἔςησαν· οἱ δὲ τήν τ' ἄκραν καὶ τὸ Καπιτώλιον, καὶ τὺς ἄλλυς ἐρυμνὺς τόπυς τῆς πόλεως κατελαμβάνοντο· γυναῖκές τε λελυμέναι τὰς κόμας, ἐπὶ τὰ τεμένη καὶ τὺς νεὼς ἔθεον, ὀλοφυρόμεναί τε καὶ δεόμεναι τῶν θεῶν, ἀποςρέψαι τῆς πόλεως τὸν ἐπιόντα Φόβον. ὡς δὲ ἥ τε νὺξ παρῆλθε, καὶ τῆς ἐπιύσης ἡμέρας τὸ πλεῖςον, καὶ, ὧν ἐδεδοίκεσαν, ὐδὲν ἐγίνετο, ἀλλ' ἔμενεν ὁ Μάρκιος ἐφ' ἡσυχίας, συνέδραμον ἅπαντες εἰς τὴν ἀγορὰν οἱ δημοτικοὶ, καὶ τὺς πατρικίυς ἐκάλυν εἰς τὸ βυλευτήριον· καὶ εἰ μὴ προβυλεύσωσι τῷ ἀνδρὶ τὴν κάθοδον, αὐτοὶ βυλεύσεσθαι περὶ σφῶν αὐτῶν ἔφασαν ὡς προδεδομένοι. τότε δὴ συνελθόντες εἰς τὴν βυλὴν οἱ πατρίκιοι, ψηφίζονται, πρεσβευτὰς πρὸς τὸν Μάρκιον ἀποςεῖλαι πέντε ἄνδρας ἐκ τῶν πρεσβυτάτων, ὓς μάλιςα ἐκεῖνος ἠσπάζετο, περὶ διαλύσεώς τε καὶ Φιλίας διαλεξομένυς. ἦσαν δὲ οἱ προχειρισθέντες ὑπ' αὐτῶν ἄνδρες οἵδε, Μάρκος Μινύκιος, καὶ Πόςυμος Κομίνιος, καὶ Σπόριος Λάρκιος, καὶ Πόπλιος Πινάριος, καὶ Κόϊντος Συλπίκιος, ἅπαντες ὑπατικοί. ὡς δ' ἀφίκοντο ἐπὶ τὸ ςρατόπεδον, καὶ ἔγνω τὴν παρυσίαν αὐτῶν ὁ Μάρκιος, καθεζόμενος ἅμα τοῖς ἐπιφανεςάτοις Ὀυολύσκων τε καὶ τῶν ἄλλων συμμάχων, ἔνθα πλεῖςοι ἔμελλον ἀκύσεσθαι τῶν λεγομένων, ἐκέλευσε καλεῖν τὺς ἄνδρας. εἰσελθόντων δ' αὐτῶν, ἤρξατο τῦ λόγυ Μινύκιος, ὁ πλεῖςα κατὰ τὸν τῆς ὑπατείας χρόνον σπυδάσας ὑπὲρ αὐτῦ, καὶ μάλιςα τοῖς δημοτικοῖς ἐναντιωθεὶς, καὶ ἔλεξε τοιάδε.

Romam cum copiis contendit.

Ejus adventu territi patricii, legatos ad Marcium mittendos censent, qui de pace agerent.

"Ὅτι μὲν ὐ δίκαια πέπονθας ὑπὸ τῦ δήμυ, ὦ Μάρκιε, μετ' αἰσχρᾶς αἰτίας ἐξελαθεὶς ἐκ τῆς πατρίδος, ἅπαντες ἴσμεν· καὶ ὐδὲν οἰόμεθά σε ποιεῖν θαυμαςὸν, εἰ χαλεπαίνεις καὶ ἀγανακ]εῖς ἐπὶ ταῖς τύχαις. κοινὸς γὰρ δὴ

cap. 23. Minucii ad Marcium oratio.

Digitized by Google

δὴ τῆς ἁπάντων φύσεως ἐτος ὁ νόμος, ἐχθρὸν εἶναι τῷ δράσαντι τὸ πεπονθὸς κακῶς. ὅτι δ' ἐ μετὰ λογισμῦ σώφρονος ἐξετάζεις, ἐς ἀμύνεσθαί τε καὶ τιμωρεῖσθαί σοι προσήκει, ἐδὲ μετριάζεις περὶ τὴν ἀνάπραξιν τῆς δίκης, ἀλλ' ἐν τῷ αὐτῷ τίθεσαι τά τ' ἀναίτια τοῖς αἰτίοις, καὶ τὰ φίλια τοῖς πολεμίοις, νόμες τε κινεῖς φύσεως ἀκινήτες, καὶ τὰ πρὸς τὲς θεὲς συνταράττεις ὅσια, καὶ ἐδὲ σεαυτὸν, ἐξ ὧν τε καὶ ὅσις ἔφυς, ἔτι μέμνησαι, τῦτο τεθαυμάκαμεν. ἥκομέν τε ἀποςαλέντες ὑπὸ τῦ κοινῦ πρέσβεις οἱ πρῦχοντες ἡλικίᾳ τῶν πατρικίων, καὶ περί σε προθυμότατοι, μεμιγμένην φέροντες δικαιολογίαν παραιτήσει, καὶ, ἐφ' ὅις ἀξιῦμέν σε διαλύσασθαι τὴν ἔχθραν πρὸς τὸν δῆμον, ἀπαγγελῦντες· πρὸς δὲ τύτοις, ἃ νομίζομεν εἶναι κάλλιςα καὶ συμφορώτατά σοι, ταῦτα παραινέσοντες."

cap. 27. "Ουδενὶ θνητῷ φύντι θεοὶ τῶν μελλόντων ἔσεσθαι βεβαίαν ἐπιςήμην ἔδωκαν ἔχειν, ἐδ' ἂν εὕροις ἐκ τῦ παντὸς αἰῶνος, ὅτῳ πάντα κατὰ νῦν ἐχώρησε τὰ πράγματα, μηδὲν ἐναντιωθείσης τῆς τύχης. καὶ διὰ τῦτο οἱ φρονήσει πρῦχοντες ἑτέρων, ἣν ὁ μακρὸς βίος καὶ τὰ πολλὰ μαθήματα φέρει, πρὶν ἐγχειρεῖν ὁτῳδήποτε ἔργῳ, τὸ τέλος αὐτῦ πρῶτον ὄιονται δεῖν σκοπεῖν, ἐ θάτερον μόνον, ὃ βὔλονται γενέσθαι σφίσιν, ἀλλὰ καὶ τὸ παρὰ γνώμην ἐκβησόμενον· μάλιςα δὲ οἱ τῶν πολέμων ἡγεμόνες, ὅσῳ μειζόνων τε γίνονται πραγμάτων κύριοι, καὶ τὰς αἰτίας τῶν κατορθωμάτων ἢ σφαλμάτων ἅπαντες εἰς αὐτὲς ἀναφέρυσιν. ἔπειτα, ἂν μὲν εὕρωσι μηδεμίαν ἐνῦσαν, ἢ μικρὰς καὶ ὀλίγας ἐν τῷ μὴ κατορθῶσαι βλάβας, ἅπτονται τῶν ἔργων· ἐὰν δὲ πολλὰς καὶ μεγάλας, ἀφίςανται. τῦτο δὴ καὶ σὺ ποίησον, καὶ σκόπει πρὸ τῶν ἔργων, ἐὰν σφαλῇς κατὰ τὸν πόλεμον, καὶ μὴ πάντα ὑπάρξῃ, τί συμβήσεταί σοι παθεῖν. δι' αἰτίας μὲν ἔσῃ παρὰ τοῖς ὑποδεξαμένοις σαυτὸν, ὡς μείζοσιν ἐπιχειρήσας πράγμασιν, ἢ δυνατοῖς· ςρατιᾶς δὲ ἡμετέρας πάλιν ἐκεῖσε ἀφικομένης, καὶ φθειρύσης τὴν ἐκείνων γῆν· ἐ γὰρ ἀνεξόμεθα μὴ ἀντιτιμωρύμενοι τὲς ἄρξαντας ἡμᾶς κακοποιεῖν· δυοῖν ἐκ ἂν ἁμάρτοις θατέρε, ἢ πρὸς αὐτῶν ἐκείνων, ὅις αἴτιος ἔσῃ συμφορῶν μεγάλων, αἰσχρῶς ἀναιρεθῆναι, ἢ πρὸς ἡμῶν, ὡς ἀποκτενῶν τε καὶ δυλωσόμενος ἦλθες· τάχα δ' ἂν ἐκεῖνοι,

νοι, πρὶν ἐν τῷ παθεῖν τι κακὸν γενέσθαι, διαλύσεις ποιεῖσθαι πρὸς ἡμᾶς ἐπιχειρῦντες, ἔκδοτον ἀξιώσειαν ἐπὶ τιμωρίᾳ σε παραδιδόναι· ὃ πολλοὶ βάρβαροί τε καὶ Ἕλληνες, εἰς τοιαύτας καταςάντες τύχας, ἠναγκάσθησαν ὑπομεῖναι· ἆρά γε μικρὰ καὶ ἐκ ἄξια λόγυ ταῦτα εἶναί σοι δοκεῖ, καὶ δέον, αὐτῶν ὑπεριδεῖν, ἢ κακῶν συμπάντων ἔσχατα παθεῖν;"

"Φέρε· ἂν δὲ δὴ κατορθώσῃς, τί ποτε θαυμαςὸν ἔςαι σοι καὶ περιμάχητον ἀγαθόν; ἢ τίνας ἐξοίσῃ δόξας; καὶ γὰρ τῦτο ἐξέτασον. πρῶτον μὲν τῶν φιλτάτων καὶ ἀναγκαιοτάτων ὑπάρξει σοι ςερεῖσθαι σωμάτων, μητρὸς ἀθλίας, ᾗ γενέσεως καὶ τροφῆς, καὶ τῶν ἄλλων, ὧν ἔσχεν ἐπί σοι πόνων, ἐ καλὰς ἀμοιβὰς ἀποδίδως· ἔπειτα γαμετῆς σώφρονος, ἣ διὰ σὸν πόθον ἐν ἐρημίᾳ καὶ χηρείᾳ κάθηται, πᾶσαν ἡμέραν καὶ νύκτα τὰς σὰς ὀδυρομένη φυγάς· πρὸς δὲ τύτοις, τέκνων δυοῖν, ὓς ἐχρῆν ἀγαθῶν προγόνων ὄντας ἀπογόνυς, καρπῦσθαι τὰς ἐκείνων τιμὰς, ἐνδοξῦντας ἐν ἐυτυχύσῃ τῇ πατρίδι. ὧν ἁπάντων οἰκτρὰς καὶ ἀτυχεῖς ἀναγκασθήσῃ θεωρεῖν καταςροφὰς, εἰ τολμήσειας προσάγειν τοῖς τείχεσι τὸν πόλεμον· ἐ γὰρ δὴ φείσονται τῶν σῶν ὐδενὸς οἱ περὶ τῶν σφετέρων κινδυνεύοντες, καὶ εἰς τὰ ὅμοια κακῶς ὑπό σῦ πάσχοντες. ἀλλ' εἰς αἰκισμὺς αὐτῶν δεινὺς, καὶ ὕβρεις ἀνηλεεῖς, καὶ πᾶσαν ἄλλην ἰδέαν προπηλακισμῦ χωρήσυσιν, ὑπὸ τῶν συμφορῶν βιαζόμενοι· καὶ τύτων ὐχ οἱ δρῶντες, ἀλλ' ὁ τὴν ἀνάγκην αὐτοῖς ἐπιτιθεὶς ἄιτιος ἔσῃ· ἡδονὰς μὲν δὴ τοιαύτας καρπώσῃ, κατὰ γνώμην χωρήσαντός σοι τῦ ἔργυ· ἔπαινον δὲ καὶ τιμὰς, ὧν ὀρέγεσθαι χρὴ τὺς ἀγαθὺς ἄνδρας, σκόπει ποίας καὶ τίνας· μητροκτόνος κεκλήσῃ καὶ παιδοφόνος, καὶ γυναικὸς ἀλιτήριος, καὶ πατρίδος ἀλάςωρ· καὶ ὔτε θυσιῶν, ὔτε σπονδῶν, ὔτε ἑςίας, ὅπῃ ποτ' ἂν ἀφίκῃ, κοινωνεῖν ἐθελήσει σοι τῶν ἐυσεβῶν καὶ δικαίων ὐδείς· αὐτοῖς τ' ὐκ ἔσῃ τίμιος, οἷς ἔυνοιαν ἐνδεικνύμενος ταῦτα δρᾷς, ἀλλὰ καρπωσάμενοί τινα ἕκαςος ἐκ τῶν σῶν ἀσεβημάτων ὠφέλειαν, μισήσυσι τὴν αὐθάδειαν τῦ τρόπυ. ἐῶ γὰρ λέγειν, ὅτι χωρὶς τῦ μίσυς, ὃ παρὰ τῶν ἐπιεικεςάτων ἕξεις, καὶ φθόνος ἀπαντήσεται πολὺς ἐκ τῶν ἴσων, καὶ φόβος ἐκ τῶν ἡσσόνων, καὶ δι' ἄμφω ταῦτα ἐπιβυλαὶ, καὶ

καὶ ἄλλα πολλὰ καὶ χαλεπὰ, ὅσα εἰκὸς συμπεσεῖν ἀνδρὶ ἐρήμῳ φίλων, καὶ ἐν ξένῃ ὄντι γῇ. τὰς γὰρ δὴ παρὰ θεῶν τε καὶ δαιμόνων ἐπιπεμπομένας τοῖς ἀνόσια καὶ δεινὰ διαπραξαμένοις ἐριννύας ἐῶ, ὑφ' ὧν αἰκιζόμενοι ψυχάς τε καὶ σώματα, κακοὺς μὲν διαντλοῦσι βίους, πικρὰς δὲ ὑπομένουσι τελευτάς. ταῦτα ἐνθυμηθεὶς, ὦ Μάρκιε, μετάγνωθι, καὶ παῦσαι μνησικακῶν τῇ σεαυτοῦ πατρίδι· τύχην τε πάντων αἰτίαν ἡγησάμενος, ὧν πέπονθας πρὸς ἡμῶν, ἢ δέδρακας ἡμᾶς κακῶν, ἄπιθι χαίρων ἐπὶ τὰ οἰκεῖα, καὶ κόμισαι μητρός τε περιβολὰς προσηνεστάτας, καὶ γυναικὸς φιλοφροσύνας ἡδίστας, καὶ τέκνων ἀσπασμοὺς γλυκυτάτους· καὶ σεαυτὸν ἀπόδος ὀφείλημα κάλλιστον τῇ γεννησαμένῃ τε καὶ τηλικοῦτον ἄνδρα παιδευσαμένῃ πατρίδι."

cap. 29. Marcii responsio.

Τοιαῦτα διεξελθόντος τοῦ Μινυκίου, μικρὸν ἐπισχὼν ὁ Μάρκιος εἶπε· "Σοὶ μὲν, ὦ Μινύκιε, καὶ ὑμῖν τοῖς ἄλλοις τοῖς ἅμα τούτῳ πεμφθεῖσιν ὑπὸ τῆς βουλῆς, φίλος εἰμὶ καὶ πρόθυμος, εἴ τι δύναμαι ποιεῖν ἀγαθὸν, ὅτι μοι καὶ πρότερον, ὅτε πολίτης ὑμέτερος ἦν, καὶ τὰ κοινὰ ἔπραττον, ἐν πολλοῖς καὶ ἀναγκαίοις ἐγίνεσθε καιροῖς χρήσιμοι, καὶ μετὰ τὴν φυγὴν οὐκ ἀπεστράφητέ με καταφρονήσει τῆς τότε τύχης, ὡς οὔτε φίλους εὖ ποιεῖν δυνάμενον ἔτι, οὔτ' ἐχθροὺς κακῶς, ἀλλὰ χρηστοὶ καὶ βέβαιοι διεμείνατε φίλοι, μητρός τε τῆς ἐμῆς κηδόμενοι, καὶ γυναικὸς, καὶ τέκνων, καὶ τὰς συμφορὰς αὐτοῖς κουφοτέρας ποιοῦντες ταῖς ἰδίαις ἐπιμελείαις. τοῖς δ' ἄλλοις Ῥωμαίοις ἀπέχθομαί τε, ὡς δύναμαι μάλιστα, καὶ πολεμῶ, καὶ οὐδέποτε μισῶν αὐτοὺς παύσομαι· οἵ με ἀντὶ πολλῶν καὶ καλῶν ἔργων, ἐφ' οἷς τιμᾶσθαι προσῆκεν, ὡς τὰ μέγιστα ἐξημαρτηκότα περὶ τὸ κοινὸν, αἰσχρῶς ἐξήλασαν ἐκ τῆς πατρίδος, οὔτε μητέρα αἰδεσθέντες ἐμὴν, οὔτε παῖδας ἐλεήσαντες, οὔτ' ἄλλο πάθος ἥμερον οὐδὲν ἐπὶ ταῖς ἐμαῖς λαβόντες τύχαις. μαθόντες δὲ τοῦτο, εἰ μὲν αὐτοὶ δεῖσθέ του παρ' ἡμῶν, μηδὲν ὀκνοῦντες λέγετε, ὡς οὐδενὸς ἀτυχήσοντες τῶν δυνατῶν. περὶ δὲ φιλίας καὶ διαλλαγῶν, ἃς ἀξιοῦτέ με ποιήσασθαι πρὸς τὸν δῆμον ἐπὶ ταῖς ἐλπίσι τῆς καθόδου, παύσασθε διαλεγόμενοι. πάνυ γὰρ ἀγαπητῶς δεξαίμην ἂν εἰς τοιαύτην κατελθεῖν πόλιν, ἐν ᾗ τὰ μὲν τῆς ἀρετῆς ἆθλα ἡ κακία φέρεται· τὰς δὲ τῶν κακούργων τιμωρίας οἱ μηδὲν ἡμαρτηκότες ὑπομένουσιν;"

Ἐὰν

Digitized by Google

"Ἐὰν ἀποδιδῶσι Ῥωμαῖοι Οὐολέσκοις χώραν τε, ὅσην αὐτὲς ἀφῄρηνται, καὶ πόλεις, ὅσας κατέχεσιν, ἀνακαλεσάμενοι τὲς ἐποίκες, φιλίαν τε ποιήσονται πρὸς αὐτὲς εἰς τὸν ἀεὶ χρόνον, καὶ ἰσοπολιτείας μεταδώσεσιν ὡς Λατίνοις, ὅρκες καὶ ἀρὰς κατὰ τῶν παραβαινόντων τὰ συγκείμενα ποιησάμενοι, διαλύσομαι πρὸς αὐτὲς τὸν πόλεμον. ἔχετε τὰς ἀποκρίσεις· τέτων ἐδὲν ἂν εὕροισθε παρ' ἐμε̃ πλέον· ἀλλ' ἄπιτε, καὶ σκοπεῖτε, ὅ τι πρακτέον ὑμῖν. ἕως δὲ βελεύσησθε, δίδωμι χρόνον ὑμῖν ἡμερῶν τριάκοντα. ἐν δὲ τῷ μεταξὺ χρόνῳ, σήν τε χάριν, ὦ Μινύκιε, καὶ τῶν ἄλλων ἕνεκα, τὴν ςρατιὰν ἐκ τῆς χώρας ἀπάξω· μεγάλα γὰρ ἂν βλάπτοισθε μενέσης αὐτῆς ἐνθάδε. τῇ δὲ τριακοςῇ προσδέχεσθέ με ἡμέρᾳ τὰς ἀποκρίσεις ληψόμενον."

cap. 35. Conditio pacis; Volscis restituendos esse agros ademtos & urbes occupatas; de qua deliberanda xxx dies conceduntur. Marcius abducit copias ex agro Romano ad diem trigesimum rediturus.

Ταῦτα εἰπὼν, ἀνέςη, καὶ διέλυσε τὸν σύλλογον. τῇ δὲ ἐπιέσῃ νυκτὶ περὶ τὴν τελευταίαν φυλακὴν ἀναςήσας τὴν ςρατιὰν, ἦγεν ἐπὶ τὰς λοιπὰς τῶν Λατίνων πόλεις, εἴτε κατ' ἀλήθειαν πεπυσμένος, ὅτι μέλλει τις ἐκεῖθεν ἐπικερία Ῥωμαίοις ἀφικέσθαι, ὡς τότε δημηγορῶν (Μινύκιος) ἔφησεν· εἴτ' αὐτὸς πλασάμενος τὸν λόγον· ἢ ἵνα μὴ δόξειε χαριζόμενος τοῖς ἐχθροῖς καταλελοιπέναι τὸν πόλεμον· ἐπιβαλὼν δὲ τῇ καλεμένῃ Λογγόλᾳ, καὶ δίχα πόνε γενόμενος αὐτῆς ἐγκρατὴς, καὶ τὸν αὐτὸν τρόπον, ὅνπερ τὰς ἑτέρας, ἐξανδραποδισάμενος, καὶ διαρπάσας, ἐπὶ τὴν Σατρικανῶν ἤλαυνε πόλιν. ἑλὼν δὲ καὶ ταύτην, ὀλίγου ἀντισχόντων τῶν ἐν αὐτῇ χρόνον, καὶ τὰς ἐξ ἀμφοτέρων τῶν πόλεων ὠφελείας, μέρει τῆς ςρατιᾶς κελεύσας ἀνάγειν εἰς Ἐχέτραν, τὴν λοιπὴν ἀναλαβὼν δύναμιν, ἦγεν ἐπὶ πόλιν ἄλλην τὴν καλεμένην Κετίαν. γενόμενος δὲ καὶ ταύτης ἐγκρατὴς, καὶ διαρπάσας, εἰς τὴν Πολυσκανῶν χώραν ἐνέβαλεν. ἐ δυνηθέντων δ' ἀντισχεῖν τῶν Πολυσκανῶν, κατὰ κράτος ἑλὼν καὶ αὐτὲς, ἐπὶ τὰς ἑξῆς ἐχώρει. Ἀλβιήτας μὲν ἒν καὶ Μοεγιλαινὲς ἐκ τειχομαχίας αἱρεῖ· Κοριολανὲς δὲ καθ' ὁμολογίας λαμβάνει. γενόμενος δ' ἐν ἡμέραις τριάκοντα πόλεων ἑπτὰ κύριος, ἧκεν ἐπὶ τὴν Ῥώμην, ἄγων πολὺ πλείω ςρατιὰν τῆς προτέρας· καὶ ςαδίες ἀποσχὼν τῆς πόλεως ὀλίγῳ πλείες τῶν τριάκοντα, παρὰ τὴν ἐπὶ Τυσκλανὲς φέρεσαν ὁδὸν κατεςρατοπέδευσεν. ἐν ᾧ δὲ τὰς Λατίνων ἐξῄρει τε καὶ προσήγετο

cap. 36. Captis septem Latinorum oppidis Romam denuo petit, ad accipienda responsa.

γετο

Romani decernunt, deposito bello a Volscis legatos, de pace acturos, mittendos esse,

γετο πόλεις, Ῥωμαίοις πρὸς τὰς ἐπιταγὰς αὐτοῦ πολλὰ βουλευσαμένοις ἔδοξε, μηδὲν ἀνάξιον ποιεῖν τῆς πόλεως, ἀλλ᾽ ἐὰν μὲν αὐτῶν ἀπέλθωσιν ἐκ τῆς χώρας Οὐολοῦσκοι, καὶ τῆς τῶν συμμάχων τε καὶ ὑπηκόων γῆς, καὶ καταλυσάμενοι τὸν πόλεμον, πρέσβεις ἀποστείλωσι τοὺς διαλεξομένους περὶ φιλίας, προβουλεῦσαι τὸ συνέδριον, ἐφ᾽ οἷς ἔσονται δικαίοις φίλοι, καὶ τὰ βουλευθέντα εἰς τὸν δῆμον ἐξενεγκεῖν· ἕως δ᾽ ἂν ἐν τῇ χώρᾳ μένοντες αὐτῶν καὶ τῶν συμμάχων, ἔργα πράττωσι πολεμίων, μηδὲν αὐτοῖς ψηφίζεσθαι φιλάνθρωπον. πολὺς γὰρ δὴ Ῥωμαίοις ἀεὶ λόγος τοῦ μηδὲν δρᾶσαί ποτε ἐξ ἐπιτάγματος, μηδὲ φόβῳ πολεμίων εἴξαντας, σπεισαμένοις δὲ τοῖς διαφόροις, καὶ παρασχοῦσιν ἑαυτοὺς ὑπηκόους, χαρίζεσθαί τε καὶ ἐπιτρέπειν, ὅτου δέοιντο τῶν μετρίων. καὶ τοῦτο τὸ φρόνημα ἐν τοῖς πολλοῖς καὶ μεγάλοις κινδύνοις φυλάττουσα ἡ πόλις, κατά τε τοὺς ὀθνείους καὶ τοὺς ἐμφυλίους πολέμους, μέχρι τοῦ καθ᾽ ἡμᾶς χρόνου διατετέλεκε.

cap. 37. id quod altera ad Marcium legatione declarant.

Ταῦτα ψηφισαμένης τῆς βουλῆς, καὶ πρεσβευτὰς ἑτέρους ἑλομένης δέκα ἄνδρας ἐκ τῶν ὑπατικῶν, τοὺς ἀξιώσοντας τὸν ἄνδρα, μηδὲν ἐκφέρειν ἐπίταγμα βαρὺ, μηδ᾽ ἀνάξιον τῆς πόλεως, ἀλλὰ καταλύσαντα τὴν ἔχθραν, καὶ ἀναστήσαντα τὴν δύναμιν ἐκ τῆς χώρας, πειθοῖ καὶ διὰ λόγων συμβατηρίων ταῦτα πειρᾶσθαι πράττειν, εἰ βούλεται βεβαίους τε καὶ εἰς ἀεὶ διαμενούσας ποιήσασθαι τὰς ὁμολογίας τῶν πόλεων, ὡς τῶν γε ὑπ᾽ ἀνάγκης τινὸς, ἢ καιροῦ συγχωρουμένων καὶ ἰδιώταις καὶ πόλεσιν, ἅμα τῷ μεταπεσεῖν τοὺς καιροὺς, ἢ τὰς ἀνάγκας, εὐθὺς διαλυομένων· οἱ μὲν ἀποδειχθέντες ὑπ᾽ αὐτῆς πρέσβεις, ἅμα τῷ πυθέσθαι τὴν παρουσίαν τοῦ Μαρκίου, πορευθέντες ὡς αὐτὸν, πολλὰ ἐπαγωγὰ διελέγοντο, φυλάττοντες καὶ ἐν τοῖς λόγοις τὸ ἀξίωμα τῆς πόλεως. ὁ δὲ Μάρκιος ἄλλο μὲν οὐδὲν ἀπεκρίνατο, συνεβούλευσε δὲ κρεῖττόν τι βουλευσαμένους ἥκειν τριῶν ἐντὸς ἡμερῶν· ταύτας γὰρ αὐτοῖς ἔσεσθαι μόνας ἀνοχὰς τοῦ πολέμου. βουλομένων δέ τι πρὸς ταῦτα λέγειν τῶν ἀνδρῶν, οὐκ ἐπέτρεψεν, ἀλλ᾽ ἀπιέναι τὴν ταχίστην ἐκέλευσεν ἐκ τοῦ χάρακος, ἀπειλήσας, ὡς, εἰ μὴ ποιήσουσιν, ὡς κατασκόποις χρήσεται. κἀκεῖνοι σιωπῇ ἀπιόντες, εὐθὺς ᾤχοντο. μαθόντες δὲ οἱ βουλευταὶ

Rejecta hac pacis conditione Marcius suadet, ut intra triduum imperata faciant.

παρὰ

Digitized by Google

παρὰ τῶν πρεσβευτῶν τὰς αὐθάδεις ἀποκρίσεις τε καὶ ἀπειλὰς τοῦ Μαρκίου, στρατιὰν μὲν ὑπερόριον ἐξάγειν οὐδὲ τότε ἐψηφίσαντο, εἴτε τὸ ἀπειροπόλεμον τῶν σφετέρων στρατιωτῶν· νεοσύλλεκτοι γὰρ οἱ πλείους ἦσαν αὐτῶν· εὐλαβηθέντες· εἴτε τῶν ὑπάτων τὴν ἀτολμίαν· ἥκιστα γὰρ ἐν αὐτοῖς τὸ δραστήριον ἦν· σφαλερὰν ἡγησάμενοι τηλικοῦτον ἀναιρεῖσθαι ἀγῶνα· εἴτ' ἄρα καὶ τοῦ δαιμονίου σφίσιν ἐναντιουμένου πρὸς τὴν ἔξοδον, εἰ οἰωνῶν, ἢ χρησμῶν Σιβυλλείων, ἢ τινος ὀττείας πατρίου· ὧν οὐκ ἠξίουν οἱ τότε ἄνθρωποι, καθάπερ οἱ νῦν, ὑπερορᾷν· φυλάττειν δὲ τὴν πόλιν ἐπιμελεστέρᾳ φυλακῇ, καὶ ἀπὸ τῶν ἐρυμάτων τοὺς ἐπιόντας ἀμύνεσθαι διέγνωσαν.

Ταῦτα πράττοντες καὶ παρασκευαζόμενοι, τῆς τ' ἐλπίδος οὔπω ἀφιστάμενοι, ὡς δυνατὸν ὑπάρχον ἔτι μεταπεισθῆναι τὸν Μάρκιον, εἰ μείζονι καὶ τιμιωτέρᾳ πρεσβείᾳ δεηθεῖεν αὐτοῦ, ψηφίζονται τούς τε ἱεροφάντας, καὶ τοὺς οἰωνοσκόπους, καὶ τοὺς ἄλλους ἅπαντας, ὅσοι τιμήν τινα ἱερὰν ἢ λειτουργίαν περὶ τὰ θεῖα δημοτελῆ λαβόντες εἶχον· εἰσὶ δὲ παρ' αὐτοῖς ἱερεῖς καὶ θεραπευταὶ θεῶν πάνυ πολλοί, καὶ αὐτοὶ οὗτοι τῶν ἄλλων διαφανέστατοι, κατά τε δόξας πατέρων καὶ ἀρετῆς οἰκείας ἀξίωσιν· ἔχοντας ἅμα αὐτοῖς τῶν ὀργιαζομένων τε καὶ θεραπευομένων θεῶν τὰ σύμβολα, καὶ τὰς ἱερὰς ἀμπεχομένους ἐσθῆτας, ἀθρόους ἐπὶ τὸν χάρακα τῶν πολεμίων πορεύεσθαι, τοὺς αὐτοὺς φέροντας τοῖς προτέροις λόγους. ὡς δ' ἀφίκοντο οἱ ἄνδρες, καὶ ἔλεξαν, ὅσα ἡ βουλὴ αὐτοῖς ἐπέστειλεν, οὐδὲ τούτοις ἔδωκεν ὁ Μάρκιος ἀπόκρισιν, ὑπὲρ ὧν ἠξίουν, ἀλλ' ἢ τὰ κελευόμενα ποιεῖν συνεβούλευεν ἀπιόντας, εἰ θέλουσιν εἰρήνην ἄγειν, ἢ προσδέχεσθαι τὸν πόλεμον ἥξοντα πρὸς τὴν πόλιν· καὶ τὸ λοιπὸν ἀπεῖπε μὴ διαλέγεσθαι πρὸς αὐτόν. ὡς δὲ καὶ ταύτης ἀπέτυχον τῆς πείρας οἱ Ῥωμαῖοι, πᾶσαν ἐλπίδα διαλλαγῆς ἀπογνόντες, ὡς πολιορκησόμενοι παρεσκευάζοντο, τοὺς μὲν ἀκμαιοτάτους ὑπὸ τῇ τάφρῳ καὶ παρὰ ταῖς πύλαις τάξαντες· τοὺς δὲ ἀφειμένους ἤδη στρατείας, οἷς ἔτι τὰ σώματα ἱκανὰ ἦν κακοπαθεῖν, ἐπὶ τοῖς τείχεσιν.

cap. 38. Tertia quidem ad Marcium legatione, e sacri ordinis hominibus, priora Romani repetunt, sed denuo a Marcio repulsam ferunt, addito interdicto, ne colloquendi causa redirent.

Αἱ δὲ γυναῖκες αὐτῶν, ὡς ἐγγὺς ὄντος ἤδη τοῦ δεινοῦ, καταλιποῦσαι τῆς οἴκοι μονῆς τὸ εὐπρεπὲς, ἔθεον ἐπὶ τὰ

cap. 39. Valeria cum ceteris matro-

Digitized by Google

nis Marcii matrem Veturiam adit, ut se ad castra filii duceret, filiumque suppliciter oraret, ne vim patriæ inferret.

τὰ τεμένη τῶν θεῶν, ὀλοφυρόμεναί τε καὶ προκυλιόμεναι τῶν ξοάνων. καὶ ἦν ἅπας μὲν ἱερὸς τόπος οἰμωγῆς τε καὶ ἱκετείας γυναικῶν ἀνάπλεως, μάλιςα δὲ τὸ τῦ Καπιτωλίυ Διὸς ἱερόν. ἔνθα δή τις αὐτῶν γένει τε καὶ ἀξιώματι πρῦχυσα, καὶ ἡλικίας ἐν τῷ κρατίςῳ τότε ὖσα, καὶ φρονῆσαι τὰ δέοντα ἱκανωτάτη, Οὐαλερία μὲν ὄνομα, Ποπλικόλα δὲ τῦ συνελευθερώσαντος τὴν πόλιν ἀπὸ τῶν βασιλέων ἀδελφὴ, θείῳ τινὶ παρασήματι κινηθεῖσα, ἐπὶ τῆς ἀνωτάτω κρηπῖδος ἔςη τῦ νεὼ, καὶ προσκαλεσαμένη τὰς ἄλλας γυναῖκας, πρῶτον μὲν παρεμυθήσατο, καὶ παρεθάῤῥυνεν, ἀξιῦσα μὴ καταπεπλῆχθαι τὸ δεινόν· ἔπειτα ὑπέσχετο μίαν εἶναι σωτηρίας ἐλπίδα τῇ πόλει, ταύτην δ' ἐν αὐταῖς εἶναι μόναις καταλειπομένην, ἐὰν θελήσωσι πράττειν, ἃ δεῖ. καί τις εἶπεν ἐξ αὐτῶν· "Καὶ τί πράττυσαι ἂν ἡμεῖς αἱ γυναῖκες διασῶσαι δυνηθείημεν τὴν πατρίδα, τῶν ἀνδρῶν ἀπειρηκότων; τίς ἡ τοσαύτη περὶ ἡμᾶς τὰς ἀσθενεῖς καὶ ταλαιπώρυς ἐςὶν ἰσχύς;" "Οὐχ ὅπλων, ἔφησεν ἡ Οὐαλερία, καὶ χειρῶν δεόμεναι· τύτων μὲν γὰρ ἀπολέλυκεν ἡμᾶς ἡ φύσις· ἀλλ' εὐνοίας καὶ λόγυ." βοῆς δὲ μετὰ τῦτο γενομένης, καὶ δεομένων πασῶν φανερὰν ποιεῖν, εἴ τίς ἐςιν ἡ ἐπικυρία, λέγει πρὸς αὐτάς· "Ταύτην ἔχυσαι τὴν πιναράν τε καὶ ἄκοσμον ἐσθῆτα, καὶ τὰς ἄλλας παραλαβῦσαι γυναῖκας, καὶ τὰ τέκνα ἐπαγόμεναι, βαδίζωμεν ἐπὶ τὴν Οὐετυρίας, τῆς Μαρκίυ μητρὸς, οἰκίαν· καὶ, πρὸ τῶν γονάτων αὐτῆς τὰ τέκνα θεῖσαι, δεώμεθα μετὰ δακρύων, ἡμᾶς τ' οἰκτείρασαν τὰς μηδενὸς κακῦ αἰτίας, καὶ τὴν ἐν ἐσχάτοις κινδύνοις ὖσαν πατρίδα, προελθεῖν ἐπὶ τὸν χάρακα τῶν πολεμίων, ἄγυσαν τύς τε υἱωνὺς, καὶ τὴν μητέρα αὐτῶν, καὶ ἡμᾶς ἁπάσας· ἀκολυθῶμεν γὰρ αὐτῇ, τὰ παιδία ἐπαγόμεναι· ἔπειτα ἱκέτιν γενομένην τῦ τέκνυ, ἀξιῦν καὶ δεῖσθαι, μηδὲν ἀνήκεςον κατὰ τῆς πατρίδος ἐξεργάσασθαι. ὀλοφυρομένης γὰρ αὐτῆς καὶ ἀντιβολύσης, οἶκτός τις εἰσελεύσεται τὸν ἄνδρα, καὶ λογισμὸς ἥμερος. ὐχ ὕτω σεῤῥὰν καὶ ἄτρωτον ἔχει καρδίαν, ὥς' ἀνασχέσθαι μητέρα πρὸς τοῖς ἑαυτῦ γόνασι κυλιομένην."

cap. 40.

Ὡς δ' ἐπῄνεσαν αἱ παρῦσαι τὸν λόγον, εὐξαμένη τοῖς θεοῖς πειθὼ καὶ χάριν αὐτῶν ἐπιθεῖναι τῇ δεήσει, προῆλ-

προῆλθεν ἐκ τȢ τεμένȣς· αἱ δ' ἠκολȣ́θȣν. καὶ μετὰ τȣ̃το παραλαβȣ̃σαι τὰς ἄλλας γυναῖκας, ἐπορεύοντο ἐπὶ τὴν οἰκίαν τῆς Μαρκίȣ μητρὸς ἀθρόαι. ἰδȣ̃σα δ' αὐτὰς ἡ τȣ̃ Μαρκίȣ γυνὴ Ὀυολȣμνία πλησίον καθημένη τῆς ἑκυρᾶς, ἐθαύμασέ τε, καὶ εἶπε· "Τίνος δεόμεναι, γυναῖκες, ἐληλύθατε κατὰ πλῆθος εἰς οἰκίαν δύςηνον καὶ ταπεινήν;" καὶ ἡ Ὀυαλερία ἔλεξεν· "Ἐν ἐσχάτοις ȣ̃σαι κινδύνοις καὶ αὐταὶ, καὶ τὰ νήπια ταῦτα, καταπεφεύγαμεν ἱκέτιδες ἐπὶ σὲ, ὦ Ὀυετȣρία, τὴν μόνην καὶ μίαν βοήθειαν, ἀξιȣ̃σαί σε, πρῶτον μὲν οἰκτεῖραι τὴν κοινὴν πατρίδα, ἣν ȣ̓δενὶ πώποτε γενομένην ὑποχείριον, μὴ περιΐδῃς ἀφαιρεθεῖσαν ὑπὸ Ὀυολȣ́σκων τὴν ἐλευθερίαν· εἰ δὴ καὶ φείσονται αὐτῆς κρατήσαντες, ἀλλ' ȣ̓ πρόῤῥιζον ἐπιχειρήσȣσιν ἀνελεῖν· ἔπειτα ὑπὲρ ἡμῶν αὐτῶν ἀντιβολȣ̃σαι, καὶ τῶν δυςήνων παιδίων τȣ́των, ἵνα μὴ πέσωμεν εἰς ἐχθρῶν ὕβριν, ȣ̓δενὸς ȣ̃σαι τῶν συμβεβηκότων ὑμῖν κακῶν αἴτιαι. εἴ τίς ἐςιν ἔν σοι ψυχῆς ἡμέρȣ καὶ φιλανθρώπȣ καταλειπομένη μερὶς, ἐλέησον, ὦ Ὀυετȣρία, γυνὴ γυναῖκας κοινωνησάσας ἱερῶν ποτε καὶ ὁσίων· καὶ παραλαβȣ̃σα μετὰ σεαυτῆς Ὀυολȣμνίαν τε, τὴν ἀγαθὴν γυναῖκα, καὶ τȣ̀ς παῖδας αὐτῆς, καὶ τὰς ἱκέτιδας ἡμᾶς φερȣ́σας τὰ νήπια καὶ ταυσασὶ τὰς γενεὰς, ἴθι πρὸς τὸν υἱὸν, καὶ πεῖθε, καὶ λιπάρει, καὶ μὴ ἀνῇς δεομένη, μίαν ἀντὶ πολλῶν χάριν αἰτȣ̃σα παρ' αὐτȣ̃, σπείσασθαι πρὸς τȣ̀ς ἑαυτȣ̃ πολίτας, καὶ κατελθεῖν εἰς τὴν δεομένην αὐτὸν ἀπολαβεῖν πατρίδα· πείσεις γὰρ, εὖ ἴσθι, καὶ ȣ̓ περιόψεταί σε ἐῤῥιμμένην παρὰ τοῖς ἑαυτȣ̃ ποσὶν ἀνὴρ εὐσεβής.

Ἔπειτα ἥ τε Ὀυαλερία πάλιν ἑτέρας ἐξέτεινε μακρὰς καὶ συμπαθεῖς δεήσεις, ἅι τ' ἄλλαι γυναῖκες αἱ κατὰ φιλίαν ἢ συγγένειαν ἑκατέρᾳ τῶν γυναικῶν προσήκȣσαι, καὶ παρέμενον λιπαρȣ̃σαί τε καὶ γονάτων ἁπτόμεναι. ὡς' ȣ̓κ ἔχȣσα, ὅ τι πάθῃ πρὸς τȣ̀ς ὀδυρμȣ̀ς αὐτῶν καὶ τὰς πολλὰς δεήσεις, εἶξεν ἡ Ὀυετȣρία, καὶ τελέσειν τὴν πρεσβείαν ὑπὲρ τῆς πατρίδος ὑπέσχετο, τήν τε γυναῖκα τȣ̃ Μαρκίȣ παραλαβȣ̃σα, καὶ τὰ τέκνα, καὶ τῶν ἄλλων πολιτίδων τὰς βȣλομένας. αἱ μὲν δὴ περιχαρεῖς γενόμεναι, καὶ τȣ̀ς θεȣ̀ς ἐπικαλεσάμεναι συλλαβέσθαι σφίσι τῆς ἐλπίδος, ἀπῄεσαν ἐκ τῆς οἰκίας, καὶ

cap. 43.

 προσηγ-

προσήγγειλαν τὰ γενόμενα τοῖς ὑπάτοις. οἱ δὲ τὴν προθυμίαν αὐτῶν ἐπαινέσαντες συνεκάλȣν τὴν βȣλὴν, καὶ περὶ τῆς ἐξόδȣ τῶν γυναικῶν, εἰ συγχωρητέον αὐταῖς, γνωμηδὸν ἐπυνθάνοντο. πολλοὶ μὲν ȣ̃ν καὶ παρὰ πολλῶν ἐλέχθησαν λόγοι, καὶ μέχρι τῆς ἑσπέρας διετέλεσαν ἀπορȣ̃ντες, ὅ τι χρὴ ποιεῖν. ἐνίκα δὲ ὅμως ἡ συγχωρȣ̃σα γνώμη ταῖς γυναιξὶ τὴν ἔξοδον, μέγιςον ἀμφοῖν ἐγκώμιον ἔχȣσα, τῆς μὲν βȣλῆς τȣ̃ φρονίμȣ, ὅτι τὰ κράτιςα καὶ γενησόμενα προείδετο, ȣ̓δὲν ὑπὸ τȣ̃ κινδύνȣ τηλικȣ́τȣ ὄντος ἐπιταραχθεῖσα· τȣ̃ δὲ Μαρκίȣ τῆς ἐυσεβείας, ὅτι, πολέμιος ὢν, ἐπιςέυετο μηδὲν ἀσεβήσειν εἰς τὸ ἀθενὲς τῆς πόλεως μέρος, κύριος αὐτȣ̃ καταςάς. ὡς δὲ τὸ προβȣ́λευμα ἐγράφη, προελθόντες οἱ ὕπατοι εἰς τὴν ἀγορὰν, καὶ συναγαγόντες ἐκκλησίαν, σκότȣς ὄντος ἤδη, τὰ δόξαντα τῷ συνεδρίῳ διεσάφησαν, καὶ προεῖπον ἥκειν ἅπαντας ἕωθεν ἐπὶ τὰς πύλας, προπέμψοντας ἐξιȣ́σας τὰς γυναῖκας· αὐτοὶ δὲ τῶν κατεπειγόντων ἔλεγον ἐπιμελήσεσθαι.

Senatus approbat mulierum profectionem.

cap. 44. Ὅτε δ᾽ ἤδη περὶ τὸν ὄρθρον ἦν, αἱ μὲν γυναῖκες ἄγȣσαι τὰ παιδία μετὰ λαμπάδων ἧκον ἐπὶ τὴν οἰκίαν, καὶ παραλαβȣ̃σαι τὴν Ὀυετȣρίαν, προῆγον ἐπὶ τὰς πύλας· αἱ δὲ ὕπατοι ζεύγη τε ὀρικὰ, καὶ ἁμάξας, καὶ τὰ ἄλλα φορεῖα, ὡς πλεῖςα παρασκευασάμενοι, καθεζομένας αὐτὰς προὔπεμπον ἄχρι πολλȣ̃. παρηκολȣ́θȣν δ᾽ αὐταῖς οἵ τ᾽ ἐκ τȣ̃ συνεδρίȣ καὶ τῶν ἄλλων πολιτῶν συχνοὶ σὺν εὐχαῖς, καὶ ἐπαίνοις, καὶ δεήσεσι ἔξοδον ἐπιφανεςέραν αὐταῖς ποιȣ̃ντες. ὡς δ᾽ ἐυσύνοπτοι πόῤῥωθεν ἔτι προϊȣ̃σαι τοῖς ἐκ τȣ̃ χάρακος αἱ γυναῖκες ἐγένοντο, πέμπει τῶν ἱππέων τινὰς ὁ Μάρκιος, κελεύσας μαθεῖν, τίς ἐςιν ὁ προϊὼν ὄχλος ἐκ τῆς πόλεως, καὶ ἐπὶ τί παρεγένοντο. μαθὼν δὲ παρ᾽ αὐτῶν, ὅτι Ῥωμαίων αἱ γυναῖκες ἥκȣσιν ἐπαγόμεναι παιδία, προηγεῖται δ᾽ αὐτῶν ἥ τε μήτηρ καὶ ἡ γυνὴ αὐτȣ̃ καὶ τὰ τέκνα, πρῶτον μὲν ἐθαύμασε τῆς τόλμης τὰς γυναῖκας, εἰ γνώμην ἔσχον εἰς χάρακα πολεμίων ἄτερ ἀνδρῶν φυλακῆς ἐλθεῖν, ἄγȣσαι τὰ τέκνα, ȣ̃τ᾽ αἰδȣ̃ς ἔτι τῆς ἁρμοττȣ́σης γυναιξὶν ἐλευθέραις καὶ σώφροσι προνοȣ́μεναι, τὸ μὴ ἐν ἀνδράσιν ἀσυνήθεσιν ὁρᾶσθαι, ȣ̃τε κινδύνων λαβȣ̃σαι δέος, ȣ̃ς ἀναῤῥιπτεῖν ἔμελλον,

Marcius mulierum audaciam admiratur, matremque pie excipit,

λον, εἰ τὰ συμφέροντα πρὸ τῶν δικαίων ἑλομένοις σφίσι δόξειε κέρδος αὐτὰς ποιήσασθαι καὶ ὠφέλειαν. ἐπεὶ δ᾽ ἀγχοῦ ἦσαν, ὑπαντᾷν τῇ μητρὶ προελθὼν ἐκ τοῦ χάρακος ἔγνω σὺν ὀλίγοις, τούς τε πελέκεις, οὓς προηγεῖσθαι τῶν στρατηγῶν ἔθος ἦν, ἀποθέσθαι κελεύσας τοῖς ὑπηρέταις, καὶ τὰς ῥάβδους, ὅταν ἐγγὺς γένηται τῆς μητρὸς, καταστεῖλαι. τοῦτο δὲ Ῥωμαίοις ἐστὶ ποιεῖν ἔθος, ὅταν ὑπαντῶσι ταῖς μείζοσιν ἀρχαῖς οἱ τὰς ἐλάττους ἀρχὰς ἔχοντες, ὡς μέχρι τοῦ καθ᾽ ἡμᾶς χρόνου γίνεται, ἣν δὴ τότε συνήθειαν φυλάττων ὁ Μάρκιος, ὡς ἐξουσίᾳ μείζονι μέλλων εἰς ταὐτὸ ἥξειν, πάντα ἀπέθετο τὰ τῆς ἰδίας παράσημα ἀρχῆς. τοσαύτη περὶ αὐτὸν ἦν αἰδὼς καὶ πρόνοια τῆς πρὸς τὸ γένος εὐσεβείας.

cap. 45. lacrymis mulierum movetur.

Ἐπεὶ δὲ σύνεγγυς ἀλλήλων ἐγένοντο, πρώτη μὲν αὐτῷ δεξιωσομένη προσῆλθεν ἡ μήτηρ, πένθιμά τε ἠμφιεσμένη τρύχη, καὶ τὰς ὁράσεις ἐκτετηκυῖα ὑπὸ τῶν δακρύων, ἐλεεινὴ σφόδρα. ἣν ὁ Μάρκιος ἰδὼν, ἄτεγκτος τέως καὶ στερρὸς, οἷος ἅπασι τοῖς ἀνιαροῖς ἀντέχειν, οὐδὲν ἔτι τῶν λελογισμένων φυλάττειν ἱκανὸς ἦν, ἀλλ᾽ ᾤχετο φερόμενος ὑπὸ τῶν παθῶν ἐπὶ τὸ ἀνθρώπινον, καὶ περιβαλὼν αὐτὴν ἠσπάζετο, καὶ ταῖς ἡδίσταις φωναῖς ἀνεκάλει, καὶ μέχρι πολλοῦ κλαίων τε καὶ περιέπων κατεῖχεν ἐκλελυμένην καὶ ῥέουσαν ἐπὶ τὴν γῆν. ὡς δὲ τῶν ἀσπασμῶν τῆς μητρὸς ἅλις εἶχε, τὴν γυναῖκα προσελθοῦσαν δεξιωσάμενος ἅμα τοῖς τέκνοις, εἶπεν· "Ἀγαθῆς γυναικὸς ἔργον ἐποίησας, ὦ Οὐολουμνία, μείνασα παρὰ τῇ μητρί μου. καὶ οὐκ ἐγκαταλιποῦσα τὴν ἐρημίαν αὐτῆς, ἔμοιγε πασῶν ἡδίστην κεχάρισαι δωρεάν." μετὰ ταῦτα τῶν παίδων ἑκάτερον προσαγόμενος, καὶ τοὺς προσήκοντας ἀσπασμοὺς ἀποδοὺς, ἐπέστρεψεν αὖθις πρὸς τὴν μητέρα, καὶ λέγειν ἐκέλευσε, τίνος δεομένη πάρεστιν. ἡ δὲ πάντων ἀκουόντων ἔφησεν ἐρεῖν, οὐδενὸς γὰρ ἀνοσίου δεήσεσθαι· παρεκάλει τ᾽ αὐτὸν, ἐν ᾧ καθεζόμενος εἰώθει χωρίῳ δικάζειν τοῖς ὄχλοις, ἐν τούτῳ καθίσαι. καὶ ὁ Μάρκιος ἀσμένως τὸ ῥηθὲν ἐδέξατο, ὡς δὴ περιουσίᾳ τε πολλῇ τῶν δικαίων πρὸς τὴν ἔντευξιν αὐτῆς χρησόμενος, καὶ ἐν καλῷ ποιούμενος τοῖς ὄχλοις τὴν ἀπόκρισιν. ἐλθὼν δ᾽ ἐπὶ τὸ στρατηγικὸν βῆμα, πρῶτον μὲν ἐκέλευσε τοῖς ὑπηρέταις καθελεῖν ἀπ᾽ αὐτοῦ τὸν δίφρον,

Tribunali insidens, (ut ipsa mater optaverat)

καὶ

καὶ θεῖναι χαμαί· μητρὸς ἐκ οἰόμενος ὑψηλότερον δεῖν τόπον ἔχειν, ἐδ' ἐξεσίᾳ χρῆσθαι κατ' ἐκείνης ἐδεμιᾷ. ἔπειτα παρακαθισάμενος τὰς ἐπιφανεστάτας τῶν τε ἡγεμόνων καὶ λοχαγῶν, καὶ τῶν ἄλλων ἐάσας παρεῖναι τὸν βελόμενον, τὴν μητέρα ἐκέλευσε λέγειν.

cap. 46. eam pro patria deprecantem audit.

Καὶ ἡ Ὀυετερία παραστησαμένη τήν τε γυναῖκα τῦ Μαρκίε, καὶ τὰ τέκνα, καὶ τὰς ἐπιφανεστάτας τῶν ἐν Ῥώμῃ γυναικῶν, πρῶτον μὲν ἔκλαιεν εἰς τὴν γῆν ὁρῶσα μέχρι πολλῦ, καὶ πολὺν ἐκίνησεν ἐκ τῶν παρόντων ἔλεον. ἔπειτ' ἀναλαβῦσα αὐτὴν, ἔλεξεν· "Αἱ γυναῖκες, ὦ τέκνον Μάρκιε, τὰς ὕβρεις ἐνθυμέμεναι, καὶ τὰς ἄλλας συμφορὰς τὰς συμβησομένας αὐταῖς, ἐὰν ἡ πόλις ἡμῶν ὑπὸ τοῖς πολεμίοις γένηται, πᾶσαν ἄλλην ἀπογνῦσαι βοήθειαν, ἐπειδὴ τοῖς ἀνδράσιν αὐτῶν, ἀξιῦσι διαλύσασθαι τὸν πόλεμον, αὐθάδεις καὶ σκληρὰς ἔδωκας ἀποκρίσεις, ἄγυσαι τὰ τέκνα, καὶ τοῖς πενθίμοις τέτοις ἠμφιεσμέναι τρύχεσι, κατέφυγον ἐπ' ἐμὲ τὴν σὴν μητέρα, καὶ Ὀυολεμνίαν τὴν σὴν γυναῖκα, δεόμεναι, μὴ περιϊδεῖν αὐτὰς τὰ μέγιστα τῶν ἐν ἀνθρώποις κακῶν ὑπὸ σῦ παθέσας, ἐδὲν μὲν ἔτε μεῖζον, ἔτ' ἔλαττον, εἰς ἡμᾶς ἐξαμαρτέσας, πολλὴν δὲ, καὶ ὅτε εὐτυχῦμεν ἔτι, εὔνοιαν παρασχόμεναι, καὶ ὅτ' ἐπταίσαμεν, συμπάθειαν. ἔχομεν γὰρ αὐταῖς μαρτυρεῖν, ἐξ ὗ σὺ ἀπῆρας ἐκ τῆς πατρίδος, ἡμεῖς δ' ἔρημοι καὶ τὸ μηδὲν ἔτι ὖσαι κατελιπόμεθα, συνεχῶς τε παραγινομέναις πρὸς ἡμᾶς, καὶ παραμυθεμέναις τὰς συμφορὰς ἡμῶν, καὶ συναλγέσαις. τέτων δὴ λαμβάνεσαι μνήμην ἐγώ τε καὶ ἡ σὴ γυνὴ συνοικεῦσα μετ' ἐμῦ, τὰς ἱκεσίας αὐτῶν ἐκ ἀπεστράφημεν, ἀλλ' ὑπεμείναμεν, ὡς ἠξίεν ἡμᾶς, ἐλθεῖν ἐπὶ σε, καὶ τὰς ὑπὲρ τῆς πατρίδος ποιήσασθαι δεήσεις."

cap. 54. Marcius cedit maternis precibus;

Ταῦτα εἰπῦσα, ἔῤῥιψεν ἑαυτὴν χαμαὶ, καὶ περιπλέξασα ταῖς χερσὶν ἀμφοτέραις τὰς πόδας τῦ Μαρκίε, κατεφίλησε. πεσέσης δ' αὐτῆς, αἱ μὲν γυναῖκες ἀνεβόησαν ἅμα πᾶσαι κωκυτὸν ὀξὺν καὶ μακρόν. οἱ δ' ἐν τῷ συνεδρίῳ παρόντες Ὀυολέσκων ἐκ ἀνέσχοντο τὴν ἀήθειαν τῆς ὄψεως, ἀλλ' ἀπεστράφησαν. αὐτὸς δὲ ὁ Μάρκιος ἀναλόμενος ἐκ τῦ δίφρε, καὶ περιπεσὼν τῇ μητρὶ, ἀνίστησιν αὐτὴν ἀπὸ τῆς γῆς ὀλίγον ἐμπνέεσαν· καὶ περιβαλὼν, καὶ πολλὰ ἐκχέας δάκρυα, εἶπε· "Νικᾷς, ὦ μῆτερ, ἐκ εὐτυ-

Digitized by Google

εὐτυχῆ νίκην, εἴτε σεαυτῇ, εἴτ᾽ ἐμοί· τὴν μὲν γὰρ πατρίδα σέσωκας, ἐμὲ δὲ τὸν εὐσεβῆ καὶ φιλόστοργον υἱὸν ἀπολώλεκας." ταῦτα εἰπὼν, ἐπὶ τὴν σκηνὴν ἀπῄει, κελεύσας ἀκολουθεῖν τήν τε γυναῖκα, καὶ τὴν μητέρα, καὶ τὰ παιδία. ἔνθα τὸν λοιπὸν τῆς ἡμέρας χρόνον, σκοπούμενος σὺν αὐταῖς, ὅ τι χρὴ πράττειν, διετέλεσεν. ἦν δὲ τὰ δόξαντα αὐτοῖς τοιάδε. περὶ μὲν τῆς καθόδου, μήτε τὴν βουλὴν τέλος μηδὲν ἐκφέρειν εἰς τὸν δῆμον, μήτ᾽ ἐκεῖνον ἐπιψηφίζειν, πρὶν ἂν τοῖς Ὀυολούσκοις εὐτρεπῆ γένηται τὰ περὶ φιλίας καὶ καταλύσεως τοῦ πολέμου· αὐτὸν δὲ τὴν στρατιὰν ἀναστήσαντα, ὡς διὰ φιλίας γῆς ἀπάγειν· ὑποσχόντα δὲ τῆς ἀρχῆς λόγον, καὶ τὰς εὐεργεσίας ἀποδειξάμενον, ἀξιοῦν τοὺς ἐπιτρέψαντας αὐτῷ τὴν στρατιὰν, μάλιστα μὲν φιλίᾳ δέχεσθαι τοὺς πολεμίους, καὶ συνθήκας ποιήσασθαι δικαίας, αὐτῷ τὴν ἰσότητα, καὶ τὸ μὴ σφαλῆναι περὶ τὰς ὁμολογίας, ἐπιτρέψαντας. εἰ δ᾽, ἐπὶ τοῖς κατωρθωμένοις σφίσιν αὐθαδείας ἀναπιμπλάμενοι, μὴ δέχοιντο τὰς διαλλαγὰς, ἀφίσασθαι τῆς ἀρχῆς αὐτοῖς. ἢ γὰρ οὐχ ὑπομενεῖν αὐτοὺς ἄλλον τινὰ αἱρεῖσθαι στρατηγὸν δι᾽ ἀπορίαν ἀγαθοῦ ἡγεμόνος, ἢ παρακινδυνεύσαντας ὅτῳ δή τινι παραδοῦναι τὰς δυνάμεις, σὺν μεγάλῃ διδαχθήσεσθαι βλάβῃ τὴν τοῦ συμφέροντος αἵρεσιν. τὰ μὲν δὴ βουλευθέντα αὐτοῖς, καὶ δόξαντα δίκαιά τε καὶ ὅσια εἶναι, φήμης τ᾽ ἀγαθῆς, ἐφ᾽ ᾗ μάλιστα ὁ ἀνὴρ ἐσπούδαζε, παρὰ πᾶσι τευξόμενα, τοιάδε ἦν. ἐτάραττε δέ τις αὐτοὺς ὑποψία, δέος ἔχουσα, μή ποτε ἀλόγιστος ὄχλος ἐν ἐλπίδι τοῦ καταπεπολεμηκέναι τὸ ἀντίπαλον ἤδη ὤν, δι᾽ ὀργῆς ἀκράτου λάβῃ τὴν ἀποτυχίαν, κἄπειτα ὡς προδότην αὐτὸν, οὐδὲ λόγου μεταδοὺς, αὐτοχειρίᾳ φθάσῃ διολέσας. ἐδόκει οὖν αὐτοῖς καὶ τοῦτο, καὶ εἴ τι ἄλλο δεινότερον εἴη κινδύνευμα, σὺν ἀρετῇ σώζουσι τὴν πίστιν ὑπομένειν. ἐπεὶ δὲ περὶ δύσιν ἡλίου ἦν ἤδη, ἀσπασάμενοι ἀλλήλους, ἐξῄεσαν ἐκ τῆς σκηνῆς· ἔπειτα αἱ μὲν γυναῖκες εἰς τὴν πόλιν ἀπῄεσαν. ὁ δὲ Μάρκιος ἐν ἐκκλησίᾳ τὰς αἰτίας ἀποδοὺς τοῖς παροῦσι, δι᾽ ἃς ἔμελλε λύειν τὸν πόλεμον, καὶ πολλὰ τῶν στρατιωτῶν δεηθεὶς συγγνῶναί τ᾽ αὐτῷ, καὶ ἐπειδὰν οἴκαδε ἀφίκωνται, μεμνημένους, ὧν ἔπαθον οὖν, τοῦ μηδὲν ὑπὸ τῶν ἄλλων ἀνήκεστον παθεῖν συναγωνιστὰς γενέσθαι· καὶ ἄλλα πολλὰ

cum ea & uxore consultat, quid Romæ, quid ipsi, arma deposituro, faciendum sit?

Marcius eorum, quæ decreverit, caussam pro concione reddit.

Digitized by Google

λὰ καὶ ἐπαγωγὰ διαλεχθεὶς, παρασκευάζεσθαι ἐκέλευσεν, ὡς τῇ ἐπιούσῃ νυκτὶ ἀναςρατοπεδεύσοντας.

cap. 55. Romanorum ingens de hoc profectionis exitu lætitia.

Ῥωμαῖοι δὲ ὡς ἔμαθον, ὅτι λέλυται σφῶν ὁ κίνδυνος· ἔφθασε γὰρ τῶν γυναικῶν τὴν παρȣσίαν προλαβȣ̃σα ἡ φήμη· σὺν πολλῇ χαρᾷ καταλιπόντες τὴν πόλιν, ἔθεον ἔξω, καὶ ὑπήντων ταῖς γυναιξὶν, ἀσπασμȣ̀ς, καὶ παιᾶνας, καὶ πάντα, ὅσα ἐκ μεγάλων κινδύνων εἰς ἀδόκητον εὐτυχίαν ἄνθρωποι καταςάντες πράττȣσί τε καὶ λέγȣσιν ὑπὸ χαρᾶς, τὰ μὲν ἀθρόοι, τὰ δὲ καθ' ἕνα ἕκαςον ἀποδεικνύμενοι. ἐκείνην μὲν ȣ̃ν τὴν νύκτα ἐν θαλείαις τε καὶ εὐπαθείαις διετέλεσαν· τῇ δὲ ἑξῆς ἡμέρᾳ συναχθεῖσα ὑπὸ τῶν ὑπάτων ἡ βȣλὴ περὶ μὲν τȣ̃ Μαρκίȣ γνώμην ἀπεδείξατο, εἰς ἑτέρȣς ἀναβάλλεσθαι καιρȣ̀ς ἐπιτηδειοτέρȣς τὰς δοθησομένας αὐτῷ τιμάς· ταῖς δὲ γυναιξὶν ἔπαινόν τ' ἀποδεδόσθαι τῆς προθυμίας, πάλαι δημοσίᾳ γραφῇ μνήμην οἴσοντα ἐκ τῶν ἐπιγινομένων αἰώνιον, καὶ γέρας, ὅ τι ἂν αὐταῖς λαβȣ́σαις ἥδιςόν τε καὶ τιμιώτατον ἔσεσθαι μέλλει· καὶ ὁ δῆμος ἐπεκύρωσε ταῦτα. ταῖς δὲ γυναιξὶ βȣλευσαμέναις εἰσῆλθεν, ἐπιφθόνȣ μὲν δωρεᾶς μηδεμιᾶς δεῖσθαι, ἀξιȣ̃ν δ' ἐπιτρέψαι σφίσι τὴν βȣλὴν ἐπὶ

Matronis permittitur in perpetuam rei memoriam, templum Fortunæ muliebri exstruere,

τύχης γυναικῶν ἱδρύσασθαι ἱερὸν, ἐν ᾧ τὰς περὶ τῆς πόλεως ἐποιήσαντο λιτὰς χωρίῳ, θυσίας τε καθ' ἕκαςον ἔτος αὐτῇ συνιȣ̃σας ἐπιτελεῖν, ἐν ᾗ τὸν πόλεμον ἔλυσαν ἡμέρᾳ. ἡ μέντοι βȣλὴ καὶ ὁ δῆμος ἀπὸ τῶν κοινῶν ἐψηφίσατο χρημάτων τέμενός τε ὠνηθὲν καθιερωθῆναι τῇ θεῷ, καὶ ἐν αὐτῷ νεὼν καὶ βωμὸν, ὡς ἂν οἱ ἱερομνήμονες ἐξηγῶνται, συντελεσθῆναι, θυσίας τε προσάγεσθαι δημοτελεῖς, καταρχομένης τῶν ἱερῶν γυναικὸς, ἣν ἂν ἀποδείξωσιν αὐταὶ λειτȣργὸν τῶν ἱερῶν. ταῦτα τῆς βȣλῆς ψηφισαμένης, ἱέρεια μὲν ὑπὸ τῶν γυναικῶν ἀπεδείχθη

cujus prima sacerdos Valeria creata est.

τότε πρῶτον ἡ τὴν γνώμην αὐταῖς εἰσηγησαμένη περὶ τῆς πρεσβείας, Ὀυαλερία, καὶ τὴν μητέρα τȣ̃ Μαρκίȣ πείσασα συλλαβέσθαι σφίσι τῆς ἐξόδȣ. θυσίαν δὲ πρώτην αἱ γυναῖκες ἔθυσαν ὑπὲρ τȣ̃ δήμȣ, καταρχομένης τῶν ἱερῶν τῆς Ὀυαλερίας ἐπὶ τȣ̃ κατασκευασθέντος ἐν τῷ τεμένει βωμȣ̃, πρὶν ἢ τὸν νεὼν καὶ τὸ ξόανον ἀνατεθῆναι, μηνὶ Δεκεμβρίῳ τȣ̃ κατόπιν ἐνιαυτȣ̃, τῇ νέᾳ σελήνῃ, ἣν Ἕλληνες μὲν νȣμηνίαν, Ῥωμαῖοι δὲ καλάνδας καλȣ̃σιν·

Digitized by Google

λῦσιν· αὕτη γὰρ ἦν ἡ λύσασα τὸν πόλεμον ἡμέρα. ἐνιαυτῷ δὲ ὕϛερον ἑτέρῳ μετὰ τὴν πρώτην θυσίαν ὁ κατασκευασθεὶς ἐκ τῶν δημοσίων χρημάτων νεὼς συνετελέσθη τε καὶ καθιερώθη, Κοϊντιλίȣ μηνὸς ἑβδόμῃ μάλιϛα κατὰ σελήνην. αὕτη δὲ κατὰ Ῥωμαίȣς ἐϛὶν ἡ προηγȣμένη τῶν Κοϊντιλίων νωνῶν ἡμέρα. ὁ δὲ καθιερώσας αὐτὸν ἦν Πρόκλος Ὀυεργίνιος ἅτερος τῶν ὑπάτων.

Μετὰ τὴν ἐκ τȣ̃ χάρακος ἀπαλλαγὴν τῶν γυναικῶν, ὁ Μάρκιος περὶ τὸν ὄρθρον ἀναϛήσας τὴν ϛρατιὰν, ἀπῆγεν ὡς διὰ Φιλίας. καὶ ἐπειδὴ ἐν τῇ Ὀυολȣ́σκων ἐγένετο, πάντα, ὅσα ἐκ τῶν λαφύρων ἔλαβε, δωρησάμενος τοῖς ϛρατιώταις, ἑαυτῷ δ' ȣ̓δ' ὁτιȣ̃ν ὑπολιπόμενος, ἀπέλυσεν ἐπὶ τὰ οἰκεῖα. ἡ μὲν ȣ̃ν κοινωνήσασα τῶν ἀγώνων αὐτῷ ϛρατιὰ, πλȣ́τῳ βαρεῖα ἀφικομένη, τήν τ' ἀνάπαυλαν ȣ̓κ ἀηδῶς ἐδέξατο τȣ̃ πολέμȣ, καὶ δι' εὐνοίας εἶχε τὸν ἄνδρα, συγγνώμης τ' ἄξιον ἡγεῖτο, εἰ μὴ τέλος ἐπέθηκε τῷ πολέμῳ, μητρὸς οἴκτȣς καὶ λιτὰς ἐντραπείς. ἡ δ' ἐν ταῖς πόλεσιν ὑπομείνασα νεότης, φθονȣ̃σα μὲν τοῖς ἐπὶ ϛρατοπέδȣ γενομένοις τῶν πολλῶν ὠφελειῶν, διημαρτηκυῖα δὲ, ὧν ἤλπισεν, εἰ καθαιρεθείη τὸ Ῥωμαίων φρόνημα τῆς πόλεως ἁλȣ́σης, ἐτραχύνετο πρὸς τὸν ἡγεμόνα, καὶ πικρὰ σφόδρα ἦν. καὶ τελευτῶσα, ἐπειδὴ τȣ̃ μίσȣς ἡγεμόνας ἔλαβε τȣ̀ς πλεῖϛον ἐν τῷ ἔθνει δυναμένȣς, ἐξηγριώθη τε καὶ ἔργον ἔδρασεν ἀνόσιον. ἦν δὲ Τύλλος Ἄττιος ὁ τὰς ὀργὰς αὐτῶν παραθήξας, ἔχων περὶ αὐτὸν ἑταιρίαν ἐξ ἁπάσης πόλεως ȣ̓κ ὀλίγην. τȣ́τῳ δ' ἄρα ἐδέδοκτο παλαίτερον ἔτι, τὸν φθόνον ȣ̓ δυναμένῳ κατέχειν, εἰ μὲν ȣ̃ν πράξας ὁ Μάρκιος, καὶ τὴν Ῥωμαίων πόλιν διαφθείρας, καὶ τοῖς Ὀυολȣ́σκοις ὑποτάξας ἔλθοι, κρύφα καὶ σὺν δόλῳ αὐτὸν ἀνελεῖν· εἰ δὲ διαμαρτὼν τῆς πείρας, ἀτελὴς τȣ̃ ἔργȣ ἀναϛρέψειεν, ὡς προδότην, παραδόντα τῇ περὶ αὐτὸν ἑταιρίᾳ, ἀποκτεῖναι· ὅπερ ἐποίει τότε. καὶ συναγαγὼν χεῖρα ȣ̓κ ὀλίγην, κατηγόρει τȣ̃ ἀνδρὸς, τεκμαιρόμενος ἀληθέσι ψευδῆ, καὶ τὰ γενησόμενα εἰκάζων γενησομένοις· ἐκέλευέ τ' ἀποθέμενον αὐτὸν τὴν ἀρχὴν, λόγον ὑπέχειν τῆς ϛρατηγίας. ἦν δὲ τῆς ὑπομενȣ́σης ϛρατιᾶς ἐν ταῖς πόλεσιν ἡγεμὼν, ὡς καὶ πρότερον εἴρηταί μοι, κύριος, τȣ̃ τε συναγαγεῖν ἐκκλησίαν, καὶ τȣ̃ καλεῖν, ὃν βȣ́λοιτο, ἐπὶ δίκην. Ὁ

cap. 57. Quam diverse Volsci in Marcium animati fuerint: & milites quidem, quibus totam prædam diviserat, bene, reliqui male,

male inprimis Tullus, ut adeo deposito imperio belli a se administrati rationes eum reddere juberet.

Digitized by Google

cap. 58.
Marcius inverso ordine procedere cupiens, aliquamdiu ei restitit.

Ὁ δὲ Μάρκιος ἀντιλέγειν μὲν πρὸς ὐδέτερον τύτων ἐδικαίυ, περὶ δὲ τῆς τάξεως αὐτῶν διεφέρετο, λόγον ἀξιῶν ἀποδῦναι πρότερον τῶν πεπραγμένων αὐτῷ κατὰ τὸν πόλεμον, ἔπειτ', ἐὰν ἅπασι δόξῃ Ὀυολύσκοις, ἀποθήσεϑαι τὴν ἀρχήν· τύτων δ' ὐ μίαν ᾤετο πόλιν δεῖν, ἐν ᾗ τὸ πλεῖον ὑπὸ τῦ Τύλλυ διέφθαρτο μέρος, γενέϑαι κυρίαν, ἀλλὰ τὸ ἔϑνος ἅπαν εἰς τὴν ἔννομον ἀγορὰν συναχθὲν, εἰς ἣν ἔϑος ἦν αὐτοῖς, ὅτε περὶ τῶν μεγίςων βυλέυεϑαι μέλλοιεν, ἐξ ἁπάσης πόλεως προβύλυς ἀποςέλλειν. ὁ δὲ Τύλλος ἀντέλεγε πρὸς ταῦτα, καλῶς εἰδὼς, ὅτι δεινὸς εἰπεῖν ἀνὴρ, πολλῶν καὶ καλῶν ἔργων λόγον ἀποδιδὺς, ἐν ἡγεμονικῷ ἀξιώματι μένων, πείσει τὸ πλῆϑος· καὶ τοσύτυ δεήσει τιμωρίαν προδοτῶν ὑποσχεῖν, ὥςε καὶ λαμπρότερος ἔτι καὶ τιμιώτερος ὑπ' αὐτῶν ἔςαι, τόν τε πόλεμον, ὅπως ἂν βύληται, καταλύσαϑαι συγχωρησάντων, ἁπάντων γενήσεται κύριος. καὶ ἦν μέχρι πολλῦ λόγων τε καὶ ἀντιμαχήσεων τῶν ἐπ' ἀλλήλοις γινομένων καθ' ἑκάςην ἡμέραν ἐν ταῖς ἐκκλησίαις καὶ κατὰ τὴν ἀγορὰν πολὺς ἀγών· ἔργῳ γὰρ ὐχ οἷόν τ' ἦν ὐδετέρῳ βιάσαϑαι τὸν ἕτερον τῆς ἰσοτίμυ ἀρχῆς ἀξιώσει κρατυνόμενον. ὡς δ' ὐδὲν τῆς φιλονεικίας ἐγίνετο πέρας, ἡμέραν προειπὼν ὁ Τύλλος, ἐν ᾗ τὸν Μάρκιον ἐκέλευεν ἥκειν τὴν ἀρχὴν ἀποθησάμενον, καὶ δίκην ὑφέξοντα τῆς προδοσίας, θρασυτάτυς δ' ἄνδρας εὐεργεσιῶν ἐλπίσιν ἐπάρας, ἀρχηγὺς ἀνοσίυ ἔργυ γενέϑαι, παρῆν εἰς τὴν ἀποδειχθεῖσαν ἀγορὰν· καὶ προελθὼν ἐπὶ τὸ βῆμα, πολλῇ κατηγορίᾳ ἐχρήσατο τῦ Μαρκίυ, καὶ, εἰ μὴ βύλοιτο ἀποθέϑαι τὴν ἀρχὴν ἑκὼν, τῷ δήμῳ παρεκελεύσατο παύειν αὐτὸν ἁπάσῃ δυνάμει.

Tandem Tullus Marcio diem dixit;

cap. 59.
qui cum ad causam dicendam prodiisset, interfectus est.

Ἀναβάντος δὲ τῦ ἀνδρὸς ἐπὶ τὴν ἀπολογίαν, βοή τε πολλὴ κωλύυσα τὺς λόγυς ἐκ τῆς ἑταιρίας τῆς περὶ τὸν Τύλλον ἐγένετο· καὶ μετὰ ταῦτα Παῖε καὶ Βάλλε φωνῦντες, περιΐςανται αὐτὸν οἱ θρασύτατοι, καὶ συναράττοντες τοῖς λίθοις, ἀποκτιννύυσιν. ἐρριμμένυ δ' αὐτῦ χαμαὶ κατὰ τὴν ἀγορὰν, οἵ τε παραγενόμενοι τῷ πάθει, καὶ οἱ μετὰ ταῦτα, ἤδη νεκρῦ ὄντος, ἀφικόμενοι, τόν τ' ἄνδρα τῆς τύχης ὠδύροντο, ὡς ὐ καλὰς εἰληφότα παρὰ σφῶν ἀμοιβὰς, ἐπιλεγόμενοι πάντα, ὅσα τὸ κοινὸν ὠφέλησε, καὶ τὺς δράσαντας τὸν φόνον ἐπέϑυν λαβεῖν, ὡς

Digitized by Google

ὡς ἀνόμυ ἔργυ καὶ ἀσυμφόρυ ταῖς πόλεσιν ἄρξαντας, ἄνευ δίκης ἐν χειρῶν νόμῳ τινὰ ἀποκτεῖναι, καὶ ταῦτα ἡγεμόνα. μάλιςα δ' ἠγανάκτυν οἱ ταῖς ςρατείαις αὐτῦ παραγενόμενοι· καὶ ἐπειδὴ ζῶντι αὐτῷ ὐχ ἱκανοὶ ἐγένοντο κωλυταὶ τῆς συμφορᾶς, τὰς μετὰ τὸν θάνατον ὀφειλομένας ἔγνωσαν ἀποδιδόναι χάριτας, συμφέροντες εἰς τὴν ἀγορὰν, ὅσων ἔδει τοῖς ἀγαθοῖς ἀνδράσιν εἰς τὴν ἀναγκαίαν τιμήν. ἐπειδὴ δὲ πάντα ἠυτρέπιςο, θέντες ἐπὶ ςρωμνῆς εὐπρεπεςάτῳ ἠσκημένης κόσμῳ, τὴν αὐτοκρατορικὴν ἔχοντα ἐσθῆτα, καὶ πρὸ τῆς κλίνης αὐτῦ φέρεσθαι κελεύσαντες λάφυρά τε καὶ σκῦλα, καὶ ςεφάνυς, καὶ μνήμας, ὧν εἷλε, πόλεων, ἤραντο τὴν κλίνην οἱ λαμπρότατοι τῶν νέων ἐν τοῖς κατὰ πολέμυς ἔργοις· καὶ κομίσαντες εἰς τὸ προάςειον, ὃ μάλιςα ἦν ἐπιφανὲς, ἔθεσαν ἐπὶ τὴν παρεσκευασμένην πυρὰν, συμπροπεμπύσης τὸ σῶμα τῆς πόλεως ὅλης μετ' οἰμωγῆς τε καὶ δακρύων. ἔπειτα κατασφάξαντές τ' αὐτῷ βοσκήματα, καὶ τῶν ἄλλων ἀπαρξάμενοι πάντων, ὅσων ἄνθρωποι βασιλεῦσιν, ἢ ςρατιᾶς ἡγεμόσιν, ἐπὶ πυραῖς ἀπάρχονται, παρέμειναν οἱ μάλιςα τὸν ἄνδρα ἀσπαζόμενοι μέχρι τῦ μαρανθῆναι τὴν φλόγα· κἄπειτα συναγαγόντες τὰ λείψανα, ἔθαψαν ἐν τῷ αὐτῷ χωρίῳ, χώματι ὑψηλῷ διὰ πολυχειρίαν ἐργασθέντι, μνῆμα ἐπίσημον ἐργασάμενοι.

Quam mortis rationem milites iniquo animo ferentes splendido eum funere honorarunt & monumento insigni.

Τῷ δὲ ἑξῆς ἐνιαυτῷ Γάϊος μὲν Ἀκύλλιος καὶ Τίτος Σίκκιος, ἄνδρες ἔμπειροι πολέμων, τὴν ὑπατείαν παρειλήφασιν. ἡ δὲ βυλὴ, προθέντων λόγον περὶ τῦ πολέμυ τῶν ὑπάτων, πρῶτον ἐψηφίσατο πρεσβείαν πέμψαι πρὸς Ἕρνικας, αἰτήσυσαν, ὡς παρὰ φίλων τε καὶ ἐνσπόνδων, δίκας νομίμυς· ἠδίκητο γὰρ ἡ πόλις ὑπ' αὐτῶν κατὰ τὴν Οὐολύσκων τε καὶ Αἰκανῶν ἐπιςρατείαν, λῃςείαις τε καὶ καταδρομαῖς τῆς ὁμορύσης αὐτοῖς γῆς· ἕως δ' ἂν τὰς παρ' ἐκείνων λάβωσιν ἀποκρίσεις, ςρατιὰν ὅσην δύνωνται πλείςην καταγράφειν τὺς ὑπάτυς, καὶ τὺς συμμάχυς πρεσβειῶν ἀποςολαῖς παρακαλεῖν, σῖτόν τε καὶ ὅπλα καὶ χρήματα, καὶ τὰ ἄλλα, ὅσων ἔδει τῷ πολέμῳ, διὰ πολυχειρίας παρασκευάσθαι, καὶ ἐν τάχει. ὡς δ' ἀπήγγειλαν αὐτοῖς ἀναςρέψαντες οἱ πρέσβεις, ἃς παρὰ τῶν Ἑρνίκων ἔλαβον ἀποκρίσεις, ὅτι συνθήκας μὲν ὔ φασιν αὐτοῖς εἶναι πρὸς Ῥω-

cap. 64. Bellum cum Hernicis & Volscis, A. U. 267. ante Chr. 487.

Digitized by Google

Ῥωμαίες κοινῇ γενομένας ἐδέποτε, τὰς δὲ πρὸς βασιλέα Ταρκύνιον ὁμολογίας αἰτιῶνται λελύσθαι, τήν τ' ἀρχὴν ἀφαιρεθέντος ἐκείνε, καὶ τεθνηκότος ἐπὶ τῆς ξένης· ἐι δέ τινες ἁρπαγαὶ καὶ καταδρομαὶ τῆς χώρας ἐγένοντο διὰ λῃςηρίων, ἐκ ἀπὸ κοινῆς γνώμης γεγονέναι λέγεσιν, ἀλλ' ἰδιωτῶν ἀδικήματα μετιόντων τὰ ἴδια· καὶ ἐδὲ τὲς ταῦτα δράσαντας παρέχειν διοί τέ εισιν ἐπὶ δίκην, ἕτερα καὶ αὐτοὶ τοιαῦτα πεπονθέναι λέγοντες καὶ ἀντεγκαλῦντες, ἄσμενοί τέ ἐισι δέχεσθαι τὸν πόλεμον. ταῦτα ἡ βελὴ μαθῦσα, ἐψηφίσατο νείμασθαι τὴν καταγραφεῖσαν ἐκ τῶν νεωτέρων ςρατιὰν τριχῇ· τέτων δὲ τὴν μὲν μίαν τὸν ὕπατον ἄγοντα Γάϊον Ἀκύλλιον ὁμόσε τῇ Ἑρνίκων ςρατιᾷ χωρεῖν· καὶ γὰρ ἐκεῖνοι ἤδη ἦσαν ἐν τοῖς ὅπλοις· τὴν δὲ ἑτέραν Τῖτον Σίκκιον ἐπὶ Ὀυολέσκες ἄγειν, τὸν ἕτερον τῶν ὑπάτων· τὴν δὲ λοιπὴν τρίτην μερίδα παραλαβόντα Λάρκιον Σπόριον, ὃς ἦν ἀποδεδειγμένος ὑπὸ τῶν ὑπάτων ἔπαρχος, τὴν ἔγγιςα τῆς πόλεως χώραν φυλάττειν· τὲς δὲ ὑπὲρ τὸν ςρατιωτικὸν κατάλογον, ὅσοι δύναμιν εἶχον ἔτι βαςάζειν ὅπλα, ταχθέντας ὑπὸ σημείαις, τάς τ' ἄκρας φρερεῖν τῆς πόλεως, καὶ τὰ τείχη, μή τις αἰφνίδιος πολεμίων γένηται ἔφοδος, ἐξεςρατευμένης τῆς νεότητος ἀθρόας. ἡγεῖσθαι δὲ τῆς δυνάμεως ταύτης Αὖλον Σεμπρώνιον Ἀτρατῖνον, ἄνδρα τῶν ὑπατικῶν. ἐγένετο δὲ ταῦτα ἐ διὰ μακρῦ.

cap. 65. 66. Hernici vincuntur.

Ἀκύλλιος μὲν ἔν, ὁ ἕτερος τῶν ὑπάτων, ἐν τῇ Πραινεςηνῶν χώρᾳ τὸν Ἑρνίκων ςρατὸν (ἐις φυγὴν τρέπει,) τόν τε χάρακα αὐτῶν αἱρεῖ μεςὸν ὄντα ὑποζυγίων τε καὶ ἀγορᾶς καὶ ὅπλων· καὶ τὲς τραυματίας αὐτῶν ἐκ ἐλάττες ὄντας τῶν πεφευγότων λαμβάνει· τήν τε ἵππον ἐκπέμψας ἐπὶ τὲς ἐσκεδασμένες ἀνὰ τὰς ὁδές τε καὶ τὰς ὕλας, πολλῶν γίνεται σωμάτων ἐγκρατής· καὶ τὸ λοιπὸν ἤδη τὴν Ἑρνίκων γῆν ἐπῄει, λεηλατῶν ἀδεῶς, ἐδενὸς ἔτι ὑπομένοντος ἐις χεῖρας ἰέναι.

cap. 67. Volsci vincuntur, eorumque dux Attius Tullus cæditur.

Ὁ δὲ ἕτερος τῶν ὑπάτων, Τῖτος Σίκκιος, ὁ πεμφθεὶς ἐπὶ Ὀυολέσκες, ὅσον ἦν κράτισον τῆς δυνάμεως μέρος, ἐις τὴν Ὀυελιτρανῶν χώραν ἐισέβαλλεν· ἐνταῦθα γὰρ ἦν Τύλλος Ἄττιος ὁ τῶν Ὀυολέσκων ἡγεμὼν, τὴν ἀκμαιοτάτην συσκευασάμενος ςρατιὰν, γνώμην ἔχων τὰ συμμαχικὰ Ῥωμαίων κακῶσαι πρῶτον,

ὥσπερ

ὥσπερ ὁ Μάρκιος ἔδρασεν, ὅτε ἤρχετο τοῦ πολέμου, δόξας ἐν τῷ αὐτῷ φόβῳ Ῥωμαίους ἔτι διαμένειν, καὶ μηδεμίαν τοῖς ὑπὲρ αὐτῶν κινδυνεύουσι πέμψειν ἐπικουρίαν. ὡς δ' ὤφθησάν τε καὶ εἶδον ἀλλήλας αἱ δυνάμεις, οὐδὲν ἔτι ἀναβαλλόμεναι συνῄεσαν εἰς τὸ αὐτό. διέμενον δὲ ἐπὶ πλεῖστον χρόνον τῆς ἡμέρας ἀγχωμάλως αἱ φάλαγγες ἀγωνιζόμεναι. ἔπειτα δὲ περιειστήκει πάντοθεν Οὐολούσκοις τὸ δεινόν· ἐκ μὲν τῶν κατὰ πρόσωπον οἱ πεζοὶ αὐτοῖς ἐνέκειντο, ἐκ δὲ τῶν πλαγίων τε καὶ τῶν κατόπιν, οἱ ἱππεῖς· ὥστε ὑπὲρ δύναμιν ἀγαθοὶ γενόμενοι, καὶ πολλὰ ἔργα τόλμης τε καὶ ἐμπειρίας ἀποδειξάμενοι, μικροῦ δεῖν πάντες οἱ τὸ δεξιὸν κέρας ἔχοντες κατεκόπησαν. οἱ δ' ἐν μέσῃ τε τῇ φάλαγγι τεταγμένοι καὶ ἐπὶ τοῦ ἑτέρου κέρως, ἐπειδὴ τὸ δεξιόν τε παρερρηγμένον εἶδον, καὶ τὸν αὐτὸν τρόπον ἐπιόντας σφίσι τοὺς τῶν Ῥωμαίων ἱππεῖς, ἐξελίξαντες τοὺς λόχους, βάδην ἀπεχώρουν ἐπὶ τὸν χάρακα, καὶ οἱ τῶν Ῥωμαίων ἱππεῖς ἐν τάξει ἠκολούθουν. ἐπεὶ δὲ πρὸς τῷ ἐρύματι ἦσαν, ἑτέρα γίνεται μάχη, τῶν ἱππέων ἐπιβαινόντων τοῖς περισταυρώμασι κατὰ πολλὰ μέρη τοῦ χάρακος, ὀξεῖα καὶ παλίντροπος. πονουμένων δὲ τῶν Ῥωμαίων, ὁ ὕπατος, κελεύσας τοῖς πεζοῖς ὕλην προσενέγκαντας ἀποχῶσαι τὰς τάφρους, πρῶτος ἐχώρει κατὰ τὸ ἐπίβατον, ἔχων τοὺς ἀρίστους τῶν ἱππέων, ἐπὶ τὰς ἐχυρωτάτας τοῦ χάρακος πύλας· ἀναστείλας δὲ τοὺς πρὸ αὐτῶν μαχομένους, καὶ τοὺς καταρράκτας τῶν πυλῶν διακόψας, ἐντὸς ἐγεγόνει τῶν ἐρυμάτων, καὶ τοὺς ἐπιόντας τῶν σφετέρων πεζῶν ἐδέχετο. Τύλλος δ' Ἄττιος, ἔχων τοὺς ἐρρωμενεστάτους καὶ εὐτολμοτάτους Οὐολούσκων, ὁμόσε αὐτῷ χωρεῖ· καὶ πολλὰ ἔργα γενναῖα ἀποδειξάμενος· ἦν γὰρ ἀγωνιστὴς μὲν πολέμων σφόδρα ἄλκιμος, στρατηγῆσαι δ' οὐχ ἱκανός· ὑπὸ κόπου τε καὶ πλήθους τραυμάτων καταπονηθεὶς ἀποθνήσκει. τῶν δ' ἄλλων Οὐολούσκων, ἐπειδὴ ὁ χάραξ ἡλίσκετο, οἱ μὲν ἀγωνιζόμενοι κατεκόπησαν, οἱ δὲ τὰ ὅπλα ῥίψαντες, πρὸς ἱκεσίαν τῶν κεκρατηκότων ἐτράποντο· ὀλίγοι δέ τινες ἐπὶ τὰ οἰκεῖα φεύγοντες ἀπεσώθησαν. ἀφικομένων δ' εἰς τὴν Ῥώμην ἀγγέλων, οὓς ἀπέστειλαν οἱ ὕπατοι, μεγίστη χαρὰ τὸν δῆμον κατέσχε, καὶ αὐτίκα μὲν τοῖς θεοῖς χαριστηρίους ἐψηφίσαντο θυσίας, τοῖς δὲ ὑπάτοις τὴν τῶν θριάμ-

βων

Digitized by Google

βων τιμὴν προσέθεσαν· ȣ μέντοι τὴν αὐτήν γε ἀμφοτέροις· ἀλλὰ Σικκίῳ μὲν, ἐπειδὴ φόβȣ μείζονος ἠλευθερωκέναι ἐδόκει τὴν πόλιν, τὸν Ὀυολέσκων ὑβριςὴν καθελὼν ςρατὸν, καὶ τὸν ἡγεμόνα αὐτῶν ἀποκτείνας, τὴν μείζονα πομπὴν ἐψηφίσαντο· καὶ εἰσήλασεν ὁ ἀνὴρ, ἔχων τὰ λάφυρα καὶ τȣς αἰχμαλώτȣς καὶ τὴν συναγωνισαμένην δύναμιν, ἅρματι παρεμβεβηκὼς χρυσοχαλίνων ἵππων, τὴν βασιλικὴν ἠμφιεσμένος ἐσθῆτα, ὡς περὶ τȣς μείζονας θριάμβȣς νόμος. Ἀκυλλίῳ δὲ τὸν ἐλάττονα θρίαμβον ἀπέδοσαν, ὃν αὐτοὶ καλȣ̃σιν ὤαν. καὶ εἰσῆλθεν ὁ ἀνὴρ πεζὸς, τὰ λοιπὰ τῆς πομπῆς ἐπαγόμενος. καὶ τὸ ἔτος τȣ̃το ἐτελεύτα.

Triumphus major de Volscis, minor de Hernicis.

cap. 68. Coss. Proculo Virginio & Sp. Cassio Aequi, Volsci & Hernici debellantur, A. U. 268. ante Chr. 486.

Οἱ δὲ παρὰ τȣ́των τὴν ὑπατείαν παραλαβόντες Πόπλιος Ὀυεργίνιος, καὶ Σπόριος Κάσσιος τὸ τρίτον τότε ἀποδειχθεὶς ὕπατος, τάς τε πολιτικὰς καὶ τὰς συμμαχικὰς ἀναλαβόντες δυνάμεις, ἐξῆγον εἰς τὸν ὕπαιθρον· Ὀυεργίνιος μὲν ἐπὶ τὰς Αἰκανῶν πόλεις, Κάσσιος δ' ἐπὶ τὰς Ἑρνίκων τε καὶ Ὀυολȣ́σκων, κλήρῳ διαλαχόντες τὰς ἐξόδȣς. Αἰκανοὶ μὲν ȣ̃ν ὀχυρώσαντες τὰς πόλεις, καὶ τὰ πλεῖςȣ ἄξια ἐκ τῶν ἀγρῶν ἀνασκευασάμενοι, τήν τε γῆν περιεώρων δῃȣμένην, καὶ τὰς αὐλὰς ἐμπιπραμένας· ὥςε κατὰ πολλὴν εὐπέτειαν Ὀυεργίνιος, ὅσην ἐδύνατο πλείςην αὐτῶν γῆν κείρας τε καὶ λωβησάμενος, ἐπεὶ ȣ̓δεὶς ὑπὲρ αὐτῆς ἐξῄει μαχȣ́μενος, ἀπῆγε τὴν ςρατιάν. Ὀυολȣ̃σκοι δὲ καὶ Ἕρνικες, ἐφ' ȣ̃ς ὁ Κάσσιος ἐςράτευσε, γνώμην μὲν ἐποιήσαντο δῃȣμένης τῆς χώρας περιορᾶν, καὶ συνέφυγον εἰς τὰς πόλεις· ȣ̓ μὴν ἔμειναν γ' ἐν τοῖς ἐγνωσμένοις, χώρας τ' ἀγαθῆς κειρομένης, ἣν ȣ̓ ῥᾳδίως ἀνακτήσασθαι ἔτι ἤλπισαν, ὄικτῳ ὑπαχθέντες, καὶ τοῖς ἐρύμασιν, ȣ̓ σφόδρα ὀχυροῖς ȣ̃σιν, εἰς ἃ κατεπεφεύγεσαν, ἀπιςȣ̃ντες· ἀλλὰ πρεσβείας ἀπέςειλαν πρὸς τὸν ὕπατον, ὑπὲρ καταλύσεως τȣ̃ πολέμȣ δεησόμενοι· Ὀυολȣ̃σκοι μὲν, πρότεροι· καὶ θᾶττον ȣ̃τοι τῆς εἰρήνης ἔτυχον, ἀργύριόν τε δόντες, ὅσον αὐτοῖς ὁ ὕπατος ἔταξε, καὶ τἄλλα, ὅσων ἔδει τῇ ςρατιᾷ, πάντα ὑπηρετήσαντες· καὶ ȣ̃τοι μὲν ὑπήκοοι Ῥωμαίοις ἔσεσθαι ὡμολόγησαν, ȣ̓δενὸς ἔτι μεταποιȣ́μενοι τῶν ἴσων· Ἕρνικες δὲ ὕςεροι, ἐπειδὴ μεμονωμένȣς ἑαυ-

Digitized by Google

ἑαυτὲς εἶδον, ὑπὲρ εἰρήνης τε καὶ Φιλίας διελέγοντο πρὸς τὸν ὕπατον. ὁ δὲ Κάσσιος, πολλὴν κατηγορίαν πρὸς τὲς πρέσβεις κατ' αὐτῶν διαθέμενος, πρῶτον ἔφη δεῖν αὐτὲς τὰ τῶν κεκρατημένων τε καὶ ὑπηκόων ποιήσαντας, τότε διαλέγεσθαι περὶ Φιλίας· τῶν δὲ πρεσβευτῶν ποιήσειν τὰ δυνατὰ καὶ μέτρια λεγόντων, ἐκέλευσεν αὐτοῖς, ἀργύριόν τε, ὃ κατ' ἄνδρα τοῖς ςρατιώταις εἰς ὀψωνιασμὸν ἔθος ἦν, ἐξ μηνῶν δεδόσθαι, καὶ διὰ μηνὸς τροφὰς ἀποφέρειν. ἕως δ' ἂν ταῦτα εὐπορήσωσι, τάξας τινὰ χρόνον ἡμερῶν, ἀνοχὰς αὐτοῖς ἐδίδε τε πολέμε. ὑπηρετησάντων δ' αὐτοῖς ἅπαντα τῶν Ἑρνίκων διὰ τάχες καὶ μετὰ προθυμίας, καὶ τὲς περὶ Φιλίας διαλεξομένες ἀποςειλάντων αὖθις, ἐπαινέσας αὐτὲς ὁ Κάσσιος, ἀνέπεμψεν ἐπὶ τὴν βελήν. τοῖς δὲ ἐκ τε συνεδρίε πολλὰ βελευσαμένοις ἔδοξε δέχεσθαι μὲν τὲς ἄνδρας εἰς Φιλίαν· ἐφ' οἷς δὲ γενήσονται δικαίοις αἱ πρὸς αὐτὲς συνθῆκαι, Κάσσιον τὸν ὕπατον γνῶναί τε καὶ ςῆσαι· ὅ τι δ' ἂν ἐκείνῳ δόξῃ, τῦτο εἶναι σφίσι κύριον.

Ταῦτα τῆς βελῆς ψηφισαμένης, ἀναςρέψας εἰς τὴν πόλιν ὁ Κάσσιος θρίαμβον κατάγειν ἠξίε δεύτερον, ὡς τὰ μέγιςα τῶν ἐθνῶν κεχειρωμένος, χάριτι μᾶλλον ἁρπάζων τὸ τίμιον, ἢ τῷ δικαίῳ λαμβάνων, ὃς ὄτε πόλεις ἑλὼν ἐκ τειχομαχίας, ὄτ' ἐν ὑπαίθρῳ μάχῃ ςρατιὰν πολεμίαν τρεψάμενος, αἰχμάλωτα καὶ σκῦλα, οἷς κοσμεῖται θρίαμβος, ἔμελλε κατάγειν. τοιγάρτοι δόξαν αὐθαδείας καὶ τε μηδὲν ἔτι τῶν ὁμοίων τοῖς ἄλλοις Φρονεῖν, τῦτο τὸ ἔργον αὐτῷ πρῶτον Φθόνον ἤνεγκε. διαπραξάμενος δὲ τὸν θρίαμβον αὐτῷ δοθῆναι, τὰς πρὸς Ἕρνικας ἐξήνεγκεν ὁμολογίας. αὗται δὲ ἦσαν ἀντίγραφοι τῶν πρὸς Λατίνες γενομένων. ἐφ' αἷς πάνυ ἤχθοντο οἱ πρεσβύτατοί τε καὶ τιμιώτατοι, καὶ δι' ὑποψίας αὐτὸν ἐλάμβανον, ἐκ ἀξιεντες τῆς ἴσης τιμῆς τοῖς συγγενέσι Λατίνοις τὲς ἀλλοεθνεῖς Ἕρνικας τυγχάνειν· ἐδὲ τοῖς πολλὰ εὐνοίας ἔργα ἐπιδειξαμένοις τὲς μηδ' ὁτιῦν ἀγαθὸν δεδρακότας, τῶν αὐτῶν Φιλανθρώπων μετέχειν· τῇ τε ὑπεροψίᾳ τε ἀνδρὸς ἀχθόμενοι, ὃς ὑπὸ τῆς βελῆς τιμηθεὶς, ἐκ ἀντετίμησεν αὐτὴν τοῖς ἴσοις, ἐδὲ μετὰ κοινῆς γνώμης τῶν συνέδρων, ἀλλ', ὡς αὐτῷ ἐδόκει, γράψας ἐξήνεγκε τὰς ὁμολογίας. ἦν τ' ἄρα

cap. 69. Sp. Cassius triumphum sibi arrogat,

τ' ἄρα τὸ ἐν πολλοῖς εὐτυχεῖν, σφαλερὸν ἀνθρώπῳ χρῆμα καὶ ἀσύμφορον· αὐχήματός τε γὰρ ἀνοήτε πολλοῖς ἄιτιον γινόμενον, λανθάνει καὶ ἐπιθυμιῶν ἀρχηγὸν ἐκβαινεσῶν τὴν ἀνθρωπίνην φύσιν· ὃ καὶ τῷ ἀνδρὶ ἐκείνῳ συνέβη. τρισὶ γὰρ ὑπατείαις, καὶ δυσὶ θριάμβοις μόνος τῶν τότε ἀνθρώπων ὑπὸ τῆς πόλεως τετιμημένος, σεμνότερον αὑτὸν ἦγε, καὶ μοναρχικῆς ἐξεσίας ἐλάμβανε πόθον, ἐνθυμέμενος δὲ, ὅτι τοῖς βασιλείας ἢ τυραννίδος ἐφιεμένοις ῥάςη τε καὶ ἀσφαλεςάτη ἐςὶ πασῶν ὁδὸς, ἡ τὸ πλῆθος εὐεργεσίαις τισὶν ὑπαγομένη, καὶ ἐκ τῶν χειρῶν τε διδόντος τὰ κοινὰ σιτεῖσθαι ἐθίζεσα, ταύτην ἐτράπετο· καὶ αὐτίκα ὐδενὶ προειπὼν, ἣν γάρ τις χώρα δημοσία πολλὴ παρημελημένη τε καὶ ὑπὸ τῶν εὐπορωτάτων κατεχομένη· ταύτην ἔγνω τῷ δήμῳ διανέμειν. καὶ ἐι μὲν ἄχρι τῦδε ἐλθὼν ἠρκέσθη, τάχ' ἂν αὐτῷ κατὰ νῦν τὸ ἔργον ἐχώρησε· νῦν δὲ πλειόνων ὀρεγόμενος ςάσιν ἐ μικρὰν ἤγειρεν, ἐξ ἧς ἐκ εὐτυχὲς τὸ τέλος αὐτῷ συνέβη. Λατίνες τε γὰρ ἠξίε τῇ καταγραφῇ τῆς χώρας συμπεριλαμβάνειν, καὶ τὲς νεωςὶ προσληφθέντας εἰς τὴν πολιτείαν Ἕρνικας.

& ad principatum adspirat.

cap. 70. In oratione, qua rerum a se gestarum rationem reddit, plebi magna beneficia promittit.

Οἰκεῖα ἑαυτῷ παρασκευάσαι τὰ ἔθνη ταῦτα διανοηθεὶς, τῇ μετὰ τὸν θρίαμβον ἡμέρᾳ συνεκάλεσε τὸ πλῆθος εἰς ἐκκλησίαν· καὶ παρελθὼν ἐπὶ τὸ βῆμα, ὡς ἔθος ἐςὶ ποιεῖν τοῖς τεθριαμβευκόσι, πρῶτον μὲν ἀποδέδωκε τὸν ὑπὲρ τῶν πραχθέντων αὐτῷ λόγον· ἦ κεφάλαια ἦν ταῦτα· ὅτι τῆς μὲν πρώτης ὑπατείας τυχὼν τὸ Σαβίνων ἔθνος ἀντιποιέμενον τῆς ἡγεμονίας μάχῃ νικήσας, ἠνάγκασεν ὑπήκοον Ῥωμαίοις γενέσθαι· ἀποδειχθεὶς δὲ τὸ δεύτερον ὕπατος, τὴν ἐμφύλιον ἔπαυσε τῆς πόλεως ςάσιν, καὶ κατήγαγε τὸν δῆμον εἰς τὴν πατρίδα· Λατίνες δὲ συγγενεῖς μὲν ὄντας τῆς Ῥωμαίων πόλεως, ἀεὶ δὲ τῆς ἡγεμονίας καὶ τῆς δόξης αὐτῇ φθονῦντας, εἰς φιλότητα συνήγαγε, τῆς ἰσοπολιτείας μεταδὲς, ὥςε μηκέτι ἀντίπαλον, ἀλλὰ πατρίδα τὴν Ῥώμην νομίζειν. τρίτον δὲ καταςὰς ἐπὶ τὴν αὐτὴν ἀρχὴν, Οὐολέσκες τ' ἠνάγκασε φίλες ἀντὶ πολεμίων γενέσθαι, καὶ τὸ Ἑρνίκων ἔθνος, μέγα τε καὶ ἄλκιμον, καὶ πλησίον σφῶν κείμενον, βλάπτειν τε καὶ ὠφελεῖν τὰ μέγιςα ἱκανώτατον, ἑκέσιον ὑπηγα-

προήγετο. ταῦτα δὲ δὴ καὶ τὰ ὅμοια τούτοις διεξελθὼν, ἠξίου τὸν δῆμον ἑαυτῷ προσέχειν τὸν νοῦν, ὡς παρὰ πάντας τοὺς ἄλλους πρόνοιαν ἔχοντι τοῦ κοινοῦ, καὶ εἰς τὸν λοιπὸν ἕξοντι χρόνον. τελευτῶν δὲ τοῦ λόγου, τοσαῦτα ἔφη καὶ τηλικαῦτα ἀγαθὰ ποιήσειν τὸν δῆμον, ὥστε ἅπαντας ὑπερβάλλεσθαι τοὺς ἐπαινουμένους ἐπὶ τῷ φιλεῖν καὶ σώζειν τὸ δημοτικόν. καὶ ταῦτα ἔφη ποιήσειν οὐκ εἰς μακράν. διαλύσας δὲ τὴν ἐκκλησίαν, καὶ χρόνον οὐδ' ἀκαριαῖον διαλιπὼν, τῇ κατόπιν ἡμέρᾳ συνεκάλει τὴν βουλὴν εἰς τὸ συνέδριον, ὀρθὴν καὶ περίφοβον οὖσαν ἐπὶ τοῖς ῥηθεῖσιν ὑπ' αὐτοῦ λόγοις· καὶ πρὶν ἑτέρου τινὸς ἄρξασθαι λόγου, τὴν ἀπόῤῥητον ἐν τῷ δήμῳ φυλαχθεῖσαν γνώμην εἰς μέσον ἔφερεν, ἀξιῶν τοὺς βουλευτὰς, ἐπειδὴ πολλὰ ὁ δῆμος τῇ πόλει χρήσιμος γέγονε, τὰ μὲν εἰς τὴν ἐλευθερίαν, τὰ δὲ εἰς τὸ ἑτέρων ἄρχειν συλλαβόμενος, πρόνοιαν αὐτοῦ ποιήσασθαι, τήν τε χώραν αὐτῷ νείμαντας, ὅση πολέμῳ κρατηθεῖσα λόγῳ μὲν ἦν δημοσία, ἔργῳ δὲ τῶν ἀναιδεστάτων τε καὶ σὺν οὐδενὶ δικαίῳ κατεσχηκότων πατρικίων· καὶ τῆς ὑπὸ Γέλωνος τοῦ Σικελίας τυράννου πεμφθείσης σφίσι δωρεᾶς σιτικῆς, ἣν προῖκα δέον πάντας διανείμασθαι τοὺς πολίτας, ὠνητὴν ἐλάμβανον οἱ πένητες, ἀποδοθῆναι τὰς τιμὰς τοῖς ὠνησαμένοις, ἐξ ὧν εἶχε τὸ κοινὸν χρημάτων.

Sequenti die rogat patres, ut populo, nec non Latinis & Hernicis agrum publicum dividerent, & emtoribus frumenti Siculi pretia redderent.

Εὐθὺς μὲν οὖν ἔτι λέγοντος αὐτοῦ, θόρυβος ἦν πολὺς, ἀχθομένων πάντων καὶ οὐχ ὑπομενόντων τὸν λόγον. ἐπειδὴ δ' ἐπαύσατο, ὅ τε σύνυπατος αὐτοῦ Οὐεργίνιος πολλὴν ἐποιήσατο κατηγορίαν, ὡς στάσιν εἰσάγοντος, καὶ τῶν ἄλλων βουλευτῶν οἱ πρεσβύτατοί τε καὶ τιμιώτατοι, μάλιστα δ' Ἄππιος Κλαύδιος· καὶ μέχρι πολλῆς ὥρας ἠγριωμένοι τε καὶ τὰ ἔσχατα κατ' ἀλλήλων ὀνείδη λέγοντες οὕτοι διετέλεσαν. ταῖς δὲ κατόπιν ἡμέραις ὁ μὲν Κάσσιος ἐκκλησίας συνεχεῖς ποιούμενος, ἐξεδημαγώγει τὸ πλῆθος, καὶ τοὺς ὑπὲρ τῆς κληρουχίας λόγους συνέφερε, καὶ πολὺς ἦν ἐν ταῖς κατηγορίαις τῶν ἀντιπραττόντων. ὁ δ' Οὐεργίνιος τὴν βουλὴν ὁσημέραι συνάγων, μετὰ κοινῆς γνώμης τῶν πατρικίων ἀντιπαρεσκευάζετο φυλακάς τε καὶ κωλύσεις νομίμους. καὶ ἦν στῖφος ἑκατέρῳ τῶν παρακολουθούντων τε καὶ φυλακὴν τῷ σώματι παρεχόντων πολύ· τὸ

cap. 71. Magni tumultus inde orti. Virginius primum.

μὲν ἄπορόν τε καὶ ῥυπαρὸν καὶ πάντα τολμᾷν πρόχειρον, ὑπὸ τῷ Κασσίῳ τεταγμένον· τὸ δ' εὐγενές τε καὶ καθαρὸν, ὑπὸ τῷ Ὀυεργινίῳ τιθέμενον. τέως μὲν ὖν τὸ χεῖρον ἐν ταῖς ἐκκλησίαις κατεκράτει, μακρῷ θατέρυ προέχον· ἔπειτα δ' ἰσόῤῥοπον ἐγένετο, προσνειμάντων ἑαυτὺς τῶν δημάρχων τῇ κρείττονι μοίρᾳ· τάχα μὲν καὶ διὰ τὸ μηδ' ἐκείνοις δοκεῖν ἄμεινον εἶναι τῇ πόλει, δεκασμοῖς τ' ἀργυρίυ καὶ διανομαῖς τῶν δημοσίων διαφθειρόμενον τὸ πλῆθος, ἀργὸν καὶ πονηρὸν εἶναι· τάχα δὲ καὶ διὰ τὸν φθόνον, ὅτι τῆς φιλανθρωπίας ταύτης ὐκ αὐτοὶ ἦρξαν οἱ τῦ δήμυ προεστηκότες, ἀλλ' ἕτερος· ὐδὲν δὲ κωλύει, καὶ διὰ τὸ δέος, ὃ πρὸς τὴν αὔξησιν τῦ ἀνδρὸς ἐλάμβανον, μείζονα γινομένην, ἢ τῇ πόλει συνέφερεν. ἀντέλεγον ὖν ἤδη κατὰ κράτος ἐν ταῖς ἐκκλησίαις ἔτοι πρὸς τὺς εἰσφερομένυς ὑπὸ τῦ Κασσίυ νόμυς· διδάσκοντες τὸν δῆμον, ὡς ὐκ εἴη δίκαιον, ἃ διὰ πολλῶν ἐκτήσαντο πολέμων, ταῦτα μὴ Ῥωμαίυς νείμασθαι μόνυς, ἀλλὰ καὶ Λατίνυς αὐτοῖς ἰσομοιρεῖν, τὺς μὴ παραγενομένυς τοῖς πολέμοις, καὶ τὺς νεωςὶ προσελθόντας πρὸς τὴν φιλίαν Ἕρνικας, οἷς ἀγαπητὸν ἦν πολέμῳ προσαχθεῖσι, τὸ μὴ τὴν ἑαυτῶν ἀφαιρεθῆναι χώραν. ὁ δὲ δῆμος ἀκύων, τοτὲ μὲν τοῖς τῶν δημάρχων προσετίθετο λόγοις, ἐνθυμέμενος, ὅτι μικρόν τε καὶ ὐκ ἄξιον ἔςαι λόγυ τὸ ἐκ τῆς δημοσίας γῆς ἐσόμενον ἑκάςῳ λάχος, εἰ μετὰ Ἑρνίκων τε καὶ Λατίνων αὐτὴν νεμήσονται· τοτὲ δὲ ὑπὸ τῦ Κασσίυ μετεπείθετο δημαγωγῦντος, ὡς προδιδόντων αὐτὸν τοῖς πατρικίοις τῶν δημάρχων, καὶ πρόφασιν ποιυμένων τῆς κωλύσεως εὐπρεπῆ, τὴν Ἑρνίκων τε καὶ Λατίνων ἰσομοιρίαν, ἣν αὐτὸς ἔφη νόμῳ περιλαβεῖν ἰσχύος τῶν πενήτων ἕνεκα· καὶ, εἴ τις ἀφαιρεῖσθαί ποτ' αὐτὺς ἀξιώσει τὰ δοθέντα, κωλύσεως· κρεῖττον ἡγύμενος εἶναι καὶ ἀσφαλέςερον τοῖς πολλοῖς, μικρὰ λαβῦσιν ὁμοίως ἔχειν, ἢ πολλὰ ἐλπίσασιν ἁπάντων ἀποτυχεῖν.

deinde adeo tribuni legi agrariæ se opponunt.

Ὡς δ' ὐδὲν ἐγίνετο πέρας, δείσαντες οἱ πατρίκιοι, μὴ ξιφῶν τε ἁρπαγαὶ καὶ χειρῶν ἐπιβολαὶ γένωνται, καὶ ἄλλα, ὅσα φιλεῖ βίαια συμβαίνειν ἐν ταῖς ςασιαζύσαις ἐκκλησίαις, ἐκφερομένυ τῦ νόμυ, συνῆλθον εἰς τὸ συνέδριον, ὡς ὑπὲρ ἁπάντων ἅπαξ βυλευσόμενοι, καὶ ἔγραψαν

cap. 73. & 76. Senatus consultum de agro publico tam locando quam dividendo, quo

ψαν τὸ τῆς βȣλῆς δόγμα τοιόνδε· ἄνδρας ἐκ τῶν ὑπατικῶν ἀποδειχθῆναι δέκα τȣς πρεσβυτάτȣς, οἵτινες ὁρίσαντες τὴν δημοσίαν χώραν, ἀποδείξȣσιν, ὅσην τε δεῖ μισθȣ̃σθαι, καὶ ὅσην τῷ δήμῳ διαιρεθῆναι· τοῖς δ᾽ ἰσοπολίταις τε καὶ συμμάχοις, ἐάν τινα ὕςερον ἐπικτήσωνται κοινῇ ςρατευσάμενοι, τὸ ἐπιβάλλον ἑκάςοις κατὰ τὰς ὁμολογίας ὑπάρχειν μέρος· τὴν δὲ αἵρεσιν τῶν ἀνδρῶν, καὶ τὴν διανομὴν τῶν κλήρων, καὶ τἄλλα, ὅσα δεῖ γενέσθαι, τȣς εἰσιόντας ἐπιτελέσαι ὑπάτȣς. τȣ̃το τὸ δόγμα εἰς τὸν δῆμον εἰσενεχθὲν τόν τε Κάσσιον ἔπαυσε τῆς δημαγωγίας, καὶ τὴν ἀναῤῥιπιζομένην ἐκ τῶν πενήτων ςάσιν ȣ̓κ εἴασε περαιτέρω προελθεῖν.

gliscens inopum seditio reprimitur.

cap. 77.
A. U. 269.
ante Chr. 485.
Sp. Cassius in judicium vocatur & tyrannidis damnatur.

Τῷ δὲ ἑξῆς ἐνιαυτῷ τῆς ἑβδομηκοςῆς καὶ τετάρτης ὀλυμπιάδος ἐνεςώσης, ἣν ἐνίκα ςάδιον Ἄςυλλος Συρακȣ́σιος, Ἀθήνησι δ᾽ ἄρχων ἦν Λεώςρατος, Κοΐντȣ Φαβίȣ, καὶ Σερȣ́ȣ Κορνηλίȣ τὴν ὑπατείαν παρειληφότων, ἄνδρες ἐκ τῶν πατρικίων, νέοι μὲν ἔτι τὴν ἡλικίαν, ἐπιφανέςατοι δὲ τῶν ἄλλων, κατά τ᾽ ἀξιώσεις προγόνων καὶ κατὰ τὰς ἑταιρίας τε καὶ πλȣ́τȣς μέγα δυνάμενοι, καὶ, ὡς νέοι, τὰ πολιτικὰ πράττειν ȣ̓δενὸς τῶν ἐν ἀκμῇ χείρȣς, Καίσων Φάβιος, ἀδελφὸς τȣ̃ τότε ὑπάτȣ ὄντος, καὶ Λεύκιος Ὀυαλέριος Ποπλικόλας, ἀδελφὸς τȣ̃ καταλύσαντος τȣ̀ς βασιλεῖς, τὴν ταμιευτικὴν ἔχοντες ἐξȣσίαν κατὰ τὸν αὐτὸν χρόνον, καὶ διὰ τȣ̃το ἐκκλησίαν συνάγειν ὄντες κύριοι, τὸν ὑπατεύσαντα τῷ πρόσθεν ἐνιαυτῷ Σπόριον Κάσσιον, καὶ τολμήσαντα τȣ̀ς περὶ τῆς διανομῆς εἰσηγήσασθαι νόμȣς, εἰσήγγειλαν εἰς τὸν δῆμον ἐπὶ τυραννίδος αἰτίᾳ· καὶ προειπόντες ἡμέραν ῥητὴν, ἐκάλȣν αὐτὸν, ὡς ἐπὶ τȣ̃ δήμȣ δίκην ἀπολογησόμενον. ὄχλȣ δὲ πλείςȣ συναχθέντος εἰς τὴν ἀποδειχθεῖσαν ἡμέραν, συγκαλέσαντες εἰς ἐκκλησίαν τὸ πλῆθος, τά τ᾽ ἐμφανῆ τȣ̃ ἀνδρὸς ἔργα, ὡς ἐπ᾽ ȣ̓δενὶ χρηςῷ γενόμενα, διεξῄεσαν· ὅτι Λατίνοις μὲν πρῶτον, οἷς ἀπέχρη πολιτείας κοινῆς ἀξιωθῆναι, μέγα εὐτύχημα ἡγȣμένοις, εἰ καὶ ταύτης τύχοιεν, ȣ̓ μόνον, ἣν ᾔτȣν ἰσοπολιτείαν, ὕπατος ὢν ἐχαρίσατο, ἀλλ᾽ ἔτι καὶ τῶν ἐκ τȣ̃ πολέμȣ λαφύρων, ἐὰν κοινὴ γένηται ςρατεία, τὴν τρίτην ἐψηφίσατο δίδοσθαι· ἔπειτα Ἕρνικας, ȣ̓ς πολέμῳ χειρωθέντας ἀγαπᾷν ἐχρῆν, εἰ μὴ καὶ τῆς αὐτῶν χώρας ἀφαι-

Digitized by Google

φαιρέσει τινὶ ζημιωθῆεν, φίλυς μὲν ἀντὶ ὑπηκόων ἐποίησε, πολίτας δὲ ἀντὶ ὑποτελῶν, γῆς τε καὶ λείας, ἣν ἂν ἐκ παντὸς κτήσωνται, τὴν ἑτέραν ἔταξε λαμβάνειν τρίτην μερίδα. ὥςε μεριζομένων εἰς τρεῖς κλήρυς τῶν λαφύρων, τὺς μὲν ὑπηκόυς τε καὶ ἐπήλυδας διμοιρίας λαμβάνειν, τὺς δ' αὐθιγενεῖς καὶ ἡγεμόνας τρίτην μερίδα. ἐκ δὲ τύτυ δυοῖν τῶν ἀτοπωτάτων θάτερον ἐπεδείκνυσαν αὐτοῖς συμβησόμενον, ἐάν τινας ἑτέρυς διὰ πολλὰς καὶ μεγάλας εὐεργεσίας προέλωνται ταῖς αὐταῖς τιμῆσαι δωρεαῖς, αἷς Λατίνυς τε ἐτίμησαν, καὶ τὺς μηδ' ὁτιῦν ἀγαθὸν ἀποδειξαμένυς Ἕρνικας. μιᾶς γὰρ καταλειπομένης αὐτοῖς τρίτης μερίδος, ἢ τὰ ὅμοια ψηφισαμένυς, μηδὲν ἑαυτοῖς καταλείψειν.

cap. 78. Πρὸς δὲ τύτοις διεξῄεσαν, ὅτι δημεῦσαι τὰ κοινὰ τῆς πόλεως ἐπιβαλόμενος, ὔτε τῆς βυλῆς ψηφισαμένης, ὔτε τῷ συνυπάτῳ δοκῦν, βίᾳ κυρῦν ἐμέλλησε τὸν νόμον, ὃς ὐ καθ' ἓν τῦτο μόνον ἦν ἀσύμφορός τε καὶ ἄδικος, ὅτι, προβυλεῦσαι δέον τὸ συνέδριον, καὶ, εἰ δόξειεν ἐκείνῳ, κοινὴν ἁπάντων εἶναι τῶν ἐν τέλει τὴν φιλανθρωπίαν, ἑνὸς ἀνδρὸς ἐποίει τὴν χάριν· ἀλλὰ καὶ κατ' ἐκεῖνο, τὸ πάντων σχετλιώτατον, ὅτι λόγῳ μὲν δόσις ἦν τοῖς πολίταις τῆς δημοσίας χώρας, ἔργῳ δὲ ἀφαίρεσις, Ῥωμαίων μὲν τῶν κτησαμένων αὐτὴν, μίαν μοῖραν ληψομένων, Ἑρνίκων τε καὶ Λατίνων, ἧς ὐδὲν αὐτοῖς μετῆν, τὰς δύο· καὶ ὡς ὐδὲ τοῖς δημάρχοις ἐναντιωθεῖσι, καὶ παραλύειν θάτερον ἐκ τῦ νόμυ ἀξιῦσι μέρος, τὸ κατὰ τὴν ἰσομοιρίαν τῶν ἐπηλύδων, ἐπείσθη, ἀλλὰ καὶ δημάρχοις, καὶ συνυπάτῳ, καὶ βυλῇ, καὶ πᾶσι τοῖς ὑπὲρ τῦ κοινῦ τὰ κράτιςα βυλευομένοις, τἀναντία πράττων διετέλεσε. διεξελθόντες δὲ ταῦτα, καὶ μάρτυρας αὐτῶν ἅπαντας τὺς πολίτας ποιησάμενοι, μετὰ τῦτο ἤδη καὶ τὰς ἀποῤῥήτυς τῆς τυραννίδος παρείχοντο πίςεις, ὡς χρήματά τε συνενέγκαιεν αὐτῷ Λατῖνοι καὶ Ἕρνικες, καὶ ὅπλα παρασκευάσαιντο, καὶ συμπορεύοιντο ὡς αὐτὸν οἱ θρασύτατοι τῶν ἐν ταῖς πόλεσι νέων, ἀπόῤῥητά τε ποιύμενοι βυλευτήρια, καὶ πολλὰ πρὸς τύτοις ἕτερα ὑπηρετῦντες, καὶ παρείχοντο τὺς τύτων μάρτυρας πολλὺς μὲν ἀςὺς, πολλὺς δὲ ἐκ τῶν ἄλλων συμμαχίδων πόλεων, ὔτε φαύλυς,

Digitized by Google

λας, ἔτε ἀφανεῖς. ὅις ἐπίςευσεν ὁ δῆμος, καὶ ἔτε λόγοις ἔτι ὑπαχθεὶς, ὃς ὁ ἀνὴρ ἐκ πολλῆς παρασκευῆς συγκειμένας διέθετο, ἔτ' οἴκτῳ ἐνδὰς, τριῶν μὲν αὐτῷ παίδων μεγάλην παρεχόντων εἰς ἔλεον ἐπικερίαν, πολλῶν δ' ἄλλων συγγενῶν τε καὶ ἑταίρων συνολοφυρομένων, ἔτε τῶν κατὰ πολέμες ἔργων, δι' ὃς ἐπὶ μήκιςον ἦλθε τιμῆς, φειδώ τινα ποιησάμενος, καταψηφίζεται τὴν δίκην. ἔτως τ' ἄρα ἦν πικρὸς πρὸς τὸ τῆς τυραννίδος ὄνομα, ὥς' ἐδὲ ἐν τῷ τιμήματι τῆς δίκης μετρίᾳ ὀργῇ ἐχρήσατο πρὸς αὐτὸν, ἀλλὰ θανάτῳ ἐτίμησεν. εἰσῄει γὰρ αὐτὸν δέος, μὴ φυγὰς ἐλαθεὶς ἐκ τῆς πατρίδος, ἀνὴρ ςρατηγῆσαι πολέμες τῶν τότε δεινότατος, ὅμοια δράσῃ Μαρκίῳ, τά τε φίλια διαβάλλων, καὶ τὰ ἐχθρὰ συνιςὰς, καὶ πόλεμον ἄσπειςον ἐπαγάγῃ τῇ πατρίδι. τῦτο τὸ τέλος τῆς δίκης λαβέσης, ἀγαγόντες οἱ ταμίαι τὸν ἄνδρα ἐπὶ τὸν ὑπερκείμενον τῆς ἀγορᾶς κρημνὸν, ἁπάντων ὁρώντων, ἔῤῥιψαν κατὰ τῆς πέτρας. αὕτη γὰρ ἦν τοῖς τότε Ῥωμαίοις ἐπιχώριος τῶν ἐπὶ θανάτῳ ἁλόντων ἡ κόλασις.

Sp. Cassius de rupe foro imminente præcipitatur.

Μετὰ δὲ τὸν τῦ Κασσίε θάνατον οἱ μὲν αὐξάνοντες τὴν ἀριςοκρατίαν θρασύτεροί τε καὶ ὑπεροπτικώτεροι τῶν δημοτικῶν ἐγεγόνεσαν· οἱ δὲ, ἀφανεῖ τε δόξῃ φερόμενοι καὶ βίῳ, εἰς ταπεινὰ συνεςάλησαν, καὶ ὡς ἄριςον ἀπολωλεκότες φύλακα τῆς δημοτικῆς μερίδος, πολλὴν ἄνοιαν ἑαυτῶν ἐπὶ τῇ καταδίκῃ κατηγόρεν. τέτε δ' αἴτιον ἦν, ὅτι τὰ δόξαντα τῇ βελῇ περὶ τῆς κληρεχίας ἐκ ἔπραττον οἱ ὕπατοι, δέον αὐτὲς, ἄνδρας τ' ἀποδεῖξαι δέκα τὲς ὁριῦντας τὴν γῆν, γνώμην τ' εἰσηγήσασθαι, πόσην τ' αὐτῆς καὶ τίσι δεήσει νεμηθῆναι. συνῄεσάν τε πολλοὶ κατὰ συςροφὰς περὶ τῆς ἀπάτης ἑκάςοτε διαλεγόμενοι, καὶ ἐν αἰτίᾳ τὲς προτέρες εἶχον δημάρχες, ὡς προδεδωκότας τὸ κοινὸν· ἐκκλησίαι τε συνεχεῖς ὑπὸ τῶν τότε δημάρχων ἐγίνοντο, καὶ ἀπαιτήσεις τῆς ὑποσχέσεως. ταῦτα συνιδόντες οἱ ὕπατοι γνώμην ἐποιήσαντο πολέμων προφάσει τὸ παρακινῦν ἐν τῇ πόλει μέρος καὶ ταραττόμενον· ἔτυχε γὰρ ἐν τῷ αὐτῷ χρόνῳ λῃςηρίοις τε ὑπὸ τῶν πλησιοχώρων πόλεων καὶ καταδρομαῖς τισιν ἡ γῆ βλαπτομένη· τιμωρίας δὴ τῶν ἀδικέντων ἕνεκα πρέθεσαν τὰ τῦ πο-

cap. 81. Coss. senatus consultum de agro dividendo non exsequuntur.

Digitized by Google

πολέμȣ σημεῖα, καὶ τὰς δυνάμεις τῆς πόλεως κατέγραφον. ἐν ἅπασι μὲν ἔθνεσι καὶ τόποις Ἑλλήνων καὶ βαρβάρων φιλȣ̃σιν αἱ τῶν ἔξωθεν κακῶν ἀνάπαυλαι ἐμφυλίȣς τε καὶ ἐνδήμȣς ἐγείρειν πολέμȣς. μάλιςα δὲ τȣ̃το πάσχȣσιν, ὅσοι πολεμιςὴν καὶ κακόπαθον αἱρȣ̃νται βίον, ἐλευθερίας τε καὶ ἡγεμονίας πόθῳ. χαλεπαὶ γὰρ αἱ μαθȣ̃σαι τȣ̃ πλείονος ἐφίεθαι φύσεις, ἐξειργόμεναι τῶν συνήθων ἔργων, καρτερεῖν· καὶ διὰ τȣ̃το οἱ φρονιμώτατοι τῶν ἡγεμόνων ἀεί τινας ἐκ τῶν ἀλλοεθνῶν ἀναζωπυρȣ̃σιν ἔχθρας, κρείττονας ἡγȣ́μενοι τῶν ἐντοπίων πολέμων τȣ̀ς ἀλλοδαπȣ̀ς.

cap. 83.

'Επεὶ δὲ κατεγράφη τὰ ςρατεύματα, παραλαβόντες οἱ ὕπατοι τὰς δυνάμεις, ἐξῆγον ἐπὶ τȣ̀ς πολεμίȣς. Κορνήλιος μὲν ȣ̃ν εἰς τὴν Ὀυιεντανῶν χώραν ἐμβαλὼν, τὴν ἐγκαταληφθεῖσαν λείαν ἐν αὐτῇ ἀπήλασε. καὶ μετὰ ταῦτα πρεσβευσαμένων τῶν Ὀυιεντανῶν, τȣ̀ς τ' αἰχμαλώτȣς αὐτοῖς ἀπέλυσε χρημάτων, καὶ ἀνοχὰς τȣ̃ πολέμȣ συνέθετο ἐνιαυσίȣς. Φάβιος δὲ τὴν ἑτέραν δύναμιν ἔχων, εἰς τὴν Αἰκανῶν γῆν ἐνέβαλεν· ἔπειτα ἐκεῖθεν εἰς τὴν Ὀυολȣ́σκων. (καὶ ἀπὸ τȣ́τȣ τȣ̃ χρόνȣ οἱ Ῥωμαῖοι ἐπὶ πολλὰ ἔτη μετὰ τῶν Ὀυιεντανῶν, Αἰκανῶν τε καὶ Ὀυολȣ́σκων ἐπολέμȣν.)

cap. 82. Bellum cum Vejentibus, Aequis & Volscis per multos annos continuatum.

(Τȣ́τȣ τȣ̃ πολέμȣ ὄντος, διαφορὰ ἐγένετο) τῷ δήμῳ πρὸς τὴν βȣλὴν περὶ τῶν ἀποδειχθησομένων ὑπάτων· οἱ μὲν γὰρ ἠξίȣν ἀμφοτέρȣς ἐκ τῶν ἀριςοκρατικῶν ἐπὶ τὴν ἀρχὴν προαγαγεῖν, ὁ δὲ δῆμος ἐκ τῶν ἑαυτῷ κεχαρισμένων· γνωσιμαχήσαντες πρὸς ἀλλήλȣς ἡ βȣλὴ καὶ ὁ δῆμος, τέλος συνέπεισαν ἀλλήλȣς, ἀφ' ἑκάςης μερίδος ὕπατον αἱρεθῆναι· καὶ ἐπιδείκνυται Καίσων μὲν Φάβιος τὸ δεύτερον ὑπὸ τῆς βȣλῆς, ὁ τὸν Κάσσιον ἐπὶ τῇ τυραννίδι κρίνας, Σπόριος δὲ Φȣ́ριος ὑπὸ τῶν δημοτικῶν, ἐπὶ τῆς ἑβδομηκοςῆς καὶ πέμπτης ὀλυμπιάδος, ἄρχοντος Ἀθήνησι Καλλιάδȣ, καθ' ὃν χρόνον ἐςράτευσε Ξέρξης ἐπὶ τὴν Ἑλλάδα. ἄρτι δὲ παρειληφότων αὐτῶν τὴν ἀρχὴν, Λατίνων τε πρέσβεις ἧκον ἐπὶ τὴν βȣλὴν, δεόμενοι πέμψαι σφίσι τὸν ἕτερον τῶν ὑπάτων μετὰ δυνάμεως, ὃς ἐκ ἐάσει προσωτέρω χωρεῖν τὴν Αἰκανῶν καταφρόνησιν· καὶ Τυῤῥηνία πᾶσα ἠγγέλλετο κεκινημένη, καὶ ȣ̓ διὰ μακρȣ̃ χωρή-

Ibidem. Lib. 9. c. 1.

A. U. 273. ante Chr. 481. Tempore, quo novus exercitus contra Vejentes & Aequos conscri-

χωρήσουσα εις πόλεμον. συνήχθη γαρ εις κοινην εκκλησίαν το έθνος· και πολλα Ουϊεντανών δεηθέντων συναίρεσθαι σφίσι τε κατα Ρωμαίων πολέμε, τέλος εξήνεγκαν εξεϊναι τοις βελομένοις Τυῤῥηνών μετέχειν της στρατείας· και εγένετο χειρ αξιόμαχος η τοις Ουϊενταναις εκουσίως τε πολέμε συναιρομένη. ταυτα μαθεσι τοις εν τέλει Ρωμαίων έδοξε στρατιάς τε καταγράφειν, και τες υπάτες αμφοτέρες εξιέναι· τον μεν Αικανοις τε πολεμήσοντα, και Λατίνοις τιμωρον εσόμενον· τον δ' επι Τυῤῥηνίας άξοντα τας δυνάμεις. αντέπραττε δε προς ταυτα Σπόριος Ικίλλιος των δημάρχων εις· και συνάγων εις εκκλησίαν τον δημον οσημέραι, τας περι της κληρεχίας υποσχέσεις απήτει παρα της βελης, και εδεν έφη συγχωρήσειν επι των πολεμίων, ετε των κατα πόλιν υπ' αυτης ψηφιζομένων επιτελεσθηναι, εαν μη τες δέκα άνδρας αποδείξωσι πρωτον ορισας της δημοσίας χώρας, και διέλωσι την γην, ως υπέσχοντο, τω δήμω. απορεμένη δε τη βελη και αμηχανέση, τί χρη ποιειν, Άππιος Κλαύδιος υποτίθεται σκοπειν, όπως διαστήσεται τα των άλλων δημάρχων προς αυτον, διδάσκων, ότι τον κωλύοντα και εμποδων γινόμενον τοις δόγμασι της βελης, ιερον όντα, και νόμω την εξεσίαν έχοντα, ταύτην άλλως εκ έστι παυσαι της δυναστείας, εαν μή τις έτερος των απο της ίσης τιμης, και την αυτην εξεσίαν εχόντων, τάναντία πράττη, και όις αν εκεινος εμποδων γένηται, ταυτα μη κωλύη. συνεβέλευέ τε τοις αυθις παραληψομένοις την αρχην υπάτοις τετο πράττειν, και σκοπειν, όπως έξεσί τινας αει των δημάρχων οικείες σφίσι και φίλες· μίαν ειναι λέγων της εξεσίας τε αρχεία κατάλυσιν, εαν στασιάζωσι προς αλλήλες οι άνδρες.

Ταύτην εισηγησαμένε την γνώμην Άππίε, δόξαντες αυτον ορθως παραινειν όι τε ύπατοι, και των άλλων οι δυνατώτατοι, πολλη θεραπεία διεπράξαντο τες τέτταρας εκ των δημάρχων οικείες τη βελη γίνεσθαι. οι δε τέως μεν λόγω μεταπείθειν τον Ικίλλιον επεχείρεν αποστηναι των περι της κληρεχίας πολιτευμάτων, έως οι πόλεμοι λάβωσι τέλος· ως δ' ηναντιετο, και διώμνυτο, λόγον τε τον αυθαδέστερον ειπειν ετόλμησε, τε δήμε παρόντος, ότι μαλλον αν βέλοιτο Τυῤῥηνες και τες άλλες πολεμίες κρατήσαν-

bendus erat, tribunus Sp. Icilius promissam agronem divisiorum a senatu repetit.

App. Claudius suadet, ut dissensu in ipso tribunorum collegio excitando senatus tribunorum potestatem frangat.

cap. 2.

Digitized by Google

Reliqui tribuni agrariis Icilii actionibus intercedunt.

τήσαντας τῆς πόλεως ἐπιδεῖν, ἢ τὰς κατέχοντας τὴν χώραν τὴν δημοσίαν ἀφεῖναι, δόξαντες ἀφορμὴν εἰληφέναι καλὴν πρὸς αὐθάδειαν τοσαύτην, τῦ ἐναντία λέγειν τε καὶ πράττειν, ὐδὲ τῦ δήμυ τὸν λόγον ἡδέως δεξαμένυ, κωλύσειν αὐτὸν ἔφησαν· καὶ φανερᾶς ἔπραττον, ὅσα τῇ βυλῇ τε καὶ τοῖς ὑπάτοις δοκοίη. μονωθεὶς δὲ Ἰκίλιος ὐδενὸς ἔτι κύριος ἦν. μετὰ τῦτο ἡ ςρατιὰ κατεγράφετο, καὶ, ὅσων ἔδει τῷ πολέμῳ, πάντα ὑπηρετεῖτο, τὰ μὲν ἐκ τῶν δημοσίων, τὰ δ' ἐκ τῶν ἰδίων, ἁπάσῃ προθυμίᾳ· καὶ διὰ τάχυς οἱ ὕπατοι, διακληρωσάμενοι τὰ ςρατεύματα, ἐξῄεσαν· Σπόριος μὲν Φύριος ἐπὶ τὰς Αἰκανῶν πόλεις· Καίσων δὲ Φάβιος ἐπὶ Τυῤῥηνύς.

cap. 5. A. U. 274. ante Chr. 480 Actiones agrariæ Tib. Pontificii tribuni denuo eluduntur.

Οἱ δὲ μετὰ τύτυς ἀποδειχθέντες ὕπατοι, Γάϊος Μάλλιος καὶ Μάρκος Φάβιος τὸ δεύτερον ἄρχειν αἱρεθεὶς, ψήφισμα τῆς βυλῆς ποιησαμένης ςρατὸν ἐξάγειν ἐπὶ τὴν Οὐϊενττανῶν πόλιν, ὅσον ἂν πλεῖςον δυνηθῶσι, πρῦθηκαν ἡμέραν, ἐν ᾗ τὸν κατάλογον ποιήσεσθαι ἔμελλον τῆς ςρατιᾶς. γενομένυ δ' αὐτοῖς ἐμποδὼν ἐπὶ κωλύσει τῆς καταγραφῆς ἑνὸς τῶν δημάρχων, Τιβερίυ Ποντιφικίυ, τὸ περὶ τῆς κληρυχίας ψήφισμα ἀνακαλυμένυ, θεραπεύσαντες τῶν συναρχόντων αὐτῦ τινας, ὥσπερ ἐποίησαν οἱ πρὸ αὐτῶν ὕπατοι, διέςησαν τὸ ἀρχεῖον· καὶ μετὰ τῦτο ἔπραττον ἐπὶ πολλῆς ἐξυσίας τὰ δόξαντα τῇ βυλῇ. γενομένης δὲ τῆς καταγραφῆς ἐν ὀλίγαις ἡμέραις, ἐξῄεσαν ἐπὶ τὰς πολεμίυς, δύο μὲν ἑκάτερος ἄγων Ῥωμαίων τάγματα τῶν ἐξ αὐτῆς καταγραφέντα τῆς πόλεως, ὐκ ἐλάττω δὲ ταύτης χεῖρα τὴν ὑπὸ τῶν ἀποίκων τε καὶ ὑπηκόων ἀποςαλεῖσαν· (ἦν δὲ καὶ ἡ τῶν πολεμίων δύναμις πολλή τε καὶ ἀγαθή· συνεληλύθεσαν γὰρ ἐς ἁπάσης Τυῤῥηνίας οἱ δυνατώτατοι· καὶ θρασέως ἐμάχοντο ἑκάτεροι· ἡ γὰρ τῦ ἐνιαυτῦ τύτυ) μεγίςη λέγεται τῶν πρὸ αὐτῆς γενέσθαι Ῥωμαίοις μάχη, πλήθει τ' ἀνθρώπων, καὶ μήκει χρόνυ, καὶ τῷ ἀγχιςρόφῳ τῆς τύχης. αὐτῶν μὲν γὰρ τῶν ἐκ τῆς πόλεως Ῥωμαίων ἡ κρατίςη τε καὶ ἐπίλεκτος ἀκμὴ δισμυρίων μάλιςα πεζῶν ἐγένετο, καὶ τῶν συντεταγμένων τοῖς τέτταρσι τάγμασιν ἱππέων ὁμῦ τι χιλίων καὶ διακοσίων, ἀποίκων δὲ καὶ συμμάχων ἑτέρα τοσαύτη. χρόνος δ' ἐμηκύνθη τῦ ἀγῶνος ὀλίγῳ πρότερον τῆς μεσημβρίας ἀρξάμενος μέχρι δύσεως ἡλίυ. τὰ δὲ τῆς τύχης μέχρι πολλῦ τῇδε καὶ

cap. 13. Romani pertinaciter & æquo Marte cum Hetruscis pugnant.

τῇδε

τῇδε νίκαις τε καὶ ἥτ]αις ταλαντευόμενα διέμεινεν. ὑπάτε δὲ θάνατος ἐγένετο, καὶ ϛρατηγȣ̃ δὶς ὑπατεύσαντος, καὶ ἄλλων πολλῶν ἡγεμόνων καὶ ταξιάρχων καὶ λοχαγῶν, ὅσων ȣ̓δέπω πρότερον. τὸ μέντοι κράτος ἐδόκει τȣ̃ ἀγῶνος περὶ τȣ̀ς Ῥωμαίȣς γεγονέναι, κατ᾽ ἄλλο μὲν ȣ̓δὲν, ὅτι δὲ τῇ ἐπιȣ́σῃ νυκτὶ καταλιπόντες τὸν χάρακα οἱ Τυῤῥηνοὶ ἀνέζευξαν.

(Τῷ δ᾽ ἑξῆς ἔτει) ὡς ἔγνωσαν οἱ Ὀυϊεντανοὶ τὰς δυνάμεις τῶν Ῥωμαίων ἀφειμένας ἀπὸ τῶν σημειῶν, τὴν εὔζωνον ἀναλαβόντες νεότητα, ἥν τ᾽ αὐτοὶ συντεταγμένην εἶχον, καὶ τὴν παρὰ τῶν πλησιοχώρων παρȣ̃σαν, ἐμβάλλȣσιν εἰς τὰ προσκείμενα τῇ σφετέρᾳ χώρᾳ πεδία, καὶ διαρπάζȣσι, καρπῶν τε καὶ βοσκημάτων καὶ ἀνθρώπων ὄντα μεϛά. κατέβησαν γὰρ ἐκ τῶν ἐρυμάτων οἱ γεωργοὶ, χιλȣ̃ τε τῶν βοσκημάτων ἕνεκα, καὶ ἐργασίας τῶν ἀγρῶν, πιϛεύοντες τῇ σφετέρᾳ ϛρατιᾷ προκαθημένῃ· καὶ ȣ̓κ ἔφθασαν ἐπελθȣ́σης ἀνασκευάσασθαι πάλιν, ȣ̓κ ἐλπίσαντες, τοσαῦτα κεκακωμένȣς τȣ̀ς Ὀυϊεντανȣ̀ς ταχεῖαν ȣ̆τως ἀντεπεχείρησιν κατὰ τȣ̃ ἀντιπάλȣ ποιήσεσθαι. ἄυτη χρόνȣ μὲν μήκει βραχεῖα ἐγένετο ἡ τῶν Ὀυϊεντανῶν εἰς τὴν Ῥωμαίων γῆν ἐμβολή· πλήθει δὲ χώρας, ἣν ἐπῆλθον, ἐν ταῖς πάνυ μεγάλη, καὶ ἀχθηδόνα σὺν αἰσχύνῃ Ῥωμαίοις αἰήθη παρέσχεν, ἄχρι Τιβέρεώς τε ποταμȣ̃, καὶ ὄρȣς Ἰανίκλȣ ϛάδια τῆς Ῥώμης ȣ̓δ᾽ εἴκοσιν ἀφεϛηκότος, ἀφικομένη· ἡ δὲ κωλύσȣσα δύναμις ἐπὶ πλεῖον χωρεῖν τὰ πολέμια, ȣ̓κ ἦν ὑπὸ σημείαις. ἔφθασεν ȣ̃ν τὸ τῶν Ὀυϊεντανῶν ϛράτευμα, πρὶν συνελθεῖν τε καὶ λοχισθῆναι τȣ̀ς Ῥωμαίȣς, ἀπελθόν.

Συναχθείσης δὲ μετὰ τȣ̃το βȣλῆς ὑπὸ τῶν ὑπάτων, καὶ σκέψεως γενομένης, τίνα χρὴ πολεμεῖν τοῖς Ὀυϊεντανοῖς τρόπον, ἡ νικῶσα ἦν γνώμη, ϛράτευμα συνεϛηκὸς ἔχειν ἐπὶ τοῖς ὁρίοις, ὃ διὰ φυλακῆς ἕξει τὴν χώραν ἀφαυλȣ̃ν, καὶ ἀεὶ μένον ἐν τοῖς ὅπλοις. ἐλύπει δ᾽ αὐτȣ̀ς ἥ τ᾽ εἰς τȣ̀ς φρȣρȣ̀ς δαπάνη πολλὴ σφόδρα ἐσομένη, τȣ̃ τε κοινȣ̃ ταμιείȣ διὰ τὰς συνεχεῖς ϛρατείας ἐξαναλȣμένȣ, καὶ τῶν ἰδίων βίων ἀπειρηκότων ταῖς εἰσφοραῖς· καὶ ἔτι μᾶλλον, ἡ τῶν ἀποϛαλησομένων φρȣρῶν καταγραφὴ τίνα τρόπον ἂν γένοιτο, ὡς ȣ̓κ ἂν ἑκȣσίων γέ τινων προκειμένων ἁπάντων, καὶ μὴ ἐκ διαδοχῆς, ἀλλὰ συνεχῶς ταλαιπωρεῖν

cap. 14. A. U. 275. ante Chr. 479. Irruptionem faciunt Vejentes in agrum Romanum cum damno & ignominia Romanis insueta.

cap. 15. Senatui, præsidia perpetua in agri Romani finibus disposituro, ultro se offerunt Fabii toto belli tempore suis sumtibus militaturi.

Digitized by Google

ρεῖν ὑποςησομένων. ἀδημονέσης δ' αὐτῆς ἐπ' ἀμφοτέροις τέτοις, συγκαλέσαντες οἱ δύο Φάβιοι τὲς μετέχοντας τε σφετέρε γένες, καὶ βελευσάμενοι μετ' αὐτῶν, ὑπέσχοντο τῇ βελῇ τέτο τὸ κινδύνευμα αὐτοὶ περὶ πάντων ἑκόντες ὑπομενεῖν, πελάτας τε τὲς ἑαυτῶν ἐπαγόμενοι καὶ φίλες, καὶ τέλεσι τοῖς ἰδίοις, ὅσον ἂν χρόνον ὁ πόλεμος διαμένῃ, ςρατευόμενοι. ἀγαθέντων δ' αὐτὲς ἁπάντων τε γενναίε τῆς προθυμίας, καὶ τὸ νικᾶν παρ' ἓν τέτο τὸ ἔργον τιθεμένων, κλεινοὶ καὶ περιβόητοι καθ' ὅλην τὴν πόλιν ὄντες, ἐξῄεσαν ἀναλαβόντες τὰ ὅπλα σὺν εὐχαῖς καὶ θυσίαις. ἡγεῖτο δ' αὐτῶν Μάρκος Φάβιος, ὁ τῷ παρελθόντι ὑπατεύσας ἔτει, καὶ νικήσας τὲς Τυῤῥηνὲς τῇ μάχῃ, τετρακισχιλίες μάλιςα ἐπαγόμενος· ὧν τὸ μὲν πλεῖον, πελατῶν τε καὶ ἑταίρων ἦν· ἐκ δὲ τε Φαβίων γένες, ἓξ καὶ τριακόσιοι ἄνδρες. εἵπετο δ' αὐτοῖς μετ' ε πολὺ καὶ ἡ Ῥωμαίων δύναμις, ἧς ἡγεῖτο Καίσων Φάβιος, ὁ ἕτερος τῶν ὑπάτων. γενόμενοι δὲ ποταμε Κρεμέρα πλησίον, ὃς ε μακρὰν ἀπέχει τῶν Οὐϊεντανῶν πόλεως, ὑπὲρ ὄχθε τινὸς ἀποτόμε καὶ περιῤῥῶγος ἐπετείχιζον αὐτοῖς φρέριον ἱκανὸν φυλάττεσθαι τοσαύτῃ ςρατιᾷ, τάφρες τ' ὀρυξάμενοι περὶ αὐτὸ διπλᾶς, καὶ πύργες ἐγείραντες συχνές. καὶ ὠνομάσθη τὸ φρέριον ἐπὶ τε ποταμε, Κρεμέρα· διὰ δὲ πολυχειρίας τ' ἐργαζομένης, καὶ ὑπάτε συλλαμβάνοντος, θᾶττον ἢ κατὰ δόξαν ἐτελέσθη τὸ ἔργον. καὶ μετὰ τετ' ἐξαγαγὼν τὴν δύναμιν, παρήλασεν ἐπὶ θάτερα μέρη τῶν Οὐϊεντανῶν χώρας τὰ πρὸς τὴν ἄλλην ἐςραμμένα Τυῤῥηνίαν, ἔνθα ἦν τοῖς Οὐϊεντανοῖς τὰ βοσκήματα, ἐδέποτε ςρατὸν ἥξειν Ῥωμαίων ἐκεῖ προσδεχομένοις. περιβαλόμενος δὲ πολλὴν λείαν, ἀπῆγεν ἐπὶ τὸ νεόκτιςον φρέριον, χαίρων ἐπὶ τῇ ἄγρᾳ κατ' ἀμφότερα, τῆς τ' ε διὰ μακρε τῶν πολεμίων τιμωρίας ἕνεκα, καὶ ὅτι τοῖς φρεροῖς τε χωρίε πολλὴν ἔμελλε παρέξειν εὐπορίαν. ἐδὲν γὰρ ἔτ' εἰς τὸ δημόσιον ἀπήνεγκεν, ἔτε τοῖς ςρατευομένοις ἰδιώταις ἀπένειμεν, ἀλλὰ καὶ πρόβατα καὶ ὑποζύγια καὶ ζεύγη βοϊκά, καὶ σίδηρον, καὶ τἄλλα, ὅσα εἰς γεωργίαν ἐπιτήδεια ἦν, τοῖς περιπόλοις τῆς χώρας ἐχαρίσατο. ταῦτα διαπραξάμενος, ἀπῆγεν ἐπ' οἴκε τὴν ςρατιάν. τοῖς δὲ Οὐϊεντανοῖς μετὰ τὸν ἐπιτειχισμὸν τε χωρίε

Castellum non procul a Vejis communiunt (Cremeram), ex quo in hostilem agrum irruptiones faciunt.

Digitized by Google

ρία κακῶς πάνυ τὰ πράγματα εἶχεν, ὅτε τὴν γῆν ἔτι δυναμένοις ἀσφαλῶς γεωργεῖν, ὅτε τὰς ἔξωθεν εἰσαγομένοις ἀγοράς. νείμαντες γὰρ εἰς τέτταρα μέρη τὴν στρατιὰν οἱ Φάβιοι, τῷ μὲν ἑνὶ διεφύλαττον τὸ χωρίον· τοῖς δὲ τρισὶ τὴν χώραν τῶν πολεμίων ἄγοντές τε καὶ φέροντες ἀεὶ διετέλουν· καὶ πολλάκις τῶν Οὐϊεντανῶν ἐκ τοῦ φανεροῦ τ' αὐτοῖς ἐπιτιθεμένων χειρὶ οὐκ ὀλίγῃ, καὶ εἰς χωρία ἐνέδραις κατεχόμενα ὑπαγομένων, περιῆσαν ἀμφοτέρως, καὶ πολλοὺς νεκροὺς ποιήσαντες, ἀσφαλῶς ἀπῄεσαν εἰς τὸ χωρίον. ὥστ' οὐδὲ ὁμόσε χωρεῖν αὐτοῖς ἔτι οἱ πολέμιοι ἐτόλμων, ἀλλὰ τειχήρεις μένοντες τὰ πολλὰ, καὶ κλέπτοντες τὰς ἐξόδους διετέλουν, καὶ ὁ μὲν χειμὼν ἐκεῖνος ἐτελεύτα.

cap. 16. A. U. 276. ante Chr. 478.

Τῷ δὲ κατόπιν ἔτει Λευκίου τ' Αἰμιλίου καὶ Γαΐου Σερουιλίου τὴν ὑπατείαν παρειληφότων, ἀπηγγέλη Ῥωμαίοις, ὅτι Οὐολοῦσκοι καὶ Αἰκανοὶ συνθήκας πεποίηνται, στρατιὰς κατ' αὐτῶν ἅμα ἐξάγειν· καὶ οὐ διὰ μακροῦ εἰς τὴν χώραν ἐμβαλοῦσι· καὶ ἦν ἀληθῆ τὰ λεγόμενα. θᾶττον γοῦν ἢ προσεδόκα τις, ἀμφότεροι τὰς δυνάμεις ἔχοντες, ἐδῄουν τὴν κατὰ σφᾶς ἕκαστοι χώραν, ὡς οὐχ ἱκανῶν ἐσομένων Ῥωμαίων τῷ τε Τυῤῥηνικῷ πολέμῳ ἀντέχειν, καὶ σφᾶς ἐπιόντας δέχεσθαι. καὶ ἕτεροι αὖθις ἧκοντες, ἐκπεπολεμῶσθαι πρὸς αὐτοὺς Τυῤῥηνίαν ἀπήγγελλον ὅλην, καὶ παρασκευάσθαι Οὐϊεντανοῖς κοινὴν ἀποστέλλειν συμμαχίαν. κατέφυγον γὰρ ὡς αὐτοὺς οὐ δυνατοὶ ὄντες ἐξελεῖν δι' ἑαυτῶν τὸ φρούριον Οὐϊεντανοί, συγγενείας τε ὑπομιμνήσκοντες καὶ φιλίας, καὶ, ὅσους μετ' αὐτῶν ἤραντο πολέμους, διεξιόντες· ἀντὶ πάντων δὲ τούτων ἀξιοῦντες συνάρασθαι σφίσι τοῦ κατὰ Ῥωμαίων πολέμου, ὡς σφῶν τε προκαθημένων Τυῤῥηνίας ὅλης, καὶ τὸν πόλεμον ἀνακωχευόντων τὸν ἀπὸ Ῥώμης ῥέοντα κατὰ πάντων τῶν ὁμοεθνῶν. καὶ οἱ Τυῤῥηνοὶ πεισθέντες, ὑπέσχοντο πέμψειν αὐτοῖς, ὅσην ἠξίουν, συμμαχίαν. ταῦτα ἡ βουλὴ μαθοῦσα, ἐψηφίσατο τρισσὰς ἐκπέμψειν στρατιάς, καὶ γενομένων ἐν τάχει τῶν καταλόγων, Λεύκιος μὲν Αἰμίλιος ἐπὶ Τυῤῥηνοὺς ἐπέμφθη· συνήρατο δ' αὐτῷ τῆς ἐξόδου Καίσων Φάβιος, ὁ νεωστὶ τὴν ἀρχὴν ἀποθέμενος, δεηθεὶς τῆς βουλῆς ἐπιτρέψαι αὐτῷ, τοῖς ἐν Κρεμέρᾳ συγγενέ-

Etrusci Vejentibus suppetias ferunt.

γενέσιν, οὓς ὁ ἀδελφὸς αὐτοῦ φρουρήσοντας τὸ χωρίον ἐξήγαγε, συνεῖναί τε καὶ τῶν αὐτῶν ἀγώνων μετέχειν· καὶ ἐξῆλθε σὺν τοῖς ἀμφ' αὐτὸν, ἐξουσίᾳ κοσμηθεὶς ἀνθυπάτῳ. Γάϊος δὲ Σερουΐλιος, ὁ ἕτερος τῶν ὑπάτων, ἐπὶ Οὐολούσκους ἐστράτευσε· Σερούϊος δὲ Φούριος ἀνθύπατος, ἐπὶ τὸ Αἰκανῶν ἔθνος. ἑκάστῳ δ' αὐτῶν δύο μὲν τάγματα Ῥωμαίων εἵπετο, Λατίνων τε καὶ Ἑρνίκων, καὶ τῶν ἄλλων συμμάχων οὐκ ἐλάττω τῆς Ῥωμαϊκῆς δυνάμεως. τῷ μὲν οὖν ἀνθυπάτῳ Σερουΐῳ κατὰ νοῦν ὁ πόλεμος ἐχώρησε, καὶ σὺν τάχει. μιᾷ γὰρ ἐτρέψατο τοὺς Αἰκανοὺς μάχῃ, καὶ ταύτῃ δίχα πόνου, τῇ πρώτῃ τοὺς πολεμίους ἐκπλήξας ἐφόδῳ· καὶ τὸ λοιπὸν ἐδῄου τὴν γῆν αὐτῶν, καταπεφευγότων εἰς τὰ ἐρύματα. Σερουιλίῳ δὲ, θατέρῳ τῶν ὑπάτων, ὑπὸ σπουδῆς τε καὶ αὐθαδείας ἐπὶ τὸν ἀγῶνα χωρήσαντι, πολὺ τὸ παρὰ γνώμην ἀπήντησε, καρτερῶς πάνυ τῶν Οὐολούσκων ἀντιταξαμένων· ὥστ' ἠναγκάσθη, πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας ἀπολέσας, μηκέτι χωρεῖν ὁμόσε τοῖς πολεμίοις· ἀλλ' ἐν τῷ χάρακι ὑπομένων, ἀκροβολισμοῖς καὶ ψιλῶν συμπλοκαῖς διαφέρειν ἔγνω τὸν πόλεμον. Λεύκιος δ' Αἰμίλιος, ὁ πεμφθεὶς ἐπὶ Τυῤῥηνίας, εὑρὼν ἐξεστρατευμένους πρὸ τῆς πόλεως τοὺς Οὐϊεντανοὺς, καὶ σὺν αὐτοῖς πολὺ τὸ παρὰ τῶν ὁμοεθνῶν ἐπικουρικὸν, οὐδὲν ἔτι μελλήσας ἔργου εἴχετο· ἡμέραν δ', ἀφ' ἧς τὸν χάρακα ἔθετο, διαλιπὼν, ἐξῆγε τὰς δυνάμεις εἰς μάχην, θρασέως πάνυ τῶν Οὐϊεντανῶν ὁμόσε χωρούντων. ἰσοῤῥόπου δὲ τοῦ ἀγῶνος γενομένου, τοὺς ἱππεῖς ἀναλαβὼν, ἐνσείει τοῖς πολεμίοις κατὰ τὸ δεξιὸν κέρας. καὶ ἐπειδὴ τοῦτο διεσάλευσεν, ἐπὶ θάτερον ἐχώρει, ὅπου μὲν ἱππάσιμον εἴη χωρίον, ἀπὸ τῶν ἵππων μαχόμενος· ὅπου δ' οὔ, ἀποκαταβαίνων τε καὶ πεζὸς ἀγωνιζόμενος. πονούντων δὲ τῶν κεράτων ἀμφοτέρων, οὐδ' οἱ κατὰ μέσον ἔτ' ἀντεῖχον, ἀλλ' ἐξεώσθησαν ὑπὸ τῶν πεζῶν. καὶ μετὰ τοῦτο πάντες ἔφυγον ἐπὶ τὸν χάρακα. ὁ δ' Αἰμίλιος ἠκολούθει τοῖς φεύγουσι, συντεταγμένην τὴν δύναμιν ἔχων, καὶ πολλοὺς διέφθειρε. γενόμενος δὲ πλησίον τοῦ χάρακος, καὶ προσβαλὼν ἐκ διαδοχῆς, ἐκείνην τε παρέμεινε τὴν ἡμέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα. τῇ δ' ἑξῆς ἡμέρᾳ κόπῳ τε καὶ τραύμασι τῶν πολεμίων καὶ ἀγρυπνίᾳ ἀπειρηκό-

Servius Furius Aequos, L. Aemilius Etruscos vincit, C. Servilius bellum cum Volscis velitationibus trahit.

ρηκό-

ρηκότων, ἐγκρατὴς γίνεται τῦ χάρακος. οἱ δὲ Τυῤῥηνοὶ, ὡς εἶδον ἐπιβαίνοντας ἤδη τὺς Ῥωμαίυς τοῖς περισαυρώμασιν, ἐκλιπόντες τὸ ϛρατόπεδον, ἔφυγον, οἱ μὲν εἰς τὴν πόλιν, οἱ δ' εἰς τὰ πλησίον ὄρη. ταύτην μὲν ὖν τὴν ἡμέραν ἐν τῷ χάρακι τῶν πολεμίων ἔμεινεν ὁ ὕπατος· τῇ δ' ἑξῆς ἡμέρᾳ ϛεφανώσας τὺς ἀριϛεύσαντας ἐν ταῖς μάχαις ἐκπρεπεϛάταις δωρεαῖς, πάντα τὰ ἐγκαταληφθέντα ἐν τῷ χάρακι ὑποζύγιά τε καὶ ἀνδράποδα, καὶ σκηνὰς πολλῶν ἀγαθῶν γεμύσας, τοῖς ϛρατιώταις ἐχαρίσατο. καὶ ἐγένετο ἐν πολλῇ εὐπορίᾳ τὸ τῶν Ῥωμαίων ϛράτευμα, ὡς ἐξ ὐδεμιᾶς ἑτέρας πώποτε μάχης. ἁβροδίαιτον γὰρ δὴ καὶ πολυτελὲς τὸ τῶν Τυῤῥηνῶν ἔθνος ἦν, οἴκοι τε καὶ ἐπὶ ϛρατοπέδυ, ὑπεραγάμενον ἔξω τῶν ἀναγκαίων πλῦτυ τε καὶ τέχνης ἔργα παντοῖα πρὸς ἡδονὰς μεμηχανημένα καὶ τρυφάς.

Prædam, rebus artificiosis refertam, ab Etruscis domum reportant Romani.

Ταῖς δ' ἑξῆς ἡμέραις ἀπειρηκότες ἤδη τοῖς κακοῖς οἱ Οὐϊεντανοὶ, τὺς πρεσβυτάτυς τῶν πολιτῶν ἱκετηρίας φέροντας ἀπέϛειλαν ὡς τὸν ὕπατον, ὑπὲρ τῆς εἰρήνης διαλεξομένυς. καὶ οἱ ἄνδρες ὀλοφυρόμενοί τε καὶ ἀντιβολῦντες, καὶ τἄλλα, ὅσα ἐπαγωγὰ ἦν εἰς ἔλεον, μετὰ πολλῶν δακρύων διεξιόντες, πείθυσι τὸν ὕπατον ἐπιτρέψαι σφίσι, πρεσβευτὰς εἰς Ῥώμην τὺς ὑπὲρ τῆς καταλύσεως τῦ πολέμυ ἀποϛεῖλαι πρὸς τὴν βυλὴν διαλεξομένυς· ἕως δ' ἂν οἱ πρέσβεις ἀφίκωνται φέροντες τὰς ἀποκρίσεις, μηδὲν αὐτῶν κακυργεῖν τὴν χώραν. ἵνα δ' αὐτοῖς ἐγγένηται ταῦτα πράττειν, σῖτόν τε ὡμολόγησαν τῇ Ῥωμαίων ϛρατιᾷ διμήνυ παρέξειν, καὶ χρήματα εἰς ὀψωνιασμὸν ἓξ μηνῶν, ὡς ὁ κρατῶν ἔταξε. καὶ ὁ μὲν ὕπατος λαβὼν τὰ κομισθέντα, καὶ διαδὺς τῇ ϛρατιᾷ, ποιεῖται τὰς πρὸς αὐτὺς ἀνοχάς. ἡ δὲ βυλὴ τῆς πρεσβείας ἀκύσασα, καὶ τὰ τῦ ὑπάτυ γράμματα δεξαμένη, πολλὴν ποιυμένυ παράκλησιν, καὶ παραινῦντος, ὡς τάχιϛα καταθέσθαι τὸν πρὸς τὺς Τυῤῥηνὺς πόλεμον, δόγμα ἐξήνεγκε, διδόναι τὴν εἰρήνην, ὡς ᾐτῦντο οἱ πολέμιοι· ἐφ' οἷς δὲ δικαίοις αὕτη γένηται, τὸν ὕπατον καταϛήσασθαι Λεύκιον Αἰμίλιον, ὡς ἂν αὐτῷ φανῇ κράτιϛα ἕξειν. ταύτας λαβὼν τὰς ἀποκρίσεις ὁ ὕπατος σπένδεται πρὸς τὺς Οὐϊεντανὺς, ἐπιεικεϛέραν μᾶλλον, ἢ συμφορωτέραν τοῖς κεκρατηκόσι ποιησάμενος εἰρήνην, ἔτε χώραν

cap. 17. Vejentes pacem a Romanis petunt eamque consequuntur.

Aemilio triumphus negatur ob pacis conditiones nimis lenes; quam ignominiam ulturus plebem contra patres concitat.

ραν αὐτῶν ἀποτεμόμενος, ὔτε χρημάτων ἄλλων ἐπιθεὶς ζημίαν, ὔτε ὁμήρων δόσει τὸ πιςὸν τοῖς συγκειμένοις βεβαιωσάμενος. τῦτ' αὐτῷ μέγαν ἤνεγκε Φθόνον, καὶ τῦ μὴ λαβεῖν παρὰ τῆς βυλῆς τὰς ἐπὶ τοῖς κατωρθωμένοις χάριτας ἄιτιον ἐγένετο. ἐνέςησαν γὰρ αὐτῷ τὸν θρίαμβον αἰτυμένῳ, τὴν αὐθάδειαν αἰτιώμενοι τῶν συνθηκῶν, ὅτι ὐ μετὰ κοινῆς γνώμης καὶ ταύτας ἔπραξεν. ἵνα δὲ μὴ πρὸς ὀργὴν, ἢ πρὸς ὕβριν λάβῃ τὸ πρᾶγμα, ἐπὶ Οὐολύσκυς αὐτὸν ἐψηΦίσαντο τὴν δύναμιν ἄγειν, ἐπικυρίας τῦ συνάρχοντος ἕνεκα· ἐι δύναιτο; κατορθώσας τὸν ἐκεῖ πόλεμον· ἦν γὰρ ἐν αὐτῷ πολὺ τὸ ἀνδρεῖον· ἀΦανίσαι τὰς ἐπὶ τοῖς προτέροις ἁμαρτήμασιν ὀργάς. ὁ δ' ἀνὴρ ἀγανακτῶν ἐπὶ τῇ ἀτιμίᾳ, πολλὴν ἐποιήσατο τῆς βυλῆς ἐν τῷ δήμῳ κατηγορίαν, ἀχθουένης ἐπὶ τῷ λελύθαι τὸν πρὸς τὺς Τυῤῥηνὺς πόλεμον. ἔΦη δὲ, τῦτ' αὐτὺς ἐξ ἐπιβυλῆς καὶ ὑπεροψίας τῶν πενήτων ποιεῖν, ἵνα μὴ, τῶν ὑπερορίων ἀπαλλαγέντες πολέμων, ἀπαιτῶσι τὰς περὶ τῆς κληρυχίας ὑποσχέσεις, τοσῦτον ἤδη ἔτος Φενακιζόμενοι πρὸς αὐτῶν. Ταῦτα καὶ πολλὰ τύτοις ὅμοια, καὶ δι' ὀργῆς ἀκράτυ τῶν πατρικίων ὀνείδη κατασκεδάσας, τήν τε συςρατευσαμένην αὐτῷ δύναμιν ἀπέλυσε τῶν σημείων, καὶ τὴν μετὰ Φυρίυ τῦ ἀνθυπάτυ διατρίβυσαν ἐν Αἰκανοῖς μεταπεμψάμενος ἀΦῆκεν ἐπὶ τὰ σΦέτερα· ἐξ ὧν πολλὴν πάλιν ἐποίησεν ἐξυσίαν τοῖς δημάρχοις, κατηγορεῖν τῶν βυλευτῶν ἐν ταῖς ἐκκλησίαις, καὶ διϊςάναι τὺς πένητας ἀπὸ τῶν εὐπόρων.

cap. 18. Actiones agrariae renovantur, A. U. 277. ante Chr. 477.

Μετὰ δὲ τύτυς παραλαμβάνυσι τὴν ὑπατείαν Γάϊος Ὁράτιος καὶ Τῖτος Μενήνιος, ἐπὶ τῆς ἑβδομηκοςῆς καὶ ἕκτης ὀλυμπιάδος, ἣν ἐνίκα ςάδιον Σκάμανδρος Μιτυληναῖος, ἄρχοντος Ἀθήνησι Φαίδωνος. τύτοις κατ' ἀρχὰς μὲν ὁ πολιτικὸς θόρυβος ἐμποδὼν ἐγένετο πράττειν τὰ κοινὰ, ἠριθισμένυ τῦ δήμυ, καὶ ὐδὲν ἐῶντος ἕτερον ἐπιτελεῖσθαι τῶν κοινῶν, ἕως ἂν μερίσηται τὴν δημοσίαν γῆν· χρόνῳ δ' ὕςερον εἶξε καὶ παρακινῦντα καὶ ταραττόμενα τῇ ἀνάγκῃ συγχωρήσαντα, καὶ ἐπὶ τὰς ςρατείας ἑκυσίως ἦλθε.

Etrusci commoti populi ad arma denuo

Τυῤῥηνῶν γὰρ αἱ μὴ μετασχῦσαι τῆς εἰρήνης ἕνδεκα πόλεις, ἀγορὰν ποιησάμεναι κοινὴν, κατηγόρυν τῦ Οὐϊεντα-

εκτανῶν ἔθνες, ὅτι τὸν πρὸς Ῥωμαίες πόλεμον ἐ μετὰ κοινῆς γνώμης κατελύσαντο, καὶ δυοῖν θάτερον αὐτὲς ἠξίεν πράτ]ειν, ἢ λύειν τὰ πρὸς Ῥωμαίες ὁμολογηθέντα, ἢ πολεμεῖν σφίσι μετ' ἐκείνων. οἱ δ' Οὐϊεντανοὶ τῆς μὲν εἰρήνης τὴν ἀνάγκην ᾐτιῶντο, ὅπως δ' ἂν αὐτὴν καταλύσαιντο εὐπρεπῶς, εἰς κοινὸν ἐτίθεσαν σκοπεῖν. ἔπειτα ὑποτίθεταί τις αὐτοῖς, ἔγκλημα ποιησαμένοις τὸν ἐπιτειχισμὸν τῆς Κρεμέρας, καὶ τὸ μὴ ἀπανίςαθαι τὲς Φρερὲς ἀπ' αὐτῆς· λόγῳ μὲν πρῶτον ἀξιεν αὐτὲς, ἐκλιπεῖν τὸ χωρίον· ἐὰν δὲ μὴ πείθωσι, πολιορκεῖν τὸ Φρέριον, καὶ ταύτην ἀρχὴν ποιήσαθαι τε πολέμε. ταῦτα συνθέμενοι ἀπηλλάτ]οντο ἐκ τε συλλόγε· καὶ μετ' ἐ πολὺ Οὐϊεντανοὶ μὲν ἀποςείλαντες πρεσβείαν, ὡς τὲς Φαβίες, ἀπῄτεν παρ' αὐτῶν τὸ Φρέριον, Τυῤῥηνία δὲ πᾶσα ἐν τοῖς ὅπλοις ἦν. ταῦτα Ῥωμαῖοι αἰθόμενοι, Φαβίων αὐτῶν ἐπιςειλάντων, ἔγνωσαν ἀμφοτέρες ἐκπορέυεθαι τὲς ὑπάτες ἐπὶ τὸν πόλεμον, τόν τ' ἀπὸ Τυῤῥηνίας ἐπαγόμενον σφίσι, καὶ τὸν ἔτι πρὸς Οὐολέσκες συνεςῶτα. Ὁράτιος μὲν ἐν, ἔχων δύο τάγματα, καὶ ἀπὸ τῶν ἄλλων συμμάχων τὲς ἱκανὲς, ἐξήγαγε τὴν δύναμιν ἐπὶ Οὐολέσκες. Μενήνιος δὲ τοσαύτην ςρατιὰν ἑτέραν ἄγων ἐπὶ Τυῤῥηνὲς, ἔμελλε ποιεῖθαι τὴν ἔξοδον. παρασκευαζομένε δ' αὐτε καὶ τρίβοντος τὸν χρόνον, ἔφθη τὸ ἐν Κρεμέρᾳ Φρέριον ἐξαιρεθὲν ὑπὸ τῶν πολεμίων, καὶ τὸ Φαβίων γένος ἅπαν ἀπολόμενον.

Οἱ γεν Τυῤῥηνοὶ τές τ' ἄνδρας διαφθείραντες, καὶ τὸ ἐν τῇ Κρεμέρᾳ Φρέριον παραλαβόντες, ἐπὶ τὴν ἄλλην ςρατιὰν τῶν Ῥωμαίων ἦγον τὰς δυνάμεις. ἔτυχε δ' ἐ μακρὰν κατεςρατοπεδευκὼς ὁ ἕτερος τῶν ὑπάτων Μενήνιος, ἐκ ἐν ἀσφαλεῖ χωρίῳ· καὶ ὅτε ἡ Φαβίων συγγένεια καὶ τὸ πελατικὸν αὐτῶν ἀπώλλυντο, τριάκοντά πε ςαδίες ἀπεῖχεν, ἀφ' ἐ τὸ πάθος ἐγένετο τόπε δόξαν τ' ἐκ ὀλίγοις παρέσχεν, ὡς, ἐν οἵοις κακοῖς ἦσαν οἱ Φάβιοι, μηδεμίαν αὐτῶν ποιήσαθαι φροντίδα, τῆς τ' ἀρετῆς καὶ δόξης τοῖς ἀνδράσι φθονῶν. τοιγάρτοι μετὰ ταῦτα ὑπαχθεὶς ὑπὸ τῶν δημάρχων εἰς δίκην, ἐπὶ ταύτῃ μάλιςα τῇ αἰτίᾳ ἑάλω. σφόδρα γὰρ ἐπένθησεν ἡ Ῥωμαίων πόλις ἀνδρῶν τοιέτων καὶ τοσέτων ἀρετὰς ἀποςερεμένη,

capienda adhortantur.

Ante adventum exercitus Romani Fabia gens, quæ Cremeræ erat, deletur.

cap. 23.
Menenius pudendam cladem accipit.

ῥαμένη, καὶ πρὸς ἅπαν τὸ δόξαν αὐτοῖς αἴτιον γεγονέναι τῆς τοιαύτης συμφορᾶς, πικρῶς καὶ ἀπαραιτήτως εἶχεν. τὴν δ' ἡμέραν ἐκείνην, ἐν ᾗ τὸ πάθος ἐγένετο, μέλαινάν τε καὶ ἀποφράδα τίθεται, καὶ οὐδενὸς ἂν ἔργου ἐν ταύτῃ χρηστοῦ ἄρξαιτο, τὴν τότε συμβᾶσαν αὐτῇ τύχην ὀττευομένη. ὡς δὲ πλησίον ἐγένοντο τῶν Ῥωμαίων οἱ Τυῤῥηνοὶ, συνιδόντες αὐτῶν τὸ στρατόπεδον· ἦν δ' ὑπὸ λαγόνι κείμενον ὄρους· τῆς τ' ἀπειρίας τοῦ στρατηγοῦ κατεφρόνησαν, καὶ τὸ δοθὲν ὑπὸ τῆς τύχης πλεονέκτημα ἀγαπητῶς ἔλαβον. καὶ αὐτίκα τοὺς ἱππεῖς ἀναλαβόντες, κατὰ τὴν ἑτέραν πλευρὰν τοῦ λόφου, οὐδενὸς κωλύοντος, ἀνέβησαν ἐπὶ τὴν κορυφήν. καταλαβόμενοι δὲ τὴν ὑπὲρ τῆς κεφαλῆς τῶν Ῥωμαίων κόρυμβον, ἔθεντο ἐν τούτῳ τὰ ὅπλα, καὶ τὴν ἄλλην δύναμιν ἀσφαλῶς ἀναβιβάσαντες, ὑψηλῷ χάρακι καὶ βαθείᾳ τάφρῳ τὴν παρεμβολὴν ὠχυρώσαντο. εἰ μὲν οὖν συνιδὼν ὁ Μενήνιος, οἷον ἐδεδώκει πλεονέκτημα τοῖς πολεμίοις, μετέγνω τε τὴν ἁμαρτάδα, καὶ εἰς ἀσφαλέστερον ἀπῆγε χωρίον τὴν στρατιὰν, σοφὸς ἂν ἦν· νῦν δὲ, δι' αἰσχύνης λαμβάνων τὸ δοκεῖν ἡμαρτηκέναι, καὶ τὸ αὔθαδες πρὸς τοὺς μεταδιδάσκοντας φυλάττων, εἰς αἰσχύνης ἄξιον πτῶμα ἔπεσεν.

cap. 24. Οἱ δ' ἐν τῇ Ῥώμῃ τήν τ' ἀπώλειαν τῶν σφετέρων, καὶ τὴν ἅλωσιν τοῦ χάρακος μαθόντες· ἧκον γὰρ οἱ πρῶτοι διασωθέντες ἐκ τῆς πολλῆς τροπῆς, ἔτι νυκτὸς οὔσης· εἰς μέγαν θόρυβον, ὥσπερ εἰκὸς, κατέστησαν· καὶ, ὡς αὐτίκα δὴ μάλα τῶν πολεμίων ἐπὶ σφᾶς ἐλευσομένων, ἁρπάσαντες τὰ ὅπλα, οἱ μὲν τὰ τείχη περιεστεφάνουν, οἱ δὲ πρὸ τῶν πυλῶν ἐτάξαντο, οἱ δὲ τὰ μετέωρα τῆς πόλεως κατελάμβανον. ἦν δὲ δρόμος ἄτακτος ἀνὰ τὴν πόλιν ὅλην, καὶ βοὴ συμμιγὴς, καὶ ἐπὶ τοῖς τέγεσι τῶν οἰκιῶν ὡς ἀλκὴν καὶ ἀγῶνα εὐτρεπὴς ὁ κατοικίδιος ὄχλος; πυρσοί τε συνεχεῖς, οἷα δὴ ἐν νυκτὶ καὶ σκότῳ, δίαιταί τε ὑπὸ λαμπάδων, καὶ ἀπὸ τεγῶν τοσούτων τὸ πλῆθος, ἐπυροῦντο, ὥστε συνεχὲς εἶναι δοκεῖν τοῖς πρόσωθεν ὁρῶσι τὸ σέλας, καὶ δόξαν ἐμπιπραμένης τῆς πόλεως παρασχεῖν. καὶ εἰ τότε οἱ Τυῤῥηνοὶ, τῶν ἐκ τοῦ χάρακος ὠφελειῶν ὑπεριδόντες, ἐκ ποδὸς τοῖς φεύγουσιν ἠκολούθησαν, ἅπασα ἂν διέφθαρτο ἡ στρατεύσασα ἐπ' αὐτοὺς δυνα-

δύναμις· νῦν δὲ πρὸς ἁρπαγάς τε τῶν ἐγκαταλειφθέντων ἐν τῷ χάρακι τραπόμενοι, καὶ ἀναπαύσει τὰ σώματα δόντες, μεγάλε ἀυχήματος ἑαυτὲς ἐςέρησαν. τῇ δ' ἑξῆς ἡμέρᾳ τὰς δυνάμεις ἄγοντες ἐπὶ τὴν Ῥώμην, καὶ ςαδίυς ἀμφὶ τὲς ἑκκαίδεκα ἀποσχόντες, ὄρος, ἐξ ἓ σύνοπλος ἐςιν ἡ Ῥώμη, τὸ καλέμενον Ἰάνικλον, καταλαμβάνονται· ὅθεν ὁρμώμενοι, τὴν Ῥωμαίων χώραν ἦγόν τε καὶ ἔφερον ἀκώλυτοι κατὰ πολλὴν τῶν ἔνδον ὑπεροψίαν, μέχρι τῦ παραγενέσθαι τὸν ἕτερον τῶν ὑπάτων Ὁράτιον ἄγοντα τὴν ἐν Ὀυολέσκοις δύναμιν. τότε δὴ ἐν τῷ ἀσφαλεῖ Ῥωμαῖοι νομίσαντες εἶναι, καὶ τὴν ἐν τῇ πόλει νεότητα καθοπλίσαντες, ἐξῆλθον εἰς τὴν ὕπαιθρον. ὡς δὲ τήν τε πρώτην μάχην ἀπὸ ςαδίων ὀκτὼ τῆς πόλεως ποιησάμενοι παρὰ τὸ τῆς Ἐλπίδος ἱερὸν, ἐνίκησάν τε καὶ ἀπεώσαντο τὲς ἀντιταξαμένες, καὶ μετὰ ταύτην αὖθις ἑτέραν, πλείονι δυνάμει τῶν Τυῤῥηνῶν ἐπελθόντων, παρὰ ταῖς Κολλίναις καλεμέναις πύλαις ποιησάμενοι, λαμπρῶς ἠγωνίσαντο, καὶ ἀνέπνευσαν ἐκ τῦ δέες.

Romani Etruscos bis prœlio vincunt.

Καταλυθέντων δὲ τῆδε ὑπαιθρίων πολέμων, ἡ πολιτικὴ ςάσις αὖθις ἀνεκαίετο, τῶν δημάρχων πάλιν ταραττόντων τὸ πλῆθος. καὶ τὰ μὲν ἄλλα πολιτεύματα διεσκέδασαν αὐτῶν ἀντιταττόμενοι πρὸς ἕκαςον οἱ πατρίκιοι· τὴν δὲ κατὰ Μενηνίε δίκην, τῦ νεωςὶ ὑπατεύσαντος, καίτοι πολλὰ πραγματευθέντες, ἀδύνατοι ἐγένοντο διαλῦσαι· ἀλλ' ὑπαχθεὶς ὁ ἀνὴρ εἰς δίκην ὑπὸ τῶν δυοῖν δημάρχων, Κοίντε Κοϊντιλίε καὶ Τίτε Γενυκίε, καὶ λόγον ἀπαιτέμενος τῆς ςρατηγίας, τῦ πολέμε τέλος ἔτ' ἐυτυχὲς ἔτ' ἐυπρεπὲς λαβέσης, μάλιςα δὲ διαβαλλόμενος ἐπὶ τῷ Φαβίων ὀλέθρῳ, καὶ τῇ Κρεμέρας ἁλώσει, δικάζοντος τῦ δημοτικῦ ὄχλε κατὰ φυλὰς, ἐ παρ' ὀλίγας ψήφες ὦφλεν, υἱὸς ὢν Ἀγρίππα Μενηνίε, τῦ καταγαγόντος ἐκ τῆς φυγῆς τὸν δῆμον, καὶ διαλλάξαντος πρὸς τὲς πατρικίες, ὃν ἀποθανόντα ἡ βελὴ ἐκ τῶν δημοσίων χρημάτων λαμπροτάταις ἐκόσμησε ταφαῖς, αἱ δὲ γυναῖκες αἱ Ῥωμαίων ἐνιαύσιον ἐπένθησαν χρόνον, πορφύραν καὶ χρυσὸν ἀποθέμεναι. ἐ μέντοι θανάτε γ' αὐτῷ οἱ καταδικασάμενοι ἐτίμησαν, ἀλλ' ἐκτίσματος, ὃ πρὸς μὲν τὲς νῦν ἐξεταζόμενον βίες, γέλωτος ἂν ἄξιον φανείη, τοῖς δὲ τότ' ἀνθρώ-

Cap. 27. Menenius, ob Fabiorum cladem accusatus, populi judicio damnatur. A. U. 278. ante Chr. 476.

Digitized by Google

θρώποις, αὐτουργοῖς οὖσι καὶ πρὸς αὐτὰ τὰ ἀναγκαῖα ζῶσι, μάλιστα δ' ἐκείνῳ τῷ ἀνδρὶ, πενίαν κληρονομήσαντι παρὰ τοῦ πατρὸς, ἀφυὲς ἦν καὶ βαρὺ, δισχιλίων ἀριθμὸς ἀσσαρίων. ἦν δ' ἀσσάριον, χάλκεον νόμισμα, βάρος λιτριαῖον· ὥστε τὸ σύμπαν ὄφλημα ταλάντων ἑκκαίδεκα εἰς ὁλκὴν χαλκοῦ γενέσθαι. καὶ τοῦτ' ἐπίφθονον ἐφάνη τοῖς τότε ἀνθρώποις· καὶ ἐπανορθώσασθαι βουλόμενοι αὐτοὶ, τὰς μὲν χρηματικὰς ἔπαυσαν ζημίας, μετήνεγκαν δ' εἰς προβάτων ἐκτίσματα καὶ βοῶν, τάξαντες καὶ τούτων ἀριθμὸν ταῖς ὕστερον ἐσομέναις ὑπὸ τῶν ἀρχόντων τοῖς ἰδιώταις ἐπιβολαῖς. ἐκ δὲ τῆς Μενηνίου καταδίκης ἀφορμὴν αὖθις εἰλήφεσαν οἱ πατρίκιοι τῆς πρὸς τὸ δημοτικὸν ὀργῆς, καὶ οὔτε τὴν κληρουχίαν ἐπέτρεπον ἔτι αὐτῷ ποιεῖσθαι, οὔτ' ἄλλο ἐβούλοντο ἐνδιδόναι μαλακὸν οὐδέν.

cap. 34. Etrusci, adjunctis Sabinis, denuo arma capiunt, A. U. 279. ante Chr. 475;

Οὐ πολλῷ δὲ ὕστερον χρόνῳ στρατιὰ Ῥωμαίων ἐξῆλθεν ἐπὶ Τυρρηνοὺς, ἄγοντος θατέρου τῶν ὑπάτων, Ποπλίου Οὐαλερίου. συνέστη γὰρ αὖθις ἡ Οὐϊεντανῶν δύναμις, προσθεμένων αὐτοῖς Σαβίνων, οἱ τέως ὀκνοῦντες αὐτοῖς συνάρασθαι τοῦ πολέμου, ὡς ἀδυνάτων ἐφιεμένοις, τότε, ἐπειδὴ τήν τε Μενηνίου φυγὴν ἔγνωσαν, καὶ τὸν ἐπιτειχισμὸν τοῦ πλησίον τῆς Ῥώμης ὄρους, τεταπεινῶσθαι νομίσαντες τὰς δυνάμεις Ῥωμαίων καὶ τὸ φρόνημα τῆς πόλεως ἡττῆσθαι, συνελάμβανον τοῖς Τυρρηνοῖς πολλὴν ἀποστείλαντες δύναμιν. οἱ δὲ Οὐϊεντανοὶ τῇ τε σφετέρᾳ δυνάμει θαρροῦντες καὶ τῇ Σαβίνων νεωστὶ ἡκούσῃ, τὰς παρὰ τῶν ἄλλων Τυρρηνῶν ἐπικουρίας περιμένοντες, προθυμίαν μὲν εἶχον ἐπὶ τὴν Ῥώμην ἐλαύνειν τῷ πλείονι τῆς σφετέρας στρατιᾶς, ὡς οὐδενὸς αὐτοῖς ὁμόσε χωρήσοντος, ἀλλὰ δυοῖν θάτερον, ἢ ἐκ τειχομαχίας αἱρήσοντες τὴν πόλιν, ἢ λιμῷ κατεργασόμενοι· ἔφθασε δὲ τὴν ἐπιχείρησιν αὐτῶν

cap. 36.

Οὐαλέριος· (καὶ οὗτος ὁ πόλεμος τῷ ἑξῆς ἔτει τέλος εὐτυχὲς ἔσχε). Οἱ γὰρ ὕπατοι, Αὖλος Μάλλιος καὶ Λεύκιος Φούριος, ψηφισαμένης τῆς βουλῆς, τὸν ἕτερον αὐτῶν στρατιὰν ἐπὶ Οὐϊεντανοὺς ἄγειν, ἐκληρώσαντο περὶ τῆς ἐξόδου, καθάπερ αὐτῶν ἔθος ἦν. καὶ λαχὼν Μάλλιος ἐξῆγε τὰς δυνάμεις διὰ ταχέων, καὶ πλησίον τῶν πολεμίων κατεστρατοπέδευσεν. οἱ δὲ Οὐϊεντανοὶ, τειχήρεις γενόμενοι, τέως μὲν ἀντεῖχον· καὶ διεπρεσβεύοντο πρός τε

τοὺς

Digitized by Google

τὰς ἄλλας ἐν Τυῤῥηνοῖς πόλεις, καὶ πρὸς τὰς νεωςὶ συμμαχήσαντας αὐτοῖς Σαβίνες, βοήθειαν ἀξιῦντες ἀποςέλλειν σφίσι διὰ ταχέων. ὡς δ' ἁπάντων ἀπετύγχανον, καὶ τὰς τροφὰς ἀπαναλώκεσαν, ὑπὸ τῆς ἀνάγκης τῦ λιμῦ βιαθέντες. ἐξῆλθον ὡς τὸν ὕπατον, ἱκετηρίας φέροντες οἱ πρεσβύτατοί τ' αὐτῶν καὶ τιμιώτατοι, περὶ καταλύσεως δεόμενοι τῦ πολέμυ. τῦ δὲ Μαλλίυ κελεύσαντος αὐτοῖς, ἀργύριόν τ' εἰς ὀψωνιασμὸν ἐνιαυτῦ τῇ ςρατιᾷ καὶ διμήνυ τροφὰς ἀποφέρειν, ὅταν δὲ ταῦτα ποιήσωσιν, εἰς Ῥώμην ἀποςέλλειν τὰς διαλεξομένες τῇ βυλῇ περὶ τῶν διαλύσεων, ἐπαινέσαντες ταῦτα, καὶ διὰ ταχέων τό τ' ὀψώνιον τῇ ςρατιᾷ, καὶ τὸ ἀντὶ τῦ σίτυ συγχωρηθὲν ὑπὸ τῦ Μαλλίυ κατενέγκαντες ἀργύριον, ἧκον εἰς τὴν Ῥώμην· καὶ καταςάντες ἐπὶ τὴν βυλὴν, συγγνώμης ἐπὶ τοῖς γεγονόσι τυχεῖν ἠξίυν, καὶ εἰς τὸν λοιπὸν χρόνον ἀπαλλαγῆς τῦ πολέμυ. πολλῶν δὲ λεχθέντων εἰς ἀμφότερα τὰ μέρη λόγων, ἐνίκησεν ἡ σπένδεσθαι παραινῦσα τὸν πρὸς αὐτὰς πόλεμον γνώμη, γίνονταί τ' ἀνοχαὶ τῦ πολέμυ πρὸς αὐτὰς τεσσαρακονταετεῖς. καὶ οἱ μὲν ἀπῄεσαν, πολλὰς τῇ πόλει τῆς εἰρήνης χάριτας εἰδότες· ὁ δὲ Μάλλιος ἀφικόμενος εἰς τὴν πόλιν, ἐπὶ τῇ καταλύσει τῦ πολέμυ τὸν πεζὸν θρίαμβον αἰτησάμενος, ἔλαβεν. ἐγένετο δὲ καὶ τίμησις ἐπὶ τῆς τύτων ἀρχῆς, καὶ ἦσαν οἱ τιμησάμενοι πολῖται σφᾶς τ' αὐτὰς καὶ χρήματα καὶ τὰς ἐν ἥβῃ παῖδας, ὀλίγῳ πλείυς τρισκαίδεκα μυριάδων.

lis tandem pacem petentibus, induciæ XL in annos sunt datæ, A. U. 280. ante Chr. 474.

Οἱ δὲ μετὰ τύτυς παραλαβόντες τὴν ὕπατον ἀρχὴν, Λεύκιος Αἰμίλιος Μάμερκος τὸ τρίτον, καὶ Ὀυοπίσκος Ἰέλιος, ἐπὶ τῆς ἑβδομηκοςῆς καὶ ἑβδόμης ὀλυμπιάδος, ἣν ἐνίκα ςάδιον Δάτης Ἀργεῖος, Ἀθήνησι δὲ ἄρχοντος Χάρητος, ἐπίπονον σφόδρα καὶ ταραχώδη τὴν ἀρχὴν διετέλεσαν, εἰρήνην μὲν ἄγοντες ἀπὸ τῶν ἔξωθεν πολέμων· ἐν ἡσυχίᾳ γὰρ ἦν πάντα τὰ διάφορα· ὑπὸ δὲ τῶν ἐν τῇ πόλει ςάσεων αὐτοί τ' εἰς κινδύνυς ἀχθέντες, καὶ τὴν πόλιν ὀλίγυ δεήσαντες ἀπολέσαι. ὡς γὰρ ἀνεπαύσατο τῶν ςρατειῶν τὸ πλῆθος, ἐπὶ τὴν διανομὴν εὐθὺς ὥρμησε τῶν δημοσίων ἀγρῶν. (Ἔτι δὲ καὶ μετὰ ταῦτα ςάσιν ἐξήγειρε) Πόπλιος Βολέρων δήμαρχος, ὁ τῷ πρόσθεν ἐνιαυτῷ τοῖς περὶ Αἰμίλιόν τε καὶ Ἰέλιον ὑπάτοις ἀπειθήσας, ὅτι αὐτὸν ἀντὶ λοχαγῦ

cap. 37. A. U. 281. ante Chr. 473. Novæ turbæ domesticæ de agris dividendis,

cap. 41.

λοχαγῦ στρατιώτην κατέγραφον· ἐ δι' ἄλλο τι μᾶλλον ἀποδειχθεὶς ὑπὸ τῦ τῶν πενήτων δήμε προστάτης· γένος τε γὰρ ἐκ τῶν ἐπιτυχόντων ἦν, καὶ τεθραμμένος ἐν πολλῇ ταπεινότητι καὶ ἀπορίᾳ· ἀλλ' ὅτι τὴν ἀρχὴν τῶν ὑπάτων, βασιλικὸν ἔχυσαν ἀξίωμα τέως, πρῶτος ἔδοξεν ἰδιώτης ἀνὴρ ἀπειθείᾳ ταπεινῶσαι, καὶ ἔτι μᾶλλον διὰ τὰς ὑποσχέσεις, ἃς ἐποιεῖτο μετιὼν τὴν ἀρχὴν κατὰ τῶν πατρικίων, ὡς ἀφαιρησόμενος αὐτῶν τὴν ἰσχύν. ὃς, ἐπειδὴ τάχιστα ἐξεγένετο αὐτῷ, τὰ πολιτικὰ πράττειν, συναγαγὼν τὸν δῆμον εἰς ἐκκλησίαν, νόμον εἰσφέρει περὶ τῶν δημαρχικῶν ἀρχαιρεσίων, μετάγων αὐτὰ ἐκ τῆς φατριακῆς ψηφηφορίας, ἣν οἱ Ῥωμαῖοι κυριάτην καλῦσιν, ἐπὶ τὴν φυλετικήν. τίς δὲ τύτων διαφορὰ τῶν ἀρχαιρεσίων, ἐγὼ σημανῶ. τὰς μὲν φατριακὰς ψηφηφορίας ἔδει, προβυλευσαμένης τῆς βυλῆς, καὶ τῦ πλήθυς κατὰ φατρίας τὰς ψήφυς ἐπενέγκαντος, καὶ μετ' ἀμφότερα ταῦτα τῶν παρὰ τῦ δαιμονίυ σημείων τε καὶ οἰωνῶν μηδὲν ἐναντιωθέντων, τότε κυρίας εἶναι· τὰς δὲ φυλετικὰς, μήτε προβυλεύματος γινομένυ, μήτε τῶν ἱερέων τε καὶ οἰωνοσκόπων ἐπιθεσπισάντων, ἐν ἡμέρᾳ μιᾷ τελεσθείσας ὑπὸ τῶν φυλετῶν τέλος ἔχειν. καὶ ἦσαν ἐκ τῶν τεττάρων λοιπῶν δημάρχων οἱ συνεισφέροντες αὐτῷ δύο δήμαρχοι τὸν νόμον· ὓς προσεταιρισάμενος, ἐλαττόνων ὄντων τῶν μὴ ταὐτὰ βυλομένων, περιῆν. οἱ δ' ὕπατοι, καὶ ἡ βυλὴ, καὶ πάντες οἱ πατρίκιοι, κωλύειν ἐπεχείρυν τὸν νόμον· ἀφικόμενοί τε κατὰ πλῆθος εἰς τὴν ἀγορὰν, ἐν ᾗ προεῖπον οἱ δήμαρχοι κυρώσειν τὸν νόμον ἡμέρᾳ, παντοδαπὺς διῆλθον λόγυς, τῶν τε ὑπάτων καὶ τῶν πρεσβυτάτων ἐκ τῆς βυλῆς καὶ ἄλλυ παντὸς, ὅτῳ βυλομένῳ ἦν, τὰς ἐνύσας ἐν τῷ νόμῳ διεξιόντος ἀτοπίας. ἀντιλεξάντων δὲ τῶν δημάρχων καὶ αὖθις τῶν ὑπάτων, καὶ μέχρι πολλῦ τῆς ἀψιμαχίας τῶν λόγων ἐκμηκυνθείσης, ἐκείνην μὲν τὴν ἐκκλησίαν διέλυσεν εἰς νύκτα συγκλεισθεὶς ὁ χρόνος. προθέντων δὲ πάλιν τῶν δημάρχων εἰς τρίτην ἀγορὰν τὴν περὶ τῦ νόμυ διάγνωσιν, καὶ συνελθόντος ἔτι πλείονος εἰς αὐτὴν ὄχλυ, τὸ παραπλήσιον τῷ προτέρῳ συνέβη γενέσθαι πάθος. τῦτο συνιδὼν ὁ Πόπλιος ἔγνω μήτε τοῖς ὑπάτοις ἐπιτρέπειν ἔτι τῦ νόμυ κατηγο-

anno sequente etiam de comitiis curiatis in tributa mutandis, A. U. 282. ante Chr. 472.

τηγορεῖν, μήτε πατρικίους ἐᾶν τῇ ψηφοφορίᾳ παρεῖναι· καθ' ἑταιρείας γὰρ ἐκεῖνοι, καὶ κατὰ συστροφὰς ἅμα τοῖς ἑαυτῶν πελάταις ἐκ ὀλίγοις ἦσι, πολλὰ μέρη τῆς ἀγορᾶς κατεῖχον· ἐπικελεύοντές τε τοῖς κατηγοροῦσι τὸ νόμο, καὶ θορυβοῦντες τοὺς ἀπολογουμένους, καὶ ἄλλα πολλὰ πράττοντες, ἀκοσμίας τε καὶ βίας τῆς ἐν ταῖς ψήφοις μηνύματα.

Ἐπέσχε δ' αὐτοῦ τὰ βουλεύματα, ὄντα τυραννικά, ἑτέρα συμπεσοῦσα θεήλατος συμφορά. νόσος γὰρ ἥψατο λοιμικὴ τῆς πόλεως, γενομένη μὲν καὶ κατὰ τὴν ἄλλην Ἰταλίαν, μάλιστα δὲ πλεονάσασα κατὰ τὴν πόλιν· καὶ ἔτ' ἀνθρωπίνη βοήθεια ἤρκει τοῖς κάμνουσιν ἐδεμία, ἀλλ' ἐν τῷ ἴσῳ οἵ τε σὺν πολλῇ θεραπευόμενοι φροντίδι, καὶ οἷς μηδὲν ἐγίνετο τῶν δεόντων, ἀπέθνησκον· ὅτε λιτανεῖαι θεῶν καὶ θυσίαι, καὶ ἐφ' ἃς ἄνθρωποι τελευταίας ἐν ταῖς τοιαῖσδε ἀναγκάζονται καταφεύγειν συμφοραῖς, οἱ κατ' ἄνδρα τε γινόμενοι καὶ ὑπὲρ τοῦ κοινοῦ καθαρμοί, τότε ἐ προσωφέλουν. διέκρινέ τε τὸ πάθος ἐχ ἡλικίαν, ἐ φύσιν, ἐ ῥώμην, ἢ ἀσθένειαν σωμάτων, ἐ τέχνην, ἐκ ἄλλο τι τῶν δοκούντων κουφίζειν τὴν νόσον· ἀλλὰ γυναιξί τε ἐνέπιπτε καὶ ἀνδράσι, καὶ γηραιοῖς καὶ νέοις. ἐ μὴν πολύν γε κατέσχε χρόνον· ὅπερ αἴτιον ἐγένετο τοῦ μὴ σύμπασαν διαφθαρῆναι τὴν πόλιν· ἀλλὰ ποταμοῦ δίκην, ἢ πυρὸς, ἀθρόα τοῖς ἀνθρώποις ἐμπεσοῦσα, τήν τε προσβολὴν ὀξεῖαν καὶ τὴν ἀπαλλαγὴν ταχεῖαν ἔλαβεν. ὡς δὲ τὸ δεινὸν ἐλώφησεν, ἐπ' ἐξόδῳ τῆς ἀρχῆς ὢν ὁ Πόπλιος, ἐπειδὴ ἐκ ἐδύνατο κυρῶσαι τὸν νόμον ἐν τῷ περιόντι χρόνῳ, τῶν ἀρχαιρεσίων ἐπιστάντων, μετήει πάλιν τὴν δημαρχίαν εἰς τὸν ἐπιόντα ἐνιαυτὸν, πολλὰ καὶ μεγάλα τοῖς δημόταις ὑπισχνούμενος· καὶ ἀποδείκνυται πάλιν δήμαρχος ὑπ' αὐτῶν, καὶ δύο τῶν συναρχόντων. οἱ δὲ πατρίκιοι πρὸς τοῦτο ἀντεμηχανήσαντο, πικρὸν ἄνδρα καὶ μισόδημον, καὶ μηδὲν ἐλαττώσοντα τῆς ἀριστοκρατίας, ἐπὶ τὴν ὑπατείαν προαγαγεῖν, Ἄππιον Κλαύδιον, υἱὸν Ἀππίου τοῦ πλεῖστα τῷ δήμῳ περὶ τὴν κάθοδον ἐναντιωθέντος, καὶ αὐτὸν πολλὰ ἀντειπόντα, καὶ ἐδὲ εἰς τὸ πεδίον ἐλθεῖν βουληθέντα, ἕνεκα τῶν ἀρχαιρεσιῶν, ἐδὲν ἧττον προεβούλευσάν τε καὶ ἐψηφίσαντο ἀπόντα ὕπατον.

cap. 42. Pestis Romae furit.

Τελε-

cap. 43.
A. U. 283.
ante Chr. 471.

Τελεσθέντων δὲ τῶν ἀρχαιρεσίων κατὰ πολλὴν εὐπέτειαν· οἱ γὰρ πένητες ἐξέλιπον τὸ πεδίον, ἐπειδὴ τὸν ἄνδρα τόνδε ὀνομασθέντα ἤκȣσαν· παραλαμβάνȣσι τὴν ὑπατείαν Τῖτος Κοΐντιος Καπιτωλῖνος, καὶ Ἄππιος Κλαύδιος Σαβῖνος, ȣ̈τε τὰς φύσεις, ȣ̈τε τὰς προαιρέσεις ἔχοντες ὁμοίας. Ἀππίȣ μὲν γὰρ ἦν γνώμη, περισπᾷν περὶ τὰς ἔξω ςρατείας τὸν ἀργὸν καὶ πένητα δῆμον, ἵνα τῶν τε καθ' ἡμέραν ἀναγκαίων ἐκ τῆς πολεμίας εὐπορῶν τοῖς ἀυτȣ̃ πόνοις, ὧν ἐν χρείᾳ μάλιςα ὑπῆρχε, καὶ τὰ συμφέροντα τῇ πόλει διαπραττόμενος, ἥκιςα τοῖς ἐκ τȣ̃ συνεδρίȣ διοικȣ̃σι τὰ κοινὰ δυσμενής τε καὶ χαλεπὸς ᾖ· πολέμȣ δὲ πᾶσαν ἔσεσθαι πρόφασιν εὔλογον ἀπέφαινεν ἡγεμονίας ἀντιποιȣμένῃ πόλει, καὶ ὑπὸ πάντων ἐπιφθονȣμένῃ· κατά τε τὸ εἰκὸς τοῖς γεγονόσιν ἤδη τὰ μέλλοντα εἰκάζειν ἠξίȣ, ἐπιλεγόμενος, ὅσαι ἤδη κινήσεις ἐγένοντο ἐπὶ τῇ πόλει, ὅτι πᾶσαι κατὰ τὰς ἀναπαύσεις ἐγένοντο τῶν πολέμων. Κοΐντιῳ δὲ ȣ̓κ ἐδόκει πόλεμον ἐκφέρειν ȣ̓δένα, ἀγαπητὸν ἀποφαίνοντι, ἐι πρὸς τȣ̀ς ἀναγκαίȣς τε καὶ ἔξωθεν ἐπαγομένȣς κινδύνȣς καλȣ́μενος ὁ δῆμος εὐπειθὴς γένοιτο, καὶ διδάσκοντι, ὡς, ἐι βίαν προσάξȣσι τοῖς μὴ πειθομένοις, εἰς ἀπόνοιαν ἀναγκάσȣσιν ἐλθεῖν τὸ δημοτικὸν, ὥσπερ καὶ οἱ πρὸ ἀυτῶν ἐποίησαν ὕπατοι· ἐξ ὧν κινδυνεύσειν ἀυτȣ̀ς δυοῖν θάτερον, ἢ δι' αἵματος καὶ φόνων καταπαῦσαι τὴν ςάσιν, ἢ θεραπεύειν ἀισχρῶς ὑπομεῖναι τὸ δημοτικόν. ἦν δ' ἡ τȣ̃ μηνὸς ἐκείνȣ ἡγεμονία τῷ Κοϊντίῳ προσήκȣσα, ὥς' ἀναγκαῖον ἦν, τὸν ἕτερον τῶν ὑπάτων μηδὲν ἄκοντος ἐκείνȣ ποιεῖν. οἱ δὲ περὶ τὸν Πόπλιον δήμαρχοι ȣ̓δὲν ἔτι διαμελλήσαντες, τὸν ἐν τῷ πρόσθεν ἐνιαυτῷ ȣ̓ δυνηθέντα ἐπικυρωθῆναι νόμον πάλιν εἰσέφερον, προσγράψαντες ἀυτῷ, καὶ τὸ τῶν ἀγορανόμων ἀρχεῖον ἐν ταῖς ἀυταῖς ψηφηφορεῖσθαι ἐκκλησίαις, καὶ πάντα τὰ ἄλλα, ὅσα ἐν τῷ δήμῳ πράττεσθαί τε καὶ ἐπικυρȣ̃σθαι δεήσει, ὑπὸ τῶν φυλετῶν ἐπιψηφίζεσθαι κατὰ ταυτό· ὅπερ ἦν ἄρα τῆς μὲν βȣλῆς κατάλυσις φανερὰ, τȣ̃ δὲ δήμȣ δυναςεία.

cap. 49.
Lex de tributis comitiis.

(Ἄππιος μὲν δὴ διῆλθε πολὺν ἀντὶ τȣ̃ δήμȣ λόγον, ὑπὲρ δὲ ἀυτȣ̃ ἐκ τῶν δημάρχων ὁ πρεσβύτατος καὶ πλεῖςȣ ἀξιώματος τυγχάνων Γάϊος Λεκτόριος. Μετὰ δὲ πολλȣ̀ς

λὰς λόγες ἀσχήμονας καὶ καταβοὰς,) πρῶτος κληθεὶς Πόπλιος Ὀυαλέριος Ποπλικόλας γνώμην ἀπεφήνατο τήνδε· ἐπειδὴ ὁ ὕπατος Ἄππιος ἐκ ἐᾷ νόμον ἀπροβέλευτον εἰς τὴν ἐκκλησίαν ἐκφέρειν, προβελεῦσαι περὶ τέτε τὸ συνέδριον· τὲς δὲ δημάρχες ἅμα τοῖς ὑπάτοις ἐπιμέλειαν ποιήσασθαι τῆς τε ὁμονοίας τῶν πολιτῶν, ὅταν ἡ ψῆφος περὶ αὐτε διαφέρηται, καὶ τῆς ἐυκοσμίας. ἐπαινεσάντων δὲ τὴν γνώμην ἁπάντων, ἐυθὺς ἀνέδωκε τὴν ὑπὲρ τε νόμε ψῆφον ὁ Κοΐντιος τῷ συνεδρίῳ, καὶ, πολλὰ μὲν Ἀππίε κατηγορήσαντος, πολλὰ δὲ τῶν δημάρχων ἀντιλεξάντων, ἐνίκα παρὰ πολλὰς ψήφες ἡ τὸν νόμον εἰσφέρειν ἀξιεσα γνώμη. ἐπικυρωθέντος δὲ τε προβελεύματος, ἅι τ' ἴδιαι τῶν ἀρχόντων διαφοραὶ διελύθησαν, καὶ ὁ δῆμος, ἀγαπητῶς δεξάμενος τὸ συγχώρημα τῆς βελῆς, ἐπεψήφισε τὸν νόμον. ἀπ' ἐκείνε τε χρόνε τὰ τῶν δημάρχων καὶ ἀγορανόμων ἀρχαιρέσια μέχρι τε καθ' ἡμᾶς χρόνε, δίχα οἰωνῶν τε καὶ τῆς ἄλλης ἀτ]είας ἁπάσης, αἱ φυλετικαὶ ψηφηφορεσιν ἐκκλησίαι. ἅυτη λύσις ἐγένετο τῆς τότε κατασχέσης ταραχῆς τὴν πόλιν.

Καὶ μετ' ὲ πολὺ ςρατιὰς ἐδόκει Ῥωμαίοις καταγράφειν, καὶ τὲς ὑπάτες ἐκπέμπειν ἀμφοτέρες ἐπί τ' Αἰκανὲς καὶ Ὀυολέσκες. δυνάμεις γὰρ ἐξ ἑκατέρων τῶν ἐθνῶν μεγάλαι ἐξεληλυθέναι ἠγγέλλοντο, καὶ προνομεύειν τὲς Ῥωμαίων συμμάχες. παρασκευαθεισῶν δὲ τῶν δυνάμεων σὺν τάχει, Κοΐντιος μὲν Αἰκανοῖς πολεμήσων ᾤχετο, Ἄππιος δὲ Ὀυολέσκοις, κλήρῳ διαλαχόντες τὰς ἀρχάς. συνέβη δὲ τῶν ὑπάτων ἑκατέρῳ τὰ εἰκότα πάσχειν. (ἔτος δὲ ὁ πόλεμος μνήμης ἄξιος ἐγένετο ἐπὶ Τίτε Κοΐντιε Καπιτωλίνε καὶ Κοΐντε Σερεϊλίε Πρίσκε τὴν ὕπατον ἀρχὴν ἐχόντων· ὁ γὰρ Κοΐντιος, ὡς τὲς Αἰκανὲς καὶ Ὀυολέσκες ἀπεώσατο,) ἐπὶ τὴν Ἀντιατῶν χώραν ἦγε τὴν δύναμιν. ἔτυχον δὲ φυλακῆς ἕνεκα ταῖς Ἀντιάταις Αἰκανῶν τινες ἐπίκεροι παρόντες καὶ φυλάτ]οντες τὰ τείχη· οἱ τότε δείσαντες τὸ Ῥωμαίων τολμηρὸν, δρασμὸν ἐκ τῆς πόλεως ἐπεχείρεν ποιεῖσθαι. γενομένης δὲ τοῖς Ἀντιάταις γνώσεως, κωλυόμενοι πρὸς αὐτῶν ἀπιέναι, γνώμην ἐποιεντο, παραδεναι Ῥωμαίοις ἐπιεσι τὴν πόλιν. τετο μαθόντες ἐκ μηνύσεως οἱ Ἀντιάται, τῷ τε καιρῷ εἰκεσι

cap. 50. Bellum contra Aequo & Volsços.

A. U. 286. ante Chr. 468.

cap. 58. Aequi&Volsci profligantur & Antiatum ager armis occupatur.

ἥκουσι, καὶ κοινῇ μετ' ἐκείνων βουλευσάμενοι, παραδιδόασι τῷ Κοΐντίῳ τὴν πόλιν, ἐφ' ᾧ Αἰκανοὺς μὲν ὑποσπόνδους ἀπελθεῖν, Ἀντιάτας δὲ φρουρὰν δέξασθαι, καὶ τὰ κελευόμενα ὑπὸ Ῥωμαίων ποιεῖν. ἐπὶ τούτοις κύριος γενόμενος ὁ ὕπατος τῆς πόλεως, καὶ λαβὼν ὀψώνιά τε καὶ τἄλλα, ὅσων ἔδει τῇ στρατιᾷ, καὶ φρουρὰν ἐγκαταστήσας, ἀπῆγε τὴν δύναμιν. ἀνθ' ὧν αὐτὸν ἡ βουλὴ ὑπαντήσασα φιλανθρώπως ἐδέξατο, καὶ θριάμβου πομπῇ ἐτίμησεν.

cap. 59. Pars agri Antiatum plebi dividitur.

Ἐν δὲ τῷ μετὰ τοῦτους ἔτει ὕπατοι μὲν ἦσαν Τιβέριος Αἰμίλιος τὸ δεύτερον, καὶ Κόϊντος Φάβιος, ἑνὸς τῶν τριῶν ἀδελφῶν υἱὸς τῶν ἡγησαμένων τε τῆς ἀποσταλείσης φρουρᾶς εἰς Κρεμέραν, καὶ διαφθαρέντων ἐκεῖ σὺν τοῖς πελάταις. ἡ δὲ βουλὴ, τῶν δημάρχων πάλιν ἀνακινούντων τὸ πλῆθος ἐπὶ τῇ κληρουχίᾳ, καὶ συναγωνιζομένου θατέρου τῶν ὑπάτων αὐτοῖς Αἰμιλίου, δόγμα ἐπεκύρωσε, θεραπεῦσαί τε καὶ ἀναλαβεῖν τοὺς πένητας βουλομένη, διανεῖμαι τινὰ μοῖραν αὐτοῖς ἐκ τῆς Ἀντιατῶν χώρας, ἣν τῷ προτέρῳ ἔτει δόρατι ἑλόντες κατέσχον. καὶ ἀπεδείχθησαν ἡγεμόνες τῆς κληρουχίας, Τῖτος Κοΐντιος Καπιτωλῖνος, ᾧ παρέδοσαν Ἀντιᾶται σφᾶς αὐτοὺς· καὶ σὺν αὐτῷ Λεύκιος Φούριος, καὶ Αὖλος Οὐεργίνιος. ἦν δ' οὐκ ἄγαν ἀσπαστὴ τοῖς πολλοῖς καὶ πένησι Ῥωμαίων ἡ διανομὴ τῆς χώρας, ὡς ἀπελαυνομένοις τῆς πατρίδος. ὀλίγων γ' ἀπογραψαμένων, ἔδοξε τῇ βουλῇ, ἐπειδὴ οὐκ ἀξιόχρεως ἦν ὁ ἀπόστολος, ἐπιτρέψαι Λατίνων τε καὶ Ἑρνίκων τοῖς βουλομένοις, τῆς ἀποικίας μετέχειν. οἱ μὲν δὴ εἰς Ἀντίαν ἀποσταλέντες, κατένεμον τὴν γῆν τοῖς σφετέροις, μοῖράν τινα ἐξ αὐτῆς τοῖς Ἀντιάταις ἀπολειπόμενοι.

Ibidem. Lib. 10. c. 1. A. U. 293. ante Chr. 461. De imperfecto legum Romanarum & juris statu.

Μετὰ δὲ ταῦτα ὕπατοι ἀπεδείχθησαν ἐν Ῥώμῃ Πόπλιος Οὐολούμνιος καὶ Σερούιος Σουλπίκιος Καμαρῖνος. οὗτοι στρατιὰν μὲν οὐδεμίαν ἐξήγαγον, οὔτ' ἐπὶ τιμωρίας ἀναπράξει τῶν ἀδικούντων σφᾶς τ' αὐτοὺς καὶ τοὺς συμμάχους, οὔτε ὡς διὰ φυλακῆς τὰ οἰκεῖα ἕξοντες· τῶν δ' ἐντὸς τείχους κακῶν πρόνοιαν ἐποιοῦντο, μή τι κακὸν ὁ δῆμος ἐπὶ τῇ βουλῇ συστὰς ἐξεργάσηται. ἐταράττετο γὰρ αὖθις ὑπὸ τῶν δημάρχων ἀναδιδασκόμενος, ὅτι πολιτειῶν κρατίστη τοῖς ἐλευθέροις ἐστὶν ἰσηγορία· καὶ κατὰ νόμους ἠξίου διοικεῖσθαι τά τ' ἰδιωτικὰ καὶ τὰ δημόσια. οὔπω γὰρ τότ' ἦν οὔτ' ἰσο-

ἰσονομία παρὰ Ῥωμαίοις, οὔτ' ἰσηγορία, οὐδ' ἐν γραφαῖς ἅπαντα τὰ δίκαια τεταγμένα· ἀλλὰ τὸ μὲν ἀρχαῖον οἱ βασιλεῖς ἐφ' αὑτῶν ἔταττον τοῖς δεομένοις τὰς δίκας, καὶ τὸ δικαιωθὲν ὑπ' ἐκείνων, τοῦτο νόμος ἦν. ὡς δ' ἐπαύσαντο μοναρχούμενοι, τοῖς κατ' ἐνιαυτὸν ὑπατεύουσιν ἀνέκειτο τά τ' ἄλλα τῶν βασιλέων ἔργα, καὶ ἡ τοῦ δικαίου διάγνωσις, καὶ τοῖς ἀμφισβητοῦσι πρὸς ἀλλήλους ὑπὲρ ὁτουδήτινος, ἐκεῖνοι τὰ δίκαια οἱ διαιροῦντες ἦσαν. τούτων δὲ τὰ μὲν πολλὰ τοῖς τρόποις τῶν ἀρχόντων ἀκόλουθα ἦν, ἀριστίνδην ἀποδεικνυμένων ἐπὶ τὰς ἀρχάς· κομιδῇ δ' ὀλίγα τινὰ ἐν ἱεραῖς ἦν βίβλοις ἀποκείμενα, ἃ νόμων εἶχε δύναμιν, ὧν οἱ πατρίκιοι τὴν γνῶσιν εἶχον μόνοι, διὰ τὰς ἐν ἄστει διατριβάς. οἱ δὲ πολλοὶ ἐμπορευόμενοί τε καὶ γεωργοῦντες, διὰ πολλῶν ἡμερῶν εἰς ἄστυ καταβαίνοντες ἐπὶ τὰς ἀγοράς, ἄπειροι ἔτ' ἦσαν. τὸ δὲ πολίτευμα τοῦτο πρῶτος μὲν ἐπείρασεν εἰσαγαγεῖν Γάϊος Τερέντιος δημαρχῶν ἐν τῷ παρελθόντι ἔτει· ἀτελὲς δ' ἠναγκάσθη καταλιπεῖν, τοῦ τε πλήθους ὄντος ἐπὶ στρατοπέδων, καὶ τῶν ὑπάτων ἐπίτηδες ἐν τῇ πολεμίᾳ γῇ τὰς δυνάμεις κατασχόντων, ἕως ὁ τῆς ἀρχῆς αὐτοῖς παρέλθῃ χρόνος.

jam superiore anno (A. U. 292. ante Chr. 462) questus erat C. Terentius tribunus pl.

Τότε δ' αὐτὸ παραλαβόντες οἱ περὶ Αὖλον Οὐεργίνιον δήμαρχοι, τελειῶσαι ἐβούλοντο· ἵνα δὲ μὴ τοῦτο γένοιτο, μηδὲ κατὰ νόμους ἀναγκασθεῖεν πολιτεύεσθαι, πάντα ἐπιμηχανώμενοι διετέλουν οἵ τε ὕπατοι, καὶ ἡ βουλή, καὶ τῶν ἄλλων πολιτῶν οἱ πλεῖστον ἐν τῇ πόλει δυνάμενοι· βουλαί τε πολλαὶ καὶ ἐκκλησίαι συνεχεῖς ἐγίνοντο, πεῖραί τε παντοῖαι ταῖς ἀρχαῖς κατ' ἀλλήλων. ἐξ ὧν οὐκ ἄδηλον ἅπασιν ἦν, ὅτι μεγάλη τις καὶ ἀνήκεστος ἐξ ἐκείνης τῆς φιλονεικίας ἀναστήσεται τῇ πόλει συμφορά. συνήπτετο δὲ τοῖς ἀνθρωπίνοις λογισμοῖς καὶ τὰ θεῖα δείματα προσγενόμενα, ὧν ἔνια οὔτ' ἐν δημοσίαις εὑρίσκετο γραφαῖς, οὔτε κατ' ἄλλην φυλαττόμενα μνήμην οὐδεμίαν. ὅσα μὲν γὰρ ἐν οὐρανῷ σέλα φερόμενα, καὶ πυρὸς ἀνάψεις ἐφ' ἑνὰς μένουσαι τόπου, γῆς τε μυκήματα καὶ τρόμοι συνεχεῖς ἐγίνοντο, μορφαί τ' εἰδώλων ἄλλοτ' ἀλλοῖαι δι' ἀέρος φερόμεναι, καὶ φωναὶ ταράττουσαι διάνοιαν ἀνθρώπων, καὶ πάντα, ὅσα τούτοις ὅμοια συνέπιπτεν, εὑρίσκετο καὶ πάλαι ποτὲ γεγονότα, ἧττόν τε καὶ μᾶλλον· ὧν δ' ἄπειροι ἦσαν

cap. 2. Easdem querelas repetebat A. Virginius, remque publicam ex legum praescripto administrari volebat. Patricii obnituntur.

Prodigia inaudita,

Digitized by Google

ἦσαν καὶ ἀνήκοοι, καὶ ἐφ᾽ ᾧ μάλιστα ἐταράχθησαν, τοιόνδ᾽ ἦν· νιφετὸς ἐξ ὀρανῆ κατέσκηψεν εἰς γῆν πολὺς, ὀ χιόνα καταφέρων, ἀλλὰ σαρκῶν θραύσματα ἐλάττω τε καὶ μείζω. τέτων τὰ μὲν πολλὰ μετάρσια προσπετόμεναι πτερωτῶν ὅσαι εἰσὶν ἀγέλαι, τοῖς ςόμασιν ἥρπαζον· τὰ δ᾽ ἐπὶ γῆν ἐνεχθέντα ἐν αὐτῇ τε τῇ πόλει, καὶ κατὰ τὲς ἀγρὲς, μέχρι πολλῦ χρόνε κείμενα, ὔτε χρόαν μεταβάλλοντα, οἵαν ἴσχυσι παλαιόμεναι σάρκες, ὔτε σηπεδόνι διαλυόμενα, ὥςέ τ᾽ ἀπ᾽ αὐτῶν ὀδὲν πονηρόν. τῦτο τὸ τέρας οἱ μὲν ἐπιχώριοι μάντεις ὀχ οἷοί τ᾽ ἦσαν συμβαλεῖν· ἐν δὲ τοῖς Σιβυλλείοις εὑρέθη χρησμοῖς, ὅτι, πολεμίων ἀλλοεθνῶν παρελθόντων εἰς τὸ τεῖχος, ἀγὼν ὑπὲρ ἀνδραποδισμῦ καταλήψεται τὴν πόλιν· ἄρξει δὲ τῦ πρὸς τὲς ἀλλοεθνεῖς πολέμε ςάσις ἐμφύλιος· ἣν χρὴ ἀρχομένην ἐξελαύνοντας ἐκ τῆς πόλεως, καὶ θεὲς παραιτεμένες θυσίαις τε καὶ εὐχαῖς, ἀποςρέψαι τὰ δεινὰ, καὶ κρείττες ἔσεσθαι τῶν ἐχθρῶν. ὡς δ᾽ ἐξηνέχθη ταῦτ᾽ εἰς τὸ πλῆθος, ἱερὰ μὲν πρῶτον ἔθυσαν, οἷς ἡ τέτων ἐπιμέλεια ἀνέκειτο, θεοῖς ἐξακεςηρίοις τε καὶ ἀποτροπαίοις· ἔπειτα συναχθέντες εἰς τὸ βελευτήριον οἱ σύνεδροι, παρόντων καὶ τῶν δημάρχων, ὑπὲρ ἀσφαλείας τε καὶ σωτηρίας τῆς πόλεως ἐσκόπεν.

quæ libri Sybillini de civili seditione & bello contra externum hostem interpretantur.

Τὸ μὲν ὖν καταλύσασθαι τὰ πρὸς ἀλλήλες ἐγκλήματα, καὶ μιᾷ χρήσασθαι γνώμῃ περὶ τῶν κοινῶν, ὡς ὑπετίθεντο οἱ χρησμοὶ, πάντες ὡμολόγεν. ὅπως δ᾽ ἂν τῦτο γένοιτο, καὶ ἀπὸ τίνων ἀρξάμενον ἐκείνοις ἑτέροις τὸ διάφορον, καὶ πῶς, παύσεται ςασιάζον, ὀ μικρὰν αὐτοῖς παρεῖχεν ἀπορίαν. οἱ μὲν γὰρ ὕπατοι καὶ οἱ τῆς βελῆς προεςῶτες, τὲς εἰσφέροντας καινὰ πολιτεύματα δημάρχες, καὶ κωλύειν ἀξιῦντας τὸν πάτριον τῆς πολιτείας κόσμον, αἰτίες ἀπέφαινον τῆς ταραχῆς. οἱ δὲ δήμαρχοι, σφᾶς μὲν αὐτὲς ὀδὲν ἔλεγον ἀνάξιον δρᾷν, ὔτ᾽ ἄδικον, ὔτ᾽ ἀσύμφορον, εὐνομίαν εἰσάγειν βελομένες καὶ ἰσηγορίαν· τὲς δὲ ὑπάτες καὶ τὲς πατρικίες αἰτίες ἔσεσθαι τῆς ςάσεως ἔλεγον, ἀνομίαν αὔξαντας καὶ πλεονεξίαν, καὶ ζηλῦντας τὰ τῶν τυράννων ἔθη. ταῦτα καὶ πολλὰ τέτοις ὅμοια παρ᾽ ἑκατέρων ἐπὶ πολλὰς ἡμέρας ἐλέγετο, καὶ προὔβαινε διὰ κενῆς ὁ χρόνος· ἐν ᾧ τῶν κατὰ τὴν πόλιν ἔτι

cap. 3. Post multas mutuas altercationes tribuni rogationem ferunt de decemviris, qui leges conscriberent.

Digitized by Google

ὔτε δημοσίων, ὔτ' ἰδίων ὐδὲν ἐτελεῖτο. ὡς δ' ὐδὲν ἐγίνετο πρὔργυ, τῶν λόγων ἐκείνων καὶ κατηγοριῶν, ἃς ἐποιῦντο κατὰ τῆς βυλῆς, οἱ δήμαρχοι ἀπέστησαν· συναγαγόντες δὲ τὸ πλῆθος εἰς τὴν ἐκκλησίαν, ὑπέσχοντο τῷ δήμῳ νόμον εἰσοίσειν, ὑπὲρ ὧν ἠξίυν. ἐπαινέσαντος δὲ τῦ πλήθυς τὸν λόγον, ὐδὲν ἔτι ἀναβαλόμενοι, τὸν παρασκευασθέντα νόμον ἀνέγνωσαν· κεφάλαια δ' αὐτῦ τάδ' ἦν: ἄνδρας αἱρεθῆναι δέκα ὑπὸ τῦ δήμυ, συναχθείσης ἀγορᾶς ἐννόμυ, τὺς πρεσβυτάτυς τε καὶ φρονιμωτάτυς, οἷς ἐστι πλείστη πρόνοια τιμῆς τε καὶ δόξης ἀγαθῆς· τύτυς δὲ συγγράψαντας τὺς ὑπὲρ ἁπάντων νόμυς, τῶν τε κοινῶν καὶ τῶν ἰδίων, εἰς τὸν δῆμον ἐξενεγκεῖν· τὺς δὲ συγγραφησομένυς ὑπ' αὐτῶν νόμυς κεῖσθαι ἐν ἀγορᾷ, ταῖς καθ' ἕκαστον ἐνιαυτὸν ἀποδειχθησομέναις ἀρχαῖς, καὶ τοῖς ἰδιώταις, ὅρυς τῶν πρὸς ἀλλήλυς δικαίων. τῦτον προθέντες τὸν νόμον, ἐξυσίαν ἔδοσαν τοῖς βυλομένοις αὐτῦ κατηγορεῖν, ἀποδείξαντες τὴν τρίτην ἀγοράν. ἦσαν δὲ πολλοί, καὶ ὐχ οἱ φαυλότατοι τῶν ἐκ τῦ συνεδρίυ, πρεσβύτεροι καὶ νέοι, κατήγοροι τῦ νόμυ, λόγυς διεξιόντες ἐκ πολλῆς ἐπιμελείας καὶ παρασκευῆς· καὶ τῦτ' ἐφ' ἡμέρας ἐγίνετο συχνάς. ἔπειτα οἱ δήμαρχοι, δυσχεραίνοντες ἐπὶ τῇ διατριβῇ τῦ χρόνυ, λόγον μὲν ὐδένα ἔτι τοῖς κατηγόροις τῦ νόμυ προέθεσαν· ἡμέραν δ' ἀποδείξαντες, ἐν ᾗ κυρώσειν αὐτὸν ἔμελλον, παρεῖναι τὺς δημότας εἰς αὐτὴν παρεκάλυν ἀθρόυς, ὡς ὐκέτι ταῖς μακραῖς δημηγορίαις ἐνοχληθησομένυς, ἀλλ' ἐποίσοντας ὑπὲρ αὐτῦ τὴν ψῆφον κατὰ φυλάς. οἱ μὲν δὴ ταῦτα ὑποσχόμενοι, διέλυσαν τὴν ἐκκλησίαν.

Μετὰ δὲ ταῦτα οἵ τε ὕπατοι καὶ τῶν πατρικίων οἱ πλεῖστον δυνάμενοι, τραχύτερον ἤδη αὐτῶν προσιόντες καθήπτοντο, λέγοντες, ὡς ὐκ ἐπιτρέψυσιν αὐτοῖς νόμυς εἰσηγεῖσθαι, καὶ τύτυς ἀπροβυλεύτυς. συνθήκας γὰρ εἶναι κοινὰς πόλεων τὺς νόμυς, ὐχὶ μέρυς τῶν ἐν ταῖς πόλεσιν οἰκύντων. τῦ τε πονηροτάτυ ὀλέθρυ καὶ ἀνηκέστυ, καὶ ὐδ' εὐσχήμονος ἀρχὴν ἀπέφαινον εἶναι πόλεσί τε καὶ οἴκοις, ὅταν τὸ χείριστον τῷ κρατίστῳ νομοθετῇ. "Ποίαν δὲ ὑμεῖς, ἔφασαν, ὦ δήμαρχοι, νόμων εἰσφορᾶς, ἢ ἀναιρέσεως, ἐξυσίαν ἔχετε; ὐκ ἐπὶ ῥητοῖς μὲν δικαίοις τὴν ἀρχὴν

cap. 4. Quibus artibus patricii tribunorum consilium impedire studuerint.

ἀρχὴν ταύτην παρὰ τῆς βουλῆς ἐλάβετε, τοῖς δ' ἀδικουμένοις, ἢ κατισχυομένοις τῶν πενήτων βοηθεῖν ἠτήσασθε τοὺς δημάρχους, ἄλλο δὲ μηδὲν πολυπραγμονεῖν· εἰ δ' οὖν καὶ πρότερον ἦν τις ὑμῖν δύναμις, ἣν οὐκ ἐκ τοῦ δικαίου βιασάμενοι ἡμᾶς ἐλάβετε, ὑποκατακλινομένης ἑκάστῳ πλεονεκτήματι τῆς βουλῆς, οὐχὶ καὶ ταύτην νῦν ἀπολωλέκατε τῇ μεταβολῇ τῶν ἀρχαιρεσιῶν; οὔτε γὰρ βουλῆς δόγμα ὑμᾶς ἀποδείκνυσιν ἐπὶ τὴν ἀρχὴν, οὔτε αἱ φράτραι τὴν ψῆφον ὑπὲρ ὑμῶν ἐπιφέρουσιν, οὔτε ἱερὰ προθύετε τοῖς θεοῖς πρὸ τῶν ἀρχαιρεσιῶν, ἃ κατὰ νόμους ἐχρῆν ἐπιτελεῖσθαι, οὔτ' ἄλλο τῶν πρὸς τοὺς θεοὺς εὐσεβῶν, ἢ πρὸς ἀνθρώπους ὁσίων οὐδὲν ἐπὶ τῆς ἀρχῆς τῆς ὑμετέρας γίνεται. τίνος οὖν ὑμῖν ἔτι μέτεστι τῶν ἱερῶν καὶ σεβασμοῦ δεομένων, ὧν ἕν τι καὶ ὁ νόμος ἦν, ἐξαρνησαμένοις τὰ νόμιμα ἅπαντα;" Ταῦτά τε δὴ τοῖς δημάρχοις ἔλεγον οἱ πρεσβύτεροι καὶ οἱ νέοι αὐτῶν, κατὰ ἑταιρίας διεξιόντες ἀνὰ τὴν πόλιν, καὶ τοὺς μὲν ἐπιεικεστέρους τῶν πολιτῶν ὁμιλίαις ἀνελάμβανον κεχαρισμέναις, τοὺς δ' ἀπειθεῖς καὶ ταραχώδεις ἀπειλαῖς κατεπλήττοντο κινδύνων, εἰ μὴ σωφρονήσειαν. ἤδη δέ τινας τῶν πάνυ ἀπόρων καὶ ἀπερριμμένων, οἷς οὐδενὸς τῶν κοινῶν παρὰ τὰ ἴδια κέρδη φροντὶς ἦν, παίοντες ὥσπερ ἀνδράποδα, ἀνεῖργον ἐκ τῆς ἀγορᾶς.

cap. 14. A. U. 294. ante Chr. 460. App. Herdonius Capitolium occupat.

Ἐν τοιαύτῃ δὲ ταραχῇ τῆς πόλεως οὔσης, ἀνήρ τις ἐκ τοῦ Σαβίνων ἔθνους, πατέρων τ' οὐκ ἀφανῶν, καὶ χρήμασι δυνατὸς, Ἄππιος Ἑρδώνιος ὄνομα, καταλῦσαι τὴν Ῥωμαίων ἡγεμονίαν ἐπεβάλλετο, εἴθ' ἑαυτῷ τυραννίδα κατασκευαζόμενος, εἴτε τῷ Σαβίνων ἔθνει πράττων ἀρχὴν καὶ κράτος, εἴτ' ὀνόματος ἀξιωθῆναι βουλόμενος μεγάλου. κοινωσάμενος δὲ πολλοῖς τῶν φίλων, ἣν εἶχε διάνοιαν, καὶ τὸν τρόπον τῆς ἐπιχειρήσεως ἀφηγησάμενος, ἐπειδὴ κἀκείνοις ἐδόκει, συνήθροιζε τοὺς πελάτας, καὶ τῶν θεραπόντων, οὓς εἶχε, τοὺς εὐτολμοτάτους· καὶ δι' ὀλίγου χρόνου συγκροτήσας δύναμιν ἀνδρῶν τετρακισχιλίων μάλιστα, ὅπλα τε καὶ τροφὰς, καὶ τἆλλα, ὅσων δεῖ πολέμῳ, πάντα εὐτρεπισάμενος, εἰς σκάφας ποταμηγοὺς ἐνεβάλλετο, πλεύσας δὲ διὰ τοῦ Τιβέρεως ποταμοῦ, προσέσχε τῆς Ῥώμης κατὰ τοῦτο τὸ χωρίον, ἔνθα τὸ Καπιτώλιόν ἐστιν,

καὶ

ἀφ' ὅλον ςάδιον ἀπέχον τȣ̃ ποταμȣ̃. ἦσαν δὲ μέσαι τηνικαῦτα νύκτες, καὶ πολλὴ καθ' ὅλην τὴν πόλιν ἡσυχία· ἣν συνεργὸν λαβὼν, ἐξεβίβασε τȣ̀ς ἄνδρας κατὰ σπȣδὴν, καὶ διὰ τῶν ἀκλείςων πυλῶν· εἰσὶ γάρ τινες ἱεραὶ πύλαι τȣ̃ Καπιτωλίȣ κατά τι θέσφατον ἀνειμέναι· Καρμεντίνας αὐτὰς καλȣ̃σιν· ἀναβιβάσας τὴν δύναμιν, εἶχε τὸ Φρȣ́ριον. ἐκεῖθεν δ' ἐπὶ τὴν ἄκραν ὠσάμενος· ἔςι δὲ τῷ Καπιτωλίῳ προσεχής· κἀκείνης ἐγεγόνει κύριος. ἦν δὲ αὐτȣ̃ γνώμη, μετὰ τὸ κρατῆσαι τῶν ἐπικαιροτάτων τόπων, τȣ́ς τε Φυγάδας δέχεσθαι, καὶ τȣ̀ς δȣ́λȣς εἰς ἐλευθερίαν καλεῖν, καὶ χρεῶν ἄφεσιν ὑπισχνεῖσθαι τοῖς ἀπόροις, τȣ́ς τ' ἄλλȣς πολίτας, οἳ ταπεινὰ πράττοντες διὰ Φθόνȣ καὶ μίσȣς εἶχον τὰς ὑπεροχὰς, καὶ μεταβολῆς ἄσμενοι ἂν ἐλάβοντο, κοινωνȣ̀ς ποιεῖσθαι τῶν ὠφελειῶν. ἡ δὲ θαῤῥεῖν τ' αὐτὸν ἐπαγομένη καὶ πλανῶσα ἐλπὶς, ὡς ȣ̓δενὸς ἀτυχήσοντα τῶν προσδοκωμένων, ἡ πολιτικὴ ςάσις ἦν, δι' ἣν ȣ̓́τε Φιλίαν, ȣ̓́τε κοινωνίαν ȣ̓δεμίαν ὑπελάμβανε τῷ δήμῳ πρὸς τȣ̀ς πατρικίȣς ἔτι γενήσεσθαι. ἐὰν δ' ἄρα μηδὲν αὐτῷ τȣ́των κατὰ νȣ̃ν χωρῇ, τηνικαῦτα Σαβίνȣς τε πανςρατιᾷ καλεῖν ἐδέδοκτο, καὶ Ὀυολȣ́σκȣς, καὶ τῶν ἄλλων πλησιοχώρων, ὅσοις ἂν ᾖ βȣλομένοις τῆς Ῥωμαίων ἀπηλλάχθαι ἐπιφθόνȣ ἀρχῆς.

Συνέβη δ' αὐτῷ πάντων διαμαρτεῖν, ὧν ἤλπισεν, ȣ̓́τε δȣ́λων αὐτομολησάντων πρὸς αὐτὸν, ȣ̓́τε Φυγάδων κατελθόντων, ȣ̓́τ' ἀτίμων καὶ καταχρέων τὸ ἴδιον κέρδος ἀντὶ τȣ̃ κοινȣ̃ συμΦέροντος ἀλλαξαμένων, τῆς τ' ἔξωθεν ἐπικȣρίας ȣ̓ λαβȣ́σης χρόνον ἱκανὸν εἰς παρασκευὴν τȣ̃ πολέμȣ· τρισὶ γὰρ ἢ τέσσαρσι ταῖς πρώταις ἡμέραις τέλος εἴληΦε τὰ πράγματα, μέγα δέος καὶ πολλὴν ταραχὴν Ῥωμαίοις παρασχόντα. ἁλισκομένων γὰρ τῶν Φρȣρίων, ὁ μὲν Ἑρδώνιος· ἦν γὰρ καὶ ῥώμῃ σώματος διάΦορος, καὶ κατὰ χεῖρα γενναῖος· ἄπιςόν τι χρῆμα περὶ αὐτὸν ποιήσας νεκρῶν, ὑπὸ πλήθȣς βελῶν ἀποθνήσκει. τῶν δὲ σὺν αὐτῷ τὰ Φρȣ́ρια καταλαβομένων ὀλίγοι μέν τινες ζῶντες ἑάλωσαν, οἱ δὲ πλείȣς σφάττοντες ἑαυτȣ̀ς, ἢ κατὰ τῶν κρημνῶν ὠθȣ̃ντες, διεφθάρησαν.

(Τοῖς δ' ἑξῆς ἔτεσιν Ὀυολȣ́σκων τε καὶ Αἰκανῶν, ἤτοι Σαβίνων δύναμις ἐξελήλυθε ἐπὶ Ῥωμαίȣς καὶ πολλὴν

cap. 15.

cap. 16. Captis arcibus latrones fere omnes una cum Herdonio intereunt.

cap. 26. A. U. 295. 296. ante Chr. 459. 458.

Volsci, Aequi & Sabini iterum iterumque irruptiones faciunt in agrum Romanum. A. U. 297. ante Chr. 457. Denuo a Sabinis & Aequis in agrum Rom. incursione facta Virginius tribunus nova ad populi potentiam augendam molitur.

λὴν τῆς χώρας αὐτῶν ἐδῄωσε. ὁσάκις μὲν οὖν οἱ ὕπατοι βοηθεῖν ᾤοντο δεῖν ταῖς χώραις, ἀντέπραττον οἱ δήμαρχοι, στρατιὰν οὐκ ἐῶντες καταγράφειν, ἕως ἂν ἡ περὶ τοῦ νόμου διενεχθῇ ψῆφος. ὕστερον δὲ ἑκάστοτε εἴασαν· ἐπὶ δὲ Γαΐου Ὁρατίου καὶ Κοΐντου Μινυκίου τὴν ὕπατον ἀρχὴν ἐν Ῥώμῃ ἐχόντων) Σαβῖνοι πάλιν στρατεύσαντες ἐπὶ Ῥωμαίους, πολλὴν τῆς χώρας αὐτῶν ἐδῄωσαν, καὶ ἧκον οἱ φυγόντες ἐκ τῶν ἀγρῶν ἀθρόοι, κρατεῖσθαι πάντα ὑπ᾽ αὐτῶν τὰ μεταξὺ Κρουστομερείας τε καὶ Φιδήνης λέγοντες. Αἰκανοί τε οἱ νεωστὶ καταπολεμηθέντες, ἐν τοῖς ὅπλοις αὖθις ἦσαν· καὶ οἱ μὲν ἀκμαιότατοι αὐτῶν νυκτὸς ἐλάσαντες ἐπὶ Κορβιῶνα πόλιν, ἣν ἐν τῷ παρελθόντι ἐνιαυτῷ Ῥωμαίοις παρέδοσαν, τήν τε φρουρὰν τὴν ἐν αὐτῇ κοιμωμένην εὑρόντες κατέσφαξαν, πλὴν ὀλίγων, οἳ ἔτυχον ἀφυστεροῦντες· οἱ δὲ λοιποὶ μεγάλῃ χειρὶ στρατεύσαντες ἐπὶ πόλιν Βιρτῶνα τοῦ Λατίνων ἔθνους, ἐξ ἐφόδου παραλαμβάνονται, καὶ ὅσα Ῥωμαίους οὐχ οἷοί τε ἦσαν ἐργάσασθαι, ταῦτα δι᾽ ὀργὴν τοὺς συμμάχους αὐτῶν διέθεσαν· τοὺς μὲν ἐν ἥβῃ πάντας, πλὴν εἴ τινες διέφυγον εὐθὺς ἁλισκομένης τῆς πόλεως, ἀπέκτειναν, γυναῖκας δὲ καὶ παῖδας αὐτῶν, καὶ τὰ γηραιὰ τῶν σωμάτων ἠνδραποδίσαντο, καὶ τῶν χρημάτων, ὅσα δύναμις αὐτοῖς φέρειν ἦν, συσκευασάμενοι κατὰ σπουδὴν, πρὶν ἅπαντας ἐπιβοηθῆσαι Λατίνους, ἀνέστρεψαν. τούτων δὲ ἅμα προσαγγελλομένων ὑπό τε Λατίνων καὶ τῶν ἐκ τῆς φρουρᾶς διασωθέντων, ἡ μὲν βουλὴ στρατιὰν ἐκπέμπειν ἐψηφίσατο, καὶ τοὺς ὑπάτους ἀμφοτέρους πορεύεσθαι· οἱ δὲ περὶ τὸν Οὐεργίνιον δήμαρχοι, πέμπτον ἔτος ἐπὶ τῆς αὐτῆς ὄντες ἐξουσίας, ἐκώλυον, ὥσπερ καὶ ἐν τοῖς πρότερον ἐποίουν ἔτεσιν, ἐνιστάμενοι ταῖς στρατολογίαις τῶν ὑπάτων, τὸν ἐντὸς τείχους πρῶτον ἀξιοῦντες καταλυθῆναι πόλεμον, ἀποδοθείσης τῷ δήμῳ τῆς περὶ τοῦ νόμου διαγνώσεως, ὃν ὑπὲρ τῆς ἰσηγορίας εἰσέφερον. ὅ τε δῆμος αὐτοῖς συνελάμβανε πολλοὺς κατὰ τῆς βουλῆς καὶ ἐπιφθόνους διεξιοῦσι λόγους. ἑλκομένου δὲ τοῦ χρόνου, καὶ οὔτε τῶν ὑπάτων ὑπομενόντων προβουλεῦσαί τε καὶ εἰς τὸν δῆμον ἐξενεγκεῖν τὸν νόμον, οὔτε τῶν δημάρχων συγχωρῆσαι βουλομένων τὴν καταγραφὴν καὶ τὴν ἔξοδον τῆς στρατιᾶς γενέσθαι, λόγων τε πολλῶν, καὶ κατηγοριῶν, ἃς

ἐποι-

Digitized by Google

ἐποιοῦντο κατ' ἀλλήλων ἔν τε ταῖς ἐκκλησίαις καὶ ἐπὶ τῆς βουλῆς, μάτην ἀναλισκομένων, ἑτέρα τις εἰσαχθεῖσα ὑπὸ τῶν δημάρχων ἐπὶ τῇ βουλῇ πολιτεία, καὶ παρακρουσαμένη τὸ συνέδριον, τὴν μὲν τότε κατέχουσαν στάσιν ἐπράϋνεν, ἑτέρων δὲ πολλῶν καὶ μεγάλων ἐγένετο πλεονεκτημάτων αἰτία τῷ δήμῳ.

"Ἡμεῖς (ἔφη ὁ Ὀυεργίνιος) οὔτ' ἐγκαταλείπομεν, οὔτε προδίδομεν ὑμᾶς, ὦ πατέρες, οὐδ' ἂν ἀπολειφθείημεν ὑμῶν, ὥσπερ οὐδὲ πρότερον ἠξιώσαμεν οὐδεμιᾶς ἀπολειφθῆναι στρατείας, ἀλλὰ καὶ ζῆν αἱρούμεθα σὺν ὑμῖν, καὶ πάσχειν, ὅ τι ἂν τῷ δαιμονίῳ δοκῇ μεθ' ὑμῶν. πρόθυμοι δ' ἐν παντὶ καιρῷ περὶ ὑμᾶς γεγονότες, ἀξιοῦμεν μετρίας παρ' ὑμῶν τυχεῖν χάριτος, ὥσπερ τῶν κοινῶν κινδύνων ἰσομοιροῦμεν ὑμῖν, οὕτω καὶ τῶν δικαίων τὸ ἴσον ἔχειν, νόμους κατασησάμενοι φύλακας τῆς ἐλευθερίας, οἷς ἅπαντες ἀεὶ χρησόμεθα. εἰ δὲ προσίσταται τοῦτο ὑμῖν, καὶ οὐκ ἀξιοῦτε τοῖς ἑαυτῶν πολίταις ταύτην συγχωρῆσαι τὴν χάριν, ἀλλὰ θανάτου τιμᾶσθε τὸ μεταδοῦναι τῷ δήμῳ τῆς ἰσηγορίας, οὐκέτι φιλονεικοῦμεν ὑμῖν· αἰτησόμεθα δὲ ἑτέραν παρ' ὑμῶν χάριν, ἧς τυχόντες, ἴσως ἂν οὐδὲ καινῶν ἔτι δεηθείημεν νόμων. εἰσέρχεται δ' ἡμᾶς εὐλάβεια, μή ποτ' οὐδὲ ταύτης τύχωμεν, ἐξ ἧς τῇ βουλῇ μὲν οὐδὲν ἔσαι βλάβος, τῷ δὲ δήμῳ τιμή τις ὑπάρξει καὶ φιλανθρωπία." cap. 29.

Εἰπόντος δὲ τοῦ ὑπάτου, ὅτι τοῦτο τὸ πολίτευμα τῇ βουλῇ συγχωροῦντες οὐδενὸς ἄλλου ἁμαρτήσονται τῶν δεόντων, καὶ κελεύοντος λέγειν, ὅτου δέονται, ὀλίγα διαλεχθεὶς τοῖς συνάρχουσιν ὁ Ὀυεργίνιος, ἐπὶ τῆς βουλῆς ἔφη ἐρεῖν. καὶ μετὰ ταῦτα συναγαγόντων τὸ συνέδριον τῶν ὑπάτων, παρελθὼν καὶ τὰ δίκαια τοῦ δήμου πρὸς τὴν βουλὴν ἅπαντα εἰσενεγκάμενος, ᾐτήσατο διπλασιασθῆναι τὴν ἀρχὴν τὴν προϊσταμένην τοῦ δήμου, καὶ ἀντὶ τῶν πέντε δημάρχων δέκα εἰς ἐνιαυτὸν ἕκαστον ἀποδείκνυσθαι. τοῦτο οἱ μὲν ἄλλοι βλάβην οὐδεμίαν ᾤοντο τῷ κοινῷ φέρειν, ἀλλὰ διδόναι καὶ μὴ ἀντιπράττειν παρῄνουν, ἄρχοντος τῆς γνώμης Λευκίου Κοϊντίου, τοῦ τότε μέγιστον ἔχοντος ἐν τῇ βουλῇ κράτος. εἷς δὲ μόνος ἀντέλεγε Γάϊος Κλαύδιος, υἱὸς Ἀππίου Κλαυδίου, τοῦ παρὰ πάντα τὸν χρόνον τοῖς εἰσηγήμασι τῶν δημοτικῶν, εἴ τινα μὴ νόμιμα ἦν, ἐναντιου- cap. 30.

τιωθέντος, διαδεδεγμένος τὰ πολιτεύματα τȣ̃ πατρὸς, καὶ, ὅτ' αὐτὸς εἶχε τὴν ὕπατον ἀρχὴν, κωλύσας δοθῆναι τοῖς δημάρχοις τὴν κατὰ τῶν ἱππέων τῶν ἐπὶ τῇ συνωμοσίᾳ διαβαλλομένων ἐξέτασιν. καὶ μακρὸν διεξελθὼν λόγον, ἐδίδασκεν, ὅτι ȣ̓́τε μετριώτερος μὲν ὁ δῆμος, ȣ̓δὲ χρηςότερος ἔςαι, διπλασιαθείσης αὐτῷ τῆς ἀρχῆς, ἀνοητότερος δὲ καὶ βαρύτερος. ȣ̓ γὰρ ἐπὶ ῥητοῖς τισι παραλήψεσθαι τὴν ἀρχὴν τȣ̀ς ὕςερον ἀποδειχθησομένȣς, ὥςε μένειν ἐπὶ τοῖς καθεςηκόσιν, ἀλλὰ καὶ τὸν περὶ τῆς κληρȣχίας αὖθις προθήσειν λόγον, καὶ τὸν ὑπὲρ τῆς ἰσοτιμίας, καὶ πάντας ἑξῆς ζητήσειν, ὅ τι λέγοντες, ἢ πράττοντες, τὸ μὲν τȣ̃ δήμȣ κράτος αὐξήσȣσι, τὰς δὲ τῆς βȣλῆς τιμὰς καταλύσȣσι. καὶ σφόδρα ἐκίνησε τȣ̀ς πολλȣ̀ς ὁ λόγος. ἔπειτα μετήγαγεν αὐτȣ̀ς ὁ Κοΐντιος, διδάσκων, ὅτι πρὸς τῆς βȣλῆς ἐςι τὸ πολλȣ̀ς εἶναι τȣ̃ δήμȣ προςάτας. ἧττον γὰρ ὁμονοήσειν τȣ̀ς πλείȣς τῶν ἐλαττόνων· μίαν δὲ βοήθειαν εἶναι τοῖς κοινοῖς, ἣν Ἄππιον Κλαύδιον, τὸν Γαΐȣ πατέρα, πρῶτον ἰδεῖν, ἐὰν ςασιάζῃ τὸ ἄρχον, καὶ μὴ ἅπασι τὸ αὐτὸ δοκῇ. ἐδόκει τε δὴ ταῦτα, καὶ γίνεται δόγμα βȣλῆς· "ἐξεῖναι τῷ δήμῳ δέκα δημάρχȣς καθ' ἕκαςον ἐνιαυτὸν ἀποδεικνύναι, τῶν δὲ τότ' ὄντων ἐν ἀρχῇ μηδένα." τȣ̃το τὸ προβȣ́λευμα οἱ περὶ τὸν Ὀυεργίνιον λαβόντες ἐξήνεγκαν, καὶ κυρώσαντες τὸν ἐπ' αὐτῷ γραφέντα νόμον, δέκα δημάρχȣς εἰς τὸν ἐπιόντα ἐνιαυτὸν ἀπέδειξαν. παυσαμένης δὲ τῆς ςάσεως, καταγράψαντες τȣ̀ς δυνάμεις οἱ ὕπατοι, διεκληρώσαντο τὰς ἐξόδȣς· καὶ Μινυκίῳ μὲν [ȣ̓̃ν] ὁ κατὰ Σαβίνων πόλεμος ἐδόθη, Ὁρατίῳ δὲ ὁ κατ' Αἰκανῶν· καὶ κατὰ σπȣδὴν ἐξῄεσαν ἀμφότεροι. Σαβῖνοι μὲν ȣ̓̃ν τὰς πόλεις διὰ φυλακῆς ἔχοντες, ὑπερεῖδον ἀγομένων τε καὶ φερομένων ἁπάντων τῶν κατὰ τȣ̀ς ἀγρȣ́ς. Αἰκανοὶ δὲ τὴν ἐναντιωσομένην Ῥωμαίοις δύναμιν ἀπέςειλαν. ἀγωνισάμενοι δὲ λαμπρῶς, ȣ̓χ οἷοί τ' ἐγένοντο, τὴν Ῥωμαίων ὑπερβαλέσθαι δύναμιν, ἀλλ' ἠναγκάσθησαν εἰς τὰς πόλεις ἀπελθεῖν, ἀποβαλόντες τὸ πολίχνιον, ὑπὲρ ȣ̔̃ τὸν ἀγῶνα ἐποιȣ̃ντο. Ὁράτιος δὲ, τρεψάμενος τȣ̀ς πολεμίȣς, καὶ πολλὰ τῆς χώρας αὐτῶν κακώσας, τȣ̃ τε Κορβιῶνος τὰ τείχη κατασπάσας, καὶ τὰς οἰκήσεις ἐκ θεμελίων ἀνελὼν, ἀπῆγε τὴν δύναμιν ἐπ' οἴκȣ.

Permittitur plebi x tribunos quotannis creare.

Sedata hoc senatusconsulto seditione, copiis conscriptis profligantur Sabini & Volsci.

Τῇ

Digitized by Google

Τῷ δὲ ἑξῆς ἔτει Μάρκυ Οὐαλερίυ καὶ (Σπορίυ) Οὐεργινίυ τὴν ὑπατείαν ἐχόντων, ςρατιὰ μὲν ὑπερόριος ὐδεμία ἐξῆλθε Ῥωμαίων, πολιτικὰ δὲ προσκρέσματα τοῖς δημάρχοις πρὸς τὰς ὑπάτυς συνέςη πάλιν, ἐξ ὧν ἔσχον οἱ δήμαρχοι παρασπάσαντές τι τῆς ὑπατικῆς δυναςείας. τῶν μὲν γὰρ ἔμπροσθεν χρόνων ἐκκλησίας μόνον ἦσαν οἱ δήμαρχοι κύριοι, βυλὴν δὲ συναγαγεῖν, ἢ γνώμην ἀγορεύειν, ὐκ ἐξῆν αὐτοῖς, ἀλλ' ἦν τῶν ὑπάτων τῦτο τὸ γέρας. οἱ δὲ τότε δήμαρχοι πρῶτον συγκαλεῖν ἐπεβάλοντο τὴν βυλὴν, Ἰκιλλίυ τὴν πεῖραν εἰσηγησαμένυ, ὃς ἡγεῖτο μὲν τῦ ἀρχείυ, δραςήριος δέ τις ἦν ἀνὴρ, καὶ, ὡς Ῥωμαῖος, εἰπεῖν ὐκ ἀδύνατος. εἰσέφερε γάρ τι καὶ ὗτος πολίτευμα καινὸν, ἀξιῶν ἀπομερισθῆναι τοῖς δημόταις τόπον εἰς οἰκιῶν κατασκευὰς τὸν καλύμενον Ἀυεντῖνον. ἔςι δὲ λόφος ὑψηλὸς ἐπιεικῶς, ὐκ ἐλάττων ἢ δώδεκα ςαδίων τὴν περίμετρον, ἐμπεριεχόμενος τῇ πόλει· ὃς ὐχ ἅπας τότ' ᾤκητο, ἀλλ' ἦν δημόσιός τε καὶ ὕλης ἀνάπλεως. τῦτο τὸ πολίτευμα εἰσάγων ὁ δήμαρχος, τοῖς τότε ὑπάτοις καὶ τῇ βυλῇ προσήει δεόμενος τὸν ἐπ' αὐτῷ γραφέντα νόμον προβυλεῦσαί τε καὶ εἰς τὸν δῆμον ἐξενεγκεῖν. ἀναβαλλομένων δὲ καὶ παρελκόντων τῶν ὑπάτων τὸν χρόνον, πέμψας τὸν ὑπηρέτην ὡς αὐτὰς, ἐκέλευσεν ἐπὶ τὴν ἀρχὴν ἀκολυθεῖν, καὶ τὴν βυλὴν συγκαλεῖν. ἐπεὶ δὲ τὸν ὑπηρέτην κελευσθείς τις τῶν ῥαβδύχων ἀπήλασεν, ἀγανακτήσας ὁ Ἰκίλλιος καὶ οἱ συνάρχοντες αὐτῷ, συνέλαβον τὸν ῥαβδῦχον, καὶ ἀπήγαγον, ὡς ῥίψοντες κατὰ τῆς πέτρας. οἱ δὲ ὕπατοι βιάσασθαι μὲν, ἢ τὸν ἀγόμενον ἀφελέσθαι, καίτοι δεινὰ δοκῦντες ὑβρίζεσθαι, ἀδύνατοι ἦσαν· ἐπεκαλῦντο δὲ τὴν ἐκ τῶν ἄλλων δημάρχων βοήθειαν. ὐδὲν γὰρ τῶν πραττομένων ὑπὸ τῆς ἀρχῆς ἐκείνης ἐπισχεῖν, ἢ κωλῦσαι τῶν ἄλλων τινὶ ἔξεςιν, ἀλλ' ἑτέρυ δημάρχυ τῦτ' ἐςὶ τὸ κράτος. τοῖς δ' ἄρα πᾶσιν ἦν ταῦτα κατ' ἀρχὰς δεδογμένα, μήτ' εἰσηγήσασθαί τινα καινὸν πολίτευμα μηδὲν ἐφ' ἑαυτῷ βαλλόμενον, ἐὰν μὴ πᾶσι τὸ αὐτὸ δοκῇ, μήτ' ἐναντιωθῆναί τινα τοῖς πραττομένοις, ἀλλ' ὃ ἂν αἱ πλείυς γνῶμαι δοκιμάσωσι, τῦτ' εἶναι κύριον. καὶ περὶ τύτων εὐθὺς ἅμα τῷ παραλαβεῖν τὴν ἀρχὴν ἱερὰ θύσαντες, ὅρκυς ἔδοσαν ἀλλήλοις· ὕτως οἰόμενοι μάλιςα τὸ τῆς δημαρχίας

cap. 31.
A. U. 298.
ante Chr. 456.
Tribuni sibi jus senatum convocandi arrogant auctore Icilio.

Digitized by Google

χίας ἀκατάλυτον ἔσεσθαι κράτος, ἐὰν τὸ ςασιάζον ἐξ αὐτῆς ἀναιρεθῇ. τῦτο δὴ φυλάτ]οντες τὸ συνωμόσιον, εἶπον ἀπάγεσθαι τὸν φύλακα τῆς ἀρχῆς τῶν ὑπάτων, κοινὴν ἁπάντων εἶναι λέγοντες τὴν γνώμην. ὐ μὴν διέμεινάν γ' ἐπὶ τῆς ὀργῆς, ἀλλὰ τοῖς πρεσβυτάτοις τῶν ἐκ τῦ συνεδρίυ παραιτυμένοις τὸν ἄνδρα ἀφῆκαν, τόν τε φθόνον ὑφορώμενοι τῦ πράγματος, ὅτι πρῶτοι ἔμελλον θανάτῳ ζημιῶσαι τὸν ἄνδρα τὸ κελευθὲν ὑπὸ τῶν ἀρχόντων ποιήσαντα, καὶ δεδοικότες, μὴ ἀπὸ ταύτης τῆς προφάσεως εἰς ἀπόνοιαν ἀναγκασθῶσιν οἱ πατρίκιοι τραπέσθαι.

cap. 32. Μετὰ τῦτο τὸ ἔργον συναχθείσης τῆς βυλῆς, οἱ μὲν ὕπατοι κατηγορίαν πολλὴν ἐποιήσαντο τῶν δημάρχων· παραλαβὼν δὲ τὸν λόγον ὁ Ἰκίλλιος, περὶ τῆς εἰς τὸν ὑπηρέτην ὀργῆς ἀπελογεῖτο, τὺς ἱερὺς προφερόμενος νόμυς· "ὔτε γὰρ ἄρχοντι, ὔτ' ἰδιώτῃ συνεχωρεῖτο πράτ]ειν ὐδὲν ἐναντίον δημάρχῳ." καὶ περὶ τῦ συγκαλεῖν τὴν βυλὴν ἐδίδασκεν, ὡς ὐδὲν εἴη πεποιηκὼς ἄτοπον, πολλὺς καὶ παντοδαπὺς εἰς τῦτο παρασκευασάμενος λόγυς. ὡς δ' ἀπελύσατο ταύτας τὰς κατηγορίας, τὸν ὑπὲρ τῦ νόμυ λόγον εἰσέφερεν. ἦν δὲ τοιόσδε· "Ὅσα μὲν ἰδιῶται τινὲς εἶχον ἐκ δικαίυ κ]ησάμενοι, ταῦτα τὺς κυρίυς κατέχειν· ὅσα δὲ βεβιασμένοι τινὲς, ἢ κλοπῇ λαβόντες, ᾠκοδομήσαντο, κομισαμένυς τὰς δαπάνας, ἃς ἂν οἱ διαιτηταὶ γνῶσι, τῷ δήμῳ παραδιδόναι· τὰ δ' ἄλλα, ὅσα ἂν ᾖ δημόσια, χωρὶς ὠνῆς τὸν δῆμον παραλαβόντα διελέσθαι." ἐδίδασκέ τε, ὅτι τῦτο τὸ πολίτευμα εἰς πολλὰ μὲν καὶ ἄλλα συνοίσει τῇ πόλει, μάλιςα δ' εἰς τὸ μὴ ςασιάζειν ἔτι περὶ τῆς δημοσίας χώρας τὺς πένητας, ἣν οἱ πατρίκιοι κατεῖχον. ἀγαπήσειν γὰρ αὐτὺς τῆς πόλεως λαχόντας μέρος, ἐπειδὴ τῆς χώρας ὐκ ἔξεσι, διὰ τὺς ἐσφετερισμένυς αὐτὴν, πολλὺς ὄντας καὶ δυνατύς. τοιύτων ῥηθέντων ὑπ' αὐτῦ λόγων, ὁ μὲν ἀντιλέγων Γάϊος Κλαύδιος ἦν μόνος, οἱ δὲ συγκατα λέγοντες πολλοί. καὶ ἔδοξε διδόναι τῷ δήμῳ τὸν τόπον, μετὰ τῦτο ἱεροφαντῶν τε παρόντων, καὶ οἰωνοσκόπων, καὶ ἱεροποιῶν δυοῖν, καὶ ποιησαμένων τὰς νομίμυς εὐχάς τε καὶ ἀρὰς, ἐν τῇ λοχίτιδι ἐκκλησίᾳ συναχθείσῃ ὑπὸ τῶν ὑπάτων, ὁ νόμος ἐκυρώθη, ὅς ἐςιν ἐν ςήλῃ χαλκῇ γεγραμμένος, ἣν ἀνέθεσαν ἐν τῷ Ἀυεντίνῳ, κομίσαν-

Eodem aucto- re Aventinus mons plebi ad aedificandum conceditur.

τες

τες εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν. κυρωθέντος δὲ τοῦ νόμου, συνελθόντες οἱ δημόται τά τ' οἰκόπεδα διελάγχανον, καὶ κατῳκοδόμουν, ὅσον ἕκαστοι τόπον δυνηθεῖεν, ἀπολαμβάνοντες. εἰσὶ δὲ, οἱ σύνδυο καὶ σύντρεις καὶ ἔτι πλείονες συνιόντες οἰκίαν κατεσκευάζοντο μίαν, ἑτέρων μὲν τὰ κατάγεια λαγχανόντων, ἑτέρων δὲ τὰ ὑπερῷα. ὁ μὲν οὖν ἐνιαυτὸς ἐκεῖνος εἰς τὰς κατασκευὰς τῶν οἰκήσεων ἐδαπανήθη.

Ὁ δὲ μετὰ τοῦτον, ἐν ᾧ τὴν ὕπατον ἀρχὴν παρειλήφεσαν Τίτος Ῥωμίλιος καὶ Γάιος Οὐετούριος, δήμαρχοι δ' ἦσαν οἱ περὶ Λεύκιον Ἰκίλλιον, τὸ δεύτερον ἄρχειν ἑξῆς αἱρεθέντες, οὐχ ἁπλοῦς, ἀλλὰ ποικίλος τις ἐγένετο καὶ μεστὸς μεγάλων πραγμάτων. Σίκκιος μὲν γὰρ, ὁ τὸν Αἰκανῶν στρατὸν αὐτῷ χάρακι ἀράμενος, δήμαρχος τότ' ἀποδειχθεὶς τῇ πρώτῃ τῆς ἀρχῆς ἡμέρᾳ, θύσας σωτήρια κατὰ νόμον, πρὶν ὁτιοῦν ἄλλο διαπράξασθαι τῶν κοινῶν, προεῖπεν ἐν ἐκκλησίᾳ Τίτον Ῥωμίλιον ἥκειν ἀπολογησόμενον ἀδικήματος δημοσίου δίκην ἐπὶ δικαστῇ τῷ δήμῳ, τὸν χρόνον ἀποδείξας τοῦ ἀγῶνος. Λεύκιος δὲ τότ' ἀγορανομῶν, δήμαρχος δὲ τῷ παρελθόντι ἔτει γεγονὼς, τὸν ἕτερον τῶν περυσινῶν ὑπάτων, Γάϊον Οὐετούριον, εἰς ὁμοίαν δίκην προσεκαλέσατο. πολλῆς δὲ γενομένης ἐν τῷ μεταξὺ τοῦ ἀγῶνος χρόνῳ σπουδῆς τε καὶ παρακλήσεως ἀμφοτέρων, οἱ μὲν ὑπατικοὶ πολλὰς ἐλπίδας εἶχον ἐπὶ τῇ βουλῇ, καὶ τὸ κινδύνευμα ἐν ἐλαφρῷ ἐποιοῦντο, ὑπισχνουμένων αὐτοῖς πρεσβυτέρων τε καὶ νέων οὐκ ἐάσειν τὸν ἀγῶνα ἐπιτελεσθῆναι. οἱ δὲ δήμαρχοι πάντα ἐκ πολλοῦ φυλαττόμενοι, καὶ οὔτε δεήσεις, οὔτ' ἀπειλὰς, οὔτε κίνδυνον οὐδένα ὑπολογιζόμενοι, ἐπειδὴ καθῆκεν ὁ τοῦ ἀγῶνος χρόνος, ἐκάλουν τὸν δῆμον. ἦν δὲ καλλίτερον ἔτι συνερρυηκὼς ἐκ τῶν ἀγρῶν ὁ χερνήτης καὶ αὐτουργὸς ὄχλος, καὶ προσνεμηθεὶς τῷ κατὰ πόλιν, τήν τ' ἀγορὰν ἐνέπλησε, καὶ τοὺς φέροντας εἰς αὐτὴν στενωπούς.

Πρώτη μὲν οὖν εἰσῆλθεν ἡ κατὰ Ῥωμιλίου δίκη. καὶ παρελθὼν ὁ Σίκκιος τά τ' ἄλλα κατηγόρει τοῦ ἀνδρὸς, ὅσα ὑπατεύων βίᾳ εἰς τοὺς δημάρχους ἔδοξε διαπράξασθαι, καὶ τελευτῶν τὴν ἐπιβουλὴν διεξῄει τὴν ἐφ' ἑαυτῷ τε καὶ τῇ σπείρᾳ γενομένην ὑπὸ τοῦ στρατηγοῦ· καὶ παρείχετο ταύτης μάρτυρας τῶν στρατευσαμένων τοὺς ἐπιφανεστάτους,

cap. 33. & 48.
A. U. 299.
ante Chr. 455.
T Romilius & C. Veturius Coss. a tribunis accusati damnantur.

cap. 49.

Digitized by Google

οὐ δημοτικὸς, ἀλλὰ πατρικίους· ἐν οἷς ἦν νεανίας οὐκ ἀφανής, οὔτε κατὰ γένος ἀξίωσιν, οὔτε κατὰ τὴν οἰκείαν ἀρετήν, καὶ τὰ πολέμια πάνυ ἀγαθός· Σπόριος Οὐεργίνιος ἦν ὄνομα αὐτῷ. Ἀπολογηθέντος δὲ τοῦ Ῥωμιλίου, καὶ διελθόντος λόγον, οὔτε θεραπευτικὸν, οὔτε ἁρμόττοντα τοῖς καιροῖς, ἀλλ᾿ ὑψηλὸν, καὶ ἐπὶ τῷ ἀνυπευθύνῳ τῆς ἀρχῆς μέγα φρονοῦντα, διπλασίως ἔτι ἐπερρώσθησαν εἰς τὴν κατ᾿ αὐτοῦ ὀργὴν οἱ πολῖται. καὶ γενόμενοι τῶν ψήφων κύριοι, κατέγνωσαν ἀδικεῖν οὕτως, ὥστε πάσαις ταῖς ψήφοις τῶν φυλῶν ἁλῶναι τὸν ἄνδρα. ἦν δὲ τὸ τίμημα τῆς δίκης ἀργυρικὸν, ἀσσάρια μυρία. καὶ τοῦτ᾿ οὐκ ἄνευ προνοίας ὁ Σίκκιος ποιῆσαί μοι δοκεῖ τινος, ἀλλ᾿ ἵνα τοῖς τε πατρικίοις ἐλάττων ἡ περὶ τοῦ ἀνδρὸς σπουδὴ γένηται, καὶ μηδὲν ἐξαμάρτωσι περὶ τὴν ψηφοφορίαν, ἐνθυμηθέντες, ὅτι εἰς ἀργύριον ζημιώσεται ὁ ἁλοὺς, καὶ εἰς οὐδὲν ἕτερον, καὶ τοῖς δημοτικοῖς ἡ πρὸς τὴν τιμωρίαν ὁρμὴ προθυμοτέρα, μήτε ψυχῆς ἄνδρα ὑπατικὸν, μήτε πατρίδος ἀποστεροῦσα. Ῥωμιλίου δὲ καταδικασθέντος, οὐ πολλαῖς ὕστερον ἡμέραις καὶ Οὐετούριος ἑάλω. τίμημα δὲ καὶ ἐκείνῳ ἐπεγέγραπτο ἀργυρικὸν, ἡμιόλιον θατέρου.

cap. 50. A. U. 300. ante Chr. 454. Novi Coss., antecessorum suorum exemplo territi, plebi aperte favent; adeoque legem ferunt, licere omnibus magistratibus mulctam irrogare,

Ταῦτα δὲ λογιζομένοις τοῖς (τῷ ἑξῆς ἔτει) ἐν ἀρχῇ ὑπάτοις (παρέλαβον δ᾿ αὐτὴν Σπόριος Ταρπήϊος καὶ Αὖλος Τερμήνιος) πολὺ παρέστη δέος, καὶ τοῦ μὴ ταὐτὰ παθεῖν ὑπὸ τοῦ δήμου μετὰ τὴν ὑπατείαν πρόνοια. ὥστ᾿ οὐκέτι ἀποκρυπτόμενοι τὰς γνώμας, ἀλλὰ φανερῶς τὰ τοῦ δήμου πολιτευόμενοι διετέλουν. πρῶτον μὲν οὖν ἐπὶ τῆς λοχίτιδος ἐκκλησίας νόμον ἐκύρωσαν, "ἵνα ταῖς ἀρχαῖς πάσαις ἐξῇ τοὺς ἀκοσμοῦντας, ἢ παρανομοῦντας εἰς τὴν ἑαυτῶν ἐξουσίαν ζημιοῦν·" τέως γὰρ οὐχ ἅπασιν ἐξῆν, ἀλλὰ τοῖς ὑπάτοις μόνοις. τὸ μέντοι τίμημα οὐκ ἐπ᾿ αὐτοῖς τοῖς ζημιοῦσιν, ὁπόσον θεῖναι δοκεῖ, κατέλιπον, ἀλλ᾿ αὐτοὶ τὴν ἀξίαν ὥρισαν, μέγιστον ἀποδείξαντες ὅρον ζημίας, δύο βόας καὶ τριάκοντα πρόβατα. καὶ οὗτος ὁ νόμος ἄχρι πολλοῦ διέμεινεν ὑπὸ Ῥωμαίων διαφυλαττόμενος. ἔπειτα περὶ τῶν νόμων, οὓς ἐσπούδαζον οἱ δήμαρχοι κοινοὺς ἐπὶ πᾶσι Ῥωμαίοις γραφῆναι, καὶ εἰς ἅπαντα τὸν χρόνον διαφυλαχθησομένους, διάγνωσιν ἀπέδωκαν τῇ βουλῇ. ἐλέχθησαν μέντοι πολλοί τε καὶ ὑπὸ τῶν κρατίστων ἀνδρῶν εἰς ἀμφότερα, καὶ τὸ κωλύειν καὶ τὸ συγχωρεῖν, φέροντες

tribunorum rogationem de novis legibus ferendis commendant.

λόγοι

Digitized by Google

λέγει. ἔνια δ' ἡ τὰ δημοτικώτερα πρὸ τῶν ὀλιγαρχικῶν εἰσάγουσα Τίτου Ῥωμιλίου γνώμη, παρὰ τὴν ἁπάντων δόξαν τῶν τε πατρικίων καὶ τῶν δημοτικῶν γενομένη. οἱ μὲν γὰρ ὑπελάμβανον, πάντα τὰ ἐναντία τοῖς δημοτικοῖς φρονήσειν τε καὶ λέξειν τὸν ἄνδρα, νεωστὶ τὴν ἐν τῷ δήμῳ δίκην ἑαλωκότα. ὁ δ' ἀναστὰς, ἐπειδὴ προσῆκεν αὐτῷ γνώμην ἐρωτηθέντι κατὰ τὴν ἑαυτοῦ τάξιν ἀποκρίνασθαι· ἦν δ' ἐν τοῖς διὰ μέσου κατά τε ἀξίωσιν καὶ ἡλικίαν· ἔλεξεν·

cap. 51. Adeo Romilius suadet, ut, præsenti rerum statui se accommodantes, tribunorum rogationi cederent, & per legatos Græcorum leges sibi expeterent.

«Ἃ μὲν ὑπὸ τοῦ δήμου πέπονθα, ὦ βουλὴ, καὶ ὅτι οὐδὲν ἀδικῶν, ἀλλὰ τῆς πρὸς ὑμᾶς εὐνοίας ἕνεκα, φορτικὸς ἂν εἴην ἔγωγε, ἐν εἰδόσιν ὑμῖν ἀκριβῶς λέγων· μνήμην δ' αὐτῶν ποιοῦμαι τοῦ ἀναγκαίου ἕνεκα, ἵν' εἰδῆτε, ὅτι οὐ κολακείᾳ τοῦ δημοτικοῦ ἐπιτρέψας, ἐχθροῦ μα[illegible]ντος, ἀλλ' ὑπὸ τοῦ βελτίστου τὰ συμφέροντα ἐρῶ. θαυμάσῃ δὲ μηδεὶς, εἰ πρότερόν τε πολλάκις, καὶ ἡνίκα ὕπατος ἦν, τῆς ἑτέρας προαιρέσεως γενόμενος; νῦν ἐξαίφνης μεταβέβλημαι. μηδὲ ὑπολάβητε δυοῖν θάτερον, ἢ τότε βεβουλεῦσθαί με κακῶς, ἢ νῦν ἀνατίθεσθαι τὰ δόξαντα οὐκ ὀρθῶς. ἐγὼ γὰρ, ὦ βουλὴ, ὅσον μὲν χρόνον τὰ ὑμέτερα ἰσχυρὰ ἡγούμην, ὥσπερ ἐχρῆν, ἀριστοκρατίαν αὔξων, περιεφρόνουν τὸ δημοτικόν· ἐπεὶ δὲ ταῖς ἐμαυτοῦ σωφρονισθεὶς κακοῖς, μετὰ μεγάλων μισθῶν ἔμαθον, ὅτι ἔλαττον ὑμῶν ἐστι τοῦ βουλομένου τὸ δυνάμενον, καὶ πολλοὺς ἤδη τὸν ὑπὲρ ὑμῶν ἀγῶνα ἀραμένους περιείδετε ἀναρπασθέντας ὑπὸ τοῦ δήμου, ταῖς ἀναγκαίοις εἴξαντες, οὐκ ἔθ' ὅμοια ἔγνωκα. ἐβουλόμην δ' ἂν μάλιστα μήτ' ἐμαυτῷ συμβῆναι, μήτε τῷ συνάρχοντί μου ταῦτα, ἐφ' οἷς ἅπαντες ἡμῖν συμπαθεῖτε. ἐπειδὴ δὲ τὰ μὲν καθ' ἡμᾶς τέλος ἔχει, τὰ δὲ λοιπὰ ἔξεστιν ἐπανορθώσασθαι, τοῦ μὴ παθεῖν ταῦτα ἑτέρους προϊδέσθαι, καὶ κοινῇ, καὶ καθ' ἕνα ἕκαστον ἰδίᾳ τὰ παρόντα εὖ τίθεσθαι παρακαλῶ. κράτιστα γὰρ οἰκεῖται πόλις ἡ πρὸς τὰ πράγματα μεθαρμοττομένη· καὶ συμβούλων ἄριστος, ὁ μὴ πρὸς τὴν ἰδίαν ἔχθραν, ἢ χάριν, ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον ἀποδεικνύμενος γνώμην· βουλεύονταί τ' ἄριστα περὶ τῶν μελλόντων οἱ παραδείγματα ποιούμενοι τὰ γεγονότα τῶν ἐσομένων. ἡμῖν δ', ὦ βουλὴ, ὁσάκις ἐνέστη τις ἀμ- ἀμφισβήτησις καὶ φιλονεικία πρὸς τὸν δῆμον, ἀεί τι μειονεκτεῖν ἐξεγένετο, καὶ εἰς ἀνδρῶν ἐπιφανῶν θανάτους τε

καὶ

καὶ ὕβρεις καὶ ἐκβολὰς ζημιωθῆναι. καίτοι τί γένοιτ' ἂν ἀτύχημα πόλει μεῖζον, ἢ τοὺς κρατίστους τῶν ἀνδρῶν περικόπτεσθαι, καὶ ταῦτα οὐ σὺν δίκῃ; ὧν ὑμῖν ἐγὼ φείδεσθαι παραινῶ, καὶ μήτε τοὺς νῦν ἄρχοντας προβαλόντας εἰς κίνδυνον πρόδηλον, ἔπειτα ἐγκαταλιπόντας, ἐν τοῖς δεινοῖς μετανοεῖν· μήτε τῶν ἄλλων τινά, ὃ τι καὶ μικρὸν ὄφελος τῷ κοινῷ. κεφάλαιον δ' ἐστὶν ὧν ὑμῖν παραινῶ, πρέσβεις ἑλέσθαι, τοὺς μὲν εἰς τὰς Ἑλληνίδας πόλεις τὰς ἐν Ἰταλίᾳ, τοὺς δ' εἰς Ἀθήνας· οἵτινες αἰτησάμενοι παρὰ τῶν Ἑλλήνων τοὺς κρατίστους νόμους καὶ μάλιστα τοῖς ἡμετέροις ἁρμόττοντας βίοις, οἴσουσι δεῦρο. ἀφικομένων δ' αὐτῶν, τούς τε ὑπάτους προθεῖναι τῇ βουλῇ σκοπεῖν, τίνας ἑλέσθαι δεήσει νομοθέτας, καὶ ἥντινα ἕξοντας ἀρχήν, καὶ χρόνον ὅσον, καὶ τἄλλα, ὅπως ἂν αὐτῇ φαίνηται συνοίσειν· στασιάζειν δὲ μηκέτι πρὸς τὸ δημοτικόν, μηδ' ἄλλας ἐπ' ἄλλαις ἀναιρεῖσθαι συμφοράς, ἄλλως τε καὶ περὶ νόμων φιλονεικοῦντας, οἵ, κἂν εἰ μηδὲν ἄλλο, τήν γέ τοι δόξαν τῆς ἀξιώσεως ἔχουσιν εὐπρεπῆ."

cap. 52. Grati animi testandi caussa tribuni Romilio mulctam ipsi irrogatam remittunt; quod tamen beneficium is non accipit.

Ταῦτ' εἰπόντος τοῦ Ῥωμιλίου, οἵ τε ὕπατοι συνελαμβάνοντο τῆς γνώμης ἀμφότεροι, πολλὰ καὶ ἐκ παρασκευῆς συγκείμενα διεξιόντες, καὶ τῶν ἄλλων βουλευτῶν συχνοί, καὶ ἐγένοντο πλείους οἱ ταύτῃ προστιθέμενοι τῇ γνώμῃ. μέλλοντος δὲ γράφεσθαι τοῦ προβουλεύματος, ἀναστὰς ὁ δήμαρχος Σίκκιος, ὁ τῷ Ῥωμιλίῳ προθεὶς τὴν δίκην, πολὺν ὑπὲρ τοῦ ἀνδρὸς διῆλθε λόγον, ἐπαινῶν τὴν μεταβολὴν τῆς γνώμης, καὶ τὸ μὴ τὰ ἴδια ἔχθη κρείττονα ἡγεῖσθαι τῶν κοινῇ χρησίμων, ἀλλ' ἀπ' ὀρθῆς γνώμης τὰ συμφέροντα ἐπιδείξασθαι. "Ἀνθ' ὧν, ἔφη, ταύτην αὐτῷ ἀποδίδωμι τιμὴν καὶ χάριν· ἀφίημι τῶν ἐπιτιμίων ἐπὶ τῇ δίκῃ, καὶ εἰς τὸ λοιπὸν διαλλάττομαι· νικᾷ γὰρ ἡμᾶς χρηστὸς ὤν." τὸ δ' αὐτὸ καὶ οἱ ἄλλοι δήμαρχοι παριόντες ὡμολόγουν. οὐ μὴν ὅ γε Ῥωμίλιος ὑπέμεινε ταύτην λαβεῖν τὴν χάριν· ἀλλ' ἐπαινέσας τοὺς δημάρχους τῆς προθυμίας, ἀποδώσειν ἔφη τὴν καταδίκην· ἱερὰν γὰρ ἤδη τῶν θεῶν εἶναι· καὶ οὔτε δίκαια, οὔτε ὅσια ποιεῖν, ἀποστερῶν τοὺς θεούς, ἃ δίδωσιν αὐτοῖς ὁ νόμος· καὶ ἐποίησεν οὕτως. γραφέντος δὲ τοῦ προβουλεύματος, καὶ μετὰ ταῦτ' ἐπικυρώσαντος τοῦ δήμου, πρέσβεις ἀπεδείχθησαν οἱ τοὺς παρ'

Ἑλ-

Digitized by Google

Ἑλλήνων νόμους ληψόμενοι, Σπόριος Ποςύμιος, καὶ Σερούϊος Συλπίκιος, καὶ Αὖλος Μάλλιος· οἷς τριήρεις τε παρεσκευάσθησαν ἐκ τοῦ δημοσίου, καὶ ἄλλος κόσμος εἰς ἀπόδειξιν τῆς ἡγεμονίας ἀποχρῶν.

Legati legum a Græcis petendarum caussa creantur.

Ἐπὶ δὲ Ποπλίου Ὁρατίου καὶ Σέξτου Κοϊντιλίου δεδεγμένων τὴν ὕπατον ἀρχὴν, λοιμικὴ νόσος εἰς τὴν Ῥώμην κατέσκηψε, μεγίςη τῶν ἐκ τοῦ προτέρου χρόνου μνημονευομένων· ὑφ' ἧς οἱ μὲν θεράποντες ὀλίγου ἐδέησαν ἅπαντες ἀπολέσθαι, τῶν δ' ἄλλων πολιτῶν ἀμφὶ τοὺς ἡμίσεις μάλιςα διεφθάρησαν, οὔτε τῶν ἰατρῶν ἀρκούντων ἔτι βοηθεῖν τοῖς καμάτοις, οὔτ' οἰκείων, ἢ φίλων τἀναγκαῖα ὑπηρετούντων. οἱ γὰρ ἐπικουρεῖν ταῖς ἑτέρων βουλόμενοι νόσοις, ἁπτόμενοί τε καματηρῶν σωμάτων, καὶ συνδιαιτώμενοι, τὰς αὐτὰς ἐκείνοις νόσους μετελάμβανον· ὥςε πολλὰς οἰκίας ἐξερημωθῆναι δι' ἀπορίαν τῶν ἐπιμελησομένων. ἦν τ' οὐκ ἐλάχιςον τῶν κακῶν τῇ πόλει καὶ τοῦ μὴ ταχέως λωφῆσαι τὴν νόσον αἴτιον, τὸ περὶ τὰς ἐκβολὰς τῶν νεκρῶν γινόμενον. Εἰς δὲ τοὐπιὸν ἔτος ὕπατοι μὲν ἀπεδείχθησαν Λεύκιος Μενήνιος καὶ Πόπλιος Σήςιος· ἡ δὲ νόσος εἰς τέλος ἐλώφησε. καὶ μετὰ τοῦτο θυσίαι τε χαριςήριοι θεοῖς ἐπετελοῦντο δημοσίᾳ, καὶ ἀγῶνες ἐπιφανεῖς λαμπραῖς πάνυ ἐπιχορηγούμενοι δαπάναις· ἐν εὐπαθείαις τε καὶ θαλίαις ἡ πόλις ἦν, ὥσπερ εἰκός· καὶ πᾶσιν ὁ χειμέριος χρόνος ἀμφὶ ταῦτα ἐδαπανήθη. ἀρχομένου δ' ἔαρος σῖτός τε πολὺς καὶ ἐκ πολλῶν ἤχθη χωρίων· ὁ μὲν πλείων δημοσίᾳ συνωνηθεὶς, ὁ δέ τις καὶ ὑπὸ ἰδιωτῶν ἐμπόρων κομιζόμενος. ἔκαμνε γὰρ οὐχ ἥκιςα ἐν τῇ σπάνει τῆς τροφῆς ὁ λαὸς, χέρσου τῆς γῆς ἀφειμένης διὰ τὰς νόσους καὶ τὸν ὄλεθρον τῶν γεωργῶν. ἐν δὲ τῷ αὐτῷ καιρῷ παρεγίνοντο ἀπό τ' Ἀθηνῶν καὶ τῶν ἐν Ἰταλοῖς Ἑλληνίδων πόλεων οἱ πρέσβεις, φέροντες τοὺς νόμους, καὶ μετὰ τοῦτο προσῄεσαν οἱ δήμαρχοι τοῖς ὑπάτοις, ἀξιοῦντες ἀποδεῖξαι κατὰ τὸ ψήφισμα τῆς βουλῆς τοὺς νομοθέτας, οἱ δ', οὐκ ἔχοντες, ὅτῳ ἂν αὐτοὺς ἀπαλλάξειαν τρόπῳ προσκαθημένους καὶ λιπαροῦντας, ἀχθόμενοι τοῖς πράγμασι, καὶ οὐκ ἀξιοῦντες ἐπὶ τῆς αὐτῶν ἀρχῆς καταλῦσαι τὴν ἀριςοκρατίαν, πρόφασιν εὐπρεπῆ προὐβάλλοντο, λέγοντες, ἐν χερσὶν εἶναι τὸν τῶν ἀρχαιρεσιῶν καιρὸν, καὶ δέον αὐτοὺς ὑπά-

cap. 53. A. U. 301, ante Chr. 458. Pestis gravissima, cui accessit fames.

cap. 54. Utraque calamitas cessavit anno sequenti, A. U. 302, ante Chr. 452.

Post legatorum ex Athenis & aliis Græcis urbibus reditum; tribuni rogationem de legum latoribus ferunt: Coss, rem differunt.

ὑπάτες πρῶτον ἀποδεῖξαι· ποιῆσαί τε τᾶτ' ἐκ ἐις μακράν. ἀποδειχθέντων δὲ τῶν ὑπάτων, μετ' ἐκείνων ἔλεγον ἀνοίσειν τῷ συνεδρίῳ τὴν περὶ τῶν νομοθετῶν διάγνωσιν. συγχωρέντων δὲ τῶν δημάρχων, προθέντες ἀρχαιρέσια πολλῷ τάχιον, ἢ τοῖς προτέροις ἔθος ἦν, ὑπάτες ἀπέδειξαν Ἄππιον Κλαύδιον καὶ Τίτον Γενύκιον (Λεύκιον)· καὶ μετὰ τᾶτο πᾶσαν ἀποθέμενοι τὴν τῶν κοινῶν Φροντίδα, ὡς ἑτέρες ἤδη ἐσομένες ὑπὲρ αὐτῶν σκοπεῖν, ἐδὲν ἔτι τοῖς δημάρχοις προσεῖχον, ἀλλὰ διακλέψαι τὸν λοιπὸν χρόνον τῆς ὑπατείας διενοῦντο. ἔτυχε δὲ τὸν ἕτερον αὐτῶν, Μενήνιον, ἀρρωςία τις καταλαβᾶσα χρόνιος. ἤτη δέ τινες ἔφασαν, ὑπὸ λύπης καὶ ἀθυμίας ἐμπεσᾶσαν τῷ ἀνδρὶ τηκεδόνα δυσαπάλλακτον ἐργάσαθαι νόσον. ταύτην δὲ προλαβὼν τὴν πρόφασιν ὁ Σήςιος, ὡς ἐδὲν οἷός τ' ὢν πράττειν μόνος, ἀπεωθεῖτο τὰς τῶν δημάρχων δεήσεις, καὶ πρὸς τὰς νέες ἄρχοντας ἠξίε τρέπεθαι. οἱ δ', ἐκ ἔχοντες, ὅ τι πράττωσιν ἕτερον, ἐπὶ τὰς περὶ τὸν Ἄππιον ἤπω τὴν ἐξεσίαν παρειληΦότας ἠναγκάζοντο καταφεύγειν, τὰ μὲν ἐν ταῖς ἐκκλησίαις δεόμενοι, τὰ δὲ καταμόνας ἐντυγχάνοντες. καὶ τέλος ἐξειργάσαντο τὰς ἄνδρας, μεγάλας ὑποτείναντες ἐλπίδας αὐτοῖς, ἐι τὰ τᾶ δήμε πράγματα ἕλοιντο, τιμῆς καὶ δυναςείας. ἐισῆλθε γάρ τις τὸν Ἄππιον ἐπιθυμία ξένην ἀρχὴν περιβαλέθαι, καὶ νόμες καταςήσαθαι τῇ πατρίδι ὁμονοίας τε καὶ ἐιρήνης, καὶ τᾶ μίαν ἅπαντας ἡγεῖθαι τὴν πόλιν ἄρξαι τοῖς συμπολιτευομένοις, ᾧ μέντοι καὶ διέμεινέ γε χρηςὸς ἀρχῇ ἐγκοσμηθεὶς μεγάλῃ, ἀλλ' ἐξέπεσε τελευτῶν ἐις Φιλαρχίαν ἀπαραχώρητον, ὑπὸ μεγέθες ἐξεσίας διαφθαρείς· καὶ ὀλίγε ἐδέησεν ἐπὶ τυραννίδα ἐλάσαι, περὶ ὧν κατὰ τὸν οἰκεῖον διαλέξομαι καιρόν.

cap. 55. Consules designati App. Claudius & T. Genucius tribunos adjuvant.

Τότε δ' ἂν ἀπὸ τᾶ κρατίςε ταῦτα βελευσάμενος καὶ τὸν συνάρχοντα πείσας, ἐπειδὴ πολλάκις αὐτὸν ἐπὶ τὴν ἐκκλησίαν ἐκάλεσαν οἱ δήμαρχοι, παρελθὼν, πολλὰς καὶ Φιλανθρώπες διεξῆλθε λόγες, κεΦάλαια δ' αὐτᾶ τῆς δημηγορίας τοιάδε ἦν, ὅτι τὸ μὲν ἀποδειχθῆναι τὰς νόμες, καὶ παύσαθαι ςασιάζοντας τὰς πολίτας ὑπὲρ τῶν ἴσων, αὐτῷ τε καὶ τῷ συνάρχοντι πάντων μάλιςα δοκεῖ, καὶ ἀποΦαίνονται γνώμην Φανερὰν· τᾶ δ' ἀποδεῖξαι τὰς νομοθέτας

ὅπως αὐτοὶ μὲν ὐδεμίαν ἔχωσιν ἐξωσίαν, ἕως παρειληφότες τὴν ἀρχὴν, τοῖς δὲ περὶ Μενήνιον ὑπάτοις ἀχ ὅπως ἐναντιώσονται πράσσωσι τὰ δόξαντα τῇ βυλῇ, ἀλλὰ καὶ συνεργήσωσι καὶ πολλὴν ἕισονται χάριν· ἐὰν δ' ἀναδύωνται, σκῆψιν προβαλλόμενοι τὴν νέαν ἀρχὴν, ὡς ὐκ ἐξὸν αὐτοῖς ἑτέρυς ἄρχοντας ὑπατικὴν ἐξυσίαν παραληψομένυς ἀποδεικνύειν, ἡμῶν ἤδη κεκυρωμένων ὑπάτων, ὐδὲν ἐμποδὼν αὐτοῖς τὸ καθ' ἑαυτὰς ἔσεσθαι. ἑκόντες γὰρ ἀποςήσεσθαι τῆς ὑπατείας τοῖς ἀνθ' αὐτῶν αἱρεθησομένοις, ἐὰν καὶ τῇ βυλῇ ταῦτα δοκῇ. ἐπαινῦντος δὲ τῦ δήμυ τὴν προθυμίαν τῶν ἀνδρῶν, καὶ πάντων κατὰ πλῆθος ἐπὶ τὸ συνέδριον ὠσαμένων, ἀναγκασθεὶς ὁ Σήςιος τὴν βυλὴν συναγαγεῖν μόνος, ἐπειδὴ ὁ Μενήνιος ἀδύνατος ἦν παρεῖναι διὰ τὴν νόσον, πρῦθηκεν ὑπὲρ τῶν νόμων λέγειν. ἐλέχθησαν μὲν ὖν καὶ τότε πολλοὶ ὑπ' ἀμφοτέρων λόγοι, τῶν τε παραινύντων κατὰ νόμυς πολιτέυεσθαι, καὶ τῶν ἀξιύντων τὰς πατρῴυς φυλάττειν ἐθισμύς. ἐνίκα δὲ ἡ τῶν εἰς νέωτα μελλόντων ὑπατέυειν γνώμη, ἣν Ἄππιος Κλαύδιος πρῶτος ἐρωτηθεὶς ἀπεφήνατο, ἄνδρας αἱρεθῆναι δέκα τὰς ἐπιφανεςάτυς ἐκ τῆς βυλῆς· τύτυς δ' ἄρχειν ἐνιαυτὸν, ἀφ' ἧς ἂν ἀποδειχθῶσιν ἡμέρας, ἐξυσίαν ἔχοντας πάντων τῶν κατὰ τὴν πόλιν, ἣν ἔιχον οἵ τε ὕπατοι, καὶ ἔτι πρότερον οἱ βασιλεῖς, τὰς τ' ἄλλας ἀρχὰς πάσας καταλελῦσθαι, ἕως ἂν οἱ δέκα τύχωσι τῆς ἀρχῆς. τύτυς δὲ τὰς ἄνδρας ἔκ τε τῶν πατρίων ἐθῶν, καὶ ἐκ τῶν Ἑλληνικῶν νόμων, ὓς ἐκόμισαν οἱ πρέσβεις, ἐκλεξαμένυς τὰ κράτιςα, καὶ τῇ Ῥωμαίων πόλει πρόσφορα νομοθετήσεσθαι. τὰ δὲ γραφέντα ὑπὸ τῶν δέκα ἀνδρῶν, ἐὰν ἥ τε βυλὴ δοκιμάσῃ, καὶ ὁ δῆμος ἐπιψηφίσῃ, κύρια ἐις τὸν ἅπαντα ἔιναι χρόνον, καὶ τὰς ἀρχὰς, ὅσαι ἂν ὕςερον ἀποδειχθῶσι κατὰ τὰς νόμυς, τά τ' ἰδιωτικὰ συμβόλαια διαιρεῖν, καὶ τὰ δημόσια ἐπιτροπέυειν.

Senatusconsultum de decemviris legum ferendarum creandis.

Τῦτο τὸ δόγμα λαβόντες οἱ δήμαρχοι προῆλθον ἐις τὴν ἐκκλησίαν, καὶ ἀναγνόντες ἐν τῷ δήμῳ, πολλὰς ἐπαίνυς τῆς βυλῆς καὶ τῦ θέντος τὴν γνώμην Ἀππίυ διεξῆλθον. ἐπεὶ δὲ κατελάμβανεν ὁ τῶν ἀρχαιρεσιῶν καιρὸς, ἐκκλησίαν συναγαγόντες οἱ δήμαρχοι, τὰς τ' ἀποδειχθέντας ὑπάτυς ἤκειν ἠξίυν ἐμπεδώσοντας τῷ δήμῳ τὰς ὑπο-

cap. 56.

σχέ-

σχέσεις· κἀκεῖνοι παρελθόντες ἐξωμόσαντο τὰς ὑπατείας. τούτους ὁ δῆμος ἐπαινῶν τε καὶ θαυμάζων διετέλει, καὶ ἐπειδὴ τοὺς νομοθέτας ψηφηφορεῖν ἔδει, πρώτους εἵλετο τῶν ἄλλων· καὶ ἀπεδείχθησαν ἐν ἀρχαιρεσίαις ὑπὸ τῆς λοχίτιδος ἐκκλησίας Ἄππιος μὲν Κλαύδιος καὶ Τίτος (Λεύκιος) Γενύκιος, οὓς ἔδει τοῦπιὸν ἄρχειν ἔτος· Πόπλιος δὲ Σήστιος, ὁ τὸν ἐνιαυτὸν ἐκεῖνον ὑπατεύων, τρεῖς τε οἱ κομίσαντες παρὰ τῶν Ἑλλήνων τοὺς νόμους, Πόπλιος Ποστούμιος, καὶ Σερούϊος Σουλπίκιος, καὶ Αὖλος Μάλλιος· εἷς δὲ τῶν ὑπατευσάντων τὸν παρελθόντα ἐνιαυτὸν, Τίτος Ῥωμίλιος, ὁ τὴν ἐν τῷ δήμῳ δίκην Σικκίου κατηγορήσαντος ἁλοὺς, ἐπειδὴ γνώμης ἐδόκει ἄρχειν δημοτικῆς· καὶ ἐκ τῶν ἄλλων βουλευτῶν Γάϊος Ἰούλιος, καὶ Τίτος Οὐετούριος, καὶ Πόπλιος Ὁράτιος, ἅπαντες ὑπατικοί· αἱ δὲ τῶν δημάρχων τε καὶ ἀγορανόμων καὶ ταμιῶν, καὶ εἴ τινες ἦσαν ἄλλαι πάτριοι Ῥωμαίοις ἀρχαὶ, κατελύθησαν.

Nomina decemvirorum.

Τῷ δ' ἑξῆς ἔτει παραλαβόντες οἱ δέκα νομοθέται τὰ πράγματα, πολιτείας κόσμον τοιόνδε τινὰ καθίσανται· εἷς μὲν αὐτῶν τάς τε ῥάβδους καὶ τὰ λοιπὰ παράσημα τῆς ὑπατικῆς εἶχεν ἐξουσίας, ὃς βουλήν τε συνεκάλει, καὶ δόγματα ἐπεκύρου, καὶ τἄλλα ἔπραττεν, ὅσα ἡγεμόνι προσῆκεν· οἱ δ' ἄλλοι, συστέλλοντες ἐπὶ τὸ δημοτικώτερον τὸ τῆς ἐξουσίας ἐπίφθονον, ὀλίγῳ τινὶ διήλλαττον ἰδιωτῶν τῶν πολλῶν· εἶτ' αὖθις ἕτερος αὐτῶν ἐπὶ τὴν ἐξουσίαν καθίστατο. καὶ τοῦτ' ἐκ περινομῆς ἐγένετο παραλλὰξ, ἑκάστου τὴν ἡγεμονίαν παραλαμβάνοντος εἰς συγκείμενόν τινα ἡμερῶν ἀριθμόν. ἅπαντες δ' ἐξ ἑωθινοῦ καθεζόμενοι διῄτων τὰ δημοτικὰ συμβόλαια καὶ τὰ δημόσια, ὁπόσα πρός τε ὑπηκόους, καὶ συμμάχους, καὶ τοὺς ἐνδοιάστως ἀκροωμένους τῆς πόλεως ἐγκλήματα τυγχάνοι γενόμενα, μετὰ πάσης ἀνασκοποῦντες ὅκαστα ἐπιεικείας τε καὶ δικαιοσύνης. ἐδόκει τ' ἄριστα τὸν ἐνιαυτὸν ἐκεῖνον ἡ Ῥωμαίων πόλις ὑπὸ τῆς δεκαρχίας ἐπιτροπευθῆναι. μάλιστα δ' αὐτῶν ἐπῃνεῖτο ἡ τοῦ δημοτικοῦ πρόνοια, καὶ πρὸς ἅπαν τὸ βίαιον ὑπὲρ τῶν ἀσθενεστέρων ἀντίταξις· ἐλέχθη τε ὑπὸ τῶν πολλῶν, ὡς οὐδὲν ἔτι δεήσοι δήμου προστατῶν, οὐδὲ τῶν ἄλλων ἀρχείων τῇ πόλει, μιᾶς διοικούσης ἅπαντα ἡγεμονίας σώφρονος, ἧς ἀρχηγὸς Ἄππιος εἶναι ἐδόκει· καὶ

cap. 57. Decemviri pro Coss. rempublicam administrant, A. U. 303. ante Chr. 451.

τὸ

τὸν ὑπὲρ ὅλης τῆς δεκαρχίας ἔπαινον ἐκεῖνος ἐφέρετο παρὰ τοῦ δήμου. οὐ γὰρ μόνον, ἃ μετὰ τῶν ἄλλων ἔπραττεν ὑπὸ τοῦ κρατίστου, χρηστότητος ἔφερεν αὐτῷ δόκησιν, ἀλλὰ πολὺ μᾶλλον, ἃ κατ᾽ ἰδίαν ἐπιτηδεύων διετέλει, κατά τ᾽ ἀσπασμοὺς καὶ προσαγορεύσεις φιλανθρώπους, καὶ τὰς ἄλλας τῶν πενήτων φιλοφροσύνας. οὗτοι οἱ δέκα ἄνδρες συγγράψαντες νόμους ἔκ τε τῶν Ἑλληνικῶν νόμων καὶ τῶν παρὰ σφίσιν αὐτοῖς ἀγράφων ἐθισμῶν, προὔθηκαν ἐν δέκα δέλτοις τῷ βουλομένῳ σκοπεῖν, πᾶσαν δεχόμενοι ἐπανόρθωσιν ἰδιωτῶν, καὶ πρὸς τὴν κοινὴν εὐαρέστησιν ἀπευθύνοντες τὰ γραφέντα, καὶ μέχρι πολλοῦ διετέλεσαν ἐν κοινῷ μετὰ τῶν ἀρίστων ἀνδρῶν συνεδρεύοντες, καὶ τὴν ἀκριβεστάτην ποιούμενοι τῆς νομοθεσίας ἐξέτασιν. ἐπειδὴ δ᾽ ἀποχρώντως αὐτοῖς ἐφαίνετο τὰ γραφέντα ἔχειν, πρῶτον μὲν τὴν βουλὴν συναγαγόντες, οὐδενὸς ἔτι μεμφομένου τοῖς νόμοις, προβούλευμα περὶ αὐτῶν ἐκύρωσαν. ἔπειτα τὸν δῆμον ἐκάλεσαν ἐπὶ τὴν λοχῖτιν ἐκκλησίαν, ἱερομνημόνων τε καὶ οἰωνιστῶν, καὶ τῶν ἄλλων ἱερέων παρόντων, καὶ τὰ θεῖα, ὡς νόμος, ἐξηγησαμένων, ἀνέδωκαν τοῖς λόχοις τὰς ψήφους. ἐπικυρώσαντος δὲ καὶ τοῦ δήμου τοὺς νόμους, στήλαις χαλκαῖς ἐγχαράξαντες αὐτοὺς, ἐφεξῆς ἔθεσαν ἐν ἀγορᾷ, τὸν ἐπιφανέστατον ἐκλεξάμενοι τόπον. καὶ ἐπειδὴ βραχὺς αὐτοῖς ἦν ὁ λειπόμενος τῆς ἀρχῆς χρόνος, συναγαγόντες τοὺς βουλευτὰς, προὔθεσαν ὑπὲρ ἀρχαιρεσιῶν, οἷα χρὴ γενέσθαι, σκοπεῖν.

Legum tabulae x proponuntur, primum senatus consulto, deinde plebiscito confirmantur, & aeneis columnis inciduntur.

Πολλῶν δὲ λεχθέντων, ἐνίκησεν ἡ γνώμη τῶν παραινούντων δεκαρχίαν αὖθις ἀποδεῖξαι τῶν κοινῶν κυρίαν. ἀτελὴς γὰρ ἡ νομοθεσία ἐφαίνετο, ὡς ἂν ἐξ ὀλίγου συντεθεῖσα χρόνου, καὶ ἔτι τοῖς ἤδη κεκυρωμένοις, ἵνα ἑκόντες τε καὶ ἄκοντες ἐν αὐτοῖς μένοιεν, ἐδόκει δή τινος ἀρχῆς αὐτοκράτορος δεῖν. τὸ δὲ μάλιστα πεῖσαν αὐτοὺς προελέσθαι τὴν δεκαρχίαν, ἦν ἡ τῶν δημάρχων κατάλυσις, ὃ παντὸς μάλιστα ἐβούλοντο. ταῦτα μὲν ἐν κοινῷ σκοπουμένοις αὐτοῖς ἐδόκει· ἰδίᾳ δὲ οἱ πρωτεύοντες τοῦ συνεδρίου γνώμην ἐποιοῦντο μεταπορεύεσθαι τὴν ἀρχὴν, δεδιότες, μὴ ταραχώδεις τινὲς ἄνθρωποι, τηλικαύτης ἐξουσίας λαβόμενοι, κακόν τι μέγα ἐξεργάσωνται. ἀγαπητῶς δὲ τοῦ δήμου τὰ δόξαντα τῇ βουλῇ δεξαμένου, καὶ μετὰ

cap. 58. App. Claudius, qui jam superiori anno decemvirorum princeps fuerat, iterum, ejusque amici in annum proximum decemviri creantur,

Digitized by Google

τὰ πλείστης προθυμίας ἐπιψηφίσαντος, αὐτοὶ μὲν οἱ δέκα ἄνδρες προεῖπον τὸν τῶν ἀρχαιρεσιῶν καιρὸν, μετῄεσαν δὲ τὴν ἀρχὴν οἱ ἐντιμότατοί τε καὶ πρεσβύτατοι τῶν πατρικίων. ἔνθα δὴ πολὺς ὑπὸ πάντων ἐπαινούμενος ἦν ὁ τῆς τότε δεκαρχίας ἡγεμὼν, Ἄππιος, καὶ πᾶς ὁ δημοτικὸς ὄχλος ἐκεῖνον ἐπὶ τῆς ἀρχῆς ἠξίου κατέχειν, ὡς οὐκ ἄλλου τινὸς ἄμεινον ἡγησαμένου. ὁ δ᾽ ἀναίνεσθαι μὲν προσεποιεῖτο κατ᾽ ἀρχὰς, καὶ ἀπολύειν αὐτὸν ἠξίου λειτουργίας ὀχληρᾶς καὶ ἐπιφθόνου. τελευτῶν δ᾽, ὡς ἐλιπάρουν αὐτὸν ἅπαντες, αὐτός τε ὑπέμενε μετιέναι τὴν ἀρχὴν, καὶ τῶν συμπαραγγελλόντων τοὺς ἀρίστους αἰτιασάμενος, οὐχ ἡδέως πρὸς ἑαυτὸν ἔχειν διὰ τὸν φθόνον, τοῖς ἑαυτοῦ φίλοις συνηγωνίζετο φανερῶς. ἀποδείκνυταί τε πάλιν ἐν ἀρχαιρεσίαις λοχίτισι νομοθέτης τὸ δεύτερον· σὺν δ᾽ αὐτῷ Κόϊντος μὲν Φάβιος, ὁ καλούμενος Οὐϊβολανὸς, ὁ τρὶς ὑπατεύσας, ἀνὴρ ἀνεπίληπτος εἰς τόδε χρόνου γενόμενος περὶ πᾶσαν ἀρετήν· ἐκ δὲ τῶν ἄλλων πατρικίων, οὓς αὐτὸς ἠσπάζετο, Μάρκος Κορνήλιος, Μάρκος Σέργιος, καὶ Λεύκιος Μινύκιος, καὶ Τίτος Ἀντώνιος, καὶ Μάνιος Ῥαβολήϊος, ἄνδρες οὐ πάνυ ἐπιφανεῖς· ἐκ δὲ τῶν δημοτικῶν, Κόϊντος Πετέλλιος, καὶ Καίσων Δυέλλιος, καὶ Σπόριος Ὄππιος. προσελήφθησαν γὰρ καὶ οὗτοι πρὸς τοῦ Ἀππίου, κολακείας ἕνεκα τῶν δημοτικῶν, διδάσκοντος, ὅτι δίκαιόν ἐστι, μιᾶς ἀρχῆς κατὰ πάντων ἀποδεικνυμένης, εἶναί τι καὶ τοῦ δήμου μέρος ἐν αὐτῇ. εὐδοκιμῶν δ᾽ ἐν ἅπασι τούτοις, καὶ δοκῶν κράτιστος εἶναι βασιλέων τε καὶ τῶν κατ᾽ ἐνιαυτὸν ἡγησαμένων τῆς πόλεως, παραλαμβάνει πάλιν τὴν ἀρχὴν εἰς τὸν ἐπιόντα ἐνιαυτόν. ταῦτα κατ᾽ ἐκείνην ἐπράχθη τὴν δεκαρχίαν Ῥωμαίων, ἄλλο δ᾽ οὐδὲν, ὅ τι καὶ λόγου ἄξιον.

cap. 59. A. U. 304. ante Chr. 450. Magistratum ingressi, omni moderatione deposita, tyrannidem perpetuam affectant, Secures fascibus addunt cet.

Ἐν δὲ τῷ κατόπιν ἔτει παραλαβόντες τὴν ὑπατικὴν ἐξουσίαν οἱ σὺν Ἀππίῳ Κλαυδίῳ δέκα ἄνδρες, Εἰδοῖς Μαΐαις· ἦγον δὲ τοὺς μῆνας κατὰ σελήνην, καὶ συνέπιπτεν εἰς τὰς εἰδοὺς ἡ πανσέληνος· πρῶτον μὲν ὅρκια τεμόντες ἀπόρρητα τῷ πλήθει, συνθήκας σφίσιν αὐτοῖς ἔθεντο περὶ μηδενὸς ἀλλήλοις ἐναντιοῦσθαι, ἃ τι δ᾽ ἂν εἷς ἐξ αὐτῶν δικαιώσῃ, τοῦτο ἅπαντες ἡγεῖσθαι κύριον, τήν τ᾽ ἀρχὴν καθέξειν διὰ βίου, καὶ μηδένα παρήσειν ἕτερον ἐπὶ

τὰ

τὰ πράγματα, ἰσότιμοί τε ἅπαντες ἔσεσθαι, καὶ τὴν αὐτὴν ἕξειν δυναστείαν, βουλῆς μὲν, ἢ δήμου ψηφίσμασι σπανίως καὶ εἰς αὐτὰ τὰ ἀναγκαῖα χρώμενοι, τὰ δὲ πλεῖστα ἐπὶ τῆς ἑαυτῶν ἐξουσίας ποιοῦντες. ἐνστάσης δὲ τῆς ἡμέρας, ἐν ᾗ παραλαβεῖν αὐτοὺς ἔδει τὴν ἀρχὴν, τοῖς θεοῖς προθύσαντες, ἅπερ ἦν νόμος· ἱερὰν δὲ ταύτην ἄγουσι Ῥωμαῖοι τὴν ἡμέραν, καὶ πάντες μάλιστα στέλλονται μήτ' ἀκοῦσαι μηδὲν ἀηδὲς ἐν αὐτῇ, μήτ' ἰδεῖν· ἕωθεν εὐθὺς ἐξῄεσαν οἱ δέκα, τὰ παράσημα πάντα τῆς βασιλικῆς ἐξουσίας ἅπαντες ἐπαγόμενοι. ὁ δὲ δῆμος, ὡς ἔμαθεν αὐτοὺς οὐκέτι φυλάττοντας τὸ δημοτικὸν ἐκεῖνο καὶ μέτριον σχῆμα τῆς ἡγεμονίας, οὐδὲ διαμειβομένους τὰ παράσημα τῆς βασιλικῆς ἀρχῆς, ὡς πρότερον, εἰς πολλὴν ἦλθε δυσθυμίαν καὶ κατήφειαν. ἐφόβουν δ' οἱ προσηρτημένοι ταῖς δέσμαις τῶν ῥάβδων πελέκεις, οὓς ἔφερον οἱ προηγούμενοι τῶν ἀνδρῶν ἑκάστου δώδεκα ὄντες, ἀνασέλλοντες ἐκ τῶν στενωπῶν πληγαῖς τὸν ὄχλον, ἃ ἐπὶ τῶν βασιλέων ἐγίνετο πρότερον. κατελύθη γὰρ εὐθὺς τὸ ἔθος τοῦτο μετὰ τὴν ἐκβολὴν τῶν μονάρχων ὑπ' ἀνδρὸς δημοτικοῦ Ποπλίου Οὐαλερίου τὴν ἐκείνων ἐξουσίαν μεταλαβόντος. ᾧ πάντες οἱ μετ' ἐκεῖνον ὕπατοι, καλοῦ πράγματος δόξαντι ἄρξαι, τὰ ὅμοια πράττοντες, οὐκέτι ταῖς δέσμαις τῶν ῥάβδων προσήρτων τοὺς πελέκεις, ὅτι μὴ κατὰ τὰς στρατείας καὶ τὰς ἄλλας ἐξόδους τὰς ἐκ τῆς πόλεως. πόλεμον δ' ἐξάγοντες ὑπερόριον, ἢ τῶν ὑπηκόων πράγματα ἐπισκεπτόμενοι, τότε καὶ τοὺς πελέκεις ταῖς ῥάβδοις προσελάμβανον, ἵνα τὸ τῆς ὄψεως φοβερὸν, ὡς κατ' ἐχθρῶν, ἢ δούλων γινόμενον, ἥκιστα φαίνηται τοῖς πολίταις ἐπαχθές.

Τοῦτο δὴ θεασαμένοις ἅπασιν, ὃ τῆς βασιλικῆς ἐξουσίας σημεῖον ἐλογίζετο εἶναι, πολὺ παρειστήκει δέος, ὥσπερ ἔφην, ἀπολωλεκέναι νομίζουσι τὴν ἐλευθερίαν, καὶ δέκα βασιλεῖς ἀνθ' ἑνὸς ἑλομένοις. τοῦτον δὲ τὸν τρόπον καταπληξάμενοι τοὺς ὄχλους οἱ δέκα ἄνδρες, καὶ γνόντες, ὅτι δεῖ φόβῳ τὸ λοιπὸν ἄρχειν, ἑταιρείαν ἕκαστοι συνῆγον, ἐπιλεγόμενοι τοὺς θρασυτάτους τῶν νέων, καὶ σφίσιν αὐτοῖς ἐπιτηδειοτάτους. τὸ μὲν οὖν ἐκ τῶν ἀπόρων καὶ ταπεινῶν ταῖς τύχαις τοὺς πλείους φανῆναι τυραννικῆς κόλακας ἐξουσίας, τοῦ κοινοῦ συμφέροντος ἀλλαξαμένους τὰς αὐτῶν

cap. 60. Sodalitatem singuli contrahunt, audacissimos quosque juvenes delegunt, multos occidunt vel bonis exuunt.

Digitized by Google

αὐτῶν ὠφελείας, οὔτε παράδοξον, οὔτ' ἀνέλπιστον ἦν. τὸ δὲ καὶ ἐκ τῶν πατρικίων εὑρεθῆναι συχνοὺς ἔχοντάς τι καὶ ἐπὶ πλούτῳ καὶ ἐπ' εὐγενείᾳ μέγα φρονεῖν, τοὺς ὑπομείναντας συγκαταλύειν τοῖς δεκαδάρχοις τὴν τῆς πατρίδος ἐλευθερίαν, τοῦτο θαυμαστὸν ἅπασιν εἶναι δοκεῖ, οἱ πάσαις δουλεύοντες ἡδοναῖς, ὁπόσαι πεφύκασιν ἀνθρώπων κρατεῖν, κατὰ πολλὴν ἄδειαν ἦρχον τῆς πόλεως, βουλὴν μὲν, ἢ δῆμον, ἐν οὐδεμιᾷ μερίδι τιθέμενοι, πάντων δ' αὐτοὶ νομοθέται τε καὶ δικασταὶ γινόμενοι, πολλοὺς μὲν ἀποκτιννύντες τῶν πολιτῶν, πολλοὺς δ' ἀφαιρούμενοι τὰς οὐσίας ἀδίκως. ἵνα δ' αὐτοῖς εὐπρεπῶς τὰ γινόμενα ἔχῃ, παράνομα καὶ δεινὰ ὄντα, ὡς δὴ σὺν τῷ δικαίῳ πραττόμενα, δικαστήρια ἐφ' ἑκάστῳ χρήματι ἀπεδίδοσαν· ἦσαν δ' οἵ τε κατήγοροι ὑπ' αὐτῶν ἐκείνων ἐκ τῶν συγκατασκευαζόντων τὴν τυραννίδα ὑποπεμπόμενοι, καὶ δικαστήρια ἐκ τῶν ἑταίρων ἀποδεικνύμενα, οἳ ἠμείβοντο ἀλλήλοις καταχαριζόμενοι τὰς δίκας. πολλὰ δὲ τῶν ἐγκλημάτων, καὶ οὐ τὰ ἐλάχιστα ἄξια, ἐφ' ἑαυτῶν οἱ δέκα ἔκρινον· ὥστ' ἠναγκάζοντο οἱ μειονεκτοῦντες τῷ δικαίῳ, προσνέμειν ἑαυτοὺς ταῖς ἑταιρίαις, ἐπειδὴ τὸ ἀσφαλὲς οὐκ ἐνῆν αὐτοῖς ἄλλως ἔχειν. καὶ ἐγένετο σὺν χρόνῳ πλεῖον τοῦ ὑγιαίνοντος τὸ διεφθαρμένον καὶ νοσοῦν ἐν τῇ πόλει. οὐδὲ γὰρ ἠξίουν ἐντὸς τείχους μένειν, οἷς τὰ πραττόμενα ὑπὸ τῶν δεκαδάρχων ἀνιαρὰ ἦν, ἀλλ' ἀνεχώρουν εἰς τοὺς ἀγροὺς, τὸν τῶν ἀρχαιρεσιῶν σκοποῦντες χρόνον, ὡς ἀποθησομένων τῶν δέκα ἀνδρῶν τὰς δυναστείας, ὅταν τὸν ἐνιαύσιον ἐκτελέσωσι χρόνον, καὶ ἀποδειξάντων ἑτέρας ἀρχάς. οἱ δὲ περὶ τὸν Ἄππιον τοὺς λοιποὺς συγγράψαντες νόμους ἐν δέλτοις δυσὶ, καὶ ταύτας ταῖς πρότερον ἐξενεχθείσαις προσέθηκαν· ἐν αἷς καὶ ὅδε ὁ νόμος ἦν, "μὴ ἐξεῖναι τοῖς πατρικίοις πρὸς τοὺς δημοτικοὺς ἐπιγαμίας συνάψαι," δι' οὐδὲν, ὡς ἐμοὶ δοκεῖ, ἕτερον, ἢ τὸ μὴ συνελθεῖν εἰς ὁμόνοιαν τὰ ἔθνη γάμων ἐπαλλαγαῖς καὶ οἰκειοτήτων κοινωνίᾳ συγκραθέντα. ὡς δὲ καὶ ὁ τῶν ἀρχαιρεσιῶν ἐπέστη χρόνος, πολλὰ χαίρειν φράσαντες τοῖς τε πατρίοις ἐθισμοῖς, καὶ τοῖς νεωστὶ συγγραφεῖσι νόμοις, οὔτε βουλῆς ψήφισμα ποιησάσης, οὔτε δήμου, διέμειναν ἐπὶ τῆς αὐτῆς ἀρχῆς.

x tabulas duabus legibus augent; & ex solo suo arbitrio in eodem magistratu permanent.

Ὁ

Ὃν δὲ τρόπον ἐπεχείρησαν (Ῥωμαῖοι) ἐῤῥιζωμένην ἤδη τὴν δυναςείαν ἐξελεῖν, καὶ τίνων ἀνδρῶν ἡγησαμένων τῆς ἐλευθερίας, καὶ διὰ ποίας αἰτίας καὶ προφάσεις, ἐξ ἀρχῆς ἀναλαβὼν πειράσομαι διελθεῖν.

Lib. XI. c. 1. Mox ob immodicam tyrannidem imperio privantur, A.U. 305. ante Chr. 449.

cap. 2.

Πρώτη μὲν ἒν δόξασα γενέϑαι τῦ κατὰ τῆς ὀλιγαρχίας μίσες πρόφασις, ὅτι συνύφηναν τὴν δευτέραν ἀρχὴν τῇ προτέρᾳ, δήμε τε ὑπεριδόντες, καὶ βελῆς καταφρονήσαντες. ἔπειϑ', ὅτι τὲς χαριεςάτες Ῥωμαίων, οἷς ἐ κατὰ γνώμην τὰ πραττόμενα ὑπ' αὐτῶν ἦν, ὃς μὲν ἐξήλαυνον ἐκ τῆς πόλεως, αἰτίας ἐπιφέροντες ψευδεῖς καὶ δεινὰς, ὃς δ' ἀπεκτίννυσαν· κατηγόρες τ' αὐτοῖς ὑποπέμποντες ἐκ τῶν ἰδίων ἑταίρων, καὶ τὰς δίκας ταύτας αὐτοὶ δικάζοντες· μάλιςα δ' ὅτι τοῖς ϑρασυτάτοις τῶν νέων, ὃς εἶχον ἕκαςοι περὶ αὑτὲς, ἐφῆκαν ἄγειν καὶ φέρειν τὰ τῶν ἐναντιεμένων τῇ πολιτείᾳ. οἱ δ', ὥσπερ ἀλέσης πολέμῳ κατακράτος τῆς πατρίδος, ἐ τὰ χρήματα μόνον ἀφῃρῦντο τὲς νόμῳ κτησαμένες, ἀλλὰ καὶ εἰς τὰς γαμετὰς αὐτῶν τὰς εὐμόρφες παρηνόμεν, καὶ εἰς ϑυγατέρας ἐπιγάμες καϑύβριζον, καὶ πληγὰς τοῖς ἀγανακτῦσιν, ὥσπερ ἀνδραπόδοις, ἐδίδοσαν· καὶ παρεσκεύασαν, ὅσοις ἀφόρητα εἶναι τὰ γινόμενα ἐδόκει, καταλιπόντας τὴν πατρίδα, γυναιξὶν ὁμῦ καὶ τέκνοις, εἰς τὰς πλησίον ἐξοικίζεϑαι πόλεις, ὑποδεχομένων αὐτὲς Λατίνων μὲν, διὰ τὸ συγγενὲς· Ἑρνίκων δὲ, διὰ τὴν ἔναγχος γενομένην αὐτοῖς ὑπὸ Ῥωμαίων ἰσοπολιτείαν. ὥϑ', ὅπερ εἰκὸς ἦν, τελευτῶντες αὐτοὶ κατελείφϑησαν οἱ φιλοτύραννοι, καὶ οἷς μηδεμία τῶν κοινῶν φροντὶς ἦν. ἔτε γὰρ οἱ πατρίκιοι διέμενον ἐν τῇ πόλει, ϑωπεύειν μὲν ἐκ ἀξιῦντες τὲς ἡγεμόνας, ἐναντιῦϑαι δὲ τοῖς πραττομένοις ἀδυνατῦντες· ἔϑ' οἱ καταγραφέντες εἰς τὸ βελευτικὸν συνέδριον, ὃς ἐπανάγκες ἔδει παρεῖναι ταῖς ἀρχαῖς· ἀλλὰ καὶ τέτων οἱ πλεῖες ἀνασκευασάμενοι πανοικεσίᾳ, καὶ τὰς οἰκίας ἐρήμες ἀφέντες, ἐν τοῖς ἀγροῖς διέτριβον. τοῖς δ' ὀλιγαρχικοῖς καϑ' ἡδονὴν αἱ τῶν ἐπιφανεςάτων ἀνδρῶν ἐγίνοντο φυγαὶ, πολλῶν μὲν καὶ ἄλλων ἕνεκα, μάλιςα δὲ, ὅτι τοῖς ἀκολάςοις τῶν νέων πολὺ τὸ αὔϑαδες προσεγίνετο, μηδ' ὄψει δυναμένοις ἰδεῖν, ὃς ἔμελλον ἀσελγῆ πράττοντες αἰσχύνεϑαι.

Multi cives, patria relicta, in proximas urbes migrant.

Ἐρη-

cap. 3. Sabini & Aequi irruptionem in agrum Romanum faciunt.

Ἐρημωμένης δὲ τοῦ κρείττονος μέρους τῆς πόλεως, καὶ τὸ ἐλεύθερον ἅπαν ἀπολωλεκυίας, ἀφορμὴν κρατίστην ὑπολαβόντες Αἰκανοὶ πολέμῳ κρατηθέντες ὑπ᾿ αὐτῆς, τάς τε ὕβρεις, ἃς ὑβρίσθησαν, ἀποτίσασθαι, καὶ τὰ ἀπολωλότα ἀναλαβεῖν, ὡς νοσούσης διὰ τὴν ὀλιγαρχίαν τῆς πόλεως, καὶ οὔτε συστῆναι, οὔθ᾿ ὁμονοῆσαι, οὔτ᾿ ἀντιλαβέσθαι τῶν κοινῶν ἔτι δυνησομένης, παρασκευασάμενοι τὰ πρὸς τὸν πόλεμον, ἐλαύνουσιν ἐπ᾿ αὐτὴν στρατεύμασι μεγάλοις. καὶ κατὰ τὸν αὐτὸν χρόνον Σαβῖνοι ἐμβαλόντες εἰς τὴν ὁμοτέρμονα, καὶ πολλῆς λείας γενόμενοι ἐγκρατεῖς, φόνον τ᾿ ἐργασάμενοι πολὺν τοῦ γεωργικοῦ πλήθους, ἐν Ἠρήτῳ κατεστρατοπέδευσαν· διέστηκε δ᾿ ἀπὸ τῆς Ῥώμης ἡ πόλις αὕτη στάδια τεσσαράκοντα καὶ ἑκατὸν, πλησίον οὖσα Τιβέρεως ποταμοῦ. Αἰκανοὶ δ᾿ εἰς τὴν Τουσκλάνων γῆν ἐμβαλόντες, ὅμορον οὖσαν σφίσι, καὶ πολλὰ δῃώσαντες αὐτῆς, ἐν Ἀλγιδῷ πόλει τίθενται τὸν χάρακα· ὡς δ᾿ ἤκουσαν οἱ δέκα τὴν τῶν πολεμίων ἔφοδον, τεταραγμένοι συνεκάλουν τὰς ἑταιρείας, καὶ μετὰ τούτων, ὅ τι χρὴ πράττειν, ἐσκόπουν· τὸ μὲν οὖν ὑπερόριον ἀποστέλλειν στρατιὰν, καὶ μὴ περιμένειν, ἕως ἐπ᾿ αὐτὴν ἔλθωσι τὴν πόλιν αἱ τῶν πολεμίων δυνάμεις, ἅπασιν ἐδόκει.

cap. 23. qui, cum decemviri tirones tantum haberent, quos eis opponerent, superiores ubique discedunt.

Καταγράψαντες οὖν ἐν τάχει τὰς δυνάμεις καὶ τριχῇ νείμαντες, δύο μὲν τάγματα κατέλιπον ἐν τῇ πόλει, φυλακῆς τῶν ἐντὸς τείχους ἕνεκεν· ἡγεῖτο δὲ τῶν δύο τούτων ταγμάτων Ἄππιος Κλαύδιος ὁ προεστηκὼς τῆς ὀλιγαρχίας, καὶ σὺν αὐτῷ Σπόριος Ὄππιος· τρία δὲ ἔχοντες ἐξῆγον ἐπὶ Σαβίνους, Κόϊντος Φάβιος, καὶ Κόϊντος Πετέλιος, καὶ Μάνιος Ῥαβολήϊος· πέντε δὲ τὰ λοιπὰ τάγματα παραλαβόντες Μάρκος Κορνήλιος, καὶ Λεύκιος Μινούκιος, καὶ Μάρκος Σέργιος, καὶ Τίτος Ἀντώνιος, καὶ τελευταῖος Καίσων Δουέλιος, ἐπὶ τὸν πρὸς Αἰκανοὺς πόλεμον ἀφίκοντο· συνεστρατεύετο δ᾿ αὐτοῖς Λατίνων τε καὶ ἄλλων συμμάχων ἐπικουρικὸν, οὐκ ἔλαττον τοῦ πολιτικοῦ πλήθους. ἀλλ᾿ οὐδὲν αὐτοῖς ἐχώρει κατὰ νοῦν, τοσαύτην μὲν οἰκείαν δύναμιν ἐπαγομένοις, τοσαύτην δὲ συμμαχίαν· οἱ γὰρ πολέμιοι καταφρονήσαντες αὐτῶν, ὅτι νεοσύλλεκτοι ἦσαν οἱ στρατευόμενοι, πλησίον ἀντεστρατοπεδεύσαντο, καὶ τάς τ᾿ ἀγορὰς ἀγομένας ἀφῃροῦντο, λοχῶντες τὰς ὁδοὺς, καὶ ἐπὶ

προ-

προνομὰς ἐξιοῦσιν ἐπετίθεντο, καὶ εἴ ποτε ἱππεῖς εἰς χεῖρας ἔλθοιεν ἱππεῦσι, καὶ πεζοὶ πεζοῖς, πρὸς φάλαγγα μαχόμενοι, πανταχῇ πλέον ἔχοντες ἀπῄεσαν, ἐθελοκακούντων ἐκ ὀλίγων ἐν ταῖς συμπλοκαῖς, καὶ ὅτε τοῖς ἡγεμόσι πειθομένων, ὅτε ὁμόσε χωρεῖν τοῖς πολεμίοις βελομένων. οἱ μὲν οὖν ἐπὶ Σαβίνες στρατεύσαντες, ἐν τοῖς ἐλάττοσι κακοῖς σωφρονισθέντες, ἑκόντες ἔγνωσαν ἐκλιπεῖν τὸν χάρακα· καὶ περὶ μέσας νύκτας ἀναστήσαντες τὸν στρατὸν, ἀπῆγον ἐκ τῆς πολεμίας εἰς τὴν ἑαυτῶν, φυγῇ παραπλησίαν ποιέμενοι τὴν ἀνάζευξιν, ἕως ἐπὶ πόλιν Κρεσομέρειαν, ἥ ἐστιν ἐ πρόσω τῆς Ῥώμης, ἀφίκοντο. οἱ δ' ἐν Ἀλγιδῷ τῆς Αἰκανῶν χώρας θέμενοι τὴν παρεμβολὴν, πολλὰς καὶ αὐτοὶ λαμβάνοντες παρὰ τῶν πολεμίων πληγὰς, καὶ παρὰ τὰ δεινὰ μένειν ἀξιεντες, ὡς ἐπανορθωσόμενοι τὰς ἐλαττώσεις, ὅικτιστα πράγματα ἔπαθον. ὠσάμενοι γὰρ ἐπ' αὐτὲς οἱ πολέμιοι, καὶ τὲς ὑποστάντας τε χάρακος καταβαλόντες, ἐπέβησαν τῶν ἐρυμάτων· καὶ καταλαβόμενοι τὸ στρατόπεδον, ὀλίγες μέν τινας ἀμυνομένες ἀπέκτειναν, τὲς δὲ πλείες ἐν τῷ διωγμῷ διέφθειραν. οἱ δὲ διασωθέντες ἐκ τῆς φυγῆς, τραυματίαι τε οἱ πλείες, καὶ τὰ ὅπλα μικρε δεῖν πάντες ἀπολωλεκότες, εἰς πόλιν Τέσκλον ἀφικνενται· σκηνὰς δ' αὐτῶν, καὶ ὑποζύγια, καὶ χρήματα, καὶ θεράποντας, καὶ τὴν ἄλλην τε πολέμε παρασκευὴν οἱ πολέμιοι διήρπασαν. ὡς δ' ἀπηγγέλη ταῦτα τοῖς κατὰ τὴν πόλιν, ὅσοι μὲν ἦσαν ἐχθροὶ τῆς ὀλιγαρχίας, καὶ οἱ τέως ἀποκρυπτόμενοι τὸ μῖσος, φανερὲς ἐποίεν ἑαυτὲς τότε, χαίροντες ἐπὶ ταῖς κακοπραγίαις τῶν στρατηγῶν· καὶ ἦν ἤδη καρτερὰ χεὶρ περὶ τὸν Ὁράτιόν τε καὶ τὸν Οὐαλέριον, τὲς ἡγεμόνας τῶν ἀριστοκρατικῶν ἑταιρειῶν.

Cap. 24. Ratio, qua decemviri adversarios suos foris & domi e medio tollebant.

Οἱ δὲ περὶ τὸν Ἄππιον τοῖς μὲν ἐπὶ τε στρατοπέδε συνάρχεσιν ὅπλα τε καὶ χρήματα, καὶ σῖτον, καὶ τἄλλα, ὧν ἐδέοντο, ἐπεχορήγεν, τά τε δημόσια καὶ ἰδιωτικὰ ἐκ πολλῆς ὑπεροψίας λαμβάνοντες, καὶ ἀντὶ τῶν ἀπολωλότων ἀνδρῶν στρατολογήσαντες ἐξ ἁπάσης φυλῆς, τὲς ὅπλα φέρειν δυναμένες ἀπέστειλαν· ὥστ' ἐκπληρωθῆναι τὲς λόχες· τῶν τε κατὰ πόλιν ἐπιμελῆ φυλακὴν ἐποιεντο, φρεραῖς τὲς ἐπικαιροτάτες καταλαμβανόμενοι τόπες, μή τι λάθωσι παρακινήσαντες οἱ μετὰ τε Οὐαλερίε συνεστῶτες.

Digitized by Google

ἐπέσκηπ͂όν τε δι' ἀποῤῥήτων τοῖς ἐπὶ τῶν στρατοπέδων συνάρχουσι, τοὺς ἐναντιουμένους σφίσι διαφθείρειν· τοὺς μὲν ἐπιφανεῖς, ἀδήλως· ὧν δ' ἐλάττων ὁ λόγος ἦν, ἀπὸ τοῦ φανεροῦ, προφάσεις ἀεί τινας ἐπιφέροντας, ἵνα δικαίως δόξωσιν ἀποθανεῖν. καὶ ἐγίνετο ταῦτα. οἱ μὲν γὰρ, ἐπὶ προνομὰς ἀποστελλόμενοι ὑπ' αὐτῶν· οἱ δ', ἀγορὰν παραπέμψαι κομιζομένην· οἱ δ', ἄλλας τινὰς ἐπιτελέσασθαι πολεμικὰς χρείας, ἔξω γενόμενοι τοῦ χάρακος, οὐδαμοῦ ἔτι ὤφθησαν. οἱ δὲ ταπεινότατοι, φυγῆς ἄρχειν κατηγορηθέντες, ἢ τὰ ἀπόῤῥητα πρὸς τοὺς πολεμίους ἐκφέρειν, ἢ τάξιν μὴ φυλάττειν, ἐν τῷ φανερῷ, καταπλήξεως ἕνεκεν τῶν ἄλλων, ἀπώλλυντο. ἐγίνετο δὲ διχόθεν τῶν στρατιωτῶν ὄλεθρος, τῶν μὲν οἰκείων τῆς ὀλιγαρχίας ἐν ταῖς πρὸς τοὺς πολεμίους συμπλοκαῖς διαφθειρομένων· τῶν δὲ τὴν ἀριστοκρατικὴν ποθούντων κατάστασιν ὑπὸ τῶν στρατηγῶν ἀπολλυμένων.

cap. 25. Siccius, ad occupandum castrum quoddam missus, jussu decemvirorum interimitur.

Πολλὰ δὲ τοιαῦτα καὶ κατὰ τὴν πόλιν ὑπὸ τῶν περὶ τὸν Ἄππιον ἐγίνετο. τῶν μὲν οὖν ἄλλων, καίτοι συχνῶν ἀναιρουμένων, ἐλάττων τοῖς πλήθεσι λόγος ἦν· ἑνὸς δ' ἀνδρὸς ἐπιφανεστάτου τῶν δημοτικῶν, καὶ πλείστας ἀρετὰς ἐν τοῖς κατὰ πόλεμον ἔργοις ἀποδειξαμένου θάνατος ὠμὸς καὶ ἀνόσιος, ἐπιτελεσθεὶς ἐν θατέρῳ τῶν στρατοπέδων, ἔνθα οἱ τρεῖς ἡγεμόνες ἦσαν, ἅπαντας ἑτοίμους ἐποίησε πρὸς τὴν ἀπόστασιν τοὺς ἐκεῖ. ἦν δὲ ὁ φονευθεὶς Σίκκιος, ὁ τὰς ἑκατὸν εἴκοσι μάχας ἀγωνισάμενος, καὶ ἐξ ἁπασῶν ἀριστεῖα λαβών. Ἐμβαλόντες γὰρ εἰς τὴν τῶν Σαβίνων γῆν οἱ στρατίαρχοι αὐτὸν, ἄκρον τε τὰ πολέμια, καὶ ἐν τοῖς πρώτοις τοῦ ὁμίλου καταριθμούμενον, μεθ' ἑτέρων, ὥς τι χωρίον καταληψόμενον, ἔπεμψαν, καὶ διὰ τῶν συνεκπεμφθέντων αὐτῷ τὸν ἄνδρα διέφθειραν· λόγου δ' εἰς τὸ στρατόπεδον γεγονότος, ὡς παρὰ πολεμίων τοῦ ἀνδρὸς σὺν ἄλλοις ἀνῃρημένου, οἱ στρατιῶται ἀνελέσθαι τοὺς νεκροὺς ὁρμήσαντες, οὐδὲν σῶμα τῶν ἐναντίων εὑρήκασι, συχνοὺς δὲ τῶν ὁμοφύλων, οὓς ὁ Σίκκιος ἐπιθεμένους αὐτῷ ἀπέκτεινεν, ἀμυνόμενος.

Zonaras in annal. Lib. VII. c. 18.

Injuria filiæ Virginii ab Appio illata

Ὡς οὖν κύκλῳ τε αὐτοῦ κειμένους, καὶ τετραμμένους πρὸς αὐτὸν εἶδον, ὑπετόπησαν τὸ γενόμενον, καὶ μέντοι καὶ ἐθορύβησαν. πρὸς δὲ ταῖς καὶ διά τι τοιοῦτον, Λεύκιος

τις

Digitized by Google

τις Ὀυεργίνιος, ἐκ τῦ πλήθυς ὤν, καὶ θυγατέρα ἔχων περικαλλῆ, Λυκίῳ Ἰκιλλίῳ τῶν ὁμοίων αὐτῷ ἐκδώσειν ἔμελλε. ταύτης ὁ Κλαύδιος ἐραθεὶς, καὶ μὴ τυχὼν, παρεσκέυασέ τινας δυλαγωγῆσαι αὐτήν. ἐλθὼν ὖν ὁ τῆς κόρης πατὴρ ἐκ τῦ ςρατοπέδυ ἐδικαιολογεῖτο· ὡς δὲ ὁ Κλαύδιος ταύτης κατεψηφίσατο, καὶ τοῖς δυλαγωγῦσιν αὐτὴν ἡ κόρη παρεδόθη, καὶ ὐδεὶς ἐπήμυνεν, ὑπερήλγησεν ὁ ταύτης πατὴρ, καὶ τὴν θυγατέρα κοπίδι διαχειρισάμενος, πρὸς τὺς ςρατιώτας, ὡς εἶχεν, ἐξώρμησεν· ὖς ὐδὲ πρὶν εὖ διακειμένυς ὕτως ἐτάραξεν, ὥςε εὐθὺς ἐπὶ τὴν πόλιν πρὸς τὸν Κλαύδιον ἐπειχθῆναι. καὶ οἱ ἕτεροι δὲ οἱ ἐπὶ τὺς Σαβίνυς ἐςρατευμένοι, ἐπεὶ τῦτ' ἔμαθον, τό τε τάφρευμα ἐξέλιπον καὶ συμμίξαντες τοῖς λοιποῖς, ἄνδρας εἴκοσιν ἑαυτῶν προεςήσαντο; καὶ ὐδὲν μικρὸν ἐλογίζοντο πρᾶξαι. καὶ τὸ ἄλλο δὲ πλῆθος τὸ ἐν τῇ πόλει προσεχώρησεν αὐτῆς, καὶ μετ' αὐτῶν ἐθορύβει. ἐν τύτοις ὁ μὲν Κλαύδιος φοβηθεὶς, ἐκρύβη. Ὄππιος δὲ τήν τε βυλὴν ἤθροισε, καὶ πέμψας ἐπύθετο τῦ πλήθυς, τί βύλονται; οἱ δὲ τὸν Ὀυαλλέριον Λεύκιον, καὶ τὸν Ὁράτιον Μάρκον, ἄνδρας ἐκ τῶν βυλευτῶν αὐτοῖς προσκειμένυς, πεμφθῆναι σφίσιν ἐζήτυν, ὥς τι δι' ἐκείνων ἀποκρινύμενοι. ἐπεὶ δὲ ὐκ ἐπέμφθησαν, φοβηθέντων τῶν δέκα ἀρχόντων (ἤδη γὰρ πάντες παρῆσαν) μὴ ςρατηγοῖς αὐτοῖς κατ' αὐτῶν χρήσαιντο, ἔτι μᾶλλον ὠργίζοντο. φόβος ὖν τοῖς βυλευταῖς ἐπέπεσεν ὐ μέτριος ἐντεῦθεν, καὶ διὰ τῦτο, καὶ παρὰ γνώμην τῶν ἀρχόντων, τόν τε Ὀυαλλέριον σφίσι καὶ τὸν Ὁράτιον ἔπεμψαν· καὶ τύτυ συναλλαγῆς γενομένης, τοῖς μὲν θορυβήσασιν ἄδειά τῶν πραχθέντων ἐδόθη, καὶ ἡ Δεκαρχία κατελύθη. αἱ δὲ ἐπέτειοι ἀρχαὶ, αἵ τε λοιπαὶ καὶ αἱ τῶν δημάρχων ἐπὶ τοῖς αὐταῖς προνομίοις ἐπανῆλθον, ἐφ' οἷς πρώην ἦσαν. ἀποδειχθέντες δὲ οἱ ἄρχοντες, ἄλλοι τὲ καὶ Ὀυεργίνιος, τὸν μὲν Ὄππιον, τόν τε Κλαύδιον εἰς δεσμωτήριον ἐνέβαλον, οἳ πρὶν εὐθυνθῆναι, ἑαυτὺς διεχειρίσαντο· τὺς δὲ λοιπὺς ἐγράψαντο, καὶ ἑλόντες, ἐξήλασαν.

ad tumultum tandem movet tam exercitum quam plebem urbanam,

ad quem sedandum Decemviratus abrogatur, & annui magistratus restituuntur. In decemv. injurias vindicatur.

Ὁι δὲ ὕπατοι ἦσαν Ὀυαλλέριος καὶ Ὁράτιος, καὶ τότε, καὶ μετέπειτά τῷ πλήθει προσέκειντο, καὶ μᾶλλον αὐτὺς, ἢ τὺς εὐπατρίδας ἐκράτυναν. ἐλαττύμενοι ὖν οἱ εὐπα-

A. U. 306. ante Chr. 448. Valerius & Horatius Coss. plebi addicti.

εὐπατρίδαι, ὔτε ῥᾳδιον συνελέγοντο, ὔτε τὰ πράγματα ἐπ' αὐτοῖς ἐποίων παντάπασιν. ἀλλὰ καὶ τοὺς Δημάρχους οἰωνοσκοπίᾳ ἐν συλλόγοις χρῆσθαι δεδώκασιν, ὃ λόγῳ μὲν τιμὴν αὐτοῖς ἔφερε, καὶ ἀξίωμα (μόνοις γὰρ τοῦτο ἐκ τοῦ πάνυ ἀρχαίου τοῖς εὐπατρίδαις ἐπετέτραπτο), ἔργῳ δὲ κώλυμα ἦν, ἵνα μὴ ῥᾳδίως οἱ δήμαρχοι, καὶ τὸ πλῆθος, ὅσα βούλοιντο πράττοιεν, ἀλλὰ προφάσει τῆς οἰωνοσκοπίας ἔστιν, οὗ ἐμποδίζοιντο. ἀχθόμενοι δὲ τοῖς ὑπάτοις, οἵ τε εὐπατρίδαι καὶ ἡ βουλὴ, ὡς τὰ τοῦ πλήθους φρονοῦσιν, οὐκ ἐψηφίσαντο σφίσι τὰ ἐπινίκια, πόλεμον ἑκατέρου νικήσαντος, οὗθ' ἡμέραν ἑκάστῳ ἀπένειμαν, ὥσπερ εἴθιστο· τὸ μέντοι πλῆθος ἐπὶ δύο τε ἡμέρας ἑώρτασε, καὶ τοῖς ὑπάτοις τὰ νικητήρια ἐψηφίσαντο. οὕτως οὖν ἐς διαφορὰς τῶν Ῥωμαίων ἐλθόντων, οἱ ἐναντίοι σφίσιν ἀναθαρσήσαντες, ἐπῄεσαν αὐτοῖς. τῷ δ' ἑξῆς ἔτει Μάρκου Γενουκίου, καὶ Γαΐου Κουρτίου ὑπατευόντων, ἐπ' ἀλλήλους ἐτράποντο· οἵ τε γὰρ τοῦ πλήθους καὶ ὑπατεύειν ἤθελον· ἐπείπερ ἐδημάρχουν οἱ εὐπατρίδαι πρὸς αὐτοὺς μεθιστάμενοι· καὶ οἱ εὐπατρίδαι λίαν τῆς ὑπάτου ἀρχῆς περιείχοντο, καὶ πολλὰ κατ' ἀλλήλων καὶ βίαια ἔλεγόν τε καὶ ἔπραττον. ἵνα δὲ μὴ πρός τι χεῖρον χωρήσωσι, τοῦ μὲν ἔργου τῆς ἡγεμονίας οἱ δυνατοὶ αὐτοῖς παρεχώρησαν· τοῦ δ' ὀνόματος οὐ μετέδωκαν, ἀλλ' ἀνθ' ὑπάτων χιλιάρχους ὠνόμασαν, ἵνα μὴ τὸ τῆς κλήσεως ἔντιμον τῷ σύρφακι ὁμίλῳ καταῤῥυπαίνοιτο. καὶ τρεῖς ἀφ' ἑκατέρων χιλιάρχους ἀντὶ τῶν δύο ὑπάτων αἱρεῖσθαι συνέδωξεν. οὐ μέν τοι τὸ τῶν ὑπάτων ἐξέλιπε τέλεον ὄνομα, ἀλλά ποτε μὲν ὕπατοι καθίσαντο, ποτὲ δέ γε χιλίαρχοι. οὕτω μὲν ταῦτα παραδέδοται γίνεσθαι. καί τοι οὐ μόνον τῶν ὑπάτων δικτάτωρος ἀνειπόντων, καὶ ταῦτα πολὺ τῆς ἀρχῆς ἐκείνης ἐλαττουμένων, ἀλλὰ καὶ χιλιάρχων τοῦτο πεποιηκότων ἐνίοτε· λέγεται δὲ, ὅτι οὐδεὶς τῶν χιλιάρχων καί τοι πολλῶν πολλάκις νικησάντων, ἐπινίκια ἔπεμψεν. οἱ μὲν οὖν χιλιάρχοι οὕτω τότε ᾑρέθησαν.

Ὁι δὲ τιμηταὶ τῷ ἐχομένῳ ἔτει Βαρβάτου καὶ Μάρκου Μακρίνου ὑπατευόντων κατεδείχθησαν, καὶ ᾑρέθησαν Λούκιός τε Παπείριος καὶ Λούκιος Σεμπρώνιος· κεχειροτόνηντο δὲ, ὅτι οἱ ὕπατοι ἀδύνατοι ἐπὶ πάντας διὰ τὸ πλῆθος

Tribunis jus auspiciis in conventibus utendi conceditur.

(Devictis Aequis & Sabinis) Coss. invito senatu triumphant.

A. U. 309. ante Chr. 445.

A. U. 310. ante Chr. 444. M. Genucio & C. Curtio Coss. contentio de jure consulatus inter pleb. & patr.

Tribuni militum consulari potestate sex loco consulum creantur.

cap. 19. A. U. 312. ante Chr. 442. Censores creati sunt.

Digitized by Google

θος ἐξαρκεῖν ἦσαν· τὰ γὰρ τοῖς τιμηταῖς ἀπονεμηθέντα προνόμια, ἐκεῖνοι μέχρι τότε ἐποίουν· δύο τε ἦσαν οἱ τιμηταὶ ἐξ ἀρχῆς, καὶ ἐκ τῶν εὐπατριδῶν. ἦρχον δὲ τὰ μὲν πρῶτα, καὶ τὰ τελευταῖα ἐπὶ πενταετίαν· ἐν δὲ τῷ μέσῳ χρόνῳ ἐπὶ τρεῖς ἑξαμήνους, καὶ ἐγένοντο τῶν ὑπάτων μείζους, καί τοι μέρος τῆς ἐκείνων λαβόντες ἀρχῆς. ἐξῆν δὲ αὐτοῖς τάς τε προσόδους τὰς κοινὰς ἐκμισθοῦν, καὶ τῶν ὁδῶν καὶ τῶν δημοσίων οἰκοδομημάτων ἐπιμελεῖσθαι, καὶ τὰς ἀπογραφὰς τῆς ἑκάστου εὐπορίας διατελεῖν, καὶ τὸν βίον τῶν πολιτῶν ἐπισκοπεῖν τε καὶ ἐξετάζειν· καὶ τοὺς μὲν ἀξίους ἐπαινεῖν ἐς τὰς φυλὰς, καὶ ἐς τὴν ἱππάδα, καὶ τὴν γερουσίαν ἐγγράφειν, καθὼς ἑκάστοις προσήκειν ἐνομίζετο. τοὺς δ' οὐκ εὖ βιοῦντας ἁπανταχόθεν ὁμοίως ἀναλείφειν· ὃ μεῖζον πάντων ἦν τῶν τοῖς ὑπάτοις καταλειφθέντων· πίστεις δ' ἐνόρκους ἀφ' ἑκάστῳ πεποίηντο, ὡς οὔτε πρὸς χάριν, οὔτε πρὸς ἔχθραν τι ποιοῦσιν, ἀλλ' ἐξ ὀρθῆς γνώμης τὰ συμφέροντα τῷ κοινῷ καὶ σκοποῦσι, καὶ πράττουσι. καὶ τὸν δῆμον ἐπί τε νόμων εἰσφοραῖς καὶ τοῖς ἄλλοις συνήθροιζον καὶ τῷ τῶν μειζόνων ἀρχῶν κόσμῳ, πλὴν ῥαβδούχων, ἐχρῶντο. τοιαύτη ἡ τῶν τιμητῶν ὑπῆρχεν ἀρχή· τῶν μέντοι μὴ ἀπογραψαμένων τὰς οὐσίας ἐν ταῖς ἀπογραφαῖς, καὶ ἑαυτοὺς, τὰς μὲν οὐσίας οἱ τιμηταὶ, αὐτοὺς δ' ἐκείνους οἱ ὕπατοι ἐπίπρασκον. χρόνῳ μὲν οὖν τινι ταῦθ' οὕτως ἐπράχθη, ὕστερον δὲ τὸν ἅπαξ τῇ βουλῇ καταλεχθέντα διὰ βίου βουλεύειν ἔδοξε, μήδ' ἀπαλείφεσθαι· εἰ μή τις ἀδικήσας, καὶ κριθεὶς ἠτίματο ἢ κακῶς ζῶν ἠλέγχθη· τοὺς γὰρ τοιούτους ἀπήλειφον, καὶ ἀντ' αὐτῶν ἑτέρους ἐνέγραφον. τῶν δὲ προσκαίρως ἀρχόντων, πρεσβεῖα μὲν ἐδέδοτο τοῖς δικτάτωρσι, δευτερεῖα δέ γε τοῖς τιμηταῖς, ἡ δὲ τρίτη τάξις τοῖς ἱππάρχοις νενέμητο· καὶ οὕτω ταῦτα ἐπέτακτο, κἂν ἐν ταῖς ἀρχαῖς ἦσαν, κἂν ἀπηλλάγησαν. εἰ γάρ τις ἐκ μείζονος ἀρχῆς εἰς ὑποδεεστέραν κατέστη, τὸ τῆς προτέρας ἀξίωμα εἶχεν ἀκέραιον. εἷς δέ τις, ὃν πρίγκιπα μὲν τῆς γερουσίας ὠνόμαζον (λέγοιτο δ' ἂν καθ' Ἕλληνας, πρόκριτος) συμπάντων προεῖχε τὸν χρόνον, ὃν προεκρίνετο (οὐ γὰρ διὰ βίου τις εἰς τοῦτο προεχειρίζετο) καὶ προέφερε τῶν ἄλλων τῷ ἀξιώματι, οὐ μὴν καὶ δυνάμει ἐχρῆτό τινι.

Officia censorum.

Ordo, quo magistratus se excipiebant.

Χρό-

Digitized by Google

cap. 20. Fame exorta, pauperes divitibus annonæ suppressionem, divites pauperibus agriculturæ neglectum objiciebant. A. U. 315. ante Chr. 439. Manlius frumento multos sibi conciliat, regnoque affectato occiditur, A. U. 316. ante Chr. 438.

Χρόνον μὲν ἦν τινα εἰρήνην πρὸς ἀλλήλους καὶ πρὸς περιοίκους ἤγαγον· εἶτα λιμοῦ ἐπικρατήσαντος, ὥστε τινὰς καὶ εἰς τὸν ποταμὸν ἑαυτοὺς ἐμβαλεῖν, μὴ φέροντας τὸν λιμὸν, ἐστασίασαν. οἱ μὲν γὰρ τοὺς εὐπόρους, ὡς περὶ τὸν σῖτον κακουργοῦντας ἐν αἰτίᾳ πεποίηντο, οἱ δὲ τοὺς πένητας, ὡς τὴν γῆν μὴ βουλομένους ἐργάζεσθαι. Ἰδὼν δὲ τοῦτο Σπούριος Μάλλιος, ἀνὴρ ἱππεὺς πλούσιος, τυραννίδι ἐπικεχείρηκε, καὶ σῖτον ἐκ τῆς περιχώρου πριάμενος, πολλοῖς μὲν ἐπευωνίζων, πολλοῖς δὲ καὶ προῖκα ἐδίδου, κἀκ τούτου συχνοὺς προσοικειωσάμενος, ὅπλα τε ἐπορίσατο καὶ φρουροὺς, καὶ ἐκράτησεν ἂν τῆς πόλεως, εἰ μὴ Μινούκιος Ἀγουρῖνος, ἀνὴρ εὐπατρίδης ἐπὶ τῇ σιτοσίᾳ τεταγμένος καὶ αἰτιώμενος ἐπὶ τῇ σιτοδείᾳ, εἰσήγγειλε τῇ βουλῇ τὸ πραττόμενον, ἡ δὲ γερουσία μαθοῦσα τὸ μήνυμα, δικτάτωρα παραυτίκα ἐν τῷ συνεδρίῳ ἀνεῖπε τὸν Κυΐντιον τὸν Λούκιον τὸν Κιγκινάτον, καὶ ταῦτα παρήλικα ὄντα (ὀγδοηκοντούτης γὰρ ἦν), κἀκεῖ τὴν ἡμέραν πᾶσαν ἀνάλωσαν συγκαθήμενοι, ὥς τι δὴ βουλευόμενοι, ἵνα τὸ μὴ γεγονὸς ἐκφοιτήσῃ. νυκτὸς δὲ ὁ δικτάτωρ τὸ Καπιτώλιον καὶ τὰ λοιπὰ τὰ ἐπικαιρότατα διὰ τῶν ἱππέων προκαταλαβὼν, ἕωθεν ἐπὶ τὸν Μάλλιον ἔπεμψε Γάϊον Σερουΐλιον τὸν ἵππαρχον, ὡς δι' ἄλλο τι ἐκεῖνον μετακαλούμενος. ὁ δὲ ὑποτοπήσαντός τι τοῦ Μαλλίου, καὶ διαμέλλοντος δείσας, μὴ ὑπὸ τοῦ πλήθους ἐξαρπασθῇ (ἤδη γὰρ συνέτρεχον) ἔκτεινε τὸν ἄνδρα, ἢ αὐτογνωμονήσας, ἢ τοῦτο κεκελευσμένος πρὸς τοῦ Δικτάτωρος. θορυβηθέντος δ' ἐπὶ τούτῳ τοῦ πλήθους ὁ Κυΐντιος δημηγορήσας, καὶ σῖτον σφίσι παρασχὼν, καὶ μή τινα ἕτερον ἢ κολάσας, ἢ ἐπαιτισάμενος, τὸν θόρυβον ἔπαυσε.

Aliis populis facile devictis A. U. 330. ante Chr. 424. longum cum Tyrrheniis bellum oritur. Ob negatam prædam a militibus occiditur Quæstor, & postea Posthumius. A. U. 341. ante Chr. 413.

πολέμων δὲ τοῖς Ῥωμαίοις ἐκ διαφόρων ἐθνῶν ἐπενηνεγμένων, τοὺς μὲν ἐν ὀλίγαις ἡμέραις ἐνίκησαν, τοῖς δὲ Τυρσηνοῖς ἐπὶ μακρὸν ἐπολέμησαν. Ποστουμίου δὲ νενικηκότος τοὺς Αἰκούους, καὶ μεγάλην πόλιν ἑλόντος αὐτῶν, ὅτι μήτ' ἐκείνην οἱ στρατιῶται εἰς προνομὴν ἐξεχωρήθησαν, μήτε τι τῆς λείας αἰτήσαντες ἔλαβον, τόν τε Ταμίαν τὸν διατιθέμενον αὐτὴν περιστάντες ἐφόνευσαν, καὶ τὸν Ποστούμιον ἐπιτιμῶντα αὐτοῖς ἐπὶ τούτῳ καὶ ζητοῦντα τοὺς αὐτόχειρας, προσαπέκτειναν, καὶ τὴν χώραν οὐ τὴν αἰχμάλωτον μόνον, ἀλλὰ καὶ πᾶσαν προσένειμαν ἑαυτοῖς τὴν

ἐν

Digitized by Google

ἐν τῷ δημοσίῳ τότε τυγχάνουσαν. κἂν ἐπὶ πλεῖστον ἡ στάσις διήρκεσεν, εἰ μὴ πόλεμος αὖθις Ῥωμαίοις παρὰ τῶν Αἰκουῶν ἐπενήνεκτο. Φοβηθέντες γὰρ διὰ τοῦτο ἡσύχασαν, καὶ τὴν τιμωρίαν τῶν φόνων εἰς ὀλίγους ἐλθοῦσαν ὑπέμειναν, καὶ ἐπὶ τοὺς ἐναντίους στρατεύσαντες, μάχῃ αὐτοὺς νενικήκασι. διὸ τήν τε λείαν αὐτοῖς οἱ δυνατοὶ διέδοσαν, καὶ μισθὸν τοῖς πεζοῖς, εἶτα καὶ τοῖς ἱππεῦσιν ἐψηφίσαντο. ἄμισθοι γὰρ μέχρι τότε καὶ αὐτόσιτοι ἐστρατεύοντο, τότε δὲ πρῶτον μισθοφορεῖν ἤρξαντο. πολέμου δὲ αὐτοῖς πρὸς Οὐιέντας συστάντος, ἕως μὲν κατὰ σφᾶς ἐπολέμουν ἐκεῖνοι, πολλάκις αὐτοὺς οἱ Ῥωμαῖοι ἐνίκησαν, καὶ ἐς πολιορκίαν κατέστησαν. προσγενομένων δὲ αὐτοῖς συμμάχων, ἐπεξῆλθον τοῖς Ῥωμαίοις, καὶ ἐπεκράτησαν. ἐν τούτοις δὲ καὶ πρὸς τῷ ὄρει Ἀλβανῷ οὖσα λίμνη ὑπὸ τῶν περὶ αὐτῆς περικλειομένη λόφων, καὶ μὴ ἔχουσα ἐκροὴν, κατὰ τὸν τῆς πολιορκίας τῶν Οὐιέντων καιρὸν ἐς τοσοῦτον ἐπλημμύρησεν, ὡς ὑπερεκχεῖσθαι καὶ τῶν ὀρῶν, καὶ κατιέναι πρὸς θάλασσαν. κρίναντες δ' οἱ Ῥωμαῖοι πάντως τι διὰ τούτου θεῖον σημαίνεσθαι, ἔπεμψαν εἰς Δελφοὺς περὶ τούτου χρησόμενοι. ἦν δέ τις καὶ παρὰ τοῖς Οὐιένταις Τυρσηνὸς ἀνὴρ μαντικός. ἐς ταὐτὸν οὖν ἥ τε Πυθία καὶ ἡ ἐκείνου μαντεία συνέδραμον· καὶ ἄμφω γὰρ ἁλώσεσθαι τὴν πόλιν εἶπον, ὅταν τὸ ὕδωρ τὸ πλημμυρῆσαν μὴ ἐς θάλασσαν ἐμπέσῃ, ἀλλ' ἀναλωθείη ἑτέρωθι. καί τινας ἱερουργίας διὰ τοῦτο γενέσθαι ἐκέλευσαν. ἀλλ' ὁ μὲν Πύθιος οὔτε τίσι θεῶν, οὔθ' ὅπως αὐτὰς ποιήσουσι, διεσάφησεν. ὁ δὲ Τυρσηνὸς, ἐῴκει μὲν εἰδέναι, οὐδὲν δὲ ἐδήλου. οἱ γοῦν περὶ τὸ τεῖχος, ὅθεν ἐκεῖνος ὡμίλει, τεταγμένοι Ῥωμαῖοι, φιλίαν πρὸς ἐκεῖνον ὑποκριθέντες, τά τε ἄλλα θαρρεῖν αὐτῷ ἐνεδίδουν, καὶ ἀδεῶς ἐπέτρεπον ἐκφοιτᾶν· καὶ οὕτω συλλαβόντες αὐτὸν, πάντα τὰ καθήκοντα ἠνάγκασαν ἐξειπεῖν, καὶ κατὰ τὴν ὑποθήκην ἐκείνου τάς τε θυσίας ἐποίησαν, καὶ τὸν λόφον διέτρησαν, καὶ τὸ πλεονάζον ὕδωρ εἰς τὸ πεδίον κρυπτῇ διώρυχι μετωχέτευσαν, ὥσθ' ἅπαν ἐν αὐτῷ ἀναλίσκεσθαι, καὶ μή τι καταῤῥέειν εἰς θάλασσαν.

Seditionem finit bellum cum Aequis, A. U. 345. ante Chr. 409. Prima stipendia militibus decernuntur. Bellum contra Vejentes varia fortuna geritur ab A. U. 349. ante Chr. 405. Veji obsidentur per x annos A. U. 347 — 357. ante Chr. 407 — 397. Lacus in Albano agro, suasu Tyrrheni vatis, perfosso tumulo evacuatur in agros.

Ἄρτι μὲν οὖν τοῦτο ἐγένετο, καὶ δικτάτωρ ᾑρέθη Μάρκος Φούριος Κάμιλλος, ὃς προσβαλὼν τῇ πόλει, ἐπεὶ οὐδὲν

cap. 21. Camillus, dictator, tandem cuniculum in

arcem agit: & dum alii Romanorum mœnia aggrediuntur, alii per cuniculum in urbem penetrant.

ἀδελ ᾔσθετο, ὑπόγειον ὠρύξατο διόδον πόῤῥωθεν ἀρξάμενος, εἰς τὴν ἀκρόπολιν φέρουσαν. παρεσκευασμένα δὲ ἤδη τὰ ὑπονόμα, ἐπεὶ πολλοὶ καὶ ἀπὸ τῆς Ῥώμης αὐτῷ προσεχώρησαν ἐθελονταί, παραλαβὼν κἀκείνους, προσέβαλε τῇ πόλει, καὶ πανταχόθεν τὸ τεῖχος ἐκύκλωσε, τῶν δ᾽ ἐντὸς περὶ πάντα τὸν περίβολον σκεδασθέντων, ἔλαθον ἕτεροι διὰ τῶν ὑπονόμων γεγονότες ἐντός. ἁλούσης δὲ τῆς πόλεως, καὶ τῶν Ῥωμαίων διαρπαζόντων τὰ ἐν αὐτῇ, ὁρῶν ἀπὸ τῆς ἄκρας ὁ Κάμιλλος τὰ πραττόμενα, ἐστέναξε, καὶ ἐδάκρυσε, καί, ὦ θεός, ἔφη, εἴ τις Ῥωμαίοις ὀφείλεται νέμεσις, τῆς εὐπραγίας ἀντίστροφος, εὔχομαι ταύτην εἰς ἐμαυτὸν τελευτῆσαι.

Apollini decimam prædæ partem dicat, & craterem aureum confectum ex muliebribus ornamentis ultro oblatis; pro qua liberalitate honores mulieribus decernuntur. Attamen Camillus in invidiam populi incidit.

τὴν δὲ τῆς λείας δεκάτην ἐξελὼν ἀπάντων τῶν στρατιωτῶν, ἀνέθετο τῷ Ἀπόλλωνι, εὐχὴν τούτῳ πρὶν ποιησάμενος. ἀνέθετο δὲ καὶ κρατῆρα χρυσοῦν ἐκ τοῦ τῶν γυναικῶν κόσμου πεποιημένον, ἀνθ᾽ οὗ τιμὴ αὐταῖς παραχρῆμα ἐψήφισθη. ἡ δὲ ἦν, τὸ ἐπ᾽ ὀχημάτων αὐτὰς ἐς τὰς πανηγύρεις φοιτᾶν, αὐτοποδίᾳ βαδίζουσαι πρότερον ἐς αὐτάς. τῷ δὲ Καμίλλῳ προσώχθισεν ὁ δῆμος, καὶ ἐνεμέσησεν, τὰ μέν, ὅτι τὴν δεκάτην τῶν λαφύρων οὐκ ἐν τῷ διαρπάζεσθαι ταῦτα, ἀλλὰ καιρῷ παρελθόντος ἐξείλετο τῷ θεῷ· τὰ δ᾽, ὅτι τά τε ἄλλα σοβαρῶς ἐθριάμβευσε, καὶ πρῶτος Ῥωμαίων λευκῷ τεθρίππῳ τὰ ἐπινίκια ἔπεμψεν.

Pompæ triumphalis ratio antiquior.

Ἡ δὲ τῶν ἐπινικίων πομπή, ἣν καὶ θρίαμβον ἐκάλουν, τοιάδε τις ἐγίνετο. ὅτε τι κατορθώθη μέγα, καὶ ἐπινικίων ἐπάξιον, αὐτοκράτωρ αὐτίκα ὁ στρατηγὸς ὑπὸ τῶν στρατιωτῶν ὠνομάζετο, καὶ κλῶνας δάφνης περιέδει ταῖς ῥάβδοις, καὶ τοῖς δρομοκήρυξι τὴν νίκην καταγγέλλουσι τῇ πόλει, κομίζειν ἐδίδου. ἐλθὼν δὲ οἴκαδε τὴν γερουσίαν συνήθροιζε, καὶ ᾔτει ψηφίσασθαί οἱ τὰ ἐπινίκια. καὶ εἰ ἔτυχε ψήφου παρά τε τῆς βουλῆς καὶ τοῦ δήμου, ἐπεβαιοῦτο αὐτῷ καὶ ἡ ἐπωνυμία τοῦ αὐτοκράτορος. καὶ εἰ μὲν ἐν τῇ ἀρχῇ ἦν ἔτι, ἐν ᾗ τυγχάνων ἐνίκησε, ταύτῃ καὶ πανηγυρίζων ἐκέχρητο. εἰ δ᾽ ὁ χρόνος παρεληλύθει τῆς ἀρχῆς, ἄλλο τι πρόσφορον αὐτῇ ἐλάμβανεν ὄνομα, ἰδιώτῃ γὰρ νικητήρια πέμψαι ἀπείρητο. ἐνσκευασάμενος δὲ τῇ ἐπινικίῳ σκευῇ καὶ περιβραχιόνια λαβών, στέφανόν τε δάφνης ἀναδησάμενος, καὶ κλάδον κρατῶν ἐν

τῇ

Digitized by Google

τῇ δεξιᾷ, τὸν δῆμον συνεκάλει· καὶ ἐπαινέσας τὰς συςρατευσαμένας αὐτῷ καὶ κοινῇ, καὶ ἰδίᾳ τινὰς, ἐδωρεῖτο μὲν σφίσι χρήματα, ἐτίμα δὲ καὶ κόσμῳ, περιβραχιόνιά τέ τισι, καὶ δόρατα ἀσίδηρα παρεῖχε, καὶ ςεφάνας, τοῖς μὲν χρυσᾶς, τοῖς δὲ ἀργυρᾶς ἐδίδα, τἄνομά τε ἑκάςα καὶ τῆς ἀριςείας φέροντας τὸ ἐκτύπωμα. εἰ γὰρ τείχας τις πρῶτος ἐπέβη, καὶ τείχας ὁ ςέφανας εἶδος ἐφέρετο· ἢ καὶ ἐξεπολιόρκησέ τι, καὶ τᾶτο κἀκεῖνο εἰκόνιςο. ἐναυκράτησέ τις; ναυσὶν ὁ ςέφανος ἐκεκόσμητο. ἱπποκράτησέ τις, ἱππικόν τι ἐξετετύπωτο. ὁ δὲ πολίτην τινὰ ἐκ μάχης, ἢ ἑτέρα κινδύνα, ἢ ἐκ πολιορκίας σώσας, μέγιςόν τε εἶχε τὸν ἔπαινον, καὶ ἐλάμβανε ςέφανον γινόμενον ἐκ δρυὸς, ὅς πολὺ πάντων καὶ τῶν ἀργυρῶν καὶ τῶν χρυσῶν, ὡς ἐντιμότερος προτετίμητο. καὶ ἀ κατ᾽ ἄνδρα μόνον ἀριςεύσαντα ταῦτα ἐδίδοτο, ἀλλὰ καὶ λόχοις, καὶ ςρατοπέδοις ὅλοις παρείχετο. καὶ τῶν λαφύρων πολλὰ μὲν τοῖς ςρατευσαμένοις διανενέμητο. ἤδη δέ τινες καὶ παντὶ τῷ δήμῳ διέδοσαν, καὶ ἐδαπάνων εἰς τὴν πανήγυριν, καὶ ἐδημοσίευον. καὶ εἴ τι περιελέλειπτο, εἰς ναὰς, εἰς ςοὰς, ἢ καί τι ἕτερον δημόσιον ἔργον ἀνήλισκον. ταῦθ᾽ ὁ πομπεὺς ποιήσας εἰς τὸ ἅρμα ἀνέβαινε. τὸ δὲ δὴ ἅρμα ἄτ᾽ ἀγωνιςηρίῳ, ἄτε πολεμιςηρίῳ ἦν ἐμφερὲς, ἀλλ᾽ ἐς πύργα περιφερᾶς τρόπον ἐξείργαςο. καὶ ἀ μόνος ἦν ἐν τῷ ἅρματι, ἀλλ᾽ ἄν γε καὶ παῖδας ἢ συγγενεῖς τινας εἶχε, κἀκείνων τὰς μὲν κόρας καὶ τὰ ἄῤῥενα τὰ νεογνὰ ἐν αὐτῷ ἀνεβίβαζε, τὰς δὲ ἁδροτέρας ἐπὶ τὰς ἵππας τάς τε ζυγίας καὶ τὰς σειραφόρας ἀνετίθετο. εἰ δὲ πλείας ἦσαν, ἐπὶ κελήτων τῷ πομπεῖ παριππεύοντες συνεπόμπευον. τῶν δ᾽ ἄλλων ἀδεὶς ὠχεῖτο, ἀλλ᾽ ἐςεμμένοι δάφνῃ πάντες ἐβάδιζον. οἰκέτης μέν τοι δημόσιος ἐπ᾽ αὐτᾶ παρωχεῖτο τᾶ ἅρματος, τὸν ςέφανον τῶν λίθων τῶν χρυσοδέτων ὑπερανέχων αὐτᾶ, καὶ ἔλεγε πρὸς αὐτὸν· ὀπίσω βλέπε, τὸ κατόπιν δηλαδὴ καὶ τὰ ἐφεξῆς προσκόπει τᾶ βία, μηδ᾽ ὑπὸ τῶν παρόντων ἐπαρθῇς καὶ ὑπερφρονήσῃς. καὶ κώδων ἀπήρτητο, καὶ μάςιξ τᾶ ἅρματος ἐνδεικτικὰ τᾶ καὶ δυςυχῆσαι αὐτὸν δύνασθαι, ὥςε καὶ αἰκισθῆναι, ἢ καὶ δικαιωθῆναι θανεῖν. τὰς γὰρ ἐπί τινι ἀτοπήματι καταδικασθέντας θανεῖν, νενόμιςο κωδωνοφορεῖν,

Digitized by Google

ρεῖν, ἵνα μήδεις βαδίζυσιν αὐτοῖς ἐγχριπτόμενος μιάσματος ἀναπίμπληται. ὕτω δὲ ςαλέντες ἐισήεσαν ἐις τὴν πόλιν, ἔχοντες προπέμποντα σΦῶν τὰ σκύλα τε καὶ τὰ τρόπαια, καὶ ἐν ἐικόσι τά τε αἰχμάλωτα Φρϐρια ἠσκημένα, πόλεις τε καὶ ὄρη, καὶ ποταμὺς, λίμνας, θαλάσσας, τά τε σύμπαντα, ὅσα ἑαλώκεσαν. καὶ ἐι μὲν μία ἡμέρα ἦν ἐξαρκϐσα πρὸς τὴν τϐτων πομπὴν· ἐι δὲ μὴ, καὶ ἐν δευτέρα καὶ τρίτῃ ἐπέμπετο. προδιελθόντων δ' ἐκείνων, ὕτως ὁ πομπεὺς ἐις τὴν Ῥωμαίων κομιθεὶς ἀγορὰν, καὶ τῶν αἰχμαλώτων τινὰς ἐις τὸ δεσμωτήριον ἀπαχθῆναι καὶ θανατωθῆναι κελεύσας, ἀνήλαυνεν ἐις τὸ Καπιτώλιον καί τινας ἐκεῖ τελετὰς πληρώσας, καὶ προσαγαγὼν ἀναθήματα, καὶ παρὰ ταῖς ἐκεῖ δειπνήσας ςοαῖς, πρὸς ἑσπέραν ὄικαδε μετ' ἀυλῶν καὶ συρίγγων ἀπήρχετο. τοιαῦτα μὲν ἦσαν πάλαι τὰ νικητήρια. ἀι δὲ ςάσεις, ἄι τε δυναςεῖαι πλεῖςα ἐνεωτέρισαν ἐπ' ἀυτοῖς.

cap. 22. Camillus ob Faliscum bellum tribunus militum designatur, A. U. 361. ante Chr. 393.

Ἐι δὲ καὶ, ὡς ἤδη ἰσόρηται, ὁ δῆμος ἐμίσει τὸν Κάμιλλον, ἀλλ' ὁ πρὸς Φαλίσκυς πόλεμος ἠνάγκασε χιλίαρχον ψηΦισθῆναι αὐτόν· καὶ αὐτὺς μὲν ἐνίκησαν μαχεσάμενοι, πολιορκϐντες δὲ πόλιν αὐτῶν ἐρυμνὴν, Φαλερίυς ὠνομασμένην, ὐδὲν ἤνυον. ὕτω γὰρ τῆς πολιορκίας ὁι τῆς πόλεως κατεΦρόνυν, ὡς καὶ τὺς παῖδας αὐτῶν παρὰ τὰ τείχη περιπατήσοντας μετὰ τϐ διδασκάλϐ καὶ γυμνασομένυς Φοιτᾶν. κᾶν ἀπέςησαν τῆς πολιορκίας, ἐι μή τι συμβέβηκεν. ὗτος γὰρ ὁ διδάσκαλος

Remissis a Camillo pueris, quos eorum magister in castra Romana duxerat,

ἐπιβυλεύων τοῖς πολίταις, ἢ δι' ὀργήν τινα, ἢ κέρδυς ἐλπίδι, ἡμέρας ἑκάςης ἐξῆγε τὺς παῖδας ἐπὶ τὸ τεῖχος ἐγγὺς τὸ πρῶτον, καὶ ἐισῆγεν αὖθις αὐτὺς γυμνασαμένυς ἐυθύς. τέλος δ' ἐις τὺς προΦύλακας τῶν Ῥωμαίων ἐνέβαλεν ἅπαντας, καὶ ἄγειν ἐκέλευσε πρὸς τὸν Κάμιλλον, καὶ παραςὰς αὐτῷ, πᾶσαν ἐιπε παραδιδόναι τὴν πόλιν διὰ τῶν παίδων, ἐκεῖνος δὲ δεινὸν τὸ ἔργον ἡγησάμενος, καὶ ἀρετῇ Φήσας ἰδίᾳ τὸν μέγαν ςρατηγὸν, ἀλλ' ὐκ ἀλλοτρίᾳ κακίᾳ θαῤῥϐντα χρῆναι ςρατέυειν, προσέταξε γυμνωθῆναι μὲν τὸν διδάσκαλον, καὶ δεσμῆσαι τὰς χεῖρας ὄπιθεν, τοῖς δὲ παισὶ ῥάβδυς δϐναι, καὶ μάςιγας, ἵνα ταύταις τὸν προδότην δήσαντες καὶ τύπτοντες, ἐις τὴν πόλιν ἐλαύνωσι. τῶν δὲ πολιτῶν ἄρτι γνόντων τὴν προδοσίαν,

Digitized by Google

δοσίαν, δρόμος ἦν ἐπὶ τὰ τείχη, καὶ θρῆνος ἀνδρῶν τε καὶ γυναικῶν. οὕτω δὲ διακειμένων αὐτῶν, προσῆγον οἱ παῖδες γυμνὸν τὸν διδάσκαλον. ὅπερ ἰδόντες οἱ Φαλίσκοι, καὶ μαθόντες ὅπως ἐγένετο, φέροντες ἑαυτοὺς ἐθελονταὶ τῷ Καμίλλῳ παρέδοσαν, τὴν ἧτταν ἀγαπῆσαι πρὸ τῆς ἐλευθερίας διὰ τὴν δικαιοσύνην αὐτοῦ λέγοντες. χρήματα οὖν λαβὼν καὶ σπεισάμενος, ἀνεχώρησεν. οἱ δὲ στρατιῶται διαρπάσειν προσδοκήσαντες τοὺς Φαλερίους, ὡς μισοδήμου κατηγόρουν αὐτοῦ. φθονηθεὶς δ' ἐπὶ πλέον κατηγορήθη, ὡς μηδὲν τὸ δημόσιον ἐκ τῶν Τυῤῥηνικῶν ὠφελήσας χρημάτων, αὐτὸς δ' ἐκ τούτων σφετερισάμενος. οὕτω δὲ ὠργίζοντο κατ' αὐτοῦ, ὡς μηδ' οἶκτον αὐτοῦ τινα λαβεῖν ἐπὶ τῇ συμβάσῃ αὐτῷ συμφορᾷ, τέθνηκε γὰρ αὐτοῦ νοσήσας ὁ ἕτερος τῶν υἱῶν. δεόμενος δὲ τῶν φίλων, μὴ περιϊδεῖν αὐτὸν ἀδίκως κατακρινόμενον, ἐπείπερ ἐκεῖνοι πρὸς μὲν τὴν ψῆφον αὐτῷ βοηθήσειν ἀπείποντο, τὴν δὲ ζημίαν ὄφλοντι συνεκτίσειν ὑπέσχοντο, οὐκ ἀνασχόμενος ἔγνω φυγεῖν ἐκ τῆς πόλεως, καὶ ἐξιὼν ηὔξατο, εἰ μὴ δικαίως, ὕβρει δὲ δήμου ἐκπίπτει καὶ φθόνῳ, ταχὺ τοὺς αὐτοὺς πολίτας αὐτοῦ δεηθῆναι, καὶ ζητῆσαι αὐτόν. ἐκεῖνος μὲν οὖν πρὸς Ῥουτούλους μετέστη, ἐρήμην δ' ἑάλω, καὶ ψῆφος ἠνέχθη κατ' αὐτοῦ τίμημα μυρίων καὶ πεντακισχιλίων ἀσσαρίων ἔχουσα, ὃ γίνεται πρὸς ἀργυρίου λόγον δραχμαὶ χίλιαι πεντακόσιαι.

ultro se Camillo dedunt Falisci.

Camillus accusatus, quasi Tyrrhenam praedam surripuisset, nec amicorum auxilium contra judices expertus, ultro in exilium ad Rutulos abit, A. U. 364. ante Chr. 390.

Οἱ δ' Εὐρωπαῖοι Γαλάται, ὧν οἱ Ἀσιᾶται νομίζονται ἄποικοι, Κελτικὸν ὄντες γένος, λιπόντες τὴν ἑαυτῶν, ὡς οὐκ αὐτάρκη τρέφειν αὐτούς, οἱ μὲν ἐπὶ τὰ ὄρη τὰ Ῥιπαῖα ὡρμήκεσαν, οἱ δὲ τῶν Ἄλπεων ἱδρυθέντες ἐγγύς, χρόνον ἐκεῖ διήγαγον πλείονα. τότε δὲ οἴνου κομισθέντος ἐξ Ἰταλίας, τούτου γευσάμενοι, καὶ ὑπερθαυμάσαντες, ἀράμενοι τὰ ὅπλα καὶ γενεὰς ἐπαγόμενοι τὴν γῆν ἐκείνην ἐζήτουν, ἣ τοιοῦτον καρπὸν ἀναδίδωσι. καὶ πρὸς πάλιν Τυῤῥηνίδα, Κλούσιον καλουμένην, στρατεύσαντες, ἐπολιόρκουν αὐτήν. Οἱ δὲ Κλουσηνοὶ πρὸς τοὺς Ῥωμαίους κατέφυγον, αἰτοῦντες βοήθειαν. πρέσβεις δ' ἐκ Ῥώμης πρὸς ἐκείνους ἐπέμφθησαν, οὓς οἱ Γαλάται διὰ τὸ τῶν Ῥωμαίων ὄνομα ἐντίμως ἐδέξαντο, καὶ τοῦ τειχομαχεῖν παυσάμενοι, εἰς λόγους συνεληλύθασιν. ἐν τούτοις δὲ λοχήσαντες οἱ Κλου-

cap. 23. Romani a Clusinis rogati, ut sibi contra Gallos Senones, urbem suam obsidentes, opem ferrent, legatos ad colloquium mittunt, A. U. 365, ante Chr. 389,

Cum autem Clusini cum

Digitized by Google

his legatis Gallos ex insidiis invasissent, Brennus confestim copias Romam ducit.

Κλεσηνοὶ μετὰ τῶν ἐκ Ῥώμης πρέσβεων, ἐπέθεντο τοῖς Γαλάταις. ὁ δὲ τῶν Γαλατῶν Βασιλεὺς Βρέννος ὀργισθεὶς ἐπὶ τούτῳ, τῶν Κλεσηνῶν ἀμελήσας, εὐθὺς, ὡς εἶχε, τὸ στράτευμα κατὰ τῆς Ῥώμης ἐκίνησεν, ἐπεὶ μὴ ἐπὶ τιμωρίᾳ οἱ πρέσβεις αὐτῷ ἐξεδίδοντο· καὶ τοσούτῳ τάχει ἐχρήσατο, ὡς ἐπελθεῖν αὐτοὺς τῇ πόλει, μὴ προμαθόντων Ῥωμαίων τὴν ἔφοδον. τὸ μέντοι δαιμόνιον προαγγεῖλαι αὐτοῖς τὴν ἔφοδον λέγεται. Μάρκος γὰρ Καίδικος νυκτός ποι βαδίζων, φωνῆς ἤκουσε λεγούσης, Γαλάται ἔρχονται. εἰρηκότος δὲ τοῦτο Μάρκου τῷ δήμῳ καὶ τῇ βουλῇ, ἐν παιδιᾷ τὸν λόγον ἐποιοῦντο καὶ γέλωτι, ἕως αὐτάγγελοι οἱ Γαλάται σφῶν πλησίον ἐγένοντο. τότε δὲ σπουδῇ ἐξελθόντες,

Ad Alliam flumen Consul Fabius a Gallis magna clade afficitur.

καὶ ἀτάκτως ἀγωνισάμενοι, αἴσχιστα ἡττῶντο. καὶ πολλοὶ μὲν ἐν τῇ μάχῃ πεπτώκασι, πολλοὶ δὲ φεύγοντες ἔθνησκον καταλαμβανόμενοι, πλεῖστοι δὲ καὶ εἰς ποταμὸν τὸν Τίβεριν συνωθήθησαν καὶ ἐφθάρησαν. οἱ δὲ λοιποὶ σκεδασθέντες, οἱ μὲν εἰς τὴν Ῥώμην ἐλθεῖν ἠδυνήθησαν, οἱ δὲ ἀλλαχοῦ.

Comperta clade alii relicta urbe fugiunt, alii Capitolium occupant.

οἱ δ' ἐν τῇ Ῥώμῃ γνόντες τὸ γεγονὸς, ἐν ἀμηχανίᾳ ἐγένοντο. καὶ ἀπογνόντες οὔτε τῶν τειχῶν φυλακὴν ἔθεντο, οὔτε τῆς πόλεως τὰς πύλας ἔκλεισαν, ἀλλ' οἱ μὲν αὐτὴν ἐκλιμπάνοντες ἔφευγον, οἱ δὲ σὺν γυναιξὶ καὶ τέκνοις ἀνέδραμον εἰς τὸ Καπιτώλιον. μόνοι δὲ ὀγδοήκοντα ἄνδρες, οὓς οἱ μὲν ἱερεῖς εἶναι φασὶν, οἱ δὲ τοὺς πρώτους Ῥωμαίων καθ' ἡλικίαν καὶ πλοῦτον καὶ γένος, ἐνδύντες ἱερὰς ἢ πολυτελεστάτας στολὰς ἐν ἀγορᾷ ἐπὶ τῶν ἐλεφαντίνων δίφρων ἐκάθηντο τὴν ἐπιοῦσαν προσμένοντες

Urbem vacuam mirantes & dolum divinantes Galli demum tertio post adventum die eam intrant,

τύχην. οἱ δὲ Γαλάται τῇ ὑστεραίᾳ ἦλθον μὲν ἐπὶ τὴν Ῥώμην. ἰδόντες δὲ τὰς πύλας ἠνεῳγμένας καὶ τὸ τεῖχος ἀφύλακτον, ἐπέσχον, καὶ οὐκ εἰσῄεσαν, ἐνέδραν ὑποτοπήσαντες. τῇ δὲ τρίτῃ θαρσήσαντες εἰσεπήδησαν, καὶ εἷλον τὴν πόλιν. καὶ τῷ μὲν Καπιτωλίῳ φρουρὰν ὁ τῶν βαρβάρων ἐπέστησε Βασιλεύς. αὐτὸς δὲ διιὼν τὴν ἀγορὰν, ἐθαύμασε τοὺς προκαθημένους ἐκείνους ἄνδρας, ὁρῶν ἐν κόσμῳ αὐτοὺς ἀτρεμοῦντας, καὶ σιωπῇ.

senes in foro sedentes cædunt,

τοὺς δὲ Γαλάτας εἶχεν ἔκπληξις πρὸς τὸ ἄτοπον, ὤκνουν δὲ αὐτοῖς προσελθεῖν. ὀψὲ δὲ τολμήσας τις ἑνὶ παρέστη, καὶ τῆς ὑπήνης ἁψάμενος τοῦ ἀνδρὸς κατῆγε ταύτην βαθεῖαν οὖσαν. ὁ δὲ τῇ βακτηρίᾳ τὴν κεφαλὴν ἐκείνου ἐπάταξε, καὶ ὁ

βάρ-

Digitized by Google

βάρβαρος σπασάμενος τὴν μάχειραν, τὸν ἄνδρα κατέκτεινεν. ὅτω δὲ τὰς λοιπὰς ἀνῄρυν οἱ βάρβαροι προσπεσόντες αὐτοῖς, καὶ τὰς οἰκίας ἐπόρθυν καὶ κατεπίμπρασαν, εἶτα καὶ τῷ Καπιτωλίῳ προσέβαλον. ὡς δ' ἐπὶ πολλὰς ἡμέρας ἐπιχειρῦντες ὐδὲν ἤνυον, οἱ μὲν ἐφρύρυν τὸ Καπιτώλιον, οἱ δὲ τὴν χώραν κατέτρεχον, τροφὰς πορίζόμενοι, σκιδνάμενοι, καὶ σποράδην ἐπιόντες, ἀλλ' ὐχ ὁμῦ, ἅτε μέγα φρονῦντες τῷ εὐτυχήματι, καὶ ὑπὸ μέθης ἐσφάλλοντο. οἴνῳ γὰρ ἐντυχόντες πολλῷ ἀκρατέςερον ἐχρῶντο αὐτῷ, μήπω πρότερον πόματος τοιύτυ γευσάμενοι. ὅτω δ' ἔχοντας ὁρῶν τὺς Γαλάτας ὁ Κάμιλλος, ἐπεὶ καὶ τὴν τῶν Ἀρδεατῶν ἐληΐζοντο χώραν, αὐτὺς δὲ τὺς Ἀρδεάτας πλήθει μὲν ἱκανὺς ὄντας, τόλμης δὲ δεομένυς διὰ ἀπειρίαν καὶ τὸ πρὸς μάχας ἀνάσκητον, λόγυς πρὸς τὺς νεωτέρυς ἐνέβαλεν, ὡς ὐκ ἀνδρείᾳ τῶν βαρβάρων τὴν εὐπραγίαν αὐτῶν ἐπιγράφεσθαι δεῖ, ἀλλ' ἀτυχίᾳ Ῥωμαίων. καὶ εἰ προθυμοῖντο καὶ θαῤῥῦσιν αὐτοὶ, ἀκινδύνυς νικήσειν τὺς πολεμίυς διϊσχυρίζετο. ὅτω πείσας τὺς νέυς, εἶτα καὶ τὺς λοιπὺς, ὥπλισε τὺς ἐν ἡλικίᾳ, καὶ νυκτὸς βαθείας μεθύυσιν αὐτὸς μετὰ τῶν Ἀρδεατῶν τοῖς βαρβάροις προσέμιξε, καὶ τὺς πλείονας ἐκεῖ κατέκοψεν. εἰ δέ τινες καὶ φυγεῖν ἠδυνήθησαν ἐν τῷ σκότει, μεθ' ἡμέραν διέφθειρον αὐτὺς ἱππεῖς καταλαμβάνοντες. τῆς δὲ φήμης ταχὺ κηρυξάσης ἁπανταχῦ τὸ κατόρθωμα, ὅσοι τῶν Ῥωμαίων φυγόντες ἐκ τῆς πρώτης πρὸς τὺς Γαλάτας μάχης ἐσώζοντο, τὰ ὅπλα λαβόντες, ἀπῄεσαν πρὸς τὸν Κάμιλλον, δέχεσθαι δεόμενοι τὴν ἀρχὴν αὐτῶν. ὁ δ' ὐκ ἔφη πεισθήσεσθαι, μὴ πρότερον τῶν ἐν τῷ Καπιτωλίῳ σωζομένων, ψηφισαμένων αὐτῷ τὴν ἀρχήν. ἦν δὲ ἀπορία τῦ ταῦτα διαγγελῦντος τοῖς εἰς τὸ Καπιτώλιον. εἷς δέ τις τῶν νέων Κομήνιος Πόντιος, δόξης ἐρῶν ὑπέστη τὸν ἆθλον, καὶ λαθὼν διὰ μέσων διέβη τῶν πολεμίων, καὶ τῷ λόφῳ τῦ Καπιτωλίυ προσπελάσας, καὶ χαλεπῶς ἀνερπύσας, μόλις τε ἀναῤῥιχησάμενος, πρὸς τὺς ἐν τέλει τῶν Ῥωμαίων παρὰ τῶν φυλαττόντων εἰσήχθη, καὶ τήν τε νίκην τῦ Καμίλλυ κατήγγειλε, καὶ τὰ δόξαντα τοῖς ςρατιώταις εἰπὼν βεβαιῶσαι τῷ Καμίλλῳ τὴν ἀρχὴν παρεκάλει. οἱ δὲ Δικτάτωρα τὸν Κάμιλλον ἐψηφίσαντο. καὶ

δὲ

Alii Capitolium per multos dies obsident,

alii per agros sine ordine vagantur, ebrietate ab invento vino devicti, donec Camillus collecta Ardeatium manu barbaros nocte aggreditur, eorumque plerosque cædit.

Romani e pugna ad Alliam superstites & dispersi ad Camillum se recipiunt, eo duce barbaros impetituri.

Romani in Capitolio obsessi, comperta per Pontium Cominium Gallorum clade, Camillum dictatorem iterum dicunt.

Digitized by Google

ὃς τοὺς ἔξω ὄντας Ῥωμαίους περὶ δισμυρίους συναγαγὼν καὶ ἀπὸ τῶν συμμάχων πολλοὺς, παρεσκευάζετο πρὸς ἐπίθεσιν. οἱ δὲ βάρβαροι μεθ' ἡμέραν διϊόντες, καὶ καταμαθόντες, ὅθεν ὁ Πόντιος προσέβη τῷ Καπιτωλίῳ (τοῦτο δ' ὑπετόπασαν ἔκ τε τῶν ἀπεῤῥωγότων τῆς πέτρας θραυσμάτων, καὶ τῆς πόας, ἣ πολλὴ ἐπ' αὐτῆς ἦν τῆς μὲν ἀνεσπασαμένης, τῆς δὲ συμπεπιλημένης) ἐκεῖθεν ἀναβῆναι νυκτὸς καὶ αὐτοὶ ἐβουλεύσαντο· καὶ ἐπεχείρησαν τῷ ἔργῳ, καὶ δυσχερῶς μὲν, ἀνῄεσαν δ' ὅμως, καὶ ἔλαθον ἂν ἡμμένοι τοῦ προτειχίσματος, καὶ τοῖς φύλαξιν ἐπιθέμενοι, εἰ μὴ χῆνες ἦσαν περὶ τὸν νεὼν τῆς Ἥρας τρεφόμενοι, οἳ φύσει ὄντες εὐαίσθητοι καὶ ψοφοδεεῖς, ταχὺ τῶν Γαλατῶν τὴν ἔφοδον ᾔσθοντο, καὶ ταραχώδει κλαγγῇ φερόμενοι πρὸς τοὺς φύλακας, ἐπήγειραν ἅπαντας. οὕτω δὲ τοῖς ἀνιοῦσιν οἱ Ῥωμαῖοι προσμίξαντες, τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ κατὰ τῆς πέτρας ἀπώσαντο, καὶ τὸν κίνδυνον ἐκπεφεύγασιν. ἐντεῦθεν ἦσαν οἱ Κελτοὶ ἀθυμότεροι, ἐφ' ἑπτὰ μησὶ τῇ πολιορκίᾳ ταλαιπωρούμενοι. διὸ καὶ περὶ συμβάσεων ὅ τε τῶν βαρβάρων βασιλεὺς Βρέννος, καὶ ὁ τῶν Ῥωμαίων χιλίαρχος ὁ Σουλπίκιος διελέχθησαν· καὶ συνέδοξε χιλίας λίτρας χρυσίου τοῖς Γαλάταις τοὺς Ῥωμαίους καταβαλεῖν, τοὺς δὲ τὸ χρυσίον λαβόντας αὐτίκα τῆς πόλεως καὶ τῆς χώρας ἀπαναστῆναι. Κομισθέντος δὲ τοῦ χρυσίου, καὶ τῶν βαρβάρων περὶ τὸν σταθμὸν κακουργούντων λάθρα, ὁ Βρέννος τὸ ξίφος ἅμα καὶ τὸν ζωστῆρα λύσας, ἐπέθηκε τοῖς σταθμοῖς. πυθομένου δὲ τοῦ χιλιάρχου, τί τὸ γινόμενον; τί ἄλλο, εἶπεν, ἢ τοῖς νενικημένοις ὀδύνη; ἐν τούτοις ὁ Κάμιλλος ἄγων τὸν στρατὸν, ταῖς πύλαις ἐπέστησε τῆς πόλεως· καὶ μαθὼν τὰ γινόμενα, πρὸς τοὺς Ῥωμαίους ἐπειγόμενος ἐπορεύετο. καὶ ἐλθὼν, τὸ μὲν χρυσίον ἄρας ἀπὸ τοῦ ζυγοῦ, τοῖς ὑπηρέταις ἔδωκε, τὸν ζυγὸν καὶ τὰ σταθμὰ τοὺς Κελτοὺς λαβόντας ἀποχωρεῖν ἐκέλευσεν, εἰπὼν, ὡς σιδήρῳ πάτριόν ἐστι Ῥωμαίοις, καὶ οὐ χρυσῷ τὴν πατρίδα σώζειν. τοῦ δὲ Βρέννου ἀδικεῖσθαι φάσκοντος, λυομένης τῆς ὁμολογίας, ἀντεῖπεν ὁ Κάμιλλος, μὴ κυρίας εἶναι τὰς συνθήκας αὐτοῦ μὴ συμπράξαντος, ἤδη δικτάτωρος ᾑρημένου. ταραχθεὶς οὖν ὁ Βρέννος μέχρι ξιφουλκίας προῆλθεν, ὅμως

Dum Camillus exercitum colligit, noctu Galli in summum Capitolii evasissent, nisi anseres suo clangore M. Manlium e somno excitassent.

Brenno & Sulpitio Romanorum tribuno de pace auro redimenda tractantibus, supervenit Camillus cum exercitu interim collecto, auroque sublato, inquit, ferro Romanis in more esse tueri patriam, & pacta irrita declarat.

Postea Brennus relicta ur-

Digitized by Google

μως δὲ εἰς τὸ ϛρατόπεδον προήγαγε τὰς Κελτὰς. εἶτ' ἐκλιπὼν τὴν πόλιν, καὶ ϛαδίες ἑξήκοντα προελθὼν, ἐϛρατοπέδευσεν. ἅμα δ' ἡμέρᾳ παρῆν ὁ Κάμιλλος ἐπ' αὐτὸν, τεθαῤῥηκότας ἤδη ἐπαγόμενος τὰς Ῥωμαίες, καὶ τρέπεται τὰς βαρβάρες Φόνῳ πολλῷ, καὶ λαμβάνει σφῶν τὸ ϛρατόπεδον. ὅτως ἡ Ῥώμη παραλόγως ἥλω, καὶ ἐσώθη παραλογώτερον· ὁ δὲ Κάμιλλος ἐθριάμβευσε. τῆς ὅν πόλεως διεφθαρμένης παντάπασι, τὸ πλῆθος ἀνοικοδομεῖν αὐτὴν ὄκ ἐβόλετο, ὅτε χρήμασιν, ὅτε σώμασιν ἐῤῥωμένοι, καὶ μικρῦ ἐξέλιπον ἂν αὐτήν. ὁ δὲ γὰρ ἐπείθοντο ὅτε τοῖς ἐν τέλει, ὅτε τῇ γερυσίᾳ, παρακαλῦσι καὶ συμβελεύεσι μὴ ἐκλιπεῖν τὸ ἄϛυ ὃ ἐκ τῶν πολεμίων ἤδη ἐσέσωσο, εἰ μὴ ἐν τῇ ἀγορᾷ πάντων περὶ τότε βελευομένων, ἑκατόνταρχος Φρερὰν ἄγων τινὰ, καὶ παρ' αὐτὴν τὴν ἐκκλησίαν διϊὼν τυχαίως, Ἐνταῦθα ϛῆτε, πρὸς τὰς αὐτῷ ἑπομένες ἐβόησεν· ἐνταῦθα γὰρ δεῖ ὑμᾶς μεῖναι. Θείᾳ γὰρ προνοίᾳ ἐνόμισαν ταῦτ' εἰρῆσθαι, καὶ τῦ μετανασεῦσαι ἀπέσχοντο. πρὸς δὲ τὸν ἀνακαινισμὸν τῆς Ῥώμης σὺν προθυμίᾳ ἐτράποντο, καὶ τά τε τείχη καὶ τὰς ἰδιωτικὰς οἰκίας ἐντὸς ἐνιαυτῦ ἀνεκαίνισαν.

be & castris ad LX ab ea stadia promotis, a Camillo magna cæde est profligatus.

Romanos incertos, utrum relictis ruinis in urbem paratam Vejos transmigrarent, vox Centurionis pro divina habita permovit, ut urbem instaurarent.

Οὔπω δὲ τῆς περὶ ταῦτα παυθεῖσιν ἀσχολίας, πόλεμοι προσέπεσον διαφόρων ἐθνῶν, Αἰκεῶντε, καὶ Οὐλέσκων, καὶ Λατίνων. Τυῤῥηνοὶ δὲ Σέτριον ἐπολιόρκεν, συμμαχίδα Ῥωμαίων πόλιν. ἀποδείκνυται ὄν τὸ τρίτον Δικτάτωρ ὁ Κάμιλλος, καὶ ϛρατεύσας ἐπ' αὐτὰς, κατετροπεύσατο τὰς λοιπὰς, ἐπὶ δὲ τὸ Σέτριον ἦγε τὴν ϛρατείαν. οἱ δὲ Σετρηνοὶ (ἔτυχον γὰρ τὴν πόλιν τοῖς πολεμίοις ἐκδεδωκότες, καὶ ταύτης ἀποχωρήσαντες) καθ' ὁδὸν ἔτι ὄντι τῷ Καμίλλῳ μετὰ γυναικῶν καὶ τέκνων ὑπήντων. ὃς ἰδὼν ὁ Κάμιλλος, καὶ τὰ συμβεβηκότα πυθόμενος, αὐτίκα πρὸς τὸ Σέτριον, ὡς εἶχεν, ἠπείγετο. καὶ ἀπροσδοκήτως αὐτῷ προσβαλὼν ἀφύλακτόν τε εὑρὼν, ἀπαθὲς κακῶν αὐθημερὸν τοῖς πολίταις αὐτὸ ἀνεσώσατο. ἐθριάμβευσε ὄν ἐπὶ τότοις, ἄγων τὰ Ἐπινίκια, καὶ ἐπὶ μέγα δόξης ἦρτο.

cap. 24. Camillus tertium Dictator Sutrium civibus, ejectis a Tyrrhenis, reddit, A. U. 366. ante Chr. 388, iterumque triumphat.

Μάρκος δὲ ὁ Μάλλιος πρῶτος τὰς Κελτὰς τῷ Καπιτωλίῳ προσβαλόντας ἐκ τῆς ἄκρας ὠσάμενος, ὅθεν καὶ Καπιτωλῖνος προσωνομάσθη, Φθονῶν τῷ Καμίλλῳ μᾶλλον τῶν

M. Manlius tyrannidem affectat, carpitur, & Camillo quartum

Digitized by Google

Dictatore, de rupe Tarpeja præcipitatur, A.U. 370. 371. ante Chr. 384. 383.

τῶν ἄλλων, τυραννίδι ἐπέθετο. καὶ διὰ τοῦτο ᾠκειοῦτο τὸν ὅμιλον δημαγωγῶν, καὶ πάντα πράττων εἰς θεραπείαν αὐτοῦ. παραλαβὼν οὖν αὐτὸν τὸ πλῆθος ἀνήγαγον εἰς τὸ Καπιτώλιον, καὶ κατέσχον αὐτό. διὸ καὶ δικτάτωρ τὸ τέταρτον ᾑρέθη ὁ Κάμιλλος. τῶν δὲ τῆς γερουσίας καὶ τῶν ἐν τέλει ἐς μέγα δέος ἐμπεπτωκότων, καὶ ἀπορούντων, τί ἂν πράξαιεν, δοῦλός τις αὐτοῖς προσελθὼν, ζῶντα τὸν Καπιτωλῖνον σφίσι παραδώσειν ὑπέσχετο. λαβὼν οὖν ὁπλίτας, καὶ τάξας αὐτοὺς ἀφανῶς ἐνεδρεύειν ὑπὸ τὸ Καπιτώλιον, ὡς αὐτόμολος τῷ Καπιτωλίνῳ προσκεχωρήκει, ἐπῄνει τε αὐτὸν τῆς ἐπιχειρήσεως, καὶ βοήθειαν παρὰ τῶν ὁμοδούλων αὐτῷ ἐπηγγέλλετο καὶ ταῦτα ὁ διαλεγόμενος, ἐπήγαγε τὸν ἄνδρα πόῤῥω τῶν περιεστηκότων, ὡς δή τι κοινολογούμενος αὐτῷ ἰδιαίτατα, καὶ ἠρέμα κατ' ἐκεῖνο τοῦ Καπιτωλίου προσῄει, καθ' ὃ ἡ ἔνεδρα ἐλελόχιστο, κἀκεῖθεν αὐτὸν κάτω ἀπώσατο, ὃς καὶ ληφθεὶς ἀποκεκόμιστο πρὸς τὸ δικαστήριον. ὁ δὲ τάς τε ἀριστείας κατέλεγε, καὶ τὸ Καπιτώλιον τοῖς τε δικάζουσι, καὶ τοῖς περιεστῶσιν ἐδείκνυ, ἄποπτον ὂν ἐκεῖθεν, καὶ τῆς σωτηρίας αὐτοῦ τε καὶ τῶν ἐν αὐτῷ προσπεφευγότων πολιτῶν ἀνεμίμνησκεν, ὡς ἐντεῦθεν κατακλᾶσθαι τοὺς δικαστὰς, καὶ ὑπερτίθεσθαι τὴν ψῆφον, μήτ' ἀφιέντας, μήτε καταδικάζοντας. τοῦτο δὴ νοήσας ὁ Κάμιλλος, εἰς ἄλλον τόπον τὸ δικαστήριον συνεστήσατο, ὅθεν οὐκ ἦν τὸ Καπιτώλιον ἄποπτον· καὶ καταψηφισθεὶς ὁ Καπιτωλῖνος ἐκεῖ, ἀπήχθη τε εἰς τὸ Καπιτώλιον, καὶ κατὰ τῆς πέτρας ὠσθεὶς ἀπώλετο, καθ' ἧς ἐκεῖνος τὸν Κελτὸν κατεκρήμνισεν.

Motus interni de magistratibus etiam plebi concedendis, A. U. 378. ante Chr. 376.

Εἶτα πολλῶν πολέμων κατά τε τῆς Ῥώμης αὐτῆς, καὶ τῶν ὑποκειμένων αὐτῇ πόλεων κινηθέντων ἐπεξελθόντες τοῖς ἐναντίοις οἱ Ῥωμαῖοι, διά τε τοῦ Καμίλλου, καὶ δι' ἑτέρων, ἤδη ἐκείνου ὑπεργηράσαντος τοὺς δὲ πολέμους κατέπαυσαν, καὶ εἰρήνην βαθεῖαν ἔσχον πρὸς τοὺς ἐκτὸς, πρὸς ἀλλήλους δὲ ἐστασίαζον. Μάρκος γάρ τις Φάβιος εὐπατρίδης, θυγατέρων δύο τυγχάνων πατὴρ, τὴν μὲν πρεσβυτέραν Λικιννίῳ τινὶ Στόλωνι κατηγγύησε, πολὺ αὐτοῦ καταδεεστέρῳ τὴν δὲ νεωτέραν Σουλπικίῳ Ῥούφῳ ἀνδρὶ ὁμοτίμῳ συνῴκισε. χιλιαρχοῦντος οὖν τοῦ Ῥούφου, καὶ ὄντος ἐν ἀγορᾷ, πρὸς τὴν γυναῖκα αὐτοῦ ἡ ἀδελφὴ αὐτῆς παραγέ-

Digitized by Google

γεγόνει. ἀφικομένης δ' ἐκείνης, τὴν θύραν ὁ ῥαβδοῦχος κατά τι ἔθος ἀρχαῖον ἔκρουσε. διεπτοήθη δὲ πρὸς τὸν πάταγον ἡ γονὴ οὔπω τούτου πεπειραμένη. καὶ γέλως ἐπὶ τούτῳ καὶ παρὰ τῆς ἀδελφῆς καὶ τῶν παρόντων ἐγένετο, καὶ ὡς ἰδιῶτις ἐσκώφθη. τῇ δ' ἐν δεινῷ τὸ πρᾶγμα πεποίητο, καὶ τὸν ἄνδρα ἐς ἀρχὴν παραγγεῖλαι ἠρέθιζεν. ὁ γοῦν Στόλων ὑπὸ τῆς γυναικὸς παρακινηθεὶς, Λουκίῳ τινὶ Σεξτίῳ ἀνδρὶ τῶν ὁμοίων τὰ τοῦ πράγματος κοινωσάμενος, ἄμφω δημαρχῆσαι κατεβιάσαντο, καὶ τὸν κόσμον τῆς πολιτείας συνέχεον, ὡς καὶ ἐπὶ τέσσαρσιν ἔτεσιν ἀναρχίαν γενέσθαι τῷ δήμῳ. τὰς γὰρ τῶν εὐπατριδῶν ἀρχαιρεσίας ἐνεπόδιζον, καὶ ἐπὶ πλέον ἂν ἔτι τοῦτο ἐγένετο, εἰ μή τις ἀγγελία κεκόμιστο, ἐπὶ τὴν Ῥώμην αὖθις ἐλαύνειν τοὺς Κελτούς.

Camillo quintum Dictatore & T. Manlio Torquato tribuno militum Galli funduntur;

Ἅπαν οὖν πρὸς ἀλλήλους ἀφέντες διάφορον, Δικτάτωρα τὸ πέμπτον τὸν Κάμιλλον εἵλοντο, καὶ πρὸς τοὺς βαρβάρους ἐστράτευσαν· οὐ μάχη μέντοι κοινὴ, μονομαχία δὲ γέγονε πρότερον. Τῖτος γάρ τις Μάλλιος, ἀνὴρ εὐπατρίδης, προσκεκρουκὼς τῷ πατρὶ, παρημελεῖτο, καὶ διέτριβεν ἐν ἀγρῷ. εἶτα τῷ πατρὶ διηλλάγη, καὶ χιλίαρχος στρατοπέδου γενόμενος, τῷ τε προκαλουμένῳ Κελτῷ πρὸς μονομαχίαν ἀντέστη, καὶ νικήσας αὐτὸν, τὸν στρεπτὸν αὐτοῦ χρυσοῦν ὄντα ἐσκύλευσε, καὶ Τουρκούατος φορῶν αὐτὸν ἐπεκέκλητο. συμμιξάντων δὲ καὶ τῶν στρατευμάτων, ἥττηντο οἱ Κελτοὶ, καὶ τῆς μὲν ἐπὶ τὴν Ῥώμην ὁρμῆς ἀπέσχοντο, τὴν δ' Ἀλβανίδα ἐλεηλάτουν. ἐάσαντες οὖν αὐτοὺς οἱ Ῥωμαῖοι διαρπάσαι τὴν χώραν, ὡς κατακορεῖς γενόμενοι βρωμάτων καὶ μέθης εὐεπιχειρητότεροι εἶεν, ἐπέθεντο σφίσι, καὶ αὐτῶν τε πολλοὺς διέφθειραν, καὶ τὸ αὐτῶν εἷλον στρατόπεδον. ὁ δὲ Κάμιλλος εἰς τὴν Ῥώμην ἐπανελθὼν, ἀπέθετο τὴν ἀρχήν. ἔκτοτε οὖν οἱ μὲν χιλίαρχοι, οἱ ἀντὶ τῶν ὑπάτων ἐγίνοντο, ἐσχολάκασιν, ὕπατοι δὲ ἀπεδείκνυντο, ἐνίοτε μὲν εὐπατρίδαι, ἐκ δὲ τοῦ πλήθους ἐνίοτε, ποτὲ δὲ καὶ ἐξ ἀμφοτέρων ὁμοῦ. νόσου δ' ἐνσκηψάσης τῇ Ῥώμῃ, καὶ ὁ Κάμιλλος τέθνηκε, καὶ οἱ Ῥωμαῖοι πλεῖστα θανόντος τοῦ ἀνδρὸς ἠνιάθησαν.

& in Albano agro vino obruti magno numero trucidantur.

Tribunis militum consulari potestate abrogatis Coss. denuo creantur.

cap. 25.

Τοῖς Ῥωμαίοις δὲ πόλεμοι αὖθις καὶ παρὰ Γαλατῶν, καὶ ὑφ' ἑτέρων ἐθνῶν ἐπηνέχθησαν, ἀλλ' ἐπεκρούσαν-

σαντο πάντας πῆ μὲν ὑπάτες, πῆ δὲ δικτάτωρας ψηΦιζόμενοι· ὅτε καί τι τοιῦτον συμβέβηκε· δικτάτωρ ἐλέχθη Λέκιος Κάμιλλος, Γαλατῶν κατατρεχόντων τὰ ὑπὸ Ῥώμην. ὃς ἐπὶ τὲς βαρβάρες ὁρμήσας, γνώμην εἶχε τρίβειν τὸν καιρὸν, καὶ μὴ διακινδυνέυειν πρὸς ἀνθρώπες ἀπονοίᾳ χρωμένες. Ῥᾷον γὰρ αὐτὲς καὶ ἀσφαλέστερον ἀπορίᾳ τροφῶν ἐκτρυχώσειν ἤλπισε. Γαλάτης δέ τις εἰς μονομαχίαν τινὰ τῶν Ῥωμαίων προεκαλεῖτο, καὶ ἀντέστη αὐτῷ Ὀυαλλέριος Μάρκος χιλιαρχῶν, ὁ τῦ Μαξίμυ ἐκείνυ ἔγγονος. καὶ λαμπρὰ μὲν ἡ μάχη προέβη ἀμφοῖν· ὁ μὲν γὰρ τῇ σοφίᾳ καὶ τῇ περιτεχνήσει προέφερεν, ὁ δὲ Γαλάτης τῇ ἰσχύι καὶ τῇ τόλμῃ· ἐπὶ πλέον δ' ἐθαυμαστώθη, ὅτι τῷ Ὀαλλερίυ κράνει κόραξ ἐφιπτάμενος, καὶ κρώζων, εἰς τὸν βάρβαρον ἐνεχρίμπτετο, καὶ τήν τε ὄψιν αὐτῦ ἐπετάρασσε, καὶ τὴν ὁρμὴν ἐνεπόδιζε, μέχρις ὗ κατειργάσθη. διὸ ἀγανακτήσαντες οἱ Γαλάται ὡς ὑπὸ ὄρνιθος ἠλαττωμένοι, θυμῷ αὐτίκα συνέμιξαν τοῖς Ῥωμαίοις, καὶ κακῶς ἀπηλλάγησαν· ὁ δὲ Ὀυαλλέριος ἀπὸ τῆς τῦ κόρακος συμμαχίας, Κορκῖνος ἐπωνομάσθη. ἐισέπειτα δὲ τῶν στρατευμάτων στασιασάντων, καὶ ἐμφυλίυ πολέμυ γενέσθαι μέλλοντος, κατηλλάγησαν οἱ στασιάσαντες, νόμων τεθέντων, μήτ' ἄκοντά τινα τῦ καταλόγυ ἀπαλείφεσθαι, μήτε τὸν χιλιαρχήσαντα ἑκατονταρχεῖν, καὶ τὲς ὑπάτες καὶ ἄμφω ἐξὸν εἶναι, καὶ ἐκ τῦ πλήθυς καθίστασθαι, καὶ τὸν αὐτὸν μήτε δύο ἅμα ἀρχὰς, μήτε τὴν αὐτὴν δὶς ἐντὸς δέκα ἄρχειν ἐτῶν.

Novum bellum Gallicum L. Furio Camillo Dictatore, A. U. 406. ante Chr. 348. strage Gallorum finitur.

Tumultus intestini legibus comprimuntur, v. c. ut nemo invitus ex albo militum deleretur, ut utrumque liceret Cos. ex plebe creari cet.

cap. 26. Bellum Latinum, A. U. 415. ante Chr. 339.

Λατῖνοι δὲ καίπερ ἔνσπονδοι τοῖς Ῥωμαίοις ὄντες, ἀπέστησαν, καὶ πόλεμον ἤραντο, ἐν Φρονήματι γεγονότες, ὅτι τε νεότητι ἤκμαζον, καὶ τὰ πολεμικὰ ἐκ τῆς ἀεὶ σὺν αὐτοῖς στρατείας ἀκριβῶς ἤσκηντο. οἱ δὲ τῦτο γνόντες ἐξῆλθον, ὕπατον τόν τε Τυρκυάτον τὸ τρίτον ἑλόμενοι, καὶ τὸν Δέκιον, καὶ ἐμαχέσαντο αὐτοῖς κρατειὰν μάχην, κρίσιν τὴν ἡμέραν ἐκείνην ἑκάτεροι νομίζοντες ἀκριβῆ τῆς σφετέρας τύχης τε καὶ τῆς ἀρετῆς. ἔδοξε δὲ περιφανεστέρα ἡ μάχη καὶ διά τι συμβεβηκός. τὲς γὰρ Λατίνες οἱ ὕπατοι καὶ ὁμοσκέυες καὶ ὁμοφώνες τοῖς Ῥωμαίοις ὁρῶντες, ἐφοβήθησαν μὴ τῶν στρατιωτῶν τινες σφαλῶσι, τό, τε οἰκεῖον καὶ τὸ πολέμιον μὴ ῥᾷστα διαγινώσκοντες.

καὶ

καὶ διὰ τῦτο προεῖπον σφίσι, τά, τε ἄλλα παρατηρεῖν ἀκριβῶς, καὶ καθ' ἑαυτὸν μηδένα μηδενὶ τῶν ἐναντίων συμβαλεῖν. τῦτο δὴ τὸ παράγγελμα οἱ μὲν ἐτήρησαν. ὁ δὲ τῦ Τυρκυάτυ παῖς, ϛρατευόμενος ἐν τοῖς ἱππεῦσι, καὶ πεμφθεὶς πρὸς κατασκοπὴν τῶν ἐναντίων παρεῖδεν ἐκ αὐθαδείᾳ, ἀλλὰ μέντοι φιλοτιμίᾳ. ἐπεὶ γὰρ ὁ ἵππαρχος τῶν Λατίνων, ἰδὼν αὐτὸν προσιόντα, πρὸς μονομαχίαν προεκαλέσατο· καὶ μὴ δεξάμενον ταύτην διὰ τὴν πρόῤῥησιν, παρώξυνεν εἰπών· ἐ σὺ μέντοι Τυρκυάτυ υἱός εἶ; ἐ σεμνύνῃ τῷ ϛρεπτῷ τῦ πατρὸς; ἢ πρὸς μὲν Γαλάτας ἀνθρώπυς φθόρυς ἔῤῥωσθε καὶ ἀνδρίζεσθε, τὺς δὲ δὴ Λατίνυς ἡμᾶς φοβεῖσθε; τί ἦν ἄρχειν ἡμῶν ἀξιῦτε; τί δ' ὡς χείροσιν ἡμῶν ἐπιτάσσετε; ἔκφρων ἐγένετο ὑπὸ τῦ θυμῦ, καὶ τῆς παραγγέλσεως ἑκὼν ἐπελάθετο, καὶ μονομαχήσας ἐνίκησε, καὶ τὰ σκῦλα μέγα φρονῶν ἐκόμισε τῷ πατρί. καὶ ὃς ἀθροίσας τὸ ϛράτευμα, γενναίως μὲν, ἔφη, ὦ παῖ ἐμαχέσω, καὶ διὰ τῦτό σε ϛεφανώσω· ὅτι δὲ τὸ προσταχθὲν ἐ παρετήρησας, καί τοι, καὶ ὡς υἱὸς πειθαρχεῖν, καὶ ὡς ϛρατιώτης ἀναγκαζόμενος, διὰ τῦτό σε δικαιώσω, ἵνα καὶ τὸ τῆς ἀριϛείας ἆθλον, καὶ τὸ τῆς ἀπειθείας τίμημα λήψῃ. ταῦτ' εἰπὼν, ἅμα τόν τε ϛέφανον τῇ κεφαλῇ αὐτῦ ἐπέθετο, καὶ αὐτὴν ἐκείνην ἀπέτεμε. εἶτα ὄναρ ἀμφοῖν τοῖς ὑπάτοις ἐν τῇ αὐτῇ νυκτὶ ὁμοίως φανὲν ἔδοξε λέγειν, τῶν ἐναντίων κρατήσειν, ἂν ὁ ἕτερος τῶν ὑπάτων ἑαυτὸν ἐπιδῷ. μεθ' ἡμέραν ἦν ἀλλήλοις τὸ ὄναρ διηγησάμενοι, συνέθεντο θεῖον εἶναι, καὶ πειθῆναι δεῖν αὐτῷ ὡμολόγησαν. ἠμφισβήτησαν δὲ πρὸς ἀλλήλυς, ἐχ ὃς ἂν σωθείη, ἀλλ' ὃς ἂν μᾶλλον ἑαυτὸν ἐπιδῷ. καὶ παρὰ τοῖς πρώτοις τῦ ϛρατοπέδυ ἐδικαιολογήσαντο. καὶ τέλος ἤρεσε σφίσι, τὸν μὲν ἐπὶ τῦ δεξιῦ κέρως, τὸν δὲ ἐπὶ τῦ λαιῦ παρατάξασθαι, καὶ ὁπότερον ἂν ἐκείνων ἐλαττωθῇ, τὸν ἐπ' αὐτῷ τεταγμένον ἀποθανεῖν. τοσαύτη δ' ἦν φιλοτιμία αὐτοῖς περὶ τὴν ἐπίδοσιν, ὡς εὔχεσθαι ἕκαϛον τῶν ὑπάτων ἡττηθῆναι, ἵνα τύχῃ τῆς ἐπιδόσεως, καὶ τῆς εὐκλείας τῆς ἐξ αὐτῆς. συμβαλόντες δὲ τοῖς Λατίνοις, μέχρι μὲν πολλῦ ἰσοπαλῶς ἠγωνίσαντο· εἶτα τὸ κατὰ τὸν Δέκιον κέρας μικρόν τι τοῖς Λατίνοις ἐνέκλινεν. ὃ γνὺς ὁ Δέκιος, ἑαυτὸν ἐπιδέδωκε,

memorabile Coss. virtute, quorum alter, T. Manlius Torquatus, filium suum, quia contra imperium pugnaverat, quamvis victorem, occidit,

alter, P. Decius Mus, se devovit.

κε, καὶ, τὰ ὅπλα ἐκδὺς, τὴν ἐσθῆτα ἐνέδυ τὴν περιπόρφυρον. καὶ οἱ μὲν οὕτω φασὶν ἐφ' ἵππον ἀναπηδῆσαι αὐτὸν, καὶ εἰσελάσαι πρὸς τοὺς πολεμίους, καὶ ὑπ' ἐκείνων ἀποθανεῖν· οἱ δὲ ὑπὸ συστρατιώτου πολιτικοῦ σφαγῆναι.

quo defuncto Latini vincuntur,

τέως δὲ τελευτήσαντος τοῦ Δεκίου τοῖς Ῥωμαίοις ἡ νίκη καθαρῶς συνηνέχθη, καὶ οἱ Λατῖνοι πάντες ἐτράπησαν, οὐ πάντως δὲ διὰ τὸν θάνατον τοῦ Δεκίου· πῶς γὰρ ἄν τις πιστεύσειεν, ἐξ ἑνὸς ἀνδρὸς τοιᾶς δὲ τελευτῆς τοσοῦτον πλῆθος ἀνθρώπων τὸ μὲν φθαρῆναι, τὸ δὲ σωθῆναι καὶ νικῆσαι περιφανῶς; οἱ μὲν οὖν Λατῖνοι οὕτως ἥττηντο.

& Torquatus triumphum ducit.

ὁ δέ γε Τουρκούατος καὶ τὸν υἱὸν ἀποκτείνας, καὶ τοῦ συνάρχοντος τεθνηκότος, ἑώρτασεν ὅμως τὰ ἐπινίκια.

Inter plura tum temporis contra Latinos aliasque gentes suscepta memorabile imprimis fuit bellum Samniticum, a Lucio Papirio Cursore, A. U. 430. ante Chr. 324. gestum & per plures annos continuatum,

Εἶτ' αὖθις αὐτούς τε τοὺς Λατίνους ἐπαναστάντας κατεπολέμησαν, καὶ ἕτερα ἔθνη μάχαις ὑπέταξαν ποτὲ μὲν ὑπάτοις κεχρημένοι, ποτὲ δὲ δικτάτωρσιν, ὧν εἷς ἦν καὶ Λούκιος Παπείριος, ὁ καὶ Κούρσωρ ὀνομαζόμενος διά τε τὴν ἕξιν (ἦν γὰρ δρομικώτατος) καὶ διὰ τὴν ἄσκησιν τὴν τοῦ δρόμου. μετὰ δὲ ταῦτα δικτάτωρ ὁ Παπείριος ἐπὶ τοὺς Σαμνίτας ἐξεπέμφθη, μετὰ Φαβίου Ῥούλλου ἱππάρχου, καὶ ἡττήσας, αὐτοὺς ἠνάγκασεν ἐπὶ συνθήκαις συμβῆναι, αἷς ἐκεῖνος ἐβούλετο. ἀποθεμένου δὲ τὴν ἡγεμονίαν αὐτοῦ, ἐπανέστησαν αὖθις. ὑπὸ δὲ Κορνηλίου Αὔλου δικτάτωρος καὶ πάλιν πολεμηθέντες καὶ ἡττηθέντες, διεκηρυκεύσαντο πρὸς τοὺς ἐν τῇ Ῥώμῃ, τοὺς αἰχμαλώτους τε, ὅσους εἶχον, πέμψαντες αὐτοῖς, καὶ τὴν αἰτίαν τοῦ πολέμου Ῥουτύλῳ ἀνδρὶ δυνατῷ παρ' αὐτοῖς ἐπιγράφοντες, οὗ τὰ ὀστᾶ, ἐπεὶ φθάσας ἐκεῖνος διεχειρίσατο ἑαυτὸν, διέρριψαν· οὐ μέντοι καὶ ἔτυχον τῆς εἰρήνης ὡς ἄπιστοι, ἀλλ' ἄσπονδον σφίσιν ἐψηφίσαντο πόλεμον, καί τοι τοὺς αἰχμαλώτους λαβόντες. ὑπεραυχήσαντες οὖν οἱ Ῥωμαῖοι, καὶ αὐτοβοεὶ πάντας αὐτοὺς αἱρήσειν ἐλπίσαντες, δεινῷ παθήματι περιέπεσον. ὑπερδείσαντες γὰρ οἱ Σαμνῖται, καὶ ἐν συμφορᾷ ποιούμενοι τὸ μὴ σπείσασθαι, καὶ ὡς ἀπεγνωσμένοι μαχόμενοι, καὶ λοχήσαντες ἔν τινι χώρᾳ κοιλοτέρᾳ καὶ στενῇ, τό, τε στρατόπεδον εἷλον, καὶ τοὺς Ῥωμαίους ἐξώγρησαν πανσυδὶ, καὶ πάντας ὑπήγαγον ὑπὸ τὸν ζυγὸν, (τί δ' ἦν τὸ τοῦ ζυγοῦ, ἤδη μοι ἄνωθί που ἱστόρηται) οὐδένα μέν τοι ἀπέκτειναν, ἀλλὰ τά τε ὅπλα καὶ τοὺς ἵππους, καὶ τὰ ἄλλα ὅσα εἶχον,

in quo Romani dolo Samnitium, A. U. 433. ante Chr. 321. Coss. Spurio

πλὴν

Digitized by Google

πλὴν ἑνὸς ἱματίε, ἀφείλοντο, καὶ γυμνὲς σφᾶς ἀφῆκαν ἐπὶ συνθήκαις, τὲτε τὴν χώραν αὐτῶν ἐκλιπεῖν, καὶ συμμάχες σφίσιν ἀπὸ τῆς ἴσης ἔιναι. ἵνα δὲ τὰ τῆς ὁμολογίας καὶ παρὰ τῆς γερεσίας βεβαιωθῶσι, τῶν ἱππέων ἑξακοσίες ἐις ὁμηρείαν κατέσχον. ὁι δ᾽ ὕπατοι Σπέριός τε Ποςέμιος καὶ Τιβέριος Καλεῖνος μετὰ τῆς ςρατιᾶς ἐυθὺς ἀνεχώρισαν, καὶ νυκτὸς αὐτοί τε καὶ τῶν ἄλλων ὁι ἀξιολογώτατοι ἐις τὴν Ῥώμην ἐισῆλθον, ὁι δὲ λοιποὶ ςρατιῶται κατὰ τὲς ἀγρὲς ἐσκεδάσθησαν. ὁι δ᾽ ἐν τῇ πόλει τὰ πεπραγμένα μαθόντες, ὲτε ἡσθῆναι τῇ τῶν ςρατιωτῶν σωτηρίᾳ, ὲτ᾽ ἀχθεσθῆναι ἠδύναντο. πρὸς μὲν γὰρ τὸ δεινὸν ὑπερήλγεν, καὶ ὅτι παρὰ τῶν Σαμνιτῶν τοιαῦτα πεπόνθασι, μεῖζον σφίσι τὸ ἄλγος ἐγίνετο. λογιζόμενοι δὲ, ὡς ἐι πάντας ἀπολέσθαι συνέβη, καὶ περὶ πάντων ἂν ἐκινδύνευσαν, ἐπὶ τῇ σφῶν ἥδοντο σωτηρίᾳ· ἐπικρύπ]οντες δὲ τέως τὸ ἥδεσθαι, πένθος ἐπεποιήκεσαν, καὶ ὲδὲν ἐν τῷ καθεςηκότι τρόπῳ ἔπραξαν, ὲτ᾽ αὐτίκα, ὲθ᾽ ὕςερον, ἕως ἀντεπεκράτησαν τὲς δ᾽ ὑπάτες μὲν παραυτίκα ἔπαυσαν, ἑτέρες δ᾽ ἀνθελόμενοι βελὴν ἐποιήσαντο, καὶ ἐδόκει μὲν σφίσι μὴ δέξασθαι τὴν σύμβασιν. ἐπεὶ δὲ ἀδύνατον ἦν τὲτο δράσαι, μὴ ὲχὶ πρὸς τὲς πράξαντας αὐτὴν τρέψαντες τὴν αἰτίαν, ὤκνεν μὲν τῶν ὑπάτων καταψηφίσασθαι, καὶ τῶν ἄλλων ὁι μετ᾽ αὐτῶν ὡς ἀρχάς τινας ἄρχοντες τὰς σπονδὰς ἐποιήσαντο. ὤκνεν δὲ καὶ ἀφεῖναι, ἵνα μὴ ἐφ᾽ ἑαυτὲς τὸ παρασπόνδημα περιςήσωσιν. αὐτοῖς ὲν ἐκείνοις τοῖς ὑπάτοις ἐπεκοινώσαντο, καὶ πρώτῳ γε τῷ Ποςεμίῳ τὴν ψῆφον ἐπήγαγον, ὅπως αὐτὸς καθ᾽ ἑαυτὲ γνώμην ἀποφήνηται αἰσχύνῃ τὲ μὴ πάντας ἀδοξίας ἀναπλησασαι. ὁ δὲ παρελθὼν ἐις τὸ μέσον, ἔφη, μὴ δεῖν κυρωθῆναι τὰ ὑπ᾽ αὐτῶν πεπραγμένα παρὰ τῆς γερεσίας καὶ τὲ δήμε. μηδὲ γὰρ αὐτὲς ἑκεσίως πράξαι αὐτὰ, ἀλλ᾽ ἀνάγκῃ συνεχομένες, ἣν αὐτοῖς ἐπήγαγον ὁι πολέμιοι ὲκ ἐξ ἀρετῆς, ἀλλ᾽ ἐκ δόλε καὶ ἐξ ἐνέδρας. ὁι γὲν ἀπατησαντες ἐι ἀντηπατήθησαν, ὲκ ἂν δύναιντο δικαίως ἐγκαλεῖν τοῖς ἀνταπατήσασι. ταῦτα τοίνυν ἐιπόντος καὶ τοιαῦτα πολλὰ, ἐν ἀμηχανίᾳ ἡ γερεσία ἐγένετο· τὲ δὲ Ποςεμίε καὶ τὲ Καλεΐνε ἐις ἑαυτὲς τὴν αἰτίαν ἀναδεχομένων, ἐψηφίσθη, μή τε κυρωθῆναι τὰ ὡμολογημένα, ἐκείνες τε ἐκδοθῆναι.

ἀπήχθη-

Postumio & Venturio Calvino apud Furcas Caudinas sub jugum missi sunt.

Postumio ipso suadente, rescissis pactis Coss. Samnitibus deduntur;

Digitized by Google

ἀπήχθησαν ὖν καὶ ἄμφω οἱ ὕπατοι, καὶ οἱ λοιποὶ ἄρχοντες, οἱ ἐπὶ ὅρκοις παρυσιάσαντες εἰς τὸ Σάμνιον. ὁ μέν τοι αὐτὺς οἱ Σαμνῖται ἐδέξαντο, ἀλλὰ τὺς ἁλόντας ἀπῄτυν ἅπαντας, καὶ τὺς θεὺς ἐπεβοῶντο, καὶ ἐπεθείαζον, καὶ τέλος τὺς ἐκδοθέντας ἀντέπεμψαν. οἱ δὲ Ῥωμαῖοι ἐκείνυς μὲν ἀσμένως ἀπέλαβον, τοῖς δὲ Σαμνίταις ὀργῇ τὴν μάχην ἐπήγαγον. καὶ κρατήσαντες, τὰ ὅμοια σφίσιν ἐποίησαν, καὶ ὑπὸ τὸν ζυγὸν αὐτὺς ἀνθυπήγαγον, καὶ ἀφῆκαν, μηδὲν ἄλλο κακὸν δράσαντες. καὶ τὺς σφετέρυς ἱππεῖς, ὓς ὡς ὁμήρυς κατεῖχον οἱ Σαμνῖται, ἀπαθεῖς ἐκομίσαντο.

Romani nova pugna inita Samnites vincunt captivosque itidem sub jugum missos, ceterum illæsos dimittunt, A. U. 434. ante Chr. 320.

Μετὰ δὲ χρόνυς πλείονας αὖθις τοῖς Σαμνίταις πολεμῦντες οἱ Ῥωμαῖοι, Γαΐυ Ἰυνίυ ἡγυμένυ αὐτῶν, συμφορᾷ περιέπεσον. πορθῦντος γὰρ τῦ Ἰυνίυ τὴν χώραν αὐτῶν, εἰς τὰς ὕλας τὰς Ἀόρνυς, τὰ προσόντα οἱ Σαμνῖται ἀνεκομίσαντο, ὕτω καλυμένας ὑπὸ τῦ μηδ' ὄρνις εἰσπέτεσθαι εἰς αὐτὰς τῇ τῶν δένδρων πυκνότητι. ἐκεῖ δὲ ὄντες, ποίμνιά τινα ποιμένων ἢ φρυρῶν ἄνευ προκαθισάντες, καὶ ψευδαυτομόλυς ὑποπέμποντες, ὡς ἐφ' ἑτοίμην λείαν αὐτὺς ὑπηγάγοντο. εἴσω δὲ γενομένυς τῆς ὕλης περιέσχον τε σφᾶς, καὶ ὐ πρότερον ἐπαύσαντο κτείναντες, πρὶν τέλεον ἐκκαμεῖν. καὶ ἄλλοτε δὲ πολλάκις τοῖς Ῥωμαίοις πολεμήσαντες οἱ Σαμνῖται, καὶ ἡττηθέντες, ὐκ ἐφησύχασαν, ἀλλὰ καὶ συμμάχυς, ἄλλυς τε προσλαβόμενοι, καὶ Γαλάτας, ὡς καὶ πρὸς τὴν Ῥώμην αὐτὴν ἐλάσαντες ἡτοιμάζοντο. ὃ οἱ Ῥωμαῖοι μαθόντες, ἐς δέος κατέστησαν, καὶ σημείων πολλῶν αὐτὺς ἐναγόντων εἰς τῦτο· ἐν γὰρ τῷ Καπιτωλίῳ ἐκ τῦ βωμῦ τῦ διὸς τρισὶν ἡμέραις μιᾷ μὲν αἷμα, μιᾷ δὲ μέλι, καὶ ἐν ἑτέρᾳ γάλα θρυλλεῖται ἀναδοθῆναι, εἴ τω ταῦτα πιστά. καὶ ἐν τῇ ἀγορᾷ Νίκης τι ἄγαλμα χάλκεον ἱδρυμένον ἐπὶ βάθρυ λιθίνυ, αὐτομάτως εὑρέθη κάτω ἑστὼς ἐπὶ γῆς. ἐτύγχανε δὲ ἐκεῖ ἀποβλέπον, ὅθεν οἱ Γαλάται ἤδη ἐπῄεσαν. ταῦτ' ὖν καὶ ἄλλως ἐξεφόβει τὸν δῆμον, πλέον δ' ὑπὸ τῶν μάντεων κεκριμένα ἀπαίσια. Μάνιος δέ τις Τυρσηνὸς τὸ γένος, ἐθάρσυνεν αὐτὺς, εἰπὼν, τήν τε Νίκην, εἰ καὶ κατέβη, ἀλλ' εἰς τὸ πρόσθεν προσχωρήσασαν, καὶ βεβαιότερον, ἐπὶ τῆς γῆς ἱδρυθεῖσαν τὸ κράτος σφίσι προδηλῦν τῦ

Ibidem. Lib. VIII. c. 1. (Bellum Etruscum Samnitico jungitur, A. U. 442. ante Ch. 312.) Novam cladem Samnites dolo intulerunt Romanis A. U. 443. ante Chr. 311.

Samnites vero, A. U. 447. ante Chr. 307. a Romanis victi sunt.

Gallis sociis adscitis, Samnites bellum tanto apparatu renovant, A. U. 455. ante Chr. 299, quasi ipsam Romam essent oppugnaturi, quod tamen Romani, pluribus licet prodigiis territi, faustis tamen ominibus auspicantur, A. U. 456. ante Chr. 298.

τῦ πολέμυ, κἀκ τύτυ καὶ θυσίας πολλὰς γενήσεσθαι τοῖς θεοῖς. τὺς γὰρ βωμὺς, καὶ μάλιϛα τὺς ἐν τῷ Καπιτωλίῳ, ἐν ᾧ τὰ Νικητήρια θύυσιν, ἐν ταῖς εὐπραγίαις αὐτῶν, ἀλλ' ὐκ ἐν ταῖς συμφοραῖς κατ' ἔθος αἱμάτ]εσθαι. ἐκ μὲν ὖν τύτων ἀγαθόν τι σφᾶς ἔπεισε προσδοκᾷν. ἐκ δὲ τῦ μέλιτος νόσον, ὅτι αὐτῦ οἱ κάμνοντες δέονται· καὶ ἐκ τῦ γάλακτος λιμόν. ἐς γὰρ τοσαύτην σιτοδείαν ἀφίξεσθαι, ὥϛε καὶ τὴν αὐτόφυτον, τήν τε αὐτόνομον ζητῆσαι τροφήν. ὁ μὲν ὖν Μάνιος ὕτω τὰ τῶν σημείων ἡρμήνευσε· καὶ ἐπὶ τῶν πραγμάτων δ' ἐσύϛερον τῆς αὐτῦ μαντείας ἐκβάσης, σοφίας ἐκομίσατο δόξαν, καὶ προγνώσεως. ὁ δὲ Ὀυολύμνιος τοῖς Σαμνίταις πολεμεῖν ἐκελεύθη, τοῖς δὲ Γαλάταις καὶ τοῖς ἄλλοις τοῖς μετ' αὐτῶν ἀντικαταϛῆναι. ὕπατοι αἱρεθέντες ἐπέμφθησαν, ὅ, τε Ῥῦλλος ὁ Φάβιος ὁ Μάξιμος, καὶ ὁ Δέκιος ὁ Πύπλιος· οἱ πρὸς τὴν Τυρσηνίδα σπυδῇ ἀφικόμενοι, καὶ τὸ τῦ Ἀππίυ ϛρατόπεδον ἰδόντες διπλῷ ϛαυρώματι κατωχυρώμενον, τὺς ϛαυρὺς ἀνέσπασάν τε καὶ διεφόρησαν, ἐν τοῖς ὅπλοις ποιεῖσθαι τὴν ἐλπίδα τῆς σωτηρίας τὺς ϛρατιώτας διδάσκοντες. προσέβαλον ὖν τοῖς πολεμίοις· κἂν τύτῳ λύκος ἔλαφον διώκων εἰς τὸ μεταίχμιον εἰσπεσὼν, αὐτὸς μὲν πρὸς τὺς Ῥωμαίυς ὁρμήσας διεξῆλθε, καὶ αὐτὺς ἐπεθάρσυνε, προσήκειν αὐτὸν νομίζοντας ἑαυτοῖς, ὡς λυκαίνης θρεψαμένης τὸν Ῥωμύλον, καθάπερ ἱϛόρηται· ἡ δ' ἔλαφος ἐς τὺς ἑτέρυς χωρήσασα, κατεκόπη, καὶ τόν τε φόβον αὐτοῖς, καὶ τὴν συντυχίαν τῦ πάθυς κατέλιπε. συμπεσόντων ὖν τῶν ϛρατευμάτων, ὁ μὲν Μάξιμος ῥᾷον τὺς κατ' αὐτὸν ἐνίκησεν, ἥτ]ητο δέ γε ὁ Δέκιος. ἐνθυμηθεὶς δὲ τὴν ἐπίδωσιν τῦ πατρὸς, ἣν διὰ τὸ ἐνύπνιον ἐποιήσατο, ἑαυτὸν ὁμοίως ἐπέδωκε, μή τινι περὶ τῆς πράξεως κοινωσάμενος· ἄρτι δὲ ἔσφακτο καὶ οἱ συντεταγμένοι αὐτῷ, τὸ μὲν ἐκείνυ αἰδοῖ, ὡς δι' αὐτὺς θανόντες ἐθελοντῦ, τὸ δὲ καὶ ἐλπίδι τῦ πάντως ἐκ τύτυ κρατήσειν, τῆς τε φυγῆς ἐπέσχον, καὶ τοῖς διώκυσι σφᾶς γενναίως ἀντικατέϛησαν. κἂν τύτῳ καὶ ὁ Μάξιμος κατὰ νώτυ τε αὐτοῖς προσέπεσε, καὶ παμπόλλυς ἐφόνευσεν. οἱ δὲ περιλειφθέντες ἀποδιδράσκοντες διεφθάρησαν. Μάξιμος

Cum Decius in cornu suo succumberet, ad patris exemplum caput suum devovit; quo ex facto nova victoria spe concepta milites a fuga se abstinent & vincunt, A. U. 457. ante Chr. 297.

μος δὲ Φάβιος τὸν μὲν τῦ Δεκίυ νεκρὸν κατέκαυσε σὺν τοῖς σκύλοις, τοῖς δὲ εἰρήνης δεηθεῖσι σπονδὰς ἐποιήσατο.

A.U. 458. 459. a. C. 296. 295. Licet diu ancipiti Marte cum Samnitibus & Etruscis pugnatum esset, tandem tamen Romani superiores discesserunt. Prædæ magnam partem Coss. in ærarium inferunt.

Τῷ δ' ἑξῆς ἔτει αὖθις τοῖς Σαμνίταις ἐπολέμησεν Ἀτίλιος Ῥίγυλος καὶ μέχρι μέν τινος ἰσοῤῥόπως ἐμάχοντο· εἶτα κρατησάντων τῶν Σαμνιτῶν, αὖθις οἱ Ῥωμαῖοι ἀντεπεκράτησαν. καὶ ἑλόντες αὐτὺς, ὑπήγαγον ὑπὸ τὸν ζυγὸν, καὶ ὕτως ἀφῆκαν. Σαμνῖται δὲ ἐπὶ τοῖς γεγονόσιν ἀγανακτήσαντες, πρὸς ἀπόνοιαν ὥρμησαν, ὡς ἢ κρατήσαντες, ἢ παντελῶς ἀπολύμενοι, θάνατον ἀπειλήσαντες τῷ ὄικοι μενῦντι· καὶ οἱ μὲν ἐς τὴν Καμπανίαν ἐνέβαλον, οἱ δ' ὕπατοι ἔρημον ὂν στρατιωτῶν τὸ Σάμνιον ἐπόρθυν, καὶ πόλεις εἷλόν τινας. ὅθεν οἱ Σαμνῖται τὴν Καμπανίαν λιπόντες, εἰς τὴν οἰκείαν ἠπείχθησαν, καὶ τῷ ἑνὶ τῶν ὑπάτων συμμίξαντες, ἔκ τινος ἥττηντο στρατηγήματος, καὶ φεύγοντες δεινῶς ἔπταισαν, καὶ τὸ στρατόπεδον ἀπέβαλον, πρὸς δὲ καὶ τὸ πόλισμα ᾧ ἐπεβοήθυν. ὁ δὲ ὕπατος τά τε ἐπινίκια ἔπεμψε, καὶ τὰ ἀθροισθέντα ἐκ τῶν λαφύρων ἐδημοσίευσεν· ὁ δὲ ἕτερος ὕπατος κατὰ τῶν Τυρσηνῶν στρατεύσας, καὶ καταστήσας αὐτὺς δι' ὀλίγυ, σῖτόν τε καὶ χρήματα παρ' αὐτῶν εἰσπράξας, τὰ μὲν τοῖς στρατιώταις διέδωκε, τὰ δ' εἰσήνεγκεν εἰς τὺς θησαυρύς.

Romanis pestilentia debilitatis Samnites & Falisci denuo arma capiunt. A. U. 460. ante Chr. 294.

Συμβεβηκότος δὲ λοιμῦ ἰσχυρῦ, οἱ Σαμνῖται καὶ Φάλισκοι καταφρονήσαντες τῶν Ῥωμαίων διά τε τὴν νόσον, καὶ ὅτι τὺς ὑπάτυς ὐ κατ' ἀρετὴν ᾕρηντο, ὡς μὴ πολέμων ὄντων, παρεκίνησαν. μαθόντες ὖν ταῦθ' οἱ Ῥωμαῖοι, Ἰυνίῳ μὲν Βρύτῳ τὸν Καρβίλιον, Κυΐντῳ δὲ Φαβίῳ τὸν πατέρα τὸν Ῥῦλλον τὸν Μάξιμον ὑποστρατήγυς, ἢ πρεσβευτὰς συνεξέπεμψαν. ὁ μὲν ὖν Βρῦτος Φαλίσκυς ἐνίκησε, καὶ τὰ τύτων καὶ τὰ τῶν ἄλλων Τυρσηνῶν ἐληΐζετο.

Fabio sine ordine pugnante magna exercitus Romani pars cæditur, Fabioque dies Romæ dicitur.

Φάβιος δὲ τῆς Ῥώμης πρὸ τῦ πατρὸς ἐξελάσας, καὶ τὺς Σαμνίτας ληΐζεσθαι τὴν Καμπανίδα πυθόμενος, ἠπείγετο, προσκόποις τέ τισιν αὐτῶν ἐντυχὼν, καὶ ταχέως ἀποχωρῦντας σφᾶς θεασάμενος, πάντας τε πολεμίυς ἐκεῖ τυγχάνειν ἐνόμισε, καὶ φεύγειν ἐπίστευσε· κὐκ τύτυ σπεύσας αὐτοῖς συμβαλεῖν πρὸ τῦ τὸν πατέρα αὐτῦ ἀφικέσθαι, ἵν' αὐτῦ τὸ κατόρθωμα, ἀλλὰ μὴ ἐκείνυ δοκῇ, προεχώρησεν ἀσυντάκτως· καὶ περιπεσὼν ἀθρόοις τοῖς πολεμίοις, πανσυδὶ ἂν διεφθάρη, εἰ μὴ νὺξ ἐγένετο. πολλοὶ δ' ὖν

καὶ

Digitized by Google

καὶ μετὰ ταῦτα τεθνήκασι, μή τ' ἰατρῦ μή τ' ἐπιτηδείυ τινὸς παρόντος, διὰ τὸ πολὺ πρὸ τῶν σκευοφόρων αὐτὺς ἐπειχθῆναι ὡς αὐτίκα νικήσοντας· καὶ πάντως ἂν καὶ ἀπώλοντο τῇ ὑςεραίᾳ, εἰ μὴ οἱ Σαμνῖται τὸν πατέρα αὐτῦ ἐγγὺς εἶναι νομίσαντες, ἔδεισάν τε καὶ ἀνεχώρησαν. πυθόμενοι δὲ ταῦθ' οἱ ἐν τῷ ἄςει, δεινῶς ἠγανάκτησαν· καὶ μεταπεμψάμενοι τὸν ὕπατον, εὐθύνειν ἤθελον. ὁ δὲ γέρων ὁ τύτυ πατὴρ καταριθμήσας τά τε οἰκεῖα καὶ τὰ τῶν προγόνων ἀνδραγαθήματα, καὶ ὑποσχόμενος μηδὲν αὐτῶν πράξειν ἀνάξιον τὸν υἱόν, καὶ τὴν τύτυ νεότητα πρὸς τὸ ἀτύχημα προβαλόμενος, τῆς ὀργῆς αὐτὺς αὐτίκα παρέλυσε, καὶ οἱ συνεξελθὼν, μάχῃ τὺς Σαμνίτας ἐνίκησε, καὶ τὸ ςρατόπεδον αὐτῶν εἷλε· τήν τε χώραν ἐπόρθησε, καὶ λείαν πολλὴν ἤλασε· καὶ τὰ μὲν αὐτῆς ἐδημοσίωσε, τὰ δὲ τοῖς ςρατιώταις κατένειμε. διά τοι ταῦτα οἱ Ῥωμαῖοι ἐκεῖνόν τε ἐμεγάλυνον, καὶ τὸν υἱὸν καὶ εἰς τὸ ἔπειτα ἀντὶ ὑπάτυ ἄρξαι ἐκέλευσαν, ὑποςρατήγῳ καὶ τότε τῷ πατρὶ χρώμενον. καὶ ὡς πάντα μὲν αὐτὸς διῴκει, καὶ διῆγε μηδὲν τῦ γήρως φειδόμενος· ὁ μέν τοι καὶ ἔνδηλος ἦν δι' ἑαυτῦ τὰ πράγματα πράττων, ἀλλὰ καὶ τὴν δόξαν τῶν ἔργων τῷ παιδὶ προσῆπτε.

Intercedente vero patre populi ira mitigatur, eoque pro consule bellum ita continuante, ut gloria in filium cederet, honor ejus strage hostium reparatur.

Ὅτι δὲ πᾶσι τοῖς ὖσιν ὑπόκειται φθορὰ καὶ μεταβολὴ, σχεδὸν ὐ προσδεῖ λόγων· ἱκανὴ γὰρ ἡ τῆς φύσεως ἀνάγκη, παραςῆσαι τὴν τοιαύτην πίςιν. δυοῖν δὲ τρόπων ὄντων, καθ' ὓς φθείρεσθαι πέφυκε πᾶν γένος πολιτείας, τῦ μὲν ἔξωθεν, τῦ δ' ἐν αὐτοῖς φυομένυ· τὸ μὲν ἐκτὸς ἄςατον ἔχειν συμβαίνει τὴν θεωρίαν, τὸ δ' ἐξ αὐτῶν, τεταγμένην. Ὅταν γὰρ, πολλὺς καὶ μεγάλυς κινδύνυς διωσαμένη πολιτεία, μετὰ ταῦτα εἰς ὑπεροχὴν καὶ δυναςείαν ἀδήριτον ἀφίκηται· φανερὸν, ὡς, εἰσοικιζομένης εἰς αὐτὴν ἐπὶ πολὺ τῆς εὐδαιμονίας, συμβαίνει, τὺς μὲν βίυς γίγνεσθαι πολυτελεςέρυς, τὺς δ' ἄνδρας φιλονεικοτέρυς τῦ δέοντος περί τε τὰς ἀρχὰς, καὶ τὰς ἄλλας ἐπιβολάς. ὧν προβαινόντων ἐπὶ πλέον, ἄρξει μὲν τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς ἡ φιλαρχία, καὶ τὸ τῆς ἀδοξίας ὄνειδος· πρὸς δὲ τύτοις ἡ περὶ τὺς βίυς ἀλαζονεία καὶ πολυτέλεια. λήψεται δὲ τὴν ἐπιγραφὴν τῆς μεταβολῆς ὁ δῆμος, ὅταν

Polybius, Lib. VI. c. 57. (T. II. p. 575.) Reipublicæ Romanæ instans mutatio in democratiam.

ὑφ' ὧν μὲν ἀδικεῖσθαι δόξῃ διὰ τὴν πλεονεξίαν, ὑφ' ὧν δὲ χαυνωθῇ κολακευόμενος διὰ τὴν φιλαρχίαν. τότε γὰρ ἐξοργισθεὶς, καὶ θυμῷ πάντα βουλευόμενος, οὐκ ἔτι θελήσει πειθαρχεῖν, οὐδ' ἴσον ἔχειν τοῖς προεστῶσιν, ἀλλὰ πᾶν καὶ τὸ πλεῖστον αὐτός. οὗ γενομένου, τῶν μὲν ὀνομάτων τὸ κάλλιστον, ἡ πολιτεία μεταλήψεται, τὴν ἐλευθερίαν καὶ δημοκρατίαν· τῶν δὲ πραγμάτων τὸ χείριστον, τὴν ὀχλοκρατίαν.

---

3) Sub Consulibus democraticis.

A. U. C. 466—725. *ante Chr. nat.* 288—29.

a) Ab expugnata Italia usque ad bellum Punicum secundum.

Zonaras. Lib. VIII. c. 2. Seditio populi de novis tabulis sedatur orto bello Tarentino, A. U. 469. ante Chr. 285.

Μετὰ δὲ ταῦτα, δημάρχων τινῶν χρεῶν ἀποκοπὴν εἰσηγησαμένων, ἐπεὶ μὴ καὶ παρὰ τῶν δανειστῶν αὕτη ἐδίδοτο, ἐστασίασε τὸ πλῆθος· καὶ οὐ πρότερον τὰ τῆς στάσεως κατηνυάσθη ἕως πολέμιοι τῇ πόλει ἐπῆλθοσαν. Ἦρξαν δὲ τῶν πολέμων οἱ Ταραντῖνοι, Τυρσηνοὺς καὶ Γαλάτας, καὶ Σαμνίτας, καὶ ἄλλους προσεταιρισάμενοι πλείονας. ἀλλὰ τοὺς μὲν ἄλλους οἱ Ῥωμαῖοι συμβαλόντες διαφόροις μάχαις ἐνίκησαν, καὶ ὑπάτοις ἄλλο τε ἄλλοις. οἱ δὲ Ταραντῖνοι, καί τοι αὐτοὶ πόλεμον παρασκευάσαντες, ὅμως οὔπω πρὸς μάχην ἀντικατέστησαν φανερῶς. ναυαρχοῦντος δὲ Λουκίου Οὐαλλερίου, καὶ τριήρεσι προσορμίσαι βουληθέντος ἐς Τάραντα, ἐπεὶ ἀπῄει ὅτι σὺν αὐταῖς ἀπεστάλη, φίλιον τὴν χώραν ἡγούμενος· οἱ Ταραντῖνοι κατ' αὐτῶν ὑποτοπήσαντες τὸν Οὐαλλέριον πλεῖν ἐκ τοῦ συνειδότος ὧν ἔδρων, μετ' ὀργῆς ἀντανήχθησαν, καὶ προσπεσόντες αὐτῷ μηδὲν πολέμιον ἐλπίσαντι, κατέδυσαν ἐκεῖνόν τε καὶ ἄλλους πολλούς. καὶ τοὺς ἁλόντας, τοὺς μὲν καθεῖρξαν, τοὺς δὲ καὶ ἀπέκτειναν. πυθόμενοι δὲ ταῦθ' οἱ Ῥωμαῖοι, ἠγανάκτησαν μὲν· πρέσβεις δ' ὅμως ἀπέστειλαν, ἐγκαλοῦντες αὐτοῖς, καὶ δίκας ἀπαιτοῦντες· οἱ δὲ οὐ μόνον αὐτοῖς οὐδὲν ἐπιεικὲς ἀπεκρίθησαν, ἀλλὰ καὶ ἐτώθαζον, ὡς καὶ τὴν ἐσθῆτα τοῦ Λουκίου Ποστουμίου τοῦ προέχοντος κηλιδῶσαι, τῶν πρέσβεων δ' ὅμως. θορύβου δὲ ἐπὶ τούτῳ γενομένου, καὶ τῶν Ταραντίνων ἐπικαγχαζόντων, ὁ Ποστούμιος, γελᾶτε,

Classis Romanæ naves a Tarentinis submerguntur.

L. Postumio postea contumeliose tractato,

λᾶτε, ἔφη, γελᾶτε, ἕως ἔξεστιν ὑμῖν· κλαύσεσθε γὰρ ἐπὶ μακρότατον, ὅταν τὴν ἐσθῆτα ταύτην τῷ αἵματι ὑμῶν ἀποπλύνητε. ἐπανελθόντων οὖν τῶν πρέσβεων, οἱ Ῥωμαῖοι τὰ πραχθέντα μαθόντες, ἤλγησαν, καὶ στρατεῦσαι ἐπὶ τοὺς Ταραντίνους Λούκιον Αἰμίλιον τὸν ὕπατον ἐψηφίσαντο. ὃς εἰς Τάραντα προσχωρήσας, λόγους αὐτοῖς ἐπιτηδείους ἔπεμψε, νομίζων ἐπί τισι μετρίοις εἰρήνην αἱρήσεσθαι. οἱ δὲ ταῖς γνώμαις ἀλλήλοις ἠναντιώθησαν, καὶ τῶν μὲν πρεσβυτέρων καὶ εὐπόρων τὴν εἰρήνην σπευδόντων, τῶν δ' ἐν ἡλικίᾳ καὶ ὀλίγα ἢ μηδὲν ἐχόντων πόλεμον αἱρουμένων ἐκράτησαν οἱ νεώτεροι. Φοβούμενοι δὲ ὅμως, τὸν Πύῤῥον τὸν Ἠπειρώτην εἰς συμμαχίαν ἐβουλεύσαντο προσκαλέσασθαι, καὶ πρέσβεις αὐτῷ καὶ δῶρα πεπόμφασιν. Αἰμίλιος δὲ ταῦτα μαθὼν, τὴν χώραν αὐτῶν ἐλεηλάτει καὶ ἔφθειρεν. οἱ δὲ ἐπεξῆλθον μὲν, ἀλλ' ἐτράπησαν, ὥστε τοὺς Ῥωμαίους τήν τε χώραν αὐτῶν ἀδεῶς πορθῆσαι, καί τινα χειρώσασθαι φρούρια. πολλὴν δὲ τὴν τῶν ἁλόντων τοῦ Αἰμιλίου πεποιηκότος ἐπιμέλειαν, καί τινας τῶν δυνατωτέρων ἐλευθερώσαντος, οἱ Ταραντῖνοι τήν τε φιλανθρωπίαν αὐτοῦ θαυμάσαντες, καὶ εἰς ἐλπίδας προαχθέντες σπονδῶν, Ἄγιν τοῖς Ῥωμαίοις ἐπιτήδειον ὄντα, εἵλοντο στρατηγὸν αὐτοκράτορα. ἄρτι δ' οὗτος κεχειροτόνητο, καὶ Κινέας ὑπὸ τοῦ Πύῤῥου προπεμφθεὶς, ἐμποδὼν τοῖς πραττομένοις ἐγένετο. ὁ γὰρ Πύῤῥος τῆς καλουμένης βασιλεύων Ἠπείρου, φύσεώς τε δεξιότητι, καὶ παιδείας ἰσχύϊ, καὶ ἐμπειρίᾳ πάντων προέφερε· καὶ τοῦ Ἑλληνικοῦ τὸ πλεῖστον τὸ μὲν εὐποιΐαις, τὸ δὲ φόβῳ προσεπεποίητο. οὗτος τοίνυν τοῖς τῶν Ταραντίνων πρέσβεσιν ἐντυχὼν, ἕρμαιον τὴν συμμαχίαν ἡγήσατο, ἐκ πλείονος τῆς Σικελίας καὶ τῆς Καρχηδόνος καὶ τῆς Σαρδοῦς ἐφιέμενος· ὀκνῶν δ' ὅμως αὐτὸς ἔχθρας πρὸς Ῥωμαίους προκατάρξασθαι, καὶ βοηθήσειν μὲν αὐτοῖς ἐπηγγείλατο· ἵνα δὲ μὴ ὑποπτευθείη δι' ἅπερ εἴρηται, οἴκαδε αὐτίκα ἀνακομισθήσεσθαι ἔφη, καὶ ἐν ταῖς συνθήκαις προστεθῆναι πεποίηκε, τὸ μὴ περαιτέρω τῆς χρείας ἐν τῇ Ἰταλίᾳ παρ' αὐτῶν κατασχεθῆναι. συνθέμενος δὲ ταῦτα, τοὺς μὲν πλείους τῶν πρέσβεων ὡς τὰ στρατεύματα αὐτῷ συμπαρασκευάζοντας, ἐν ὁμηρείᾳ κατέσχεν, ὀλίγους δ' ἐξ αὐτῶν καὶ τὸν Κινέαν προέπεμψε σὺν

Romæ bellum Tarentinum decernitur.

Tarentini Pyrrhum, belli socium, accessunt,

qui hanc societatem ad Siciliam, Carthaginem & Sardiniam subigendam peropportunam ratus, auxilia promittit, veritus tamen, ne Romanos offenderet, pactis adiicit, ne eum Tarentini diutius, quam par es-

Digitized by Google

σὺν ϛρατῷ. ἐλθόντων δ' αὐτῶν, ὁι Ταραντῖνοι θαρσήσαντες, τῶν τε καταλλαγῶν τῶν πρὸς Ῥωμαίȣς ἀπέσχοντο, καὶ τὸν Ἄγιν παύσαντες τῆς ϛρατηγίας, ἕνα τῶν πρέσβεων ἐχειροτόνησαν ϛρατηγόν. μετ' ȣ̓ πολὺ δὲ Μίλων ὑπὸ τȣ̃ Πύῤῥȣ σὺν δυνάμει πεμφθεὶς, τήν τε ἀκρόπολιν αὐτῶν ἐς τὴν ἐκείνȣ ὑποδοχὴν κατειλήφει, καὶ τὴν τȣ̃ τείχȣς φρȣρὰν, ὑφ' ἑαυτὸν ἐποιήσατο· καὶ ὁι Ταραντῖνοι ἐπὶ τȣ́τοις ἔχαιρον, ὡς μή τε φρȣρεῖν, μή τ' ἄλλο τι ἐπίπονον ὑπομένειν ἀναγκαζόμενοι. καὶ αὐτοῖς τροφὰς ἐχορήγȣν, καὶ τῷ Πύῤῥῳ χρήματα ἔπεμπον. ὁ ȣ̓̃ν Ἀιμίλιος τέως μὲν κατὰ χώραν ἔμενεν. ἐπεὶ δὲ τȣ̀ς τε Πυῤῥείȣς ἥκοντας ἔγνω, καὶ διὰ τὸν χειμῶνα προσκαρτερεῖν ȣ̓χ' οἷός τε ἦν, ἐς Ἀπȣλίαν ὥρμησεν. ὁι δὲ Ταραντῖνοι ἔν τινι ϛενοπόρῳ χωρίῳ, δι' ȣ̓̃ διελθεῖν ἀνάγκην ἐῖχε, λοχήσαντες, ἄπορον αὐτῷ τὴν πορείαν ἐποίȣν τοξεύμασιν, ἀκοντίσμασί τε καὶ σφενδονήμασιν. ὁ δὲ τȣ̀ς ἀιχμαλώτȣς σφῶν, ȣ̓̀ς ἐπήγετο, προήγαγε. φοβηθέντες δ' ὁι Ταραντῖνοι, μὴ τȣ̀ς σφετέρȣς ἀντὶ τῶν Ῥωμαίων ἀπολέσωσιν, ἐπαύσαντο· ὁ δὲ Πύῤῥος ȣ̓δὲ τὸ ἔαρ ἀναμείνας ἀπῄει, ϛράτευμά τε πολὺ καὶ ἔκκριτον ἐπαγόμενος, καὶ ἐλέφαντας ἐίκοσι, ζῶα μήπω πρότερον τοῖς ἐν τῇ Ἰταλίᾳ ὀφθέντα, ὅθεν ἐξεπλήσσοντο καὶ ἐθαύμαζον· χειμῶνι δὲ περιπεσὼν τὸ Ἰόνιον περαιȣ́μενος, πολλȣ̀ς ἀπώλεσε τȣ̃ ϛρατεύματος, ὁι δὲ λοιποὶ τῷ κλύδωνι ἐσκεδάσθησαν. μόλις δ' ȣ̓̃ν πεζεύσας ἦλθεν εἰς Τάραντα, καὶ αὐτίκα τȣ̀ς μὲν ἀκμάζοντας τοῖς ἑαυτȣ̃ ϛρατιώταις συνέταξεν, ὅπως μὴ καθ' ἑαυτȣ̀ς λελοχισμένοι νεωτερίσωσι· καὶ τὸ θέατρον ἔκλεισε τάχα διὰ τὸν πόλεμον, ὅπως μὴ ἐς αὐτὸ συνερχόμενοι, νεοχμώσωσί τι. ἀπεῖπε δ' αὐτοῖς καὶ πρὸς συμπόσια καὶ κώμȣς ἀθροίζεσθαι. καὶ τȣ̀ς νεωτέρȣς ἐν τοῖς ὅπλοις ἀσκεῖσθαί ἐκέλευεν, ἢ δημερεύειν κατὰ τὴν ἀγοράν. ὡς δέ τινες ἀχθόμενοι τȣ́τοις ὑπεχώρησαν, φρȣρȣ̀ς ἐκ τῶν ὀικείων κατέϛησεν, ὥϛε μηδένα ἐξιέναι τῆς πόλεως. ὁι δὲ τȣ́τοις τε καὶ τῇ χορηγίᾳ τῶν τροφῶν βαρυνόμενοι, καὶ τȣ̀ς δορυφόρȣς αὐτῶν εἰς τὰς ὀικίας αὐτῶν ἀναγκαζόμενοι δέχεσθαι, μετεγίνωσκον, δεσπότȣ καὶ ȣ̓χὶ συμμάχȣ τȣ̃ Πύῤῥȣ πειρώμενοι. ὁ δὲ διὰ ταῦτα μὴ πρὸς τȣ̀ς Ῥωμαίȣς ἀποκλίνωσι φοβηθεὶς, τῶν τὰ πολιτικὰ δυναμένων

[Margin:] **ent in Italia detinerent; alios Tarentinorum legatos retinet, alios cum copiis multis remittit. Milonem, cum aliis copiis missum, arcem Tarentinam in suum adventum occupare jubet.**

Pyrrhus per hiemem Jonium mare trajiciens, multis navibus amissis ægre Tarentum pervenit, eo post adventum omnia pro lubitu ordinante, cognoscunt Tarentini se non socium sed dominum accivisse.

Tarentinis rem ægre ferentibus, Pyrrhus viros

νων πράττειν, καὶ προστατεῖν τῆ ὁμίλε, τὲς μὲν ἐις τὴν Ἤπειρον πρὸς τὸν ὑιὸν ἐπί τισι προφάσεσιν ἔπεμπε, τὲς δὲ καὶ ἀφανῶς διώλλυεν. Ἀρίσαρχον δέ τινα ἐν τοῖς ἀρίσοις τῶν Ταραντίνων ἐξεταζόμενον, καὶ ἐιπεῖν πιθανώτατον, προσηταιρίσατο, ἵν' ὕποπτος τῷ δήμῳ, ὡς τὰ τε Πύῤῥε φρονῶν, γένηται· ὡς δ' ἔτι πισεῦον ἐκείνῳ τὸ πλῆθος ἑώρα, ἔπεμπεν αὐτὸν ἐις τὴν Ἤπειραν. καὶ ὃς ἀντειπεῖν μὴ θαῤῥῶν, ἐξέπλευσε μὲν, ἐς δὲ τὴν Ῥώμην ἀφίκετο· καὶ τοιαῦτα μὲν ὁ Πύῤῥος τοῖς Ταραντίνοις ἐποίει.

reipubl. administrandæ idoneos vel e medio tollit, vel Epirum mittit, ex quibus Aristarchus Romam navigat.

Ὁι δ' ἐν τῇ Ῥώμῃ κατέδεισαν, μαθόντες τὸν Πύῤῥον ἐλθόντα ἐις Τάραντα, τῷ τε ἐκπεπολεμῶσθαι τὰ ἐν τῇ Ἰταλίᾳ αὐτοῖς, καὶ τῷ θρυλλεῖσθαι ἐκεῖνον ἐυπόλεμόν τε τυγχάνειν, καὶ δύναμιν ἔχειν ἀνανταγώνισον, σρατιώτας τε ἓν κατέλεγον, καὶ χρήματα ἤθροιζον, φρερὰς τε ἐς τὰς συμμαχίδας πόλεις διέπεμπον, ἵνα μὴ καὶ ἐκεῖναι ἀποςῶσι. καί τινας προαισθόμενοι νεωτεριῦντας, τὲς πρώτες αὐτῶν ἐκόλασαν, καί τινες τῶν Πραινεσηνῶν ἐς τὴν Ῥώμην ἀχθέντες, περὶ δείλην ὀψίαν ἐις τὲς θησαυρὲς ἐπὶ φυλακῇ ἐνεβλήθησαν. καί τις αὐτοῖς ἐκ τέτε χρησμὸς ἐκπεπλήρωτο· ἐχρήθη γὰρ αὐτοῖς ποτε, ὅτι τὲς τῶν Ῥωμαίων καθέξεσι θησαυρές. καὶ ὁ μὲν χρησμὸς ἐις τῦτο ἀπέβη, ἐκεῖνοι δὲ καὶ ἀπώλοντο. Ὀυαλλέριον δὲ Λαεΐνιον ἐπὶ τὸν Πύῤῥον καὶ τὲς Ταραντίνες, καὶ τὲς ἄλλες τὲς σὺν αὐτοῖς ἀπεσάλκασι, καί τι καὶ ἐν τῷ ἄσει τῆ σρατεύματος κατέσχον. ὁ γῦν Λαεΐνιος ἐυθὺς ἐξεςράτευσεν, ἵνα πόῤῥωτάτω τὸν πόλεμον τῆς ὀικείας ποιήσηται· καὶ τὸν Πύῤῥον καταπλήξειν ἤλπισεν, ἐι αὐτοῖς ἐθελονταὶ ἐπίοιεν, ὓς ἐκεῖνος πολιορκεῖν προσεδόκησε. καὶ ἀπιὼν χωρίον τι τῶν Λευκανῶν ἕιλεν ἰσχυρὸν καὶ ἐπίκαιρον, καὶ δύναμίν τινα ἐν τῇ Λευκανίᾳ κατέλιπεν, ἐίρξεσαν αὐτὲς τῆ ἐπαρῆξαι τοῖς ἐναντίοις. καὶ ὁ Πύῤῥος μαθὼν πλησιάζοντα τὸν Λαεΐνιον, προεξώρμησε. καὶ σρατοπεδευσάμενος, τρίβειν ἤθελε τὸν καιρὸν, ἀναμένων τὲς συμμαχήσοντας. καὶ τῷ Λαεϊνίῳ ἐπέςειλεν ὑπερηφάνως, ὡς καταπλήξων αὐτὸν, ἕιχε δὲ ἡ γραφὴ ὧδε· βασιλεὺς Πύῤῥος Λαεϊνίῳ χαίρειν. πυνθάνομαί σε σράτευμα ἐπὶ Ταραντίνες ἄγειν. τὸ μὲν ἓν ἀπόπεμψον, αὐτὸς δὲ μετ' ὀλίγων ἧκε πρὸς ἐμέ. δικάσω γὰρ ὑμῖν

cap. 3. Romani impositis præsidiis civitatibus sociis, & hominibus suspectis e medio sublatis,

P. Valerium Lavinum contra Pyrrhum & Tarentinos mittunt,

quem sub ejus ad exercitum adventum Pyrrhus litteris ad eum

Digitized by Google

missis [illegible] se judice [illegible] in jus vocat,

ille ve[illegible] respondet, se non nisi Marte judice causas agere.

ὑμῖν ἐγὼ, εἴ τι ἀλλήλοις ἐγκαλεῖτε, καὶ ἄκοντας τὰ δίκαια ποιεῖν ἀναγκάσω. Λαιβίνιος δὲ τάδε τῷ Πύῤῥῳ ἀντέγραψε· πάνυ μοι δοκεῖς, ὦ Πύῤῥε, τετυφῶσθαι, δικαστὴν ἡμῖν ἑαυτὸν καθιστὰς καὶ Ταραντίνοις, πρὶν δίκην ἡμῖν ὑποσχεῖν, ὅτι καὶ τὴν ἀρχὴν εἰς τὴν Ἰταλίαν ἐπεραιώθης. ἥξω τε οὖν μετὰ παντὸς τοῦ στρατοῦ, καὶ τὴν προσήκουσαν τιμωρίαν καὶ παρὰ Ταραντίνων, καὶ παρὰ σοῦ λήψομαι. τί γὰρ δεῖ μοι λήρου καὶ φλυαρίας, ἐξὸν παρὰ τῷ Ἄρει τῷ προπάτορι ἡμῶν κριθῆναι;

Postea, speculatoribus captis, & post mendacem castrorum ostentationem rursus dimissis, Pyrrhum terruit ita, ut pugnam detrectaret, donec ab equitibus, Lirim transgressis, & eum a tergo adorientibus, ad eam ineundam cogeretur apud Heracleam.

Τοιαῦτα ἀντεπιστείλας, ἠπείγετο, καὶ ηὐλίσατο, διὰ μέσου τὸ ῥεῦμα τοῦ ἐκεῖ ποταμοῦ ποιησάμενος. κατασκόπους τέ τινας συλλαβὼν, δείξας τὴν δύναμιν αὐτοῖς, καὶ ἐπειπὼν πολλαπλασίαν ἄλλην ἔχειν, ἀπέπεμψεν. ἐπὶ τούτοις ὁ Πύῤῥος καταπλαγεὶς, οὐ μάχεσθαι ἤθελεν, ὅτι καὶ τῶν συμμάχων οὔπω τινὲς συνῆλθον αὐτῷ, ἐπιλείψειν τε τοῖς Ῥωμαίοις τὰ ἐπιτήδεια ἤλπιζεν ἐν πολεμίᾳ διάγουσι. ταῦτα δὲ καὶ ὁ Λαιβίνιος λογιζόμενος, ἔσπευσε συμμῖξαι. τῶν δὲ στρατιωτῶν πρὸς τὴν τοῦ Πύῤῥου φήμην καὶ διὰ τοὺς ἐλέφαντας ἐκπεπληγμένων, συγκαλέσας αὐτοὺς, πολλὰ πρὸς θάρσος παρακαλοῦντα ἐδημηγόρησε, καὶ παρεσκευάζετο καὶ ἄκοντι τῷ Πύῤῥῳ συμμῖξαι. ὁ δὲ γνώμην μὲν οὐκ εἶχε μάχεσθαι· ὅπως δὲ μὴ δόξῃ τοὺς Ῥωμαίους φοβεῖσθαι, καὶ αὐτὸς τοῖς οἰκείοις διαλεχθεὶς, ἐπώτρυνεν εἰς τὸν πόλεμον. Λαιβίνιος δὲ τὸν ποταμὸν πειρώμενος κατὰ τὸ στρατόπεδον διαβῆναι, ἐκωλύθη· ἐπαναγαγὼν οὖν αὐτὸς μὲν κατὰ χώραν μετὰ τοῦ πεζοῦ ἔμεινε, τοὺς δ' ἱππεῖς ὡς ἐπὶ λείαν τάχα τινὰ ἔπεμψεν, ἐντειλάμενος, πόῤῥω ποι βαδίσαντας περαιωθῆναι. καὶ οὕτως ἐκεῖνοί τε κατὰ νώτου τοῖς πολεμίοις προσέπεσον ἀπροσδόκητοι. καὶ ὁ Λαιβίνιος ταραχθέντων αὐτῶν τόν τε ποταμὸν διέβη, καὶ τῆς μάχης συνεπελάβετο. φεύγουσιν οὖν τοῖς ἑαυτοῦ ὁ Πύῤῥος ἐπικουρήσας, τρωθέντα τὸν ἵππον ἀπέβαλε καὶ ἔδοξεν αὐτοῖς τεθνηκέναι. κἀκ τούτου τῶν μὲν ἀθυμησάντων, τῶν δὲ καταφρονησάντων, τὸ ἔργον ἠλλοίωτο. συνεὶς δὲ τοῦτο τὴν μὲν στολὴν εὐπρεπεστέραν τῶν ἄλλων οὖσαν ἔδωκε Μεγακλεῖ, κελεύσας ἐνδῦναι αὐτὴν, καὶ πανταχόσε περιελαύνειν, ὅπως σώζεσθαι αὐτὸν νομίσαντες, οἱ μὲν ἐναντίοι πρὸς δέος, οἱ δ' οἰκεῖοι πρὸς θάρσος ἀφίκωνται·

Fama de morte Pyrrhi bis inter deproeliantes nunciata bis animos Epirotarum diminuit, Romanorumque auxit, do-

αὐ-

Digitized by Google

αὐτὸς δὲ ϛειλάμενος ἰδιωτικῶς, συνέμιξεν αὐτοῖς παντὶ τῷ ϛρατῷ, πλὴν ἐλεφάντων, καὶ τοῖς ἀεὶ πονεμένοις ἀπαμύνων, πλεῖϛον τὲς σφετέρες ὠφέλησε. τὰ μὲν ἐν πρῶτα ἐπὶ πολὺ τῆς ἡμέρας ἰσοῤῥόπως ἐμάχοντο· ὡς δὲ τὸν Μεγακλέα τις ἀποκτείνας, ᾠήθη τὸν Πύῤῥον ἀπεκτονέναι, καὶ τοῖς ἄλλοις δόκησιν τέτε παρέσχεν, οἵ, τε Ῥωμαῖοι ἐπεῤῥώσησαν, καὶ οἱ ἐναντίοι ἐνέϛασαν. γνὲς δὲ ὁ Πύῤῥος τὸ γινόμενον, τὸν πῖλον ἀπέῤῥιψε, καὶ γυμνῇ τῇ κεφαλῇ περιῄει, καὶ εἰς τἐναντίον περιέϛη ἡ μάχη. Ἰδὼν δὲ τῦτο ὁ Λαεΐνιος, καὶ ἱππέας ἔχων ἐνεδρεύοντάς πε τῆς μάχης ἐκτὸς, κατὰ νώτε προσπεσεῖν αὐτὲς τοῖς πολεμίοις ἐκέλευσε. πρὸς τῦτο δὲ ἀντιϛρατηγῶν ὁ Πύῤῥος, τὸ σημεῖον τοῖς ἐλέφασιν ἦρεν, ἔνθα ἔκ τε τῆς τῶν θηρίων θέας ἀλλοκότε ὔσης, καὶ τῆς βοῆς φρικώδες, καὶ ἐκ τῦ τῶν ὅπλων πατάγε, ὃν οἱ ἐπιβεβηκότες ἐποίεν ἐν τοῖς πύργοις φερόμενοι, αὐτοί τε οἱ Ῥωμαῖοι ἐξεπλάγησαν, καὶ οἱ σφῶν ἵπποι ἐκταραχθέντες οἱ μὲν ἀποσειόμενοι τὲς ἀναβάτας, οἱ δὲ καὶ φέροντες ἔφευγον. ἀθυμῆσαν ἐν ἐκ τέτων τὸ Ῥωμαϊκὸν ἐτράπετο ϛράτευμα, καὶ φεύγοντες ἀνῃρῦντο οἱ μὲν παρὰ τῶν ἐν τοῖς πύργοις ἀνδρῶν τοῖς ἐπὶ τῶν ἐλεφάντων, οἱ δὲ καὶ παρ' αὐτῶν τῶν θηρίων ταῖς προβοσκίσι καὶ τοῖς κέρασιν ἢ ὀδῦσι φθειρόντων πολλὲς· καὶ τοῖς ποσὶ δὲ ἐ μείες κατηλόων συμπατεμένες. καὶ οἱ ἱππεῖς δὲ ἐφεπόμενοι πολλὲς ἔφθειρον· ἐδ' ἂν εἷς ὑπελείφθη, εἰ μὴ ἐλέφας τρωθεὶς αὐτός τε ἐσφάδαζεν ἐκ τῦ τραύματος, καὶ οἱ ἄλλοι πρὸς τὰς ἐκείνε βοὰς ἐταράσσοντο. διὰ τῦτο γὰρ ὁ Πύῤῥος ἐπέσχε τὴν δίωξιν. καὶ ὕτως οἱ Ῥωμαῖοι διαβεβηκότες τὸν ποταμὸν, εἰς Ἀπελίδα πόλιν τινὰ ἀπεσώθησαν. πολλοὶ δὲ καὶ τῶν τῦ Πύῤῥε ϛρατιωτῶν καὶ τῶν ἡγεμόνων πεπτώκασιν, ὥϛε συγχαιρόντων αὐτῷ τῆς νίκης τινῶν, εἰ καὶ αὖθις ποτε ὁμοίως, ἔφη, κρατήσομεν, ἀπολέμεθα. τὲς μέν τοι Ῥωμαίες καὶ νικηθέντας ἐθαύμασεν, εἰπὼν, ὅτι, τὴν οἰκεμένην ἂν πᾶσαν ἐχειρωσάμην, εἰ Ῥωμαίων ἐβασίλευον. ὁ μὲν ἐν Πύῤῥος ἐπὶ τῇ νίκῃ μέγα ἔσχηκεν ὄνομα, καὶ πολλοὶ αὐτῷ προσεχώρησαν. οἵ τε σύμμαχοι ἀφίκοντο πρὸς αὐτόν· οἷς ὀλίγα ἐπιτιμήσας διὰ τὴν μέλλησιν, τῶν σκύλων μετέδωκεν.

nec utrique Pyrrhi inter pugnantes præsentia ab errore liberarentur.

Posteriori vice, cum equites in insidiis positos a tergo in hostes incurrere jussisset Lævius, Pyrrhus signo dato & elephantos accessivit, quorum odore & stridore consternati equi fugam ceperunt, quam strages magna secuta est.

Sic Pyrrhus vicit; attamen Romanorum virtutem admiratur, si denuo, inquit, ita vicerimus, actum de nobis erit.

Οἱ

cap. 4. Lævinus, novis acceptis copiis, Pyrrhum assectando vexat, A. U. 472. ante Chr. 282.

Οἱ δ' ἐν τῇ Ῥώμῃ ἤλγησαν ἐπὶ τῇ ἥττῃ, τῷ δέ γε Λαουϊνίῳ στράτευμα ἔπεμψαν, καὶ τὸν Τιβέριον ἐκ τῶν Τυρσηνῶν μετεπέμψαντο, καὶ τὴν πόλιν διὰ φυλακῆς ἐποιήσαντο, πυνθανόμενοι ἐπ' αὐτὴν τὸν Πύῤῥον ἐπείγεσθαι. ὁ μέν τοι Λαουΐνιος τοὺς οἰκείους τε τραυματίας ἐξακεσάμενος, καὶ τοὺς σκεδασθέντας συναγαγὼν, ἤδη καὶ τῶν ἐκ Ῥώμης πεμφθέντων ἀφικομένων, τὸν Πύῤῥον παρεπόμενος ἐλύπει· καὶ τὴν Καπύην μαθὼν ἑλεῖν γλιχόμενον, προκατέλαβε, καὶ ἐφύλαξεν. ἁμαρτὼν δ' ἐκείνης ὁ Πύῤῥος, ἐπὶ τὴν Νεάπολιν ὥρμησεν. ὡς οὐδὲν οὐδ' ἐν αὐτῇ δρᾶσαι ἴσχυσε, σπεύδων τὴν Ῥώμην καταλαβεῖν, καὶ διὰ τῆς Τυρσηνίδος παριὼν, ὡς κἀκείνους προσλάβοι, ἐπεὶ ἔμαθεν αὐτούς τε τοῖς Ῥωμαίοις ὁμολογίας πεποιημένους, καὶ τὸν Τιβέριον αὐτῷ ἀντιπροσιόντα, τόν τε Λαουΐνιον ἐφεπόμενον, ἐφοβήθη, μὴ ὑπ' αὐτῶν πανταχόθεν ἐν χωρίοις ἀγνώστοις ἀποληφθῇ, καὶ περαιτέρω οὐ προεχώρησεν. ὡς δὲ ἀναχωροῦντι, καὶ γενομένῳ περὶ Καμπανίαν ὁ Λαουΐνιος ἐπεφάνη, καὶ τὸ στράτευμα αὐτοῦ πολλῷ πλεῖον τοῦ πρόσθεν ἦν, ὕδρας, ἔφη, δίκην τὰ στρατόπεδα τῶν Ῥωμαίων κοπτόμενα ἀναφύεσθαι. καὶ ἀντιπαρετάξατο μὲν, οὐκ ἐμαχέσατο δὲ, ὅτι ἐκέλευσεν ὡς καταπλήξων πρὸ τῆς συμπλοκῆς τοὺς Ῥωμαίους, τοὺς ἑαυτοῦ στρατιώτας τὰς ἀσπίδας τοῖς δόρασι πλήξαντας ἐκβοῆσαι, καὶ τοὺς σαλπιγκτὰς καὶ τοὺς ἐλέφαντας συνηχῆσαι. ἐπεὶ δὲ κἀκεῖνοι πολὺ μεῖζον ἀντεβόησαν, ὡς ἐκπλαγῆναι τοὺς τοῦ Πύῤῥου, οὐκ ἔτ' ἠθέλησε συμμῖξαι, ἀλλ' ὡς δυσιερῶν ἐπανήγαγε, καὶ ἀφίκετο ἐς Τάραντα, ἔνθα πρέσβεις τῶν Ῥωμαίων ὑπὲρ τῶν αἰχμαλώτων ἀφίκοντο ἄλλοι τε, καὶ ὁ Φαβρίκιος· οὓς φιλοτίμως ἐξένισε, καὶ ἐδεξιώσατο, ἐλπίσας αὐτοὺς σπείσασθαι, καὶ ὁμολογίαν ὡς ἡττημένους ποιήσασθαι. τοῦ δὲ Φαβρικίου τοὺς ἑαλωκότας ἐν τῇ μάχῃ κομίσασθαι αἰτοῦντος ἐπὶ λύτροις τοῖς ἀμφοῖν συναρέσουσι, διηπορήθη, ὅτε μὴ καὶ περὶ εἰρήνης πρεσβεύειν ἔφη. καὶ ἰδίᾳ μετὰ τῶν φίλων ἐβουλεύετο, ὡς εἰώθει, περὶ τῆς τῶν αἰχμαλώτων ἀποδόσεως, καὶ περὶ τοῦ πολέμου, καὶ ὅπως τοῦτον μεταχειρίζεται.

Pyrrhus jam Capuæ, jam Neapolis, jam ipsius Romæ capiendæ cupidus per Etruriam tandem copias Tarentum reducit;

Romanorum legatos pro captivis redimendis benigne excipit; res vero seorsim cum Fabricio agit.

Ὁ μὲν οὖν Μίλων, μή τε τοὺς αἰχμαλώτους ἀποδόσθαι, μήτε σπείσασθαι συνεβούλευεν, ἀλλ' ἤδη τῶν Ῥωμαίων

Pyrrhus, rejecto Milonis consilio, cum

μακῶν ἠτ]ημένων, καὶ τὰ λοιπὰ πολέμῳ προσκατεργάσασθαι. ὁ δὲ Κινέας τὐναντίον ἅπαν αὐτῷ συνεβάλευε· τὰς τε γὰρ αἰχμαλώτας προῖκα ἀποδᾶναι συνῄνει, καὶ πρέσβεις εἰς Ῥώμην καὶ χρήματα πέμψαι τῆς εἰρήνης ἕνεκα καὶ σπονδῶν. ἃ τῇ γνώμῃ καὶ οἱ λοιποὶ συνετίθεντο, ἅτω δὲ Φρονῶν καὶ ὁ Πύῤῥος ἐτύγχανε. καλέσας ὖν τὰς πρέσβεις, ἅτε πρώην, ὦ Ῥωμαῖοι, ἔφη, ἑκὼν ὑμῖν ἐπολέμησα, ὅτε νῦν πολεμήσαιμι· Φίλος γὰρ ὑμῖν γενέθαι βεβύλημαι· διὸ καὶ τὰς αἰχμαλώτας ὑμῖν ἄνευ λύτρων ἀΦίημι, καὶ σπείσαθαι ἀξιῶ. ταῦτα μὲν πᾶσιν εἰρήκει τοῖς πρέσβεσι, καὶ χρήματα σφίσι τὰ μὲν δέδωκε, τὰ δὲ ἐπηγγείλατο. τῷ δὲ Φαβρικίῳ κατὰ μόνας διαλεχθεὶς· Φίλος, εἶπεν, ἡδέως καὶ πᾶσιν ἂν Ῥωμαίοις γενοίμην, μάλιςα δὲ σοί. ὁρῶ γάρ σε ἀγαθὸν ἄνδρα, καὶ τὴν εἰρήνην συμπρᾶξαί μοι ἀξιῶ. ταῦτα λέγων, καὶ δῶρα αὐτῷ πολλὰ ἐδίδυ. ὁ δὲ, "ἐπαινῶ σε, εἶπεν, ὦ Πύῤῥε, ὅτι τῆς εἰρήνης ἐπιθυμεῖς, καί σοι αὐτὴν, ἄν γε συμφέρῃ ἡμῖν, καταπράξομαι. ὐ γὰρ κατὰ τῆς πατρίδος τι πρᾶξαί με, ἀγαθὸν, ὡς Φῆς, ἄνδρα ὄντα, ἀξιώσεις. ἀλλ' ὐδὲ τύτων, ὧν δίδως, τι λάβοιμι ἄν. πυνθάνομαι γάρ σε, πότερον ἐλλόγιμόν με ὡς ἀληθῶς νομίζεις ἄνδρα, ἢ ὔ; εἰ μὲν γὰρ Φαῦλός εἰμι, πῶς με δώρων ἄξιον κρίνεις; εἰ δὲ χρηςὸς, πῶς με λαβεῖν αὐτὰ κελεύεις; ἴσθι γὖν, ὡς ἐγὼ καὶ πάνυ πολλὰ ἔχω, τοῖς παρὖσιν ἀρκύμενος, καὶ πλειόνων ὐ δέομαι· σὺ δ' εἰ καὶ σφόδρα πλυτεῖς, ἐν πενίᾳ μυρίᾳ καθέςηκας. ὐ γὰρ ἂν ὔτε τὴν Ἤπειρον, ὔτε τὰ ἄλλα ἃ ἔχεις καταλιπὼν, δεῦρο ἐπεραιώθης, εἴγε ἐκείνοις ἤρκυ, καὶ μὴ πλειόνων ὠρέγυ."

Τύτων ὅτω λεχθέντων, οἱ πρέσβεις τὰς αἰχμαλώτας λαβόντες ἀπῄεσαν. καὶ ὁ Πύῤῥος τὸν Κινέαν εἰς τὴν Ῥώμην ἀπέςειλε μετὰ χρυσίυ πολλῦ, καὶ κόσμυ γυναικείυ παντοδαπῦ, ἵνα εἰ καί τινες τῶν ἀνδρῶν ἀντίσχοιεν, ἀλλ' αἱ γυναῖκες αὐτῶν τοῖς κόσμοις ἀναπεισθεῖσαι, κἀκείνυς συνδιαφθείρωσιν. ἐλθὼν δὲ πρὸς τὴν πόλιν ὁ Κινέας, ὐ προσῄει τῇ γερυσίᾳ, ἀλλὰ διῆγεν ἄλλοτε ἄλλην αἰτίαν σκηπτόμενος. περιφοιτῶν δὲ καὶ τὰς τῶν δυνατῶν οἰκίας, λόγοις τε σφᾶς καὶ δώροις ὑπήγετο· καὶ ἐπειδὴ πολλὰς ᾠκειώσατο, εἰσῆλθεν εἰς τὸ συνέδριον, καὶ εἶπεν; ὡς

Cyn. censet, captivos gratis reddendos, & legatos cum pecunia Romam mittendos, pacis & foederis ineundi caussa: qua de re etiam cum Fabricio communicat.

Ipsum pacis foederisque suasorem, Cyneam, Romam mittit cum pecunia & muliebribus ornamentis.

Cyneas, antequam senatum adiret, potentum aedes circumiit,

eosque sibi verbis & muneribus tantopere conciliavit, ut in senatu etiam de pace ferienda prævaleret sententia.

ὡς "Πύῤῥος ὁ βασιλεὺς ἀπολογεῖται, ὅτι ἐχ' ὡς πολεμήσων ὑμῖν ἧκεν, ἀλλ' ὡς καταλλάξων Ταραντίνες αὐτὸν ἱκετέυοντας· ἀμέλει καὶ τὲς ἁλόντας ὑμῶν, λύτρων ἀφῆκεν ἄτερ· καὶ δυνάμενος πορθῆσαι τὴν χώραν, καὶ τῇ πόλει προσβαλεῖν, ἀξιοῖ τοῖς φίλοις καὶ τοῖς συμμάχοις ὑμῶν ἐγγραφῆναι, πολλὰ μὲν ὠφελήσεσθαι ἀφ' ὑμῶν ἐλπίζων, πλείω δ' ἔτι καὶ μείζω ἐυεργετήσειν ὑμᾶς." ἐπὶ τέτοις οἱ πλείες τῶν βελευτῶν ἠρέσκοντο διὰ τὰ δῶρα, καὶ διὰ τὲς αἰχμαλώτες, ἐ μέν τοι καὶ ἀπεκρίναντο· ἀλλ' ἐσκόπεν ἔτι πλείες ἡμέρας ὅ, τι χρὴ πρᾶξαι, καὶ πολλὰ μὲν ἐλέγετο, ἐπεκράτει δ' ὅμως σπείσασθαι.

Vincit Appii Coeci sententia, pellendum urbe Cyneam esse & Pyrrhum domum abire jubendum.

μαθὼν δὲ τἒτο Ἄππιος ὁ τυφλὸς, ἐκομίσθη ἐπὶ τὸ βελευτήριον (ὑπὸ γὰρ τἒ γήρως καὶ τἒ πάθες οἰκερῶν ἦν) καὶ εἶπε, μὴ συμφέρειν, τὰς πρὸς τὸν Πύῤῥον συμβάσεις τῇ πολιτείᾳ. παρήνεσε δὲ, καὶ αὐτίκα τὸν Κιννέαν ἐξελάσαι τῆς πόλεως· καὶ δι' αὐτἒ δηλῶσαι τῷ Πύῤῥῳ οἴκαδε ἀναχωρήσαντα, ἐκεῖθεν ἐπικηρυκεύσασθαι περὶ εἰρήνης αὐτοῖς, ἢ καὶ περὶ ἑτέρε ὅπε δέοιτο· ταῦτα ὁ Ἄππιος συνεβέλευσεν. ἡ δὲ γερεσία ἐκέτι ἐμέλλησεν, ἀλλ' εὐθὺς ὁμοθυμαδὸν ἐψηφίσαντο, αὐθημερὸν τὸν Κιννέαν ἔξω τῶν ὅρων ἐκπέμψαι, καὶ τῷ Πύῤῥῳ πόλεμον ἀκήρυκτον, ἕως ἂν ἐν τῇ Ἰταλίᾳ διάγῃ, ποιήσασθαι.

Præterea Romani captivos gratis sibi redditos notarunt quadam ignominia.

τοῖς δ' αἰχμαλώτοις ἀτιμίαν τινὰ ἐν ταῖς ϛρατείαις ἐπέθεσαν, καὶ ἔτε πρὸς τὸν Πύῤῥον αὐτοῖς ἔτι ἐχρήσαντο, ἐτ' ἄλλοσέ ποι ἀθρόοις, ἵνα μή τι ὁμἒ ὄντες νεωτερίσωσιν, ἀλλ' ἄλλες ἄλλῃ φρερήσοντας ἔπεμψαν. ἐν μὲν ἒν τῷ χειμῶνι παρεσκευάζοντο ἄμφω.

cap. 3. A. U. 473. ante Chr. 281. Apud Asculum acies denuo instruuntur; cunctantur utrique.

Ἔαρος δ' ἤδη ἐφεϛηκότος, ὁ Πύῤῥος εἰς τὴν Ἀπελίαν ἐνέβαλλε, καὶ πολλὰ μὲν βίᾳ, πολλὰ δὲ ὁμολογίᾳ προσεποιήσατο, μέχρις ἒ Ῥωμαῖοι πρὸς Ἀσκέλῳ πόλει ὄντι αὐτῷ ἐπελθόντες, ἀντεϛρατοπεδεύσαντο. ἐπὶ πλείες δ' ἡμέρας διέτριψαν ὀκνἒντες ἀλλήλες. οἱ μὲν γὰρ Ῥωμαῖοι τὲς προνενικηκότας ἐκ ἐθάῤῥεν, οἱ δὲ ὡς ἀπονενοημένες ἐδεδίεσαν τὲς Ῥωμαίες·

Romani Epirotas mendacio terrent.

κἀν τέτῳ λογοποιἒντων τινῶν, ὅτι ὁ Δέκιος ἐπιδἒναι ἑαυτὸν κατὰ τὸν πατέρα, καὶ τὸν πάππον ἑτοιμάζοιτο, καὶ τὲς τἒ Πύῤῥε δεινῶς ἐκφοβἒντων, ὡς ἐκ τἒ θανεῖν ἐκεῖνον πάντως ἀπολεμένες, συνήγαγε τὲς ϛρατιώτας ὁ Πύῤῥος, καὶ διειλέχθη περὶ τέτε,

τε, συμβυλεύων, μή τ' ἀθυμεῖν, μή τ' ἐκπλήττεσθαι τοιύτοις λόγοις· μή τε γὰρ ἕνα ἄνθρωπον δύνασθαι θνήσκοντα πολλὺς καταγωνίσασθαι, μήτ' ἐπωδὴν ἢ μαγγανείαν τινὰ κρείττω τῶν ὅπλων καὶ τῶν ἀνδρῶν γενέσθαι. ταῦτ' εἰπὼν, καὶ λογισμοῖς ἐπικρατύνας τὺς λόγυς ὁ Πύῤῥος, τὸ οἰκεῖον ἐθάρσυνε στράτευμα· καὶ πολυπραγμονήσας, τὴν στολὴν, ᾗ ἐχρήσαντο οἱ Δέκιοι ἐπιδιδόντες ἑαυτὺς, παρήγγειλε τοῖς οἰκείοις, ἄν τινα ὕτως ἐσκευασμένον ἴδωσι, μὴ κτεῖναι αὐτὸν, ἀλλὰ ζῶον συλλαβεῖν. τῷ δὲ Δεκίῳ πέμψας ἔφη, ὔτε προχωρήσειν αὐτῷ τῦτο πρᾶξαι θελήσαντι, καὶ ζωγρηθέντα κακῶς ἀπολεῖσθαι ἠπείλησε. πρὸς ἅπερ οἱ ὕπατοι ἀπεκρίναντο, μηδενὸς τοιύτυ σφᾶς ἔργυ δεῖσθαι· πάντως γὰρ αὐτῦ καὶ ἄλλως κρατήσειν. ποταμῦ δὲ διὰ μέσυ τῶν στρατοπέδων ὐκ εὐδιαβάτυ ῥέοντος, ἤροντο, πότερον αὐτὸς περαιωθῆναι βύλεται ἀδεῶς, αὐτῶν ἀναχωρησάντων, ἢ ἐκείνοις ἐπιτρέψαι τῦτο ποιῆσαι, ἵν' ἐξ ἀντιπάλυ μάχης ἀκεραίων τῶν δυνάμεων εἰς χεῖρας ἐλθυσῶν, ὁ τῆς ἀνδρείας ἔλεγχος γένοιτο ἀκριβής. οἱ μὲν ὖν Ῥωμαῖοι πρὸς κατάπληξιν τὸν λόγον ἐποίησαν. ὁ δὲ Πύῤῥος αὐτοῖς ἀφῆκε διαβῆναι τὸν ποταμὸν, μέγα φρονῶν ἐπὶ τοῖς ἐλέφασιν.

Pyrrhus Romanos flumen intermedium transire passus, fretusque elephantis, quorum tamen terror exoluerat, vincitur, turbatis ejus ordinibus opinione, castra sua esse occupata.

Οἱ δὲ Ῥωμαῖοι τά τε ἄλλα παρεσκευάσαντο, καὶ πρὸς τὺς ἐλέφαντας κεραίας ἐφ' ἁμαξῶν σεσιδηρωμένας καὶ πανταχόθεν προεχύσας ἡτοίμασαν, ἵνα τοξεύοντες ἀπ' αὐτῶν ἄλλα τε καὶ πῦρ, ἐμποδὼν σφίσι γίνωνται. προσμίξαντες δὲ χρόνῳ μὲν οἱ Ῥωμαῖοι τὺς Ἕλληνας, ἐώσαντο δ' ὖν, μέχρις ὁ Πύῤῥος τοῖς ἐλέφασιν ὐ κατὰ τὰς ἁμάξας, ἀλλ' ἐπὶ θάτερα προσβοηθήσας αὐτοῖς τὴν ἵππον σφῶν, καὶ πρὶν προσμίξαι φόβῳ τῶν θηρίων ἐτρέψατο, τῷ μέντοι πεζῷ ὐδὲν μέγα ἐλυμήνατο. κᾂν τύτῳ τῶν Ἀπύλων τινὲς ἐπὶ τὸ τῶν Ἠπειρωτῶν ὡρμηκότες στρατόπεδον, τῆς νίκης αἴτιοι τοῖς Ῥωμαίοις ἐγένοντο. τινὰς γὰρ τῶν μαχομένων ἐπ' αὐτὺς τῦ Πύῤῥυ πέμψαντος, πάντες ὁ λοιποὶ ἐταράχθησαν, καὶ τάς τε σκηνὰς ἑαλωκέναι, καὶ ἐκείνυς φεύγειν ὑποτοπήσαντες, ἐνέδοσαν, καὶ συχνοὶ αὐτῶν ἔπεσον. ὅ,τε Πύῤῥος, καὶ ἄλλοι τῶν ἐν τέλει πολλοὶ ἐτρώθησαν, καὶ μετὰ ταῦτα διά τε τὴν τῆς τροφῆς καὶ τὴν τῶν ἐπιτηδείων πρὸς ἄκεσιν ἀπορίαν, σφόδρα ἐκακώθη-

Pyrrhum vulneratum Coss. non persequuntur, sed per Apuliam hibernant.

κώθησαν. ὅθεν ἀπῆρεν εἰς Τάραντα, πρὶν τοὺς Ῥωμαίους αἰσθέσθαι. οἱ δ' ὕπατοι διέβησαν μὲν τὸν ποταμὸν ἐπὶ μάχῃ. ὡς δὲ πάντας ἐσκεδάσθαι ἐπύθοντο, εἰς τὰς οἰκείας ἀνεχώρησαν πόλεις· ἐπιδιῶξαι γὰρ διὰ τοὺς σφετέρους τραυματίας οὐκ ἠδυνήθησαν. εἶτα οἱ μὲν εἰς τὴν Ἀπουλίαν ἐχείμασαν· ὁ δὲ Πύῤῥος τ' ἄλλα τε ἡτοιμάζετο, καὶ οἴκοθεν στρατιώτας καὶ χρήματα μετεπέμψατο· μαθὼν δὲ τὸν Φαβρίκιον καὶ τὸν Πάππον ὑπάτους ᾑρημένους, καὶ εἰς τὸ στρατόπεδον ἀφιγμένους, οὐκ ἐπὶ τῆς αὐτῆς μεμένηκε γνώμης.

A. U. 474. ante Chr. 280. Niciæ medici perfidia, Fabricii virtus. Pyrrhus captivos gratis restituit.

ἤδη δὲ τῶν ῥηθέντων ὑπάτων ἐν τῷ στρατεύματι ὄντων, Νικίας τις τῶν Πύῤῥῳ πιστῶν δοκούντων, ἦλθε πρὸς τὸν Φαβρίκιον, καὶ ὑπέσχετο αὐτῷ τὸν Πύῤῥον δολοφονήσειν. δυσχεράνας οὖν ἐπὶ τούτῳ ἐκεῖνος (ἀρετῇ γὰρ καὶ ταῖς δυνάμεσιν ἠξίου τῶν πολεμίων κρατεῖν, ὡς ὁ Κάμιλλος) κατεμήνυσε τῷ Πύῤῥῳ τὸ ἐπιβούλευμα. καὶ οὕτως αὐτὸν ἐκ τούτου κατέπληξεν, ὥστε καὶ τοὺς ἑαλωκότας τῶν Ῥωμαίων προῖκα αὖθις ἀφεῖναι, καὶ πρέσβεις πάλιν ὑπὲρ εἰρήνης ἀποστεῖλαι.

Cum Romani de pace nihil respondere vellent, nisi Pyrrhus prius excessisset Italia, lubenter annuit precibus Syracusanorum, ut iis subveniret. Milone ad Tarentum ceteraque in Italia tutanda relicta, Pyrrhus Syracusas navigat.

ἐπεὶ δὲ οἱ Ῥωμαῖοι περὶ τῆς εἰρήνης οὐδὲν ἀπεκρίναντο, ἀλλὰ καὶ τότε ἀπᾶραι Ἰταλίας ἐκέλευον, καὶ οὕτως αὐτοῖς διακηρυκεύεσθαι, καὶ τὰς συμμαχίδας αὐτοῦ πόλεις κατέτρεχόν τε καὶ ᾕρουν, ἐν ἀμηχανίᾳ ἐγένετο, πρὶν δὴ Συρακουσίων τινὲς (ἐτύγχανον δὲ ἐξ οὗ Ἀγαθοκλῆς ἐτελεύτησε, στασιάζοντες) ἐπεκαλέσαντο αὐτὸν, παραδιδόντες οἱ καὶ ἑαυτοὺς καὶ τὴν πόλιν. ἀναπνεύσας γὰρ ἐπὶ τούτῳ, καὶ προσελπίσας πᾶσαν τὴν Σικελίαν καταστρέψασθαι, τὸν μὲν Μίλωνα ἐν Ἰταλίᾳ κατέλιπεν, ἐν φυλακῇ τόν τε Τάραντα καὶ τὰ ἄλλα ποιησόμενον· αὐτὸς δὲ ὡς διὰ βραχέως ἐπανήξων ἀπέπλευσε. καὶ τῶν Συρακουσίων δεξαμένων αὐτὸν, καὶ πάντα αὐτῷ ἀναθεμένων, μέγας ἐν βραχεῖ αὖθις ἐγένετο, ὥστε τοὺς Καρχηδονίους φοβηθέντας μισθοφόρους ἐκ τῆς Ἰταλίας προσλαβεῖν. ἀλλὰ ταχὺ πρὸς τοὐναντίον αὐτῷ περιέστη τὰ πράγματα, τῷ τε πολλοὺς τῶν ἐν τέλει τοὺς μὲν ἐξελάσαι, τοὺς δὲ διαφθεῖραι ὑποπτευομένους αὐτῷ· οἱ γὰρ Καρχηδόνιοι ἰδόντες αὐτὸν μήτε ταῖς οἰκείαις δυνάμεσιν ἐῤῥωμένον, μήτε τοὺς ἐπιχωρίους δι' εὐνοίας ἔχοντα, τοῦ πολέμου προθύμως ἀντελάβοντο, καὶ τοὺς ἐκπίπτοντας τῶν Συρακουσίων δεχόμενοι, δεινὰ αὐτὸν εἰργάσαντο, ὥστε μὴ τὰς Συρακούσας μόνον, ἀλλὰ καὶ τὴν Σικελίαν ἐκλιπεῖν.

Οἱ

Digitized by Google

Οἱ Ῥωμαῖοι δὲ τὴν ἀπουσίαν αὐτοῦ πυθόμενοι, ἀνεθάρσησαν· καὶ πρὸς ἄμυναν τῶν ἐπικαλεσαμένων αὐτὸν ἐτράπησαν. καὶ τοὺς Ταραντίνους εἰς ἄλλον καιρὸν ὑπερθέμενοι, εἰσέβαλον εἰς τὸ Σάμνιον μετὰ ὑπάτων τοῦ Ῥουφίνου καὶ τοῦ Ἰουνίου, καὶ τήν τε χώραν ἐπόρθουν, καὶ τείχη τινὰ ἐκλειφθέντα ἔλαβον. οἱ γὰρ Σαμνῖται εἰς τὰ ὄρη τὰ Κρανιτὰ λεγόμενα, ὅτι Κρανίαν πολλὴν ἔχουσι, τά τε φίλτατα καὶ τὰ τιμιώτατα ἀνεκόμισαν. καταφρονήσαντες οὖν οἱ Ῥωμαῖοι, εἰς τὰ εἰρημένα ὄρη ἀναβῆναι ἐτόλμησαν. λασίων οὖν αὐτῶν, καὶ δυσπροσβάτων ὄντων, πολλοὶ μὲν ἀπέθανον, πολλοὶ δὲ καὶ ἑάλωσαν. οἱ δ' ὕπατοι οὐκέτι κοινῇ τὸν πόλεμον ἐποιήσαντο, ἀλλήλους αἰτιάμενοι διὰ τὸ ἀτύχημα, ἀλλ' Ἰούνιος μὲν ἐδῄου μέρος τι τῆς Σαμνίτιδος, Ῥουφῖνος δὲ Λευκανοῖς καὶ Βρεττίοις ἐλυμήνατο, καὶ ἐπὶ Κρότωνα ὥρμησεν ἀποστάντα Ῥωμαίων, μεταπεμψαμένων αὐτὸν τῶν ἐπιτηδείων. φθασάντων δὲ τῶν λοιπῶν ἐπαγαγέσθαι παρὰ τοῦ Μίλωνος φρουράν, ἧς ἦρχε Νικόμαχος. ἀγνοήσας οὖν τοῦτο, καὶ ἀμελῶς τοῖς τείχεσι προσιὼν ὡς πρὸς φίλους, ἔπταισεν, ἐξαίφνης ἐπεκδραμόντων αὐτῷ. εἶτά τι ἐπινοήσας στρατήγημα, τὴν πόλιν εἷλε. δύο γὰρ ἄνδρας ψευδαυτομόλους αἰχμαλώτους ἐς τὸν Κρότωνα ἔπεμψε· τὸν μὲν εὐθὺς λέγοντα, ὅτι ἀπεγνωκὼς τὴν ἅλωσιν αὐτῶν, ἐς τὴν Λοκρίδα προδιδομένην αὐτῷ μέλλει ἀπαίρειν· τὸν δ' ἕτερον μετὰ τοῦτο, ὡς ἐν ὁδῷ ἐστι, διαβεβαιούμενον. καὶ γάρ, ἵνα πίστιν ἔχῃ ὁ λόγος, ἀνεσκευάσατο, καὶ προσεποιεῖτο ἐπείγεσθαι. ὁ γοῦν Νικόμαχος πιστεύσας τούτοις (καὶ οἱ κατάσκοποι γὰρ τὰ αὐτὰ ἀνήγγελλον) τὸν Κρότωνα λιπών, ἐς τοὺς Λοκροὺς ἀπῄει σπουδῇ δι' ἐπιτομωτέρας ὁδοῦ. καὶ ἐν τῇ Λοκρίδι γενομένου αὐτοῦ, ὁ Ῥουφῖνος ὑπέστρεψε πρὸς τὸν Κρότωνα, καὶ μαθὼν διά τε τὸ ἀπροσδόκητον, καὶ δι' ὁμίχλην τότε συμβᾶσαν, εἷλε τὴν πόλιν. μαθὼν δὲ τοῦτο Νικόμαχος, ἀπῄει εἰς Τάραντα· καὶ ἐν ὁδῷ τῷ Ῥουφίνῳ περιπεσών, πολλοὺς ἀπέβαλε, καὶ οἱ Λοκροὶ τοῖς Ῥωμαίοις προσεχώρησαν.

cap. 6. Romani, Tarentinorum vindictam in aliud tempus dilata, per Pyrrhi absentiam, ultioni eorum vacant, qui Pyrrhum accersiverant; sed a Samnitibus male habentur, Crotone vero & Locris potiuntur, A. U. 475. ante Chr. 279.

Τῷ δ' ἑξῆς ἔτει Ῥωμαῖοι ἐστράτευσαν εἰς τὸ Σάμνιον, καὶ ἐς Λευκανίδα, καὶ Βρεττίοις ἐπολέμησαν. ὁ δὲ Πύρρος τῆς Σικελίας ἐκπεσών, καὶ ἐπανελθὼν ἤδη, δεινῶς

Pyrrhus, e Sicilia pulsus, Romanos infestat.

Locros recipit.

δεινῶς αὐτοὺς ἐλύπει, καὶ τοὺς μὲν Λοκροὺς ἐκομίσατο (τὴν γὰρ φρουρὰν τῶν Ῥωμαίων ἀποκτείναντες μετέστησαν), ἐπὶ δὲ τὸ Ῥήγιον στρατεύσας ἀπεκρούσθη, καὶ αὐτὸς ἐτρώθη, καὶ πλείους ἀπέβαλε. μεταστὰς δὲ εἰς τὴν Λοκρίδα, καὶ τῶν αὐτῷ ἐναντία φρονησάντων δικαιώσας τινὰς, παρὰ τῶν λοιπῶν σῖτον καὶ χρήματα ἔλαβε, καὶ εἰς Τάραντα ἀνεκομίσθη.

A Samnitibus vocatus, casu in fugam versus est, seque Tarentum & inde Epirum recipit, Milone cum præsidio Tarenti relicto.

κακῶς δὲ πάσχοντες ἀπὸ Ῥωμαίων οἱ Σαμνῖται, ἐξαναστῆναι αὐτὸν ἐποίησαν. ἐλθὼν δὲ εἰς ἐπικουρίαν αὐτῶν, ἐτράπη. τρωθέντος γὰρ πώλου ἐλέφαντος, καὶ ἀποσεισαμένου τοὺς ἀναβάτας, περιπλανωμένου τε κατὰ ζήτησιν τῆς μητρὸς, κἀκείνης ἐπὶ τούτῳ ταραχθείσης, καὶ τῶν ἄλλων ἐλεφάντων θορυβηθέντων, φύρδην ἀνεμίχθησαν ἅπαντα. τέλος δὲ οἱ Ῥωμαῖοι ἐπεκράτησαν, συχνοὺς ἀποκτείναντες, καὶ ὀκτὼ ἑλόντες ἐλέφαντας, καὶ τὸ χαράκωμα κατέσχον αὐτῶν. ὁ δὲ Πύῤῥος σὺν ὀλίγοις ἱππεῦσι διέφυγεν εἰς τὸν Τάραντα, ἐκεῖθεν δὲ εἰς τὴν Ἤπειρον ἀπέπλευσεν, ὡς αὖθις ἐπανήξων, τὸν Μίλωνα μετὰ φρουρᾶς εἰς Τάραντα καταλείψας, δοὺς αὐτοῖς δίφρον ἱμᾶσιν ἐκ τοῦ δέρματος τοῦ Νικίου ἐνδεδεμένον, ὃν ἐπὶ τῇ προδοσίᾳ ἀπέκτεινεν. τὸν μὲν οὖν Νικίαν οὕτως ἐτιμωρήσατο. νεανίσκους δέ τινας ἐν συμποσίῳ σκώψαντας αὐτὸν, τιμωρήσασθαι ἔμελλεν. ἐρωτήσας δ' αὐτοὺς, διά τι ἔσκωπτον; ἐπεὶ, ἀπεκρίθησαν, ὅτι πολὺ πλείω καὶ χαλεπώτερα εἰρήκειμεν ἂν, εἰ μὴ ὁ οἶνος ἡμᾶς ἐπιλέλοιπε, γελάσας ἀφῆκεν αὐτούς.

Pyrrhus, Italia relicta, in Græciam arma convertit, & paulo post Argis exstinquitur.

Πύῤῥος μὲν οὖν ἐπιφανέστατος ἐν στρατηγοῖς γενόμενος, καὶ φόβον πολὺν τοῖς Ῥωμαίοις ἐμβαλὼν, καὶ πέμπτῳ ἔτει τὴν Ἰταλίαν λιπὼν, καὶ ἐπὶ τὴν Ἑλλάδα στρατεύσας, οὐ πολλῷ ὕστερον ἐν Ἄργει ἀπέθανε. γυνὴ γάρ τις, ὡς λόγος ἔχει, παριόντα αὐτὸν ἰδεῖν ἀπὸ τοῦ τέγους ἐπιθυμήσασα ἐσφάλη, καὶ ἐμπεσοῦσα διέφθειρεν αὐτόν.

Censores notant equites & Senatores, etiam Rufinum virum dictatorium, quod decem pondo argentea habebat vasa.

Ἐν δὲ τῷ αὐτῷ ἔτει ὅ τε Φαβρίκιος καὶ ὁ Πάππος ἐτιμήτευσαν, καὶ ἄλλους τε τῶν ἱππέων ἀπήλειψαν, καὶ τῶν βουλευτῶν, καὶ τὸν Ῥουφῖνον καίπερ δικτατορεύσαντα, καὶ δὶς ὑπατεύσαντα. αἴτιον δ', ὅτι σκεύη ἀργυρᾶ λιτρῶν δέκα εἶχεν· οὕτως οἱ Ῥωμαῖοι πενίαν οὐ τὸ μὴ πολλὰ κεκτῆσθαι, ἀλλὰ τὸ πολλῶν δεῖσθαι, ἐνόμιζον. καὶ διὰ τοῦτο τοῖς τε ἄρχουσι τοῖς ἐκδημοῦσι, καὶ τοῖς ἄλλοις τοῖς

κατὰ

Digitized by Google

κατά τι πρᾶγμα τῇ πόλει διαφέρον ἐξιῦσι, τά τε ἄλλα τὰ ἀναγκαῖα, καὶ δακτύλιος ἐκ τῦ δημοσίυ ἐδίδοτο. τῶν Ταραντίνων δέ τινες κακωθέντες ὑπὸ τῦ Μίλωνος, ἐπέθεντο αὐτῷ, Νίκωνα προστησάμενοι. ὡς δ' ὑδὲν ἤνυσαν, τεῖχός τι τῆς σφετέρας χώρας κατέσχον, κἀκεῖθεν ὁρμώμενοι τῷ Μίλωνι ἐπήεσαν. ἐπεὶ δὲ ᾔσθοντο τὺς Ῥωμαίυς πολεμῆσαι σφίσι βυλομένυς, πρέσβεις εἰς τὴν Ῥώμην ἔςειλαν, καὶ εἰρήνης ἔτυχον. καὶ Πτολεμαῖος δὲ ὁ Φιλάδελφος ὁ τῆς Αἰγύπτυ βασιλεὺς, τόν τε Πύῤῥον κακῶς ἀπηλλαχότα μαθὼν, καὶ τὺς Ῥωμαίυς αὐξανομένυς, δῶρά τε αὐτοῖς ἔπεμψε, καὶ ὁμολογίαν ἐποιήσατο. καὶ οἱ Ῥωμαῖοι ἐπὶ τύτῳ ἡσθέντες, πρέσβεις πρὸς αὐτὸν ἀντεπέςειλαν, οἱ μεγαλοπρεπῆ δῶρα παρ' ἐκείνυ λαβόντες, εἰς τὸ δημόσιον ταῦτα εἰσῆγον. ἡ δὲ βυλὴ ὐ προσήκατο, ἀλλ' εἴασεν αὐτὺς ταῦτα ἔχειν. μετὰ δὲ ταῦτα τύς τε Σαμνίτας διὰ Καρυϊλίυ ὑπέταξαν, καὶ Λευκανῶν καὶ Βρεττίων διὰ Παπειρίυ ἐκράτησαν. καὶ τὺς Ταραντίνυς ὁ αὐτὸς Παπείριος ἐχειρώσατο. ἀχθόμενοι γὰρ τῷ Μίλωνι, καὶ πρὸς τῶν σφετέρων κακύμενοι, τῶν, ὡς εἴρηται, ἐπιθεμένων τῷ Μίλωνι, Καρχηδονίυς ἐπεκαλέσαντο, ἐπεὶ καὶ τὸν Πύῤῥον τεθνάναι ἔμαθον. ὁ δὲ Μίλων ἐν ςενῷ ἑαυτῷ τὰ πράγματα συνενηγμένα ὁρῶν, τῶν Ῥωμαίων ἐκ τῆς Ἠπείρυ ἐφεδρευόντων, τῶν δέ γε Καρχηδονίων ἐκ τῆς θαλάσσης, παρέδωκε τῷ Παπειρίῳ τὴν ἄκραν, ἐπὶ τῷ ἀβλαβῆς μετὰ τῶν περὶ αὐτὸν καὶ τῶν χρημάτων ἀποχωρῆσαι. ἐντεῦθεν οἱ μὲν Καρχηδόνιοι, ὡς ἔνσπονδοι τοῖς Ῥωμαίοις, ἀπέπλευσαν. ἡ δὲ πόλις προσεχώρησε τῷ Παπειρίῳ, καὶ τὰ ὅπλα καὶ τὰς ναῦς αὐτῷ παρέδοσαν, καὶ τὰ τείχη καθεῖλον, καὶ δασμοφορεῖν ὡμολόγησαν. ὕτω δὲ τὺς Ταραντίνυς ὑφ' ἑαυτὺς οἱ Ῥωμαῖοι ποιησάμενοι, ἐτράποντο πρὸς τὸ Ῥήγιον, ὅτι τὸν Κρότωνα προδοσίᾳ λαβόντες, τήν τε πόλιν κατέσκαψαν, καὶ τὺς ἐν αὐτῇ Ῥωμαίυς διέφθειραν. τὺς μὲν ὖν Μαμερτίνυς τὺς τὴν Μεσήνην ἔχοντας, ὓς συμμάχυς οἱ ἐν Ῥηγίῳ προσεδέχοντο, ὁμολογίᾳ διεκρύσαντο. ἐκακοπάθησαν δὲ πολιορκῦντες τὸ Ῥήγιον σπάνει τε τροφῆς, καὶ ἄλλοις τισὶν, ἕως Ἱέρων ἐκ Σικελίας σῖτόν τε Ῥωμαίοις πέμψας, καὶ ςρατιώτας, ἐπέῤῥωσε σφᾶς, καὶ τὴν πόλιν συνεῖλεν.

Tarentini Milonem, aggrediuntur; cum Romanis vero res suas componunt.

Ptolemæus Philadelphus munera Romam mittit.

Romani Samnites, Lucanos & Brutios subigunt.

A. U. 480. ante Chr. 274. Tarentum a Carthaginiensibus mari, a Romanis terra oppugnatur, Romanisque subjicitur.

Romani Rhegium obsident & ab Hierone adjuti expugnant.

εἶλεν· ἢ τοῖς περιȣ̃σι τῶν ἀρχαίων πολιτῶν ἀπεδόθη, οἱ δ' ἐπιβȣλεύσαντες αὐτῇ ἐκολάσθησαν. ὁ δέ γε Ἱέρων ἔτι πατρόθεν ἐπιφάνειαν ἔχων τινὰ, μητρόθεν δὲ καὶ δȣλείᾳ προσήκων, Σικελίας ἁπάσης ἦρξε μικρȣ̃, καὶ φίλος Ῥωμαίοις ἐνομίσθη, καὶ σύμμαχος. ἔτος ἓν τῶν Συρακȣσίων κρατήσας, μετὰ τὴν τȣ̃ Πύῤῥȣ φυγὴν, καὶ τȣ̀ς Καρχηδονίȣς εὐλαβηθεὶς ἐγκειμένȣς τῇ Σικελίᾳ, πρὸς τȣ̀ς Ῥωμαίȣς ἀπέκλινε, καὶ πρώτην χάριν αὐτοῖς τὴν εἰρημένην συμμαχίαν, καὶ τὴν σιτοπομπίαν ἀπένειμε. Οὕτω δὲ διανενοημένοις Ῥωμαίοις τε καὶ Καρχηδονίοις σύμπεσόν τι τὰς σπονδὰς διέλυσε καὶ ἐς τὸν πόλεμον αὐτȣ̀ς ἐξηρέθισε· ȣ̃ τὰς τύχας διηγησάμεθα ἤδη ἐν τῇ περὶ τῶν Καρχηδονίων περικοπῇ. οἱ δὲ Ῥωμαῖοι ἐν αὐτῷ Σικελίαν ἀφείλοντο.

Bellum Punicum primum, A. U. 490-513. ante Chr. 264-241. (v. Tom. II, p. 185.)

Polybius. Lib. I. c. 65. Bellum Romanorum cum Faliscis, A. U. 513. ante Chr. 241.

Μετὰ δὲ ταῦτα ἴδιόν τι καὶ παραπλήσιον ἀμφοτέροις συνέβη παθεῖν. ἐξεδέξατο γὰρ πόλεμος ἐμφύλιος, Ῥωμαίȣς μὲν, ὁ πρὸς τȣ̀ς Φαλίσκȣς καλȣμένȣς, ὃν ταχέως καὶ συμφερόντως ἐπετέλεσαν, ἐν ὀλίγαις ἡμέραις ἐγκρατεῖς γενόμενοι τῆς πόλεως αὐτῶν· Καρχηδονίȣς δὲ, κατὰ τὸν αὐτὸν καιρὸν, ȣ̓ μικρὸς, ȣ̓δ' εὐκαταφρόνητος, ὁ πρὸς τȣ̀ς ξένȣς καὶ τȣ̀ς Νομάδας, καὶ τȣ̀ς ἅμα τȣ́τοις ἀποστάντας Λίβυας· ἐν ᾧ πολλȣ̀ς καὶ μεγάλȣς ὑπομείναντες φόβȣς, τέλος ȣ̓ μόνον ὑπὲρ τῆς χώρας ἐκινδύνευσαν, ἀλλὰ καὶ περὶ σφῶν αὐτῶν, καὶ τȣ̃ τῆς πατρίδος ἐδάφȣς. Οἱ δὲ Καρχηδόνιοι, περικλειόμενοι πανταχόθεν, ἠναγκάζοντο καταφεύγειν ἐπὶ τὰς συμμαχίδας πόλεις. ἐπισὰς δὲ Ἱέρων ἀεὶ μέν ποτε κατὰ τὸν ἐνεςῶτα πόλεμον, μεγάλην ἐποιεῖτο σπȣδὴν εἰς πᾶν τὸ παρακαλȣ́μενον ὑπ' αὐτῶν· τότε δὲ καὶ μᾶλλον ἐφιλοτιμεῖτο, πεπεισμένος συμφέρειν ἑαυτῷ καὶ πρὸς τὴν ἐν Σικελίᾳ δυναςείαν, καὶ πρὸς τὴν Ῥωμαίων φιλίαν, τὸ σώζεσθαι Καρχηδονίȣς· ἵνα μὴ παντάπασιν ἐξῇ τὸ προτεθὲν ἀκονιτὶ συντελεῖσθαι τοῖς ἰσχύȣσι· πάνυ φρονίμως καὶ νȣνεχῶς λογιζόμενος. ȣ̓δέ ποτε γὰρ χρὴ τὰ τοιαῦτα παρορᾶν· ȣ̓δὲ τηλικαύτην ȣ̓δενὶ συγκατασκευάζειν δυναςείαν, πρὸς ἣν ȣ̓δὲ περὶ τῶν ὁμολογȣμένων ἐξέςαι δικαίων ἀμφισβητεῖν. ȣ̓ μὴν, ἀλλὰ καὶ Ῥωμαῖοι, τηρȣ̃ντες τὰ κατὰ τὰς συνθήκας δίκαια, προθυμίας ȣ̓δὲν ἀπέλειπον. ἐν ἀρχαῖς μὲν γὰρ ἐγένετό τις ἀμφισβή-

cap. 83. Hiero juvat Poenos;

nec Romani iis desunt, sublata controversia de nautis, qui ex Italia in Afri-

Digitized by Google

φισβήτησις ἐξ ἀμφοῖν, διά τινας τοιαύτας αἰτίας. τῶν Καρχηδονίων τὰς πλέοντας ἐξ Ἰταλίας ἐις Λιβύην, καὶ χορηγῦντας τοῖς πολεμίοις, καταγόντων ὡς ἀυτὰς, καὶ σχεδὸν ἀθροισθέντων τέτων ἐις τὴν Φυλακὴν ἐις τὰς πεντακοσίας, ἠγανάκτησαν ὁι Ῥωμαῖοι. μετὰ δὲ ταῦτα διαπρεσβευσάμενοι, καὶ κομισάμενοι διὰ λόγε πάντας, ἐπὶ τοσῦτον ἐυδόκησαν, ὥςε παραχρῆμα τοῖς Καρχηδονίοις ἀντιδωρήσασθαι τὰς ὑπολειπομένας παρ' ἀυτοῖς ἀιχμαλώτας ἐκ τῦ περὶ Σικελίαν πολέμε. ἀπὸ δὲ τέτε τῦ καιρῦ πρὸς ἕκαςα τῶν παρακαλεμένων ἑτοίμως καὶ Φιλανθρώπως ὑπήκουον. διὸ καὶ πρὸς μὲν τὰς Καρχηδονίας ἐπέτρεψαν τοῖς ἐμπόροις ἐξαγαγεῖν ἀιεὶ τὸ κατεπεῖγον, πρὸς δὲ τὰς πολεμίας ἐκώλυσαν. μετὰ δὲ ταῦτα, τῶν μὲν ἐν τῇ Σαρδόνι μισθοφόρων, καθ' ὃν καιρὸν ἀπὸ τῶν Καρχηδονίων ἀπέςησαν, ἐπισπωμένων ἀυτὰς ἐπὶ τὴν νῆσον, ὀυχ ὑπήκεσαν· τῶν δ' Ἰτυκαίων ἐγχειριζόντων σφᾶς, ὀυ προσεδέξαντο· τηρῦντες τὰ κατὰ τὰς συνθήκας δίκαια. Ὕςερον δὲ ὁι Ῥωμαῖοι ὑπὸ τῶν ἐκ τῆς Σαρδόνος ἀυτομολησάντων μισθοφόρων πρὸς σφᾶς ἐκκληθέντες, ἐπεβάλοντο πλεῖν ἐπὶ τὴν προειρημένην νῆσον. τῶν δὲ Καρχηδονίων ἀγανακτέντων, ὡς ἀυτοῖς καθηκέσης μᾶλλον τῆς τῶν Σαρδόνων δυναςείας· καὶ παρασκευαζομένων μεταπορέυεσθαι τὰς ἀποςήσαντας ἀυτῶν τὴν νῆσον· λαβόμενοι τῆς ἀφορμῆς ταύτης ὁι Ῥωμαῖοι, πόλεμον ἐψηφίσαντο πρὸς τὰς Καρχηδονίας· Φάσκοντες, ἀυτὰς ὀυκ ἐπὶ Σαρδονίας, ἀλλὰ ἐπὶ σφᾶς ποιεῖσθαι τὴν παρασκευήν. ὁι δὲ, παραδόξως διαπεφευγότες τὸν προειρημένον πόλεμον, κατὰ πάντα τρόπον ἀφυῶς διακείμενοι κατὰ τὸ παρὸν πρὸς τὸ πάλιν ἀναλαμβάνειν τὴν πρὸς Ῥωμαίας ἀπέχθειαν· ἔιξαντες τοῖς καιροῖς, ὀυ μόνον ἀπέςησαν τῆς Σαρδόνος, ἀλλὰ καὶ χίλια τάλαντα καὶ διακόσια προσέθηκαν τοῖς Ῥωμαίοις, ἐφ' ᾧ μὴ κατὰ τὸ παρὸν ἀναδέξασθαι τὸν πόλεμον.

cam hostibus Poenorum commeatum deduxerant.

cap. 88. Sardinia cedunt Poeni, metu novi cum Romanis belli.

Κατὰ δὲ τὰς καιρὰς τέτας Ῥωμαῖοι τὴν πρώτην διάβασιν ἐις τὴν Ἰλλυρίδα καὶ ταῦτα τὰ μέρη τῆς Ἐυρώπης ἐπεβάλλοντο ποιεῖσθαι μετὰ δυνάμεως. Ὁι γὰρ Ἰλλυριοὶ, καὶ κατὰ τὰς ἀνωτέρω μὲν χρόνας, συνεχῶς ἠδίκεν (τὰς Ἕλληνας καὶ) τὰς πλοϊζομένας ἀπ' Ἰταλίας· καθ' ὃς δὲ καιρὰς περὶ τὴν Φοινίκην (τῆς Ἠπείρε) διέτρι-

Ibidem. Lib. II. c. 8. Prima Romanorum cum exercitu in Illyricum trajectio, A. U. 524-526. ante Chr. 230-228

Digitized by Google

τριβον, καὶ πλείους, ἀπὸ τοῦ στόλου χωριζόμενοι, πολλοὺς τῶν Ἰταλικῶν ἐμπόρων εὐθὺς μὲν ἐσύλησαν, οὓς δ' ἀπέσφαξαν, οὐκ ὀλίγους δὲ καὶ ζωγρείᾳ τῶν ἁλισκομένων ἀνῆγον. οἱ δὲ Ῥωμαῖοι, παρακούοντες τὸν πρὸ τοῦ χρόνον τῶν ἐγκαλούντων τοῖς Ἰλλυριοῖς, τότε καὶ πλειόνων ἐπελθόντων ἐπὶ τὴν σύγκλητον, κατέστησαν πρεσβευτὰς εἰς τὴν Ἰλλυρίδα, τοὺς ἐπίσκεψιν ποιησομένους περὶ τῶν προειρημένων, Γάϊον καὶ Λεύκιον Κορογκανίους. ἡ δὲ Τεῦτα (ἡ τῆς Ἰλλυρίδος βασιλεύσασα), καταπλευσάντων πρὸς αὐτὴν τῶν ἐκ τῆς Ἠπείρου λέμβων, καταπλαγεῖσα τὸ πλῆθος καὶ τὸ κάλλος τῆς ἀγομένης κατασκευῆς· πολὺ γὰρ ἡ Φοινίκη διέφερε τότε τῶν κατὰ τὴν Ἤπειρον πόλεων εὐδαιμονίᾳ· διπλασίως ἐπερρώσθη πρὸς τὴν κατὰ τῶν Ἑλλήνων ἀδικίαν. οὐ μὴν, ἀλλὰ τότε μὲν ἐπέσχε, διὰ τὰς ἐγχωρίους ταραχάς· καταστησαμένη δὲ ταχέως τὰ κατὰ τοὺς ἀποστάντας Ἰλλυριοὺς, ἐπολιόρκει τὴν Ἴσσαν, διὰ τὸ ταύτην ἔτι μόνην ἀπειθεῖν αὐτῇ. κατὰ δὲ τὸν καιρὸν τοῦτον κατέπλευσαν οἱ τῶν Ῥωμαίων πρέσβεις· καὶ δοθέντος αὐτοῖς καιροῦ πρὸς ἔντευξιν, διελέγοντο περὶ τῶν εἰς αὐτοὺς γεγονότων ἀδικημάτων. ἡ δὲ Τεῦτα καθόλου μὲν παρ' ὅλην τὴν κοινολογίαν, ἀγερώχως καὶ λίαν ὑπερηφάνως αὐτῶν διήκουε. καταπαυσάντων δὲ τὸν λόγον· κοινῇ μὲν, ἔφη, πειρᾶσθαι φροντίζειν, ἵνα μηδὲν ἀδίκημα γίγνηται Ῥωμαίοις ἐξ Ἰλλυριῶν· ἰδίᾳ γε μὴν, οὐ νόμιμον εἶναι τοῖς βασιλεῦσι κωλύειν Ἰλλυριοὺς τῆς κατὰ θάλατταν ὠφελείας. ὁ δὲ νεώτερος τῶν πρεσβευτῶν, δυσχεράνας ἐπὶ τοῖς εἰρημένοις, ἐχρήσατο παῤῥησίᾳ καθηκούσῃ μὲν, οὐδαμῶς δὲ πρὸς καιρόν. εἶπε γὰρ, ὅτι Ῥωμαίοις μὲν, ὦ Τεῦτα, κάλλιστον ἔθος ἐστὶ, τὰ κατ' ἰδίαν ἀδικήματα κοινῇ μεταπορεύεσθαι, καὶ βοηθεῖν τοῖς ἀδικουμένοις. πειρασόμεθα δὲ, θεοῦ βουλομένου, ἐφετῶς καὶ ταχέως ἀναγκάσαι σε, τὰ βασιλικὰ νόμιμα διορθώσασθαι πρὸς Ἰλλυριούς. ἡ δὲ, γυναικοθύμως καὶ ἀλογίστως δεξαμένη τὴν παῤῥησίαν, ἐπὶ τοσοῦτον ἐξωργίσθη πρὸς τὸ ῥηθὲν, ὡς, ὀλιγωρήσασα τῶν παρ' ἀνθρώποις ὡρισμένων δικαίων, ἀποπλέουσιν αὐτοῖς ἐπαποστεῖλαι τινὰς, τὸν παῤῥησιασάμενον τῶν πρέσβεων ἀποκτεῖναι. προσπεσόντος δὲ τοῦ γεγονότος εἰς τὴν Ῥώμην, διοργισθέντες ἐπὶ τῇ παρανομίᾳ τῆς γυναικὸς, εὐθέως περὶ παρασκευὴν

Teuta, Illyricorum regina, mare infestat.

Issam obsidet.

C. & L. Coruncanii, legati ad Teutam.

Occiditur unus e legatis.

σκευὴν ἐγίγνοντο, καὶ ϛρατόπεδα κατέγραφον, καὶ ϛόλον συνήθροιζον.

Ἡ δὲ Τεῦτα, τῆς ὥρας ἐπιγενομένης, ἐπισκευάσασα λέμβυς πλείυς τῶν πρότερον, ἐξαπέϛειλε πάλιν εἰς τὺς κατὰ τὴν Ἑλλάδα τόπυς. ὧν οἱ μὲν διὰ πόρυ τὸν πλῦν ἐπὶ τὴν Κέρκυραν ἐποιῦντο, μέρος δέ τι προσέσχε τὸν τῶν Ἐπιδαμνίων λιμένα· λόγῳ μὲν, ὑδρείας καὶ ἐπισιτισμῦ χάριν, ἔργῳ δ᾽ ἐπιβυλῆς καὶ πράξεως ἐπὶ τὴν πόλιν. τῶν δ᾽ Ἐπιδαμνίων ἀκάκως ἅμα καὶ ῥαθύμως αὐτὺς παραδεξαμένων, εἰσελθόντες ἐν αὐτοῖς τοῖς περιζώμασιν ὡς ὑδρευσόμενοι, μαχαίρας ἔχοντες ἐν τοῖς κεραμίοις, ὑτῶ κατασφάξαντες τὺς φυλάτ]οντας τὴν πύλην, ταχέως ἐγκρατεῖς ἐγένοντο τῦ πυλῶνος. ἐπιγενομένης δὲ κατὰ τὸ συντεταγμένον ἐνεργῦς τῆς ἀπὸ τῶν πλοίων βοηθείας, παραδεξάμενοι τύτυς, ῥαδίως κατεῖχον τὰ πλεῖϛα τῶν τειχῶν. τῶν δ᾽ ἐκ τῆς πόλεως ἀπαρασκεύως μὲν, διὰ τὸ παράδοξον, ἐκθύμως δὲ, βοηθύντων καὶ διαγωνιζομένων· συνέβη τὺς Ἰλλυριὺς, ἐπὶ πολὺν χρόνον ἀντιποιησαμένυς, τέλος ἐκπεσεῖν ἐκ τῆς πόλεως. Ἐπιδάμνιοι μὲν ὖν ἐν ταύτῃ τῇ πράξει, διὰ μὲν τὴν ὀλιγωρίαν, ἐκινδύνευσαν ἀποβαλεῖν τὴν πατρίδα· διὰ δὲ τὴν εὐψυχίαν, ἀβλαβῶς ἐπαιδεύθησαν πρὸς τὸ μέλλον. τῶν δ᾽ Ἰλλυριῶν οἱ προεϛῶτες, κατὰ σπυδὴν ἀναχθέντες, καὶ συνάψαντες τοῖς προπλέυσι, κατῆραν εἰς τὴν Κέρκυραν· καὶ ποιησάμενοι καταπληκ]ικὴν τὴν ἀπόβασιν, ἐνεχείρησαν πολιορκεῖν τὴν πόλιν. ὧν συμβαινόντων, οἱ Κερκυραῖοι, δυσχρηϛύμενοι καὶ δυσελπίϛως διακείμενοι τοῖς ὅλοις, ἐπρεσβεύοντο πρός τε τὺς Ἀχαιὺς καὶ τὺς Αἰτωλὺς, ἅμα δὲ τύτοις Ἀπολλωνιᾶται καὶ Ἐπιδάμνιοι· δεόμενοι, σφίσι βοηθεῖν κατὰ σπυδὴν, καὶ μὴ περιϊδεῖν σφᾶς αὐτὺς ἀναϛάτυς γενομένυς ὑπὸ τῶν Ἰλλυριῶν. οἱ δὲ, διακύσαντες τῶν πρέσβεων, καὶ προσδεξάμενοι τὺς λόγυς, ἐπλήρωσαν κοινῇ τὰς τῶν Ἀχαιῶν δέκα ναῦς καταφράκτυς· καταρτίσαντες δ᾽ ἐν ὀλίγαις ἡμέραις, ἔπλεον ἐπὶ τῆς Κερκύρας, ἐλπίζοντες λύσειν τὴν πολιορκίαν.

cap. 9. Dyrrhachium dolo capiunt Illyrii, A. U. 525.

Mox rursus expelluntur.

Corcyram obsident Illyrii.

Οἱ δ᾽ Ἰλλυριοὶ, συμπαραλαβόντες Ἀκαρνάνων ναῦς κατὰ τὴν συμμαχίαν, ὅσας ἑπτὰ καταφράκ]υς, ἀντανα-χθέντες, συνέβαλλον τοῖς τῶν Ἀχαιῶν σκάφεσι, περὶ τὺς καλυ-

cap. 10. Classem auxiliarem Achæorum profligant ad Paxos ins.

Digitized by Google

καλεμένες Παξές. οἱ μὲν ἔν Ἀκαρνᾶνες, καὶ τῶν Ἀχαϊκῶν νεῶν αἱ κατὰ τέτες ταχθεῖσαι, πάρισον ἐποιἔντο ἀγῶνα, καὶ διέμενον ἀκέραιοι κατὰ τὰς συμπλοκὰς, πλὴν τῶν εἰς αὐτὲς τὲς ἄνδρας γιγνομένων τραυμάτων. οἱ δ' Ἰλλυριοὶ, ζεύξαντες τὲς παρ' αὐτῶν λέμβες ἀνὰ τέτ7αρας, συνεπλέκοντο τοῖς πολεμίοις. καὶ τῶν μὲν ἰδίων ὠλιγώρεν, καὶ παραβάλλοντες πλαγίες, συνήργεν ταῖς ἐμβολαῖς τῶν ὑπεναντίων. ὅτε δὲ τρώσαντα, καὶ δεθέντα κατὰ τὰς ἐμβολὰς, ἐδυσχρήςεν τὰ τῶν ἀντιπάλων σκάφη, προσκρεμαμένων αὐτοῖς περὶ τὲς ἐμβόλες τῶν ἐζευγμένων λέμβων· τότ' ἐπιπηδῶντες ἐπὶ τὰ καταςρώματα τῶν Ἀχαϊκῶν νεῶν, κατεκράτεν διὰ τὸ πλῆθος τῶν ἐπιβατῶν. καὶ τέτῳ τῷ τρόπῳ, τετ7άρων μὲν πλοίων ἐκυρίευσαν τετρηρικῶν, μίαν δὲ πεντήρη σὺν αὐτοῖς τοῖς ἀνδράσιν ἐβύθισαν· ἐφ' ἧς ἔπλει Μάρκος ὁ Κερυνεὺς, ἀνὴρ πάντα τὰ δίκαια τῷ κοινῷ τῶν Ἀχαιῶν πολιτεύματι πεποιηκὼς, μέχρι τῆς καταςροφῆς. οἱ δὲ πρὸς τὲς Ἀκαρνᾶνας διαγωνιζόμενοι, συνιδόντες τὸ κατὰ τὲς Ἰλλυριὲς προτέρημα, καὶ πιςεύοντες τῷ ταχυναυτεῖν, ἐπερώσαντες, ἀσφαλῶς τὴν ἀποχώρησιν εἰς τὴν οἰκείαν ἐποιήσαντο. τὸ δὲ τῶν Ἰλλυριῶν πλῆθος, φρονηματιθὲν ἐπὶ τῷ προτερήματι, λοιπὸν ἤδη ῥαδίως ἐχρήσατο τῇ πολιορκίᾳ, καὶ τεθαῤῥηκότως. οἱ δὲ Κερκυραῖοι, δυσελπιςήσαντες τοῖς ὅλοις ἐκ τῶν συμβεβηκότων, βραχὺν ἔτι χρόνον ὑπομείναντες τὴν πολιορκίαν, συνέθεντο τοῖς Ἰλλυριοῖς, καὶ παρεδέξαντο φρερὰν, καὶ μετὰ τῆς φρερᾶς Δημήτριον τὸν Φάριον. τέτων δὲ πραχθέντων, εὐθέως οἱ τῶν Ἰλλυριῶν προεςῶτες ἀνήγοντο· καὶ κατάραντες εἰς τὴν Ἐπίδαμνον, ταύτην πάλιν ἐπεβάλοντο πολιορκεῖν τὴν πόλιν.

Marcus Cerynensis.

Corcyra Illyriis se dedit.

Demetrius Pharius, Corcyræ præfectus.

cap. 11. Bellum Romanorum Illyricum.

Cn. Fulvius A. Postumius Coss.

Κατὰ δὲ τὲς αὐτὲς καιρὲς τῶν τὰς ὑπάτες ἀρχὰς ἐχόντων Γνάϊος μὲν Φελϐίος ἐξέπλει ναυσὶ διακοσίαις ἐκ τῆς Ῥώμης· Αὖλος δὲ Ποςέμιος τὰς πεζικὰς ἔχων δυνάμεις, ἐξώρμα. τὴν μὲν ἔν πρώτην ἐπιβολὴν ἔσχε πλεῖν ὁ Γνάϊος ἐπὶ τῆς Κερκύρας, ὑπολαμβάνων ἔτι καταλήψεσθαι τὴν πολιορκίαν ἄκριτον. ὑςερήσας δὲ τε καιρε, ὅμως ἐπὶ τὴν νῆσον ἔπλει, βελόμενος ἅμα μὲν ἐπιγνῶναι σαφῶς τὰ γεγονότα περὶ τὴν πόλιν· ἅμα δὲ πεῖραν λαβεῖν τῶν παρὰ τε Δημητρίε προσαγγελλομένων. ὁ γὰρ Δημήτριος

Demetrius Pharius & Corcyrense Romanis se tradunt.

τριος ἐν διαβολαῖς ὢν, καὶ φοβούμενος τὴν Τεῦταν, ἐπέμπετο πρὸς τοὺς Ῥωμαίους, ἐπαγγελλόμενος, τήν τε πόλιν ἐγχειριεῖν, καὶ τὰ λοιπὰ πράγματα παραδώσειν, ὧν ἦν αὐτὸς κύριος. οἱ δὲ Κερκυραῖοι, τὴν παρουσίαν τῶν Ῥωμαίων ἀσμένως ἰδόντες, τήν τε φρουρὰν παρέδοσαν τῶν Ἰλλυριῶν μετὰ τῆς τοῦ Δημητρίου γνώμης, αὐτοί τε σφᾶς ὁμοθυμαδὸν ἔδωκαν παρακληθέντες εἰς τὴν τῶν Ῥωμαίων πίστιν· μίαν ταύτην ὑπολαβόντες ἀσφάλειαν αὐτοῖς ὑπάρχειν εἰς τὸν μέλλοντα χρόνον πρὸς τὴν τῶν Ἰλλυριῶν παρανομίαν. Ῥωμαῖοι δὲ, προσδεξάμενοι τοὺς Κερκυραίους εἰς τὴν φιλίαν, ἔπλεον ἐπὶ τῆς Ἀπολλωνίας, ἔχοντες εἰς τὰ κατάλοιπα τῶν πραγμάτων ἡγεμόνα τὸν Δημήτριον. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν, καὶ Ποστούμιος τὰς πεζικὰς διεβίβαζε δυνάμεις ἐκ τοῦ Βρεντεσίου, πεζοὺς μὲν εἰς δισμυρίους, ἱππεῖς δὲ περὶ δισχιλίους. ἅμα δὲ τῷ προσέχειν ἑκατέρας ὁμοῦ τὰς δυνάμεις πρὸς τὴν Ἀπολλωνίαν, ὁμοίως καὶ τούτων ἀποδεξαμένων καὶ δόντων ἑαυτοὺς εἰς τὴν ἐπιτροπὴν, παραχρῆμα πάλιν ἀνήχθησαν, ἀκούοντες πολιορκεῖσθαι τὴν Ἐπίδαμνον. οἱ δ' Ἰλλυριοὶ συνέντες τὴν ἔφοδον τῶν Ῥωμαίων, οὐδενὶ κόσμῳ λύσαντες τὴν πολιορκίαν, ἔφυγον.

Tum Apollonia & Dyrrhachium.

Ῥωμαῖοι δὲ καὶ τοὺς Ἐπιδαμνίους παραλαβόντες εἰς τὴν πίστιν, προῆγον εἰς τοὺς εἴσω τόπους τῆς Ἰλλυρίδος, ἅμα καταστρεφόμενοι τοὺς Ἀρδιαίους. συμμιξάντων δὲ πρεσβευτῶν αὐτοῖς καὶ πλειόνων, οἱ παρὰ τῶν Παρθεινῶν ἧκον, ἐπιτρέποντες τὰ καθ' αὑτοὺς· δεξάμενοι τούτους εἰς τὴν φιλίαν, παραπλησίως δὲ καὶ τοὺς παρὰ τῶν Ἀτιντάνων προσεληλυθότας, προῆγον ὡς ἐπὶ τὴν Ἴσσαν, διὰ τὸ καὶ ταύτην ὑπὸ τῶν Ἰλλυριῶν πολιορκεῖσθαι τὴν πόλιν. ἀφικόμενοι δὲ, καὶ λύσαντες τὴν πολιορκίαν, προσεδέξαντο καὶ τοὺς Ἰσσαίους εἰς τὴν ἑαυτῶν πίστιν.

Ardiæi subacti. Partheni, Atintani, Issæi, in fidem recepti.

εἷλον δὲ καὶ πόλεις τινὰς Ἰλλυρίδας ἐν τῷ παράπλῳ κατὰ κράτος· ἐν αἷς περὶ Νουτρίαν οὐ μόνον τῶν στρατιωτῶν ἀπέβαλον πολλοὺς, ἀλλὰ καὶ τῶν χιλιάρχων τινὰς καὶ τὸν ταμίαν. ἐκυρίευσαν δὲ καὶ λέμβων εἴκοσι, τῶν ἀποκομιζόντων τὴν ἐκ τῆς χώρας ὠφέλειαν. τῶν δὲ πολιορκούντων τὴν Ἴσσαν, οἱ μὲν ἐν τῇ Φάρῳ διὰ τὸν Δημήτριον ἀβλαβεῖς ἔμειναν· οἱ δ' ἄλλοι πάντες ἔφυγον εἰς τὸν Ἄρβωνα σκεδασθέντες. ἡ δὲ Τεῦτα πάνυ μετ' ὀλίγων εἰς τὸν Ῥίζονα διεσώθη, πολισμά-

Damnum ad Nutriam acceptum.

Arbo opp.

Rizon opp. & fluv.

Digitized by Google

σμάτιον ὂν πρὸς ὀχυρότητα κατεσκευασμένον, ἀνακεχωρηκὸς μὲν ἀπὸ τῆς θαλάττης, ἐπ' αὐτῷ δὲ κείμενον τῷ Ῥίζωνι ποταμῷ. ταῦτα δὲ πράξαντες, καὶ τῷ Δημητρίῳ τοὺς πλείους ὑποτάξαντες τῶν Ἰλλυριῶν, καὶ μεγάλην αὐτῷ περιθέντες δυναστείαν, ἀνεχώρησαν εἰς τὴν Ἐπίδαμνον ἅμα τῷ στόλῳ καὶ τῇ πεζικῇ δυνάμει.

Demetrius a Romanis Illyrico præficitur.

cap. 12. Pax Illyriis data. A. U. 526.

Γναΐος μὲν οὖν Φουλούϊος εἰς τὴν Ῥώμην ἀπέπλευσε, τὸ πλεῖον ἔχων μέρος τῆς τε ναυτικῆς καὶ πεζικῆς στρατιᾶς. ὁ δὲ Ποστούμιος, ὑπολειπόμενος τετταράκοντα σκάφη, καὶ στρατόπεδον ἐκ τῶν περικειμένων πόλεων ἀθροίσας, παρεχείμαζε· συνεφεδρεύων τῷ τε τῶν Ἀρδιαίων ἔθνει, καὶ τοῖς ἄλλοις τοῖς δεδωκόσιν ἑαυτοὺς εἰς τὴν πίστιν. ὑπὸ δὲ τὴν ἐαρινὴν ὥραν ἡ Τεῦτα διαπρεσβευσαμένη πρὸς τοὺς Ῥωμαίους, ποιεῖται συνθήκας, ἐν αἷς εὐδόκησε· Φόρους τε τοὺς διαταχθέντας οἴσειν, πάσης τε ἀναχωρήσειν τῆς Ἰλλυρίδος, πλὴν ὀλίγων τόπων· καὶ, τὸ συνέχον, ὃ μάλιστα πρὸς τοὺς Ἕλληνας διέτεινε· μὴ πλεύσειν πλέον ἢ δυσὶ λέμβοις ἔξω τοῦ Λίσσου, καὶ τούτοις ἀνόπλοις. ὧν συντελεσθέντων, ὁ Ποστούμιος μετὰ ταῦτα πρεσβευτὰς ἐξαπέστειλε πρός τε τοὺς Αἰτωλοὺς καὶ τὸ τῶν Ἀχαιῶν ἔθνος· οἳ καὶ παραγενόμενοι, πρῶτον μὲν ἀπελογίσαντο τὰς αἰτίας τοῦ πολέμου, καὶ τῆς διαβάσεως, ἑξῆς δὲ τούτοις, τὰ πεπραγμένα διεξῆλθον, καὶ τὰς συνθήκας παρανέγνωσαν, ἃς ἐπεποίηντο πρὸς τοὺς Ἰλλυριούς. τυχόντες δὲ παρ' ἑκατέρου τῶν ἐθνῶν τῆς καθηκούσης φιλανθρωπίας, αὖθις ἀπέπλευσαν εἰς τὴν Κέρκυραν, ἱκανοῦ τινὸς ἀπολελυκότες φόβου τοὺς Ἕλληνας διὰ τὰς προειρημένας συνθήκας. οὐ γάρ τισιν, ἀλλὰ πᾶσι, τότε κοινοὺς ἐχθροὺς εἶναι συνέβαινε τοὺς Ἰλλυριούς. ἡ μὲν οὖν πρώτη διάβασις Ῥωμαίων μετὰ δυνάμεως εἰς τὴν Ἰλλυρίδα καὶ ταῦτα τὰ μέρη τῆς Εὐρώπης, ἔτι δ' ἐπιπλοκὴ μετὰ πρεσβείας εἰς τοὺς κατὰ τὴν Ἑλλάδα τόπους, τοιάδε καὶ διὰ ταύτας ἐγένετο τὰς αἰτίας. ἀπὸ δὲ ταύτης τῆς καταρχῆς, Ῥωμαῖοι μὲν εὐθέως ἄλλους πρεσβευτὰς ἐξαπέστειλαν πρὸς Κορινθίους καὶ πρὸς Ἀθηναίους· ὅτε δὴ καὶ Κορίνθιοι πρῶτον ἀπεδέξαντο μετέχειν Ῥωμαίους τοῦ τῶν Ἰσθμίων ἀγῶνος.

Legatio Romana ad Græcos de rebus Illyricis.

Romani Isthmicorum ludorum participes facti.

Ἀσδρου-

cap. 13. Res Hispanienses. A. U. 526. ante Chr. 228.

Ἀσδρούβας δὲ κατὰ τοὺς αὐτοὺς χρόνους νουνεχῶς καὶ πραγματικῶς χειρίζων τὰ κατὰ τὴν (Ἰβηρίας) ἀρχὴν, ἔν τε τοῖς ὅλοις μεγάλην ἐποιεῖτο προκοπὴν, τήν τε παρὰ μέν τισι Καρχηδόνα, παρὰ δέ τισι Καινὴν πόλιν προσαγορευομένην κατασκευάσας, οὐ μικρὰ, μεγάλα δὲ συνεβάλλετο Καρχηδονίοις, εἰς πραγμάτων λόγον· καὶ μάλιστα διὰ τὴν εὐκαιρίαν τοῦ τόπου, πρός τε τὰ κατὰ τὴν Ἰβηρίαν πράγματα, καὶ πρὸς τὰ κατὰ τὴν Λιβύην· ὃν καὶ θεωροῦντες Ῥωμαῖοι, μείζω καὶ φοβερωτέραν ἤδη συνιστάμενον δυναστείαν, ὥρμησαν ἐπὶ τὸ πολυπραγμονεῖν τὰ κατὰ τὴν Ἰβηρίαν. εὑρόντες δὲ σφᾶς ἐπικεκοιμημένους ἐν τοῖς ἔμπροσθεν χρόνοις, καὶ προϊεμένους εἰς τὸ μεγάλην χεῖρα κατασκευάσασθαι Καρχηδονίους, ἀνατρέχειν ἐπειρῶντο κατὰ δύναμιν. αὐτόθεν μὲν οὖν ἐπιτάττειν ἢ πολεμεῖν οὐκ ἐτόλμων τοῖς Καρχηδονίοις, διὰ τὸ τὸν ἀπὸ τῶν Κελτῶν φόβον ἐπικρέμασθαι τοῖς σφετέροις πράγμασι, καὶ μονονοὺ καθ' ἑκάστην ἡμέραν προσδοκᾶν τὴν ἔφοδον αὐτῶν. καταψήσαντες δὲ καὶ πραΰναντες τὸν Ἀσδρούβαν, οὕτως ἔκριναν ἐγχειρεῖν τοῖς Κελτοῖς, καὶ διακινδυνεύειν πρὸς αὐτούς· οὐδέ ποτ' ἂν ὑπολαμβάνοντες, οὐχ οἷον δυναστεῦσαι τῶν κατὰ τὴν Ἰταλίαν, ἀλλ' οὐδ' ἀσφαλῶς οἰκῆσαι τὴν ἑαυτῶν πατρίδα, τούτους ἔχοντες ἐφέδρους τοὺς ἄνδρας. διόπερ ἅμα τῷ διαπρεσβευσάμενοι πρὸς τὸν Ἀσδρούβαν, ποιήσασθαι συνθήκας, ἐν αἷς τὴν μὲν ἄλλην Ἰβηρίαν παρεσιώπων, τὸν δὲ καλούμενον Ἴβηρα ποταμὸν οὐκ ἔδει Καρχηδονίους ἐπὶ πολέμῳ διαβαίνειν, εὐθέως ἐξήνεγκαν τὸν πρὸς τοὺς κατὰ τὴν Ἰταλίαν Κελτοὺς πόλεμον, ὃν κατεγράψαμεν ἤδη ἄνωθεν.

Asdrubal novam Carthaginem condit.

Bellum Gallicum cisalpinum A.U.329-532. ante Chr. 225-222.

Foedus Romanorum cum Asdrubale.

(v. Tom. III. p. 25.)

---

b) A bello Punico secundo usque ad tertium.*

cap. 36. In Hispania Annibal succedit Asdrubali A. U. 533. ante Chr. 221.

Ἀσδρούβας δ', ὁ τῶν Καρχηδονίων στρατηγὸς, ἔτη χειρίσας ὀκτὼ τὰ κατὰ τὴν Ἰβηρίαν, ἐτελεύτησε, δολοφονηθεὶς ἐν τοῖς ἑαυτοῦ καταλύμασι νυκτὸς ὑπό τινος Κελτοῦ τὸ γένος, ἰδίων ἕνεκα ἀδικημάτων· οὐ μικρὰν, ἀλλὰ μεγάλην ποιήσας ἐπίδοσιν τοῖς Καρχηδονίων πράγμασι, οὐχ οὕτω διὰ τῶν πολεμίων ἔργων, ὡς διὰ τῆς πρὸς τοὺς δυνάστας ὁμιλίας. τὴν δὲ στρατηγίαν οἱ Καρχηδόνιοι τῶν κα-

τὰ

τὰ τὴν Ἰβηρίαν Ἀννίβᾳ περιέθεσαν, ὄντι νέῳ, διὰ τὴν ὑποφαινομένην ἐκ τῶν πράξεων ἀγχίνοιαν αὐτοῦ καὶ τόλμαν. ὃς παραλαβὼν τὴν ἀρχὴν, εὐθέως δῆλος ἦν ἐκ τῶν ἐπινοημάτων πόλεμον ἐξοίσων Ῥωμαίοις. ὃ δὴ καὶ τέλος ἐποίησε, πάνυ βραχὺν ἐπισχὼν χρόνον.

Bellum Punicum secundum, A. U. 536-552. ante Chr. 218-202.

Μεγάλας δὲ πράξεις, ἃς ἐν τούτῳ τῷ πολέμῳ κατειργάσατο Ἀννίβας, καὶ τὰς αὐτοῦ τύχας ἀνεγράψαμεν ἤδη ἐν τῇ περὶ Καρχηδονίων περικοπῇ. δευτέρῳ δὲ πολέμῳ Ῥωμαῖοι Ἰβηρίαν ἀφείλοντο.

Appianus de rebus Punicis, Lib. 8. c. 2.

Ἔς τε τὴν ἀλλήλων ἐμβαλόντες μεγάλοις στρατοῖς, οἱ μὲν, Ἀννίβου σφῶν ἡγουμένου, τὴν Ἰταλίαν ἐπόρθουν ἑκκαίδεκα ἔτεσιν ἑξῆς· οἱ δὲ Λιβύην, Κορνηλίου Σκιπίωνος τοῦ πρεσβυτέρου σφῶν στρατηγοῦντος· μέχρι τὴν ἡγεμονίαν Καρχηδονίους ἀφείλοντο, καὶ ναῦς, καὶ ἐλέφαντας, καὶ χρήματα σφίσιν ἐπέταξεν ἐσενεγκεῖν ἐν χρόνῳ.

Zonaras. Lib. IX. c. 15. Bellum Macedonicum secundum cum Philippo III. A.U. 554-557. ante Chr. 200-197. (v. Tom. II. p. 715-717.)

Ἐις ἑτέρους δ' αὖθις πολέμους οἱ Ῥωμαῖοι κατέστησαν, γενομένους πρὸς Φίλιππόν τε τὸν Μακεδόνα καὶ τὸν Ἀντίοχον. Μέχρι γὰρ ἡ πρὸς Καρχηδονίους ἤκμαζε μάχη κἂν μὴ φίλια σφίσι τὰ περὶ τὸν Φίλιππον ἦν, ἐστράτευον αὐτὸν, ἵνα μὴ τοῖς Καρχηδονίοις συνάροιτο, ἢ εἰς τὴν Ἰταλίαν στρατεύσοιτο. ἐπεὶ δὲ τὰ κατ' ἐκείνους ἠρέμησαν, οὐκ ἔτ' ἐμέλλησαν, ἀλλ' ἐς πόλεμον αὐτῷ κατέστησαν, φανερὸν πολλὰ ἐγκαλοῦντες αὐτῷ. πρέσβεις οὖν οἱ Ῥωμαῖοι πρὸς αὐτὸν πέμψαντες, ἐπεὶ μηδὲν ὧν ἐπετάττετο ἔπραττε, τὸν πόλεμον ἐψηφίσαντο, χρώμενοι μὲν τῇ τῶν Ἑλλήνων ἐπιβασίᾳ λαβῇ, τὸ δ' ἀληθὲς ἀγανακτοῦντες, ἐφ' οἷς ἐδεδράκει, καὶ προκαταλαμβάνοντες αὐτὸν, ἵνα μὴ καταδουλωσάμενος ἐκεῖνος, ἐπὶ τὴν Ἰταλίαν στρατεύσῃ κατὰ τὸν Πύῤῥον. ψηφισάμενοι δὲ τὸν πόλεμον, τά τε ἄλλα παρεσκευάσαντο εὖ, καὶ στρατηγὸν ἐπὶ τοῦ ναυτικοῦ Λούκιον Ἀπούστιον Σουλπικίῳ Γάλβᾳ δεδώκασι. καὶ ὁ Γάλβας τὸν Ἰόνιον κόλπον διαλαβὼν ἐπὶ πολὺ ἐνόστησε. παραλαβόντες οὖν τὴν δύναμιν πᾶσαν ὅ τε ῥηθεὶς στρατηγὸς, καὶ Κλαύδιος Κέντων ὁ ὑποστράτηγος, αὐτὰς μὲν τῷ ναυτικῷ τὰς Ἀθήνας ὑπὸ τῶν Μακεδόνων πολιορκουμένας ἐῤῥύσατο καὶ Χαλκίδα κατεχομένην ὑπ' αὐτῶν ἐπόρθησε.

Claudius Cento legatus Athenas, a Macedonibus obsessas, classe liberat;

κἂν τούτῳ Φιλίππου ταῖς Ἀθήναις ἐπιστρατεύσαντος, ἐπανελθὼν τότε αὐτὸν ἀπεώσατο, καὶ μετὰ τοῦτο αὖθις προσβαλόντα ἀπεκρούσατο. Ἀπούστιος δ' ἐς τὴν

Μ.

Digitized by Google

Μακεδονίαν ἀσχόλε περὶ τὴν Ἑλλάδα τε Φιλίππε ὄντος, ἐμβαλὼν, τήν τε γῆν ἐληΐζετο, καὶ Φρέρια καὶ πόλεις ἐχειρώσατο. Φίλιππος δὲ διὰ ταῦτα ἐν ἀμηχανίᾳ γενόμενος, τέως μὲν ἄνω καὶ κάτω περιέθει, ἄλλοτε ἄλλοις ἀμύνων. ὡς δὲ ὁ Ἀπέσιος τῇ χώρᾳ αὐτε ἰσχυρῶς ἐνέκειτο, καὶ οἱ Δάρδανοι τὴν πρόσορον σφίσι Μακεδονίαν ἐκακέργεν (οἰκεσι δὲ ἔτοι ὑπέρ τε Ἰλλυρίων καὶ ὑπὲρ Μακεδόνων) Ἰλλύριοί τέ τινες καὶ Ἀμύνανδρος Ἀθαμανίας Θεσσαλικε γένες βασιλεὺς ὢν, σύμμαχοι πρότερον ὄντες αὐτε, πρὸς τὲς Ῥωμαίες μετέστησαν. ἐκ τέτε καὶ τὰ τῶν Αἰτωλῶν ὑπώπτευσε, καὶ περὶ τοῖς οἴκοι ἔδεισε, καὶ ἐκ τε μετὰ τε πλείονος στρατεύματος ἔσπευσε. γνὲς δὲ τὴν πρόσοδον αὐτε ὁ Ἀπέσιος, ἀνεχώρησεν· ἤδη γὰρ καὶ χειμὼν ἦν. ῥαΐσας δὲ ἐκ τε νόσε ὁ Γάλβας, πλείω παρεσκευάσατο δύναμιν, καὶ ἅμα ἔαρι εἰς τὴν Μακεδονίαν ἠπείγετο.

L. Apustius, classis præfectus, Philippo in Græcia occupato, Macedoniam invadit; & præter eum Dardani, Illyrii & Thessali.

Philippo revertente Apustius recedit;

Ἐπεὶ δὲ ἐπλησίασαν ἀλλήλοις, ἀντεστρατοπεδεύσαντο, καὶ ἀκροβολισμοῖς ἐχρῶντο τῶν ἱππέων καὶ τῶν ψιλῶν. μεταστάντων δὲ τῶν Ῥωμαίων ἔς τι χωρίον, ὅθεν ῥᾶον ἦν αὐτοῖς ἐπισιτίσασθαι, νομίσας ὁ Φίλιππος ὡς φοβεμένες αὐτὸν μεταστῆναι, ἐπῆλθεν αὐτοῖς ποιεμένοις ἁρπαγὰς ἀπροσδόκητος, καὶ τινὰς διέφθειρε. καὶ ὁ Γάλβας τέτο αἰσθόμενος, ἐπεξέδραμεν ἐκ τε στρατοπέδε. καὶ προσπεσὼν αὐτῷ πολλῷ πλείες ἀντανέκτεινεν. ὁ δέ γε Φίλιππος, ἡττηθεὶς, καὶ τρωθεὶς, ὑπὸ νύκτα ἀφανὴς ἐγένετο· ἐ μέντοι αὐτὸν ὁ Γάλβας ἐδίωξεν, ἀλλ' εἰς τὴν Ἀπολλωνίαν ἀνεκομίσθη. καὶ Ἀπέσιος δὲ μετὰ τῶν Ῥοδίων, καὶ τε Ἀττάλε περιπλέων, νήσες συχνὰς ἐχειρώσατο.

veris autem initio bellum continuatur, Galba duce, levia prælia committente, & Apustio cum Attalo insulas plures expugnante.

Μετὰ δὲ ταῦτα ὁ δῆμος ἀπέδειξε Τίτον Φλαμίνιον ὕπατον μετὰ Σέξτε Αἰλίε, καίπερ ἔπω τριάκοντα ἔτη γεγονότα. κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλιππον καὶ Μακεδόνας πόλεμον, εὐτυχίᾳ τινὶ τῶν Ῥωμαίων συλλαχὼν πραγμάσι, καὶ ἀνθρώποις ἐ πάντα πολέμῳ καὶ βίᾳ χρωμένε δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ καὶ ὁμιλίᾳ μᾶλλον ἁλωσίμοις. Φιλίππῳ γὰρ ἦν στόμωμα μὲν εἰς μάχην ἀποχρῶν, ἡ Μακεδόνων ἀρχὴ, ῥώμη δὲ πολέμε τριβὴν ἔχοντος, καὶ χορηγία καὶ καταφυγὴ, καὶ ὄργανον ὅλως τῆς φάλαγγος, ἡ τῶν Ἑλλήνων δύναμις. ὧν μὴ δια-

Plutarchus in Flaminio. cap. 2.

T. Q. Flaminius Cons. sortitur bellum adversus Philippum & Macedonas, qui humanitate & comitate Græcos a Philippo abstrahit, ad

belli finem accelerandum.

διαλυθέντων ἀπὸ τοῦ Φιλίππου, μιᾶς μάχης οὐκ ἦν ἔργον ὁ πρὸς αὐτὸν πόλεμος. ἡ δ' Ἑλλὰς οὔπω πολλὰ συνενηνεγμένη Ῥωμαίοις, ἀλλὰ τότε πρῶτον ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸς ἦν ὁ ἄρχων, καὶ λόγῳ μᾶλλον ἢ πολέμῳ χρώμενος, ἐντυγχάνοντί τε προσῆν πιθανότης, καὶ πρᾳότης ἐντυγχανομένῳ, καὶ τόνος πλεῖστος ὑπὲρ τῶν δικαίων, οὐκ ἂν οὕτω ῥᾳδίως ἀντὶ τῶν συνήθων ἀλλόφυλον ἀρχὴν ἠγάπησεν· ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτοῦ δηλοῦται.

cap. 3. Nec ut antecessores in provincia tempus perdit urbanis honoribus & velitationibus cum Philippo de viis & frumentatione;

Πυνθανόμενος δὲ ὁ Τίτος τοὺς πρὸ ἑαυτοῦ στρατηγοὺς, τοῦτο μὲν Σουλπίκιον, τοῦτο δὲ Πόπλιον, ὀψὲ τῆς ὥρας ἐμβαλόντας εἰς Μακεδονίαν, καὶ τοῦ πολέμου βραδέως ἁψαμένους, κατατετρῖφθαι τοπομαχοῦντας καὶ διαπληκτιζομένους ἀκροβολισμοῖς ὑπὲρ ὁδῶν καὶ σιτολογίας πρὸς τὸν Φίλιππον, οὐκ ᾤετο δεῖν, ὥσπερ ἐκεῖνοι καταναλώσαντες οἴκοι τὸν ἐνιαυτὸν ἐν τιμαῖς καὶ πολιτείαις ὕστερον ἐξώρμησαν ἐπὶ τὰς στρατείας, οὕτω καὶ αὐτὸς ἐν τιμαῖς καὶ πολιτείαις ἐνιαυτὸν ἐπικερδᾶναι τῇ ἀρχῇ, τὸν μὲν ὑπατεύσας, τῷ δὲ πολεμήσας· ἀλλ' ὁμοῦ φιλοτιμούμενος ἐνεργὸν τῷ πολέμῳ τὴν ἀρχὴν παρασχεῖν, τὰς μὲν ἐν τῇ πόλει τιμὰς καὶ προεδρίας ἀφῆκεν· αἰτησάμενος δὲ παρὰ τῆς βουλῆς τὸν ἀδελφὸν αὐτοῦ Λεύκιον ἄρχοντα νεῶν συστρατεύειν, καὶ τῶν μετὰ Σκιπίωνος ἐν Ἰβηρίᾳ μὲν Ἀσδρούβαν, ἐν Λιβύῃ δὲ Ἀννίβαν αὐτὸν καταμεμαχημένων, τοὺς ἀκμάζοντας ἔτι καὶ προθύμους ἀναλαβὼν, ὥσπερ στόμωμα, τρισχιλίους γενομένους, εἰς τὴν Ἤπειρον ἀσφαλῶς διεπέρασεν.

Lucio fratre & III millibus militum assumtis Epirum transmittit.

Accepto a Publio exercitu apud ostium Apsi amnis, & diligenter pervestigata ea ora,

καὶ τὸν Πόπλιον εὑρὼν μετὰ τῆς δυνάμεως ἀντιστρατοπεδεύοντα τῷ Φιλίππῳ, τὰς περὶ τὸν Ἄψον ποταμὸν ἐμβολὰς καὶ τὰ στενὰ φυλάττοντι πολὺν ἤδη χρόνον, οὐδὲν δὲ περαίνοντα διὰ τὴν ὀχυρότητα τῶν χωρίων, παρέλαβε τὸ στράτευμα, καὶ τὸν Πόπλιον ἀποπέμψας, κατεσκέπτετο τοὺς τόπους. εἰσὶ δὲ ὀχυροὶ μὲν οὐχ ἧττον τῶν περὶ τὰ Τέμπη· κάλλη δὲ δένδρων, ὡς ἐκεῖνοι, καὶ χλωρότητα ὕλης, καὶ διατριβὰς, καὶ λειμῶνας ἡδεῖς οὐκ ἔχουσι. ὀρῶν δὲ μεγάλων καὶ ὑψηλῶν ἑκατέρωθεν εἰς μίαν φάραγγα μεγίστην καὶ βαθεῖαν συμφερομένων, διεκπίπτων ὁ Ἄψος, καὶ σχῆμα καὶ τάχος ἐξομοιοῦται πρὸς τὸν Πηνειόν· τὴν μὲν ἄλλην ἅπασαν ἀποκρύπτων ὑπώρειαν,

Digitized by Google

ρειαν, ἐκτομὴν δὲ κρημνώδη καὶ στενὴν παρὰ τὸ ῥεῖθρον ἀπολείπων ἀτραπὸν, οὐκ ἄλλως ῥᾳδίαν στρατεύματι διελθεῖν, εἰ δὲ καὶ φυλάττοιτο, παντελῶς ἄπορον.

Ἦσαν μὲν οὖν οἱ τὸν Τίτον ἄγειν κύκλῳ διὰ τῆς Δασσαρέτιδος κατὰ Λύκον, εὔπορον ὁδὸν καὶ ῥᾳδίαν ἐπιχειροῦντες. ὁ δὲ δεδοικὼς μὴ πόῤῥω θαλάττης ἐμβαλὼν ἑαυτὸν εἰς τόπους γλίσχρους καὶ σπειρομένους πονηρῶς, τοῦ Φιλίππου φυγομαχοῦντος, ἀπορήσῃ σιτίων, καὶ πάλιν ἄπρακτος, ὥσπερ ὁ πρὸ αὐτοῦ στρατηγὸς, ἀναχωρεῖν ἀναγκασθῇ πρὸς τὴν θάλασσαν, ἔγνω προσβαλὼν ἀνὰ κράτος διὰ τῶν ἄκρων, βιάσασθαι τὴν πάροδον. ἐπεὶ δὲ τὰ ὄρη τοῦ Φιλίππου τῇ φάλαγγι κατέχοντος, ἐκ τῶν πλαγίων πανταχόθεν ἐπὶ τοὺς Ῥωμαίους ἀκοντίων καὶ τοξευμάτων φερομένων, πληγαὶ μὲν ἐγίνοντο, καὶ ἀγῶνες ὀξεῖς, καὶ νεκροὶ παρ' ἀμφοτέρων ἔπιπτον, οὐδὲν δὲ τοῦ πολέμου πέρας ἐφαίνετο, προσῆλθον ἄνθρωποι τῶν αὐτόθι νεμόντων, φράζοντες τινὰ κύκλωσιν ἀμελουμένην ὑπὸ τῶν πολεμίων, ᾗ τὸν στρατὸν ἄξειν ὑπισχνοῦντο, καὶ καταστήσειν μάλιστα τριταῖον ἐπὶ τῶν ἄκρων. γνώστην δὲ τῆς πίστεως παρείχοντο καὶ βεβαιωτὴν, Χάροπα τὸν Μαχάταν, πρωτεύοντα μὲν Ἠπειρωτῶν, εὔνουν δὲ Ῥωμαίοις ὄντα, καὶ κρύφα, φόβῳ τοῦ Φιλίππου, συναγωνιζόμενον. ᾧ πιστεύσας ὁ Τίτος, ἐκπέμπει χιλίαρχον ἕνα, πεζοὺς ἔχοντα τετρακισχιλίους καὶ ἱππεῖς τριακοσίους. ἡγοῦντο δὲ οἱ νομεῖς ἐκεῖνοι δεδεμένοι, καὶ τὰς μὲν ἡμέρας ἀνεπαύοντο, κοίλους προβαλλόμενοι καὶ ὑλώδεις τόπους, ὥδευον δὲ νύκτωρ πρὸς τὴν σελήνην. καὶ γὰρ ἦν διχόμηνος. ὁ δὲ Τίτος τούτους ἀποστείλας, τὰς μὲν ἄλλας ἡμέρας διανέπαυε τὸν στρατὸν, ὅσα μὴ περισπᾶν τοῖς ἀκροβολισμοῖς τοὺς πολεμίους. καθ' ἣν δὲ ἔμελλον ὑπερφανήσεσθαι τῶν ἄκρων οἱ περιϊόντες, ἅμ' ἡμέρᾳ πᾶν μὲν βαρὺ, πᾶν δὲ γυμνητικὸν ὅπλον ἐκίνει· καὶ τριχῇ νείμας τὴν δυνάμιν, αὐτὸς μὲν εἰς στενώτατον παρὰ τὸ ῥεῖθρον ὄρθιος ἀνῆγε τὰς σπείρας, βαλλόμενος ὑπὸ τῶν Μακεδόνων, καὶ συμπλεκόμενος τοῖς ἀπαντῶσι περὶ τὰς δυσχωρίας. τῶν δὲ ἄλλων ἑκατέρωθεν ἅμα πειρωμένων ἁμιλλᾶσθαι, καὶ ταῖς τραχύτησιν ἐμφυομένων προθύμως, ὅ, τε ἥλιος ἀνέσχε, καὶ καπνὸς οὐ βέβαιος, ἀλλ' οἷον ὄρειος ὁμίχλη, πόῤῥωθεν ἀνα-

non per Dassaretium & Lycum exercitum ducit, ne certamen rege detrectante inopia prematur annonæ,

sed per montium juga & Macedonum stationes transitum sibi aperit.

Proditur Tito aditus ad vertices, hostibus neglectus.

Titus circummittit militum numerum cum tribuno, & pugnis abstinet.

Quo die circummissi supra caput hostium perventuri erant, Titus denuo adoritur Macedones, & fumo ignis accensi certior fit de occupato jam vertice.

ἀνατέλλων καὶ διαφαινόμενος, τοὺς μὲν πολεμίους ἐλάνθανε· κατὰ νώτου γὰρ ἦν αὐτοῖς, ἤδη τῶν ἄκρων ἐχομένων· οἱ δὲ Ῥωμαῖοι, δόξαν ἔσχον ἀμφίβολον ἐν ἀγῶνι καὶ πόνῳ, τὴν ἐλπίδα πρὸς τὸ βουλόμενον λαμβάνοντες. ἐπεὶ δὲ μᾶλλον αὐξανόμενος, καὶ διαμελαίνων τὸν ἀέρα, καὶ πολὺς ἄνω χωρῶν, ἐδηλοῦτο πυρσὸς εἶναι φίλος, οἱ μὲν ἀλαλάξαντες ἐπέβαινον ἐῤῥωμένως, καὶ συνέστελλον εἰς τὰ τραχύτατα τοὺς πολεμίους, οἱ δὲ ὄπισθεν ἀπὸ τῶν ἄκρων ἀντηλάλαξαν.

cap. 5. Hostis a fronte & a tergo vexatus, in Thessaliam cedit, duobus hominum millibus amissis.

Φυγὴ μὲν οὖν ἦν εὐθὺς ὀξεῖα πάντων, ἔπεσον δὲ δισχιλίων οὐ πλείους· ἀφῃροῦντο γὰρ αἱ δυσχωρίαι τὴν δίωξιν. χρήματα δὲ καὶ σκηνὰς καὶ θεράποντας οἱ Ῥωμαῖοι διαρπάσαντες, ἐκράτουν τῶν στενῶν, καὶ διώδευον τὴν Ἤπειρον οὕτω κοσμίως καὶ μετ' ἐγκρατείας τοσαύτης, ὥστε τῶν πλοίων, καὶ τῆς θαλάσσης μακρὰν ὄντας αὐτοὺς, καὶ τὸν ἐπιμήνιον σῖτον μὴ μεμετρημένους, οὐδ' εὐποροῦντας ἀγορᾶς, ἀπέχεσθαι τῆς χώρας ἀμφιλαφεῖς ὠφελείας ἐχούσης.

Titus ex moderatione sua in incolas hunc fructum capit, ut urbes ad eum deficiant,

ὁ γὰρ Τίτος πυνθανόμενος τὸν Φίλιππον, ὡς ὅμοια φεύγοντι τὴν Θετταλίαν διερχόμενος, τοὺς μὲν ἀνθρώπους ἐκ τῶν πόλεων ἀνίστησιν εἰς τὰ ὄρη, τὰς δὲ πόλεις καταπίμπρησι, τῶν δὲ χρημάτων τὰ λειπόμενα διὰ πλῆθος ἢ βάρος ἁρπαγὴν προτίθεται, τρόπον τινὰ τῆς χώρας ἐξιστάμενος ἤδη Ῥωμαίοις, ἐφιλοτιμεῖτο, καὶ παρεκάλει τοὺς στρατιώτας, ὥσπερ οἰκείας καὶ παρακεχωρημένης κηδομένους βαδίζειν. καὶ μέντοι καὶ παρεῖχεν αὐτοῖς τὰ γινόμενα τῆς εὐταξίας αἴσθησιν εὐθύς. προσεχώρουν μὲν γὰρ αἱ πόλεις ἁψαμένοις Θετταλίας, οἱ δ' ἐντὸς πυλῶν Ἕλληνες, ἐπόθουν καὶ διεπτόηντο ταῖς ὁρμαῖς πρὸς τὸν Τίτον.

præterea que Achæi.

Ἀχαιοὶ δὲ, τὴν τοῦ Φιλίππου συμμαχίαν ἀπειπάμενοι, πολεμεῖν ἐψηφίσαντο μετὰ Ῥωμαίων πρὸς αὐτόν.

Opuntii, spretis Aetolis, Quinctio accersito se dedunt.

Ὀπούντιοι δὲ, καίπερ Αἰτωλῶν τότε Ῥωμαίοις συναγωνιζομένων προθυμότατα, καὶ τὴν πόλιν ἀξιούντων παραλαβεῖν καὶ φυλάττειν, οὐ προσέσχον, ἀλλὰ μεταπεμψάμενοι τὸν Τίτον, ἐκείνῳ διεπίστευσαν ἑαυτοὺς καὶ παρέδωκαν. Πύῤῥον μὲν οὖν λέγουσιν, ὅτε πρῶτον ἀπὸ σκοπῆς κατεῖδεν τὸ στράτευμα τῶν Ῥωμαίων διακεκοσμημένον, εἰπεῖν, οὐ βαρβαρικὴν αὐτῷ φανῆναι τὴν τῶν βαρβάρων παράταξιν. οἱ δὲ Τίτῳ πρῶτον ἐντυγχάνοντες, ἠναγκάζοντο

Digitized by Google

ζοντο παρακλησίας ἀφιέναι φωνάς. ἀκούοντες γὰρ τῶν Μακεδόνων, ὡς ἄνθρωπος ἄρχων βαρβάρου στρατιᾶς ἔπεισι, δι' ὅπλων πάντα καταστρεφόμενος καὶ δουλούμενος, εἶτα ἀπαντῶντες ἀνδρὶ τήν τε ἡλικίαν νέῳ καὶ τὴν ὄψιν φιλανθρώπῳ, φωνήν τε καὶ διάλεκτον Ἕλληνι, καὶ τιμῆς ἀληθοῦς ἐραστῇ, θαυμασίως ἐκηλοῦντο, καὶ τὰς πόλεις ἀπιόντες ἐνεπίμπλασαν εὐνοίας τῆς πρὸς αὐτὸν, ὡς ἐχούσας ἡγεμόνα τῆς ἐλευθερίας. ἐπεὶ δὲ καὶ Φιλίππῳ δοκοῦντι συμβατικῶς ἔχειν, εἰς ταυτὸν ἐλθὼν προὔτεινεν εἰρήνην καὶ φιλίαν, ἐπὶ τῷ τοὺς Ἕλληνας αὐτονόμους ἐᾶν, καὶ τὰς φρουρὰς ἀπαλλάττειν, ὁ δὲ οὐκ ἐδέξατο· παντάπασιν δὴ τότε καὶ τοῖς θεραπεύουσι τὰ τοῦ Φιλίππου παρέστη, Ῥωμαίους πολεμήσοντας ἥκειν οὐχ Ἕλλησιν, ἀλλ' ὑπὲρ Ἑλλήνων Μακεδόσιν.

Inclinat ad pacem Philippus, auditis tamen conditionibus, eam non recipit.

Τὰ μὲν οὖν ἄλλα προσεχώρει καθ' ἡσυχίαν αὐτῷ· τὴν δὲ Βοιωτίαν ἀπολέμως ἐπιπορευομένῳ Θηβαίων ἀπήντησαν οἱ πρῶτοι, φρονοῦντες μὲν τὰ τοῦ Μακεδόνος διὰ Βραχύλλην, ἀσπαζόμενοι δὲ καὶ τιμῶντες τὸν Τίτον, ὡς φιλίας πρὸς ἀμφοτέρους ὑπαρχούσης. ὁ δὲ ἐντυχὼν αὐτοῖς φιλανθρώπως, καὶ δεξιωσάμενος, προῆγεν ἡσυχῇ καθ' ὁδὸν, τὰ μὲν ἐρωτῶν καὶ πυνθανόμενος, τὰ δὲ διηγούμενος καὶ παράγων ἐπίτηδες, ἄχρι τοὺς στρατιώτας ἀναλαβεῖν ἐκ τῆς πορείας. οὕτω δὲ προσάγων, συνεισῆλθε τοῖς Θηβαίοις εἰς τὴν πόλιν, οὐ πάνυ μὲν ἡδομένοις, ὀκνοῦσι δὲ κωλύειν, ἐπεὶ στρατιῶταί γε μέτριοι τὸ πλῆθος εἵποντο. καὶ μέντοι παρελθὼν ὁ Τίτος, ὡς οὐκ ἔχων τὴν πόλιν, ἔπειθεν ἑλέσθαι τὰ Ῥωμαίων, Ἀττάλου τοῦ βασιλέως συναγορεύοντος αὐτῷ, καὶ συνεξορμῶντος τοὺς Θηβαίους. ἀλλ' Ἄτταλος μὲν, ὡς ἔοικεν, τοῦ γήρως προθυμότερον ἑαυτὸν τῷ Τίτῳ ῥήτορα παρασχεῖν φιλοτιμούμενος, ἐν αὐτῷ τῷ λέγειν προσπεσόντος ἰλίγγου τινὸς ἢ ῥεύματος, ἄφνω τὴν αἴσθησιν ἐπιληφθεὶς ἔπεσεν, καὶ μετ' οὐ πολὺ ταῖς ναυσὶν εἰς Ἀσίαν ἀποκομισθεὶς ἐτελεύτησεν· οἱ δὲ Βοιωτοὶ προσεχώρησαν τοῖς Ῥωμαίοις.

cap. 6. Bœotii jungunt se Romanis partim Flaminii humanitate, partim Attali persuasione moti.

Φιλίππου δὲ πρέσβεις πέμψαντος εἰς Ῥώμην, ἀπέστειλεν καὶ ὁ Τίτος παρ' αὐτοῦ τοὺς πράξοντας, ὅπως ἐπιψηφίσηται ἡ σύγκλητος χρόνον αὐτῷ, τοῦ πολέμου μένοντος· εἰ δὲ μή, δι' ἐκείνου τὴν εἰρήνην γενέσθαι. Φιλότιμος

cap. 7. Legatis Philippi, Romam missis, pro conditionibus oblatis pax

non conceditur, & Flaminio provincia prorogatur: quo senatusconsulto accepto in Thessaliam movet.

μος γὰρ ὢν ἰσχυρῶς, ἐδεδίει, πεμφθέντος ἐπὶ τὸν πόλεμον ἑτέρȣ ϛρατηγȣ̃, τὴν δόξαν ἀφαιρεθῆναι. διαπραξαμένων δὲ τῶν φίλων αὐτῷ, μήτε τὸν Φίλιππον, ὢν ἔχρηζεν, τυχεῖν, καὶ τȣ̃ πολέμȣ τὴν ἡγεμονίαν ἐκείνῳ φυλαχθῆναι, δεξάμενος τὸ δόγμα, καὶ ταῖς ἐλπίσιν ἐπαρθεὶς, εὐθὺς εἰς Θετlαλίαν ἐπὶ τὸν Φιλίππȣ πόλεμον ὥρμησεν, ὑπὲρ ἑξακισχιλίȣς καὶ δυσμυρίȣς ἔχων ϛρατιώτας, ὧν Αἰτωλοὶ πεζȣ̀ς ἑξακισχιλίȣς καὶ ἱππεῖς τετρακοσίȣς παρεῖχον. ἦν δὲ καὶ τȣ̃ Φιλίππȣ τὸ ϛράτευμα τῷ πλήθει παραπλήσιον. ἐπεὶ δὲ βαδίζοντες ἐπ' ἀλλήλȣς, καὶ

Admonitis ex utraque parte militibus ad Scotussam,

γενόμενοι περὶ τὴν Σκοτȣ̃σαν, ἐνταῦθα διακινδυνεύειν ἔμελλον, ȣ̓χ, ὅπερ εἰκὸς ἦν, πρὸς δέȣς ἔλαβον οἱ ϛρατηγοὶ τὴν ἀλλήλων γειτνίασιν, ἀλλὰ μᾶλλον ὁρμῆς καὶ φιλοτιμίας ἐπληρȣ̃ντο. Ῥωμαῖοι μὲν, εἰ Μακεδόνων κρατήσειεν, ὧν ὄνομα δι' Ἀλέξανδρον ἀλκῆς καὶ δυνάμεως πλεῖϛον ἦν παρ' αὐτοῖς· Μακεδόνες δὲ Ῥωμαίȣς Περσῶν ἡγȣ́μενοι διαφέρειν, ἤλπιζον, εἰ περιγένοιντο, λαμπρότερον ἀποδείξειν Ἀλεξάνδρȣ Φίλιππον. ὁ μὲν ȣ̃ν Τίτος παρεκάλει τȣ̀ς ϛρατιώτας ἄνδρας ἀγαθȣ̀ς γενέσθαι, καὶ προθύμȣς, ὡς ἐν τῷ καλλίϛῳ θεάτρῳ τῇ Ἑλλάδι μέλλοντας ἀγωνίζεσθαι πρὸς τȣ̀ς ἀρίϛȣς τῶν ἀνταγωνιϛῶν. ὁ δὲ Φίλιππος, εἴτε ὑπὸ τύχης, εἴτε ὑπὸ σπȣδῆς παρὰ τὸν καιρὸν ἀγνοήσας, ἦν γάρ τι πολυάνδριον ὑψηλὸν ἔξω τȣ̃ χάρακος, ἐπὶ τȣ̃το προσβὰς, ἤρξατο μὲν οἷα πρὸ μάχης φιλεῖ διαλέγεσθαι, καὶ παρορμᾶν· ἀθυμίας δὲ δεινῆς πρὸς τὸν οἰωνὸν ἐμπεσȣ́σης, διαταραχθεὶς ἐπέσχε τὴν ἡμέραν ἐκείνην.

cap. 8. postero die ad Cynoscephalas manus conserunt.

Τῇ δὲ ὑϛεραίᾳ περὶ τὸν ὄρθρον, ἐκ μαλακῆς καὶ νοτίȣ νυκτὸς, εἰς ὁμίχλην τῶν νεφῶν τρεπομένων, ἀνεπίμπλατο ζόφȣ βαθέος πᾶν τὸ πεδίον, καὶ κατήει παχὺς ἐκ τῶν ἄκρων ἀὴρ εἰς τὸ μεταξὺ τῶν ϛρατοπέδων, εὐθὺς ἀρχομένης ἡμέρας, ἀποκρύπτων τȣ̀ς τόπȣς. οἱ δὲ ὑπ' ἀμφοτέρων ἀποϛαλέντες, ἐφεδρείας ἕνεκα καὶ κατασκοπῆς, ἐν πάνυ βραχεῖ περιπεσόντες ἀλλήλοις, ἐμάχοντο περὶ τὰς καλȣμένας Κυνὸς κεφαλὰς, αἳ λόφων ȣ̃σαι πυκνῶν καὶ παραλλήλων ἄκραι λεπταὶ, δι' ὁμοιότητα τȣ̃ σχήματος ȣ̃τως ὠνομάσθησαν. γενομένων δὲ, οἷον εἰκὸς, ἐν τόποις σκληροῖς μεταβολῶν κατὰ τὰς φυγὰς καὶ διώ-

ξεις,

Digitized by Google

ξεις, ἑκάτεροι τοῖς πονᾶσιν ἀεὶ καὶ ὑποχωρᾶσιν ἐπιπέμποντες βοήθειαν ἐκ τῶν ςρατοπέδων, καὶ ἤδη τᾶ ἀέρος ἀνακαθαιρομένα, καθορῶντες τὰ γινόμενα, πανςρατιᾷ συνέβαλον. τῷ μὲν ἄν δεξιῷ περιῆν ὁ Φίλιππος, ἐκ τόπων ἐπιφόρων ὅλην ἐπερείσας τὴν φάλαγγα τοῖς Ῥωμαίοις, τὸ βάρος τᾶ συνασπισμᾶ, καὶ τὴν τραχύτητα τῆς προσβολῆς τῶν ἀρίςων ἐχ ὑπομεινάντων. τᾶ δ' εὐωνύμα διασπασμὸν ἀνὰ τὰς λόφας καὶ περίκλασιν λαμβάνοντος, ὁ Τίτος, τὸ μὲν ἡττώμενον ἀπογνὰς, πρὸς δὲ θάτερον ὀξέως παρελάσας, προσέβαλε τοῖς Μακεδόσι, συςῆναι μὲν εἰς φάλαγγα καὶ πυκνῶσαι τὴν τάξιν εἰς βάθος, ἧπερ ἦν ἀλκὴ τῶν ἐκείνων δυνάμεως, κωλυομένοις διὰ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν χωρίων, πρὸς δὲ τὸ κατ' ἄνδρα συμπλέκεσθαι, καὶ βαρεῖ καὶ δυσέργῳ χρωμένοις ὁπλισμῷ. ζώῳ γὰρ ἡ φάλαγξ ἔοικεν ἀμάχῳ τὴν ἰσχὺν, ἕως ἄν ἐςὶ σῶμα, καὶ τηρεῖ τὸν συνασπισμὸν ἐν τάξει μιᾷ· διαλυθείσης δὲ, καὶ τὴν καθ' ἕνα ῥώμην ἀπόλλυσι τῶν μαχομένων ἕκαςος, διά τε τὸν τρόπον τῆς ὁπλίσεως, καὶ ὅτι παντὸς ὅλα τοῖς παρ' ἀλλήλων μέρεσι μᾶλλον ἢ δι' αὑτὸν ἰσχύει. τραπομένων δὲ τάτων, οἱ μὲν ἐδίωκον τὰς φεύγοντας, οἱ δὲ τὰς μαχομένας τῶν Μακεδόνων παρεκδραμόντες ἐκ πλαγίων ἔκτεινον· ὥςε ταχὺ καὶ τὰς νικῶντας περισπᾶσθαι καὶ φεύγειν, τὰ ὅπλα καταβάλλοντας. ἔπεσον μὲν ἄν ὀκτακισχιλίων ἐκ ἐλάττας, ἑάλωσαν δὲ περὶ πεντακισχιλίας. τᾶ δὲ τὸν Φίλιππον ἀσφαλῶς ἀπελθεῖν τὴν αἰτίαν ἔλαβον Αἰτωλοὶ, περὶ ἁρπαγὴν γινόμενοι καὶ πόρθησιν τᾶ χάρακος, ἔτι τῶν Ῥωμαίων διωκόντων, ὥςε μηδὲν εὑρεῖν ἐκείνας ἐπανελθόντας.

Dextro cornu premit Philippus Romanos; in sinistro cornu locis inæqualibus & confragosis phalanx impeditur, quo minus in strum coeat, & hac ratione vi sua privata fugatur, ceterosque etiam in fugam secum rapit.

Dum Aetoli in castris diripiendis morantur, Philippus fuga elabitur.

Πρῶτον μὲν ἄν ἐγένοντο λοιδορίαι καὶ διαφοραὶ πρὸς ἀλλήλας αὐτοῖς· ἐκ δὲ τάτων μᾶλλον ἀεὶ τὸν Τίτον ἐλύπαν, ἑαυτοῖς ἀνατιθέντες τὸ νίκημα, καὶ τῇ φήμῃ προκαταλαμβάνοντες τὰς Ἕλληνας. διὸ καὶ τὰ ὑπόλοιπα τῶν πραγμάτων ἔπραττε καθ' ἑαυτὸν, ἐλάχιςα φροντίζων τῶν Αἰτωλῶν. οἱ δὲ ἤχθοντο, καὶ προσδεξαμένα λόγας αὐτᾶ, καὶ πρεσβείαν ἐπὶ συμβάσεσι παρὰ τᾶ Μακεδόνος, τᾶτο ἐκεῖνοι περιϊόντες περὶ τὰς ἄλλας πόλεις ἐβόων, πωλεῖσθαι τὴν εἰρήνην Φιλίππῳ, παρὸν ἐκκόψαι τὸν πόλεμον ἄρδην, καὶ ἀνελεῖν ἀρχὴν, ὑφ' ἧς πρώτης ἐδουλώθη τὸ Ἑλλη-

cap. 9. Hinc exacerbatus Quintius, quæ agenda restant, solus transigit; criminantur eum Aetoli.

Philippus pacem quærit, eamque consequitur sub his conditionibus, ut Græcia abstineat, M. talenta solvat, naves omnes præter decem tradat, Demetrium, fidei obsidem, Romam mittat.

Ἑλληνικόν. ταῦτα τῶν Ἀιτωλῶν λεγόντων, καὶ διαταράττόντων τὰς συμμάχες, ἀυτὸς ὁ Φίλιππος ἐλθὼν πρὸς τὰς διαλύσεις, ἀνεῖλεν τὴν ὑποψίαν, ἐπιτρέψας τῷ Τίτῳ καὶ Ῥωμαίοις τὰ καθ' ἀυτόν. καὶ ὅτω καταλύεται τὸν πόλεμον ὁ Τίτος, καὶ τὴν μὲν Μακεδονικὴν ἀπέδωκεν ἀυτῷ βασιλείαν, τῆς δὲ Ἑλλάδος προσέταξεν ἀποςῆναι, χιλίοις δὲ ταλάντοις ἐζημίωσεν, τὰς δὲ ναῦς πάσας παρείλετο, πλὴν δέκα· τῶν δὲ παίδων τὸν ἕτερον Δημήτριον ὁμηρεύσοντα λαβὼν, ἐις Ῥώμην ἀπέςειλεν, ἄριςα τῷ καιρῷ χρησάμενος καὶ προλαβὼν τὸ μέλλον. Ἀννίβε γὰρ τῦ Λίβυος, ἀνδρὸς ἐχθίςε τε Ῥωμαίοις καὶ φυγάδος, ἤδη τότε πρὸς Ἀντίοχον ἥκοντος τὸν βασιλέα, καὶ παροξύνοντος ἀυτὸν ἐις τὸ πρόσθεν προϊέναι τῇ τύχῃ, τῆς δυνάμεως ἐυ ῥεόσης ἤδη καθ' ἑαυτὸν ὑπὸ πραγμάτων μεγάλων, ἃ κατεργασάμενος, μέγας ἐπωνομάσθη, πρὸς τὴν ἁπάντων ἡγεμονίαν ἀποβλέποντα, μάλιςα δὲ κατὰ Ῥωμαίων ἀνιςάμενον· ἐι μὴ τῦτο προϊδὼν ὁ Τίτος ἐμφρόνως ἐνέδωκε πρὸς τὰς διαλύσεις, ἀλλὰ τὸν Φιλιππικὸν ὁ Ἀντιοχικὸς κατείληφε πόλεμον ἐν τῇ Ἑλλάδι, καὶ συνέςησαν ὑπ' ἀιτιῶν ἀμφότεροι κοινῶν ὁι μέγιςοι τῶν τότε καὶ δυνατώτατοι βασιλέων ἐπὶ τὴν Ῥώμην, ἔσχεν ἂν ἀγῶνας ἐξ ὑπαρχῆς καὶ κινδύνες τῶν πρὸς Ἀννίβαν ἐκ ἐλάττες· νῦν δὲ τῶν πολέμων μέσην κατὰ καιρὸν ἐμβαλὼν τὴν ἐιρήνην ὁ Τίτος, καὶ πρὶν ἄρξασθαι τὸν μέλλοντα, διακόψας τὸν παρόντα, τῦ μὲν τὴν ἐσχάτην ἐλπίδα, τῦ δὲ τὴν πρώτην ὑφεῖλεν.

Hac pace Flaminius Antiocho, ab Hannibale ad bellum contra Romanos excitato, sese bello Macedonico immiscendi præcidit spem.

cap. 10. De præsidio tribus oppidis imposito Romanos criminantur Aetoli.

Ἐπεὶ δὲ ὁι δέκα πρέσβεις, ὃς ἡ σύγκλητος ἔπεμψεν τῷ Τίτῳ, συνεβέλευον τὰς μὲν ἄλλες Ἕλληνας ἐλευθερῦν, Κόρινθον δὲ καὶ Χαλκίδα καὶ Δημητριάδα διατηρεῖν ἐμφρέρες, ἕνεκα τῆς πρὸς Ἀντίοχον ἀσφαλείας, ἐνταῦθα δὴ ταῖς κατηγορίαις λαμπροὶ, λαμπρῶς τὰς πόλεις ἀνεῤῥήγνυσαν Ἀιτωλοὶ, τὸν μὲν Τίτον κελέυοντες τὰς πέδας τῆς Ἑλλάδος λύειν (ὅτω γὰρ ὁ Φίλιππος ἐιώθει τὰς προειρημένας πόλεις ὀνομάζειν) τὰς δὲ Ἕλληνας ἐρωτῶντες, ἐι κλοιὸν ἔχοντες βαρύτερον μὲν, λειότερον δὲ τῦ πάλαι τὸν νῦν, χαίρεσι, καὶ θαυμάζεσι τὸν Τίτον ὡς ἐυεργέτην, ὅτι τῦ ποδὸς λύσας τὴν Ἑλλάδα, τῦ τραχήλε δέδεκεν. ἐφ' ὃις ἀχθόμενος ὁ Τίτος καὶ βαρέως φέρων καὶ δεόμενος τῦ συνεδρίε, τέλος ἐξέπεισεν καὶ ταύτας τὰς τέ-

Quod ægre ferens Titus evicit, ut dicta

πόλεις ἀνεῖναι τῆς φρουρᾶς, ὅπως ὁλόκληρος ἡ χάρις ὑπάρξῃ παρ' αὐτοῦ τοῖς Ἕλλησιν. Ἰσθμίων οὖν ἀγομένων, πλῆθος μὲν ἀνθρώπων ἐν τῷ σταδίῳ καθῆστο, τὸν γυμνικὸν ἀγῶνα θεώμενον, οἷα δὴ διὰ χρόνον πεπαυμένης μὲν πολέμων τῆς Ἑλλάδος ἐπ' ἐλπίσιν ἐλευθερίας, σαφεῖ δὲ εἰρήνῃ πανηγυριζούσης. τῇ σάλπιγγι δὲ σιωπῆς εἰς ἅπαντας διαδοθείσης, προσελθὼν εἰς μέσον ὁ κήρυξ ἀνεῖπεν, ὅτι Ῥωμαίων ἡ σύγκλητος, καὶ Τίτος Κοΐντιος, στρατηγὸς ὕπατος, καταπολεμήσαντες βασιλέα Φίλιππον καὶ Μακεδόνας, ἀφιᾶσιν ἀφρουρήτους καὶ ἐλευθέρους καὶ ἀφορολογήτους, νόμοις χρωμένους τοῖς πατρίοις, Κορινθίους, Λοκροὺς, Φωκεῖς, Εὐβοέας, Ἀχαιοὺς, Φθιώτας, Μάγνητας, Θετταλοὺς, Περραιβούς. τὸ μὲν οὖν πρῶτον οὐ πάνυ πάντες, οὐδὲ σαφῶς ἐπήκουσαν, ἀλλ' ἀνώμαλος καὶ θορυβώδης κίνησις ἦν ἐν τῷ σταδίῳ θαυμαζόντων, καὶ διαπυνθανομένων, καὶ πάλιν ἀνειπεῖν κελευόντων. ὡς δ' αὖθις ἡσυχίας γενομένης, ἀναγαγὼν ὁ κήρυξ τὴν φωνὴν, προθυμότερον εἰς ἅπαντας ἐγεγώνησεν, καὶ διῆλθε τὸ κήρυγμα, κραυγὴ μὲν ἄπιστος τὸ μέγεθος διὰ χαρὰν ἐχώρει μέχρι θαλάττης, ὀρθὸν δὲ ἀνειστήκει τὸ θέατρον, οὐδεὶς δὲ λόγος ἦν τῶν ἀγωνιζομένων. ἔσπευδον δὲ πάντες ἀναπηδῆσαι, καὶ δεξιώσασθαι, καὶ προσειπεῖν τὸν σωτῆρα τῆς Ἑλλάδος καὶ πρόμαχον κ. τ. λ. τὰ δὲ τῶν ἔργων ὁμολογοῦντα τοῖς κηρύγμασιν. ἅμα γὰρ ἐξέπεμψεν ὁ Τίτος Λέντλον μὲν εἰς Ἀσίαν, Βαργυλιήτας ἐλευθερώσοντα, Τιτίλλιον δὲ εἰς Θρᾴκην, τὰς αὐτόθι πόλεις καὶ νήσους ἀπαλλάξοντα τῶν Φιλίππου φρουρῶν. Πόπλιος δὲ Οὐίλλιος ἔπλει διαλεξόμενος Ἀντιόχῳ περὶ τῆς τῶν ὑπ' αὐτὸν Ἑλλήνων ἐλευθερίας. αὐτὸς δὲ Τίτος εἰς Χαλκίδα παρελθὼν, εἶτα πλεύσας ἐκεῖθεν ἐπὶ Μαγνησίαν, ἐξῆγε τὰς φρουρὰς, καὶ τὰς πολιτείας ἀπεδίδου τοῖς δήμοις. ἀγωνοθέτης δὲ Νεμείων ἀποδειχθεὶς ἐν Ἄργει, τήν τε πανήγυριν ἄριστα διέθηκεν, καὶ πάλιν ἐκεῖ τοῖς Ἕλλησι τὴν ἐλευθερίαν ὑπὸ κήρυκος ἀνεῖπεν. ἐπιφοιτῶν τε ταῖς πόλεσιν, εὐνομίαν ἅμα καὶ δίκην πολλὴν, ὁμόνοιάν τε καὶ φιλοφροσύνην πρὸς ἀλλήλους παρεῖχεν· καταπαύων μὲν τὰς στάσεις, κατάγων δὲ τὰς φυγὰς, ἀγαλλόμενος δὲ τῷ πείθειν καὶ διαλλάσσειν τοὺς Ἕλληνας, οὐχ ἧττον ἢ τῷ κεκρα-

præsidia deducerentur, & in Isthmiorum ludis libertatem Græcis proclamari jussit, ante Chr. 197.

id quod lætissimis acclamationibus acceptum est.

cap. 12. Philippi præsidia ubique deducuntur.

Digitized by Google

κεκρατηκέναι τῶν Μακεδόνων, ὥστε μικρότατον ἤδη τὴν ἐλευθερίαν δοκεῖν, ὧν εὐεργετοῦντο.

Zonaras. Lib. IX. c. 18. Antiochus M. a Nabide & Aetolis ad bellum Romanis inferendum concitatur. Romani propter ejus potentiam per omne tempus belli Macedonici amice & blande cum eo agunt; illo autem finito cum contemnunt.

Ἀφικνουμένου δ' ἐς τὴν Ῥώμην τοῦ Φλαμινίου, Νάβις ἐνεωτέρισε, κἀκ τούτου καὶ τὸ Ἑλληνικὸν ἅπαν, ὡς εἰπεῖν, ἐταράχθη, τῶν Αἰτωλῶν σφᾶς ἐναγόντων. παρεσκευάζοντό τε ὡς πολεμήσοντες, καὶ πρὸς τὸν Φίλιππον, καὶ τὸν Ἀντίοχον ἐπρεσβεύοντο, καὶ ἔπεισαν αὐτὸν ἐκπολεμωθῆναι Ῥωμαίοις, ὡς καὶ τῆς Ἑλλάδος, τῆς Ἰταλίας τε βασιλεύσοντα. τοῖς δὲ Ῥωμαίοις τῶν πραγμάτων τεταραγμένων, οὐχὶ περιγενέσθαι τοῦ Ἀντιόχου ἐλπὶς ἦν, ἀλλὰ ἠγάπων, εἴ γε τὰ ἑαυτῶν διασώσαιντο. ὁ γὰρ Ἀντίοχος μέγας μὲν καὶ ἐπὶ τῇ οἰκείᾳ δυνάμει, δι' ἄλλα τε, καὶ ὅτι τὴν Μηδίαν κατεστρέψατο. πολλῷ δ' ἔτι μείζων ἐγένετο, ὅτι τὸν Πτολεμαῖον τὸν τῆς Αἰγύπτου βασιλέα καὶ τὸν Ἀριαράθην τὸν τῆς Καππαδοκίας κηδεστὴν προσετέθειτο. τοιοῦτον τὸν Ἀντίοχον νομιζόμενον οἱ Ῥωμαῖοι, μέχρι μὲν τῷ Φιλίππῳ ἐπολέμουν, ἐθεράπευον, φιλίως τε διὰ πρεσβέων ὁμιλοῦντες καὶ δῶρα πέμποντες.

A. U. 562. ante Chr. 192. Scipiones contra Antiochum mittuntur. (T. I. p. 512–538. T. II. p. 717.) Aetolis induciæ dantur & postea pax. A. U. 563. ante Chr. 191. v. T. II. p. 718. Antiochus vincitur.

ἐπεὶ δ' ἐκεῖνον ἐνίκησαν, καὶ τούτου, ὃν πρόσθεν ἐδεδίεσαν, κατεφρόνουν. ὁ δὲ ἐς τὴν Θρᾴκην ἐπεραιώθη, καὶ ἄλλα τε παρεστήσατο, καὶ τὴν Λυσιμαχίαν ἀνεστηκυῖαν, συνῴκισεν, ὡς ὁρμητηρίῳ ταύτῃ χρησόμενος, καθὼς διηγησάμεθα ἤδη ἐν τῇ περὶ Συριακῶν περικοπῇ. ἐπὶ δὲ τὸν Ἀντίοχον οἱ Ῥωμαῖοι τοὺς Σκιπίωνας ἔταξαν, τόν τε Ἀφρικανὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ Λούκιον. οἱ τοῖς μὲν Αἰτωλοῖς ἀνοχὴν ἔδωσαν, ἵν' ἐς τὴν Ῥώμην αὖθις ὑπὲρ τῆς εἰρήνης πρεσβεύσωνται. ὁ δὲ Ἀντίοχος ἡττηθεὶς πλείοσι μάχαις ἠναγκάζετο ἀπέχεσθαι τῆς Εὐρώπης ὅλης καὶ Ἀσίας τῶν ἐπὶ τάδε τοῦ Ταύρου.

Appianus, de bellis Syr. cap. 42. Manlii bellum cum Gallogræcis. A. U. 563. ante Chr. 191.

Μάλλιος δὲ ὁ τοῦ Σκιπίωνος διάδοχος τὴν ἀφαιρεθεῖσαν Ἀντιόχου γῆν ἐπιὼν καθίστατο. καὶ Γαλατῶν τῶν Ἀντιόχῳ συμμαχησάντων Τολιστοβοίους, ἀναφυγόντας ἐς τὸν Μύσιον Ὄλυμπον, ἐπιμόχθως τοῦ ὄρους ἐπιβάς, ἐτρέψατο φεύγοντας· ἕως ἔκτεινε καὶ κατεκρήμνισεν, ὅσους ἀριθμήσασθαι διὰ τὸ πλῆθος οὐκ ἐγένετο· αἰχμαλώτους δ' ἔλαβεν ἐς τετρακισμυρίους, ὧν τὰ μὲν ὅπλα κατέκαυσε, τὰ δὲ σώματα, (οὐ δυνάμενος τοσόνδε πλῆθος ἐν πολέμοις περιάγεσθαι) τοῖς ἐγγὺς βαρβάροις ἀπέδοτο. ἐν δὲ Τεκτοσάγαις

σάγαις τε καὶ Τρόκμοις ἐκινδύνευσε μὲν ἐξ ἐνέδρας, καὶ ἔφυγεν. ἐπανελθὼν δὲ ἐς αὐλιζομένους τε καὶ βεβυσμένους ὑπὸ πλήθους, περιέστησε τοὺς ψιλοὺς αὐτοῖς, καὶ περιτρέχων ἐκέλευσεν ἐσακοντίζειν, μήτε προσπλεκομένους, μήτε πλησιάζοντας. οὐδενὸς δὲ βέλους ἀτυχοῦντος, διὰ τὴν πυκνότητα τῶν πολεμίων, ἔκτεινεν ἐς ὀκτακισχιλίους, καὶ ἐδίωξε τοὺς λοιποὺς ὑπὲρ Ἅλυν ποταμόν. Ἀριαράθου δὲ, τοῦ Καππαδοκῶν βασιλέως, καὶ τοῦδε συμμάχους πέμψαντος Ἀντιόχῳ, δεδιότος τε καὶ δεομένου, καὶ διακόσια τάλαντα πέμψαντος ἐπὶ τῇ δεήσει, τὴν χώραν οὐκ ἐπέδραμεν. ἀλλ' ἐς τὸν Ἑλλήσποντον ἐπανῆλθε, σὺν γάζῃ τε πολλῇ καὶ χρήμασιν ἀπείροις, καὶ λείᾳ βαρυτάτῃ, καὶ στρατῷ καταγόμῳ.

Τάδε μὲν καλῶς ἐπέπρακτο τῷ Μαλλίῳ. τὸ δ' ἐντεῦθεν, ἀλόγως πάμπαν, ὥρᾳ θέρους πλεῦσαι μὲν ὑπερεῖδεν, οὔτε τὸ βάρος ὧν ἐπήγετο ποιησάμενος ἐνθύμιον, οὔτ' ἐπειγόμενος, διαπονεῖν ἢ γυμνάζειν ὁδοιπορίαις ἔτι τὸν στρατὸν, οὐκ ἐς πόλεμον ὁρμῶντα, ἀλλ' ἐς οἰκείαν μετὰ λαφύρων ἐπανιόντα. διὰ δὲ Θρᾴκης ὥδευε, στενὴν καὶ μακρὰν καὶ δύσβατον ὁδὸν, πνίγους ὥρᾳ· οὔτ' ἐς Μακεδονίαν Φιλίππῳ προεπιστείλας, ἀπαντᾶν, ἵνα παραπέμψειεν αὐτόν· οὔτε τὸν στρατὸν ἐς μέρη πολλὰ διελὼν, ἵνα κουφότερον βαδίζῃ, καὶ τὰ χρήσιμα εὐμαρέστερα ἔχῃ· οὔτε τὰ σκευοφόρα συντάξας ἐς λόχους ὀρθίους, ἵνα εὐφυλακτότερα ᾖ. ἀλλ' ἀθρόως ἦγεν ἅπαντας ἐπὶ μῆκος πολὺ, καὶ τὰ σκευοφόρα εἶχεν ἐν μέσῳ, μήτε τῶν πρόσθεν αὐτοῖς δυναμένων ἐπικουρεῖν, μήτε τῶν ὄπιθεν, ὀξέως, διὰ μῆκος ὁμοῦ καὶ στενότητα τῆς ὁδοῦ. ὅθεν αὐτῷ πανταχόθεν ἐς τὰ πλάγια τῶν Θρᾳκῶν ἐπικειμένων, πολὺ μέρος ἀπώλεσε τῆς τε λείας καὶ τῶν δημοσίων χρημάτων, καὶ αὐτοῦ δὴ τοῦ στρατοῦ. μετὰ δὲ τῶν ὑπολοίπων ἐς Μακεδονίαν διεσώθη. ᾧ δὴ καὶ μάλιστα ἐγένετο καταφανὲς, ὅσον ὤνησε παραπέμπων τοὺς Σκιπίωνας ὁ Φίλιππος, καὶ ὅσον ἥμαρτεν Ἀντίοχος ἐκλιπὼν τὴν Χεῤῥόνησον. ὁ δὲ Μάλλιος, ἔκ τε Μακεδονίας ἐς Θεσσαλίαν διελθὼν καὶ ἐκ Θεσσαλίας ἐς Ἤπειρον, ἐς Βρεντέσιον ἐπέρα, καὶ τὴν λοιπὴν στρατιὰν ἐς τὰ οἰκεῖα διαφεὶς, ἐπανῆλθεν ἐς Ῥώμην.

cap. 43.

Ῥόδιοι

Digitized by Google

cap. 44.

Ῥόδιοι δὲ, καὶ Εὐμενὴς ὁ Περγάμȣ βασιλεὺς, μέγα Φρονȣ̃ντες ἐπὶ τῇ κατ' Ἀντιόχȣ συμμαχίᾳ, Εὐμενὴς μὲν αὐτὸς ἐς Ῥώμην ἐςέλλετο, Ῥόδιοι δὲ πρέσβεις ἔπεμπον. ἡ δὲ βȣλὴ Ῥοδίοις μὲν ἔδωκε Λυκίȣς τε καὶ Κᾶρας· ȣ̃ς ȣ̓ πολὺ ὕςερον ἀπέςησεν αὐτῶν, ὡς Περσεῖ τῷ Μακεδόνι μᾶλλον, ἢ σφίσι πολεμȣ̃σι τῷ Περσεῖ, προθυμοτέρων γενομένων. Εὐμενεῖ δὲ παρέσχον ὅσα λοιπὰ ἀφῄρηντο τὸν Ἀντίοχον, χωρὶς Ἑλλήνων τῶν ἐν αὐτοῖς. τȣ́των δὲ ὅσοι μὲν Ἀττάλῳ τῷ πατρὶ Εὐμενȣ̃ς ἐτέλȣν φόρȣς, ἐκέλευσαν Εὐμενεῖ συμφέρειν· ὅσοι δ' Ἀντιόχῳ πρᾶτον ἐτέλȣν, ἀπέλυσαν τῶν φόρων, καὶ αὐτονόμȣς ἀφῆκαν. ὧδε μὲν Ῥωμαῖοι διέθεντο τὰ δορίκτητα.

Zonaras. Lib. IX. c. 13. Gallorum & Ligurum incursiones, A. U. 553. ante Chr. 201.

Κατὰ δὲ τὸν αὐτὸν χρόνον, καί τις Ἀμίλκας Καρχηδόνιος τῷ Μαγῶνι συςρατεύσας ἐν Ἰταλίᾳ, κἀκεῖ ὑπομείνας, τέως μὲν ἡσυχίαν ἦγεν· ὡς δὲ ὁ Μακεδονικὸς πόλεμος ἐνέςη, τȣ́ς τε Γαλάτας τῶν Ῥωμαίων ἀπέςησε, καὶ μετ' αὐτῶν ἐπὶ Λίγυας ςρατεύσας τινὰς κἀκείνων προσεποιήσατο. Λȣκίῳ δὲ Φȣρίῳ ςρατηγȣ̃ντι πολεμηθέντες ἡττήθησαν, καὶ περὶ σπονδῶν ἐπρεσβεύσαντο. καὶ οἱ μὲν Λίγυες ἔτυχον αὐτῶν, τοῖς ἄλλοις δὲ ȣ̓κ ἐδόθησαν. ἀλλ' ἀντεςράτευσεν ἐπ' αὐτȣ̀ς Αὐρήλιος ὁ ὕπατος, φθονήσας τῆς νίκης τῷ ςρατηγῷ. τῷ δ' ἑξῆς ἔτει πρὸς τȣ̃ Ἀμίλκȣ καὶ τῶν Γαλατῶν συνηνέχθη πολλὰ καὶ δεινά. Γναῖόν τε γὰρ Βαίβιον ςρατηγὸν ἐνίκησαν καὶ τὴν συμμαχίδα τῶν Ῥωμαίων κατέτρεχον καὶ Πλακεντίαν ἐπολιόρκȣν καὶ ἑλόντες κατέσκαψαν.

Appianus, de rebus Hisp. Lib. VI. cap. 39 & 41. Hispanorum perpetui motus reprimuntur, a prætoribus Sempronio Tuditano, M. Helvio, Minucio & Catone, A.U. 557–559. Catonis astutis consiliis

Κατὰ δὲ τὸν αὐτὸν χρόνον, ὅτε Ῥωμαῖοι Κελτοῖς τοῖς περὶ Πάδον ἐπολέμȣν καὶ Φιλίππῳ τῷ Μακεδόνι, ἐνεωτέρισαν αὖθις ἐς τὴν ἀσχολίαν αὐτῶν οἱ Ἴβηρες. καὶ αὐτοῖς ἐπέμφθησαν ἐκ Ῥώμης ςρατηγοὶ τȣ̃δε τȣ̃ πολέμȣ, Σεμπρώνιός τε Τȣδιτανὸς καὶ Μάρκος Ἐλȣ̈ίος μετὰ δ' ἐκείνȣς, Μινȣ́κιος. καὶ ἐπὶ τȣ́τῳ, μείζονος ἔτι τῆς κινήσεως γιγνομένης, μετὰ πλέονος δυνάμεως ἐπέμφθη Κάτων, νέος μὲν ὢν ἔτι πάμπαν, αὐςηρὸς δὲ καὶ φιλόπονος. αὐτὸς μὲν ȣ̓̃ν ἐνίκα αὐτȣ̀ς μάχῃ. Πρεσβευόντων δ' ἐς αὐτὸν ἁπάντων, ὅμηρά τε ᾔτησεν ἄλλα, καὶ βιβλία ἐσφραγισμένα ἐς ἑκάςȣς περιέπεμπε, καὶ τȣ̀ς φέροντας ἐκέλευεν ἡμέρᾳ μιᾷ πάντας ἀποδȣ̃ναι· καὶ ὥριζε τὴν ἡμέραν, τεκμηρά-

μηρράμενος, ὅτε μάλιςα ἐς τὴν ποῤῥωτάτω πόλιν ἀφίξονται. ἐκέλευεν δ' ἡ γραφὴ ταῖς ἀρχαῖς τῶν πόλεων ἁπάσαις, καθαιρεῖν τὰ τείχη σφῶν, αὐτῆς ἡμέρας, ᾗ τὰ γράμματα λάβοιεν. ει δὲ ἀνάθοιντο τὴν ἡμέραν, ἀνδραποδισμὸν ἠπείλει. οἱ δὲ, ἄρτι μὲν ἡτ]ημένοι μεγάλῃ μάχῃ, ὑπὸ δὲ ἀγνοίας, εἴτε μόνοις, εἴθ' ἅπασι ταῦτα προσετάχθη, φοβέμενοι, (μόνοι μὲν, ὡς ευκαταφρόνητοι· μετὰ δὲ τῶν ἄλλων, μὴ μόνοι βραδύνωσι·) καιρόν τε ἐκ ἔχοντες περιπέμψαι πρὸς ἀλλήλες, καὶ τὲς ςρατιώτας τὲς ἐληλυθότας μετὰ τῶν γραμμάτων ἐφεςῶτας σφίσιν εὐλαβέμενοι· τὸ σφέτερον ἀσφαλὲς ἕκασοι πρὔργε τιθέμενοι, τὰ τείχη καθῄρεν μετὰ σπεδῆς. ἐν ᾧ γὰρ ἅπαξ ὑπακέειν ἐδόκει, καὶ τὸ ταχέως εἰργάσθαι προσλαβεῖν ἐφιλοτιμεντο. ὕτω μὲν αἱ πόλεις αἱ περὶ Ἴβηρα ποταμὸν, μιᾶς ἡμέρας, ὑφ' ἑνὸς ςρατηγήματος, αὐταὶ τὰ τείχη τὰ ἑαυτῶν καθῄρεν· καὶ Ῥωμαίοις ἐς τὸ μέλλον εὐέφοδοι γενόμεναι, διέμειναν ἐς πλεῖςον ἐπὶ εἰρήνης. Ὀλυμπιάσι δ' ὕςερον τέσσαρσιν, ἀμφὶ τὰς πεντήκοντα καὶ ἑκατὸν, πολλοὶ τῶν Ἰβήρων, γῆς ἀπορεντες, ἀπέςησαν ἀπὸ Ῥωμαίων· ἄλλοι τε, καὶ Λέσονες, οἱ περὶ τὸν Ἴβηρα ᾤκηνται. ςρατεύσας ἐν ἐπ' αὐτὲς [ὕπατος] Φέλβιος Φλάκκος, ἐνίκα μάχῃ. καὶ πολλοὶ μὲν αὐτῶν κατὰ πόλεις διελύθησαν· ὅσοι δὲ μάλιςα γῆς ἠπόρεν, καὶ ἐξ ἄλης ἐβιότευον, ἐς Κομπλέγαν πόλιν συνέφυγον, ἣ νεόκτιςός τε ἦν καὶ ὀχυρὰ, καὶ ηὔξητο ταχέως.

Φλάκκῳ μὲν ἐν διάδοχος ἦλθεν ἐπὶ τὴν ςρατηγίαν Τιβέριος Σεμπρώνιος Γράκχος. Καραὲϊν δὲ πόλιν, ἣ Ῥωμαίων ἦν φίλη, δισμύριοι Κελτιβήρων ἐπολιόρκεν. ὁ δὲ Γράκχος εὐμηχάνως ἐξέλιπεν αὐτοῖς τὸ ςρατόπεδον, καὶ ὑπεκρίνατο φεύγειν. εἶτα διαρπάζεσιν ἐπιςραφεὶς, ἐπέπεσέν τε καὶ πλείςες ἔκτεινεν, καὶ τῆς Κομπλέγας κατέσχε καὶ τῶν περιοίκων. τὲς δὲ ἀπόρες συνῴκιζε, καὶ γῆν αὐτοῖς διεμέτρει· καὶ πᾶσιν ἔθνεσιν ἔθετο τοῖς τῇδε συνθήκας ἀκριβεῖς, καθ' ἃς Ῥωμαίων ἔσονται φίλοι· ὅρκες τε ὤμοσεν αὐτοῖς καὶ ἔλαβεν, ἐπιποθήτες ἐν τοῖς ὕςερον πολέμοις πολλάκις γενομένες. δι' ἃ καὶ ἐν Ἰβηρία καὶ ἐν Ῥώμῃ διώνυμος ἐγένετο ὁ Γράκχος, καὶ ἐθριάμβευσε λαμπρῶς.

omnia Hispanorum circa Iberum amnem oppida uno die muros subruunt.

cap. 42.

cap. 43. Lusones a Romanis deficiunt, & a Cons. Fulvio Flacco vincuntur, A. U. 573. ante Chr. 181.

Tib. Sempr. Gracchus Celtiberos astutia vincit, A. U. 575. ante Chr. 17[illegible]

Κατὰ

Ibidem. de rebus Macedonicis. Eclog. 9. ex Lib. IX. cap. 1. A. U. 582. ante Chr. 172. Perseus Romanis suspectus redditur primum a legatis, ad Basternas missis, deinde ab Eumene, Asiæ Pergamenæ rege.

Κατὰ δὲ τὸν αὐτὸν χρόνον οἱ Ῥωμαῖοι ταχέως αὐξανόμενον τὸν Περσέα ὑφορῶντο· καὶ μάλιςα αὐτὰς ἠρέθιζεν ἡ τῶν Ἑλλήνων φιλία καὶ γειτνίασις, οἷς ἔχθος ἐς Ῥωμαίους ἐπεποιήκεσαν οἱ Ῥωμαίων ςρατηγοί. ὡς δὲ καὶ οἱ πρέσβεις οἱ ἐς Βαςάρνας ἀπεςαλμένοι, τὴν Μακεδονίαν ἔφασκον ἰδεῖν ἀσφαλῶς ὠχυρωμένην, καὶ παρασκευὴν ἱκανὴν, καὶ νεότητα γεγυμνασμένην· Ῥωμαίους καὶ τάδε διετάρασσεν. αἰθόμενος δ' ὁ Περσεὺς, ἑτέρους ἔπεμπε πρέσβεις, τὴν ὑπόνοιαν ἐκλύων. ἐν δὲ τούτῳ καὶ Εὐμενὴς, ὁ τῆς περὶ τὸ Πέργαμον Ἀσίας βασιλεὺς, ἀπὸ τῆς πρὸς Φίλιππον ἔχθρας δεδιὼς Περσέα, ἦκεν ἐς Ῥώμην, καὶ κατηγόρει φανερῶς αὐτοῦ, παρελθὼν ἐς τὸ βουλευτήριον· ὅτι Ῥωμαίοις δυσμενὴς γένοιτο ἀεὶ, καὶ τὸν ἀδελφὸν οἰκείως ἐς αὐτοὺς ἔχοντα ἀνέλοι· καὶ Φιλίππῳ τε παρασκευὴν τοσήνδε κατ' αὐτῶν συναγαγόντι συμπράξειεν· καὶ βασιλεὺς γενόμενος, οὐδὲν ἐκλύσειεν αὐτῆς, ἀλλὰ καὶ προσεξεργάσαιτο ἕτερα· καὶ τὴν Ἑλλάδα ἀμέτρως θεραπεύοι, Βυζαντίοις τε καὶ Αἰτωλοῖς καὶ Βοιωτοῖς συμμαχήσας· καὶ Θρᾴκην κατακτῷτο, μέγα ὁρμητήριον· καὶ Θετταλοὺς καὶ Περῥαιβοὺς διαςασιάσειε βουλομένους τι πρεσβεῦσαι πρὸς ὑμᾶς. καὶ τῶν ὑμετέρων, ἔφη, φίλων καὶ συμμάχων, Ἀβρέπολιν μὲν ἀφήρηται τὴν ἀρχὴν, Ἀρθέταυρον δ' ἐν Ἰλλυριοῖς, καὶ δυνάςην ἔκτεινεν ἐπιβουλεύσας, καὶ τοὺς ἐργασαμένους ὑποδέδεκται. διέβαλλε δ' αὐτοῦ καὶ τὰς ἐπιγαμίας, βασιλικὰς ἄμφω γενομένας, καὶ τὰς συμφαγωγίας ὅλῳ τῷ Ῥοδίων ςόλῳ παραπεμφθείσας. ἔγκλημα δ' ἐποίει καὶ τὴν ἐπιμέλειαν αὐτοῦ, καὶ τὸ νηφάλιον τῆς διαίτης, ὄντος οὕτω νέου. καὶ ὅτι πρὸς πολλὰ ὀξέως ἐν ὀλίγῳ ἀγαπῷτο καὶ ἐπαινοῖτο. ζήλου τε καὶ φθόνου καὶ δέους μᾶλλον, ἢ ἐγκλημάτων, οὐδὲν ὁ Εὐμενὴς ἀπολιπὼν, ἐκέλευε τὴν σύγκλητον ὑφορᾶσθαι νέον ἐχθρὸν εὐδοκιμοῦντα καὶ γειτονεύοντα.

cap. 2. Senatus Rom. Eumeni bellum inferre decernit.

Ἡ δ' ἔργῳ μὲν, οὐκ ἀξιοῦσα, βασιλέα σώφρονα καὶ φιλόσοφον, καὶ ἐς πολλοὺς φιλάνθρωπον, ἀθρόως οὕτως ἐπαιρόμενον, καὶ πατρικὸν ὄντα σφίσιν ἐχθρὸν, ἐν πλευραῖς ἔχειν· λόγῳ δ', ἃ προὔτεινεν ὁ Εὐμενὴς, αἰτιωμένη· πολεμεῖν ἔκρινε τῷ Περσεῖ. καὶ ταῦτ' ἀπόῤῥητα ἔτι ἐν σφίσιν αὐτοῖς ποιούμενοι, Ἄρπαλόν τε, πεμφθέντα παρὰ

Perseus Harpalum,&Rhodii unum e cl-

ρα Περσέως ἐς ἀντιλογίαν Εὐμενȣ̃ς, καὶ Ῥοδίων τινὰ πρεσβευτὴν, βȣλομένȣς ἐς ὄψιν τὸν Εὐμενῆ διελέγχειν, παρόντος μὲν ἔτι τȣ̃ Εὐμενȣ̃ς, ȣ̓ προσήκατο· μετασάντος δὲ, ἐδέξαντο. καὶ οἱ μὲν ἐπὶ τῷδε πρῶτον ἀγανακτȣ̃ντές τε, καὶ παῤῥησίᾳ χρώμενοι πλέον, βȣλομένȣς δ' ἤδη Ῥωμαίȣς Περσεῖ καὶ Ῥοδίοις μᾶλλον ἐξηγρίωσαν. τῶν δὲ βȣλευτῶν πολλοὶ τὸν Εὐμενῆ δι' αἰτίας εἶχον, ὑπὸ φθόνȣ καὶ δέȣς αἴτιον τοσȣ̃δε πολέμȣ γενόμενον. καὶ Ῥόδιοι τὴν θεωρίαν αὐτȣ̃, μόνȣ βασιλέων, ἐς τὴν ἑορτὴν τȣ̃ Ἡλίȣ πεμπομένην, ȣ̓κ ἐδέξαντο. αὐτὸς δ' ἐς τὴν Ἀσίαν ἐπανιὼν ἐκ Κίῤῥας ἐς Δελφȣ̀ς ἀνέβαινε θύσων. καὶ αὐτῷ τέσσαρες ἄνδρες ὑπὸ τὸ τειχίον ὑποςάντες ἐπεβȣ́λευον. καὶ ἄλλας δέ τινας αἰτίας οἱ Ῥωμαῖοι ἐς τὸν Περσέως πόλεμον, ὡς ἔπω κεκριμένον, προσελάμβανον· καὶ πρέσβεις ἐς τȣ̀ς φίλȣς βασιλέας, Εὐμενῆ, καὶ Ἀντίοχον, καὶ Ἀριαράθην, καὶ Μασσανάσσην, καὶ Πτολεμαῖον τὸν Αἰγύπτȣ, περιέπεμπον. ἑτέρȣς δ' ἐς τὴν Ἑλλάδα καὶ Θεσσαλίαν, καὶ Ἤπειρον καὶ Ἀκαρνανίαν, καὶ ἐς τὰς νήσȣς, ὅσας δύναιντο προσαγαγέσθαι· ὃ καὶ μάλιςα τȣ̀ς Ἕλληνας ἐτάραττεν, ἡδομένȣς μὲν τῷ Περσεῖ, φιλέλληνι ὄντι, ἀναγκαζομένȣς δ' ἐνίȣς, Ῥωμαίοις ἐς συμβάσεις χωρεῖν.

vibus legatum mittunt ad diluendas Eumenis criminationes.

Romani ad socios reges & Græcos legatos circummittunt, ut eos ad suas partes pertrahant.

cap. 3. Perseus binis adhuc vicibus legatos Romam mittit, ad diluendas Eumenis criminationes.

Ὧν ὁ Περσεὺς αἰσθόμενος, ἔπεμπεν ἐς Ῥώμην· ἀπορῶν δὲ καὶ πυνθανόμενος, τί παθόντες ἐκλήθονται τῶν συγκειμένων, καὶ πρέσβεις κατ' αὐτȣ̃ περιπέμπȣσιν, ὄντος φίλȣ· δέον, εἰ καί τι μέμφονται, λόγῳ διακριθῆναι. οἱ δ' ἐνεκάλȣν, ὅσα Εὐμενὴς εἴποι, καὶ πάθοι· καὶ μάλιςα, ὅτι Θρᾴκην κατακτῷτο, καὶ ςρατιὰν ἔχοι καὶ παρασκευὴν ȣ̓κ ἠρεμήσοντος ἀνδρός. ὁ δ' αὖθις ἔπεμπεν ἑτέρȣς, οἱ, ἐς τὸ βȣλευτήριον ἀπαχθέντες, ἔλεγον ὧδε· "τοῖς μὲν προφάσεως ἐς πόλεμον, ὦ Ῥωμαῖοι, δεομένοις, ἱκανὰ πάντα ἐς τὴν πρόφασίν ἐςιν. εἰ δ' αἰδεῖσθε συνθήκας, οἱ πολὺν ἀξιȣ̃ντες αὐτῶν λόγον ἔχειν, τί παθόντες ὑπὸ Περσέως αἱρεῖσθε πόλεμον; ȣ̓ γὰρ, ὅτι ςρατιὰν ἔχει καὶ παρασκευήν. ȣ̓ γὰρ ἔχει ταῦτα καθ' ὑμῶν· ȣ̓δὲ τȣ̀ς ἄλλȣς κεκτῆσθαι βασιλέας κωλύετε· ȣ̓δ' ἄδικον, ἀσφαλῶς ἔχειν ἐς τȣ̀ς ἀρχομένȣς, καὶ τὰ περίοικα, καὶ εἴ τις ἔξωθεν ἐπιβȣλεύοι. πρὸς δὲ ὑμᾶς, ὦ ἄνδρες Ῥωμαῖοι, ὑπὲρ τῆς

τῆς εἰρήνης ἐπρέσβευσε, καὶ τὰς συνθήκας ἔναγχος ἀνε-
καίνισεν. ἀλλὰ Ἀβρούπολιν ἐξέβαλε τῆς ἀρχῆς. ἐπιδρα-
μόντα γε τοῖς ἡμετέροις, ἀμυνόμενος. καὶ τοῦτ' αὐτὸς
ὑμῖν ἐδήλωσε Περσεύς· καὶ τὰς συνθήκας αὐτῷ μετὰ τοῦ-
το ἀνενεώσασθε, οὔπω διαβάλλοντος Εὐμενοῦς. τὸ μὲν δὴ
περὶ Ἀβρούπολιν, καὶ πρεσβύτερόν ἐστι τῶν συνθηκῶν·
καὶ παρ' ὑμῖν, ὅτε συνετίθεσθε, δίκαιον ἐφάνη. Δόλοψι
γὰρ ἐπεστράτευσεν, οὖσι τῆς ἰδίας ἀρχῆς. καὶ δεινὸν, εἰ
τῶν ἑαυτοῦ λογισμὸν ὑμῖν ὀφλήσει. δίδωσι δ' ὅμως, πε-
ρὶ πολλοῦ ποιούμενος ὑμᾶς τε καὶ δόξαν ἀγαθήν. ἔκτει-
νάν δ' οἱ Δόλοπες οἵδε τὸν ἡγούμενον αὐτῶν, αἰκισάμενοι.
καὶ ζητεῖ Περσεύς· τί ἂν ὑμεῖς ἐδράσατε τοὺς ὑπηκόους,
τοιαῦτα πράξαντας; ἀλλὰ Ἀρθέταυρόν τινες ἀνελόντες,
ἐν Μακεδονίᾳ διέτριβον. κοινῷ γε πάντων ἀνθρώπων νό-
μῳ, καθὰ καὶ ὑμεῖς τοὺς ἑτέρων φεύγοντας ὑποδέχεσθε.
μαθὼν δὲ καὶ τοῦθ', ὅτι ἔγκλημα ποιεῖσθε, ἐξεκήρυξεν αὐ-
τοὺς τῆς ἀρχῆς ὅλης. Βυζαντίοις δὲ, καὶ Αἰτωλοῖς, καὶ
Βοιωτοῖς, οὐ καθ' ὑμῶν, ἀλλὰ καθ' ἑτέρων συνεμάχησε.
καὶ ταῦτα πρὶν ὑμῖν ἡμέτεροι πρέσβεις ἐμήνυον· καὶ οὐκ
ἐμέμφεσθε, μέχρι τῆς Εὐμενοῦς διαβολῆς· ἣν οὐκ εἰάσα-
τε τοὺς ἡμετέρους πρέσβεις ἐς ὄψιν αὐτὸν ἐλέγξαι."

cap. 4. "Ἀλλὰ τὴν ἐπιβουλὴν, τὴν ἐν Δελφοῖς αὐτῷ γενο-
μένην, προσγράψετε Περσεῖ. πόσων Ἑλλήνων, πόσων δὲ
βαρβάρων, κατ' Εὐμενοῦς πρεσβευσάντων πρὸς ὑμᾶς; οἷς
πᾶσιν ἐχθρός ἐστι, τοιοῦτος ὤν. Ἐῤῥέννιον, τὸν ἐν Βρεν-
τεσίῳ, τίς ἂν πιστεύσειεν, ὅτι Περσεὺς, Ῥωμαῖον ὄντα,
καὶ φίλον ὑμέτερον καὶ πρόξενον, εἴληφεν ἐπὶ τὴν τῆς
βουλῆς φαρμακείαν, ὡς ἀναλῶσαι τὴν σύγκλητον δι' αὐτοῦ
δυνάμενος, ἢ τοὺς ὑπολοίπους εὐμενεστέρους ἕξων, διὰ τοὺς
ἀναιρουμένους; ἀλλ' Ἐῤῥέννιος μὲν ἐψεύσατο τοῖς ἐπιτρίβου-
σιν ἐς τὸν πόλεμον ὑμᾶς, πρόφασιν εὐσχήμονα διδούς.
Εὐμενὴς δ' ὑπ' ἔχθρας τε, καὶ φθόνου, καὶ δέους, οὐδὲ
ταῦτ' ὤκνησεν ἐγκαλέσαι Περσεῖ, ὅτι πολλοῖς ἔθνεσι κε-
χαρισμένος, καὶ φιλέλλην, καὶ σωφρόνως ἀντὶ μέθης καὶ
τρυφῆς ἄρχει. καὶ ταῦθ' ὑμεῖς αὐτοῦ λέγοντος ὑπέστητε
ἀκροάσασθαι. τοιγάρτοι τὴν ἐκείνου διαβολὴν αὔξετε καθ'
ὑμῶν, ὡς οὐ φέροντες σώφρονας καὶ δικαίους καὶ φιλοπό-
νους γείτονας. Περσεὺς δ' Ἐῤῥέννιον μὲν καὶ Εὐμενῆ,

κα-

Digitized by Google

καὶ εἴ τις ἄλλος ἐθέλοι, προκαλεῖται παρ' ὑμῖν εἰς ἐξέτασιν καὶ κρίσιν. ὑμᾶς δ' ἀναμιμνήσκει μὲν τῆς ἐς Ἀντίοχον τὸν Μέγαν τοῦ πατρὸς ἑαυτοῦ προθυμίας καὶ βοηθείας· ἧς, ἐπιγιγνομένης, καλῶς ἠθάνεσθε. αἰσχρὸν δὲ, παρελθούσης ἐπιλαθέσθαι. προφέρει δὲ συνθήκας, πατρῴας τε, καὶ ἰδίας πρὸς αὐτὸν ὑμῖν γενομένας· καὶ ἐπὶ τοῖσδε οὐκ ὀκνεῖ καὶ παρακαλεῖν ὑμᾶς, θεοὺς, οὓς ὠμόσατε, αἰδεῖσθαι, καὶ μὴ πολέμου κατάρχειν ἀδίκως ἐς φίλους, μηδ' ἔγκλημα ποιεῖσθαι γειτνίασιν καὶ σωφροσύνην καὶ παρασκευήν. οὐ γὰρ ἄξιον, ὡς Ἐυμενοῦς, καὶ ὑμῶν ἅπτεσθαι φθόνον ἢ φόβον. τὸ δὲ ἐναντίον ἐστὶ σῶφρον, φείδεσθαι γειτόνων ἐπιμελῶν, καὶ, ὡς Ἐυμενής φησιν, εὖ παρεσκευασμένων."

Οἱ μὲν δὴ πρέσβεις τοιαῦτα εἶπον. οἱ δὲ οὐδὲν αὐτοῖς ὑποκρινάμενοι, τὸν πόλεμον ἐς τὸ φανερὸν ἐκύρουν. καὶ ὁ ὕπατος ἐκέλευε τοὺς πρέσβεις, ἐκ μὲν τῆς πόλεως, αὐτῆς ἡμέρας, ἐκ δὲ τῆς Ἰταλίας, τριάκοντα ἄλλαις, ἐξιέναι. τὰ δὲ αὐτὰ καὶ τοῖς ἐπιδημοῦσι Μακεδόνων ἐκήρυττε. καὶ θόρυβος αὐτίκα μετὰ τὸ βουλευτήριον ἐπίφθονος ἦν, ἐν ὀλίγαις ὥραις ἐλαυνομένων τοσῶνδε ὁμοῦ· καὶ οὐδὲ ὑποζύγια εὑρεῖν ἐν οὕτω βραχεῖ διαστήματι, οὐδὲ πάντα φέρειν, δυναμένων. ὑπὸ δὲ σπουδῆς, οἱ μὲν οὐκ ἔφθανον ἐπὶ τοὺς σταθμοὺς, ἀλλ' ἐν μέσαις ἀνεπαύοντο ταῖς ὁδοῖς. οἱ δὲ παρὰ ταῖς πύλαις μετὰ παίδων ἑαυτοὺς ἐῤῥίπτουν, καὶ μετὰ γυναικῶν. πάντα τε ἐγίγνετο, ὅσα εἰκὸς ἐν αἰφνιδίῳ καὶ τοιῷδε κηρύγματι. αἰφνίδιον γὰρ αὐτοῖς ἐφαίνετο, διὰ τὰς ἔτι πρεσβείας.

cap. 5. Persei legatis nihil respondetur, sed protinus bellum publice decernitur, & omnes Macedones urbe excedere per præcones jubentur.

(v. Tom. II. p. 720–737.)

Τὰς δὲ τότε τοῦ πολέμου τύχας διηγησάμεθα ἤδη ἐν τῇ περὶ τῶν Ἑλλήνων περικοπῇ. μετὰ δὲ πολλὰς συμφορὰς Παύλῳ ἀνετέθη τῷ Αἰμιλίῳ, τὸ δεύτερον ὑπατεύοντι, ὃς αὐτὸν εἰς τέλος ἤγαγε μετὰ πολλῆς εὐτυχίας, καθὼς ἔτος ὁ Παῦλος κατελογίσατο τῷ δήμῳ. ἔθους γὰρ ὄντος τοῖς στρατηγοῖς, καταλέγειν τὰ πεπραγμένα, παρελθὼν ἐς τὴν ἀγορὰν εἶπεν· ἐς μὲν Κέρκυραν ἐκ Βρεντεσίου διαπλεῦσαι μιᾶς ἡμέρας. ἐκ δὲ Κερκύρας πέντε μὲν ἐς Δελφοὺς ὁδεῦσαι, καὶ θῦσαι τῷ θεῷ· πέντε δὲ ἄλλαις ἐς Θεσσαλίαν παραγενέσθαι καὶ παραλαβεῖν τὸν στρατόν· ἀπὸ δὲ ταύτης πεντεκαίδεκα ἄλλαις ἐλεῖν Περσέα, καὶ Μακεδόνας

Ibidem. Eclog. XVII. Perseus a Paulo Aemilio ad Pydnam proelio vincitur, A. U. 586. ante Chr. 168.

& Macedoniæ libertas proclamatur.

παραλαβεῖν. Ἡττηθέντος δὲ τοῦ Περσέως πρὸς τὴν Πύδναν ὁ μὲν Αἰμίλιος Μακεδόσι ἀπέδωκε τὴν χώραν καὶ τὰς πόλεις ἐλευθέρας οἰκεῖν καὶ αὐτονόμους. ὁ δὲ Περσεὺς εἰς τὴν Ἰταλίαν· διὰ τῆς Ἠπείρου ἀνεκομίσθη.

Zonaras. Lib. IX. c. 24. L. Anicius prætor Gentium subigit,

Κατὰ δὲ τὸν αὐτὸν χρόνον, καὶ Λεύκιος Ἀνίκιος στρατηγὸς πεμφθεὶς ἐπὶ τὸν Γέντιον, τοὺς προσμίξαντάς τε αὐτῷ ἐνίκησε, καὶ τὸν Γέντιον φυγόντα ἐπιδιώξας, ἐς Σκόδραν κατέκλεισεν, ὅπου ἦν αὐτῷ βασίλεια. καὶ διακενῆς ἂν προσήδρευσεν αὐτῇ (ἐπὶ γὰρ ἀκρωνυχίας ὄρους πεπόλισται, καὶ φάραγξι βαθείαις ποταμοὺς ῥοώδεις ἐχούσαις, περιείλειται, τείχει τε ὀχυρῷ περιέζωσται) εἰ μὴ ὁ Γέντιος μέγα ἐπὶ τῇ δυνάμει ἐλπίσας, ἑκὼν ἐς μάχην ἐχώρησε. κἀκ τούτου τὴν ἀρχὴν αὐτοῦ πᾶσαν ὁ Ἀνίκιος προσηγάγετο· καὶ μέχρι τῆς Ἠπείρου προελθὼν πρὶν τὸν Παῦλον ἐλθεῖν, κἀκείνην ταραττομένην ἡμέρωσεν.

& Epirum pacat, quam paullo post Aemilius diripit. (v. Tom. II. p. 732.)

Rhodii veniam delictorum petunt, & consequuntur.

Οἱ δέ γε Ῥόδιοι μετὰ φρονήματος πρώην τοῖς Ῥωμαίοις προσφερόμενοι, τότε μὴ μνησικακεῖν αὐτοῖς ἠξίουν, καὶ σύμμαχοι πρόσθεν αὐτῶν καλεῖσθαι μὴ προσδεχόμενοι, τότε καὶ πάνυ τούτου τυχεῖν ἐσπούδαζον· καὶ ἔτυχον τῆς σπονδῆς, ἀλλ᾽ ὀψέ. καὶ τοῖς Κρησὶν ὠργίζοντο μὲν οἱ Ῥωμαῖοι, ἱκετείαις δὲ πολλαῖς χρησαμένοις, ἀφῆκάν ποτε τὴν ὀργήν. καὶ ὁ Προυσίας δὲ, καὶ ὁ Εὐμενὴς, ὁ μὲν δι᾽ ἑαυτοῦ ἐς τὴν πόλιν ἐλθὼν, καὶ ἐς τὸ βουλευτήριον εἰσελθὼν, καὶ τὸν οὐδὸν φιλήσας, καὶ προσκυνήσας τοὺς βουλευτὰς, ἐλεήθη τε καὶ ἠθώωτο. Εὐμενὴς δὲ δι᾽ Ἀττάλου τοῦ ἀδελφοῦ τὸ μή τε μνησικακεῖν αὐτῷ εἴληφε.

In Cretenses exacerbati Romani aliquid ab Ira remittunt.

Prusias & Eumenes, deprecatum Romam profecti, veniam consequuntur.

cap. 25. Ptolemæis de regno inter se contendentibus Antiochus Epiphanes Alexandriam obsidet;

Ὁ δὲ τῆς Αἰγύπτου κρατῶν Πτολεμαῖος, ὑπὲρ δυσὶ υἱέσι, καὶ μιᾷ ἐξέλιπε θυγατρί· ὡς δὲ πρὸς ἀλλήλους οἱ ἀδελφοὶ περὶ τῆς ἀρχῆς ἐστασίασαν, Ἀντίοχος ὁ τοῦ μεγάλου Ἀντιόχου υἱὸς, τὸν νεώτατον ἐκπεσόντα ἐξεδέξατο, ἵνα προφάσει τοῦ αὐτῷ ἀμύνειν ἐς τὰ τῶν Αἰγυπτίων παρέλθοι· καὶ στρατεύσας ἐπὶ τὴν Αἴγυπτον, τῆς τε πλείονος χώρας ἐκράτησε, καὶ ἐπολιόρκει τὴν Ἀλεξάνδρειαν· καταφυγόντων δὲ τῶν ἄλλων πρὸς τοὺς Ῥωμαίους, πεμφθεὶς πρὸς τὸν Ἀντίοχον ὁ Ποπίλιος, ἀποσχέσθαι αὐτὸν τῆς Αἰγύπτου ἐκέλευσεν. οἱ γὰρ ἀδελφοὶ συνόντες τὴν τοῦ Ἀντιόχου διάνοιαν, κατηλλάγησαν. ὡς δ᾽ ἐκεῖνος ὑπερέθετο τὴν ἀπόκρισιν, κύκλον ῥάβδῳ πέριξ αὐτοῦ περιέγρα-

verum a Romanis Aegypto abstinere jubetur, interprete Popilio,

Digitized by Google

γραφε, κἀνταῦθα αὐτὸν ἑστηκότα ἀπῄτησε βȣλεύσασθαί τε, καὶ ἀποκρίνασθαι. ἐντεῦθέν δείσας ὁ Ἀντίοχος, τὴν πολιορκίαν κατέλυσεν. ἀπαλλαγέντες δὲ τȣ̃ ἔξωθεν φόβȣ οἱ Πτολεμαῖοι (ȣ̔́τω γὰρ ἐκαλȣ̃ντο ἀμφότεροι) αὖθις ἐστασίασαν, εἶτα συνηλλάγησαν αὖθις ὑπὸ τῶν Ῥωμαίων, ἐφ' ᾧ, τὸν μὲν πρεσβύτερον, τὴν Αἴγυπτον καὶ τὴν Κύπρον, τὰ δὲ περὶ τὴν Κυρήνην ἔχειν τὸν ἕτερον. καὶ ταῦτά γέ ποτε τῶν Αἰγυπτίων ἦν· ἀγανακτῶν δὲ ὁ νεώτερος διὰ τὴν ἐλάττωσιν, ἐς τὴν Ῥώμην ἀφίκετο καὶ ἔυρατο παρ' αὐτῶν καὶ τὴν Κύπρον. ὁ δὲ πρεσβύτερος συμβάσεις ἔθετο αὖθις πρὸς τὸν νεώτερον, πόλεις τέ τινας ἀντὶ τῆς Κύπρȣ δȣ̀ς καὶ χρήματα καὶ σῖτον ταξάμενος συντελεῖν. τȣ̃ δ' Ἀντιόχȣ τελευτῶντος μετὰ τȣ̃το, καὶ παιδὶ ὁμωνύμῳ τὴν βασιλείαν καταλιπόντος, ταύτην τε αὐτῷ ἐβεβαίωσαν καὶ τρεῖς ἄνδρας ἐπιτρόπȣς δῆθεν (μικρὸς γὰρ ἦν), ἔπεμψαν, οἱ παρὰ τὰς συνθήκας εὑρόντες ἐλέφαντας καὶ τριήρεις, τȣ́ς τε ἐλέφαντας σφαγῆναι πάντας ἐκέλευσαν, καὶ τἄλλα πρὸς τὸ τῇ Ῥώμῃ συμφέρον διῴκησαν. διά περ Λυσίας ὁ τȣ̃ βασιλέως τὴν κηδεμονίαν ἐγκεχειρισμένος, παρώξυνε τὸ πλῆθος ἐκβαλεῖν τȣ̀ς Ῥωμαίȣς, τὸν δὲ Γάϊον Ὀκτάβιον καὶ ἀποκτεῖναι.

A. U. 594. ante Chr. 160.

Romani inter Ptolemæos regnum dividunt ita, ut major natu Aegyptum, minor Cyrenen & Cyprum obtineat, A. U. 595. ante Chr. 159.

Romani tres tutores Antiochi pueri in Syriam mittunt.

Καὶ τȣ́των γενομένων, ὁ μὲν πρέσβεις εὐθὺς ἐς τὴν Ῥώμην ἀπέστειλεν ὑπὲρ τῶν πεπραγμένων ἀπολογȣ́μενος· Δημήτριος δὲ ὁ Σελεύκȣ υἱὸς, τȣ̃ παιδὸς Ἀντιόχȣ, ὁμηρεύων ἐν τῇ Ῥώμῃ, μετὰ τὸν τȣ̃ πατρὸς θάνατον, καὶ ὑπὸ Ἀντιόχȣ τȣ̃ θείȣ τῆς βασιλείας ἐστερημένος, ὡς τὸν τȣ̃ Ἀντιόχȣ θάνατον ἔγνω, ᾔτει μὲν τὴν πατρῴαν ἀρχήν· οἱ δὲ ȣ̓́τε ταύτην αὐτῷ συνέπραξαν, ȣ̓́τ' ἀπάραι τῆς Ῥώμης ἐπέτρεψαν. καὶ ὃς καὶ δυσχεραίνων, ὅμως ἡσύχαζεν. ἐπεὶ δὲ τὰ κατὰ τὸν Λυσίαν ἐγένετο, ȣ̓κέτ' ἐμέλλησεν, ἀλλ' ἀπέδρα. καὶ ἐκ Λυκίας τῇ γερȣσίᾳ ἐπέστειλε, μὴ ἐπὶ τὸν ἀνεψιὸν τὸν Ἀντίοχον, ἀλλ' ἐπὶ τὸν Λυσίαν τὴν ὁρμὴν ἔχειν, ὥστε τῷ Ὀκταβίῳ τιμωρήσειν. ἐς Τρίπολιν δὲ τῆς Συρίας ἐπειχθεὶς, καὶ ταύτην προσαγαγόμενος, ὡς ὑπὸ Ῥωμαίων ἐπὶ τὴν βασιλείαν σταλεὶς (τὴν γὰρ ἀπόδρασιν αὐτȣ̃ ȣ̓δεὶς ἐνενόει) καὶ Ἀπαμείας κρατήσας, δύναμίν τε συναγαγὼν, ἐπὶ τὴν Ἀντιόχειαν ἤλασε, καὶ τό τε παιδίον, καὶ τὸν Λυσίαν φιλικῶς ἀπαντήσαντας αὐτῷ (δεδιό-

Demetrius, Seleuci filius, Romæ obses, profugit Roma & Antiochum puerum trucidat.

Digitized by Google

τες γὰρ τὰς Ῥωμαίας ὰκ ἀντῆραν) διέφθειρε, καὶ τὴν βασιλείαν ἀνεκομίσατο, κᾂν τῇ Ῥώμῃ ϛέφανον, καὶ τὰς τῦ Ὀκταβία αὐθέντας ἀπέϛειλεν· οἱ δὲ χαλεπαίνοντες αὐτῷ, ὰδέτερον ἐδέξαντο. μετὰ ταῦτα δ᾽ ἐπὶ Δαλμάτας οἱ Ῥωμαῖοι ἐϛράτευσαν· τὸ δ᾽ ἔθνος τῦτο ἐϛὶ μὲν Ἰλλυριῶν τῶν παρὰ τὸν Ἰόνιον κόλπον, ὧν τινας Ταυλαντίας ὠνόμαζον Ἕλληνες. ἔχονται δὲ τῦ Δυῤῥαχία ἐν μέρει· αἴτιον δὲ τῦ πολέμα, ὅτι τινὰς τῶν προσχώρων αὐτοῖς ἐν φιλίᾳ τοῖς Ῥωμαίοις ὄντας, ἠδίκαν. συμπρεσβευσαμένοις τε ὑπὲρ αὐτῶν τοῖς Ῥωμαίοις, ὰδὲν μέτριον ἀπεκρίναντο, ἀλλὰ καὶ τὰς τῶν ἄλλων πρέσβεις συλλαβόντες ἀπέκτειναν. τάτας ὁ Σκιπίων ὁ Νασικᾶς ὑπέταξεν, ἐπ᾽ αὐτὰς ϛρατεύσας. τάς τε γὰρ πόλεις αὐτῶν εἷλε καὶ τὰς αἰχμαλώτας ἐπίπρασκε.

Romani Dalmatis bellum inferunt, eosque Scipio Nasica domat.

---

c) A bello Punico tertio usque ad bella civilia.

Ἐντεῦθεν αὖθις ὁ πρὸς τὰς Καρχηδονίας τὸ τρίτον ἀνεῤῥιπίζετο πόλεμος. Ἑλὼν δὲ τὴν Καρχηδόνα ὁ Σκιπίων ἄρδην αὐτὴν ἀνέτρεψε· καὶ ἐπάρατον ἐψηφίσθη τὸ ἐπ᾽ αὐτὴν κατοικῆσαί τινα, καὶ τῶν ἀνδρων.

Bellum Punicum tertium, A.U. 604-608. ante Chr. 150-146. (v. Tom. II. p. 237.)

Κατὰ δὲ τὸν αὐτὸν χρόνον τὴν Μακεδονίαν Ἀνδρίσκος τις ἐξ Ἀδραμυττία φὺς, τῷ Περσεῖ δ᾽ ἐμφερὴς τὸ εἶδος γενόμενος, καὶ παῖς εἶναι ἐκείνα πλαττόμενος, καὶ Φίλιππον ἑαυτὸν ὀνομάζων, ἐπὶ πλεῖϛον ἀπέϛησε. τὸ μὲν γὰρ πρῶτον ἐς τὴν Μακεδονίαν ἐλθὼν, ταράττειν αὐτὴν ἐπειρᾶτο· ὡς δὲ ὰδεὶς προσεῖχεν αὐτῷ, πρὸς τὸν Δημήτριον ἐς τὴν Συρίαν ἐτράπετο, ὡς ἐξ ἐκείνα διὰ τὸ γένος, βοηθείας τευξόμενος· συλληφθεὶς δὲ παρ᾽ ἐκείνα, καὶ ἐς τὴν Ῥώμην πεμφθεὶς, ὅτι τε μὴ ἐὸν τῦ Περσέως υἱὸς ἠλέγχθη, καὶ ὅτι ὰδέτι ἕτερον εἶχεν ἄξιον λόγα, κατεφρονήθη. καὶ ἀφεθεὶς, χεῖρά τε συνήγαγεν ἀνθρώπων νεωτεροποιῶν, καὶ πόλεις πολλὰς ἐπηγάγετο. καὶ τέλος βασιλικὴν ϛολὴν περιθέμενος, καὶ δύναμιν συγκροτήσας, ἐς Θρᾴκην ἀφίκετο. καὶ συχνὰς μὲν τῶν αὐτονόμων, συχνὰς δὲ καὶ τῶν δυναϛῶν τοῖς Ῥωμαίοις ἀχθομένας παραλαβὼν, ἐς Μακεδονίαν ἐνέβαλε, καὶ αὐτὴν κατέσχε. καὶ ἐπὶ

cap. 28. Andriscus & Alexander, qui se Persei filios fingebant, res Macedonicas turbant. Andriscus, a Demetrio comprehensus Romam mittitur; ibi vero per contemtum dimittitur. Assumto regio habitu, cum magno exercitu pluribusque sociis invadit Macedoniam.

Digitized by Google

ἐπὶ τὴν Θεσσαλίαν ὁρμήσας, ἐκ ὀλίγα ταύτης προσεποιήσατο. οἱ δὲ Ῥωμαῖοι κατεφρόνεν μὲν πρότερον τῦ Ἀνδρίσκυ. εἶτα τὸν Σκιπίωνα τὸν Νασικᾶν ἔπεμψαν, εἰρηνικῶς πως τὰ ἐκεῖ διοικήσοντα. ὃς εἰς τὴν Ἑλλάδα ἐλθὼν, καὶ μαθὼν τὰ γενόμενα, τοῖς μὲν Ῥωμαίοις δηλῶν ταῦτα ἐπέστειλε· δύναμιν δὲ παρὰ τῶν ἐκεῖ συμμάχων ἀθροίσας, ἔργυ εἴχετο, καὶ προῆλθε μέχρι Μακεδονίας.

P. Nasica contra Andriscum mittitur;

Οἱ δὲ ἐν τῇ Ῥώμῃ γνόντες τὰ κατὰ τὸν Ἀνδρίσκον, στράτευμα ἔπεμψαν, καὶ στρατηγὸν Πέπλιον Ἰυβέντιον. ᾧ περὶ Μακεδονίαν γενομένῳ συμβαλὼν ὁ Ἀνδρίσκος, ἐκεῖνον μὲν ἀπέκτεινε, καὶ τὰς ἄλλυς πάντας ἂν κατειργάσατο, εἰ μὴ τῆς νυκτὸς ἀπεχώρησαν. καὶ εἰς τὴν Θεσσαλίαν μετὰ ταῦτα εἰσέβαλε, καὶ πλεῖστα αὐτῆς ἐκάκωσε, καὶ τὰ τῶν Θρᾳκῶν προσηταιρίζετο. πάλιν ὖν διὰ ταῦτα οἱ ἐν τῇ Ῥώμῃ Κύϊντον Καικίλιον Μέτελλον στρατηγὸν σὺν δυνάμει πολλῇ ἔστειλαν· καὶ ὃς εἰς τὴν Μακεδονίαν ἦλθε, καὶ ὁ Ἄτταλος προσήμυνε ναυτικῷ. διὸ δείσας ὁ Ἀνδρίσκος περὶ τῶν παραθαλασσίων, ὐκ ἐτόλμησε περαιτέρω προελθεῖν· ὀλίγον δὲ τῆς Πύδνης ἔξω προχωρήσας, ἱπποµαχίᾳ μὲν ὑπερέσχε. φοβηθεὶς δὲ τὸ πεζὸν, ἀνέστρεψε, καὶ ἐπαρθεὶς, διχῇ τὸν στρατὸν διεῖλε, καὶ τοῖς μὲν αὐτὸς κατὰ χώραν προσήδρευε, τὰς δὲ πορθῆσαι τὴν Θεσσαλίαν ἀπέστειλε. καταφρονήσας ὖν ὁ Μέτελλος τῶν παρόντων, συνέμιξε· καὶ τῶν πρῶτον αὐτῷ εἰς χεῖρας ἐλθόντων περιγενόμενος, ῥᾷον καὶ τὰς λοιπὰς παρεστήσατο. ἑτοίμως γὰρ, ὡς ἐξήμαρτον αὐτῷ, ὡμολόγησαν. ὁ δὲ Ἀνδρίσκος εἰς τὴν Θρᾴκην ἀπέδρα, καὶ δύναμιν ἀθροίσας, συνέλαβε τῷ Μετέλλῳ προϊόντι, ὖ προεχώρει· καὶ τῶν προμάχων αὐτῦ τραπέντων, τό τε συμμαχικὸν αὐτῦ ἐσκεδάσθη, καὶ αὐτὸς ὑπὸ Βύζυ Θρᾳκὸς δυναστῦ προδοθεὶς, ἐδικαιώθη. καὶ Ἀλέξανδρος δέ τις, Περσέως καὶ αὐτὸς λέγων εἶναι υἱὸς, καὶ χεῖρα συναγαγὼν, κατέλαβε τὴν περὶ τὸν Μέστον καλύμενον ποταμὸν, χώραν. ὃν ὁ Μέτελλος ἐπεδίωξεν, ὑποφυγόντα μέχρι τῆς Δαρδανίας.

præterea P. Juventius,

&Q. Metellus, quem Attalus juvat.

Andriscus, primum, equestri prœlio victor,

postea a Metello vincitur,

a Byzo, dynasta, proditur & Metello pœnas dat, ante Chr. 148.

Alexandrum Metellus usque ad Dardaniam persequitur.

Τότε δὲ καὶ ἡ Κόρινθος κατεσκάφη. ἐπεὶ γὰρ τῶν Ἑλλήνων οἱ κορυφαιότατοι ὑπὸ τῦ Παύλυ Αἰμιλίυ μετῳκίσθησαν εἰς τὴν Ἰταλίαν, οἱ λοιποὶ τὸ μὲν πρῶτον πρεσβείαις τὰς ἄνδρας ἀπῄτυν. ὡς δ᾽ ὐκ ἔτυχον, καί τινες

cap. 31. Fœdus Achaicum solvitur. Achæorum principes Romam transferuntur,

Digitized by Google

ex quibus, qui in patriam redeundi veniam acceperunt, bellum concitant contra Lacedæmonios, tanquam sui exsilii auctores.

νες ἐκείνων τὴν οἴκαδε ἀπογνόντες ἐπάνοδον, ἑαυτοὺς διαχρήσαντο, χαλεπῶς διέκειντο καὶ πένθος δημόσιον ἐποιήσαντο, τοῖς τε τὰ Ῥωμαίων φρονοῦσι, παρὰ σφίσιν ὠργίζοντο, οὐ μέν τοι καὶ πολέμιόν τι ἐπεδείξαντο, μέχρις οὗ τοὺς περιλιπεῖς τῶν ἀνδρῶν ἐκείνων ἐκομίσαντο. τότε δὲ διενεχθέντες ἀλλήλοις, οἱ τ' ἠδικημένοι, καὶ οἱ τὰ ἀλλότρια ἔχοντες, ἐπολέμησαν. ἤρξαντο δὲ τῆς διαφορᾶς οἱ Ἀχαιοὶ τοῖς Λακεδαιμονίοις ἐγκαλοῦντες ὡς αἰτίοις τῶν συμβεβηκότων αὐτοῖς. καὶ τῶν Ῥωμαίων διαλλακτὰς αὐτοῖς στειλάντων, οὐκ ἐπείσθησαν, ἀλλὰ πρὸς πόλεμον ὥρμησαν, Κριτόλαον προστησάμενοι.

Metellus Critolaum profligat.

δείσας οὖν ὁ Μέτελλος, μὴ καὶ τῆς Μακεδονίας ἅψωνται (ἤδη γὰρ εἰς τὴν Θεσσαλίαν παρῆλθον) προαπήντησεν αὐτοῖς καὶ ἐτρέψατο. καὶ τοῦ Κριτολάου πεσόντος, διχῇ διῄρητο τὸ Ἑλληνικόν. οἱ μὲν γὰρ πρὸς εἰρήνην ἀπέκλιναν καὶ τὰ ὅπλα κατέθεντο. οἱ δὲ καὶ ἔτι ἐστασίαζον, τῷ Διαίῳ τὰ πράγματα ἐπιτρέψαντες. ἃ μαθόντες οἱ ἐν τῇ Ῥώμῃ,

Mummius Metello successor datur, (v. Tom. II. p. 763-767.) qui victis Achæis & reliquis Græcis Corinthum evertit ejusque incolas sub Corona vendit, A. U. 608. ante Chr. 146.

ἐπ' αὐτοὺς τὸν Μόμμιον ἔπεμψαν, ὃς τοὺς μὲν Ἀχαιοὺς καὶ τοὺς ἄλλους Ἕλληνας ἀπόνως προσεποιήσατο. καὶ τότε μὲν τὰ ὅπλα αὐτῶν καὶ ὅσα πρὸς τοῖς ἱεροῖς ἀνέκειντο καὶ τοὺς ἀνδριάντας, τάς τε γραφάς, καὶ εἴ τι ἄλλο πρὸς κόσμον εἶχον, παρείλετο, πεμφθέντων δὲ οἱ τοῦ τε πατρός, καὶ ἄλλων ἐπὶ καταστάσει τῶν ἁλόντων, τείχη τέ τινων περιεῖλε, καὶ ἐλευθέρους πάντας καὶ αὐτονόμους, πλὴν τῶν Κορινθίων ἀφῆκε. τῆς δὲ Κορίνθου τούς τε οἰκήτορας ἀπέδοτο, καὶ τὴν χώραν ἐδημοσίωσε, τά τε τείχη καὶ τὰ ἄλλα οἰκοδομήματα πάντα κατέσκαψε, φοβηθείς, μὴ καὶ αὖθις τινες πρὸς αὐτήν, οἷα μεγίστην, συστῶσιν. ἵνα δὲ μή τε τις ἐκείνων λάθῃ, μή τε τῶν λοιπῶν τις Ἑλλήνων πραθῇ ὡς Κορίνθιος, συνεκάλεσε, πρὶν ἐκφῆναι τὸ ποιητέον, πάντας τοὺς παρόντας, καὶ αὐτοὺς ἀφανῶς πως τοῖς στρατιώταις ἐγκυκλωσάμενος, ἐκήρυξε τήν τε τῶν ἄλλων ἐλευθερίαν καὶ τὴν τῶν Κορινθίων δούλωσιν. ἔπειτα προσέταξε πᾶσι τῶν παρεστηκότων σφίσι λαβέσθαι, καὶ οὕτω σαφῆ τὴν διάκρισιν αὐτῶν ἐποιήσατο.

Reliqua Græcia cædibus & pecuniæ exactionibus vexatur.

καὶ ἡ μὲν Κόρινθος οὕτως ἀνάστατος γέγονε, τὸ δ' ἄλλο Ἑλληνικόν, παραχρῆμα μέν, καὶ σφαγαῖς καὶ χρημάτων ἐκλογαῖς ἐκακώθη. ἔπειτα ἔν τε ἀδείᾳ καὶ εὐδαιμονίᾳ

τοσαύ-

Digitized by Google

τοσαύτη ἐγένετο, ὥςε λέγειν, ὅτι, ἐι μὴ θᾶττον ἑαλώκεισαν, ἐκ ἂν ἐσέσωντο. ἥ μὲν ἂν Καρχηδὼν, ἥ τε Κόρινθος, αἱ ἀρχαῖαι ἐκεῖναι τῦτο τέλος ἔσχον ἅμα. χρόνῳ δὲ πολλῷ ὕςερον, ἀποικίαν Ῥωμαίων λαβῦσαι, ἤνθησαν αὖθις, καὶ ἐις τὴν παλαιὰν ἐπανῆλθον κατάςασιν.

Sequiore tempore Carthago & Corinthus coloniis denuo efflorescunt.

Ἔτεσι δὲ ἐ πολλοῖς πρὸ τῦτυ πόλεμος ἠγέρθη περὶ Ἰβερίαν χαλεπὸς ἐκ τοιᾶσδε προφάσεως· Σεγήδη πόλις ἐςὶ Κελτιβήρων τῶν Βελλῶν λεγομένων μεγάλη τε καὶ δυνατὴ, καὶ ἐς τὰς Σεμπρωνίυ Γράκχυ συνθήκας ἐνεγέγραπτο. ἄυτη τὰς βραχυτέρας πόλεις ἀνῴκιζεν ἐς αὑτὴν, καὶ τεῖχος ἐς τεσσαράκοντα ςαδίυς κύκλῳ περιεβάλλετο· Τιτθὺς τε ὅμορον γένος ἄλλο συνηνάγκαζεν ἐς ταῦτα. ἡ δὲ σύγκλητος πυθομένη, τό τε τεῖχος ἀπηγόρευε τειχίζειν, καὶ φόρυς ᾔτει τὺς ὁρισθέντας ἐπὶ Γράκχυ, ςρατέυεσθαί τε Ῥωμαίοις προσέτασσε· καὶ γὰρ τῦθ' αἱ Γράκχυ συνθῆκαι ἐκέλευον. ὁι δὲ περὶ μὲν τῦ τείχυς ἔλεγον, ἀπηγορεῦσθαι Κελτίβηρσιν ὑπὸ Γράκχυ, μὴ κτίζειν πόλεις, ἐ, τειχίζειν τὰς ὑπαρχύσας· τῶν δὲ φόρων καὶ τῆς ξεναγίας ὑπ' αὐτῶν ἔφασαν Ῥωμαίων ἀφεῖσθαι μετὰ Γράκχον. καὶ τῷ ὄντι ἦσαν ἀφειμένοι. δίδωσι δ' ἡ βυλὴ τὰς τοιάσδε δωρεὰς, ἀεὶ προστιθεῖσα, κυρίας ἔσεσθαι μέχρι ἂν αὐτῇ καὶ τῷ δήμῳ δοκῇ.

Appianus, de rebus Hisp. Lib. VI. c. 44. Bellum cum Celtiberiis, A. U. 600. ante Chr. 154.

Στρατηγὸς ἔν ἐπ' αὐτὺς Νωβελίων ἐπέμπετο, τῦ δ' ἐπιόντος ἔτυς Κλαύδιος Μάρκελλος. καὶ μετ' αὐτὸν ἐςρατήγει Λικίνιος Λεύκελλος, ὕπατος, πρεσβευτῇ χρώμενος Κορνηλίῳ Σκιπίωνι, τῷ Καρχηδόνα μετ' ὀ πολὺ ἑλόντι, καὶ Νομαντίαν ὕςερον.

cap. 45. A. U. 601-603. ante Chr. 153-151. Romanorum duces, qui?

Τῦ δ' αὐτῦ χρόνυ μέρος ἄλλο Ἰβήρων αὐτονόμων, ὁι Λυσιτανοὶ καλῦνται, Πυνίκυ σφῶν ἡγυμένυ, τὰ Ῥωμαίων ὑπήκοα ἐλῄζοντο, καὶ τὺς ςρατηγῦντας αὐτῶν, Μανίλιόν τε, καὶ Καλπύρνιον Πείσωνα, τρεψάμενοι κτείνυσιν ἑξακισχιλίυς, καὶ ἐπ' αὐτοῖς Τερέντιον Οὐάῤῥωνα ταμίαν. ὅις ἐπαρθεὶς ὁ Πύνικος τὰ μέχρι Ὠκεανῦ κατέδραμεν· καὶ Οὐέττωνας ἐς τὴν ςρατιὰν προσλαβὼν, ἐπολιόρκει Ῥωμαίων ὑπηκόυς τὺς λεγομένυς Βλαςοφοίνικας· ὅις φασιν Ἀννίβαν τὸν Καρχηδόνιον ἐποικίσαι τινὰς ἐκ Λιβύης, καὶ παρὰ τῦτο κληθῆναι Βλαςοφοίνικας. Πύνικος μὲν ἔν λίθῳ πληγεὶς ἐς τὴν κεφαλὴν, ἀπέθανεν.

cap. 56. Lusitani duce primum Punico deinde Cæsara socios Romanorum adoriuntur, A. U. 599. ante Chr. 155.

διω-

διαδέχεται δ' αὐτὸν ἀνὴρ ᾧ ὄνομα ἦν Καίσαρας. οὗτος ὁ Καίσαρας Μουμμίῳ, μετὰ στρατιᾶς ἄλλης ἐπελθόντι ἀπὸ Ῥώμης, ἐς μάχην συνηνέχθη· καὶ ἡττώμενος, ἔφυγε. Μουμμίου δ' αὐτὸν ἀτάκτως διώκοντος, ἐπιστραφεὶς, ἔκτεινεν ἐς ἐνακισχιλίους, καὶ τήν τε λείαν τὴν ἡρπασμένην καὶ τὸ οἰκεῖον στρατόπεδον ἀνεσώσατο, καὶ τὸ Ῥωμαίων προσέλαβέ τε, καὶ διήρπασεν ὅπλα καὶ σημεῖα πολλά· ἅπερ οἱ βάρβαροι κατὰ τὴν Κελτιβηρίαν ὅλην περιφέροντες, ἐπετώθαζον.

Mummius a Cæsara fugatur.

Ἐκδέχεται δ' αὐτὸν Μάρκος Ἀτίλιος· ὃς Λυσιτανῶν μὲν ἐς ἑπτακοσίους ἐπιδραμὼν ἀπέκτεινε, καὶ τὴν μεγίστην πόλιν ἐξεῖλεν, ᾗ ὄνομα Ὀξθράκαι· καὶ δ' ἐγγὺς καταπληξάμενος, ἅπαντα ἐπὶ συνθήκαις παρέλαβε. καὶ τούτων ἦν ἔνια τοῦ Οὐεττώνων ἔθνους, ὁμόρου τοῖς Λυσιτανοῖς. ὡς δ' ἀνεζεύγνυε χειμάσων ὁ Ἀτίλιος, αὐτίκα πάντες μετετίθεντο, καί τινας Ῥωμαίοις ὑπηκόους ἐπολιόρκουν· οὓς ἐπειγόμενος ἐξελεῖν τῆς πολιορκίας Σερούϊος Γάλβας, ὁ Ἀτιλίου διάδοχος, ἡμέρᾳ μιᾷ καὶ νυκτὶ πεντακοσίους σταδίους διελθὼν, ἐπιφαίνεται τοῖς Λυσιτανοῖς, καὶ εὐθὺς ἐς μάχην ἐξέτασσε, κατάκοπον τὸν στρατὸν ἔχων. τρεψάμενος δ' εὐτυχῶς τοὺς πολεμίους, ἐπέκειτο φεύγουσιν ἀπειροπολέμως. ὅθεν ἀσθενοῦς αὐτῷ καὶ ἀσυντάκτου τῆς διώξεως οὔσης διὰ κόπον, οἱ βάρβαροι κατιδόντες αὐτοὺς διεσπασμένους τε καὶ ἀναπαυομένους, κατὰ μέρη συνελθόντες ἐπέθεντο, καὶ κτείνουσιν ἐς ἑπτακισχιλίους. ὁ δὲ Γάλβας μετὰ τῶν ἀμφ' αὐτὸν ἱππέων κατέφυγεν ἐς Καρμένην πόλιν· ἔνθα τοὺς διαφυγόντας ἀνελάμβανε, καὶ συμμάχους ἀθροίσας ἐς δισμυρίους, διῆλθεν ἐς Κονέους· καὶ παρεχείμαζεν ἐν Κονιστόργει.

cap. 58. M. Atilius Lusitanos multos in deditionem venire cogit, qui tamen, illo in hiberna profecto, denuo deficiunt, A. U. 602. ante Chr. 152. ejusque successori, Servio Galbæ cladem inferunt, A. U. 603. ante Chr. 151.

Λεύκολλος δὲ, ἐν Τυρδιτανίᾳ τότε χειμάζων, ᾔσθετο Λυσιτανῶν ἐς τὰ πλησίον ἐμβαλόντων. καὶ περιπέμψας τοὺς ἀρίστους τῶν ἡγεμόνων, ἔκτεινε τῶν Λυσιτανῶν ἐς τετρακισχιλίους. περί τε Γάδειρα τὸν πορθμὸν ἑτέρων περώντων, ἔκτεινεν ἐς χιλίους καὶ πεντακοσίους· καὶ τοὺς λοιποὺς, συμφυγόντας ἔς τινα λόφον, ἀπετάφρευσε, πλῆθός τε ἔλαβεν ἀνδρῶν ἄπειρον. καὶ τὴν Λυσιτανίαν ἐπιὼν κατὰ μέρος ἐπόρθει. ἐπόρθει δὲ καὶ ὁ Γάλβας ἐπὶ θάτερα. καί τινων πρεσβευομένων ἐς αὐτὸν, καὶ θελόντων

cap. 59. Lucullus Lusitaniam ingreditur, A. U. 604. ante Chr. 150. eamque depopulatur; idem ex altera parte facit Galba.

των βεβαιῶν καὶ ὅσα Ἀτιλίῳ τῷ πρὸ αὐτῦ ςρατηγῷ συνθέμενοι παρεβεβήκεσαν, ἐδέχετο, καὶ ἐσπένδετο· καὶ ὑπεκρίνετο αὐτοῖς καὶ συνάχθεσθαι, ὡς δι' ἀπορίαν λῃςεύουσί τε καὶ πολεμῦσι καὶ παρεσπονδηκόσι. τὸ γὰρ λυπρόγαιον, ἔφη, καὶ πενιχρὸν ὑμᾶς ἐς ταῦτα ἀναγκάζει. δώσω δ' ἐγὼ πενομένοις φίλοις γῆν ἀγαθὴν, καὶ ἐν ἀφθόνοις συνοικιῶ, διελὼν ἐς τρία.

Legati igitur Lusitanorum foederis causa ad Galbam mittuntur.

Οἱ μὲν δὴ, τάδε προσδοκῶντες, ἀπὸ τῶν ἰδίων ἀνίςαντο, καὶ συνῄεσαν, ᾗ προσέτασσεν ὁ Γάλβας. ὁ δὲ αὐτὺς ἐς τρία διῄρει. καὶ πεδίον ἑκάςοις τι ὑποδείξας, ἐκέλευεν ἐν τῷ πεδίῳ περιμένειν, μέχρι πολίσειεν αὐτὺς ἐπελθών. ὡς δ' ἧκεν ἐπὶ τὺς πρώτυς, ἐκέλευεν, ὡς φίλυς, θέσθαι τὰ ὅπλα· θεμένυς δ' ἀπετάφρευέ τε, καὶ μετὰ ξιφῶν τινας ἐσπέμψας, ἀνεῖλεν ἅπαντας, ὀδυρομένυς τε καὶ θεῶν ὀνόματα καὶ πίςεις ἀνακαλῦντας. τῷ δ' αὐτῷ τρόπῳ καὶ τὺς δευτέρυς καὶ τρίτυς ἐπειχθεὶς ἀνεῖλεν, ἀγνοῦντας ἔτι τὰ πάθη τὰ τῶν προτέρων· ἀπιςίᾳ μὲν ἄρα ἀπιςίαν μετιὼν, ὐκ ἀξίως δὲ Ῥωμαίων μιμύμενος βαρβάρυς. ὀλίγοι δ' αὐτῶν διέφυγον· ὧν ἦν Οὐρίατθος, ὃς μετ' ὐ πολὺ ἡγήσατο Λυσιτανῶν, καὶ ἔκτεινε πολλὺς Ῥωμαίων, καὶ ἔργα μέγιςα ἐπεδείξατο. ἀλλὰ τάδε μὲν, ὕςερον γενόμενα, ὕςερον λέξω. τότε δὲ ὁ Γάλβας, Λευκόλλυ φιλοχρηματώτερος ὢν, ὀλίγα μέν τινα τῆς λείας τῇ ςρατιᾷ διεδίδυ, καὶ ὀλίγα τοῖς φίλοις, τὰ λοιπὰ δὲ ἐσφετερίζετο, καίτοι πλυσιώτατος ὢν ὁμῦ τι Ῥωμαίων. ἀλλ' ὐδ' ἐν τῇ εἰρήνῃ, φασὶν, αὐτὸν διαλιπεῖν ψευδόμενόν τε καὶ ἐπιορκῦντα διὰ κέρδη. μισύμενος δὲ καὶ κατηγορύμενος, διέφευγε διὰ τὸν πλῦτον.

cap. 60. Galbae promissis allecti Lusitani frequentes conveniunt, sed Galbae perfidia trucidantur paucis exceptis, inter quos erat Viriathus, A. U. 604. ante Chr. 150.

Galbae avaritia.

Οὐ πολὺ δὲ ὕςερον, ὅσοι διέφευγον ἐκ τῆς Λευκόλλυ καὶ Γάλβα παρανομήσεως, ἀλισθέντες ἐς μυρίυς, τὴν Τυρδιτανίαν κατέτρεχον. καὶ αὐτοῖς ἀπὸ Ῥώμης ἐπελθὼν Γάϊος Οὐετίλιος, ἄγων τέ τινα ςρατὸν ἄλλον, καὶ τὺς ἐν Ἰβηρίᾳ προσλαβὼν, ἅπαντας ἔχων ἐς μυρίυς, ἐπέπεσε προνομεύυσι, καὶ πολλὺς ἀνελὼν, συνέωσε τὺς λοιπὺς ἔς τι χωρίον, ᾗ κινδυνεύειν τε μένοντας ἐχρῆν ὑπὸ λιμῦ, καὶ ἀπιόντας, ὑπὸ Ῥωμαίων. ὧδε γὰρ εἶχε δυσχωρίας. καὶ διὰ τῦτο πρέσβεις ἐς τὸν Οὐετίλιον ἔπεμπον σὺν ἱκετηρίαις, γῆν ἐς συνοικισμὸν αἰτῦντες, ὡς ἀπὸ τῦδε

cap. 61. Lusitani, Turdetaniam vastantes, a Vetilio in angustiam adducti, foedus cum Romanis fecissent, nisi

dissuasisset Viriathus, A. U. 606. ante Chr. 148.

τῆδε ἐσόμενοι Ῥωμαίων ἐς πάντα κατήκοοι. ὁ δὲ ὑπισχνεῖτο δώσειν, καὶ συνετίθετο ἤδη. Ὀυρίατθος δ', ὁ ἐκ τῆς Γάλβα παρανομίας ἐκφυγὼν, τότε συνὼν αὐτοῖς, ὑπεμίμνησκε τῆς Ῥωμαίων ἀπιστίας, ὁσάκις τε αὐτοῖς ὀμόσαντες ἐπιθοῖντο, καὶ ὡς ὅδε πᾶς ὁ στρατὸς ἐκ τοιῶνδε ἐπιορκιῶν Γάλβα καὶ Λευκόλλου διαφύγοιεν· οὐδ' ἀπορεῖν, ἔφη, σωτηρίας ἀπὸ τοῦδε τοῦ χωρίου, ἂν ἐθέλωσι πείθεσθαι.

cap. 62. Viriathus dux Lusitanorum eligitur.

Ἐρεθισθέντων δ' αὐτῶν, καὶ ἐν ἐλπίσι γενομένων, ᾑρέθη τε στρατηγὸς, καὶ πάντας ἐκτάξας ἐς μέτωπον ὡς ἐπὶ μάχῃ, τοὺς μὲν ἄλλους ἐκέλευσεν, ὅταν αὐτὸς ἐπιβῇ τοῦ ἵππου, διαιρεθέντας ἐς μέρη πολλὰ, φεύγειν, ὡς δύνανται, κατ' ἄλλας καὶ ἄλλας ὁδοὺς ἐς Τριβόλαν πόλιν· ἔνθα αὐτὸν περιμένειν. χιλίους δὲ μόνους ἐπιλεξάμενος, ἐκέλευσεν αὐτῷ συνίστασθαι. καὶ γιγνομένων τούτων, οἱ μὲν εὐθὺς ἔφυγον, ἐπειδὴ ὁ Ὀυρίατθος τὸν ἵππον ἀνέβη. ὁ δὲ Ὀυετίλιος αὐτοὺς δείσας διώκειν, ἐς πολλὰ διῃρημένους, ἐπὶ τὸν Ὀυρίατθον ἑστῶτα καὶ ἐφεδρεύοντα τῷ γενησομένῳ τραπεὶς, ἐμάχετο. ὁ δ' ὠκυτάτοις ἵπποις αὐτὸν ἐνοχλῶν, καὶ ὑποφεύγων, καὶ πάλιν ἱστάμενος, καὶ ἐπιὼν, ἐκείνην τε τὴν ἡμέραν ἐν τῷ αὐτῷ πεδίῳ, καὶ τὴν ἐπιοῦσαν ὅλην, διέτριψε περιθέων. ὡς δ' εἴκασεν, ἀσφαλῶς ἔχειν τῆς φυγῆς τοὺς ἑτέρους, τότε νυκτὸς ὁρμήσας δι' ὁδῶν ἀτρίβων, κουφοτάτοις ἵπποις ἀπέδραμεν ἐς Τριβόλαν, Ῥωμαίων αὐτὸν διώκειν ὁμοίως οὐ δυναμένων, διά τε βάρος ὅπλων καὶ ἀπειρίαν ὁδῶν, καὶ ἵππων ἀνομοιότητα. ὧδε μὲν ἐξ ἀέλπτου στρατὸν ἀπογιγνώσκοντα αὐτοῦ περιέσωσε· καὶ τὸ στρατήγημα τόδε, περιφερόμενον ἐς τοὺς τῇδε βαρβάρους, ἐξῆρεν αὐτόν· καὶ πολλοὶ πανταχόθεν αὐτῷ προσεχώρουν. ὁ δὲ ἐς τρία ἔτη Ῥωμαίοις (εὐτυχῶς) ἐπολέμει.

Is, cum mille selectis, qui cum eo in acie stabant, Romanos per totum diem retardat; ut reliqui possint se in Tribolam urbem recipere, ibique in exercitum coire: quo & ipse tandem noctu profectus, pervenit.

cap. 69. Bellum cum Viriatho pace componitur, A. U. 613. ante Chr. 141.

Τέλος δὲ, ἐς τὴν εὐτυχίαν οὐχ ὑβρίσας, ἀλλὰ, νομίσας ἐν τῷ καλῷ θήσεσθαι τὸν πόλεμον, ἐπὶ χάριτι λαμπρᾷ συνετίθετο Ῥωμαίοις, καὶ τὰς συνθήκας ὁ δῆμος ἐπεκύρωσεν· Ὀυρίατθον εἶναι Ῥωμαίων φίλον, καὶ τοὺς ὑπ' αὐτῷ πάντας, ἧς ἔχουσι, γῆς ἄρχειν. ὧδε μὲν ὁ Ὀυριάτθου πόλεμος ἐδόκει πεπαῦσθαι, χαλεπώτατός τε Ῥωμαίοις γενόμενος, καὶ ἐπὶ εὐεργεσίᾳ καταλυθείς.

Ὀ

Digitized by Google

Ου μὴν ἐπέμεινεν ἐδ' ἐς βραχὺ τὰ συγκείμενα. ὁ γὰρ ἀδελφὸς Σερϊλιανᾶ, τᾶ ταῦτα συνθεμένε, Καιπίων, διάδοχος ἀυτῷ τῆς ςρατηγίας γενόμενος, διέβαλλε τὰς συνθήκας, καὶ ἐπέςειλε Ῥωμαίοις ἀπρεπεςάτας ἔιναι. καὶ ἡ βελὴ τὸ μὲν πρῶτον ἀυτῷ συνεχώρει, κρύφα λυπεῖν τὸν Ὀυρίατθον, ὅ τι δοκιμάσειεν. ὡς δ' ἄυθις ἠνώχλει, καὶ συνεχῶς ἐπέςελλεν· ἔκρινε λῦσαί τε τὰς σπονδὰς, καὶ φανερῶς πολεμεῖν ἄυθις Ὀυριάτθῳ. ἐψηφισμένε δὴ σαφῶς, ὁ Καιπίων Ἀρσάν τε πόλιν ἐκλείποντος Ὀυριάτθε παρέλαβε, καὶ ἀυτὸν Ὀυρίατθον, φεύγοντά τε καὶ τὰ ἐν παρόδῳ φθείροντα, περὶ Καρπητανίαν κατέλαβε, πολὺ πλείονας ἔχων. ὅθεν ὁ Ὀυρίατθος ἐ δοκιμάζων ἀυτῷ συμπλέκεσθαι, διὰ τὴν ὀλιγότητα, κατὰ μέν τινα φάραγγα ἀφανῆ τὸ πλέον τᾶ ςρατᾶ περιέπεμψεν ἀπιέναι· τὸ δὲ λοιπὸν ἀυτὸς ἐκτάξας ἐπὶ λόφε, δόξαν παρεῖχε πολεμήσοντος. ὡς δ' ᾔσθετο τῶν προαπεςαλμένων ἐν ἀσφαλεῖ γεγονότων, ἐξίππευσεν ἐς ἀυτὲς μετὰ καταφρονήσεως, ὀξέως ἕτως, ὡς μηδ' ἀισθέσθαι τὲς διώκοντας, ὅποι διέδραμεν. ὁ δὲ Καιπίων ἐς Ὀυέττωνας καὶ Καλλαίκες τραπεὶς, τὰ ἐκείνων ἐδῄε.

cap. 70. A. U. 614. ante Chr. 140. Cæpio pacem & fidem Viriatho datam frangit; Viriathus urbem quidem Arsam deserere cogitur; stratagemate tamen se ex his tricis expedit.

Ὀυρίατθος δὲ Καιπίωνι περὶ συμβάσεων τὲς πιςοτάτες ἀυτῷ φίλες ἐπέπεμπεν, Ἄυδακα καὶ Διτάλκωνα καὶ Μίνερον· οἱ διαφθαρέντες ὑπὸ τᾶ Καιπίωνος δώροις τε μεγάλοις καὶ ὑποσχέσεσι πολλαῖς, ὑπέςησαν ἀυτῷ κτενεῖν τὸν Ὀυρίατθον. καὶ ἔκτειναν ὧδε· ὀλιγοϋπνότατος ἦν διὰ φροντίδα καὶ πόνες ὁ Ὀυρίατθος· καὶ τὰ πολλὰ ἔνοπλος ἀνεπαύετο, ἵνα ἐξεγρόμενος ἐυθὺς ἐς πάντα ἕτοιμος ἔιη. τοῖς ἕν φίλοις ἐξῆν καὶ νυκτερέυοντι ἐντυγχάνειν. ᾧ δὴ καὶ τότε ἔθει οἱ περὶ τὸν Ἄυδακα φυλάξαντες ἀυτὸν, ἀρχομένε ὕπνε παρῆλθον ἐς τὴν σκηνὴν, ὡς δή τινος ἐπείγοντος· καὶ κλείνεσιν ὡπλισμένον ἐς τὴν σφαγὴν· ἐ γὰρ ἦν ἄλλαθι. ἐδεμιᾶς δ' ἀισθήσεως γενομένης, διὰ τὴν τῆς πληγῆς ἐυκαιρίαν, διέδρασαν ἐς Καιπίωνα, καὶ τὰς δωρεὰς ᾔτεν. ὁ δ' ἀυτίκα μὲν ἀυτοῖς ἔδωκεν, ἀδεῶς ἔχειν, ὅσα ἔχεσι· περὶ δὲ ὧν ᾔτεν, ἐς Ῥώμην ἀυτὰς ἔπεμπεν. οἱ δὲ θεραπευτῆρες Ὀυριάτθε, καὶ ἡ ἄλλη ςρατιὰ, γενομένης ἡμέρας, ἀναπαύεσθαι νομίζοντες ἀυτὸν, ἐθαύμαζον διὰ τὴν ἀήθειαν· μέχρι τινὲς ἔμαθον,

cap. 74. Cæpio Viriathi amicos donis & promissis eo inducit, ut Viriathum interficerent, A. U. 614. ante Chr. 140.

ὅτι

ὅτι νεκρὸς κέοιτο ἔνοπλος. καὶ εὐθὺς ἦν οἰμωγή τε καὶ πένθος ἀνὰ τὸ στρατόπεδον, ἀλγούντων τε ἐπ' ἐκείνῳ, καὶ περὶ σφῶν δεδιότων, καὶ ἐνθυμουμένων, ἐν ὅιοις εἰσὶν κινδύνοις, καὶ ὅιου στρατηγοῦ στεροῦνται. μάλιστα δὲ αὐτοὺς, ὅτι τοὺς δράσαντας οὐχ εὕρισκον, ὑπερήλγυνεν.

cap. 75. Viriathi funus magnificum, ejusque laudes.

Ὀυρίατθον μὲν δὴ λαμπρότατα κοσμήσαντες, ἐπὶ ὑψηλοτάτης πυρᾶς ἔκαιον· ἱερεῖά τε πολλὰ ἐπέσφαττον αὐτῷ· καὶ κατὰ ἴλας ὅι τε πεζοὶ καὶ ὁι ἱππεῖς ἐν κύκλῳ περιθέοντες αὐτὸν ἔνοπλοι βαρβαρικῶς ἐπῄνουν· μέχρι τε σβεσθῆναι τὸ πῦρ, παρεκάθηντο πάντες ἀμφ' αὐτό. καὶ τῆς ταφῆς ἐκτελεσθείσης, ἀγῶνα μονομάχων ἀνδρῶν ἤγαγον ἐπὶ τοῦ τάφου. τοσοῦτον αὐτοῦ πόθον κατέλιπεν Ὀυρίατθος· ἀρχικώτατος μὲν, ὡς ἐν βαρβάροις, γενόμενος· φιλοκινδυνώτατος δ' ἐς ἅπαντα πρὸ ἁπάντων, καὶ ἰσομοιρότατος ἐν τοῖς κέρδεσιν. οὐ γάρ ποτε πλέον ὑπέστη λαβεῖν, αἰεὶ παρακαλούντων· ὃ δὲ καὶ λάβοι, τοῖς ἀριστεύσασιν ἐδίδου. ὅθεν αὐτῷ, δυσχερέστατον ἔργον καὶ οὐδενί πω στρατηγῶν εὐμαρῶς ἐγγενόμενον, ἔτεσιν ὀκτὼ τοῦδε τοῦ πολέμου, παμμιγὴς στρατὸς ἀστασίαστος ἦν, καὶ κατήκοος αἰεὶ, καὶ ἐς τοὺς κινδύνους ὀξύτατος. τότε δὲ σφῶν

Tantalus Viriatho quidem succedit; sed mox se & exercitum tanquam subditos Cæpioni tradit.

Τάνταλον ἑλόμενοι στρατηγεῖν, ἐπὶ Ζάκανθαν ἐφέροντο· ἣν Ἀννίβας καθελὼν, ἔκτισεν, καὶ ἀπὸ τῆς αὐτοῦ πατρίδος Καρχηδόνα προσεῖπεν. ἀποκρουσθεῖσι δ' αὐτοῖς ἐκεῖθεν, καὶ τὸν Βαῖτιν ποταμὸν περῶσιν, ὁ Καιπίων ἐπέκειτο· μέχρι κάμνων ὁ Τάνταλος, αὐτόν τε καὶ τὴν στρατιὰν τῷ Καιπίωνι παρέδωκεν, ὡς ὑπηκόοις χρῆσθαι. ὁ δὲ ὅπλα τε αὐτοὺς ἀφείλετο ἅπαντα, καὶ γῆν ἔδωκεν ἱκανὴν, ἵνα μὴ λῃστεύοιεν ἐξ ἀπορίας. ὁ μὲν δὴ Ὀυριάτθου πόλεμος ἐς τοῦτο ἐτελεύτα.

cap. 76. Vaccæorum & Numantinorum bellum inde ab U. C. 611. ante Chr. 143. Vaccæi domantur; at Numantini Romanos diu multumque fatigant.

Ἐπάνεισι δ' ἐς τὸν Ὀυακκαίων καὶ Νομαντίνων πόλεμον ἡ γραφή· οὓς Ὀυρίατθος μὲν ἠρέθισεν ἐς ἀπόστασιν. Καικίλιος δ' αὐτοῖς Μέτελλος ἀπὸ Ῥώμης ἐπιπεμφθεὶς μετὰ πλέονος στρατοῦ, Ὀυακκαίους μὲν ἐχειρώσατο, σὺν ἐκπλήξει καὶ τάχει θερίζουσιν ἐμπίπτων. Τερμαντία δ' αὐτῷ καὶ Νομαντία ἔτι ἔλειπον. ἦν δ' ἡ Νομαντία ποταμοῖς δύο καὶ φάραγξιν ἀπόκρημνος, ὕλαι τε αὐτῇ πυκναὶ περιέκειντο· καὶ μία κάθοδος ἦν ἐς τὸ πεδίον, ἣ τάφρων ἐπεπλήρωτο καὶ στηλῶν. αὐτοὶ δ' ἦσαν ἄριστοι

μὲν

μὲν ἱππεῖς τε καὶ πεζοὶ, πάντες δ᾽ ἀμφὶ τὰς ὀκτακισχιλίους. καὶ τοσοίδε ὄντες, ὅμως ὑπ᾽ ἀρετῆς ἐς μέγα ἠνώχλησαν τὰ Ῥωμαίων.

cap. 84. Cornelius Scipio, iterum Consul, contra Numantinos mittitur, A. U. 620. ante Chr. 134.

Ἐν δὲ Ῥώμῃ κάμνων ὁ δῆμος ἐπὶ τοῖς Νομαντίνοις, μακροῦ καὶ δυσχεροῦς τοῦ πολέμου παρὰ προσδοκίαν γεγονότος, ᾑροῦντο Κορνήλιον Σκιπίωνα, τὸν Καρχηδόνα ἑλόντα, αὖθις ὑπατεύειν, ὡς μόνον ἐπικρατῆσαι τῶν Νομαντίνων δυνάμενον. ὁ δὲ, καὶ τότε ἦν ἔτι νεώτερος τῆς νενομισμένης τοῖς ὑπατεύουσιν ἡλικίας. ἡ οὖν βουλὴ πάλιν, ὥσπερ ἐπὶ Καρχηδονίοις αὐτοῦ χειροτονουμένου Σκιπίωνος, ἐψηφίσατο, τοὺς δημάρχους λῦσαι τὸν περὶ τῆς ἡλικίας νόμον, καὶ τοῦ ἐπιόντος ἔτους θέσθαι. οὕτω μὲν ὁ Σκιπίων αὖθις ὑπατεύων, ἐς Νομαντίαν ἠπείγετο. στρατιὰν δ᾽ ἐκ καταλόγου μὲν οὐκ ἔλαβεν, πολλῶν τε πολέμων ὄντων, καὶ πολλῶν ἀνδρῶν ἐν Ἰβηρίᾳ· ἐθελοντὰς δέ τινας, ἔκ τε πόλεων καὶ βασιλέων ἐς χάριν ἰδίαν πεμφθέντας αὐτῷ, συγχωρούσης τῆς βουλῆς, ἐπηγάγετο· καὶ πελάτας ἐκ Ῥώμης καὶ φίλους πεντακοσίους, οὓς ἐς ἴλην καταλέξας, ἐκάλει φίλων ἴλην. πάντας δὲ, ἐς τετρακισχιλίους γενομένους, παραδοὺς ἄγειν ἀδελφιδῷ Βουτέωνι, σὺν ὀλίγοις αὐτὸς προεξώρμησεν ἐς Ἰβηρίαν ἐπὶ τὸ στρατόπεδον, πυνθανόμενος αὐτὸ γέμειν ἀργίας καὶ στάσεων καὶ τρυφῆς· εὖ εἰδὼς, ὅτι μὴ κρατήσει πολεμίων, πρὶν κατασχεῖν τῶν ἰδίων ἐγκρατῶς.

Quos belli comites sibi elegerit.

cap. 85. Scipio exercitum purgat, luxum militum comprimit,

Ἐλθὼν δὲ ἐμπόρους τε πάντας ἐξήλαυνε, καὶ ἑταίρας καὶ μάντεις καὶ θύτας, οἷς διὰ τὰς δυσπραξίας οἱ στρατιῶται περιδεεῖς γεγονότες, ἐχρῶντο συνεχῶς· ἔς τε τὸ μέλλον ἀπεῖπε μηδὲν ἐσφέρεσθαι τῶν περισσῶν, μηδὲ ἱερεῖον ἐς μαντείαν πεποιημένον. ἐκέλευσε δὲ καὶ τὰς ἁμάξας, καὶ τὰ περισσὰ τῶν ἐς αὐτὰς τιθεμένων, καὶ τὰ ὑποζύγια, χωρὶς ὧν αὐτὸς ὑπελείπετο, πραθῆναι. καὶ σκεῦος οὐκ ἐξῆς ἐς δίαιταν ἔχειν οὐδενὶ, πλὴν ὀβελοῦ καὶ χύτρας χαλκῆς καὶ ἐκπώματος ἑνός. τά τε σιτία αὐτοῖς ὥριστο, κρέα ζεστὰ καὶ ὀπτὰ εἶναι. κλίνας τε ἀπεῖπεν ἔχειν, καὶ πρῶτος ἐπὶ στιβάδων ἀνεπαύετο. ἀπεῖπεν δὲ καὶ ὁδεύοντας ἡμιόνοις ἐπικαθέζεσθαι. τί γὰρ ἐν πολέμῳ προσδοκᾷν, ἔφη, παρ᾽ ἀνδρὸς οὐδὲ βαδίζειν δυναμένου; κἀν τοῖς ἀλείμμασι καὶ λουτροῖς ἑαυτοὺς ἤλειφον, ἐπισκώπτοντος τοῦ

τῦ Σκιπίωνος, ὡς αἱ ἡμίονοι χεῖρας ἐκ ἔχεσαι, χρήζεσι τριβόντων, ἔτω μὲν αὐτὲς ἐς σωφροσύνην μετέβαλλεν ἀθρόως. ἐιθιζεν δὲ καὶ ἐς αἰδῶ καὶ φόβον, δυσπρόσιτος ὢν, καὶ δυσχερὴς ἐς τὰς χάριτας, καὶ μάλιςα τὰς παρανόμες. ἔλεγέν τε πολλάκις, τὲς μὲν αὐςηρὲς καὶ ἐννόμες τῶν ςρατηγῶν, τοῖς ὀικείοις· τὲς δὲ ἐυχερεῖς καὶ φιλοδώρες, τοῖς πολεμίοις ἐῖναι χρησίμες. τὰ γὰρ ςρατόπεδα τοῖς μὲν ἐῖναι κεχαρισμένα τε καὶ καταφρονητικά· τοῖς δὲ, σκυθρωπὰ μὲν, ἐυπειθῆ δὲ καὶ πᾶσιν ἕτοιμα.

cap. 86 & 90. & milites exercet.

Ου μὴν ἐδ᾽ ὡς ἐτόλμα πολεμεῖν, πρὶν αὐτὲς γυμνάσαι πόνοις πολλοῖς. Ὅτε δ᾽ ἐίκασεν, ὀξὺ καὶ ἐυπειθὲς αὐτῷ καὶ φερέπονον γεγονέναι τὸ ςράτευμα, μετέβαινεν ἀγχῦ τῶν Νομαντίνων. Μετ᾽ ὀ πολὺ δὲ ἀγχοτάτω τῆς Νομαντίας δύο ςρατόπεδα θέμενος, τῷ μὲν ἐπέςησε τὸν ἀδελφὸν Μάξιμον, τῦ δὲ αὐτὸς ἡγεῖτο. Νομαντίνων δὲ θαμινὰ ἐκτασσόντων, καὶ προκαλεμένων αὐτὸν ἐς μάχην, ὑπερεώρα· ὀ δοκιμάζων ἀνδράσιν ἐξ ἀπογνώσεως μαχομένοις συμπλέκεσθαι μᾶλλον, ἢ συγκλείσας αὐτὲς ἑλεῖν λιμῷ.

Castris prope Numantiam positis, urbem fame expugnare instituit, A. U. 621. ante Chr. 133.

Φρέρια δ᾽ ἑπτὰ περιθεὶς, πολιορκίαν . . . . . ἐπιγράψας ἑκάςοις, ὃς ἔδει πέμπειν. ὡς δὲ ἦλθον, ἐς μέρη πολλὰ διεῖλεν αὐτὲς, καὶ τὴν ἑαυτῦ ςρατιὰν ἐπιδιεῖλεν. ἐιθ᾽ ἡγεμόνας ἐπιςήσας ἑκάςῳ μέρει, προσέταξε περιταφρέυειν καὶ περιχαρακῦν τὴν πόλιν. Μετὰ δ᾽ ὀ πολὺ, πάντων αὐτὲς τῶν ἐδεςῶν ἐπιλιπόντων, ὀ καρπὸν ἔχοντες, ὀ πρόβατον, ὀ πόαν· πρῶτα μὲν, ὥσπερ τινὲς ἐν πολέμων ἀνάγκαις, δέρματα ἕψοντες ἐλιχμῶντο. ἐπιλιπόντων δ᾽ αὐτὲς καὶ τῶν δερμάτων, ἐσαρκοφάγεν ἕψοντες τὰ ἀνθρώπεια· πρῶτα μὲν τὰ τῶν ἀποθνησκόντων, κοπτόμενα ἐν μαγειρέιοις· ἐπὶ δ᾽ ἐκείνοις, τῶν νοσέντων κατεφρόνεν, καὶ τὲς ἀσθενεςέρες ἐβιάζοντο ὀι δυναςώτεροι. κακῶν τε ἐδὲν αὐτοῖς ἀπῆν, ἠγριωμένοις μὲν τὰς ψυχὰς ὑπὸ τῶν τροφῶν, τεθηριωμένοις δὲ τὰ σώματα ὑπὸ λιμῦ καὶ λοιμῦ, καὶ κόμης, καὶ χρόνε. ἔτω δ᾽ ἔχοντες, αὐτὲς ἐπέτρεπον τῷ Σκιπίωνι. ὁ δ᾽ ἐκέλευεν αὐτὲς, τῆς μὲν ἡμέρας ἐκείνης συνενεγκεῖν τὰ ὅπλα, ἔνθα συνέταξε· τῆς δ᾽ ἐπιέσης προσελθεῖν ἐς ἕτερον χωρίον. ὀι δ᾽ ὑπερεβάλοντο τὴν ἡμέραν, ὁμολογήσαντες, ὅτι πολλοὶ τῆς ἐλευθερίας ἔτι ἔχονται, καὶ ἐθέλεσιν αὐτὲς ἐξαγαγεῖν τῦ βίε. τὴν ἔν ἡμέραν ᾔτεν ἐς τῦ θανάτε τὴν διάθεσιν.

cap. 96. Fame coacti Scipioni se dedunt Numantini.

Τόσ-

Digitized by Google

cap. 97.

Τοσόσδε ἔρως ἐλευθερίας καὶ ἀνδραγαθίας ἦν ἐν πόλει βαρβάρῳ τε καὶ σμικρᾷ. ἐς γὰρ ὀκτακισχιλίες ἐπ' εἰρήνης γενόμενοι, οἷα μὲν καὶ ὅσα Ῥωμαίες ἔδρασαν; οἵας δὲ συνθήκας αὐτοῖς ἔθεντο ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ, ·ὐδέσι ταῦτα συνθέσθαι Ῥωμαίων ὑποσάντων; οἷον δ' ὄντα τὸν τελευταῖον στρατηγὸν, ἓξ μυριάσιν αὐτὲς περικαθήμενον, πρὐκαλέσαντο πολλάκις ἐς μάχην; ὁ δὲ ἦν ἄρα τι στρατηγικώτερος αὐτῶν, ἐς χεῖρας ὐκ ἰὼν θηρίοις, ἀλλὰ τῷ λιμῷ σφᾶς κατεργαζόμενος, ἀμάχῳ κακῷ· ᾧ δὴ καὶ μόνῳ ληφθῆναί τε δυνατὸν ἦν ἄρα Νομαντίνες, καὶ ἐλήφθησαν μόνῳ. ἐμοὶ μὲν δὴ ταῦτα περὶ Νομαντίνων εἰπεῖν ἐπῆλθεν, ἐς τὴν ὀλιγότητα αὐτῶν καὶ φερεπονίαν ἀφορῶντι, καὶ ἔργα πολλὰ, καὶ χρόνον ὅσον διεκαρτέρησαν. οἱ δὲ πρῶτα μὲν αὐτὲς, οἱ βελόμενοι, διεχρῶντο, ἕτερος ἑτέρως. οἱ λοιποὶ δ' ἐξῄεσαν τρίτης ἡμέρας ἐς τὸ δεδομένον χωρίον, δυσόρατοί τε καὶ ἀλλόκοτοι πάμπαν ὀφθῆναι· οἷς τὰ μὲν σώματα ἦν ἀκάθαρτα, καὶ τριχῶν καὶ ὀνύχων καὶ ῥύπε μεσά· ὀδώδεσαν δὲ χαλεπώτατον, καὶ ἐσθὴς αὐτοῖς ἐπέκειτο πιναρὰ καὶ ἥδε, καὶ ὐχ ἧσσον δυσώδης. ἐφαίνοντο δὲ τοῖς πολεμίοις, ἐλεεινοὶ μὲν ἀπὸ τῶνδε, φοβεροὶ δ' ἀπὸ τῶν βλεμμάτων· ἔτι γὰρ αὐτὲς ἐνεώρων ἔκ τε ὀργῆς καὶ λύπης καὶ πόνε καὶ συνειδότος ἀλληλοφαγίας.

Facta deditione diverso mortis genere multi sese peremerunt; reliqui sua macie cet. horrorem intuentibus injecerunt.

cap. 98.

Ἐπιλεξάμενος δ' αὐτῶν πεντήκοντα ὁ Σκιπίων ἐς θρίαμβον, τὲς λοιπὲς ἀπέδοτο, καὶ τὴν πόλιν κατέσκαψεν. δύο μὲν τάσδε πόλεις δυσμαχωτάτας ἑλὼν στρατηγὸς ὅδε Ῥωμαίων· Καρχηδόνα μὲν, αὐτῶν Ῥωμαίων ψηφισαμένων, διὰ μέγεθος πόλεως τε καὶ ἀρχῆς, καὶ εὐκαιρίαν γῆς καὶ θαλάσσης· Νομαντίαν δὲ, σμικράν τε καὶ ὀλιγάνθρωπον, ὔπω τι Ῥωμαίων περὶ αὐτῆς ἐγνωκότων, αὐτὸς, εἴτε συμφέρειν Ῥωμαίοις ἡγέμενος, εἴτε ἄκρος ὢν ὀργὴν καὶ φιλόνεικος ἐς τὰ λαμβανόμενα, εἴθ', ὡς ἔνιοι νομίζεσι, τὴν δόξαν ἡγέμενος διώνυμον ἐπὶ τοῖς μεγάλοις γίγνεσθαι κακοῖς. καλὲσι γὲν αὐτὸν οἱ Ῥωμαῖοι μέχρι νῦν, ἀπὸ τῶν συμφορῶν, ἃς ἐπέθηκεν ταῖς πόλεσιν, Ἀφρικανόν τε καὶ Νομαντῖνον. τότε δὲ τὴν γῆν τὴν Νομαντίνων τοῖς ἐγγὺς οἰκὲσι διελὼν, καὶ ταῖς ἄλλαις πόλεσι

Numantini, exceptis L, triumpho reservatis, sub corona venduntur; urbs solo æquatur.

Scipionis cognomina.

λεσι χρηματίσας, καὶ, ἔι τι ἦν ὕποπτον, ἐπιπλήξας τε καὶ ζημιώσας χρήμασιν, ἀπέπλευσεν ἐπ' ὄικε.

cap. 99. Decem senatores, Roma missi in Hispaniam ad res constituendas.

Ῥωμαῖοι δὲ, ὡς ἔθος, ἐς τὰ προσειλημμένα τῆς Ἰβηρίας ἔπεμψαν ἀπὸ τῆς βελῆς ἄνδρας δέκα, τὲς καταςησομένες αὐτὰ ἐις ἐιρήνην, ὅσα Σκιπίων τε ἔλαβε, καὶ Βρῦτος πρὸ τῦ Σκιπίωνος ὑπηγάγετο ἢ ἐχειρώσατο. Χρόνῳ δ' ὕςερον, ἀποςάσεων ἄλλων ἐν Ἰβηρίᾳ γενομένων, Καλπέρνιος Πείσων ςρατηγὸς ᾑρέθη. καὶ αὐτὸν διεδέξατο μὲν Σερῦιος Γάλβας.

Res in Hispania gestæ usque ad Q. Sertorii tempora.

Κίμβρων δ' ἐπιςρατευόντων τῇ Ἰταλίᾳ, καὶ Σικελίας πολεμεμένης τὸν δεύτερον δελικὸν πόλεμον, ςρατιὰν μὲν ἐς Ἰβηρίαν ἐκ ἔπεμπον, ὑπ' ἀσχολίας· πρέσβεις δὲ ἀπέςελλον, δι τὸν πόλεμον ἔμελλον, ὅπη δύναιντο, καταθήσεσθαι. Κίμβρων δὲ ἐξελαθέντων, Τίτος Δείδιος ἐπελθὼν, Ὀυακκαίων μὲν ἔκτεινεν ἐς δισμυρίες· Τερμησὸν δὲ, μεγάλην πόλιν, ἀιεὶ δυσπειθῆ Ῥωμαίοις γινομένην, ἐξ ἐρυμνῦ κατήγαγεν ἐς τὸ πεδίον, καὶ ἐκέλευσεν ὀικεῖν ἀτειχίςες. Κολένδαν δὲ προσκαθίσας, ἐνάτῳ μηνὶ παρέλαβεν, ἐγχειρίσασαν ἑαυτήν· καὶ τὲς Κολενδέας ἅπαντας μετὰ παίδων καὶ γυναικῶν ἀπέδοτο.

cap. 100.

Πόλιν δ' ἑτέραν, τῆς Κολένδης πλησίον, ᾤκεν μιγάδες Κελτιβήρων, ὃς Μάρκος Μάριος, συμμαχήσαντας αὐτῷ κατὰ Λυσιτανῶν, τῆς βελῆς ἐπιτρεπέσης, ᾠκίκει πρὸ πέντε ἐνιαυτῶν. ἐλῄςευον δ' ἐξ ἀπορίας ἅτοι· καὶ κρίνας ἀυτὲς ὁ Δείδιος ἀνελεῖν, συνθεμένων αὐτῷ τῶν δέκα πρέσβεων ἔτι παρόντων, ἔφη τοῖς ἐπιφανέσιν αὐτῶν, ἐθέλειν τὴν Κολενδέων χώραν αὐτοῖς προσορίσαι πενομένοις. ἀσπαζομένες δὲ ὁρῶν, ἐκέλευεν, τῷ δήμῳ ταῦτα μετενεγκόντας, ἥκειν μετὰ γυναικῶν καὶ παίδων, τὴν χώραν μεριεμένες. ἐπεὶ δ' ἀφίκοντο, προσέταξε τὲς ςρατιώτας ἐκ τῦ χάρακος ἐξελθεῖν, καὶ τὲς ἐνεδρευομένες ἔισω παρελθεῖν, ὡς ἀπογραψόμενος αὐτῶν ἔνδον τὸ πλῆθος· ἐν μέρει μὲν, ἀνδρῶν· ἐν μέρει δὲ, παίδων καὶ γυναικῶν· ἵνα ἐπιγνοίη, πόσην χώραν αὐτοῖς δέοι διελεῖν. ὡς δὲ παρῆλθον ἐς τὴν τάφρον καὶ τὸ χαράκωμα, περιςήσας αὐτοῖς τὸν ςρατὸν ὁ Δείδιος, ἔκτεινε πάντας. καὶ ἐπὶ τοῖσδε Δείδιος μὲν καὶ ἐθριάμβευσεν. Πάλιν δὲ των Κελτιβήρων ἀποςάντων, Φλάκκος ἐπιπεμφθεὶς ἔκτεινε δισμυ-

Digitized by Google

μυρίας. Ἐν δὲ Βελγήδῃ πόλει ὁ μὲν δῆμος ἐς ἀπόστασιν ὁρμῶν, τὴν βουλὴν ὀκνοῦσαν ἐνέπρησεν αὐτῷ βουλευτηρίῳ· ὁ δὲ Φλάκκος ἐπελθὼν, ἔκτεινε τοὺς αἰτίους.

Ἐπεὶ δὲ τοῦ Φιλοπάτορος Ἀττάλου τελευτήσαντος, Εὔδημος ὁ Περγαμηνὸς ἀνήνεγκε διαθήκην, ἐν ᾗ κληρονόμος ἐγέγραπτο τοῦ βασιλέως ὁ Ῥωμαίων δῆμος. (Μεγάλα μὲν οὖν Ἀττάλου χρήματα εἰς Ῥώμην ἐκομίσθη εἰς αὔξησιν τῆς τρυφῆς, ἤδη πρὸ τούτων μεγάλης, καὶ ἐκ τοῦ Μάρκου Κάτωνος βίου ἐγνωσμένης.) Αὐτὸς γὰρ τοὺς πλείστους ἠνίασε μάλιστα τῇ περικοπῇ τῆς πολυτελείας, ἣν ἄντικρυς μὲν ἀφελέσθαι νενοσηκότων ἤδη καὶ διεφθαρμένων ὑπ' αὐτῆς τῶν πολλῶν, ἀδύνατον ἦν, κύκλῳ δὲ περιϊὼν, ἠνάγκαζεν ἐσθῆτος, ὀχήματος, κόσμου γυναικείου, σκευῶν τῶν περὶ δίαιταν, ὧν ἑκάστου τὸ τίμημα δραχμὰς χιλίας καὶ πεντακοσίας ὑπερέβαλλεν, ὑποτιμᾶσθαι τὴν ἀξίαν εἰς τὸ δεκαπλάσιον, βουλόμενος ἀπὸ μειζόνων τιμημάτων αὐτοῖς μείζονας καὶ τὰς εἰσφορὰς εἶναι· καὶ προσετίμησε τρεῖς χαλκοῦς πρὸς τοῖς χιλίοις, ὅπως βαρυνόμενοι ταῖς ἐπιβολαῖς, καὶ τοὺς εὐσταλεῖς καὶ λιτοὺς ὁρῶντες ἀπὸ τῶν ἴσων ἐλάττονα τελοῦντας εἰς τὸ δημόσιον, ἀπαγορεύσωσιν. ἦσαν οὖν αὐτῷ χαλεποὶ μὲν, οἱ τὰς εἰσφορὰς διὰ τὴν τρυφὴν ὑπομένοντες, χαλεποὶ δ' αὖ πάλιν, οἱ τὴν τρυφὴν ἀποτιθέμενοι διὰ τὰς εἰσφοράς. (Κατά γε μὴν τοὺς καιροὺς τούτους χεῖρον ἦν τὸ Ῥωμαίων διὰ τὴν φιλαρχίαν, τήν τε περὶ τοὺς βίους ἀλαζονείαν καὶ πολυτελείαν.)

Attalus populum Rom. regni sui hæredem facit, A. U. 620. ante Chr. 134. *Plutarchus* in Gracchis. (v. Tom. I. p. 608.) Luxus populi Romani. *Ibidem* in Catone. Catonis lex, ex qua singulæ res luxus, quæ pluris quam XV millium æris essent, decuplo amplius æstimabantur, quam earum pretium ferebat, & aucto censu terni in millia æris asses imponebantur.

Turbæ.

ab A. U. 620—724. ante Chr. 134—30.

Ῥωμαίοις ὁ δῆμος καὶ ἡ βουλὴ πολλάκις ἐς ἀλλήλους περί τε νόμων θέσεως, καὶ χρεῶν ἀποκοπῆς, ἢ γῆς διαδατουμένης, ἢ ἐν ἀρχαιρεσίαις, ἐστασίασαν. οὐ μήν τι χειρῶν ἔργον ἔμφυλον ἦν, ἀλλὰ διαφοραὶ μόναι, καὶ ἔριδες ἔννομοι. καὶ τάδε μετὰ πολλῆς αἰδοῦς εἴκοντες ἀλλήλοις διετίθεντο. ὁ δὲ δῆμος, ποτὲ καὶ στρατευόμενος ἐς τοιάνδε ἔριν ἐμπεσὼν, οὐκ ἐχρήσατο τοῖς ὅπλοις παροῦσιν· ἀλλ' ἐς τὸ ὄρος ἐκδραμὼν, τὸ ἀπὸ τοῦδε κληζόμενον Ἱερὸν, οὐδὲν

Appianus de bellis civilibus. Lib. I. c. 1. Dissensiones populi Rom. olim civiliter compositæ.

ὐδὲν ὐδὲ τότε χειρῶν ἔργον, ἀλλ' ἀρχὴν ἑαυτῷ προστάτην, ἀπέφηνε, καὶ ἐκάλεσε δημαρχίαν· ἐς κώλυσιν μάλιςα τῶν ὑπάτων, ἀπὸ τῆς βυλῆς αἱρυμένων, μὴ ἐντελὲς αὐτοῖς ἐπὶ τῇ πολιτείᾳ τὸ κράτος εἶναι. ὅθεν δὴ καὶ μάλιςα δυσμενέςερον ἔτι καὶ φιλονεικότερον ἐς ἀλλήλυς αἱ ἀρχαὶ διετίθεντο ἀπὸ τῦδε, καὶ ἡ βυλὴ καὶ ὁ δῆμος ἐς αὐτὰς ἐμερίζετο, ὡς ἐν ταῖς τῶνδε πλεονεξίαις ἑκάτεροι τῶν ἑτέρων ἐπικρατῦντες. Μάρκιός τε ὁ Κοριολάνος ἐν ταῖσδε ταῖς ἔρισιν ἐξελαθεὶς παρὰ δίκην, ἐς Ὀυολύσκυς ἔφυγέ τε, καὶ πόλεμον ἐπήγαγε τῇ πατρίδι.

cap. 2. Tib. autem Sempr. Graccho leges ferente primæ cædes civiles editæ sunt.

Καὶ τῦτο μόνον ἄν τις εὕροι τῶν πάλαι ςάσεων ἔργον ἔνοπλον, καὶ τῦθ' ὑπ' αὐτομόλυ γενόμενον· ξίφος δὲ ὐδέν πω παρενεχθὲν ἐς ἐκκλησίαν, ὐδὲ φόνον ἔμφυλον· πρίν γε Τιβέριος Γράκχος δημαρχῶν, καὶ νόμυς ἐσφέρων, πρῶτος ὅδε ἐν ςάσει ἀπώλετο, καὶ ἐπ' αὐτῷ πολλοὶ κατὰ τὸ Καπιτώλιον εἰλύμενοι, περὶ τὸν νεὼν ἀνῃρέθησαν. καὶ ὐκ ἀνέσχον ἔτι αἱ ςάσεις ἐπὶ τῷδε τῷ μύσει, διαιρυμένων ἑκάςοτε σαφῶς ἐπ' ἀλλήλοις, καὶ ἐγχειρίδια πολλάκις φερόντων, κτιννυμένης τέ τινος ἀρχῆς ἐκ διαςήματος ἐν ἱεροῖς, ἢ ἐκκλησίαις, ἢ ἀγοραῖς, δημάρχων, ἢ ςρατηγῶν, ἢ ὑπάτων, ἢ τῶν ἐς ταῦτα παραγγελλόντων, ἢ τῶν ἄλλων ἐπιφανῶν. ὕβρις τε ἄκοσμος ἐπεῖχεν αἰεὶ δι' ὀλίγυ, καὶ νόμων καὶ δίκης αἰσχρὰ καταφρόνησις. προϊόντος δ' ἐς μέγα τῦ κακῦ, ἐπαναςάσεις ἐπὶ τὴν πολιτείαν φανεραὶ, καὶ ςρατεῖαι μεγάλαι καὶ βίαιοι κατὰ τῆς πατρίδος ἐγίγνοντο, φυγάδων ἀνδρῶν, ἢ καταδίκων, ἢ ἐπὶ ἀρχῆς τινος ἢ ςρατοπέδυ φιλονεικύντων ἐς ἀλλήλυς. δυναςεῖαί τε ἦσαν ἤδη κατὰ πολλὰ, καὶ ςασίαρχοι μοναρχικοί· οἱ μὲν, ὐ μεθιέντες ἔτι τὰ πιςευθέντα σφίσιν ὑπὸ τῦ δήμυ ςρατόπεδα· οἱ δὲ, καὶ κατὰ σφᾶς ἄνευ τῦ κοινῦ κατ' ἀλλήλων ξενολογῦντες. ὁπότεροι δ' αὐτῶν τὴν πόλιν προλάβοιεν' τοῖς ἑτέροις ἦν ὁ ἀγὼν, λόγῳ μὲν, ἐπὶ τὺς ἀντιςασιώτας, ἔργῳ δ', ἐπὶ τὴν πατρίδα. ἐσέβαλλον γὰρ ὡς ἐς πολεμίαν, καὶ σφαγαὶ τῶν ἐν ποσὶν ἐγίγνοντο νηλεεῖς, καὶ ἄλλων ἐπὶ θανάτῳ προγραφαὶ καὶ φυγαὶ καὶ δημεύσεις, ἐνίων δὲ καὶ βάσανοι πάμπαν ἐπαχθεῖς.

Successere conjurationes in rempubl. manifestæ.

cap. 3. Sylla primus monarcham

Ἔργον τε ὐδὲν ἀηδὲς ἀπῆν· μέχρι τῶνδε τῶν ςασιάρχων εἷς, ἔτει πεντηκοςῷ μάλιςα ἀπὸ Γράκχυ, Κορνήλιος

Digitized by Google

λως Σύλλας, κακῷ τὸ κακὸν ἰώμενος, μόναρχον αὐτὸν ἀπέφηνεν ἐπὶ πλεῖςον· ὃς δικτάτωρας ἐκάλεν τε, καὶ ἐπὶ ταῖς φοβερωτάταις χρείαις ἑξαμήνες τιθέμενοι, ἐκ πολλῦ διελελοίπεσαν. ὁ δὲ Σύλλας, βίᾳ μὲν καὶ ἀνάγκῃ, λόγῳ δ' αἱρετὸς, ἐς αἰεὶ δικτάτωρ γενόμενος, ὅμως ἐπεί τε ἐκορέσθη τῆς δυναςείας, πρῶτος ἀνδρῶν ὅδε μοι δοκεῖ θαῤῥῆσαι τυραννικὴν ἀρχὴν ἔχων ἀποθέσθαι· καὶ ἐπειπεῖν, ὅτι καὶ τοῖς μεμφομένοις εὐθύνας ὑφέξει· ἰδιώτης τε, ὁρώντων ἁπάντων, ἐς πολὺ βαδίσαι κατ' ἀγορὰν, καὶ ἐπανελθεῖν ἀπαθὴς οἴκαδε. τοσῦτον ἦν ἄρα τοῖς ὁρῶσιν ἔτι τῆς ἀρχῆς αὐτῦ δέος, ἢ τῆς ἀποθέσεως κατάπληξις, ἢ τῶν εὐθυνῶν τῆς ἐπαγγελίας αἰδὼς, ἢ ἄλλη φιλανθρωπία, καὶ λογισμὸς ἐπὶ συμφέροντι τὴν τυραννίδα γενέσθαι. ὧδε μὲν ἐπὶ βραχὺ ἔληξαν αἱ ςάσεις ἐπὶ Σύλλα· καὶ κακῶν ἀντίδοσις ἦν, ὧν ὁ Σύλλας εἰργάζετο.

se ad infinitum tempus renunciavit; sponte tamen deinceps dictaturam deposuit.

Μετὰ δὲ Σύλλαν αὖθις ὅμοια ἀνεῤῥιπίζετο· μέχρι Γάϊος Καῖσαρ, αἱρετὴν ἀρχὴν ἐπὶ πολὺ δυναςεύων ἐν Γαλατίᾳ, τῆς βελῆς αὐτὸν ἀποθέσθαι κελευσάσης· αἰτιώμενος, ὐ τὴν βελὴν, ἀλλὰ Πομπήϊον, ἐχθρὸν ὄντα οἱ, καὶ ςρατῦ περὶ τὴν Ἰταλίαν ἡγέμενον, ὡς τῆς ἀρχῆς αὐτὸν ἐπιβελεύοντα παραλύειν· πρὐτίθει προκλήσεις, ἢ ἄμφω τὰ ςρατεύματα ἔχειν, ἐς τῆς ἔχθρας τὴν ἀφοβίαν, ἢ καὶ Πομπήϊον, ὓς ἔχοι, μεθέντα ἰδιωτεύειν ὁμοίως ὑπὸ νόμοις. ὐ πείθων δ' ἐς ὐδέτερα, ἐκ Γαλατίας ἤλαυνεν ἐπὶ τὸν Πομπήϊον ἐς τὴν πατρίδα. ἐσβαλών τε ἐς αὐτὴν, καὶ διώκων ἐκφυγόντα, περὶ Θεσσαλίαν ἐνίκησε μεγάλῃ μάχῃ λαμπρῶς, καὶ ἐδίωκεν ἐς Αἴγυπτον ὑποφεύγοντα. ἀναιρεθέντος δὲ Πομπηΐυ πρὸς ἀνδρῶν Αἰγυπτίων, ἐπανῆλθεν ἐς Ῥώμην, ἔςιν ἃ καὶ περὶ Αἴγυπτον ἐργασάμενός τε, καὶ ἐπιμείνας μέχρι καταςήσαιτο αὐτῇ τὺς βασιλέας. ςασιώτην τε μέγιςον, ᾧ διὰ μεγαλυργίαν πολεμικὴν Μέγας ἐπώνυμον ἦν, ὗτος δὴ μάλιςα πολέμυ κράτει σαφῶς καθελὼν, ὐδενὸς αὐτῷ θαῤῥῦντος εἰς ὐδὲν ἔτι ἀντειπεῖν, δεύτερος ἐπὶ Σύλλᾳ δικτάτωρ ἐς τὸ διηνεκὲς ᾑρέθη· καὶ ςάσεις αὖθις κατεπαύοντο πᾶσαι. ἕςε καὶ τόνδε Βρῦτος καὶ Κάσσιος, ζήλῳ τε τῆς ἀρχῆς τῦ μεγέθυς, καὶ πόθῳ τῆς πατρίυ πολιτείας, ἐν τῷ βυλευτηρίῳ κατέκτανον, δημοτικώτατον καὶ ἐμπειρότατον ἀρχῆς γενόμενον. ὅγε τοι δῆμος

cap. 4. Cæsar verò imperium non voluit deponere, sed secundus post Syllam dictator perpetuus est creatus.

αὐτὸν μάλιστα πάντων ἐπόθησε· καὶ τοὺς σφαγέας ἐζήτουν περιϊόντες, καὶ τὸ σῶμα ἔθαψαν ἐν ἀγορᾷ μέσῃ, καὶ νεὼν ἐπῳκοδόμησαν τῇ πυρᾷ, καὶ θύουσιν ὡς θεῷ.

cap. 5. Cæsare interfecto, novisque turbis civilibus exortis imperium inter se partiti sunt Antonius, Lepidus & Octavius.

Αἱ δὲ στάσεις ἐπὶ τῷδε μάλιστα αὖθις ἐπανελθοῦσαί τε καὶ αὐξηθεῖσαι δυνατώτατα, ἐς μέγα προῆλθον. καὶ φόνοι, καὶ φυγαὶ, καὶ ἐπὶ θανάτῳ προγραφαὶ βουλευτῶν τε καὶ τῶν καλουμένων ἱππέων, κατὰ πλῆθος ἀθρόως ἑκατέρων, ἐγίγνοντο· τοὺς ἐχθροὺς ἀλλήλοις τῶν στασιωτῶν ἀντιπαρεχόντων, καὶ ἐς τοῦτο ἀμελούντων καὶ φίλων καὶ ἀδελφῶν. τοσοῦτον ἐκράτει τῆς ἐς τὰ οἰκεῖα εὐνοίας ἡ ἐς τὰ ἀντίπαλα φιλονεικία. προϊόντες τε, τὴν Ῥωμαίων ἀρχὴν, ὡς ἰδιωτικὸν σφῶν κτῆμα διενείμαντο ἐφ' ἑαυτῶν τρεῖς οἵδε ἄνδρες, Ἀντώνιός τε, καὶ Λέπιδος, καὶ ὅτῳ πρότερον μὲν Ὀκταούϊος ὄνομα ἦν, Καίσαρι δὲ πρὸς γένους ὢν, καὶ θετὸς ἐν διαθήκαις ὑπ' αὐτοῦ γενόμενος, Καῖσαρ ἐκ τοῦδε μετωνομάζετο. ἐπὶ δὲ τῇ διαιρέσει τῇδε, μετὰ βραχὺ συμπεσόντες (ὡς εἰκὸς ἦν) ἐς ἀλλήλους, ὁ Καῖσαρ, αὐτῶν συνέσει τε καὶ ἐμπειρίᾳ προὔχων, Λέπιδον μὲν πρότερον αὐτῶν, ἣν ἐκεκλήρωτο Λιβύην, ἐπὶ δὲ τῷ Λεπίδῳ καὶ Ἀντώνιον, πολέμῳ περὶ Ἄκτιον, ἀφείλετο τὴν ἀπὸ Συρίας ἐπὶ κόλπον τὸν Ἰόνιον ἀρχήν. ἐπί τε τούτοις, μεγίστοις δὴ φανεῖσι, καὶ ἐς ἔκπληξιν ἅπαντας ἐμβαλοῦσιν, εἷλε καὶ Αἴγυπτον ἐπιπλεύσας· ἣ χρονιωτάτη τε ἦν ἐς τότε καὶ δυνατωτάτη μετ' Ἀλέξανδρον ἀρχὴ, καὶ μόνη Ῥωμαίοις ἔλειπεν ἐς τὰ νῦν ὄντα. ὥστε Σεβαστὸς εὐθὺς ἐπὶ τοῖς ἔργοις, ἔτι περιὼν, ὅδε πρῶτος ὀφθῆναί τε Ῥωμαίοις, καὶ κληθῆναι πρὸς αὐτῶν· αὐτός τε ἑαυτὸν, ὥσπερ Γάϊος, καὶ ἐς τὸ δυνατώτερον ἔτι Γαΐου, ἄρχοντα ἀποφῆναι τῇ τε πατρίδι, καὶ τοῖς ὑπ' αὐτὴν ἔθνεσιν ἅπασιν· οὐδὲν αἱρέσεως, ἢ χειροτονίας, ἢ προσποιήματος ἔτι δεηθείς. χρονίου δ' αὐτῷ καὶ ἐγκρατοῦς τῆς ἀρχῆς γενομένης, ἐπιτυχὴς ἐς πάντα καὶ φοβερὸς ὢν, γένος ἀφ' ἑαυτοῦ καὶ διαδοχὴν τὴν ἐπικρατοῦσαν ὁμοίως ἐπ' ἐκείνῳ κατέλιπεν. Ὧδε μὲν ἐκ στάσεων ποικίλων ἡ πολιτεία Ῥωμαίοις ἐς ὁμόνοιαν καὶ μοναρχίαν περιέστη. ταῦτα δ', ὅπως ἐγένετο, συνέγραψα καὶ συνήγαγον· ἀξιοθαύμαστα ὄντα τοῖς ἐθέλουσιν ἰδεῖν φιλοτιμίαν ἀνδρῶν ἄμετρον, καὶ φιλαρχίαν δεινὴν, καρτερίαν τε ἄτρυτον, καὶ κακῶν ἰδέας μυρίων.

de qua divisione cum inter se confligerentur, Octavius, expulsis Lepido & Antonio e provinciis, solus imperio potitus,

& Augustus apellatus est.

cap. 6.

Ῥω-

Digitized by Google

Ῥωμαῖοι τὴν Ἰταλίαν πολέμῳ κατὰ μέρη χειρούμενοι, γῆς μέρος ἐλάμβανον, καὶ πόλεις ἐνῴκιζον, ἢ ἐς τὰς πρότερον οὔσας κληρούχους ἀπὸ σφῶν κατέλεγον· καὶ τάδε μὲν ἀντὶ φρουρίων ἐπενόουν. τῆς δὲ γῆς τῆς δορικτήτου σφίσιν ἑκάστοτε γιγνομένης, τὴν μὲν ἐξειργασμένην αὐτίκα τοῖς οἰκιζομένοις ἐπιδιῄρουν, ἢ ἐπίπρασκον, ἢ ἐξεμίσθουν· τὴν δ᾽ ἀργὸν ἐκ τοῦ πολέμου τότε οὖσαν, ἣ δὴ καὶ μάλιστα ἐπλήθυεν, οὐκ ἄγοντές πω σχολὴν διαλαχεῖν, ἐπεκήρυττον ἐν τοσῷδε τοῖς ἐθέλουσιν ἐκπονεῖν, ἐπὶ τέλει τῶν ἐτησίων καρπῶν, δεκάτῃ μὲν τῶν σπειρομένων, πέμπτῃ δὲ τῶν φυτευομένων. ὥριστο δὲ καὶ τοῖς προβατεύουσι τέλη μειζόνων τε καὶ ἐλαττόνων ζώων. καὶ τάδε ἔπραττον ἐς πολυανδρίαν τοῦ Ἰταλικοῦ γένους, φερεπονωτάτου σφίσιν ὀφθέντος, ἵνα συμμάχους οἰκείους ἔχοιεν. ἐς δὲ τοὐναντίον αὐτοῖς περιῄει. οἱ γὰρ πλούσιοι, τῆσδε τῆς ἀνεμήτου γῆς τὴν πολλὴν καταλαβόντες, καὶ χρόνῳ θαρροῦντες, οὔ τινα σφᾶς ἔτι ἀφαιρήσεσθαι, τά τε ἀγχοῦ σφίσιν, ὅσα τε ἦν ἄλλα βραχέα πενήτων, τὰ μὲν ὠνούμενοι πειθοῖ, τὰ δὲ βίᾳ λαμβάνοντες, πεδία μακρὰ ἀντὶ χωρίων ἐγεώργουν· ὠνητοῖς ἐς αὐτὰ γεωργοῖς καὶ ποιμέσι χρώμενοι, τοῦ μὴ τοὺς ἐλευθέρους ἐς τὰς στρατείας ἀπὸ τῆς γεωργίας περισπᾶν· φερούσης ἅμα καὶ τῆσδε τῆς κτήσεως αὐτοῖς πολὺ κέρδος ἐκ πολυπαιδίας θεραπόντων, ἀκινδύνως αὐξομένων διὰ τὰς ἀστρατείας. ἀπὸ δὲ τούτων οἱ μὲν δυνατοὶ πάμπαν ἐπλούτουν, καὶ τὸ τῶν θεραπόντων γένος ἀνὰ τὴν χώραν ἐπλήθυε. τοὺς δ᾽ Ἰταλιώτας ὀλιγότης καὶ δυσανδρία κατελάμβανε, τρυχομένους πενίᾳ τε καὶ ἐσφοραῖς καὶ στρατείαις. εἰ δὲ καὶ σχολάσειαν ἀπὸ τούτων, ἐπ᾽ ἀργίας διετίθεντο, τῆς γῆς ὑπὸ τῶν πλουσίων ἐχομένης, καὶ γεωργοῖς χρωμένων θεράπουσιν ἀντὶ ἐλευθέρων.

cap. 7. *Turbae Gracchorum.* Populi Italiæ armis subacti parte agri mulctabantur, cujus pars culta novis colonis dividebatur, inculta vero colenda permittebatur, cuicunque libuisset.

Divites, agrorum non dispertitorum majori parte occupata, successu temporis latifundia sibi compararunt, quæ a mancipiis colebantur;

reliqui, inprimis Itali exclusi adeo ab operibus rusticis, gravabantur paupertate, exactionibus, et.

Ἐφ᾽ οἷς ὁ δῆμος ἐδυσφόρει μέν, ὡς οὔτε συμμάχων ἐξ Ἰταλίας ἔτι εὐπορήσων, οὔτε τῆς ἡγεμονίας οἱ γενησομένης ἀκινδύνου, διὰ πλῆθος τοσόνδε θεραπόντων. διόρθωσιν δ᾽ οὐκ ἐπινοοῦντες, ὡς οὐδὲ ῥᾴδιον ὄν, οὐδὲ πάντῃ δίκαιον, ἄνδρας τοσούσδε ἐκ τοσοῦδε χρόνου κτῆσιν τοσήνδε ἀφελέσθαι φυτῶν τε ἰδίων καὶ οἰκοδομημάτων καὶ κατασκευῆς· μόλις ποτὲ, τῶν δημάρχων εἰσηγουμένων, ἔκριναν, Μηδένα ἔχειν τῆσδε τῆς γῆς πλέθρα πεντακοσίων πλείονα, μηδὲ προβατεύειν

cap. 8. Incommodis ex hoc rerum statu exortis ut mederentur, tribuni legem agrariam tulerunt; decretum præterea est, ad opera rustica homines

etiam liberos adhibendos esse,

τεύειν ἑκατὸν πλείω τὰ μείζονα, καὶ πεντακοσίων τὰ ἐλάσσονα. καὶ ἐς ταῦτα δ' αὐτοῖς ἀριθμὸν ἐλευθέρων ἔχειν ἐπέταξαν, οἳ τὰ γιγνόμενα φυλάξειν τε καὶ μηνύσειν ἔμελλον.

Verum nec lex, nec decretum valuit.

οἱ μὲν δὴ τάδε νόμῳ περιλαβόντες, ἐπώμοσαν ἐπὶ τῷ νόμῳ, καὶ ζημίαν ὥρισαν· ἡγούμενοι, τὴν λοιπὴν γῆν αὐτίκα τοῖς πένησι κατ' ὀλίγον διαπεπράσεσθαι. φροντὶς δ' οὐδεμία ἦν οὔτε τῶν νόμων οὔτε τῶν ὅρκων· ἀλλ' οἵ τινες καὶ ἐδόκουν φροντίσαι, τὴν γῆν ἐς τοὺς οἰκείους ἐπὶ ὑποκρίσει διένεμον· οἱ δὲ πολλοὶ τέλεον κατεφρόνουν.

cap. 9. Tib. Sempr. Gracchus instaurat legem agrariam: ne quis plus quingentis jugeribus possideat, cet.; porro ut dividatur, quidquid agri superfuerit, pauperibus per triumviros, A. U. 621. ante Chr. 133.

Μέχρι Τιβέριος Σεμπρώνιος Γράκχος, ἀνὴρ ἐπιφανὴς, καὶ λαμπρὸς ἐς φιλοτιμίαν, εἰπεῖν τε δυνατώτατος, καὶ ἐκ τῶνδε ὁμοῦ πάντων γνωριμώτατος ἅπασι, δημαρχῶν, ἐσεμνολόγησε περὶ τοῦ Ἰταλικοῦ γένους, ὡς εὐπολεμωτάτου τε καὶ συγγενοῦς, φθειρομένου δὲ κατ' ὀλίγον ἐς ἀπορίαν καὶ ὀλιγανδρίαν, καὶ οὐδὲ ἐλπίδα ἔχοντος ἐς διόρθωσιν. ἐπὶ δὲ τῷ δουλικῷ δυσχεράνας, ὡς ἀστρατεύτῳ, καὶ οὔποτε ἐς δεσπότας πιστῷ, τὸ ἔναγχος ἐπήνεγκεν ἐν Σικελίᾳ δεσποτῶν πάθος ὑπὸ θεραπόντων γενόμενον, ηὐξημένων κἀκείνων ἀπὸ γεωργίας· καὶ τὸν ἐπ' αὐτοὺς Ῥωμαίων πόλεμον, οὐ ῥᾴδιον, οὐδὲ βραχὺν, ἀλλ' ἔς τε μῆκος χρόνου, καὶ τροπὰς κινδύνων ποικίλας ἐκτραπέντα. ταῦτα δὲ εἰπὼν, ἀνεκαίνιζε τὸν νόμον· Μηδένα τῶν πεντακοσίων πλέθρων πλέον ἔχειν. παισὶ δ' αὐτῶν, ὑπὲρ τὸν παλαιὸν νόμον προσετίθει τὰ ἡμίσεα τούτων· καὶ τὴν λοιπὴν, τρεῖς αἱρετοὺς ἄνδρας ἐναλλασσομένους κατ' ἔτος, διανέμειν τοῖς πένησι.

cap. 10. Divitum & pauperum, adeoque duarum factionum, querelæ & exprobrationes mutuæ.

Τοῦτο δ' ἦν, ὃ μάλιστα ἠνώχλει τοὺς πλουσίους, οὐ δυναμένους ἔτι, ὡς πρότερον, τοῦ νόμου καταφρονεῖν, διὰ τοὺς διαιροῦντας, οὐδὲ ὠνεῖσθαι παρὰ τῶν κληρουμένων. ὁ γάρ τοι Γράκχος, καὶ τόδε προειδόμενος, ἀπηγόρευε μὴ πωλεῖν. συνιστάμενοι δὴ κατὰ μέρος, ὠλοφύροντο, καὶ προὔφερον τοῖς πένησιν ἀρχαῖά τε ἔργα ἑαυτῶν, καὶ φυτὰ, καὶ οἰκοδομίας· καὶ τιμὴν ἔνιοι δεδομένην γείτοσιν, εἰ καὶ τήνδε μετὰ τῆς γῆς ἀπολέσουσι· τάφους τε ἔνιοι πατέρων ἐν τῇ γῇ, καὶ διαιρέσεις ἐπὶ τοῖς κλήροις ὡς πατρῴοις· οἱ δὲ, καὶ προῖκας γυναικῶν ἐς ταῦτα ἀνηλωμένας, ἢ τὴν γῆν παισὶν ἐμπροίκιον δεδομένην. δανεισταί τε χρέα καὶ ταύτης ἐπεδείκνυον. καὶ ἄκοσμος ἦν ὅλως οἰμωγὴ καὶ ἀγανάκτη-

Digitized by Google

νίκησις. οἱ δ' αὖ πένητες ἀντωδύροντο, ἐξ εὐπορίας εἰς πενίαν ἐσχάτην, καὶ ἀπ' αὐτῆς ἐς ἀγονίαν, ὡς δυνάμενοι παιδοτροφεῖν, περιφέρεσθαι. στρατείας τε ὅσας στρατεύσαιντο τὴν γῆν τήνδε περιποιούμενοι, κατέλεγον· καὶ ἠγανάκτουν, εἰ τῶν κοινῶν ἀποστερήσονται. ὠνείδιζόν τε ἅμα αὐτοῖς, αἱρουμένοις, ἀντὶ ἐλευθέρων καὶ πολιτῶν καὶ στρατιωτῶν, θεράποντας, ἄπιστον ἔθνος καὶ δυσμενὲς αἰεὶ, καὶ διὰ τοῦτο ἀστράτευτον. τοιαῦθ' ἑκατέρων τε καὶ ἀλλήλοις ἐπικαλούντων, πλῆθος ἄλλο, ὅσον ἐν ταῖς ἀποίκοις πόλεσιν, ἢ ταῖς ἰσοπολίτισιν, ἢ ἄλλως ἐκοινώνει τῆσδε τῆς γῆς, δεδιότες ὁμοίως, ἐπῄεσαν, καὶ ἐς ἑκατέρους αὐτῶν διεμερίζοντο. πλήθει τε θαῤῥοῦντες, ἐξετραχύνοντο, καὶ στάσεις ἐξάπτοντες ἀμέτρους, τὴν δοκιμασίαν τοῦ νόμου περιέμενον· οἱ μὲν, ὡς οὐδενὶ τρόπῳ συγχωρήσοντες αὐτὸν γενέσθαι κύριον, οἱ δ', ὡς κυρώσοντες ἐξάπαντος. φιλονεικία δὲ ἑκατέροις προσέπιπτεν ἐπὶ τῇ χρείᾳ, καὶ ἐς τὴν κυρίαν ἡμέραν παρασκευὴ κατ' ἀλλήλων.

quibus se alia multitudo ex coloniis & municipiis pro suæ fortunæ ratione adjungit.

cap. 11. Gracchus, frequentiæ provisurus, in comitiis legi a scriba recitandæ ita præfatur, ut terrorem divitibus injiciat.

Γράκχῳ δ' ὁ μὲν νοῦς τοῦ βουλεύματος ἦν οὐκ ἐς εὐπορίαν, ἀλλ' ἐς εὐανδρίαν. τοῦ δὲ ἔργου τῇ ὠφελείᾳ μάλιστα αἰωρούμενος, ὡς οὔ τι μεῖζον οὐδὲ λαμπρότερον δυναμένης ποτὲ παθεῖν τῆς Ἰταλίας, τοῦ περὶ αὐτὸ δυσχεροῦς οὐδ' ἐνεθυμεῖτο. ἐνστάσης δὲ τῆς χειροτονίας, πολλὰ μὲν ἄλλα προεῖπεν ἐπαγωγὰ καὶ μακρά. διηρώτα δ' ἐπ' ἐκείνοις· εἰ δίκαιον, τὰ κοινὰ κοινῇ διανέμεσθαι, καὶ εἰ γνησιώτερος αἰεὶ θεράποντος ὁ πολίτης, καὶ χρησιμώτερος ὁ στρατιώτης ἀπολέμου, καὶ τοῖς δημοσίοις εὐνούστερος ὁ κοινωνός; οὐκ ἐς πολὺ δὲ τὴν σύγκρισιν, ὡς ἄδοξον, ἐπενεγκὼν, αὖθις ἐπῄει τὰς τῆς πατρίδος ἐλπίδας καὶ φόβους, διεξιών· ὅτι, πλείστης γῆς ἐκ πολέμου βίᾳ κατέχοντες, καὶ τὴν λοιπὴν τῆς οἰκουμένης χώραν ἐν ἐλπίδι ἔχοντες, κινδυνεύουσιν ἐν τῷδε περὶ ἁπάντων, ἢ κτήσασθαι καὶ τὰ λοιπὰ δι' εὐανδρίαν, ἢ καὶ τάδε δι' ἀσθένειαν καὶ φθόνον ὑπ' ἐχθρῶν ἀφαιρεθῆναι. ὧν τοῦ μὲν τὴν δόξαν καὶ εὐπορίαν, τοῦ δὲ τὸν κίνδυνον καὶ φόβον ὑπερεπαίρων, ἐκέλευε τοὺς πλουσίους, ἐνθυμουμένους ταῦτα, ἐπιδόσιμον, εἰ δέοι, παρὰ σφῶν αὐτῶν τήνδε τὴν γῆν εἰς τὰς μελλούσας ἐλπίδας τοῖς παιδοτροφοῦσι χαρίσασθαι· καὶ μὴ, ἐν ᾧ περὶ μικρῶν διαφέρονται, τῶν πλεόνων ὑπεριδεῖν· μισθὸν ἅμα

ἅμα τῆς πεπονημένης ἐξεργασίας αὐτάρκη Φερομένας, τὴν ἐξαίρετον ἄνευ τιμῆς κτῆσιν ἐς ἀιεὶ βέβαιον ἑκάςῳ πενταχοσίων πλέθρων, καὶ παισὶν, οἷς εἰσὶ παῖδες, ἑκάςῳ καὶ τέτων τὰ ἡμίσεα. τοιαῦτα πολλὰ ὁ Γράκχος εἰπὼν, τὰς τε πένητας, καὶ ὅσοι ἄλλοι λογισμῷ μᾶλλον ἢ πόθῳ κτήσεως ἐχρῶντο, ἐρεθίσας, ἐκέλευε τῷ γραμματεῖ τὸν νόμον ἀναγνῶναι.

cap. 12. M. Octavius tribunus primo, secundo & tertio comitiorum die intercedit.

Μάρκος δ' Ὀκταέϊος, δήμαρχος ἕτερος, ὑπὸ τῶν κτηματικῶν διακωλύειν παρεσκευασμένος (καὶ ὧν ἀιεὶ παρὰ Ῥωμαίοις ὁ κωλύων δυνατώτερος) ἐκέλευε τὸν γραμματέα σιγᾷν. καὶ τότε μὲν αὐτῷ πολλὰ μεμψάμενος ὁ Γράκχος, ἐς τὴν ἐπιᾶσαν ἀγορὰν ἀνέθετο. Φυλακήν τε παραςησάμενος ἱκανὴν, ὡς καὶ ἄκοντα βιασόμενος Ὀκταέϊον, ἐκέλευε σὺν ἀπειλῇ τῷ γραμματεῖ τὸν νόμον ἐς τὸ πλῆθος ἀναγινώσκειν. καὶ ἀνεγίνωσκε· καὶ Ὀκταέϊε κωλύοντος ἐσιώπα. λοιδοριῶν δὲ τοῖς δημάρχοις ἐς ἀλλήλες γενομένων, καὶ τε δήμε θορυβᾶντος ἱκανῶς, οἱ δυνατοὶ τὰς δημάρχες ἠξίεν ἐπιτρέψαι τῇ βελῇ περὶ ὧν διαφέρονται. καὶ ὁ Γράκχος, ἁρπάσας τὸ λεχθὲν, ὡς δὴ πᾶσι τοῖς εὖ φρονᾶσιν ἀρέσοντος τε νόμε, διέτρεχεν ἐς τὸ βελευτήριον. ἐκεῖ δ', ὡς ἐν ὀλίγοις, ὑβριζόμενος ὑπὸ τῶν πλεσίων, αὖθις ἐκδραμὼν ἐς τὴν ἀγορὰν, ἔφη, διαψήφισιν προθήσειν ἐς τὴν ἐπιᾶσαν ἀγορὰν περί τε τε νόμε καὶ τῆς ἀρχῆς τῆς Ὀκταέϊε, εἰ χρὴ δήμαρχον ἀντιπράττοντα τῷ δήμῳ τὴν ἀρχὴν ἐπέχειν. καὶ ἔπραξεν ὅτως. ἐπεί τε γὰρ Ὀκταέϊος, ἐδὲν καταπλαγεὶς, αὖθις ἐνίςατο, ὅδε προτέραν τὴν περὶ αὐτε ψῆφον ἀνεδίδε. καὶ τῆς πρώτης Φυλῆς καταψηφισαμένης τὴν ἀρχὴν τὸν Ὀκταέϊον ἀποθέσθαι, ἐπιςραφεὶς πρὸς αὐτὸν ὁ Γράκχος, ἐδεῖτο μεταθέσθαι. ἐ πειθομένε δὲ, τὰς ἄλλας ψήφες ἐπῆγε. ἐσῶν δὲ τότε Φυλῶν πέντε καὶ τριάκοντα, καὶ συνδραμεσῶν ἐς τὸ αὐτὸ σὺν ὀργῇ τῶν προτέρων ἑπτακαίδεκα· ἡ μὲν ὀκτωκαιδεκάτη τὸ κῦρος ἔμελλεν ἐπιθήσειν.

cui tandem tribuum suffragiis magistratus abrogatur; lex vero agraria confirmatur.

ὁ δὲ Γράκχος αὖθις, ἐν ὄψει τε δήμε, τότε μάλιςα κινδυνεύοντι τῷ Ὀκταέϊῳ λιπαρῶς ἐνέκειτο, μὴ ἔργον ὁσιώτατον καὶ χρησιμώτατον Ἰταλίᾳ πάσῃ συγχέαι, μηδὲ σπεδὴν τε δήμε τοσήνδε ἀνατρέψαι, ᾧ τι καὶ παρενδᾶναι προθυμεμένῳ δήμαρχον ὄντα ἥρμοζε· καὶ μὴ αὐτε τὴν ἀρ-

ἀρχὴν ἀφαιρεμένην περιϊδεῖν ἐπὶ καταγνώσει. καὶ τάδε λέγων, καὶ θεὸς μαρτυρόμενος, ἄκων ἄνδρα σύναρχον ἀτιμῶν, ὡς ὐκ ἔπειθεν, ἐπῆγε τὴν ψῆφον. καὶ ὁ μὲν Ὀκταΐος, αὐτίκα ἰδιώτης γενόμενος, διαλαθὼν ἀπεδίδρασκε.

Κόϊντος δὲ Μέμμιος ἀντ' αὐτῦ δήμαρχος ἡρεῖτο, καὶ ὁ νόμος ὁ περὶ τῆς γῆς ἐκυρῦτο. διανέμειν τε αὐτὴν ἐκεχειροτόνηντο πρῶτοι, Γράκχος αὐτὸς, ὁ νομοθέτης, καὶ ἀδελφὸς ὁμώνυμος ἐκείνυ, καὶ ὃς ἐκήδευε τῷ νομοθέτῃ Κλαύδιος Ἄππιος· πάνυ τῦ δήμυ καὶ ὡς δεδιότος, μὴ τὸ ἔργον ἐκλειφθείη τῦ νόμυ, εἰ μὴ Γράκχος αὐτῦ σὺν ὅλῃ τῇ οἰκίᾳ κατάρχοιτο. Γράκχος δὲ, μεγαλαυχύμενος ἐπὶ τῷ νόμῳ, ὑπὸ τῦ πλήθυς, οἷα δὴ κτίστης ὐ μιᾶς πόλεως, ὐδ' ἑνὸς γένυς, ἀλλὰ πάντων ὅσα ἐν Ἰταλίᾳ ἔθνη, ἐς τὴν οἰκίαν παρεπέμπετο. καὶ μετὰ ταῦθ' οἱ μὲν κεκρατηκότες ἐς τὺς ἀγρὺς ἀπεχώρυν, ὅθεν ἐπὶ ταῦτα ἐληλύθεσαν. οἱ δ' ἡσσημένοι, δυσφορῦντες, ἔτι παρέμενον, καὶ ἐλογοποίυν· ὐ χαιρήσειν Γράκχον αὐτίκα, ὅτε γένοιτο ἰδιώτης, ἀρχήν τε ὑβρίσαντα ἱερὰν καὶ ἄσυλον, καὶ στάσεως τοσήνδε ἀφορμὴν ἐς τὴν Ἰταλίαν ἐμβαλόντα.

Θέρος δ' ἦν ἤδη, καὶ προγραφαὶ δημάρχων ἐς τὸ μέλλον· καὶ οἱ πλύσιοι, τῆς χειροτονίας πλησιαζύσης, ἔνδηλοι σαφῶς ἦσαν ἐσπυδακότες ἐς τὴν ἀρχὴν τοῖς μάλιστα Γράκχῳ πολεμίοις. ὁ δ', ἐγγὺς τῦ κακῦ γιγνομένυ, δείσας, μὴ ὐ καὶ ἐς τὸ μέλλον ἔσοιτο δήμαρχος, συνεκάλει τὺς ἐκ τῶν ἀγρῶν ἐπὶ τὴν χειροτονίαν. ἀσχολυμένων δ' ἐκείνων ὡς ἐν θέρει, συνελαυνόμενος ὑπὸ τῆς προθεσμίας ὀλίγης ἐς τὴν χειροτονίαν ἔτι ὔσης, ἐπὶ τὸν ἐν τῷ ἄστει δῆμον κατέφευγε· καὶ περιϊὼν κατὰ μέρος ἕκαστον ἐδεῖτο, δήμαρχον αὐτὸν ἐς τὸ μέλλον ἑλέσθαι, κινδυνεύοντα δι' ἐκείνυς. γιγνομένης δὲ τῆς χειροτονίας, δύο μὲν ἔφθασαν αἱ πρῶται φυλαὶ Γράκχον ἀποφῆναι. τῶν δὲ πλυσίων ἐνισταμένων, ὐκ ἔννομον εἶναι δὶς ἐφεξῆς τὸν αὐτὸν ἄρχειν· καὶ Ῥυβρίυ δημάρχυ, τῦ προεστάναι τῆς ἐκκλησίας ἐκείνης διειληχότος, ἐνδοιάζοντος ἐπὶ τῷδε· Μύμμιος αὐτὸν, ᾧ ἐπὶ τῷ Ὀκταΐῳ δημαρχεῖν ἡρημένος, ἐκέλευεν ἑαυτῷ τὴν ἐκκλησίαν ἐπιτρέψαι. καὶ ὁ μὲν ἐπέτρεψεν. οἱ δὲ λοιποὶ δήμαρχοι περὶ τῆς ἐπιστασίας ἠξίυν ἀνακληρῦσθαι· Ῥυβρίυ γὰρ, τῦ λαχόντος, ἐκστάν-

Cap. 13. Triumviri agris dividendis creantur, Gracchus ipse, Cajus frater & socer App. Claudius.

Victa pars minatur, non impune id fore Graccho, quamprimum magistratu abierit.

Cap. 14. Gracchus, tempore comitiorum tribunis pl. creandis, plebem urbanam solicitat, ut sibi continuetur tribunatus.

Digitized by Google

Gracchus suam factionem superari videns, comitia in sequentem diem differt;

ἑκάστους, αὖθις ἐς ἅπαντας τὴν διακλήρωσιν περιιέναι. ἔριδος δὲ καὶ ἐπὶ τῷδε πολλῆς γενομένης, ὁ Γράκχος ἐλαττούμενος, τὴν μὲν χειροτονίαν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἀνέθετο. πάντα δ' ἀπογνοὺς, ἐμελανειμόνει τε ἔτι ὢν ἔναρχος, καὶ τὸ λοιπὸν τῆς ἡμέρας ἐν ἀγορᾷ τὸν υἱὸν ἐπάγων ἑκάστοις συνίστη καὶ παρετίθετο, ὡς αὐτὸς ὑπὸ τῶν ἐχθρῶν αὐτίκα ἀπολούμενος.

cap. 15. quo die, cum tribuni & divites impedire vellent, quominus de Gracchо ferrentur suffragia, ad manus ventum est;

Οἴκτου δὲ πολλοῦ σὺν λογισμῷ τοὺς πένητας ἐπιλαμβάνοντος, ὑπέρ τε σφῶν αὐτῶν, ὡς οὐκ ἐν ἰσονόμῳ πολιτευσόντων ἔτι, ἀλλὰ δουλευσόντων κατὰ κράτος τοῖς πλουσίοις, καὶ ὑπὲρ αὐτοῦ Γράκχου, τοιαῦτα δεδιότος τε καὶ πάσχοντος ὑπὲρ αὐτῶν· σύν τε οἰμωγῇ προπεμπόντων αὐτὸν ἁπάντων ἐπὶ τὴν οἰκίαν ἑσπέρας, καὶ θαρρεῖν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἐπικελευόντων· ἀναθαρρήσας ὁ Γράκχος, ἔτι νυκτὸς τοὺς στασιώτας συναγαγὼν, καὶ σημεῖον εἰ καὶ μάχης δεήσειεν ὑποδείξας, κατέλαβε τοῦ Καπιτωλίου τὸν νεὼν ἔνθα χειροτονήσειν ἔμελλον, καὶ τὰ μέσα τῆς ἐκκλησίας. ἐνοχλούμενος δ' ὑπὸ τῶν δημάρχων καὶ τῶν πλουσίων, οὐκ ἐώντων ἀναδοθῆναι περὶ αὐτοῦ χειροτονίαν, ἀνέσχε τὸ σημεῖον. καὶ βοῆς ἄφνω παρὰ τῶν συνειδότων γενομένης, χεῖρές τε ἦσαν ἤδη τὸ ἀπὸ τοῦδε. καὶ τῶν Γρακχείων οἱ μὲν αὐτὸν ἐφύλαττον, οἷά τινες δορυφόροι, οἱ δὲ, τὰ ἱμάτια διαζωσάμενοι, ῥάβδους καὶ ξύλα τὰ ἐν χερσὶ τῶν ὑπηρετῶν ἁρπάσαντές τε καὶ διακλάσαντες ἐς πολλὰ, τοὺς πλουσίους ἐξήλαυνον ἀπὸ τῆς ἐκκλησίας, σὺν τοσῷδε ταράχῳ καὶ τραύμασιν, ὡς τούς τε δημάρχους δείσαντας διαφυγεῖν ἐκ μέσου, καὶ τὸν νεὼν τοὺς ἱερέας ἐπικλεῖσαι· δρόμον τε πολλῶν ἄκοσμον εἶναι, καὶ φυγὴν, καὶ λόγον οὐκ ἀκριβῆ· τῶν μὲν, ὅτι καὶ τοὺς ἄλλους δημάρχους ὁ Γράκχος παραλύει τῆς ἀρχῆς· (οὐ γὰρ ὁρωμένων αὐτῶν, εἴκαζον οὕτω·) τῶν δ', ὅτι αὐτὸς ἑαυτὸν ἐς τὸ μέλλον δήμαρχον ἄνευ χειροτονίας ἀποφαίνει.

cap. 16. quo in tumultu a Corn. Scipionis Nasicæ, in Capitolium pergentis, comitatu, Gracchus ip-

Γιγνομένων δὲ τούτων ἡ βουλὴ συνῆλθεν εἰς τὸ τῆς Πίστεως ἱερόν. καί μοι θαῦμα καταφαίνεται, τὸ, πολλάκις ἐν τοιοῖσδε φόβοις διὰ τῆς αὐτοκράτορος ἀρχῆς διασεσωσμένους, τότε μηδ' ἐπὶ νοῦν τὸν Δικτάτωρα λαβεῖν· ἀλλὰ χρησιμώτατον τοῖς προτέροις τόδε τὸ ἔργον εὑρεθὲν, μηδ' ἐν μνήμῃ τοῖς πολλοῖς ἅρα γενέσθαι, μήτε τότε, μήθ' ὕστε-

Digitized by Google

ὕστερον. κρίναντες δ' ὅσα ἔκριναν, ἐς τὸ Καπιτώλιον ἀνῄεσαν. καὶ πρῶτος αὐτοῖς ὁ μέγιστος ἀρχιερεὺς λεγόμενος ἐξῆρχε τῆς ὁδοῦ, Κορνήλιος Σκιπίων ὁ Νασικᾶς· ἐβόα τε μέγιστον, ἕπεσθαί οἱ τοὺς ἐθέλοντας σώζεσθαι τὴν πατρίδα· καὶ τὸ κράσπεδον τοῦ ἱματίου ἐς τὴν κεφαλὴν περιεσύρατο· εἴ τε τῷ παρασήμῳ τοῦ σχήματος πλέονάς οἱ συντρέχειν ἐπισπώμενος, εἴ τε πολέμου τι σύμβολον τοῖς ὁρῶσιν ὡς κόρυθα ποιούμενος, εἴ τε θεοὺς ἐγκαλυπτόμενος, ὧν ἔμελλε δράσειν. ἀνελθόντι δὲ εἰς τὸ ἱερὸν, καὶ τοῖς Γρακχείοις ἐπιδραμόντι, εἶξαν μὲν ὡς κατ' ἀξίωσιν ἀνδρὶ ἀρίστῳ, καὶ τὴν βουλὴν ἅμα οἱ θεωροῦντες ἐπιοῦσαν. οἱ δὲ τὰ ξύλα τῶν Γρακχείων αὐτῶν περισπάσαντες, ὅσα τε βάθρα καὶ ἄλλη παρασκευὴ ὡς ἐς ἐκκλησίαν συνενήνεκτο διελόντες, ἔπαιον αὐτοὺς καὶ ἐδίωκον, καὶ ἐς τὰ ἀποκρημνα κατεῤῥίπτουν. κἀν τῷδε τῷ κυδοιμῷ πολλοί τε τῶν Γρακχείων, καὶ Γράκχος αὐτὸς, εἰλούμενος περὶ τὸ ἱερὸν, ἀνῃρέθη κατὰ τὰς θύρας, παρὰ τοὺς τῶν βασιλέων ἀνδριάντας. καὶ πάντας αὐτοὺς νυκτὸς ἐξέῤῥιψαν ἐς τὸ ῥεῦμα τοῦ ποταμοῦ.

se ad fores templi cæditur.

Οὕτω μὲν δὴ Γράκχος, ὁ Γράκχου τοῦ δὶς ὑπατεύσαντος, καὶ Κορνηλίας, τῆς Σκιπίωνος τοῦ Καρχηδονίου τὴν ἡγεμονίαν ἀφελομένου, παῖς, ἀρίστου βουλεύματος ἕνεκα, βιαίως αὐτῷ προσιὼν, ἀνῄρητο, ἔτι δημαρχῶν, ἐν τῷ Καπιτωλίῳ. καὶ πρῶτον ἐν ἐκκλησίᾳ τόδε μύσος γενόμενον, οὐ διέλιπεν ἀεί τινος ὁμοίου γιγνομένου παρὰ μέρος. ἡ δὲ πόλις ἐπὶ τῷ Γράκχου φόνῳ διῄρητο ἐς λύπην καὶ ἡδονήν· οἱ μὲν, οἰκτείροντες αὐτούς τε, κἀκεῖνον, καὶ τὰ παρόντα, ὡς οὐκέτι πολιτείαν, ἀλλὰ χειροκρατίαν καὶ βίαν· οἱ δ', ἐξειργάσθαι σφίσιν ἡγούμενοι πᾶν ὅσον ἐβούλοντο. καὶ τάδε μὲν ἦν, ὅτε Ἀριστόνικος Ῥωμαίοις περὶ τῆς ἀρχῆς ἐπολέμει τῆς ἐν Ἀσίᾳ.

cap. 17. Populus varie fert cædem Gracchi.

Aristonici bellum regni Attalici causa gestum, A. U. 622-624. ante Chr. 132-130.

Ἀναιρεθέντος δὲ Γράκχου, καὶ τελευτήσαντος Ἀππίου Κλαυδίου, ἀντικαθίσανται μὲν ἐς τὸ τὴν γῆν ἅμα τῷ νεωτέρῳ Γράκχῳ διανέμειν Φούλβιος Φλάκκος καὶ Παπίριος Κάρβων. Ἀμελούντων δὲ τῶν κεκτημένων αὐτὴν ἀπογράφεσθαι, κατηγόρους ἐκήρυττον ἐνδεικνύναι. καὶ ταχὺ πλῆθος ἦν δικῶν χαλεπῶν. ὅση γὰρ ἄλλη πλησιάζουσα τῇδε ἐπέπρατο, ἢ τοῖς συμμάχοις ἐπιδιῄρητο, διὰ τὸ τῆσδε

cap. 18. Fulv. Flaccus & Papirius Carbo cum minore Graccho legis agrariæ patrocinium suscipiunt, quibus auctoribus

veteres possessores, agros recenseri tergiversantes, in judicium vocantur, A. U. 622. ante Chr. 132. Molestiæ inde ortæ.

δὲ μέτρον ἐξητάζετο ἅπασα, ὅπως τε ἐπέπρατο, καὶ ὅπως ἐπιδιῄρητο· οὔτε τὰ συμβόλαια οὔτε τὰς κληρουχίας ἔτι ἐχόντων ἁπάντων. ἃ δὲ καὶ εὑρίσκετο, ἀμφίλογα ἦν. ἀναμετρουμένης τε αὐτῆς, οἱ μὲν ἐκ πεφυτευμένης καὶ ἐπαύλεων, ἐς ψιλὴν μετετίθεντο· οἱ δ' ἐξ ἐνεργῶν, ἐς ἀργὸν, ἢ λίμνας, ἢ τέλματα· οὔτε τὴν ἀρχὴν ὡς ἐπὶ δορικτήτοις ἀκριβῆ πεποιημένοι. καὶ τὸ κήρυγμα, τὴν ἀνέμητον ἐξεργάζεσθαι τὸν ἐθέλοντα προλέγον, ἐπῆρε πολλοὺς τὰ πλησίον ἐκπονοῦντας, τὴν ἑκατέρας ὄψιν συγχέαι· χρόνος τε ἐπελθὼν ἐνεόχμωσε πάντα. καὶ τὸ τῶν πλουσίων ἀδίκημα, καίπερ ὂν μέγα, δυσεπίγνωστον ἦν. καὶ οὐδὲν ἀλλ' ἢ πάντων ἀνάστασις ἐγίγνετο, μεταφερομένων τε καὶ μετοικιζομένων ἐς ἀλλότρια.

cap. 19. Italici socii P. Corn. Scipionem patronum sibi, quo vexationum fiat finis, optant, A. U. 625. ante Chr. 129.

Ταῦτά τε δὴ, καὶ τὰς ἐπὶ τούτοις τῶν δικαζόντων ἐπείξεις, οὐ φέροντες οἱ Ἰταλιῶται, Κορνήλιον Σκιπίωνα, ὃς Καρχηδόνα ἐπόρθησεν, ἠξίουν προστάτην σφῶν ἀδικουμένων γενέσθαι. ὁ δ' ἐς τοὺς πολέμους αὐτοῖς κεχρημένος προθυμοτάτοις, ὑπεριδεῖν τε ὤκνησε, καὶ παρελθὼν εἰς τὸ βουλευτήριον, τὸν μὲν Γράκχου νόμον οὐκ ἔψεγε διὰ τὸν δῆμον σαφῶς· τὴν δὲ τοῦδε δυσχέρειαν ἐπεξιὼν, ἠξίου, τὰς δίκας οὐκ ἐπὶ τῶν διαιρούντων, ὡς ὑπόπτων τοῖς δικαζομένοις, ἀλλὰ ἐφ' ἑτέρων λέγεσθαι. ᾧ δὴ καὶ μάλιστα ἔπεισεν, εἶναι δοκοῦντι δικαίῳ· καὶ Τουδιτανὸς αὐτοῖς ὑπατεύων ἐδόθη δικάζειν. ἀλλ' ὅδε μὲν, ἁψάμενος τοῦ ἔργου, καὶ τὴν δυσχέρειαν ἰδὼν, ἐπ' Ἰλλυριοὺς ἐστράτευε, πρόφασιν τήνδε ποιούμενος τοῦ μὴ δικάζειν. οἱ δὲ τὴν γῆν διανέμοντες, οὐκ ἀπαντῶντος ἐς αὐτοὺς οὐδενὸς ἐς δίκην, ἐπὶ ἀργίας ἦσαν. καὶ μῖσος ἐντεῦθεν ἤρξατο ἐς τὸν Σκιπίωνα τοῦ δήμου καὶ ἀγανάκτησις, ὅτι αὐτὸν ἀγαπήσαντες ἐπιφθόνως, καὶ πολλὰ τοῖς δυνατοῖς ἐναντιωθέντες ὑπὲρ αὐτοῦ, ὕπατόν τε δὶς ἑλόμενοι παρανόμως, ὑπὲρ τῶν Ἰταλιωτῶν ἀντιπεπραχότα σφίσιν ἑώρων. ταῦτα δ' ὅσοι τοῦ Σκιπίωνος ἦσαν ἐχθροὶ κατιδόντες, ἐβόων, ὡς λῦσαι τὸν Γράκχου νόμον ὅλως διεγνωκὼς, μέλλοι πολὺν ἐπὶ τῷδε ἔνοπλον φόνον ἐργάσασθαι.

Ejus igitur auctoritate talium litium cognitio a Triumviris in Tuditanum Cos. transfertur; quam tamen cum Tuditanus negligat, ipse Scipio in populi odium incidit,

cap. 20. & paullo post mane in lectulo reperitur

Ὧν ὁ δῆμος ἀκροώμενος, ἐδεδίει· μέχρι ὁ Σκιπίων, ἑσπέρας παραθέμενος ἑαυτῷ δελτὸν, εἰς ἣν νυκτὸς ἔμελλε γράψειν τὰ λεχθησόμενα ἐν τῷ δήμῳ, νεκρὸς ἄνευ τραύ-

τραύματος εὑρέθη· εἴ τε Κορνηλίας αὐτῷ, τῆς Γράκχε μητρὸς, ἐπιθεμένης, ἵνα μὴ ὁ νόμος ὁ Γράκχε λυθείη, καὶ συλλαβέσης ἐς τῦτο Σεμπρωνίας τῆς θυγατρὸς, ἣ, τῷ Σκιπίωνι γαμεμένη, διὰ δυσμορφίαν καὶ ἀπαιδίαν ὅτ' ἐςέργετο ὅτ' ἔςεργεν· εἴθ', ὡς ἔνιοι δοκῦσιν, ἑκὼν ἀπέθανε, συνιδὼν ὅτι ἐκ ἔσοιτο δυνατὸς κατασχεῖν, ὧν ὑπόσχοιτο. εἰσὶ δ' οἱ, βασανιζομένες, φασὶ, θεράποντας εἰπεῖν, ὅτι αὐτὸν ξένοι δι' ὀπισθοδόμε νυκτὸς ἐπεισαχθέντες ἀποπνίξαιεν· καὶ οἱ πυθόμενοι, ὀκνήσαιεν ἐξενεγκεῖν διὰ τὸν δῆμον ὀργιζόμενον ἔτι καὶ τῷ θανάτῳ συνηδόμενον. Σκιπίων μὲν δὴ τεθνήκει, καὶ ὀδὲ δημοσίας ταφῆς ἠξιῦτο, μέγιςα δὴ τὴν ἡγεμονίαν ὠφελήσας. ὅτως ἡ παρ' αὐτίκα ὀργὴ τῆς ποτὲ χάριτος ἐπικρατεῖ. καὶ τόδε, ὂν τηλικῦτον, ὅια πάρεργον ἐπὶ τῇ Γράκχε ςάσει συνέπεσε.

mortuus. Variæ de morte ejus conjecturæ.

Τὴν δὲ διαίρεσιν τῆς γῆς οἱ κεκτημένοι, καὶ ὥς, ἐπὶ προφάσεσι ποικίλαις διέφερον ἐπὶ πλεῖςον. καί τινες εἰσηγῦντο, τὲς συμμάχες ἅπαντας, ὃ δὴ περὶ τῆς γῆς μάλιςα ἀντέλεγον, εἰς τὴν Ῥωμαίων πολιτείαν ἀναγράψαι, ὡς μείζονι χάριτι περὶ τῆς γῆς ὀ διοισομένες. καὶ ἐδέχοντο ἄσμενοι τῦθ' οἱ Ἰταλιῶται, προτιθέντες τῶν χωρίων τὴν πολιτείαν. συνέπρασσέ τε αὐτοῖς ἐς τῦτο μάλιςα πάντων Φέλβιος Φλάκκος, ὑπατεύων ἅμα καὶ τὴν γῆν διανέμων. ἡ βελὴ δ' ἐχαλέπαινε, τὲς ὑπηκόες σφῶν ἰσοπολίτας εἰ ποιήσονται. καὶ τόδε μὲν τὸ ἐγχείρημα ὅτω διελύθη. καὶ ὁ δῆμος, ἐν ἐλπίδι τέως τῆς γῆς γενόμενος, ἠθύμει. ὧδε δ' αὐτοῖς ἔχεσιν, ἀσπάσιος ἐκ τῶν τὴν γῆν διαιρέντων ἐς δημαρχίαν ἐπιφαίνεται Γάϊος Γράκχος, ὁ Γράκχε τῦ νομοθέτε νεώτερος ἀδελφὸς, ἐς πολὺ μὲν ἡσυχάσας ἐπὶ τῇ τῦ ἀδελφῦ συμφορᾷ. πολλῶν δ' αὐτῦ καταφρονέντων ἐν τῷ βελευτηρίῳ, παρήγγειλεν ἐς δημαρχίαν. καὶ περιφανέςατα αἱρεθεὶς, εὐθὺς ἐπεβέλευε τῇ βελῇ, σιτηρέσιον ἔμμηνον ὁρίσας ἑκάςῳ τῶν δημοτῶν ἀπὸ τῶν κοινῶν χρημάτων, ὀ πρότερον εἰωθὸς διαδίδοσθαι. καὶ ὁ μὲν ὀξέως ὅτως ἑνὶ πολιτεύματι τὸν δῆμον ὑπηγάγετο, συμπράξαντος αὐτῷ Φελβίε Φλάκκε. καὶ εὐθὺς ἐπὶ τῷδε καὶ ἐς τὸ μέλλον ᾕρητο δημαρχεῖν. καὶ γάρ τις ἤδη νόμος κεκύρωτο· εἰ δήμαρχος ἐνδέοι ταῖς παραγγελίαις, τὸν δῆμον ἐκ πάντων ἐπιλέγεσθαι.

cap. 21. Flaccus sociis cunctis civitatem dandam arbitratur, ut de agro contendere desinant. A. U. 629. ante Chr. 125.

Cajus Gracchus legem fert de frumento menstruo plebi viritim dividendo ex publico, A. U. 630. ante Chr. 124.

& in sequentem annum tribunus reficitur.

'Ο

Digitized by Google

cap. 22.
Ut equitibus quoque gratificetur, legem fert de judiciorum potestate a senatorio ordine ad equites transferenda, A. U. 632. ante Chr. 122.

Ὁ μὲν δὴ Γάϊος Γράκχος οὕτως ἐδημάρχει τὸ δεύτερον. διὰ δ' ἔχων τὸν δῆμον ἔμμισθον, ὑπήγετο καὶ τοὺς καλουμένους ἱππέας, οἳ τὴν ἀξίωσίν εἰσι τῆς βουλῆς καὶ τῶν δημοτῶν ἐν μέσῳ, δι' ἑτέρου τοιοῦδε πολιτεύματος· τὰ δικαστήρια, ἀδοξοῦντα ἐπὶ δωροδοκίαις, ἐς τοὺς ἱππέας ἀπὸ τῶν βουλευτῶν μετέφερε· τὰ ὑπόγυια μάλιστα αὐτοῖς ὀνειδίζων, ὅτι Κορνήλιος Κόττας, καὶ Σαλινάτωρ, καὶ τρίτος ἐπὶ τούτοις Μάνιος Ἀκύλιος, ὁ τὴν Ἀσίαν ἑλών, σαφῶς δεδωροδοκηκότες, ἀφεῖντο ὑπὸ τῶν δικασάντων· οἵ τε πρέσβεις οἱ κατ' αὐτῶν ἔτι παρόντες, σὺν φθόνῳ ταῦτα περιϊόντες ἐκεκράγεσαν. ἅπερ ἡ βουλὴ μάλιστα αἰδουμένη, ἐς τὸν νόμον ἐνεδίδου· καὶ ὁ δῆμος αὐτὸν ἐκύρου. καὶ μετηνέχθη μὲν ὧδε ἐς τοὺς ἱππέας ἀπὸ τῆς βουλῆς τὰ δικαστήρια. φασὶ δὲ, κυρωθέντος μὲν ἄρτι τοῦ νόμου, τὸν Γράκχον εἰπεῖν, ὅτι ἀθρόως τὴν βουλὴν καθῃρήκοι· τοῦ δ' ἔργου προϊόντος ἐς πεῖραν, μειζόνως ἔτι ἐκφανῆναι τὸ ἔπος τοῦ Γράκχου. τό τε γὰρ δικάζειν αὐτοὺς Ῥωμαίοις, καὶ Ἰταλιώταις ἅπασι, καὶ αὐτοῖς βουλευταῖς, ἐπὶ παντὶ μέτρῳ, χρημάτων τε πέρι καὶ ἀτιμίας καὶ φυγῆς, τοὺς μὲν ἱππέας, οἷά τινας ἄρχοντας αὐτῶν ὑπερεπῆρε, τοὺς δὲ βουλευτὰς ἴσα καὶ ὑπηκόους ἐποίει. συνιστάμενοί τε τοῖς δημάρχοις οἱ ἱππεῖς ἐς τὰς χειροτονίας, καὶ ἀντιλαμβάνοντες παρ' αὐτῶν, ὅ τι θέλοιεν, ἐπὶ μέγα φόβου τοῖς βουλευταῖς ἐχώρουν. ταχύ τε περιῆν ἀνεστράφθαι τὸ κράτος τῆς πολιτείας, τὴν μὲν ἀξίωσιν μόνην ἔτι τῆς βουλῆς ἐχούσης, τὴν δὲ δύναμιν, τῶν ἱππέων. προϊόντες γὰρ οὐκ ἐδυνάστευον μόνον, ἀλλὰ καὶ σαφῶς ἐνύβριζον τοῖς βουλευταῖς παρὰ τὰς δίκας. τὴν δὲ δωροδοκίαν μεταλαβόντες, καὶ γευσάμενοι καὶ οἵδε κερδῶν ἀθρόων, αἰσχρότερον ἔτι καὶ ἀμετρότερον αὐτοῖς ἐχρῶντο. κατηγόρους τε ἐνετοὺς ἐπὶ τοῖς πλουσίοις ἐπήγοντο, καὶ τὰς τῶν δωροδοκιῶν δίκας, συνιστάμενοι σφίσιν αὐτοῖς, καὶ βιαζόμενοι, πάμπαν ἀνῄρουν· ὡς καὶ τὸ ἔθος ὅλως τῆς τοιᾶσδε εὐθύνης ἐπιλιπεῖν, καὶ στάσιν ἄλλην τὸν δικαστικὸν νόμον οὐκ ἐλάσσω τῶν προτέρων ἐς πολὺ παρασχεῖν.

qua equites supra senatorium ordinem evehuntur.

Mox equites turpius & immoderatius quam senatores hac potestate abutuntur.

cap. 23.
C. Gracchus vias per Italiam munit,

Ὁ δὲ Γράκχος καὶ ὁδοὺς ἔτεμνεν ἀνὰ τὴν Ἰταλίαν μακρὰς, πλῆθος ἐργολάβων καὶ χειροτεχνῶν ὑφ' ἑαυτῷ ποιούμενος, ἑτοίμων ἐς ὅ τι κελεύοι. καὶ ἀποικίας εἰση-

γεῖτο

Digitized by Google

γεῖτο πολλάς. καὶ τοὺς Λατίνους ἐπὶ πάντα ἐκάλει τὰ Ῥωμαίων, ὡς οὐκ εὐπρεπῶς συγγενέσι τῆς βουλῆς ἀντιστῆναι δυναμένης· τῶν τε ἑτέρων συμμάχων, οἷς οὐκ ἐξῆν ψῆφον ἐν ταῖς Ῥωμαίων χειροτονίαις φέρειν, ἐδίδου φέρειν ἀπὸ τοῦδε, ἐπὶ τῷ ἔχειν καὶ τούσδε ἐν ταῖς χειροτονίαις τῶν νόμων αὐτοῦ συντελοῦντας. ἐφ' ᾧ δὴ μάλιστα ἡ βουλὴ διαταραχθεῖσα, τοὺς ὑπάτους ἐκέλευσε προγράψαι, Μηδένα τῶν οὐ φερόντων ψῆφον ἐπιδημεῖν τῇ πόλει, μηδὲ προσπελάζειν ἀπὸ τεσσαράκοντα σταδίων παρὰ τὴν ἐσομένην περὶ τῶνδε τῶν νόμων χειροτονίαν. Λίβιόν τε Δροῦσον, ἕτερον δήμαρχον, ἔπεισε κωλῦσαι τοὺς Γράκχου νόμους, οὐκ ἐπιλέγοντα τῷ δήμῳ τὰς αἰτίας· δέδοται δὲ τῷ κωλύοντι, μηδ' ἐπιλέγειν. ἔδωκαν δ' αὐτῷ καὶ φιλανθρωπεύσασθαι τὸν δῆμον δώδεκα ἀποικίαις· ᾧ δὴ καὶ μάλιστα ὁ δῆμος ἡσθεὶς, τῶν Γράκχου νόμων κατεφρόνησεν.

multas colonias deducendas proponit, tandem Latinos socios invitat ad plenum jus Rom. civitatis, & reliquos socios ad jus suffragiorum petendum, Livio tamen Druso tribuno intercedente.

Ὁ δὲ, τοῦ δημοκοπήματος ἐκπεσὼν, ἐς Λιβύην, ἅμα Φουλβίῳ Φλάκκῳ, κἀκείνῳ μεθ' ὑπατείαν διὰ τάδε δημαρχεῖν ἑλομένῳ, διέπλευσεν· ἐψηφισμένης κατὰ δόξαν εὐκαρπίας ἐς Λιβύην ἀποικίας, καὶ τῶνδε αὐτῶν οἰκιστῶν ἐπίτηδες ᾑρημένων, ἵνα μικρὸν ἀποδημούντων, ἀναπαύσαιτο ἡ βουλὴ τῆς δημοκοπίας. οἱ δὲ τῇ ἀποικίᾳ τὴν πόλιν διέγραφον, ἔνθα ποτὲ ἦν ἡ Καρχηδονίων· οὐδὲν φροντίσαντες, ὅτι Σκιπίων αὐτὴν, ὅτε κατέσκαπτεν, ἐπηράσατο ἐς αἰεὶ μηλόβοτον εἶναι. διέγραφον δ' ἐς ἑξακισχιλίους, ἀντὶ ἐλαττόνων τῶν ὄντων ἐν τῷ νόμῳ, ὡς καὶ τῷδε τὸν δῆμον ὑπαξόμενοι. ἐπανελθόντες τε ἐς Ῥώμην, συνεκάλουν ἐξ ὅλης Ἰταλίας τοὺς ἑξακισχιλίους. ἐπιστειλάντων δὲ τῶν ἐν Λιβύῃ τὴν πόλιν ἔτι διαγραφόντων, ὅτι λύκοι τοὺς ὅρους Γράκχου τε καὶ Φουλβίου διέῤῥιψαν ἀνασπάσαντες, καὶ τῶν μάντεων τὴν ἀποικίαν ἡγουμένων ἀπαίσιον· ἡ μὲν βουλὴ προέγραφεν ἐκκλησίαν, ἐν ᾗ τὸν νόμον ἔμελλε τὸν περὶ τῆσδε τῆς ἀποικίας λύσειν. ὁ δὲ Γράκχος καὶ ὁ Φούλβιος, ἐπεὶ καὶ τοῦδε ἐξέπιπτον, μεμηνόσιν ἐοικότες, ἐψεῦσθαι τὴν βουλὴν ἔφασκον περὶ τῶν λύκων. οἵ τε θρασύτατοι τῶν δημοτῶν αὐτοῖς συνελάμβανον, ἐγχειρίδια φέροντες ἐς τὸ Καπιτώλιον, οὗ περὶ τῆς ἀποικίας ἐκκλησιάσειν ἔμελλον.

cap. 24. Ad Romanorum coloniam in ruinas Carthaginis deducendam eligitur Gracchus una cum Fulvio Flacco, ut per eorum absentiam respiret Senatus a turbis.

Cum antem auræ popularis causa colonorum numerum nimis auget, comitia indicuntur, in quibus lex de ea colonia abrogatur,

A. U. 633. ante Chr. 121.

Ἤδη δὲ τοῦ δήμου συνειλεγμένου, καὶ Φουλβίου τι περὶ τούτων ἀρχομένου λέγειν, ὁ Γράκχος ἀνέβαινεν εἰς τὸ Καπιτώ-

cap. 25. Gracchus & Fulvius cum

cap. 22. Ut equitibus quoque gratificetur, legem fert de judiciorum potestate a senatorio ordine ad equites transferenda, A. U. 632. ante Chr. 122.

Ὁ μὲν δὴ Γάϊος Γράκχος ὧτως ἐδημάρχει τὸ δεύτερον. διὰ δ' ἔχων τὸν δῆμον ἔμμισθον, ὑπήγετο καὶ τὺς καλεμένυς ἱππέας, οἳ τὴν ἀξίωσίν εἰσι τῆς βυλῆς καὶ τῶν δημοτῶν ἐν μέσῳ, δι' ἑτέρυ τοιῦδε πολιτεύματος· τὰ δικαςήρια, ἀδοξῦντα ἐπὶ δωροδοκίαις, ἐς τὺς ἱππέας ἀπὸ τῶν βυλευτῶν μετέφερε· τὰ ὑπόγυια μάλιςα αὐτοῖς ὀνειδίζων, ὅτι Κορνήλιος Κόττας, καὶ Σαλινάτωρ, καὶ τρίτος ἐπὶ τύτοις Μάνιος Ἀκύλιος, ὁ τὴν Ἀσίαν ἑλὼν, σαφῶς δεδωροδοκηκότες, ἀφεῖντο ὑπὸ τῶν δικασάντων· οἵ τε πρέσβεις οἱ κατ' αὐτῶν ἔτι παρόντες, σὺν φθόνῳ ταῦτα περιϊόντες ἐκεκράγεσαν. ἅπερ ἡ βυλὴ μάλιςα αἰδυμένη, ἐς τὸν νόμον ἐνεδίδυ· καὶ ὁ δῆμος αὐτὸν ἐκύρυ. καὶ μετηνέχθη μὲν ὧδε ἐς τὺς ἱππέας ἀπὸ τῆς βυλῆς τὰ δικαςήρια. φασὶ δὲ, κυρωθέντος μὲν ἄρτι τῦ νόμυ, τὸν Γράκχον εἰπεῖν, ὅτι ἀθρόως τὴν βυλὴν καθῃρήκοι· τῦ δ' ἔργυ προϊόντος ἐς πεῖραν, μειζόνως ἔτι ἐκφανῆναι τὸ ἔπος τῦ Γράκχυ.

qua equites supra senatorium ordinem evehuntur.

τό τε γὰρ δικάζειν αὐτὺς Ῥωμαίοις, καὶ Ἰταλιώταις ἅπασι, καὶ αὐτοῖς βυλευταῖς, ἐπὶ παντὶ μέτρῳ, χρημάτων τε πέρι καὶ ἀτιμίας καὶ φυγῆς, τὺς μὲν ἱππέας, οἷά τινας ἄρχοντας αὐτῶν ὑπερεπῆρε, τὺς δὲ βυλευτὰς ἴσα καὶ ὑπηκόυς ἐποίει. συνιςάμενοί τε τοῖς δημάρχοις οἱ ἱππεῖς ἐς τὰς χειροτονίας, καὶ ἀντιλαμβάνοντες παρ' αὐτῶν, ὅ τι θέλοιεν, ἐπὶ μέγα φόβυ τοῖς βυλευταῖς ἐχώρυν. ταχύ τε περιῆν ἀνεςράφθαι τὸ κράτος τῆς πολιτείας, τὴν μὲν ἀξίωσιν μόνην ἔτι τῆς βυλῆς ἐχύσης, τὴν δὲ δύναμιν, τῶν ἱππέων. προϊόντες γὰρ ὐκ ἐδυνάςευον μόνον, ἀλλὰ καὶ σαφῶς ἐνύβριζον τοῖς βυλευταῖς παρὰ τὰς δίκας.

Mox equites turpius & immoderatius quam senatores hac potestate abutuntur.

τὴν δὲ δωροδοκίαν μεταλαβόντες, καὶ γευσάμενοι καὶ οἵδε κερδῶν ἀθρόων, αἰσχρότερον ἔτι καὶ ἀμετρότερον αὐτοῖς ἐχρῶντο. κατηγόρυς τε ἐνετὺς ἐπὶ τοῖς πλυσίοις ἐπήγοντο, καὶ τὰς τῶν δωροδοκιῶν δίκας, συνιςάμενοι σφίσιν αὐτοῖς, καὶ βιαζόμενοι, πάμπαν ἀνῄρυν· ὡς καὶ τὸ ἔθος ὅλως τῆς τοιᾶσδε εὐθύνης ἐπιλιπεῖν, καὶ ςάσιν ἄλλην τὸν δικαςικὸν νόμον ὐκ ἐλάσσω τῶν προτέρων ἐς πολὺ παρασχεῖν.

cap. 23. C. Gracchus vias per Italiam munit,

Ὁ δὲ Γράκχος καὶ ὁδὺς ἔτεμνεν ἀνὰ τὴν Ἰταλίαν μακράς, πλῆθος ἐργολάβων καὶ χειροτεχνῶν ὑφ' ἑαυτῷ ποιύμενος, ἑτοίμων ἐς ὅ τι [illegible] καὶ [illegible]ικίας [illegible]

Digitized by Google

γεῖτο πολλάς. καὶ τοὺς Λατίνους ἐπὶ πάντα ... Ῥωμαίων, ὡς ἐκ εὐπρεπῶς συγγενέσι τῆς βουλῆς ... ναι δυναμένης· τῶν τε ἑτέρων συμμάχων, ... ψῆφον ἐν ταῖς Ῥωμαίων χειροτονίαις φέρειν, ... ἀπὸ τοῦδε, ἐπὶ τῷ ἔχειν καὶ τούσδε ἐν ταῖς ... τῶν νόμων αὐτῷ συντελοῦντας. ἐφ' ᾧ δὴ μάλιστα ... διαταραχθεῖσα, τοὺς ὑπάτους ἐκέλευσε προγράψαι, ... τῶν οὐ φερόντων ψῆφον ἐπιδημεῖν τῇ πόλει, ... λάζειν ἀπὸ τεσσαράκοντα σταδίων παρὰ τὴν ἐσομένην ... τῶνδε τῶν νόμων χειροτονίαν. Λίβιόν τε Δροῦσον, ... δήμαρχον, ἔπεισε κωλῦσαι τοὺς Γράκχου νόμους, ... γοντα τῷ δήμῳ τὰς αἰτίας· δέδοται δὲ τῷ κωλύοντι, ... ἐπιλέγειν. ἔδωκαν δ' αὐτῷ καὶ φιλανθρωπεύσασθαι ... δῆμον δώδεκα ἀποικίαις· ᾧ δὴ καὶ μάλιστα ὁ δῆμος ... τῶν Γράκχου νόμων κατεφρόνησεν.

Ὁ δὲ, τοῦ δημοκοπήματος ἐκπεσὼν, ἐς Λιβύην, ... Φουλβίῳ Φλάκκῳ, κἀκείνῳ μεθ' ὑπατείαν διὰ ταῦτα δημαρχεῖν ἑλομένῳ, διέπλευσεν· ἐψηφισμένης κατὰ δόξαν εὐκαρπίας ἐς Λιβύην ἀποικίας, καὶ τῶνδε αὐτῶν οἰκιστῶν ἐπίτηδες ᾑρημένων, ἵνα μικρὸν ἀποδημούντων, ἀναπαύσαιτο ἡ βουλὴ τῆς δημοκοπίας. οἱ δὲ τῇ ἀποικίᾳ τὴν πόλιν διέγραφον, ἔνθα ποτὲ ἦν ἡ Καρχηδονίων· οὐδὲν φροντίσαντες, ὅτι Σκιπίων αὐτὴν, ὅτε κατέσκαπτεν, ἐπηράσατο ἐς αἰεὶ μηλόβοτον εἶναι. διέγραφον δ' ἐς ἑξακισχιλίους, ἀντὶ ἐλαττόνων τῶν ὄντων ἐν τῷ νόμῳ, ὡς καὶ τῷδε τὸν δῆμον ὑπαξόμενοι. ἐπανελθόντες τε ἐς Ῥώμην, συνεκάλουν ἐξ ὅλης Ἰταλίας τοὺς ἑξακισχιλίους. ἐπιστειλάντων δὲ τῶν ἐν Λιβύῃ τὴν πόλιν ἔτι διαγραφόντων, ὅτι λύκοι τοὺς ὅρους Γράκχου τε καὶ Φουλβίου διέρριψαν ἀνασπάσαντες, καὶ τῶν μάντεων τὴν ἀποικίαν ἡγουμένων ἀπαίσιον· ἡ μὲν βουλὴ προέγραφεν ἐκκλησίαν, ἐν ᾗ τὸν νόμον ἔμελλε τὸν περὶ τῆσδε τῆς ἀποικίας λύσειν. ὁ δὲ Γράκχος καὶ ὁ Φούλβιος, ἐπεὶ καὶ τοῦδε ἐξέπιπτον, μεμηνόσιν ἐοικότες, ἐψεῦσθαι τὴν βουλὴν ἔφασκον περὶ τῶν λύκων. οἵ τε θρασύτατοι τῶν δημοτῶν αὐτοῖς συνελάμβανον, ἐγχειρίδια φέροντες ἐς τὸ Καπιτώλιον, οὗ περὶ τῆς ἀποικίας ἐκ...

Ἤδη δὲ τοῦ δήμου συνειλεγμέ... τάτου ... μένου λέ... Γράκ...

Consulem ... Gracchus una cum Fulvio Flacco, aperet ... Gracchus ... Carthaginem ... tur ... Carth... ... crimen fit, consis ... Senatus ... bis.

Carthaginem ... ornitis ... lupis ... cereus ... terminos ... concilia indicuntur, in quibus lex de ea colonia abrogatur. A. U. 633. ante Chr. ...

cap. 25. Gracchus & Fulvius cum

factione sua, sicis instructa, in Capitolium, ubi populus suffragia laturus erat, contendunt.

πιτώλιον, ὑπὸ τῶν συνθεμένων δορυφορούμενος. ἐνοχλούμενος δ' ὑπὸ τοῦ συνειδότος, ὡς ἐπὶ ἀλλοκότοις βουλεύμασι, τὴν μὲν σύνοδον τῆς ἐκκλησίας ἀπέκλινεν, ἐς δὲ τὴν στοὰν παρελθὼν διεβάδιζεν, ἐφεδρεύων τοῖς ἐσομένοις. καὶ αὐτὸν οὕτως ἔχοντα θορύβου κατιδὼν δημότης ἀνὴρ Ἀντύλλος ἐν τῇ στοᾷ θύων, ἐμβαλὼν τὴν χεῖρα, εἴ τε τι πυθόμενος ἢ ὑποπτεύων, ἢ ἄλλως ἐς τὸν λόγον ὑπαχθείς, ἠξίου, φείσασθαι τῆς πατρίδος.

Antyllus, Gracchum rogans, ut patriæ parcat, a quodam e Gracchianis pugione trajicitur.

ὁ δὲ μᾶλλόν τε θορυβηθείς, καὶ δείσας ὡς κατάφωρος, ἐσέβλεψεν αὐτῷ δριμύ· καί τις τῶν παρόντων, οὔτε σημείου τινὸς ἐπαρθέντος, οὔτε προστάγματός πω γεγονότος, ἐκ μόνης ἐς τὸν Ἀντύλλον Γράκχου δριμύτητος εἰκάσας ἤδη τὸν καιρὸν ἥκειν, καὶ χαριεῖσθαί τι τῷ Γράκχῳ δόξας, πρῶτος ἀρξάμενος ἔργου, τὸ ἐγχειρίδιον ἐπισπάσας διαχρῆται τὸν Ἀντύλλον. βοῆς δὲ γενομένης, καὶ σώματος ὀφθέντος ἐν μέσῳ νεκροῦ, πάντες ἐκ τοῦ ἱεροῦ κατεπήδων σὺν ὁμοίου κακοῦ φόβῳ.

Populus Gracchum & Fulvium ut homines, civili sanguine pollutos, aversatur, & Opimius Cos. armatos colligit.

Γράκχος δ' ἐς τὴν ἀγορὰν παρελθών, ἐβούλετο μὲν αὐτοῖς ἐκλογίσασθαι περὶ τοῦ γεγονότος. οὐδενὸς δ' αὐτὸν οὐδ' ὑφισταμένου, ἀλλ' ὡς ἐναγῆ πάντων ἐκτρεπομένων, ὁ μὲν Γράκχος καὶ ὁ Φλάκκος ἀπορούμενοι, καὶ τὸν καιρόν, ὧν ἐβουλεύοντο φθάσαι, τὴν ἐγχείρησιν ἀπολωλεκότες, ἐς τὰς οἰκίας διέτρεχον, καὶ οἱ συνθέμενοι αὐτοῖς συνῄεσαν ἐς αὐτάς. τὸ δ' ἄλλο πλῆθος ἐκ μέσων νυκτῶν, ὡς ἐπὶ δή τινι κακῷ, τὴν ἀγορὰν προκατελάμβανον. καὶ ὃς ἐπεδήμει τῶν ὑπάτων, Ὀπίμιος, διέτασσε μέν τινας ἐνόπλους ἐς τὸ Καπιτώλιον ἅμα ἕῳ συνιέναι, καὶ τὴν βουλὴν διὰ κηρύκων συνεκάλει· αὐτὸς δ' ἐν μέσῳ πάντων ἐν τῷ νεῷ τῶν Διοσκούρων ἐφέδρευε τοῖς ἐσομένοις.

cap. 26. Gracchus & Fulvius, ad causam in curia dicendam a Senatu evocati, discurrunt armati per urbem, & Quintum Fulvii filium, de concordia acturum, ad

Τάδε μὲν ἦν τοιάδε. ἡ δὲ βουλὴ Γράκχον καὶ Φλάκκον ἐκ τῶν οἰκιῶν ἐς ἀπολογίαν ἐς τὸ βουλευτήριον ἐκάλουν. οἱ δὲ σὺν ὅπλοις ἐξέθεον ἐπὶ τὸν Ἀβεντῖνον λόφον, ἐλπίσαντες, εἰ τόνδε προλάβοιεν, ἐνδώσειν πρὸς τὰς συνθήκας αὐτοῖς τι τὴν βουλήν. διαθέοντές τε, τοὺς θεράποντας συνεκάλουν ἐπ' ἐλευθερίᾳ. καὶ τῶνδε μὲν οὐδεὶς ὑπήκουεν. αὐτοὶ δέ, σὺν ὅσοις εἶχον ἀμφ' αὐτούς, τὸ Ἀρτεμίσιον καταλαβόντες, ἐκρατύνοντο· καὶ Κόϊντον, Φλάκκου παῖδα, ἐς τὴν βουλὴν ἔπεμπον, δεόμενοι διαλλαγῶν τυχεῖν,

Digitized by Google

χεῖν, καὶ βιῶν μεθ' ὁμονοίας. οἱ δ' ἐκέλευον αὐτὰς, ἀποθεμένας τὰ ὅπλα ἥκειν ἐς τὸ βουλευτήριον, καὶ λέγειν ὅ τι θέλοιεν, ἢ μηκέτι πέμπειν μηδένα. τῶν δ' αὖθις τὸν Κόϊντον ἐπιπεμψάντων, τόνδε μὲν Ὀπίμιος ὁ ὕπατος, διὰ τὴν προαγόρευσιν, ὡς οὐκ ἔτι πρεσβευτὴν ὄντα, συνελάμβανε· τοῖς δὲ περὶ τὸν Γράκχον τὰς ὡπλισμένας ἔπεμπε. καὶ Γράκχος μὲν διὰ τῆς ξυλίνης γεφύρας ἐς τὸ πέραν τοῦ ποταμοῦ καταφυγὼν ἐς ἄλσος τι μεθ' ἑνὸς θεράποντος, ὑπέσχε τῷ θεράποντι τὴν σφαγὴν καταλαμβανόμενος. Φλάκκος δ' ἐς ἐργαστήριον ἀνδρὸς γνωρίμου καταφυγόντος, οἱ μὲν διώκοντες, τὴν οἰκίαν οὐκ εἰδότες, ὅλον ἐμπρήσειν τὸν στενωπὸν ἠπείλουν. ὁ δ' ὑποδεξάμενος, αὐτὸς μὲν ὤκνησε μηνῦσαι τὸν ἱκέτην, ἑτέρῳ δὲ προσέταξε μηνῦσαι. καὶ συλληφθεὶς ὁ Φλάκκος ἀνῃρέθη. Γράκχου μὲν δὴ καὶ Φλάκκου τὰς κεφαλὰς ἔφερόν τινες Ὀπιμίῳ· καὶ αὐτοῖς ὁ Ὀπίμιος ἰσοβαρὲς χρυσίον ἀντέδωκεν. ὁ δὲ δῆμος αὐτῶν τὰς οἰκίας διήρπαζε, καὶ τοὺς συμφρονήσαντας ὁ Ὀπίμιος συλλαβὼν, ἐς τὴν φυλακὴν ἐνέβαλέ τε καὶ ἀποπνιγῆναι προσέταξε. Κοΐντῳ δὲ τῷ Φλάκκου παιδὶ συνεχώρησεν ἀποθανεῖν ὡς θέλοι· καὶ τὴν πόλιν ἐπὶ τοῖς φόνοις ἐκάθαιρεν. ἡ δὲ βουλὴ καὶ νεὼν Ὁμονοίας αὐτὸν ἐν ἀγορᾷ προσέταξεν ἐγεῖραι.

senatum mittunt.

Opimius eum comprehendi jubet, & armatos contra Gracchianos mittit: Gracchus fugit, & cum in eo esset, ut deprehenderetur, servo jugulum præbet; Fulvius comprehensus occiditur.

Καὶ ἡ στάσις ἡ τοῦ δευτέρου Γράκχου ἐς τάδε ἔληγε. νόμος τε οὐ πολὺ ὕστερον ἐκυρώθη, τὴν γῆν, ὑπὲρ ἧς διεφέροντο, ἐξεῖναι πιπράσκειν τοῖς ἔχουσιν· (ἀπείρητο γὰρ ἐκ Γράκχου τοῦ προτέρου καὶ τόδε.) καὶ εὐθὺς οἱ πλούσιοι παρὰ τῶν πενήτων ἐωνοῦντο, ἢ ταῖσδε ταῖς προφάσεσιν ἐβιάζοντο. καὶ περιῆν ἐς χεῖρον ἔτι τοῖς πένησι· μέχρι Σπούριος Θόριος δημαρχῶν εἰσηγήσατο νόμον, τὴν μὲν γῆν μηκέτι διανέμειν, ἀλλ' εἶναι τῶν ἐχόντων, καὶ φόρους ὑπὲρ αὐτῆς τῷ δήμῳ κατατίθεσθαι, καὶ τάδε τὰ χρήματα χωρεῖν ἐς διανομάς. ὅπερ ἦν μέν τις τοῖς πένησι παρηγορία, διὰ τὰς διανομάς· ὄφελος δ' οὐδὲν ἐς πολυπληθίαν. ἅπαξ δὲ τοῖς σοφίσμασι τοῖσδε τοῦ Γρακχείου νόμου παραλυθέντος, (ἀρίστου καὶ ὠφελιμωτάτου, εἰ ἐδύνατο πραχθῆναι, γενομένου·) καὶ τοὺς φόρους οὐ πολὺ ὕστερον διέλυσε δήμαρχος ἕτερος· καὶ ὁ δῆμος ἀθρόως ἁπάντων ἐξεπεπτώκει.

cap. 27. Legibus post hunc secundæ seditionis Gracchianæ exitum latis plebi ex omnibus his turbis nihil commodi reliquum factum est.

Digitized by Google

Plutarchus in Mario. cap. 7. Bellum Jugurthinum. A.U.636-648. ante Chr. 118-106. C. Marius, Cæcilii Metelli in bello Jugurthino legatus, minus Consulis, quam suæ famæ prospexit, ut tandem milites nullum belli finem exspectarent, nisi C. Marius consul crearetur.

(Κατὰ δὲ τῦτον τὸν χρόνον Γαίος Μάριος τέλος ἐπέθηκε τῷ κατὰ Ἰυγύρθα πολέμῳ.) Ἐπεὶ δὴ Καικίλιος Μέτελλος ἀποδειχθεὶς ἐπὶ τὸν κατὰ Ἰυγύρθα πόλεμον ὕπατος στρατηγὸς εἰς Λιβύην, ἐπηγάγετο πρεσβευτὴν Μάριον, ἐνταῦθα πράξεων μεγάλων καὶ λαμπρῶν ἀγώνων ἐπιλαβόμενος, τὸ μὲν αὔξειν τὸν Μέτελλον, ὥσπερ οἱ λοιποὶ, καὶ πολιτεύεσθαι πρὸς ἐκεῖνον, εἴασε χαίρειν· ἀξιῶν δ' ὐχ ὑπὸ Μετέλλυ κεκλῆσθαι πρεσβευτὴς, ὑπὸ δὲ τῆς τύχης εἰς εὐφυέστατον καιρὸν ὁμῦ καὶ μέγιστον εἰσάγεσθαι πράξεων θέατρον, ἐπεδείκνυτο πᾶσαν ἀνδραγαθίαν. καὶ πολλὰ τῦ πολέμυ δυσχερῆ φέροντος, ὔτε τῶν μεγάλων τινὰ πόνον ὑποτρέσας, ὔτε τῶν μικρῶν ἀπαξιώσας, ἀλλὰ τὺς μὲν ὁμοτίμυς εὐβυλίᾳ καὶ προνοίᾳ τῦ συμφέροντος ὑπερβαλλόμενος, πρὸς δὲ τὺς στρατιώτας ὑπὲρ εὐτελείας καὶ καρτερίας διαμιλλώμενος, εὔνοιαν ἔσχε πολλὴν παρ' αὐτοῖς. ὅλως μὲν γὰρ ἔοικε τῦ κάμνειν ἑκάστῳ παραμυθία τὸ συγκάμνον ἑκυσίως εἶναι· δοκεῖ γὰρ ἀφαιρεῖν τὴν ἀνάγκην. ἥδιστον δὲ Ῥωμαίων θέαμα στρατιώτῃ, στρατηγὸς ἐσθίων ἐν ὄψει κοινὸν ἄρτον, ἢ κατακείμενος ἐπὶ στιβάδος εὐτελῦς, ἢ περὶ ταφρείαν τινὰ καὶ χαράκωσιν ἔργυ συνεφαπτόμενος. ὐ γὰρ ὕτω τὺς τῆς τιμῆς καὶ χρημάτων μεταδιδόντας, ὡς τῦ πόνυ καὶ κινδύνυ μεταλαμβάνοντας ἡγεμόνας θαυμάζυσιν, ἀλλὰ μᾶλλον ἀγαπῶσι τῶν ῥαθυμεῖν ἐπιτρεπόντων τὺς συμπονεῖν ἐθέλοντας. ταῦτα πάντα ποιῶν ὁ Μάριος, καὶ διὰ τύτων τὺς στρατιώτας δημαγωγῶν, ταχὺ μὲν ἐνέπλησε τὴν Λιβύην, ταχὺ δὲ τὴν Ῥώμην ὀνόματος καὶ δόξης, τῶν ἀπὸ στρατοπέδυ τοῖς οἴκοι γραφόντων, ὡς ὐκ ἔστι πέρας, ὐδὲ ἀπαλλαγὴ τῦ πρὸς τὸν βάρβαρον πολέμυ, μὴ Γάϊον Μάριον ἑλομένοις ὕπατον.

cap. 8. Mox apertæ offensiones inter Metellum&Marium ortæ.

Ἐφ' οἷς δῆλος ἦν ὁ Μέτελλος ἀχθόμενος. μάλιστα δὲ αὐτὸν ἠνίασε τὰ περὶ Τυρπίλλιον. ὗτος γὰρ ὁ ἀνὴρ ἦν μὲν ἐκ πατέρων ξένος τῷ Μετέλλῳ καὶ ὅτε τὴν ἐπὶ τῶν Τευτόνων ἔχων ἀρχὴν συνεστράτευε. Φρυρῶν δὲ Βάγαν πόλιν μεγάλην, καὶ τῷ μηδὲν ἀδικεῖν τὺς ἐνοικῦντας, ἀλλὰ πρᾴως καὶ φιλανθρώπως αὐτοῖς προσφέρεσθαι πιστεύων, ἔλαθεν ὑποχείριος τοῖς πολεμίοις γενόμενος. παρεδέξαντο γὰρ τὸν Ἰυγύρθαν, τὸν δὲ Τυρπίλλιον

λιον οὐδὲν ἠδίκησαν, ἀλλὰ σῶον ἐξαιτησάμενοι διῆκαν. ἔσχεν οὖν αἰτίαν προδοσίας καὶ παρὼν ὁ Μάριος τῇ κρίσει σύμβουλος, αὐτός τε ὁ πικρὸς ἦν, καὶ τῶν ἄλλων παρώξυνε τοὺς πλείους, ὥστε ἄκοντα τὸν Μέτελλον ἐκβιασθῆναι καὶ καταψηφίσασθαι θάνατον τοῦ ἀνθρώπου. μετ' ὀλίγον δὲ τῆς αἰτίας ψευδοῦς φανείσης, οἱ μὲν ἄλλοι συνήχθοντο τῷ Μετέλλῳ βαρέως φέροντι. Μάριος δὲ χαίρων καὶ ποιούμενος ἴδιον τὸ ἔργον, οὐκ ᾐσχύνετο λέγειν περιϊὼν, ὡς αὐτὸς εἴη προστετριμμένος ἀλάστορα τῷ Μετέλλῳ ξενοκτόνον. ἐκ τούτου φανερῶς ἀπηχθάνοντο· καὶ λέγεται ποτὲ τοῦ Μαρίου παρόντος, οἷον ἐφυβρίζων ὁ Μέτελλος εἰπεῖν, σὺ δὴ καταλιπὼν ἡμᾶς, ὦ γενναῖε, πλεῖν ἐπ' οἴκου διανοῇ, καὶ παραγγέλλειν ὑπατείαν; οὐ γὰρ ἀγαπήσεις, ἂν τῷ 'μῷ παιδὶ τούτῳ συνυπατεύσῃς; ἦν δὲ ὁ παῖς τότε τοῦ Μετέλλου παντάπασι μειράκιον. οὐ μὴν ἀλλὰ τοῦ Μαρίου σπουδάζοντος ἀφεθῆναι, πολλὰς ἀναβολὰς ποιησάμενος, ἔτι δώδεκα λειπομένων ἡμερῶν ἐπὶ τὴν τῶν ὑπάτων ἀνάδειξιν, ἀφῆκεν αὐτόν. ὁ δὲ πολλὴν ἀπὸ στρατοπέδου τὴν ἐπὶ θάλασσαν εἰς Ἰτύκην ὁδὸν ἡμέραις δυσὶ καὶ μιᾷ νυκτὶ συνελὼν, ἔθυε πρὸ τοῦ πλοῦ. καὶ λέγεται τὸν μάντιν εἰπεῖν, ὡς ἀπίστους τινὰς τὸ μέγεθος καὶ κρείττονας ἐλπίδος ἁπάσης εὐπραξίας προφαίνοι τῷ Μαρίῳ τὸ δαιμόνιον. ὁ δὲ τούτοις ἐπαρθεὶς ἀνήχθη. καὶ τὸ πέλαγος τεταρταῖος οὐρίῳ πνεύματι περάσας, αὐτίκα τε τῷ δήμῳ ποθεινὸς ὤφθη, καὶ προαχθεὶς ὑπό τινος τῶν δημάρχων εἰς τὸ πλῆθος, ἐπὶ πολλαῖς κατὰ τοῦ Μετέλλου διαβολαῖς ᾔτεῖτο τὴν ἀρχὴν, ὑπισχνούμενος ἢ κτενεῖν, ἢ ζῶντα λήψεσθαι τὸν Ἰουγούρθαν.

Postea ad comitia consularia Romam dimissus, obtrectando Metellum, Marius viam ad consulatum sibi munit.

Ἀναγορευθεὶς δὲ λαμπρῶς, εὐθὺς ἐστρατολόγει παρὰ τὸν νόμον καὶ τὴν συνήθειαν, πολὺν τὸν ἄπορον καὶ δοῦλον καταγράφων· τῶν πρόσθεν ἡγεμόνων οὐ προσδεχομένων τοὺς τοιούτους, ἀλλ' ὥσπερ ἄλλο τι τῶν καλῶν τὰ ὅπλα μετὰ τιμῆς τοῖς ἀξίοις νεμόντων, ἐνέχυρον τὴν οὐσίαν ἑκάστου τιθέναι δοκοῦντος. οὐ μὴν ταῦτά γε μάλιστα διέβαλλε τὸν Μάριον, ἀλλ' οἱ λόγοι θρασεῖς ὄντες ὑπεροψίᾳ καὶ ὕβρει τοὺς πρώτους ἐλύπουν, σκῦλόν τε βοῶντος, αὐτοῦ τὴν ὑπατείαν φέρεσθαι τῆς τῶν εὐγενῶν καὶ πλουσίων μαλακίας, καὶ τραύμασιν οἰκείοις πρὸς τὸν δῆμον,

cap. 9. Contra legem conscribit capite censos & servos.

ὑ μνήμασι νεκρῶν ὑδὲ ἀλλοτρίαις εἰκόσι νεανιεύεσθαι. πολλάκις δὲ καὶ τὺς ἀτυχήσαντας ἐν Λιβύῃ στρατηγὺς, τῦτο μὲν Βηστίαν, τῦτο δὲ Ἀλβῖνον, ἀνθρώπυς οἴκων μὲν ἐπιφανῶν, αὐτὺς δὲ ἀπολέμυς καὶ δι᾽ ἀπειρίαν πταίσαντας ὀνομάζων, ἐπυνθάνετο τῶν παρόντων, εἰ μὴ καὶ τὺς ἐκείνων οἴονται προγόνυς αὐτῷ μᾶλλον ἂν εὔξαθαι παραπλησίυς ἐκγόνυς ἀπολιπεῖν, ἅτε δὴ μηδὲ αὐτὺς δι᾽ εὐγένειαν, ἀλλ᾽ ὑπὲρ ἀρετῆς καὶ καλῶν ἔργων ἐνδόξυς γενομένυς. ταῦτα δὲ ὑ κενῶς ὑδὲ ἀλαζονικῶς ἔλεγεν, ὑδὲ μάτην ἀπεχθάνεσθαι τοῖς δυνατοῖς βυλόμενος, ἀλλ᾽ ὁ δῆμος αὐτὸν, ἡδόμενός τε τῇ βυλῇ προπηλακιζομένῃ καὶ λόγυ κόμπῳ, μέτρον ἀεὶ φρονήματος καὶ μέγεθος ἐξεκύφιζε, καὶ συνεξώρμα μὴ φείδεσθαι τῶν ἀξιολόγων, χαριζόμενον τοῖς πολλοῖς.

cap. 10. Mox, post Marii in Africa adventum, Jugurtha vivus a Sylla capitur, proditus a Boccho, genero suo,

Ὡς δὲ διέπλευσεν εἰς Λιβύην, Μέτελλος μὲν ἥττων τῦ φθόνυ γενόμενος, καὶ περιπαθῶν ὅτι κατειργασμένυ τὸν πόλεμον αὐτῦ, καὶ μηδὲν ὑπόλοιπον ἢ τὸ σῶμα τῦ Ἰυγύρθα λαβεῖν ἔχοντος, ἥκει Μάριος ἐπὶ τὸν στέφανον καὶ τὸν θρίαμβον ἐκ τῆς πρὸς ἐκεῖνον ἀχαριστίας ηὐξημένος, ὑχ ὑπέμεινεν εἰς τὸ αὐτὸ συνελθεῖν, ἀλλ᾽ αὐτὸς μὲν ὑπεξεχώρησε, Ῥυτίλιος δὲ τὸ στράτευμα τῷ Μαρίῳ παρέδωκε, πρεσβευτὴς γεγονὼς τῦ Μετέλλυ. καὶ περιῆλθέ τις νέμεσις ἐν τῷ τέλει τῶν πράξεων Μάριον. ἀφῃρέθη γὰρ ὑπὸ Σύλλα τὴν τῦ κατορθώματος δόξαν, ὡς ὑπ᾽ ἐκείνυ Μέτελλος· ὃν τρόπον δὲ, ἀφηγήσομαι βραχέως. Βόκχος, ὁ τῶν ἄνω βαρβάρων βασιλεὺς, ἦν πενθερὸς Ἰυγύρθα, καὶ πολεμῦντι μὲν ὑ πάνυ τι συλλαμβάνειν ἐδόκει προβαλλόμενος αὐτῦ τὴν ἀπιστίαν, καὶ τὴν αὔξησιν δεδοικώς. ἐπεὶ δὲ φεύγων καὶ πλανώμενος, ἐκεῖνον ὑπ᾽ ἀνάγκης ἔθετο τῶν ἐλπίδων τελευταῖον, καὶ κατῆρε πρὸς αὐτὸν, αἰσχύνῃ μᾶλλον ὡς ἱκέτην, ἢ δι᾽ εὔνοιαν ὑποδεξάμενος, διὰ χειρὸς εἶχε, φανερῶς μὲν, ὑπὲρ ἑαυτῦ παραιτύμενος Μάριον, καὶ γράφων ὡς ὑκ ἂν ἐκδῷ καὶ παῤῥησιαζόμενος· κρύφα δὲ βυλεύων προδοσίαν ἐπ᾽ αὐτῷ, καὶ μεταπεμπόμενος Λεύκιον Σύλλαν, ταμίαν μὲν ὄντα Μαρίυ, χρήσιμον δὲ τῷ Βόκχῳ γεγενημένον ἐπὶ στρατείας. ὡς δὲ πιστεύσας ἀνέβη πρὸς αὐτὸν ὁ Σύλλας, ἔσχε μέν τις τροπὴ γνώμης καὶ μετάνοια τὸν βάρβαρον, ἡμέρας τε

συχνὰς

Digitized by Google

συχνὰς διηνέχθη τῷ λογισμῷ, βουλευόμενος ἢ παραδοῦναι τὸν Ἰουγούρθαν, ἢ μηδὲ τὸν Σύλλαν ἀφεῖναι. τέλος δὲ, τὴν προτέραν κυρώσας προδοσίαν, ἐνεχείρισε τῷ Σύλλᾳ ζῶντα τὸν Ἰουγούρθαν. καὶ τοῦτο πρῶτον ὑπῆρξεν αὐτοῖς σπέρμα τῆς ἀνηκέστου καὶ χαλεπῆς ἐκείνης στάσεως, ἢ μικροῦ ἐδέησεν ἀνατρέψαι τὴν Ῥώμην. πολλοὶ γὰρ ἐβούλοντο τοῦ Σύλλα τὸ ἔργον εἶναι, τῷ Μαρίῳ φθονοῦντες· αὐτός τε Σύλλας σφραγῖδα ποιησάμενος, ἐφόρει γλυφὴν ἔχουσαν ἐγχειριζόμενον ὑπὸ τοῦ Βόκχου τὸν Ἰουγούρθαν ἑαυτῷ. καὶ ταύτῃ χρώμενος ἀεὶ διετέλει, φιλότιμον ἄνδρα καὶ πρὸς κοινωνίαν δόξης ἀγνώμονα καὶ δύσεριν ἐρεθίζων τὸν Μάριον, ἐναγόντων μάλιστα τῶν ἐχθρῶν τῶν ἐκείνου, καὶ τὰ μὲν πρῶτα τοῦ πολέμου καὶ μέγιστα τῷ Μετέλλῳ, τὰ δὲ ἔσχατα καὶ τὸ πέρας αὐτοῦ Σύλλᾳ προστιθέντων, ὡς παύσαιτο θαυμάζων καὶ προσέχων ἐκείνῳ μάλιστα πάντων ὁ δῆμος.

cui fortunæ invidit Marius.

Ταχὺ μέντοι τὸν φθόνον τοῦτον, καὶ τὰ μίση καὶ τὰς διαβολὰς ἀπεσκέδασε τοῦ Μαρίου καὶ μετέστησεν ὁ κατασχὼν τὴν Ἰταλίαν ἀπὸ τῆς ἑσπέρας κίνδυνος, ἅμα τῷ πρῶτον ἐν χρείᾳ μεγάλου στρατηγοῦ γενέσθαι, καὶ περισκέψασθαι τὴν πόλιν, ᾧ χρωμένη κυβερνήτῃ διαφεύξεται κλύδωνα πολέμου τοσοῦτον· μηδενὸς ἀνασχομένου τῶν ἀπὸ γένους μεγάλων ἢ πλουσίων οἴκων ἐπὶ τὰς ὑπατικὰς κατιόντων ἀρχαιρεσίας, ἀλλὰ ἀπόντα τὸν Μάριον ἀναγορευσάντων. ἄρτι γὰρ ἀπηγγελμένης αὐτοῖς τῆς Ἰουγούρθα συλλήψεως, αἱ περὶ Τευτόνων καὶ Κίμβρων φῆμαι προσέπιπτον, ἀπιστίαν μὲν ἐν ἀρχῇ παρασχοῦσαι πλήθους τε καὶ ῥώμης τῶν ἐπερχομένων στρατῶν, ὕστερον δὲ τῆς ἀληθείας ὑποδεέστεραι φανεῖσαι. μυριάδες μὲν γὰρ αἱ μάχιμοι τριάκοντα σὺν ὅπλοις ἐχώρουν, ὄχλοι δὲ παίδων καὶ γυναικῶν ἐλέγοντο πολὺ πλείους συμπεριάγεσθαι, γῆς χρῄζοντες, ἣ θρέψει τοσοῦτο πλῆθος, καὶ πόλεων, ἐν αἷς ἱδρυνθέντες βιώσονται, καθάπερ πρὸ αὐτῶν ἐπυνθάνοντο Κελτοὺς τῆς Ἰταλίας τὴν ἀρίστην κατασχεῖν, Τυρρηνῶν ἀφελομένους. αὐτοὶ μὲν γὰρ ἀμιξίᾳ τῇ πρὸς ἑτέρους, μήκει τε χώρας ἣν ἐπῆλθον, ἠγνοοῦντο, τίνες ὄντες ἀνθρώπων, ἢ πόθεν ὁρμηθέντες, ὥσπερ νέφος ἐμπέσοιεν τῇ Γαλατίᾳ καὶ Ἰταλίᾳ. καὶ μάλιστα μὲν εἰκάζοντο Γερμανικὰ γένη τῶν καθηκόντων ἐπὶ τὸν βό-

cap. II. Marium absentem Romani consulem creant, ad bellum contra Teutones & Cimbros gerendum.

Teutonum & Cimbrorum descriptio.

Digitized by Google

βόρειον ὠκεανὸν εἶναι, τοῖς μεγέθεσι τῶν σωμάτων, καὶ τῇ χαροπότητι τῶν ὀμμάτων· καὶ ὅτι Κίμβρους ἐπονομάζουσι Γερμανοὶ τοὺς λῃστάς. εἰσὶ δὲ οἱ καὶ τὴν Κελτικὴν διὰ βάθος χώρας καὶ μέγεθος, ἀπὸ τῆς ἔξωθεν θαλάσσης, καὶ τῶν ὑπαρκτίων κλιμάτων, πρὸς ἥλιον ἀνίσχοντα κατὰ τὴν Μαιῶτιν ἐπιστρέφουσαν ἅπτεσθαι τῆς Ποντικῆς Σκυθίας λέγουσι· κἀκεῖθεν τὰ γένη μέμικται. οὗτους ἐξαναστάντας οὐκ ἐκ μιᾶς ὁρμῆς, οὐδὲ συνεχῶς, ἀλλὰ ἔτους ὥρᾳ καθ᾽ ἕκαστον ἐνιαυτὸν εἰς τοὔμπροσθεν ἀεὶ χωροῦντας, πολέμῳ χρόνοις πολλοῖς ἐπελθεῖν τὴν ἤπειρον. διὸ καὶ πολλὰς κατὰ μέρος ἐπικλήσεις ἐχόντων, κοινῇ Κελτοσκύθας τὸν στρατὸν ὠνόμαζον. ἄλλοι δέ φασι, Κιμμερίων τὸ μὲν πρῶτον ὑφ᾽ Ἑλλήνων τῶν πάλαι γνωσθέντων, οὐ μέγα γενέσθαι τοῦ παντὸς μόριον, ἀλλὰ φυγὴν ἢ στάσιν τινὰ βιασθεῖσαν ὑπὸ Σκυθῶν, εἰς Ἀσίαν ἀπὸ τῆς Μαιώτιδος διαπεράσαι, Λυγδάμιος ἡγουμένου. τὸ δὲ πλεῖστον αὐτῶν καὶ μαχιμώτατον ἐπ᾽ ἐσχάτοις οἰκοῦν παρὰ τὴν ἔξω θάλασσαν. ὥσπερ δή φασι γῆν μὲν νέμεσθαι σύσκιον καὶ ὑλώδη καὶ δυσήλιον πάντῃ, διὰ βάθος καὶ πυκνότητα δρυμῶν, οὓς μέχρι τῶν Ἑρκυνίων εἴσω διήκειν· οὐρανοῦ δὲ εἰληχέναι, καθ᾽ ὃ δοκεῖ μεταλαμβάνων ὁ πόλος ἔξαρμα, διὰ τὴν ἔγκλισιν τῶν παραλλήλων, ὀλίγον ἀπολείπειν τοῦ κατὰ κορυφὴν ἱσταμένου σημείου πρὸς τὴν οἴκησιν· αἵ τε ἡμέραι βραχύτητι καὶ μήκει πρὸς τὰς νύκτας ἴσαι κατανέμεσθαι τὸν χρόνον· διὸ καὶ τὴν εὐπορίαν τοῦ μυθεύματος Ὁμήρῳ γενέσθαι πρὸς τὴν νεκυίαν. ἔνθεν οὖν τὴν ἔφοδον εἶναι τῶν βαρβάρων τούτων ἐπὶ τὴν Ἰταλίαν, Κιμμερίων μὲν ἐξ ἀρχῆς, τότε δὲ Κίμβρων, οὐκ ἀπὸ τρόπου προσαγορευομένων. ἀλλὰ ταῦτα μὲν εἰκασμῷ μᾶλλον ἢ κατὰ βέβαιον ἱστορίαν λέγεται. τὸ δὲ πλῆθος οὐκ ἔλαττον, ἀλλὰ πλέον εἶναι τοῦ λεχθέντος, ὑπὸ πολλῶν ἱστορεῖται. θυμὸν δὲ καὶ τόλμαν ἀνυπόστατοι, καὶ χειρῶν ἔργα παρὰ τὰς μάχας ὀξύτητι καὶ βίᾳ πυρὸς ἐοικότες ἐπῆεσαν, οὐδενὸς ἀντέχοντος αὐτῶν πρὸς τὴν ἔφοδον, ἀλλὰ πάντων μὲν, ὅσους ἐπῆλθον, ἐν λόγῳ λείας ἀγομένων καὶ φερομένων· πολλῶν δὲ καὶ μεγάλων Ῥωμαϊκῶν στρατοπέδων καὶ στρατηγῶν ὅσοι προεστήκεσαν τῆς ἐκτὸς Ἄλπεων Γαλατίας, ἀνηρπασμένων ἀκλεῶς· οἱ καὶ μάλιστα

τὴν

Digitized by Google

τὴν φορὰν αὐτῶν κακῶς ἀγωνισάμενοι, κατὰ τῆς Ῥώμης ἐπεσπάσαντο. νικήσαντες γὰρ, δὶς ἐνέτυχον, καὶ χρημάτων πολλῶν κρατήσαντες, ἔγνωσαν μηδαμοῦ γῆς ἑαυτοὺς ἱδρύειν, πρὶν ἀνατρέψουσι τὴν Ῥώμην, καὶ διαπορθήσουσι τὴν Ἰταλίαν.

Ταῦτα Ῥωμαῖοι πυνθανόμενοι πολλαχόθεν ἐκάλουν Μάριον ἐπὶ τὴν στρατηγίαν. καὶ τὸ δεύτερον ὕπατος ἀπεδείχθη, τοῦ μὲν νόμου κωλύοντος ἀπόντα, καὶ μὴ διαλιπόντα χρόνον ὡρισμένον, αὖθις αἱρεῖσθαι, τοῦ δὲ δήμου τοὺς ἀντιλέγοντας ἐκβαλόντος. ἡγοῦντο γὰρ οὔτε νῦν πρῶτον εἴξειν τῷ συμφέροντι τὸν νόμον, οὔτε ἀλογωτέραν εἶναι τὴν παροῦσαν αἰτίαν ἐκείνης, δι᾽ ἣν τὸν Σκιπίωνα παρὰ τοὺς νόμους ὕπατον ἀπέδειξαν, οὐ φοβούμενοι τὴν ἑαυτῶν ἀποβαλεῖν, ἀλλὰ τὴν Καρχηδονίων ἐπιθυμοῦντες ἀνελεῖν. ταῦτα ἔδοξε. καὶ Μάριος ἐκ Λιβύης μετὰ τοῦ στρατεύματος διακομισθεὶς, αὐταῖς καλάνδαις Ἰανουαρίαις, ἣν ἔτους ἀρχὴν ἄγουσι Ῥωμαῖοι, τήν τε ὑπατείαν ἀνέλαβε, καὶ τὸν θρίαμβον εἰσήλασεν· ἄπιστον ἐπιδειξάμενος θέαμα Ῥωμαίοις Ἰουγούρθαν αἰχμάλωτον· οὗ ζῶντος οὐδ᾽ ἂν εἷς ἤλπισε πολεμίων κρατήσειν. οὕτω τις ἦν ποικίλος ἀνὴρ τύχαις ὁμιλῆσαι, καὶ πανουργίᾳ πολλῇ μεμιγμένον ἔχων τὸ θυμοειδές. ἀλλ᾽ ἐξέστη γε πομπευθεὶς, ὥς λέγουσι, τότε τοῦ φρονεῖν, καὶ μετὰ τὸν θρίαμβον εἰς τὸ δεσμωτήριον ἐμπεσὼν, ὡς οἱ μὲν αὐτοῦ βίᾳ περιέρρηξαν τὸν χιτωνίσκον, οἱ δὲ σπεύδοντες ἀφελέσθαι βίᾳ τὸ χρυσοῦν ἐλλόβιον, ἅμα τὸν λοβὸν συναπέρρηξαν, ὠσθεὶς δὲ γυμνὸς εἰς τὸ βάραθρον κατεβλήθη, μεστὸς ὢν ταραχῆς, καὶ διασεσηρὼς, Ἡράκλεις, εἶπεν, ὡς ψυχρὸν ὑμῶν τὸ βαλανεῖον. ἀλλὰ τοῦτον μὲν ἓξ ἡμέραις ζυγομαχήσαντα τῷ λιμῷ, καὶ μέχρι τῆς ἐσχάτης ὥρας ἐκκρεμασθέντα τῆς τοῦ ζῆν ἐπιθυμίας, εἶχεν ἀξία δίκη τῶν ἀσεβημάτων. ἐν δὲ τῷ θριάμβῳ κομισθῆναι λέγουσι χρυσοῦ μὲν ἑπτὰ καὶ τρισχιλίας λίτρας, ἀργύρου δὲ ἀσήμου πεντακισχιλίας ἑπτακοσίας ἑβδομήκοντα πέντε, νομίσματος δὲ δραχμὰς ἑπτακισχιλίας ἐπὶ μυρίασιν ὀκτὼ καὶ εἴκοσι.

cap. 12. Marii triumphus & Jugurthæ obitus.

Πυνθανόμενος δὲ τοὺς πολεμίους ὁ Μάριος ἐγγὺς εἶναι, διὰ ταχέων ὑπερέβαλε τὰς Ἄλπεις, καὶ τειχίσας στρατόπεδον παρὰ τῷ Ῥοδανῷ ποταμῷ, συνήγαγεν εἰς αὐτὸ

cap. 15. Bellum Cimbricum, Teutonicum & Tigurinum,

A.U.645-652.
ante Chr. 109-102.

Marius, quartum Consul, superatis cum Lutatio Catulo collega, Alpibus, Rhodanum ad commeatum resque necessarias subvehendas, fossa grandi ducta, reddit commodiorem.

τὸ χορηγίαν ἄφθονον· ὡς μηδέποτε παρὰ τὸν τοῦ συμφέροντος λογισμὸν ἐκβιασθείη, δι' ἔνδειαν τῶν ἀναγκαίων εἰς μάχην καταστῆναι. τὴν δὲ κομιδὴν, ὧν ἐδεῖτο τῷ στρατεύματι, μακρὰν καὶ πολυτελῆ πρότερον οὖσαν πρὸς τὴν θάλασσαν, αὐτὸς εἰργάσατο ῥᾳδίαν καὶ ταχεῖαν. τὰ γὰρ στόματα τοῦ Ῥοδανοῦ, πρὸς τὰς ἀνακοπὰς τῆς θαλάσσης, ἰλύν τε πολλὴν λαμβάνοντα, καὶ θῖνα πηλῷ βαθεῖ συμπεπιλημένην, ὑπὸ τοῦ κλύδωνος χαλεπὴν, ἐπίπονον καὶ βραχύπορον τοῖς σιταγωγοῖς ἐποίει τὸν εἴσπλουν ὧδε. τρέψας ἐνταῦθα τὸν στρατὸν σχολάζοντα, τάφρον μεγάλην ἐνέβαλε, καὶ ταύτῃ πολὺ μέρος τοῦ ποταμοῦ μεταστήσας, περιήγαγεν εἰς ἐπιτήδειον αἰγιαλὸν, βαθὺν μὲν, καὶ ναυσὶ μεγάλαις ἔποχον, λεῖον δὲ καὶ ἄκλυστον στόμα λαβοῦσαν πρὸς τὴν θάλασσαν. αὕτη μὲν οὖν ἀπ' ἐκείνου τὴν ἐπωνυμίαν ἔτι φυλάττει.

Barbari in duas partes distributi, Cimbri adversus Catulum, Teutones & Ambrones adversus Marium, in Italiam perrumpere volunt.

τῶν δὲ βαρβάρων διελόντων σφᾶς αὐτοὺς δίχα, Κίμβροι μὲν ἔλαχον διὰ Νωρικῶν ἄνωθεν ἐπὶ Κάτλον χωρεῖν, καὶ τὴν πάροδον ἐκείνην βιάζεσθαι· Τεύτονες δὲ καὶ Ἄμβρωνες διὰ Λιγύων ἐπὶ Μάριον παρὰ θάλατταν· καὶ Κίμβροις μὲν ἐγίνετο πλείων ἡ διατριβὴ καὶ μέλλησις, Τεύτονες καὶ Ἄμβρωνες ἅπαντες εὐθὺς καὶ διελθόντες τὴν ἐν μέσῳ χώραν, ἐφαίνοντο πλήθει τε ἄπειροι καὶ δυσπρόσωποι τὰ εἴδη, φθόγγον τε καὶ θόρυβον οὐχ ἑτέροις ὅμοιοι. περιβαλόμενοι δὲ τοῦ πεδίου μέγα καὶ στρατοπεδεύσαντες, προεκαλοῦντο τὸν Μάριον εἰς μάχην.

cap. 16.
Marius ab iis ad certamen provocatus, milites intra vallum continet, donec torvum hostium vultum & vocem feram ferre assuefiant.

Ὁ δὲ τούτων μὲν οὐκ ἐφρόντιζεν, ἐν δὲ τῷ χάρακι τοὺς στρατιώτας συνεῖχε, καὶ καθήπτετο πικρῶς τῶν θρασυνομένων, καὶ τοὺς προσπίπτοντας ὑπὸ θυμοῦ καὶ μάχεσθαι βουλομένους, προδότας ἀπεκάλει τῆς πατρίδος. οὐ γὰρ ὑπὲρ θριάμβων τὴν φιλοτιμίαν εἶναι καὶ τροπαίων, ἀλλ' ὅπως νέφος τοσοῦτον πολέμου καὶ σκηπτὸν ὠσάμενοι διασώσουσι τὴν Ἰταλίαν. ταῦτα μὲν ἰδίᾳ πρὸς τοὺς ἡγεμόνας καὶ τοὺς ὁμοτίμους ἔλεγε, τοὺς δὲ στρατιώτας ὑπὲρ τοῦ χάρακος ἱστὰς ἀνὰ μέρος, καὶ θεᾶσθαι κελεύων, εἴθιζε τὴν μορφὴν ἀνέχεσθαι τῶν πολεμίων, καὶ τὴν φωνὴν ὑπομένειν, ὅλως οὖσαν ἀλλόκοτον καὶ θηριώδη, σκευήν τε καὶ κίνησιν αὐτῶν καταμανθάνειν, ἅμα τῷ χρόνῳ τὰ φαινόμενα δεινὰ ποιουμένους τῇ διανοίᾳ χειροήθη διὰ τῆς ὄψεως. ἡγεῖτο γὰρ πολλὰ μὲν ἐπιψεύδεσθαι τῶν οὐ προσόντων τὴν καινότητα

τοῖς

τοῖς φοβεροῖς· ἐν δὲ τῇ συνηθείᾳ καὶ τὰ τῇ φύσει δεινὰ τὴν ἔκπληξιν ἀποβάλλειν. τῶν δὲ, ὁ μόνον ἡ καθ' ἡμέραν ὄψις ἀφῄρει τι τοῦ θάμβους, ἀλλὰ καὶ πρὸς τὰς ἀπειλὰς τῶν βαρβάρων καὶ τὸν κόμπον οὐκ ἀνεκτὸν ὄντα, θυμὸς αὐτοῖς παριστάμενος ἐξεθέρμαινε καὶ διέφλεγε τὰς ψυχὰς, οὐ μόνον ἀγόντων καὶ φερόντων καὶ πέριξ ἅπαντα τῶν πολεμίων, ἀλλὰ καὶ τῷ χάρακι ποιουμένων προσβολὰς, μετὰ πολλῆς ἀσελγείας καὶ θρασύτητος· ὥστε φωνὰς καὶ διαγανακτήσεις τῶν στρατιωτῶν πρὸς τὸν Μάριον ἐκφέρεσθαι, Τίνα δὴ καταγνοὺς ἀνανδρίαν ἡμῶν Μάριος εἴργει μάχης, ὥσπερ γυναῖκας, ὑπὸ κλεισὶ καὶ θυρωροῖς; φέρε, παθόντες ἀνδρῶν πάθος ἐλευθέρων, ἐρώμεθα, πότερον ἄλλους ἀναμένει μαχουμένους ὑπὲρ τῆς ἐλευθερίας, ἡμῖν δὲ λειτουργοῖς χρήσεται διὰ παντὸς, ὅταν δέηται τάφρους ὀρύσσειν, καὶ πηλὸν ἐκκαθαίρειν, καὶ ποταμούς τινας παρατρέπειν. ἐπὶ ταῦτα γὰρ, ὡς ἔοικεν, ἤσκει τοῖς πολλοῖς πόνοις ἡμᾶς, καὶ ταῦτα τῶν ὑπατειῶν ἀποδειξάμενος ἔργα τοῖς πολίταις ἐπάνεισιν. ἢ τὰ Κάρβωνος αὐτὸν φοβεῖ καὶ Καιπίωνος, οὓς ἐνίκησαν οἱ πολέμιοι, πολὺ μὲν αὐτοὺς τῆς Μαρίου δόξης καὶ ἀρετῆς ἀποδέοντας, πολὺ δὲ χείρονα στρατὸν ἄγοντας; ἀλλὰ καὶ παθεῖν τι δρῶντας, ὡς ἐκεῖνοι, κάλλιον, ἢ καθῆσθαι πορθουμένων τῶν συμμάχων θεατάς.

Barbarorum minis & insolentia irritati, milites Romani de Marii cunctatione conqueruntur.

Ταῦτ' ἀκούων ὁ Μάριος ἥδετο, καὶ κατεπράϋνεν αὐτοὺς, ὡς οὐκ ἐκείνοις ἀπιστῶν, ἀλλ' ἔκ τινων λογίων τὸν τῆς νίκης ἅμα καιρὸν καὶ τόπον ἐκδεχόμενος, καὶ γάρ τινα Σύραν γυναῖκα, Μάρθαν ὄνομα, μαντεύεσθαι λεγομένην ἐν φορείῳ κατακειμένην σεμνῶς περιήγετο, καὶ θυσίας ἔθυεν ἐκείνης κελευούσης.

cap. 17. Marius oracula cunctationi prætendit.

Οἱ δὲ Τεύτονες ἐπεχείρησαν μὲν ἡσυχάζοντος τοῦ Μαρίου πολιορκεῖν τὸ στρατόπεδον, βέλεσι δὲ πολλοῖς ἐντυχόντες ἀπὸ τοῦ χάρακος φερομένοις, καί τινας ἐξ αὐτῶν ἀποβαλόντες, ἔγνωσαν εἰς τοὔμπροσθεν χωρεῖν, ὡς ὑπερβαλοῦντες ἀδεῶς τὰς Ἄλπεις· καὶ συσκευασάμενοι, παρήμειβον τὸ στρατόπεδον τῶν Ῥωμαίων, τότε δὴ μάλιστα παμπληθεῖς μήκει καὶ χρόνῳ τῆς παρόδου φανέντες. ἡμέραις γὰρ ἓξ λέγονται τὸν χάρακα τοῦ Μαρίου παραμείψασθαι συνεχῶς ὁδεύοντες. ἐπορεύοντο δὲ ἐγγὺς, πυνθανόμε-

cap. 18. Teutones castra Romana prætergressi, Alpes penetrare instituunt.

νόμενοι τῶν Ῥωμαίων μετὰ γέλωτος, εἴ τι πρὸς τὰς γυναῖκας ἐπιςέλλοιεν· αὐτοὶ γὰρ ἔσεσθαι ταχέως παρ' αὐταῖς. ἐπεὶ δὲ παρήλλαξαν οἱ βάρβαροι, καὶ προῆσαν, ἄρας καὶ αὐτὸς ἐπηκολούθει σχέδην, ἐγγὺς μὲν ἀεὶ καὶ παρ' αὐτοὺς ἐκείνους ἱδρυόμενος, ὀχυραῖς τε χρώμενος στρατοπεδείαις, καὶ χωρία καρτερὰ περιβαλλόμενος, ὥστε ἐν ἀσφαλεῖ νυκτερεύειν. οὕτω δὴ προϊόντες, ἐγένοντο πρὸς τοῖς καλουμένοις ὕδασι Σεξτιλίοις· ὅθεν ἔδει πορευθέντας οὐ πολλὴν ὁδὸν ἐν ταῖς Ἄλπεσιν εἶναι. διὸ δὴ καὶ Μάριος ἐνταῦθα παρεσκευάζετο μάχεσθαι, καὶ κατέλαβε τῷ στρατοπέδῳ τόπον ὀχυρὸν μὲν, ὕδωρ δὲ ἄφθονον οὐκ ἔχοντα, βουλόμενος, ὥς φασι, καὶ τούτῳ παροξῦναι τοὺς στρατιώτας. πολλῶν γέ τοι δυσχεραινόντων, καὶ διψήσειν λεγόντων, δείξας τῇ χειρὶ ποταμόν τινα ῥέοντα πλησίον τοῦ βαρβαρικοῦ χάρακος, ἐκεῖθεν αὐτοῖς ἔφησεν εἶναι τὸ ποτὸν ὤνιον αἵματος. τί οὖν, ἔφασαν, οὐκ εὐθὺς ἡμᾶς ἄγεις ἐπ' αὐτοὺς, ἕως ὑγρὸν τὸ αἷμα ἔχομεν; κἀκεῖνος ἠρέμα τῇ φωνῇ, πρότερον, εἶπεν, ὀχυρωτέον ἡμῖν τὸ στρατόπεδον.

Motis castris Marius eos subsequitur, & ad aquas Sextilias prœlio se accingit.

Οἱ μὲν οὖν στρατιῶται, καίπερ ἀσχάλλοντες, ἐπείθοντο· τῆς δὲ θεραπείας τὸ πλῆθος, οὔτ' αὐτοὶ ποτὸν, οὔθ' ὑποζυγίοις ἔχοντες, ἀθρόοι κατέβαινον ἐπὶ τὸν ποταμὸν, οἱ μὲν ἀξίνας, οἱ δὲ πελέκεις, ἔνιοι δὲ καὶ ξίφη καὶ λόγχας ἅμα ταῖς ὑδρίαις ἀναλαβόντες, ὡς καὶ διὰ μάχης ὑδρευσόμενοι. τούτοις τὸ πρῶτον ὀλίγοι προσεμάχοντο τῶν πολεμίων· ἔτυχον γὰρ ἀριστῶντες οἱ πολλοὶ μετὰ λουτρὸν, οἱ δὲ ἐλούοντο. ῥήγνυσι γὰρ αὐτόθι ναμάτων θερμῶν πηγὰς ὁ χῶρος, καὶ μέρος τι περὶ ταῦτα τοὺς βαρβάρους εὐπαθοῦντας καὶ πανηγυρίζοντας ἡδονῇ καὶ θαύματι τοῦ τόπου κατέλαβον οἱ Ῥωμαῖοι. πρὸς δὲ τὴν κραυγὴν πλειόνων συντρεχόντων, τῷ τε Μαρίῳ χαλεπὸν ἦν ἔτι τοὺς στρατιώτας ἐπισχεῖν περὶ τῶν οἰκετῶν δεδιότας, καὶ τῶν πολεμίων τὸ μαχιμώτατον μέρος, ὑφ' οὗ προήττηντο Ῥωμαῖοι μετὰ Μαλλίου καὶ Καιπίωνος πρότερον (Ἄμβρωνες δ' ὠνομάζοντο, καὶ πλῆθος ὑπὲρ τρισμυρίους αὐτοὶ καθ' αὐτοὺς ἦσαν) ἀναΐξαντες, ἐπὶ τὰς πανοπλίας ἐχώρουν, τὰ μὲν σώματα πλησμονῇ βεβαρημένοι, τοῖς δὲ φρονήμασι γαῦροι καὶ διακεχυμένοι πρὸς τὸν ἄκρατον· οὐκ ἀτάκτοις, οὐδὲ μανιώδεσι φερόμενοι δρόμοις, οὐδὲ ἄναρθρον ἀλαλαγμὸν ἱέν-

cap. 19. Munitis antea castris Romani Ambrones adgrediuntur & cædunt.

ἰόντες, ἀλλὰ κρέοντες ῥυθμῷ τὰ ὅπλα, καὶ συναλλόμενοι πάντες ἅμα τὴν αὐτῶν ἐφθέγγοντο πολλάκις προσηγορίαν Ἄμβρωνες· εἴτε ἀνακαλέμενοι σφᾶς αὐτὲς, εἴτε τὲς πολεμίες τῇ προδηλώσει προεκφοβῦντες· τῶν δὲ Ἰταλικῶν πρῶτοι καταβαίνοντες ἐπ' αὐτὲς Λίγυες, ὡς ἤκεσαν βοώντων καὶ συνῆκαν, ἀντεφώνεν καὶ αὐτοὶ, τὴν πάτριον ἐπίκλησιν αὐτῶν εἶναι· σφᾶς γὰρ αὐτὲς ὅτως ὀνομάζεσι κατὰ γένος Λίγυας. πυκνὸν ἔν καὶ παράλληλον ἀντήχει, πρὶν εἰς χεῖρας συνελθεῖν, τὸ ἀναφώνημα. καὶ τῶν στρατηγῶν ἑκατέροις ἀνὰ μέρος συνεκφθεγγομένων, καὶ φιλοτιμεμένων πρῶτον ἀλλήλες τῷ μεγέθει τῆς βοῆς ὑπερβαλέσθαι, παρώξυνε καὶ διηρέθιζε τὸν θυμὸν ἡ κραυγή. τὲς μὲν ἔν Ἄμβρωνας διέσπασε τὸ ῥεῖθρον· ἐ γὰρ ἔφθασαν εἰς τάξιν καταςῆναι. διαβάντες, ἀλλὰ τοῖς πρώτοις εὐθὺς μετὰ δρόμε τῶν Λιγύων προσπεσόντων, ἐν χερσὶν ἦν ἡ μάχη. τοῖς δὲ Λίγυσι τῶν Ῥωμαίων ἐπιβοηθέντων, καὶ φερομένων ἄνωθεν ἐπὶ τὲς βαρβάρες, βιασθέντες ἐτράποντο, καὶ πλεῖστοι μὲν αὐτᾶ περὶ τὸ ῥεῖθρον ὠθέμενοι κατ' ἀλλήλων ἐπαίοντο, καὶ κατεπίμπλασαν φόνε καὶ νεκρῶν τὸν ποταμόν· τὲς δὲ διαβάντας οἱ Ῥωμαῖοι μὴ τολμῶντας ἀναςρέφειν ἔκτεινον, ἄχρι τᾶ ςρατοπέδε καὶ τῶν ἁμαξῶν φεύγοντας. ἐνταῦθα δὲ αἱ γυναῖκες ἀπαντῶσαι μετὰ ξιφῶν καὶ πελέκεων, δεινὸν τετριγυῖαι καὶ περίθυμον, ἠμύνοντο τὲς φεύγοντας; ὁμοίως καὶ τὲς διώκοντας, τὲς μὲν, ὡς προδότας, τὲς δὲ, ὡς πολεμίες· ἀναπεφυρμέναι μαχομένοις, καὶ χερσὶ γυμναῖς τάς τε θυρεὲς τῶν Ῥωμαίων ἀποσῶσαι, καὶ τῶν ξιφῶν ἐπιλαμβανόμεναι, καὶ τραύματα καὶ διακοπὰς σωμάτων ὑπομένεσαι μέχρι τελευτῆς ἀήττητοι τοῖς θυμοῖς. τὴν μὲν ἔν παραποτάμιον μάχην ὅτω κατὰ τύχην μᾶλλον, ἢ γνώμῃ τᾶ ςρατηγᾶ γενέσθαι λέγεσιν.

Ἐπεὶ δὲ πολλὲς τῶν Ἀμβρώνων οἱ Ῥωμαῖοι διαφθείραντες ἀνεχώρησαν ὀπίσω, καὶ σκότος ἐπεσχέν, ἐχ ὥσπερ ἐπ' εὐτυχήματι τοσέτῳ τὸν ςρατὸν ἐδέξαντο παιᾶνες ἐπινίκιοι, καὶ πότοι κατὰ σκηνὰς, καὶ φιλοφροσύναι περὶ δεῖπνα, καὶ, τὸ πάντων ἥδιςον ἀνδράσιν εὐτυχῶς μεμαχημένοις, ὕπνος ἤπιος· ἀλλ' ἐκείνην μάλιςα τὴν νύκτα φοβερὰν καὶ ταραχώδη διήγαγον. ἦν μὲν γὰρ αὐτοῖς

cap. 20. Nocte insequente ex belluino barbarorum rugitu Romani augurantur nocturnum proelium;

τοῖς ἀχαράκωτον τὸ ϛρατόπεδον καὶ ἀτείχιϛον· ἀπελείποντο δὲ τῶν βαρβάρων ἔτι πολλαὶ μυριάδες ἀήττητοι, καὶ συμμεμιγμένων τούτοις, ὅσοι διαπεφεύγεσαν τῶν Ἀμβρώνων, ὀδυρμὸς ἦν διὰ νυκτὸς, οὐ κλαυθμοῖς, οὐδὲ ϛεναγμοῖς ἀνθρώπων ἐοικὼς, ἀλλὰ θηρομιγής τις ὠρυγὴ καὶ βρύχημα μεμιγμένον ἀπειλαῖς καὶ θρήνοις, ἀναπεμπόμενον ἐκ πλήθους τοσούτου, τά τε πέριξ ὄρη καὶ τὰ κοῖλα τοῦ ποταμοῦ περιεφώνει. καὶ κατεῖχε φρικώδης ἦχος τὸ πεδίον, τοὺς δὲ Ῥωμαίους δέος, αὐτόν τε τὸν Μάριον ἔκπληξις, ἄκοσμόν τινα καὶ ταραχώδη νυκτομαχίαν προσδεχομένων. οὐ μὴν ἐπῆλθον οὔτε νυκτὸς, οὔτε τῆς ἐπιούσης ἡμέρας, ἀλλὰ συντάττοντες ἑαυτοὺς καὶ παρασκευαζόμενοι διετέλουν. ἐν τούτῳ δὲ Μάριος (ἦσαν γὰρ ὑπὲρ κεφαλῆς τῶν βαρβάρων νάπαι περικλινεῖς, καὶ κατάσκιοι δρυμοῖς αὐλῶνες) ἐνταῦθα Κλαύδιον Μάρκελλον ἐκπέμπει μετὰ τρισχιλίων ὁπλιτῶν, ἐνεδρεῦσαι κελεύσας κρύφα, καὶ μαχομένοις ἐξόπισθεν ἐπιφανῆναι. τοὺς δὲ ἄλλους δειπνήσαντας ἐν ὥρᾳ καὶ κοιμηθέντας, ἅμ᾽ ἡμέρᾳ συνέταττε, πρὸ τοῦ χάρακος ἀγαγὼν, καὶ προεξέπεμπε τοὺς ἱππέας εἰς τὸ πεδίον. θεασάμενοι δὲ οἱ Τεύτονες, οὐκ ἠνέσχοντο καταβαίνοντας αὐτοῖς ἐξ ἴσου διαγωνίζεσθαι τοὺς Ῥωμαίους, ἀλλὰ σὺν τάχει καὶ δι᾽ ὀργῆς ὁπλισάμενοι τῷ λόφῳ προσέβαλλον. ὁ δὲ Μάριος ἑκασταχοῦ διαπέμπων τοὺς ἡγεμόνας, ἑϛάναι καὶ καρτερεῖν παρεκάλει· πελασάντων δὲ εἰς ἐφικτὸν, ἐξακοντίσαι τοὺς ὑσσοὺς, εἶτα χρῆσθαι ταῖς μαχαίραις, καὶ τοῖς θυρεοῖς ἀντερείσαντας βιάζεσθαι. τῶν γὰρ τόπων ἐπισφαλῶν ὄντων ἐκείνοις, οὔτε τόνον ἕξειν τὰς πληγὰς, οὔτε ῥώμην τὸν συνασπισμὸν, ἐν περιτροπῇ καὶ σάλῳ τῶν σωμάτων ὄντων διὰ τὴν ἀνωμαλίαν. ταῦτα ἅμα παρῄνει, καὶ δρῶν ἑωρᾶτο πρῶτος· οὐδενὸς γὰρ ἤσκητο χεῖρον τὸ σῶμα, καὶ πάντας πολὺ τῇ τόλμῃ παρήλλαττεν.

postero die cum Teutonibus certamen conserunt.

Ὡς οὖν ἀντιϛάντες αὐτοῖς οἱ Ῥωμαῖοι, καὶ συμπεσόντες ἔσχον ἄνω φερομένους, ἐκθλιβόμενοι κατὰ μικρὸν ὑπεχώρουν εἰς τὸ πεδίον· καὶ τῶν πρώτων ἤδη καθισταμένων εἰς τάξιν ἐν τοῖς ἐπιπέδοις, βοὴ καὶ διασπασμὸς ἦν περὶ τοὺς ὄπισθεν. ὁ γὰρ καιρὸς οὐκ ἔλαθε τὸν Μάρκελλον, ἀλλὰ τῆς κραυγῆς ὑπὲρ τοὺς λόφους ἄνω φερομένης,

cap. 21. Teutones fugantur & cæduntur.

μένης, ἀναστήσας τοὺς μετ' αὐτοῦ, δρόμῳ καὶ ἀλαλαγμῷ προσέπιπτε κατὰ νώτου, κτείνων τοὺς ἐσχάτους. οἱ δὲ τοὺς πρὸ αὐτῶν ἐπισπώμενοι, ταχὺ πᾶν τὸ στράτευμα ταραχῆς ἐνέπλησαν· οὐ πολύν τε χρόνον ἠνέσχοντο παιόμενοι διχόθεν, ἀλλὰ τὴν τάξιν λύσαντες ἔφευγον. οἱ δὲ Ῥωμαῖοι διώκοντες, αὐτῶν μὲν ὑπὲρ δέκα μυριάδας ἢ ζῶντας εἷλον, ἢ κατέβαλον· σκηνῶν δὲ καὶ ἁμαξῶν καὶ χρημάτων κρατήσαντες, ὅσα μὴ διεκλάπη, Μάριον λαβεῖν ἐψηφίσαντο. καὶ δωρεᾶς ταύτης λαμπροτάτης τυχὼν, οὐδὲν ἄξιον ἔχειν, ὧν ἐστρατήγησεν ἐνομίσθη, διὰ τὸ τοῦ κινδύνου μέγεθος. ἕτεροι δὲ περὶ τῆς δωρεᾶς τῶν λαφύρων οὐχ ὁμολογοῦσιν, οὐδὲ περὶ τοῦ πλήθους τῶν πεσόντων. Μασσαλιώτας μὲν λέγουσι τοῖς ὀστέοις περιθριγκῶσαι τοὺς ἀμπελῶνας, τὴν δὲ γῆν, τῶν νεκρῶν καταναλωθέντων ἐν αὐτῇ, καὶ διὰ χειμῶνος ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι, καὶ γενέσθαι διὰ βάθους περίπλεω τῆς σηπεδόνος ἐνδύσης, ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν, καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ, λέγοντι πιαίνεσθαι πρὸς τῷ τοιούτῳ τὰς ἀρούρας. ἐπιεικῶς δὲ ταῖς μεγάλαις μάχαις ἐξαισίους ὑετοὺς ἐπικαταῤῥήγνυσθαι λέγουσιν, εἴτε δαιμονίου τινὸς τὴν γῆν καθαροῖς καὶ διϊπετέσιν ἁγνίζοντος ὕδασι καὶ κατακλύζοντος, εἴτε τοῦ φόνου καὶ τῆς σηπεδόνος ἐξανιείσης ὑγρὰν καὶ βαρεῖαν ἀναθυμίασιν, ἣ τὸν ἀέρα συνίστησιν, εὔτρεπτον ὄντα καὶ ῥᾴδιον μεταβάλλειν ἀπὸ σμικροτάτης ἐπὶ πλεῖστον ἀρχῆς.

Stragis magnitudo.

Μετὰ δὲ τὴν μάχην ὁ Μάριος, τῶν βαρβαρικῶν ὅπλων καὶ λαφύρων τὰ μὲν ἐκπρεπῆ καὶ ὁλόκληρα καὶ πομπικὴν ὄψιν τῷ θριάμβῳ δυνάμενα παρασχεῖν, ἐπέλεξε· τῶν δὲ ἄλλων ἐπὶ πυρᾶς μεγάλης κατασωρεύσας τὸ πλῆθος, ἔθυσε θυσίαν μεγαλοπρεπῆ. καὶ τοῦ στρατοῦ περιεστῶτος ἐν ὅπλοις ἐστεφανωμένου, περιζωσάμενος αὐτὸς, ὥσπερ ἔθος ἐστὶν, ἀναλαβὼν τὴν περιπόρφυρον, καὶ λαβὼν δᾷδα καιομένην, καὶ δι' ἀμφοτέρων τῶν χειρῶν ἀνασχὼν πρὸς τὸν οὐρανὸν, ἔμελλεν ὑφήσειν τῇ πυρᾷ. καὶ προσελαύνοντες ἵπποις ἑωρῶντο φίλοι σὺν τάχει πρὸς αὐτὸν, ὥστε πολλὴν γενέσθαι σιωπὴν καὶ προσδοκίαν ἁπάντων. ἐπεὶ δὲ ἐγγὺς ἦσαν, ἀποπηδήσαντες ἐδεξιοῦντο τὸν Μάριον, εὐαγγελιζόμενοι τὸ πέμπτον αὐτὸν ὕπατον γενέσθαι,

cap. 22. Inter ampli sacrificii solennitates Mario litteræ redduntur de quinto consulatu.

θαι, καὶ γράμματα περὶ τέτων ἀπέδωσαν. μεγάλης ἐν χαρᾶς τοῖς ἐπινικίοις προσγενομένης, ὅ, τε ϛρατὸς ὑφ᾽ ἡδονῆς ἐνοπλίῳ τινὶ κρότῳ καὶ πατάγῳ συνηλάλαξαν, καὶ τῶν ἡγεμόνων τὸν Μάριον αὖθις ἀναδέντων δάφνης ϛεφάνοις, ἐνῆψε τὴν πυρὰν, καὶ τὴν θυσίαν ἐπετελείωσεν.

cap. 23. Catulus, obversus Cimbris, frustra Athesim amnem objicit hostibus.

Ἡ δὲ μηδὲν ἐῶσα τῶν μεγάλων εὐτυχημάτων ἄκρατον εἰς ἡδονὴν καὶ καθαρὸν, ἀλλὰ μίξει κακῶν καὶ ἀγαθῶν ποικίλλεσα τὸν ἀνθρώπινον βίον, ἢ τύχη τις, ἢ νέμεσις, ἢ πραγμάτων ἀναγκαία φύσις, ἐ πολλαῖς ὕϛερον ἡμέραις ἐπήγαγε τῷ Μαρίῳ καὶ τὴν περὶ Κάτλε τῦ συνάρχοντος, ἀγγελίαν, ὥσπερ ἐν εὐδίᾳ καὶ γαλήνῃ, νέφος αὖθις ἕτερον, φόβον καὶ χειμῶνα τῇ Ῥώμῃ περιϛήσασι. ὁ γὰρ δὴ Κάτλος ἀντικαθήμενος τοῖς Κίμβροις, τὰς μὲν ὑπερβολὰς τῶν Ἄλπεων ἀπέγνω φυλάσσειν, μὴ, κατὰ πολλὰ τὴν δύναμιν μέρη διαιρεῖν ἀναγκαζόμενος, ἀσθενὴς γένοιτο· καταβὰς δ᾽ εὐθὺς εἰς Ἰταλίαν, καὶ τὸν Ἀτισῶνα ποταμὸν λαβὼν πρὸ αὐτῦ, καὶ φραξάμενος πρὸς τὰς διαβάσεις ἑκατέρωθεν ἰσχυροῖς χαρακώμασιν, ἔζευξε τὸν πόρον, ὡς ἐπιβοηθεῖν εἴη τοῖς πέραν, εἰ πρὸς τὰ φρέρια βιάζοιντο διὰ τῶν ϛενῶν οἱ βάρβαροι.

At barbari, obstructo fluminis alveo, Romanos ita terrent, ut castra sua deserant;

τοῖς δὲ τοσῦτον περιῆν ὑπεροψίας καὶ θράσυς κατὰ τῶν πολεμίων, ὥϛε ῥώμην καὶ τόλμαν ἐπιδεικνύμενοι, μᾶλλον ἢ πράττοντές τι τῶν ἀναγκαίων, γυμνοὶ μὲν ἠνείχοντο νιφόμενοι, καὶ διὰ πάγων καὶ χιόνος βαθείας τοῖς ἄκροις προσέβαινον, ἄνωθεν δὲ, τὺς θυρεὺς πλατεῖς ὑποτιθέντες τοῖς σώμασιν, εἶτα ἀφέντες αὐτὺς, ὑπεφέροντο κατὰ κρημνῶν ὀλισθήματα καὶ λισσάδας ἀχανεῖς ἐχόντων. ὡς δὲ παραϛρατοπεδεύσαντες ἐγγὺς καὶ κατασκεψάμενοι τὸν πόρον, ἤρξαντο γῦν, καὶ τὺς πέριξ λόφυς ἀναῤῥηγνύντες, ὥσπερ οἱ γίγαντες, ἅμα δένδρα πρόῤῥιζα καὶ κρημνῶν σπαράγματα καὶ γῆς κολωνὺς ἐφόρυν εἰς τὸν ποταμὸν, ἐκθλίβοντες τὸ ῥεῦμα, καὶ τοῖς ἐρείδυσι τὰ ζεύγματα βάθροις ἐφίεντες βάρη μεγάλα, συρόμενα κατὰ ῥῦν καὶ τινάσσοντα ταῖς πληγαῖς τὴν γέφυραν, ἀποδειλιάσαντες οἱ πλεῖϛοι τῶν ϛρατιωτῶν ἐξέλιπον τὸ μέγα ϛρατόπεδον καὶ ἀνεχώρυν.

cui fugae Catulus rei sub imperatoris auspiciis

ἔνθα δὴ Κάτλος ἔδειξεν ἑαυτὸν, ὥσπερ χρὴ τὸν ἀγαθὸν καὶ τέλειον ἄρχοντα, τὴν αὐτῦ δόξαν ἐν ὑϛέρῳ τῆς τῶν πολιτῶν τιθέμενον. ἐπεὶ γὰρ ἐκ ἔπειθε

τὺς

Digitized by Google

τοὺς στρατιώτας μένειν, ἀλλ' ἑώρα περιδεῶς ἀναζευγνύντας, ἄρασθαι κελεύσας τὸν ἀετὸν, εἰς τοὺς πρώτους τῶν ἀπερχομένων ὥρμησε δρόμῳ, καὶ πρῶτος ἡγεῖτο, βουλόμενος αὐτοῦ τὸ αἰσχρὸν, ἀλλὰ μὴ τῆς πατρίδος γενέσθαι, καὶ δοκεῖν μὴ φεύγοντας, ἀλλ' ἑπομένους τῷ στρατηγῷ ποιεῖσθαι τὴν ἀποχώρησιν. οἱ δὲ βάρβαροι τὸ μὲν πέραν τοῦ Ἀτισῶνος φρούριον ἐπελθόντες ἔλαβον, καὶ τοὺς αὐτόθι Ῥωμαίους, ἀνδρῶν κρατίστους γενομένους, καὶ προκινδυνεύσαντας ἀξίως τῆς πατρίδος θαυμάσαντες, ὑποσπόνδους ἀφῆκαν, ὀμόσαντες τὸν χαλκοῦν ταῦρον, ὃν ὕστερον ἁλόντα μετὰ τὴν μάχην, εἰς τὴν Κάτλου φασὶν οἰκίαν, ὥσπερ ἀκροθίνιον τῆς νίκης, κομισθῆναι. τὴν δὲ χώραν ἔρημον βοηθείας ἐπιχυθέντες ἐπόρθουν.

gerendæ dat speciem.

Ἐπὶ τούτοις ἐκαλεῖτο Μάριος εἰς τὴν πόλιν· καὶ παραγενόμενος, πάντων αὐτὸν οἰομένων θριαμβεύσειν, καὶ τῆς βουλῆς προθύμως ψηφισαμένης οὐκ ἠξίωσεν, εἴτε τοὺς στρατιώτας καὶ συναγωνιστὰς ἀποστερῆσαι τῆς φιλοτιμίας μὴ βουλόμενος, εἴτε πρὸς τὰ παρόντα θαῤῥύνων τὸ πλῆθος, ὡς τῇ τύχῃ τῆς πόλεως παρακατατιθέμενος, τὴν τῶν πρώτων κατορθωμάτων δόξαν, ἐν τοῖς δευτέροις λαμπροτέραν ἀποθησομένην. διαλεχθεὶς δὲ τὰ πρέποντα τῷ καιρῷ, καὶ πρὸς τὸν Κάτλον ἐξορμήσας, τοῦτόν τε παρεθάῤῥυνε, καὶ τοὺς αὐτοῦ μετεπέμπετο στρατιώτας ἐκ Γαλατίας. ὡς δὲ ἀφίκοντο, διαβὰς τὸν Ἠριδανὸν, εἴργειν ἐπειρᾶτο τῆς ἐντὸς Ἰταλίας τοὺς βαρβάρους. οἱ δὲ, τοὺς Τεύτονας ἐκδέχεσθαι, καὶ θαυμάζειν ὡς βραδυνόντων φάσκοντες, ἀνεβάλλοντο τὴν μάχην· εἴτε ἀγνοοῦντες ὄντως τὴν ἐκείνων φθορὰν, εἴτε βουλόμενοι δοκεῖν ἀπιστεῖν. καὶ γὰρ τοὺς ἀγγέλλοντας ᾐκίζοντο δεινῶς, καὶ τὸν Μάριον ᾔτουν πέμψαντες, ἑαυτοῖς καὶ τοῖς ἀδελφοῖς χώραν, καὶ πόλεις ἱκανὰς ἐνοικεῖν. ἐρομένου δὲ τοῦ Μαρίου τοὺς πρέσβεις περὶ τῶν ἀδελφῶν, κἀκείνων ὀνομασάντων τοὺς Τεύτονας, οἱ μὲν ἄλλοι πάντες ἐγέλασαν, ὁ δὲ Μάριος ἔσκωψεν εἰπὼν, Ἐᾶτε τοίνυν τοὺς ἀδελφούς· ἔχουσι γὰρ γῆν ἐκεῖνοι, καὶ διὰ παντὸς ἕξουσι, παρ' ἡμῶν λαβόντες. οἱ δὲ πρέσβεις τὴν εἰρωνείαν συνιέντες, ἐλοιδόρουν αὐτὸν, ὡς δίκην ὑφέξοντα, Κίμβροις μὲν αὐτίκα, Τεύτοσι δὲ, ὅταν παραγένωνται. καὶ μὴν πάρεισιν, ἔφη ὁ Μάριος, καὶ οὐχ

cap. 24. Marius, in urbem revocatus non triumphat, sed in Catuli castra profectus, suas legiones ex Gallia excit, ut barbaros, Teutonas præstolantes, a Gallia Cispadana arceat.

Digitized by Google

ἕξει καλῶς ὑμῖν ἀπαλλαγῆναι πρότερον ἢ τοὺς ἀδελφοὺς ἀσπάσασθαι. καὶ ταῦτα εἰπὼν, ἐκέλευσε τοὺς βασιλεῖς τῶν Τευτόνων προαχθῆναι δεδεμένους. ἑάλωσαν γὰρ ἐν ταῖς Ἄλπεσι φεύγοντες ὑπὸ Σηκουανῶν.

cap. 25. Ut stragem Teutonum, captivis eorum regibus, Marii jussu productis, comperitur Boeorix Cimbrorum rex, Marium ad certamen provocat. Triduo post dimicatur.

Ὡς δὲ ἀπηγγέλθη ταῦτα τοῖς Κίμβροις, εὐθὺς ἐξ ἀρχῆς ἐχώρουν ἐπὶ τὸν Μάριον, ἡσυχάζοντα καὶ διαφυλάσσοντα τὸ στρατόπεδον. λέγεται δὲ εἰς ἐκείνην τὴν μάχην, πρῶτον ὑπὸ Μαρίου καινοτομηθῆναι τὸ περὶ τοὺς ὑσσούς. τὸ γὰρ εἰς τὸν σίδηρον ἔμβλημα τοῦ ξύλου, πρότερον μὲν ἦν δυσὶ περόναις κατειλημμένον σιδηραῖς· τότε δὲ ὁ Μάριος τὴν μὲν, ὥσπερ εἶχεν, εἴασε, τὴν δ' ἑτέραν ἐξελὼν, ξύλινον ἧλον εὔθραυστον ἀντ' αὐτῆς ἐνέβαλε· τεχνάζων προσπεσόντα τὸν ὑσσὸν τῷ θυρεῷ τοῦ πολεμίου, μὴ μένειν ὀρθὸν, ἀλλὰ τοῦ ξυλίνου κλασθέντος ἥλου, καμπὴν γίνεσθαι περὶ τὸν σίδηρον, καὶ παρέλκεσθαι τὸ δόρυ διὰ τὴν στρεβλότητα τῆς αἰχμῆς ἐνεχόμενον. Βοιῶριξ δὲ ὁ τῶν Κιμβρῶν βασιλεὺς ὀλιγοστὸς προσιππεύσας τῷ στρατοπέδῳ, προὐκαλεῖτο τὸν Μάριον ἡμέραν ὁρίσαντα καὶ τόπον προελθεῖν καὶ διαγωνίσασθαι περὶ τῆς χώρας. τοῦ δὲ Μαρίου φήσαντος οὐδέποτε Ῥωμαίους συμβούλοις κεχρῆσθαι περὶ μάχης τοῖς πολεμίοις, οὐ μὴν ἀλλὰ καὶ χαριεῖσθαι τοῦτο Κίμβροις, ἡμέραν μὲν ἔθεντο τὴν ἀπ' ἐκείνης τρίτην, χώραν τε καὶ πεδίον τὸ περὶ Βερκέλλας, Ῥωμαίοις μὲν ἐπιτήδειον ἐνιππάσασθαι, τῶν δὲ ἀνάχυσιν τῷ πλήθει παρασχεῖν. τηρήσαντες οὖν τὸν ὡρισμένον χρόνον, ἀντιπαρετάσσοντο, Κάτλος μὲν, ἔχων δισμυρίους καὶ τριακοσίους στρατιώτας· οἱ δὲ Μαρίου, δισχίλιοι μὲν ἐπὶ τρισμυρίοις ἐγίνοντο, περιέσχον δὲ τὸν Κάτλον ἐν μέσῳ νεμηθέντες εἰς ἑκάτερον κέρας, ὡς Σύλλας ἠγωνισμένος ἐκείνην τὴν μάχην γέγραφε. καί φασι τὸν Μάριον ἐλπίσαντα τοῖς ἄκροις μάλιστα καὶ κατὰ κέρας συμπεσεῖν εἰς τὰς φάλαγγας, ὅπως ἴδιος ἡ νίκη τῶν ἐκείνου στρατιωτῶν γένοιτο, καὶ μὴ μετάσχοι τοῦ ἀγῶνος ὁ Κάτλος, μηδὲ προσμίξειε τοῖς πολεμίοις, κόλπωμα τῶν μέσων, ὥσπερ εἴωθεν ἐν μεγάλοις μετώποις, λαμβανόντων, οὕτω διαστῆσαι τὰς δυνάμεις. ὅμοια καὶ τὸν Κάτλον αὐτὸν ἀπολογεῖσθαι περὶ τούτων ἱστοροῦσι, πολλὴν κατηγοροῦντα τοῦ Μαρίου κακοήθειαν πρὸς αὐτόν. τοῖς δὲ Κίμβροις τὸ μὲν πε-

ζὸν

Digitized by Google

ζὸν ἐκ τῶν ἐρυμάτων καθ' ἡσυχίαν προήει, βάθος ἴσον τῷ μετώπῳ ποιούμενον· ἑκάστη γὰρ ἐπέσχε πλευρὰ σταδίους τριάκοντα τῆς παρατάξεως. οἱ δ' ἱππεῖς, μύριοι καὶ πεντακισχίλιοι τὸ πλῆθος ὄντες, ἐξήλασαν λαμπροὶ, κράνη μὲν εἰκασμένα θηρίων φοβερῶν χάσμασι καὶ προτομαῖς ἰδιομόρφοις ἔχοντες, ἃς ἐπαιρόμενοι λόφοις πτερωτοῖς εἰς ὕψος ἐφαίνοντο μείζους, θώραξι δὲ κεκοσμημένοι σιδηροῖς, θυρεοῖς δὲ λευκοῖς στίλβοντες. ἀκόντισμα δὲ ἦν ἑκάστῳ διβόλια. συμπεσόντες δὲ, μεγάλαις ἐχρῶντο καὶ βαρείαις μαχαίραις.

cap. 26. Cum concurreretur, barbarorum dolus Romanos non fefellit.

Τότε δὲ οὐχὶ κατὰ στόμα προσεφέροντο τοῖς Ῥωμαίοις, ἀλλ' ἐκκλίνοντες ἐπὶ δεξιᾷ, ὑπῆγον αὐτοὺς, κατὰ μικρὸν ἐμβάλλοντες εἰς τὸ μέσον αὐτῶν τε καὶ τῶν πεζῶν ἐξ ἀριστερᾶς παρατεταγμένων. καὶ συνεῖδον μὲν οἱ τῶν Ῥωμαίων στρατηγοὶ τὸν δόλον, ἐπισχεῖν δὲ τοὺς στρατιώτας οὐκ ἔφθησαν, ἀλλ' ἑνὸς ἐκβοήσαντος, ὅτι φεύγουσιν οἱ πολέμιοι, πάντες ὥρμησαν διώκειν. καὶ τὸ πεζὸν ἐν τούτῳ τῶν βαρβάρων ἐπῄει, καθάπερ πέλαγος ἀχανὲς κινούμενον. ἐνταῦθα νιψάμενος ὁ Μάριος τὰς χεῖρας, καὶ πρὸς τὸν οὐρανὸν ἀνασχὼν, ηὔξατο τοῖς θεοῖς κατὰ ἑκατόμβης· ηὔξατο δὲ καὶ Κάτλος, ὁμοίως ἀνασχὼν τὰς χεῖρας, καθιερώσειν τὴν τύχην τῆς ἡμέρας ἐκείνης. τὸν δὲ Μάριον καὶ θύσαντα λέγεται, τῶν ἱερῶν αὐτῷ δειχθέντων, μεγαφθεγξάμενον εἰπεῖν, ἐμὴ νίκη. γενομένης δὲ τῆς ἐφόδου, πρᾶγμα νεμεσητὸν παθεῖν τὸν Μάριον οἱ περὶ Σύλλαν ἱστοροῦσι. κονιορτοῦ γὰρ ἀρθέντος, οἷον εἰκὸς, ἀπλέτου, καὶ τῶν στρατοπέδων ἀποκεκρυμμένων, ἐκεῖνον μὲν, ὡς τὸ πρῶτον ὥρμησε πρὸς τὴν δίωξιν ἐπισπασάμενον τὴν δύναμιν, ἀστοχῆσαι τῶν πολεμίων, καὶ παρενεχθέντα τῆς φάλαγγος ἐν τῷ πεδίῳ διαφέρεσθαι πολὺν ἤδη χρόνον· τῷ δὲ Κάτλῳ τοὺς βαρβάρους ἀπὸ τύχης συῤῥαγῆναι, καὶ γενέσθαι τὸν ἀγῶνα κατ' ἐκεῖνον καὶ τοὺς ἐκείνου μάλιστα στρατιώτας, ἐν οἷς αὐτὸς ὁ Σύλλας τετάχθαι φησί· συναγωνίσασθαι δὲ τοῖς Ῥωμαίοις τὸ καῦμα καὶ τὸν ἥλιον ἀντιλάμποντα τοῖς Κίμβροις. δεινοὶ γὰρ ὄντες ὑπομεῖναι κρύη, καὶ τόποις ἐντεθραμμένοι σκιεροῖς, ὡς λέλεκται, καὶ ψυχροῖς, ἀνετρέποντο πρὸς τὸ θάλπος, ἱδρῶτά τε μετὰ ἄσθματος πολὺν ἐκ τῶν σωμάτων ἀφιέντες, καὶ τοὺς θυρεοὺς προβαλλόμε-

Profuit Romanis calor, & sol Cimbrorum oculis objectus, adeoque pulvis, qui abscondebat hostes.

λόμενοι πρὸ τῶν προσώπων, ἅτε δὴ καὶ μετὰ τροπὰς θέρους τῆς μάχης γενομένης, ὡς ἄγουσι Ῥωμαῖοι πρὸ τριῶν ἡμερῶν τῆς νουμηνίας τοῦ νῦν μὲν Αὐγούστου, τότε δὲ Σεξτιλίου μηνός. ὤνησε δὲ καὶ πρὸς τὸ θαῤῥεῖν ὁ κονιορτὸς, ἀποκρύψας τοὺς πολεμίους. οὐ γὰρ κατεῖδον ἐκ πολλοῦ τὸ πλῆθος αὐτῶν, ἀλλὰ δρόμῳ τοῖς κατ᾽ αὐτοὺς ἕκαστοι προσμίξαντες, ἐν χερσὶν ἦσαν, ὑπὸ τῆς ὄψεως μὴ προεκφοβηθέντες. οὕτω δ᾽ ἦσαν διάπονοι τὰ σώματα καὶ κατηθληκότες, ὡς μήτε ἱδροῦντά τινα, μήτε ἀσθμαίοντα Ῥωμαίων ὀφθῆναι, διὰ πνίγους τοσούτου καὶ μετὰ δρόμου τῆς συῤῥάξεως γενομένης· ὡς τὸν Κάτλον αὐτὸν ἱστορεῖν λέγουσι, μεγαλύνοντα τοὺς στρατιώτας.

cap. 27. Barbari fugantur & cæduntur; in fugientes ipsæ feminæ barbarorum sæviunt.

Τὸ μὲν οὖν πλεῖστον μέρος καὶ μαχιμώτατον τῶν πολεμίων αὐτοῦ κατεκόπη. καὶ γὰρ ἦσαν, ὑπὲρ τοῦ μὴ διασπᾶσθαι τὴν τάξιν, οἱ πρόμαχοι μακραῖς ἁλύσεσι πρὸς ἀλλήλους συνεχόμενοι, διὰ τῶν ζωστήρων ἀναδεδεμένοι. τοὺς δὲ φεύγοντας ὤσαντες πρὸς τὸ χαράκωμα, τραγικωτάτοις ἐνετύγχανον πάθεσιν. αἱ γὰρ γυναῖκες ἐπὶ τῶν ἁμαξῶν μελανείμονες ἐφεστῶσαι, τούς τε φεύγοντας ἔκτεινον, αἱ μὲν, ἄνδρας, αἱ δὲ, ἀδελφοὺς, αἱ δὲ, πατέρας· καὶ τὰ νήπια τῶν τέκνων ἀπάγχουσαι ταῖς χερσὶν, ἐῤῥίπτουν ὑπὸ τοὺς τροχοὺς καὶ τοὺς πόδας τῶν ὑποζυγίων· αὐτὰς δὲ ἀπέσφαττον. μίαν δέ φασιν ἐξ ἄκρου ῥυμοῦ κρεμαμένην, τὰ παιδία τῶν αὐτῆς σφυρῶν ἀφημμένα βρόχοις ἑκατέρωθεν ἠρτῆσθαι. τοὺς δὲ ἄνδρας, ἀπορίᾳ δένδρων, τοῖς κέρασι τῶν βοῶν, τοὺς δὲ, τοῖς σκέλεσι προσδεῖν τοὺς αὐτῶν τραχήλους· εἶτα κέντρα προσφέροντας, ἐξαλλομένων τῶν βοῶν, ἐφελκομένους καὶ πατουμένους ἀπόλλυσθαι. πλὴν, καίπερ οὕτως αὐτῶν διαφθαρέντων, ἑάλωσαν ὑπὲρ ἓξ μυριάδας, αἱ δὲ τῶν πεσόντων ἐλέγοντο δὶς τοσαῦτα γενέσθαι.

Catuli milites victoriam quidem sibi vindicant; Mario vero e communi sententia victoriæ gloria assignatur;

τὰ μὲν οὖν χρήματα διήρπασαν οἱ Μαρίου στρατιῶται, τὰ δὲ λάφυρα καὶ τὰς σημείας καὶ τὰς σάλπιγγας εἰς τὸ Κάτλου στρατόπεδον ἀνενεχθῆναι λέγουσιν· ᾧ καὶ μάλιστα τεκμηρίῳ χρῆσθαι τὸν Κάτλον, ὡς κατ᾽ αὐτὸν ἡ νίκη γένοιτο. καὶ μέντοι καὶ τοῖς στρατιώταις, ὡς ἔοικεν, ἐμπεσούσης ἔριδος, ᾑρέθησαν οἷον διαιτηταὶ πρέσβεις Παρμιτῶν παρόντες· οὓς οἱ Κάτλου διὰ τῶν πολεμίων νεκρῶν ἄγοντες, ἐπεδείκνυντο τοῖς ἑαυτῶν ὑσσοῖς διαπεπαρμένους. γνώριμοι δ᾽ ἦσαν ὑπὸ

γραμ-

Digitized by Google

γραμμάτων, τοὔνομα τοῦ Κάτλου παρὰ τὸ ξύλον αὐτῶν ἐγχαράξαντος. οὐ μὴν ἀλλὰ τῷ Μαρίῳ προσετίθετο σύμπαν τὸ ἔργον, ἥ τε προτέρα νίκη, καὶ τὸ πρόσχημα τῆς ἀρχῆς. μάλιστα δὲ οἱ πολλοὶ κτίστην τε Ῥώμης τρίτον ἐκεῖνον ἀνηγόρευον, ὡς οὐχ ἧττονα τοῦ Κελτικοῦ τοῦτον ἀπεωσμένον τὸν κίνδυνον· εὐθυμούμενοί τε μετὰ παίδων καὶ γυναικῶν ἕκαστοι κατ' οἶκον, ἅμα τοῖς Θεοῖς, καὶ Μαρίῳ δείπνου καὶ λοιβῆς ἀπήρχοντο, καὶ θριαμβεύειν μόνον ἠξίουν ἀμφοτέρους τοὺς θριάμβους. οὐ μὴν ἐθριάμβευσεν οὕτως, ἀλλὰ μετὰ τοῦ Κάτλου, μέτριον ἐπὶ τηλικαύταις εὐτυχίαις βουλόμενος παρέχειν ἑαυτόν. ἔστι δὲ ὅτι καὶ τοὺς στρατιώτας φοβηθεὶς παρατεταγμένους, εἰ Κάτλος ἀπείργοιτο τῆς τιμῆς, μηδὲ ἐκεῖνον ἐᾶν θριαμβεύειν.

Attamen cum Catulo triumphat.

Τῷ δ' αὐτῷ χρόνῳ Σκιπίων ὕπατος καθεῖλε τὸ θέατρον, ὃ Λεύκιος Κάσσιος ἤρχετο, καὶ ἤδη που τέλος ἐλάμβανεν· ὡς καὶ τόδε στάσεων ἄρξον ἑτέρων, ἢ οὐ χρήσιμον ὅλως Ἑλληνικαῖς ἡδυπαθείαις Ῥωμαίους ἐθίζεσθαι. τιμητὴς δὲ Κόϊντος Καικίλιος Μέτελλος, Γλαυκίαν τε βουλεύοντα, καὶ Ἀπουλήϊον Σατορνῖνον δεδημαρχηκότα ἤδη, τῆς ἀξιώσεως παρέλυεν, αἰσχρῶς βιοῦντας· οὐ μὴν ἐδυνήθη. ὁ γὰρ οἱ συνάρχων οὐ συνέθετο. μικρὸν οὖν ὕστερον ὁ Ἀπουλήϊος, ὡς ἀμυνούμενος τὸν Μέτελλον, ἐς ἑτέραν παρήγγελλε δημαρχίαν, φυλάξας στρατηγοῦντα τὸν Γλαυκίαν καὶ τῆσδε τῶν δημάρχων τῆς χειροτονίας προεστῶτα. Νώνιος μὲν οὖν, ἐπιφανὴς ἀνὴρ, ἔς τε τὸν Ἀπουλήϊον παῤῥησίᾳ χρώμενος, καὶ Γλαυκίαν ἐξονειδίζων, δήμαρχος ἀπεδείχθη. δείσαντες δ' ὅ τε Γλαυκίας καὶ ὁ Ἀπουλήϊος, μὴ δημαρχῶν αὐτοὺς ἀμύναιτο, ὄχλον ἀνδρῶν εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἀπιόντι ἐπιπέμπουσι σὺν θορύβῳ, καὶ ἔς τι πανδοχεῖον συμφυγόντα συνεκέντησαν. τοῦ δὲ πάθους οἰκτροῦ καὶ δεινοῦ φανέντος, οἱ περὶ τὸν Γλαυκίαν, πρὶν τοῦ δήμου συνελθόντος, ἅμ' ἕῳ χειροτονοῦσι δήμαρχον τὸν Ἀπουλήϊον. καὶ τὸ μὲν Νωνίου πάθος ὧδε ἐσιγήθη διὰ τὴν δημαρχίαν Ἀπουληΐου, δεδιότων αὐτὸν ἔτι ἐξελέγχειν.

Appianus, de bellis civil. Lib. I. c. 28. Scipio Cos. theatrum demolitur, ne populus Graecanicis voluptatibus adsuefiat.

Tertia dissensio civium Apulejana, A.U. 653. 654. ante Chr. 101. 100.

Apulejus cum Glaucia a Censore Metello ob mores notatus, tribunatum ambit. Sed pro eo Nonius trib. pl. designatur; qui mox a Glauciae factione interimitur.

Ἐξηλάθη δὲ καὶ Μέτελλος ὑπ' αὐτῶν, προσλαβόντων Γάϊον Μάριον, ἕκτην ἄρχοντα ὑπατείαν, ἐχθρὸν ἀφανῆ τοῦ Μετέλλου. καὶ συνέπραξαν ὧδε ἅπαντες ἀλλήλοις. ὁ μὲν Ἀπουλήϊος νόμον ἐσέφερε, Διαδάσασθαι γῆν, ὅσην

cap. 29. Metellus ab eadem factione, conspirante C. Mario in exsilium

Digitized by Google

ἐν τῇ νῦν ὑπὸ Ῥωμαίων καλουμένῃ Γαλατίᾳ Κίμβροι γένος Κελτῶν κατειλήφεσαν· καὶ αὐτοὺς ὁ Μάριος ἔναγχος ἐξελάσας, τὴν γῆν ὡς οὐκέτι Γαλατῶν, ἐς Ῥωμαίους περιεσπάκει. προσέκειτο δὲ, εἰ κυρώσειε τὸν νόμον ὁ δῆμος, τὴν βουλὴν πένθ' ἡμέραις ἐπομόσαι, πεισθήσεσθαι τῷ νόμῳ· ἢ τὸν οὐκ ὀμόσαντα μήτε βουλεύειν, καὶ ὄφλειν τῷ δήμῳ τάλαντα εἴκοσιν· ὑπονοοῦντες, οὕτως ἄλλους τε τῶν δυσχεραινόντων ἀμυνεῖσθαι, καὶ Μέτελλον ὑπὸ φρονήματος οὐκ ἐνδώσοντα πρὸς τὸν ὅρκον. ὁ μὲν δὴ νόμος ὧδε εἶχε. καὶ ὁ Ἀπουλήϊος ἡμέραν αὐτοῦ τῇ δοκιμασίᾳ προὐτίθει, καὶ περιέπεμπε τοὺς ἐξαγγέλλοντας τοῖς οὖσιν ἀνὰ τοὺς ἀγροὺς, οἷς δὴ καὶ μάλιστ' ἐθάῤῥουν, ὑπεστρατευμένοις Μαρίῳ. πλεονεκτούντων δ' ἐν τῷ νόμῳ τῶν Ἰταλιωτῶν, ὁ δῆμος ἐδυσχέραινε.

mittitur, quod in legem agrariam Apuleji jurare non vult.

cap. 30. Comitia habita de lege Apuleji agraria tonitru non interrumpuntur, & lex fertur.

Καὶ στάσεως ἐν τῇ κυρίᾳ γενομένης, ὅσοι μὲν ἐκώλυον τῶν δημάρχων τοὺς νόμους, ὑβριζόμενοι πρὸς τοῦ Ἀπουληΐου κατεπήδων ἀπὸ τοῦ βήματος. ὁ δὲ πολιτικὸς ὄχλος ἐβόα, ὡς γενομένης ἐν ἐκκλησίᾳ βροντῆς, ὅθεν οὐ θέμις ἐστὶ Ῥωμαίοις οὐδὲν ἔτι κυροῦν. βιαζομένων δὲ καὶ ὣς τῶν περὶ τὸν Ἀπουλήϊον, οἱ πολιτικοὶ, τά τε ἱμάτια διαζωσάμενοι, καὶ τὰ προστυχόντα ξύλα ἁρπάσαντες, τοὺς ἀγροίκους διέσυσαν. οἱ δ' αὖθις ὑπὸ τοῦ Ἀπουληΐου συγκαλούμενοι, μετὰ ξύλων καὶ οἵδε τοῖς ἀστικοῖς ἐπῄεσαν, καὶ βιασάμενοι, τὸν νόμον ἐκύρωσαν. Κυρωθέντος δ', αὐτίκα Μάριος, διὰ ὕπατος, τῇ βουλῇ προὐτίθει σκοπεῖν περὶ τοῦ ὅρκου· καὶ τὸν Μέτελλον εἰδὼς στεῤῥόν τε τῇ γνώμῃ, καὶ βέβαιον ἐφ' ὅ τι φρονήσειεν ἢ εἰπεῖν φθάσειεν, ἐτίθει πρῶτος ἐς μέσον τὴν γνώμην τὴν ἑαυτοῦ μετ' ἐνέδρας, καὶ ἔλεγεν, ὡς οὔποτε τὸν ὅρκον ἑκὼν τόνδε αὐτὸς ὀμόσειε. συναποφηναμένου δὲ ταῦτα καὶ τοῦ Μετέλλου, καὶ τῶν ἄλλων αὐτοὺς ἐπαινεσάντων, ὁ Μάριος διέλυσε τὴν βουλήν. εἶτα τῆς πέμπτης ἡμέρας, (ἣ τῷ ὅρκῳ τελευταία κατὰ τὸν νόμον ἦν) ἀμφὶ δεκάτην ὥραν αὐτοὺς κατὰ σπουδὴν συναγαγὼν, ἔφη· τὸν δῆμον ἐσπουδακότα περὶ τὸν νόμον δεδιέναι, μηχανὴν δ' ὁρᾶν καὶ σόφισμα τοιόνδε· ὀμόσειν γὰρ, ᾗ νόμος ἐστὶ, τῷδε πεισθήσεσθαι τῷ νόμῳ· καὶ νῦν μὲν οὕτω διασκεδᾶν τοὺς ἀπὸ τῶν ἀγρῶν ἐνηδρευμένους, ὕστερον δ' οὐ δυσχερῶς ἐπιδείξειν, ὅτι οὐκ ἔστι νόμος, ὁ πρὸς βίαν

Marius de jurejurando ad senatum refert: Metellus negat, se unquam in legem juraturum: quam sententiam ipse Marius per insidias prælverat.

Marius sententiam retractat;

βὰν τε καὶ βροντῆς ὀνομασμένης κεκυρωμένος παρὰ τὰ πάτρια.

cap. 31. Metellus constanter in ea perseverat & in exsilium mittitur.

Ταῦτα δ' εἰπὼν, καὶ τέλος οὐδὲν ἀναμείνας, πάντων ἔτι σιωπώντων ὑπ' ἐκπλήξεως ἐπὶ τῇ ἐνέδρᾳ καὶ τῷ χρόνῳ δεδαπανημένῳ, οὐδ' ἐνθυμηθῆναί τι παρασχὼν αὐτοῖς, ἐξανίςατο ἐς τὸν τοῦ Κρόνου νεὼν, οὗ τοὺς ταμίας ἐχρῆν ὀμνύναι· καὶ ὤμνυε σὺν τοῖς φίλοις πρῶτος. ὤμνυον δὲ καὶ οἱ λοιποὶ, τὸ ἑαυτοῦ δεδιὼς ἕκαςος. Μέτελλος δ' οὐκ ὤμοσε μόνος, ἀλλ' ἐπὶ τῆς ἑαυτοῦ προαιρέσεως διέμεινεν ἀφόβως. καὶ αὐτὸν εὐθὺς τῆς ἐπιούσης ὁ Ἀπουλήϊος, ἐπιπέμψας τὸν ὑπηρέτην, ἐξεῖλκεν ἀπὸ τοῦ βουλευτηρίου. ῥυομένων δὲ τῶν ἑτέρων δημάρχων, ὁ Γλαυκίας καὶ ὁ Ἀπουλήϊος ἐς τοὺς ἀγροίκους ἐκδραμόντες, οὐκ, ἔφασκον, αὐτοῖς ἔσεσθαι τὴν γῆν, οὐδὲ τὸν νόμον κύριον, εἰ μὴ Μέτελλος ἐξελαθείη. ψήφισμά τε φυγῆς ἐπέγραφον αὐτῷ, καὶ τοὺς ὑπάτους ἐπικηρύξαι, προσετίθεσαν, μηδένα Μετέλλῳ κοινωνεῖν πυρὸς ἢ ὕδατος ἢ ςέγης· ἔς τε τὴν δοκιμασίαν τοῦδε τοῦ ψηφίσματος ἡμέραν προὔγραφον. δεινῆς δὲ τῶν ἀςικῶν ἀγανακτήσεως οὔσης, καὶ παραπεμπόντων αἰεὶ Μέτελλον σὺν ξιφιδίοις, ὁ Μέτελλος αὐτοὺς ἀσπασάμενος, καὶ ἐπαινέσας τῆς προαιρέσεως, οὐκ, ἔφη, δι' ἑαυτὸν ἐάσειν οὐδένα κίνδυνον ἐπιγενέσθαι τῇ πατρίδι. καὶ τόδε εἰπὼν, ὑπεξῆλθε τῆς πόλεως. καὶ τὸ ψήφισμα ὁ Ἀπουλήϊος ἐκύρου, καὶ τὰ ἐν τῷ ψηφίσματι Μάριος ἐπεκήρυττεν.

cap. 32. Glaucia & Memmio consulatum competentibus Memmius a Glauciæ & Apuleji factione in ipsis comitiis fuste conficitur.

Οὕτω μὲν δὴ καὶ Μέτελλος, ἀνὴρ εὐδοκιμώτατος, ἔφευγε. καὶ ὁ Ἀπουλήϊος, ἐπ' αὐτῷ τρίτον ἐδημάρχει· καί τις αὐτῷ συνῆρχε, δραπέτης εἶναι νομιζόμενος, Γράκχου ἑαυτῷ τὸν πρεσβύτερον πατέρα ἐπιγράφων· καὶ τὸ πλῆθος αὐτῷ συνεπεπράχει περὶ τὴν χειροτονίαν, πόθῳ Γράκχου. προτεθείσης δὲ ὑπάτων χειροτονίας, Μάρκος μὲν Ἀντώνιος ἐπὶ τὴν ἑτέραν ἀναμφιλόγως ᾑρέθη· τὴν δὲ ὑπόλοιπον Γλαυκίας ὅδε καὶ Μέμμιος μετῄεσαν. Μεμμίου δ' ὄντος ἐπιδοξοτέρου παρὰ πολὺ, δείσας ὁ Γλαυκίας καὶ ὁ Ἀπουλήϊος, ἐπιπέμπουσί τινας αὐτῷ σὺν ξύλοις ἐν αὐτῇ τῇ χειροτονίᾳ, οἳ τὸν Μέμμιον παίοντες ἐν μέσῳ πάντων ὁρώντων συνέκοψαν. καὶ ἡ μὲν ἐκκλησία θορυβηθεῖσα διελύετο, οὔτε νόμων οὔτε δικαςηρίων οὔτε τινὸς αἰδοῦς ἔτι ὑπούσης. ὁ δὲ δῆμος, ἀγανακτῶν, ἐς τὴν ἐπιοῦσαν ἡμέραν μετ'

ὀργῆς

Digitized by Google

Apulejus cum Glaucia & C. Saufejo Capitolium occupat, postea Mario freti, se dedunt; sed eos, a Mario in curiam inclusos, plebs injectis tegulis interimit.

ὀργῇ συνέτρεχεν, ὡς κτενοῦντες τὸν Ἀπουλήϊον. ὁ δ', ἄλλο πλῆθος ἀλίσας ἀπὸ τῶν ἀγρῶν, μετὰ Γλαυκίου καὶ Γαΐου Σαυφηΐου ταμίου τὸ Καπιτώλιον κατέλαβε. καὶ αὐτοὺς τῆς βουλῆς ἀναιρεθῆναι ψηφισαμένης, ὁ Μάριος ἀχθόμενος, ὅμως ὥπλιζέ τινας σὺν ὄκνῳ· καὶ βραδύνοντος, ἕτεροι τὸ ὕδωρ τὸ ἐπιῤῥέον ἐς τὸ ἱερὸν διέτεμον. καὶ Σαυφήϊος μὲν ἐμπρῆσαι τὸν νεὼν, ὑπὸ δίψης ἀπολλύμενος, ἠξίου. Γλαυκίας δὲ καὶ Ἀπουλήϊος, ἐλπίσαντες αὐτοῖς ἐπικουρήσειν Μάριον, παρέδωκαν ἑαυτοὺς, οἵδε πρῶτοι, καὶ ἐπ' ἐκείνοις ὁ Σαυφήϊος. Μάριος δ', αὐτίκα πάντων αὐτοὺς ἀναιρεῖν κελευόντων, ἐς τὸ βουλευτήριον συνέκλεισεν, ὡς ἐννομώτερον ἐργασόμενος. οἱ δὲ, πρόφασιν τοῦτ' εἶναι νομίσαντες, τὸν κέραμον ἐξέλυον τοῦ βουλευτηρίου, καὶ τοὺς ἀμφὶ τὸν Ἀπουλήϊον ἔβαλλον, ἕως ἀπέκτειναν· ταμίαν τε, καὶ δήμαρχον, καὶ στρατηγὸν, ἔτι περικειμένους τὰ σύμβολα τῆς ἀρχῆς.

cap. 33. Status urbis turbulentus.

Πολὺς δὲ καὶ ἄλλος ὅμιλος ἐν τῇ στάσει διέφθαρτο, καὶ δήμαρχος ἕτερος, τοῦ Γράκχου παῖς εἶναι νομιζόμενος, πρώτην δημαρχῶν ἐκείνην ἡμέραν· οὐδένα ἔτι ὠφελούσης οὔτε ἐλευθερίας, οὔτε δημοκρατίας, οὔτε νόμων, οὔτε ἀξιώσεως, οὔτε ἀρχῆς· ὅπου καὶ ἡ τῶν δημάρχων, ἔς τε κώλυσιν ἁμαρτημάτων καὶ ἐς ἐπικούρησιν τῶν δημοτῶν γενομένη, ἱερὰ καὶ ἄσυλος οὖσα, τοιάδε ὕβριζε, καὶ τοιάδε ἔπασχεν. Ἀναιρεθέντων δὲ τῶν ἀμφὶ τὸν Ἀπουλήϊον, ἡ μὲν βουλὴ καὶ ὁ δῆμος ἐκεκράγεσαν κατακαλεῖν Μέτελλον. Πούπλιος δὲ Φούριος δήμαρχος, οὐδ' ἐλευθέρου πατρὸς, ἀλλ' ἐξελευθέρου, θρασέως ἐνίστατο αὐτοῖς· καὶ οὐδὲ Μετέλλου, τοῦ Μετέλλου παιδὸς, ἱκετεύοντος αὐτὸν ἐν ὄψει τοῦ δήμου, καὶ δακρύοντος, καὶ τοῖς ποσὶ προσπίπτοντος, ἐνεκλάσθη. ἀλλ' ὁ μὲν παῖς ἐκ τῆσδε τῆς ὄψεως Εὐσεβὴς ἐς τὸ ἔπειτα ἐκλήθη. τοῦ δ' ἐπιόντος ἔτους, Φούριον μὲν ἐπὶ τῷδε ἐς δίκην Γάϊος Κανουλήϊος δήμαρχος ὑπῆγε· καὶ ὁ δῆμος, οὐδὲ τοὺς λόγους ὑπομείνας, διέσπασε τὸν Φούριον. οὕτως αἰεί τι μύσος ἑκάστου ἔτους ἐπὶ τῆς ἀγορᾶς ἐγίγνετο. Μετέλλῳ δ' ἡ κάθοδος ἐδόθη. καί φασιν, αὐτῷ τὴν ἡμέραν οὐκ ἀρκέσαι, περὶ τὰς πύλας δεξιουμένῳ τοὺς ἀπαντῶντας. τρίτον μὲν δὴ τόδε ἔργον ἐμφύλιον ἦν τὸ Ἀπουληΐου, μετὰ δύο τὰ Γράκχεια, καὶ τοσάδε εἰργάσατο Ῥωμαίους.

Metellus ab exsilio revocatur, P. Furio trib. pl., qui ejus reditui præfracte restiterat, a furente multitudine discerpto.

Ὀ...

Digitized by Google

Οὕτω δ' ἔχουσιν αὐτοῖς, ὁ Συμμαχικὸς καλούμενος πόλεμος ἐπιγίγνεται, ἐθνῶν ἀνὰ τὴν Ἰταλίαν πολλῶν· ἀρξάμενός τε παραδόξως, καὶ ἀθρόως ἐπὶ μέγα προελθὼν, καὶ τὰς στάσεις ἐν Ῥώμῃ σβέσας ὑπὸ δέους ἐπὶ πολύ. λήγων δὲ καὶ ὅδε στάσεις τε ἄλλας καὶ στασιάρχας δυνατωτέρους ἀνέθρεψεν, οὐ νόμων εἰσηγήσεσιν ἔτι, οὐδὲ δημοκοπίαις, ἀλλ' ἀθρόοις στρατεύμασι κατ' ἀλλήλων χρώμενους. ἤρξατο δὲ ὧδε· Φούλβιος Φλάκκος ὑπατεύων, μάλιστα δὴ πρῶτος ὅδε ἐς τὸ φανερώτατον ἠρέθιζε τοὺς Ἰταλιώτας ἐπιθυμεῖν τῆς Ῥωμαίων πολιτείας, ὡς κοινωνοὺς τῆς ἡγεμονίας ἀντὶ ὑπηκόων ἐσομένους. εἰσηγούμενος δὲ τὴν γνώμην, καὶ ἐπιμένων αὐτῇ καρτερῶς, ὑπὸ τῆς βουλῆς ἐπί τινα στρατείαν ἐξεπέμφθη διὰ τόδε. ἐν ᾗ τῆς ὑπατείας αὐτῷ δεδαπανημένης, ὅδε καὶ δημαρχεῖν εἵλετο μετ' αὐτὴν, καὶ ἔπραξε γενέσθαι σὺν Γράκχῳ τῷ νεωτέρῳ, τοιάδε ἄλλα ὑπὲρ τῆς Ἰταλίας ἐσφέροντι κἀκείνῳ. Ἀναιρεθέντοιν δὲ ἀμφοῖν, ὥς μοι προείρηται, πολὺ μᾶλλον ἠρέθιστο ἡ Ἰταλία· οὔτε γὰρ ἠξίουν ἐν ὑπηκόων, ἀντὶ κοινωνῶν, εἶναι μέρει, οὔτε Φλάκκον καὶ Γράκχον ὑπὲρ αὐτῶν πολιτεύοντας τοιάδε παθεῖν.

Ἐπὶ δὲ ἐκείνοις καὶ Λίβιος Δροῦσος δημαρχῶν, ἀνὴρ ἐπιφανέστατος ἐκ γένους, δεηθεῖσι τοῖς Ἰταλιώταις νόμον αὖθις εἰσενεγκεῖν περὶ τῆς πολιτείας ὑπέσχετο. τοῦτο γὰρ δὴ μάλιστα ἐπεθύμουν, ὡς ἑνὶ τῷδε αὐτίκα ἡγεμόνες ἀντὶ ὑπηκόων ἐσόμενοι. ὁ δὲ, τὸν δῆμον ἐς τοῦτο προθεραπεύων, ὑπήγετο ἀποικίαις πολλαῖς ἔς τε τὴν Ἰταλίαν καὶ Σικελίαν, ἐψηφισμέναις μὲν ἐκ πολλοῦ, γεγονυίαις δὲ οὔπω. τήν τε βουλὴν καὶ τοὺς ἱππέας, οἳ μάλιστα δὴ τότε ἀλλήλοις διὰ τὰ δικαστήρια διεφέροντο, ἐπὶ κοινῷ νόμῳ συναγαγεῖν ἐπειρᾶτο· σαφῶς μὲν οὐ δυνάμενος ἐς τὴν βουλὴν ἐπανενεγκεῖν τὰ δικαστήρια, τεχνάζων δ' ἐς ἑκατέρους ὧδε· τῶν βουλευτῶν διὰ τὰς στάσεις τότε ὄντων μόλις ἀμφὶ τοὺς τριακοσίους, ἑτέρους τοσούσδε αὐτοῖς ἀπὸ τῶν ἱππέων εἰσηγεῖτο ἀριστίνδην προσκαταλεγῆναι, καὶ ἐκ τῶνδε πάντων ἐς τὸ μέλλον εἶναι τὰ δικαστήρια. εὐθύνας τε ἐπ' αὐτῶν γίγνεσθαι δωροδοκίας, προσέγραφεν· ἐγκλήματος ἴσα δὴ καὶ ἀγνοουμένου, διὰ τὸ ἔθος τῆς δωροδοκίας ἀνέδην ἐπιπολαζούσης. ὁ μὲν δὴ τάδε πρὸς ἑκατέρους ἐπενόει· περιηλ-

cap. 34. Bellum sociale, A.U. 663-666. ante C. 91-88.

Fulvius Flaccus, A. U. 629. ante Chr. 125. primus injicit Italicis sociis civitatis Romanæ cupidinem.

cap. 35. Turbæ Drusionæ. Livius Drusus trib. pl. sociis legem de civitate eis danda promulgare promittit. Plebem sibi devincit coloniis in Italiam & Siciliam deductis.

In favorem senatus & equitum promulgat legem: ut par numerus ex equestri ordine in senatum ad-

Digitized by Google

scisciscatur & ab eisdem de corruptelis judicum quaestiones exerceantur, quam & senatus & equites moleste ferunt.

ριῆλθε δὲ ἐς τὸ ἐναντίον αὐτῷ. ἥ τε γὰρ βουλὴ χαλεπῶς ἔφερεν, ἀθρόως αὐτῇ τοσούσδε προσκαταλεγῆναι, καὶ ἐξ ἱππέων ἐς τὸ μέγιστον ἀξίωμα μεταβῆναι· οὐκ ἀδόκητον ἡγουμένη, καὶ βουλευτὰς γενομένους, κατὰ σφᾶς ἔτι δυνατώτερον τοῖς προτέροις βουλευταῖς στασιάσειν. οἵ τε ἱππεῖς ὑπώπτευον, ὅτι τῇδε τῇ θεραπείᾳ πρὸς τὸ μέλλον ἐς τὴν βουλὴν μόνην τὰ δικαστήρια ἀπὸ τῶν ἱππέων περιφέροιτο· γευσάμενοί τε κερδῶν μεγάλων καὶ ἐξουσίας, οὐκ ἀλύπως τὴν ὑπόνοιαν ἔφερον. τό τε πλῆθος αὐτῶν ἐν ἀπορίᾳ σφᾶς ἐποίει καὶ ὑποψίᾳ πρὸς ἀλλήλους, τίνες ἀξιώτεροι δοκοῦσιν ἐς τοὺς τριακοσίους καταλεγῆναι· καὶ τοῖς λοιποῖς φθόνος ἐς τοὺς κρείττονας ἐσῄει. ὑπὲρ ἅπαντα δ' ἠγανάκτουν ἀναφυομένου τοῦ τῆς δωροδοκίας ἐγκλήματος, ὃ τέως ἡγοῦντο καρτερῶς ὑπὲρ αὐτῶν πρόῤῥιζον ἐσβέσθαι.

cap. 36. Senatus & equites conspirant in Drusi odium; socii Italici, Etrusci Umbrique metuunt, ne ipsis coloniis deductis ager Romanorum publicus eripiatur.

Ούτω μὲν δὴ καὶ οἱ ἱππεῖς καὶ ἡ βουλὴ, καίπερ ἔχοντες ἀλλήλοις διαφόρως, ἐς τὸ Δρούσου μῖσος συνεφρόνουν· καὶ μόνος ὁ δῆμος ἔχαιρε ταῖς ἀποικίαις. οἱ Ἰταλιῶται δ', ὑπὲρ ὧν δὴ καὶ μάλιστα ὁ Δροῦσος ταῦτα ἐτέχναζε, καὶ οἵδε περὶ τῷ νόμῳ τῆς ἀποικίας ἐδεδοίκεσαν, ὡς τῆς δημοσίας Ῥωμαίων γῆς (ἣν, ἀνέμητον οὖσαν ἔτι, οἱ μὲν ἐκ βίας, οἱ δὲ λανθάνοντες, ἐγεώργουν) αὐτίκα σφῶν ἀφαιρεθησομένης, καὶ πολλὰ καὶ περὶ τῆς ἰδίας ἐνοχλησόμενοι. Τυῤῥηνοί τε καὶ Ὀμβρικοὶ, ταὐτὰ δειμαίνοντες τοῖς Ἰταλιώταις, καὶ, ὡς ἐδόκει, πρὸς τῶν ὑπάτων ἐς τὴν πόλιν ἐπαχθέντες, ἔργῳ μὲν ἐς ἀναίρεσιν Δρούσου, λόγῳ δ' ἐς κατηγορίαν, τοῦ νόμου φανερῶς κατεβόων, καὶ τὴν τῆς δοκιμασίας ἡμέραν ἀνέμενον.

Hinc factum, ut Drusus, Etruscis Umbrisque in urbem ad comitia accitis, interimeretur.

ὧν ὁ Δροῦσος αἰσθανόμενός τε, καὶ οὐ θαμινὰ προϊὼν, ἀλλ' ἔνδον ἐν περιπάτῳ βραχὺ φῶς ἔχοντι χρηματίζων ἀεὶ, καὶ περὶ ἑσπέραν τὸ πλῆθος ἀποπέμπων, ἐξεβόησεν ἄφνω, πεπλῆχθαι· καὶ λέγων ἔτι, κατέπεσεν. εὑρέθη δὲ ἐς τὸν μηρὸν αὐτῷ σκυτοτόμου μαχαίριον ἐμπεπηγμένον.

cap. 37. Inter strictas equitum sicas lex Q. Varii perfertur, de reis faciendis quotquot sociis Italicis civitatem ad-

Ούτω μὲν δὴ καὶ Δροῦσος ἀνῄρητο δημαρχῶν. καὶ οἱ ἱππεῖς ἐπίβασιν ἐς συκοφαντίαν τῶν ἐχθρῶν τὸ πολίτευμα αὐτοῦ τιθέμενοι, Κόϊντον Ὀυάριον δήμαρχον ἔπεισαν εἰσηγήσασθαι, κρίσεις εἶναι κατὰ τῶν τοῖς Ἰταλιώταις ἐπὶ τὰ κοινὰ φανερῶς ἢ κρύφα βοηθούντων· ἐλπίσαντες τοὺς δυνατοὺς ἅπαντας αὐτίκα εἰς ἔγκλημα ἐπίφθονον ὑπάξειν

πάξεσθαι, καὶ δικάσειν μὲν αὐτοὶ, γενομένων δ' ἐκείνων ἐκποδὼν, δυνατώτερον ἔτι τῆς πόλεως ἐπάρξειν. τὸν μὲν δὴ νόμον ἀπαγορευόντων τῶν ἑτέρων δημάρχων μὴ τίθεσθαι, περιστάντες οἱ ἱππεῖς σὺν ξιφιδίοις γυμνοῖς ἐκύρωσαν. ὡς δ' ἐκεκύρωτο, αὐτίκα τοῖς ἐπιφανεστάτοις τῶν βουλευτῶν ἐπεγράφοντο κατήγοροι. καὶ Οὐηστίας μὲν οὐδ' ὑπακούσας, ἑκὼν ἔφευγεν, ὡς οὐκ ἐκδώσων ἑαυτὸν ἐς χεῖρας ἐχθρῶν. καὶ Κόττας, ἐπ' ἐκείνῳ, παρῆλθε μὲν ἐς τὸ δικαστήριον· σεμνολογήσας δὲ ὑπὲρ ὧν ἐπεπολίτευτο, καὶ λοιδορησάμενος τοῖς ἱππεῦσι φανερῶς, ἐξῄει τῆς πόλεως καὶ ὅδε πρὸ τῆς ψήφου. Μούμμιος δ', ὁ τὴν Ἑλλάδα ἑλὼν, αἰσχρῶς ἐνεδρευθεὶς ὑπὸ τῶν ἱππέων, ὑποσχομένων αὐτὸν ἀπολύσειν, κατεκρίθη φεύγειν, καὶ ἐν Δήλῳ διεβίωσεν.

fectantibus, clam palamve faveant.

Illustrioribus senatoribus actiones intenduntur. Hinc Bestia & Cotta sponte in exsilium abeunt; Mummius admulctatur:

Ἐπιπολάζοντος δ' ἐς πολὺ τοῦ κακοῦ κατὰ τῶν ἀρίστων, ὅ τε δῆμος ἤχθετο, τοιῶνδε καὶ τοσῶνδε εἰργασμένων ἀνδρῶν ἀθρόως ἀφαιρούμενος. καὶ οἱ Ἰταλοὶ, τοῦ τε Δρούσου πάθους πυνθανόμενοι, καὶ τῆς ἐς τὴν φυγὴν τούτων προφάσεως, οὐκ ἀνασχετὸν σφίσιν ἔτι ἡγούμενοι τοὺς ὑπὲρ σφῶν πολιτεύοντας τοιάδε πάσχειν, οὐ δ' ἄλλην τινὰ μηχανὴν ἐλπίδος ἐς τὴν πολιτείαν ἔτι ὁρῶντες, ἔγνωσαν ἀποστῆναι Ῥωμαίων ἄντικρυς, καὶ πολεμεῖν αὐτοῖς κατὰ κράτος. κρύφα τε διεπρεσβεύοντο, συντιθέμενοι περὶ τῶνδε, καὶ ὅμηρα διέπεμπον ἐς πίστιν ἀλλήλοις. ὧν ἐς πολὺ μὲν οὐκ ἐπῄσθοντο Ῥωμαῖοι διὰ τὰς ἐν ἄστει κρίσεις τε καὶ στάσεις. ὡς δ' ἐπύθοντο, περιέπεμπον ἐς τὰς πόλεις ἀπὸ σφῶν τοὺς ἑκάστοις μάλιστα ἐπιτηδείους, ἀφανῶς τὰ γιγνόμενα ἐξετάζειν. καί τις ἐκ τούτων, μειράκιον ὅμηρον ἰδὼν ἐξ Ἄσκλου πόλεως ἐς ἑτέραν ἀγόμενον, ἐμήνυσε τῷ περὶ τὰ χωρία ἀνθυπάτῳ Σερουϊλίῳ. ἦσαν γὰρ, ὡς ἔοικε, τότε καὶ τῆς Ἰταλίας ἄρχοντες ἀνθύπατοι κατὰ μέρη· ὃ καὶ Ἀδριανὸς ἄρα μιμούμενος ὕστερον χρόνῳ πολλῷ, τὴν αὐτοκράτορα ἀρχὴν Ῥωμαίοις ἡγούμενος, ἀνεκαίνισε, καὶ μετ' αὐτὸν ἐπέμεινεν ἐς βραχύ. ὁ δὲ Σερουΐλιος, θερμότερον ἐσδραμὼν ἐς τὸ Ἄσκλον, καὶ πανηγυρίζουσι τοῖς Ἀσκλαίοις χαλεπῶς ἀπειλῶν, ἀνῃρέθη, ὡς ὑπὸ ἤδη πεφαρμαγμένων. ἐπανῃρέθη δ' αὐτῷ καὶ Φοντήϊος, ὃς ἐπρέσβευεν αὐτῷ· καλοῦσι δ' οὕτω τοὺς τοῖς ἡγεμόσι τῶν ἐθνῶν

cap. 38. id quod plebs permoleste fert. Italici vero socii decernunt a populo Romano palam deficere, fœdusque ineunt datis ultro citroque obsidibus.

Re Romæ intellecta, exploratores per civitates circum mittuntur; quorum unus Asculum oppidum fœderi addictum videri indicat.

Servilius Procos. oppidum ingressus, ut Asculanos minis deterreat, cum Fontejo legato, & omnibus Ro-

Digitized by Google

manis ibi degentibus, interficitur.

ἐθνῶν ἐκ τῆς βουλῆς ἐπομένους ἐς βοήθειαν. πεσόντων δὲ τῶνδε, οὐδὲ τῶν ἄλλων Ῥωμαίων τις ἦν φειδώ· ἀλλὰ τοὺς παρὰ σφίσι πάντας οἱ Ἀσκλαῖοι συγκεκλεισμένους ἐπιτρέχοντες, καὶ τὰ ὄντα αὐτοῖς διήρπαζον.

cap. 39. Nomina populorum foederatorum, qui arma corripiunt.

Ἐκραγείσης δὲ τῆς ἀποστάσεως, ἅπαντα, ὅσα τοῖς Ἀσκλαίοις ἔθνη γείτονα ἦν, συνεξέφαινε τὴν παρασκευήν, Μάρσοι τε καὶ Πελιγνοὶ καὶ Οὐηστῖνοι καὶ Μαῤῥουκῖνοι, καὶ ἐπὶ τούτοις Πικεντῖνοι καὶ Φερεντανοὶ καὶ Ἱρπῖνοι καὶ Πομπηϊανοὶ καὶ Οὐενούσιοι καὶ Ἰάπυγες, Λευκανοί τε καὶ Σαυνῖται, χαλεπὰ Ῥωμαίοις καὶ πρὶν ἔθνη γενόμενα· ὅσα τε ἄλλα ἀπὸ Λίριος ποταμοῦ, ὃν νῦν μοι δοκοῦσι Λίτερνον ἡγεῖσθαι, ἐπὶ τὸν μυχόν ἐστι τοῦ Ἰονίου κόλπου πεζεύοντι καὶ περιπλέοντι. πέμψασι δ' αὐτοῖς ἐς Ῥώμην πρέσβεις,

Legati eorum, Romam de civitate ipsis danda, A. U. 664. ante Chr. 90. missi, responsum ferunt, eos admitti non posse, nisi prius resipuissent ab inceptis.

αἰτιωμένους, ὅτι πάντα Ῥωμαίοις εἰς τὴν ἀρχὴν συνεργασάμενοι, οὐκ ἀξιοῦνται τῆς τῶν βεβοηθημένων πολιτείας, ἡ βουλὴ μάλα καρτερῶς ἀπεκρίνατο· εἰ μεταγιγνώσκουσι τῶν γεγονότων, πρεσβεύειν ἐς αὐτήν· ἄλλως δὲ μή. οἱ μὲν δή, πάντα ἀπογνόντες, ἐς παρασκευὴν καθίσαντο. καὶ αὐτοῖς, ἐπὶ τῷ κατὰ πόλιν στρατῷ, κοινὸς ἦν ἱππέων τε καὶ πεζῶν ἕτερος ἐς δέκα μυριάδας. καὶ Ῥωμαῖοι τὸν ἴσον αὐτοῖς ἀντεξέπεμπον, ἀπό τε σφῶν αὐτῶν, καὶ τῶν ἔτι συμμαχούντων σφίσιν ἐθνῶν τῆς Ἰταλίας.

cap. 40. Quibus ducibus ab utraque parte pugnatum sit.

Ἡγοῦντο δὲ Ῥωμαίων μὲν ὕπατοι Σέξτος τε Ἰούλιος Καῖσαρ, καὶ Πούπλιος Ῥουτίλιος Λοῦπος· ἄμφω γὰρ ὡς ἐς μέγαν δὴ καὶ ἐγχώριον πόλεμον ἐξῄεσαν, ἐπεὶ καὶ τὰς πύλας οἱ ὑπόλοιποι καὶ τὰ τείχη διὰ χειρὸς εἶχον, ὡς ἐπ' οἰκείῳ καὶ γείτονι μάλιστα ἔργῳ. τό τε ποικίλον τοῦ πολέμου καὶ πολυμερὲς ἐνθυμούμενοι, ὑποστρατήγους τοῖς ὑπάτοις συνέπεμψαν τοὺς τότε ἀρίστους· ὑπὸ μὲν Ῥουτιλίῳ Γναῖόν τε Πομπήϊον, τὸν πατέρα Πομπηΐου τοῦ Μάγνου παρονομασθέντος, καὶ Κόϊντον Καιπίωνα, καὶ Γάϊον Περπένναν, καὶ Γάϊον Μάριον, καὶ Οὐαλέριον Μεσσάλαν· ὑπὸ δὲ Σέξτῳ Καίσαρι Πούπλιον Λέντλον, ἀδελφὸν αὐτοῦ Καίσαρος, καὶ Τίτον Δίδιον, καὶ Λικίνιον Κράσσον, καὶ Κορνήλιον Σύλλαν, καὶ Μάρκελλον ἐπὶ τοῖσδε. τοσοῖδε μὲν δὴ τοῖς ὑπάτοις, διελόμενοι τὴν χώραν, ὑπεστρατήγουν. καὶ πάντας ἐπεπορεύοντο οἱ ὕπατοι· καὶ αὐτοῖς οἱ Ῥωμαῖοι καὶ ἑτέρους ὡς ἐς μέγαν ἀγῶνα ἔπεμπον ἑκάστοτε. Ἰταλοῖς δ' ἡ-

Digitized by Google

δ' ἦσαν μὲν στρατηγοὶ καὶ κατὰ πόλεις ἕτεροι, κοινοὶ δ' ἐπὶ τῷ κοινῷ στρατῷ καὶ τοῦ παντὸς αὐτοκράτορες Τίτος Λαφρήνιος, καὶ Γάϊος Ποντίλιος, καὶ Μάριος Ἰγνάτιος, καὶ Κόϊντος Πομπαίδιος, καὶ Γάϊος Πάπιος, καὶ Μάρκος Λαμπώνιος, καὶ Γάϊος Ἰουδακίλιος, καὶ Ἕριος Ἀσίνιος, καὶ Οὐέττιος Κάτων. οἱ τὸν στρατὸν ὁμοίως μερισάμενοι, τοῖς Ῥωμαίων στρατηγοῖς ἀντεκαθέζοντο· καὶ πολλὰ μὲν ἔδρασαν, πολλὰ δ' ἔπαθον (οἱ ἀμφὶ τὴν Ἰταλίαν τὴν περὶ τὸν Ἰόνιον πολεμήσαντες).

cap. 49. Etruscis & Umbris etiam ad defectionem spectantibus Romæ liberti ad militiam admittuntur.

Αἰθόμενοι δὲ (τῶν γεγονότων) οἱ ἐπὶ θάτερα τῆς Ῥώμης Τυῤῥηνοὶ καὶ Ὀμβρικοὶ, καὶ ἄλλα τινὰ αὐτοῖς ἔθνη γειτονεύοντα, πάντες ἐς ἀπόστασιν ἠρεθίζοντο. δείσασα οὖν ἡ βουλὴ, μὴ ἐν κύκλῳ γενόμενος αὐτοῖς ὁ πόλεμος ἀφύλακτος ᾖ, τὴν μὲν θάλασσαν ἐφρούρει τὴν ἀπὸ Κύμης ἐπὶ τὸ ἄστυ διὰ ἀπελευθέρων, τότε πρῶτον ἐς στρατείαν δι' ἀπορίαν ἀνδρῶν καταλεγέντων. Ἰταλιωτῶν δὲ τοὺς ἔτι ἐν τῇ συμμαχίᾳ παραμένοντας ἐψηφίσατο εἶναι πολίτας· οὗ δὴ μάλιστα μόνου πάντες ἐπεθύμουν. καὶ τάδε ἐς Τυῤῥηνοὺς περιέπεμπεν. οἱ δὲ ἄσμενοι τῆς πολιτείας μετελάμβανον. καὶ τῇδε τῇ χάριτι ἡ βουλὴ τοὺς μὲν εὔνους εὐνουστέρους ἐποίησε, τοὺς δὲ ἐνδοιάζοντας ἐβεβαιώσατο· τοὺς δὲ πολεμοῦντας, ἐλπίδι τινὶ τῶν ὁμοίων πρᾳοτέρους ἐποίησε. Ῥωμαῖοι μὲν δὴ τούσδε τοὺς νεοπολίτας, οὐκ ἐς τὰς πέντε καὶ τριάκοντα φυλὰς, αἳ τότε ἦσαν αὐτοῖς, κατέλεξαν· ἵνα μὴ, τῶν ἀρχαίων πλέονες ὄντες, ἐν ταῖς χειροτονίαις ἐπικρατοῖεν. ἀλλὰ δεκατεύοντες ἀπέφηναν ἑτέρας, ἐν αἷς ἐχειροτόνουν ἔσχατοι. καὶ πολλάκις αὐτῶν ἡ ψῆφος ἀχρεῖος ἦν, ἅτε τῶν πέντε καὶ τριάκοντα προτέρων τε καλουμένων, καὶ οὐσῶν ὑπὲρ ἥμισυ. ὅπερ, ἢ λαθὸν αὐτίκα, ἢ καὶ ὡς αὐτὸ ἀγαπησάντων τῶν Ἰταλιωτῶν, ὕστερον ἐπιγνωσθὲν, ἑτέρας στάσεως ἦρξεν.

Lex tandem a senatu fertur, ut Italici, quotquot in fide permansissent, cives fierent, qua Etruriæ populi in fide confirmati sunt, A. U. 665. ante Chr. 89. Novi cives Romani in x novas tribus distributi sunt.

Καὶ τάδε μὲν ἦν περὶ τὴν Ἰταλίαν ἀμφὶ τὸν συμμαχικὸν πόλεμον· ἀκμάσαντα δὴ μάλιστα μέχρι τοῦδε, ἕως Ἰταλία πᾶσα προσεχώρησεν ἐς τὴν Ῥωμαίων πολιτείαν, χωρίς γε Λευκανῶν καὶ Σαυνιτῶν τότε· δοκοῦσι γάρ μοι καὶ οἵδε τυχεῖν ὧν ἔχρῃζον ὕστερον. ἐς δὲ τὰς φυλὰς, ὁμοίως τοῖς προτυχοῦσιν, ἕκαστοι κατελέγοντο, τοῦ μὴ τοῖς ἀρχαίοις ἀναμεμιγμένοι ἐπικρατεῖν ἐν ταῖς χειροτονίαις, πλέονες ὄντες.

cap. 53. Finito bello, præter Lucanos & Samnitas universa Italia civitatem adepta est. A. U. 666. ante Chr. 88.

Τοῦ

Digitized by Google

cap. 54. Ob æs alienum seditio, A. U. 665. ante Chr. 89. Asellio prætor, quod permisit ut contra foeneratores ex lege coram judicibus ageretur, inter sacrificandum interimitur.

Τῦ δ' αὐτῦ χρόνυ κατὰ τὸ ἄςυ οἱ χρῆςαι πρὸς ἀλλήλυς ἐςασίασαν· οἱ μὲν, πράττοντες τὰ χρέα σὺν τόκοις· νόμυ τινὸς παλαιῦ διαγορεύοντος, μὴ δανείζειν ἐπὶ τόκοις, ἢ ζημίαν τὸν ὕτω δανείσαντα προσόφλειν. ἀποςραφῆναι γάρ μοι δοκῦσιν οἱ πάλαι Ῥωμαῖοι, καθάπερ Ἕλληνες, τὸ δανείζειν, ὡς καπηλικὸν, καὶ βαρὺ τοῖς πένησι, καὶ δύσερι καὶ ἐχθροποιόν. ᾧ λόγῳ καὶ Πέρσαι τὸ κιχρᾶσθαι, ὡς ἀπατηλόν τε καὶ φιλοψευδές. Ἔθυς δὲ χρονίυ τὺς τόκυς βεβαιῦντος, οἱ μὲν κατὰ τὸ ἔθος ᾔτυν, οἱ δὲ οἷον ἐκ πολέμων τε καὶ ςάσεων ἀνεβάλλοντο τὰς ἀποδόσεις· εἰσὶ δ' οἳ καὶ τὴν ζημίαν τὺς δανείσαντας ἐκτίσειν ἐπηπείλυν. ὅ τε ςρατηγὸς Ἀσελλίων, ᾧ ταῦτα προσέκειτο, ἐπεὶ διαλύων αὐτὺς ὐκ ἔπειθεν, ἐδίδυ κατ' ἀλλήλων αὐτοῖς δικαςήρια· τὴν ἐκ τῦ νόμυ καὶ ἔθυς ἀπορίαν ἐς τὺς δικαςὰς περιφέρων. οἱ δανειςαὶ δὲ, χαλεπήναντες ὅτι τὸν νόμον παλαιὸν ὄντα ἀνεκαίνιζε, κτείνυσιν αὐτὸν ὧδε. ὁ μὲν ἔθυε τοῖς Διοσκύροις ἐν ἀγορᾷ, τῦ πλήθυς ὡς ἐπὶ θυσίᾳ περιςάντος· ἑνὸς δὲ λίθυ τοπρῶτον ἐπ' αὐτὸν ἀφεθέντος, ἔῤῥιψε τὴν φιάλην, καὶ ἐς τὸ Ἑςίας ἱερὸν ἵετο δρόμῳ. οἱ δὲ, αὐτὸν προλαβόντες τε ἀπέκλεισαν ἀπὸ τῦ ἱερῦ, καὶ καταφυγόντα ἔς τι πανδοχεῖον ἔσφαξαν. πολλοί τε τῶν διωκόντων, ἐς τὰς παρθένυς αὐτὸν ἡγύμενοι καταφυγεῖν, ἐσέδραμον, ἔνθα μὴ θέμις ἦν ἀνδράσιν. ὕτω μὲν καὶ Ἀσελλίων, ςρατηγῶν τε καὶ σπένδων, καὶ ἱερὰν καὶ ἐπίχρυσον ἐσθῆτα ὡς ἐν θυσίᾳ περικείμενος, ἀμφὶ δευτέραν ὥραν ἐσφάζετο ἐν ἀγορᾷ μέσῃ παρὰ ἱεροῖς. καὶ ἡ σύγκλητος ἐκήρυσσεν, εἴ τίς τι περὶ τὸν Ἀσελλίωνος φόνον ἐλέγξειεν, ἐλευθέρῳ μὲν ἀργύριον, δύλῳ δὲ ἐλευθερίαν, συνεγνωκότι δὲ ἄδειαν· ὐ μὴν ἐμήνυσεν ὐδεὶς, τῶν δανειςῶν περικαλυψάντων.

---

d) Bella civilia.

cap. 55. I. Bellum civile inter Marium & Syllam A. U. 666-674. ante C. 88-80.

Τάδε μὲν δὴ φόνοι καὶ ςάσεις ἔτι ἦσαν ἐμφύλιοι κατὰ μέρη. μετὰ δὲ τῦτο ςρατοῖς μεγάλοις οἱ ςασίαρχοι πολέμυ νόμῳ συνεπλέκοντο ἀλλήλοις, καὶ ἡ πατρὶς ἆθλον ἔκειτο ἐν μέσῳ. ἀρχὴ δ' ἐς ταῦτα καὶ πάροδος εὐθὺς

ἐπὶ

ἐπὶ τῷ συμμαχικῷ πολέμῳ ἤδε ἐγίγνετο. ἐπειδὴ Μιθριδάτης, ὁ τοῦ Πόντου καὶ ἄλλων ἐθνῶν βασιλεύς, ἐς Βιθυνίαν καὶ Φρυγίαν καὶ τὴν ὅμορον αὐταῖς Ἀσίαν ἐνέβαλεν, ὥς μοι κατὰ τὴν βίβλον εἴρηται τὴν πρὸ τῆσδε· Σύλλας μὲν ὑπατεύων ἔλαχε στρατηγεῖν τῆς Ἀσίας καὶ τοῦδε τοῦ Μιθριδατείου πολέμου· καὶ ἦν ἔτι ἐν Ῥώμῃ. Μάριος δὲ, τὸν πόλεμον εὐχερῆ τε καὶ πολύχρυσον ἡγούμενος εἶναι, καὶ ἐπιθυμῶν τῆς στρατηγίας, ὑπηγάγετό οἱ συμπράσσειν ἐς τοῦτο Πούπλιον Σουλπίκιον δήμαρχον ὑποσχέσεσι πολλαῖς· καὶ τοὺς ἐκ τῆς Ἰταλίας νεοπολίτας, μειονεκτοῦντας ἐπὶ ταῖς χειροτονίαις, ἐπήλπιζεν ἐς τὰς φυλὰς ἁπάσας διαιρήσειν· οὐ προλέγων μέν τι περὶ τῆς ἑαυτοῦ χρείας, ὡς δὲ ὑπηρέταις ἐς πάντα χρησόμενος εὔνοις. καὶ νόμον αὐτίκα ὁ Σουλπίκιος ἐσέφερε περὶ τοῦδε· οὗ κυρωθέντος ἔμελλε πᾶν, ὅ τι βούλοιτο Μάριος ἢ Σουλπίκιος, ἔσεσθαι, τῶν νεοπολιτῶν πολὺ παρὰ τοὺς ἀρχαίους πλειόνων ὄντων. οἱ δ' ἀρχαιότεροι, συνορῶντες ταῦτα, ἐγκρατῶς τοῖς νεοπολίταις διεφέροντο. ξύλοις δὲ καὶ λίθοις χρωμένων αὐτῶν ἐς ἀλλήλους, καὶ μείζονος ἀεὶ γιγνομένου τοῦ κακοῦ, δείσαντες οἱ ὕπατοι περὶ τῇ δοκιμασίᾳ τοῦ νόμου πλησιαζούσῃ, προὔγραψαν ἡμερῶν ἀργίας πολλῶν, ὁποῖον ἐν ταῖς ἑορταῖς εἴωθε γίγνεσθαι· ἵνα τις ἀναβολὴ γένοιτο τῆς χειροτονίας καὶ τοῦ κακοῦ.

Marius Syllam ab imperio belli Mithridatici repulsurus P. Sulpicium trib. in suas partes trahit, & novis civibus spem aequalitatis suffragiorum cum veteribus facit.

Ne de lege Sulpicii suffragia ferantur, Coss. indicunt in multos dies ferias.

Σουλπίκιος δὲ, τὴν ἀργίαν οὐκ ἀναμένων, ἐκέλευε τοῖς στασιώταις ἐς τὴν ἀγορὰν ἥκειν μετὰ κεκρυμμένων ξιφιδίων, καὶ δρᾶν ὅ τι ἐπείγοι, μηδ' αὐτῶν φειδομένους τῶν ὑπάτων, εἰ δέοι. ὡς δὲ αὐτῷ πάντα ἕτοιμα ἦν, κατηγόρει τῶν ἀργιῶν ὡς παρανόμων, καὶ τοὺς ὑπάτους Κορνήλιον Σύλλαν καὶ Κόϊντον Πομπήϊον ἐκέλευεν αὐτὰς αὐτίκα ἀναιρεῖν, ἵνα προθείη τὴν δοκιμασίαν τῶν νόμων. θορύβου δ' ἀναστάντος, οἱ παρεσκευασμένοι τὰ ξιφίδια ἐσπάσαντο, καὶ τοὺς ὑπάτους ἀντιλέγοντας ἠπείλουν κτενεῖν· μέχρι Πομπήϊος μὲν λαθὼν διέφυγε, Σύλλας δ' ὡς βουλευσόμενος ὑπεχώρει. κἀν τῷδε Πομπηΐου τὸν υἱὸν, κηδεύοντα τῷ Σύλλᾳ, παῤῥησιαζόμενόν τι καὶ λέγοντα, κτείνουσιν οἱ τοῦ Σουλπικίου στασιῶται. καὶ ὁ Σύλλας ἐπελθὼν ἐβάστασε τὴν ἀργίαν· ἔς τε Καπύην ἐπὶ τὸν ἐκεῖ στρατὸν, ὡς ἐκ Καπύης ἐς τὴν Ἀσίαν ἐπὶ τὸν Μιθριδάτου πόλεμον δια-

cap. 56. Eas ferias nil curans Sulpicius, factione sua sicis armata Coss. cogit ferias tollere.

Sylla Capuam proficiscitur, Asiam petiturus; Sulpicius perfert legem & Ma-

Digitized by Google

rium plebis suffragiis designat imperatorem belli Mithridatici.

διαβαλῶν, ἠπείγετο· οὐ γάρ πώ τινος τῶν ἐπ' αὐτῷ πραττομένων ᾔσθετο. ὁ δὲ Σουλπίκιος, ἀναιρεθείσης τῆς ἀργίας, καὶ Σύλλα τῆς πόλεως ἀποςάντος, ἐκύρου τὸν νόμον· καὶ, οὗ χάριν ταῦτα ἐγίγνετο, Μάριον εὐθὺς ἐχειροτόνει τοῦ πρὸς Μιθριδάτην πολέμου ςρατηγεῖν ἀντὶ Σύλλα.

cap. 57. His compertis Sylla exercitum ad urbem ducit, prætendens, se urbem a tyrannis liberaturum, probante id collega Pompejo, qui ei obviam it.

Πυθόμενος δ' ὁ Σύλλας, καὶ πολέμῳ κρίνας διακριθῆναι, συνήγαγε τὸν ςρατὸν εἰς ἐκκλησίαν, καὶ τόνδε τῆς ἐπὶ τὸν Μιθριδάτην ςρατείας ὀρεγόμενόν τε, ὡς ἐπικερδοῦς, καὶ νομίζοντα Μάριον ἐς αὐτὴν ἑτέρους καταλέξειν ἀνθ' ἑαυτῶν. τὴν δ' ὕβριν ὁ Σύλλας τὴν ἐς αὐτὸν εἰπὼν Σουλπικίου τε καὶ Μαρίου, καὶ σαφὲς οὐδὲν ἄλλο ἐπενεγκὼν, (οὐ γὰρ ἐτόλμα πω λέγειν περὶ τοιοῦδε πολέμου) παρήνεσεν ἑτοίμοις ἐς τὸ παραγγελλόμενον εἶναι. οἱ δὲ, συνιέντες τε ὧν ἐπενόει, καὶ περὶ σφῶν δεδιότες, μὴ τῆς ςρατείας ἀποτύχοιεν, ἀπεγύμνουν αὐτοὶ τὸ ἐνθύμημα τοῦ Σύλλα, καὶ ἐς Ῥώμην σφᾶς ἄγειν θαῤῥοῦντα ἐκέλευον. ὁ δὲ, ἡσθεὶς, ἦγεν ἓξ τέλη ςρατιωτῶν αὐτίκα. καὶ αὐτὸν οἱ μὲν ἄρχοντες τοῦ ςρατοῦ, χωρὶς ἑνὸς ταμίου, διέδρασαν ἐς Ῥώμην, οὐχ ὑφιςάμενοι ςρατὸν ἄγειν ἐπὶ τὴν πατρίδα. πρέσβεις δ' ἐν ὁδῷ καταλαβόντες, ἠρώτων, τί μεθ' ὅπλων ἐπὶ τὴν πατρίδα ἐλαύνοι; ὁ δ' εἶπεν, ἐλευθερώσων αὐτὴν ἀπὸ τῶν τυραννούντων. καὶ τοῦτο δὶς καὶ τρὶς ἑτέροις καὶ ἑτέροις πρέσβεσιν εἰπὼν, ἐπήγγελλεν ὅμως· εἰ θέλοιεν τήν τε σύγκλητον αὐτῷ καὶ Μάριον καὶ Σουλπίκιον εἰς τὸ Ἄρειον πεδίον συναγαγεῖν, καὶ πράξειν ὅ τι ἂν βουλευομένοις δοκῇ. πλησιάζοντι δὲ Πομπήϊος μὲν ὁ σύναρχος, ἐπαινῶν καὶ ἀρεσκόμενος τοῖς γιγνομένοις, ἀφίκετο, συμπράξων ἐς ἅπαντα. Μάριος δὲ καὶ Σουλπίκιος ἐς παρασκευὴν ὀλίγου διαςήματος δεόμενοι, πρέσβεις ἑτέρους ἔπεμπον, ὡς δὴ καὶ τούσδε ὑπὸ τῆς βουλῆς ἀπεςαλμένους· δεόμενοι, μὴ ἀγχοτέρω τεσσαράκοντα ςαδίων τῇ Ῥώμῃ παραςρατοπεδεύειν, μέχρι ἐπισκέψαιντο περὶ τῶν παρόντων. Σύλλας δὲ καὶ Πομπήϊος τὸ ἐνθύμημα σαφῶς εἰδότες, ὑπέσχοντο μὲν, ὧδε πράξειν· εὐθὺς δὲ τοῖς πρέσβεσιν ἀπιοῦσιν εἵποντο.

cap. 58. Occupatis a legionibus quatuor locis idoneis, Sylla

Καὶ Σύλλας μὲν τὰς Κοιλίας πύλας καὶ τὸ παρ' αὐτὰς τεῖχος ἑνὶ τέλει ςρατιωτῶν κατελάμβανε, Πομπήϊος δὲ τὰς Κολλίνας ἑτέρῳ τέλει· καὶ τρίτον ἐπὶ τὴν ξυλίνην γέφυραν ἐχώρει, καὶ τέταρτον πρὸ τῶν τειχῶν ἐς διαδοχὴν

χὴν ὑπέμενε. τοῖς δ᾽ ὑπολοίποις ὁ Σύλλας ἐς τὴν πόλιν ἐχώρει, δόξῃ καὶ ἔργῳ πολεμίε. ὅθεν αὐτὸν οἱ περιοικȣ̃ντες ἄνωθεν ἠμύνοντο βάλλοντες, μέχρι τὰς οἰκίας ἠπείλησεν ἐμπρήσειν· τότε δ᾽ οἱ μὲν ἀνέσχον. Μάριος δὲ καὶ Σȣλπίκιος ἀπήντων περὶ τὴν Αἰσκύλειον ἀγορὰν, μεθ᾽ ὅσων ἐφθάκεσαν ὁπλίσαι· καὶ γίγνεταί τις ἀγὼν ἐχθρῶν, ὅδε πρῶτος ἐν Ῥώμῃ, ȣ̓χ ὑπὸ εἰκόνι στάσεως ἔτι, ἀλλ᾽ ἀπροφασίστως ὑπὸ σάλπιγγι καὶ σημείοις, πολέμȣ νόμῳ· ἐς τοσȣ̃τον αὐτοῖς κακȣ̃ τὰ τῶν στάσεων ἀμεληθέντα προέκοψε. τρεπομένων δὲ τῶν Σύλλα στρατιωτῶν, ὁ Σύλλας σημεῖον ἁρπάσας προεκινδύνευεν· ὡς αἰδοῖ τε τȣ̃ στρατηγȣ̃, καὶ δέει τῆς ἐπὶ τῷ σημείῳ, εἰ ἀπέχοιντο, ἀτιμίας, εὐθὺς ἐκ τῆς τροπῆς αὐτȣ̀ς μετατίθεσθαι. καὶ ὁ Σύλλας ἐκάλει τε τȣ̀ς νεαλεῖς ἐκ τȣ̃ στρατοπέδȣ, καὶ ἑτέρȣς κατὰ τὴν καλȣμένην Συβȣ̀ρραν ὁδὸν περιέπεμπεν, ᾗ κατὰ νώτȣ τῶν πολεμίων ἔμελλον ἔσεσθαι περιδραμόντες. οἱ δ᾽ ἀμφὶ τὸν Μάριον, πρός τε τȣ̀ς ἐπελθόντας ἀκμῆτας ἀσθενῶς μαχόμενοι, καὶ ἐπὶ τοῖς περιοδεύȣσι δείσαντες περικύκλωσιν, τȣ́ς τε ἄλλȣς πολίτας ἐκ τῶν οἰκιῶν ἔτι μαχομένȣς συνεκάλȣν, καὶ τοῖς δȣ́λοις ἐκήρυττον ἐλευθερίαν, εἰ μετάσχοιεν τȣ̃ πόνȣ. ȣ̓δενὸς δὲ προσιόντος, ἀπογνόντες ἁπάντων, ἔφευγον εὐθὺς ἐκ τῆς πόλεως, καὶ σὺν αὐτοῖς ὅσοι τῶν ἐπιφανῶν συνεπεπράχεσαν.

cum duabus reliquis urbem hostiliter ingreditur.

Intra urbis moenia pugna committitur.

Mariani ex urbe se proripiunt.

Ὁ δὲ Σύλλας τότε μὲν ἐς τὴν λεγομένην Ἱερὰν ὁδὸν παρῆλθε, καὶ τȣ̀ς διαρπάζοντάς τι τῶν ἐν ποσὶν, αὐτίκα ἐν μέσῳ πάντων ἐφορώντων ἐκόλαζε· φρȣρὰν δὲ κατὰ μέρος ἐπιστήσας τῇ πόλει, διενυκτέρευεν αὐτός τε καὶ ὁ Πομπήϊος· περιθέοντες ἑκάστȣς, ἵνα μή τι δεινὸν ἢ παρὰ τῶν δεδιότων ἢ παρὰ τῶν νενικηκότων ἐπιγένοιτο. ἅμα δ᾽ ἡμέρᾳ τὸν δῆμον ἐς ἐκκλησίαν συναγαγόντες, ὠδύροντο περὶ τῆς πολιτείας, ὡς ἐκ πολλȣ̃ τοῖς δημοκοπȣ̃σιν ἐκδεδομένης, καὶ αὐτοὶ τάδε πράξαντες ὑπ᾽ ἀνάγκης. εἰσηγȣ̃ντό τε, μηδὲν ἔτι ἀπροβȣ́λευτον ἐς τὸν δῆμον ἐσφέρεσθαι· νενομισμένον μὲν ȣ̓́τω καὶ πάλαι, παραλελυμένον δ᾽ ἐκ πολλȣ̃· καὶ τὰς χειροτονίας μὴ κατὰ φυλὰς, ἀλλὰ κατὰ λόχȣς, ὡς Τύλλιος βασιλεὺς ἔταξε, γίγνεσθαι· νομίσαντες, διὰ δυοῖν τοῖνδε, ȣ̓́τε νόμον ȣ̓δένα πρὸ τῆς βȣλῆς ἐς τὸ πλῆθος ἐσφερόμενον, ȣ̓́τε τὰς χειροτονίας, ἐν τοῖς πένησι

cap. 59. Sylla securitatem & quietem in urbe restituit.

Sequenti die, convocata populi concione, Sylla & Pompejus senatui reddunt προβȣ́λευμα, abrogant comitia tributa & instaurant

Digitized by Google

tributa; accidunt tribunorum pl. potestatem; adlegunt in senatum ccc ex optimatibus, & acta a Sulpicio abrogant.

σι καὶ θρασυτάτοις ἀντὶ τῶν ἐν περιουσίᾳ καὶ εὐβουλίᾳ γιγνομένας, δώσειν ἔτι στάσεων ἀφορμάς. πολλά τε ἄλλα τῆς τῶν δημάρχων ἀρχῆς, τυραννικῆς μάλιστα γεγενημένης, περιελόντες· κατέλεξαν ἐς τὸ βουλευτήριον, ὀλιγανθρωπότατον δὴ τότε μάλιστα ὄν, καὶ παρὰ τοῦτ' εὐκαταφρόνητον, ἀθρόους ἐκ τῶν ἀρίστων ἀνδρῶν τριακοσίους. ὅσα τε ὑπὸ Σουλπικίου ἐκεκύρωτο μετὰ τὴν κεκηρυγμένην ὑπὸ τῶν ὑπάτων ἀργίαν, ἅπαντα διελύετο, ὡς οὐκ ἔννομα.

cap. 60. XII Mariani proscribuntur tanquam seditionis auctores.

Ὧδε μὲν αἱ στάσεις ἐξ ἔριδος καὶ φιλονεικίας ἐπὶ φόνους, καὶ ἐκ φόνων ἐς πολέμους ἐντελεῖς προέκοπτον· καὶ στρατὸς πολιτῶν ὅδε πρῶτος ἐς τὴν πατρίδα ὡς πολεμίαν ἐσέβαλεν. οὐδ' ἔληξαν ἀπὸ τοῦδε αἱ στάσεις ἔτι κρινόμεναι στρατοπέδοις, ἀλλ' ἐσβολαὶ συνεχεῖς ἐς τὴν Ῥώμην ἐγίγνοντο καὶ τειχομαχίαι, καὶ ὅσα ἄλλα πολέμων ἔργα, οὐδενὸς ἔτι ἐς αἰδῶ τοῖς βιαζομένοις ἐμποδὼν ὄντος, ἢ νόμων, ἢ πολιτείας, ἢ πατρίδος. τότε δὲ Σουλπίκιον, δημαρχοῦντα ἔτι, καὶ σὺν αὐτῷ, Μάριον, ἑξάκις ὑπατευκότα, καὶ τὸν Μαρίου παῖδα, καὶ Πόπλιον Κέθηγον, καὶ Ἰούνιον Βροῦτον, καὶ Γναῖον καὶ Κόϊντον Γράνιον, καὶ Πόπλιον Ἀλβινουανὸν, καὶ Μάρκον Λαιτώριον, ἑτέρους τε, ὅσοι μετ' αὐτῶν, ἐς δώδεκα μάλιστα, ἐκ Ῥώμης διεπεφεύγεσαν, ὡς στάσιν ἐγείραντας καὶ πολεμήσαντας ὑπάτοις, καὶ δούλοις κηρύξαντας ἐλευθερίαν εἰς ἀπόστασιν, πολεμίους Ῥωμαίων ἐψήφιστο εἶναι, καὶ τὸν ἐντυχόντα νηποινεὶ κτείνειν, ἢ ἀνάγειν ἐπὶ τοὺς ὑπάτους· τά τε ὄντα αὐτοῖς δεδήμευτο. καὶ ζητηταὶ διέθεον ἐπὶ τοὺς ἄνδρας· οἱ Σουλπίκιον μὲν καταλαβόντες ἔκτειναν.

cap. 61. Marius ipse, inquisitorum manibus elapsus, Minturnas pervenit, ubi hominis Galli, ad eum occidendum conducti, gladium, terrore ipsi injecto, evadit.

Ὁ δὲ Μάριος αὐτοὺς ἐς Μιντούρνας διέφυγεν, ἔρημος ὑπηρέτου τε καὶ θεράποντος. καὶ αὐτὸν οἱ τῆς πόλεως ἄρχοντες, ἀναπαυόμενον ἐν οἴκῳ ζοφώδει, δεδιότες μὲν τὸ κήρυγμα τοῦ δήμου, φυλαττόμενοι δὲ ἀνδρὸς ἑξάκις ὑπατεύσαντος καὶ πολλὰ καὶ λαμπρὰ εἰργασμένου αὐθένται γενέσθαι, Γαλάτην ἄνδρα ἐπιδημοῦντα μετὰ ξίφους ἐσέπεμψαν ἀνελεῖν. τὸν δὲ Γαλάτην φασὶν ἐν τῷ σκότῳ προσιόντα τῷ στιβαδίῳ, δεῖσαι, δόξαντα τοὺς ὀφθαλμοὺς τοῦ Μαρίου πυρὸς αὐγὴν καὶ φλόγα ἀφιέναι. ὡς δὲ καὶ ὁ Μάριος αὐτὸς ἐπαναστάμενος ἐκ τῆς εὐνῆς ἀνεβόησε παμμέγεθες αὐτῷ· σὺ τολμᾷς κτεῖναι Γάϊον Μάριον; προ-

Digitized by Google

τροπάδην ὁ Γαλάτης ἔφευγεν ἔξω διὰ θυρῶν, μεμηνότι ἐοικὼς, καὶ βοῶν, ἐ δύναμαι κτεῖναι Γάϊον Μάριον. ὅθεν καὶ τοῖς ἄρχεσιν, ἅτε καὶ τέως ταῦτα σὺν ὄκνῳ κεκρικόσι, ἐνέπιπτέ τι δαιμόνιον δέος, καὶ μνήμη τῆς ἐκ παιδὸς ἐπιφημισθείσης τῷ ἀνδρὶ ἑβδόμης ὑπατείας· παιδὶ γὰρ ὄντι φασὶν ἐς τὸν κόλπον ἀετὲ νεοττὲς ἑπτὰ καταῤῥυῆναι, καὶ τὲς μάντεις εἰπεῖν, ὅτι ἑπτάκις ἐπὶ τῆς μεγίστης ἀρχῆς ἔσοιτο.

Ταῦτ' ἐν οἱ τῆς Μιντέρνης ἄρχοντες ἐνθυμέμενοι, καὶ τὸν Γαλάτην ἔνθεν κατὰ δαίμονα καὶ περιδεᾶ νομίζοντες γεγονέναι, τὸν Μάριον αὐτίκα τῆς πόλεως ἐξέπεμπον, ὅπη δύναιτο σώζεσθαι. ὁ δὲ συγγινώσκων ἑαυτῷ ζητεμένῳ τε ἐκ Σύλλα καὶ πρὸς ἱππέων διωκομένῳ, ὁδὲς ἀτριβεῖς ἐπὶ θάλασσαν ἤλατο· καὶ καλύβης ἐπιτυχὼν ἀνεπαύετο, φυλλάδα ἐπιβαλλόμενος τῷ σώματι. ψόφε δ' αἰσθόμενος, ἐς τὴν φυλλάδα ὑπεκρύφθη· καὶ μᾶλλον ἔτι αἰσθόμενος, ἐς σκάφος ἁλιέως πρεσβύτε παρορμεν, βιασάμενος τὸν πρεσβύτην, ἐσήλατο, χειμῶνος ὄντος· καὶ τὸ πεῖσμα κόψας, καὶ τὸ ἱςίον πετάσας, ἐπέτρεψε τῇ τύχῃ φέρειν. κατήχθη δὲ ἔς τινα νῆσον, ὅθεν νεὼς οἰκείων ἀνδρῶν παραπλεέσης ἐπιτυχὼν, ἐς Λιβύην ἐπέρα. εἰργόμενος δὲ καὶ Λιβύης, ὡς πολέμιος, ὑπὸ Σεξτίε ἡγεμένε, διεχείμαζεν ἐν τῇ θαλάσσῃ, μικρὸν ὑπὲρ Λιβύην ἄνω ἐν τοῖς Νομάδων ὅροις. καὶ αὐτῷ θαλασσεύοντι δεῦρο, κατὰ πύσιν, ἐπέπλευσαν τῶν συγκατεγνωσμένων Κέθηγός τε καὶ Γράνιος καὶ Ἀλβινεανὸς καὶ Λαιτώριος, καὶ ἕτεροι, καὶ ὁ υἱὸς αὐτὲ Μαρίε· οἱ ἐς μὲν Ἰεμψάλαν τὸν Νομάδων δυνάςην ἀπὸ Ῥώμης διέφυγον, ὑποψίᾳ δ' ἐκδόσεως ἐκεῖθεν ἀπέδρασαν. οἱ μὲν δὴ, καθὰ καὶ Σύλλας ἐπεπράχει, βιάσασθαι τὴν πατρίδα διανοέμενοι, ςρατιὰν δ' ἐκ ἔχοντες, περιέβλεπον εἴ τι συμβαίη.

cap. 62. Ex hoc oppido dimissus in Africam trajicit, & in finibus Numidarum hiemem transigit.

Ἐν δὲ Ῥώμῃ Σύλλας μὲν, ὅπλοις τὴν πόλιν ὅδε πρῶτος καταλαβών τε, καὶ δυνηθεὶς ἂν ἴσως ἤδη μοναρχεῖν· ἐπεὶ τὲς ἐχθρὲς ἠμύνατο, τὴν βίαν ἑκὼν ἀπέθετο· καὶ τὸν ςρατὸν ἐς Καπύην προπέμψας, αὖθις ἦρχεν ὡς ὕπατος. οἱ δὲ τῶν ἐξελαθέντων ςασιῶται, ὅσοι τῶν πλεσίων, καὶ γύναια πολλὰ πολυχρήματα, τὲ δέες τῶν ὅ-

cap. 63. Sylla ad consularem potestatem redit; at profugorum factio nova molitur.

πλων ἀναπνεύσαντες, ἠρεθίζοντο ὑπὲρ καθόδου τῶνδε τῶν ἀνδρῶν· καὶ οὐδὲν σπουδῆς ἢ δαπάνης ἐς τοῦτο ἀπέλειπον, ἐπιβουλεύοντες καὶ τοῖς τῶν ὑπάτων σώμασιν, ὡς οὐκ ἐνὸν τῶνδε περιόντων ἐκείνοις κατελθεῖν. Σύλλᾳ μὲν δὴ, καὶ παυσαμένῳ τῆς ἀρχῆς, στρατὸς ἦν, ὁ ἐψηφισμένος ἐπὶ Μιθριδάτην, ἐς σωτηρίαν αὐτοῦ φύλαξ. Κόϊντον δὲ Πομπήϊον, τὸν ἕτερον ὕπατον, ὁ δῆμος οἰκτείρων τοῦ δέους, ἐψηφίσατο ἄρχειν Ἰταλίας καὶ ἑτέρου τοῦ περὶ αὐτὴν στρατοῦ, τότε ὄντος ὑπὸ Γναίῳ Πομπηΐῳ. τοῦθ' ὁ Γναῖος πυθόμενός τε καὶ δυσχεράνας, ἥκοντα μὲν τὸν Κόϊντον ἐς τὸ στρατόπεδον ἐσεδέξατο, καὶ τῆς ἐπιούσης τι χρηματίζοντος, ὑπεχώρησε μικρὸν, οἷα ἰδιώτης· μέχρι τὸν ὕπατον πολλοὶ καθ' ὑπόκρισιν ἀκροάσεως περιστάντες ἔκτειναν· καὶ φυγῆς τῶν λοιπῶν γενομένης, ὁ Γναῖος αὐτοῖς ὑπήντα, χαλεπαίνων ὡς ὑπάτου παρανόμως ἀνῃρημένου· δυσχεράνας δ', ὅμως εὐθὺς ἦρχεν αὐτῶν.

Sylla quidem in exercitu suo præsidium habebat; cum populus eandem ob causam Q. Pompejo periclitanti Italiam decrevisset, is in ipsis castris interemtus est.

cap. 64. Cinna, Syllæ in Consulatu successor, favet civibus novis, alter Consul Octavius veteribus, uterque cinctus factione armata. Cum Cinnani postularent, ut novi cives omnibus tribubus miscerentur, ab Octavianis ex urbe ejecti sunt, A. U. 667. ante Chr. 87.

Ἐξαγγελθέντος δ' ἐς τὴν πόλιν τοῦ Πομπηΐου φόνου, αὐτίκα μὲν ὁ Σύλλας περιδεὴς ἐφ' ἑαυτῷ γενόμενος, τοὺς φίλους περιήγετο πανταχοῦ, καὶ νυκτὸς ἀμφ' αὑτὸν εἶχεν. οὐ πολὺ δ' ἐπιμείνας, ἐς Καπύην ἐπὶ τὸν στρατὸν, κἀκεῖθεν ἐπὶ τὴν Ἀσίαν, ἐξήλασεν. οἱ δὲ τῶν φυγάδων φίλοι, Κίννᾳ τῷ μετὰ Σύλλαν ὑπατεύοντι θαῤῥοῦντες, τοὺς νεοπολίτας ἠρέθιζον ἐς τὸ ἐνθύμημα τοῦ Μαρίου, ταῖς φυλαῖς ἀξιοῦν ἀναμιχθῆναι, ἵνα μὴ τελευταῖοι ψηφιζόμενοι πάντων ὦσιν ἄκυροι. τοῦτο δὴ προοίμιον τῆς αὐτοῦ τε Μαρίου καὶ τῶν ἀμφὶ τὸν ἄνδρα καθόδου. ἀνθισταμένων δὲ τῶν ἀρχαίων κατὰ κράτος, Κίννας μὲν τοῖς νεοπολίταις συνέπραττε, νομιζόμενος ἐπὶ τῷδε τριακόσια δωροδοκῆσαι τάλαντα· τοῖς δ' ἀρχαίοις ὁ ἕτερος ὕπατος Ὀκταούϊος. καὶ οἱ μὲν ἀμφὶ τὸν Κίνναν προλαβόντες τὴν ἀγορὰν μετὰ κεκρυμμένων ξιφιδίων, ἐβόων, ἐς τὰς φυλὰς πάσας ἀναμιγῆναι· τὸ δὲ καθαρώτερον πλῆθος ἐς τὸν Ὀκταούϊον ἐχώρει, καὶ οἵδε μετὰ ξιφιδίων. ἔτι δ' αὐτῷ κατὰ τὴν οἰκίαν τὸ μέλλον περιορωμένῳ, ἐξαγγέλλεται, τοὺς πλέονας δημάρχους κωλύειν τὰ γιγνόμενα· θόρυβον δὲ τῶν νεοπολιτῶν εἶναι, καὶ ἀπογύμνωσιν ἤδη τῶν ξιφιδίων περὶ ὁδὸν ἐς τοὺς ἀντιλέγοντας δημάρχους ἀναπηδώντων ἐπὶ τὰ ἔμβολα. ὧν Ὀκταούϊος πυθόμενος, κατέβαινε διὰ τῆς ἱε-

ρᾶς

Digitized by Google

ῥᾶς ὁδοῦ μετὰ πυκνοῦ πάνυ πλήθους· καὶ οἷα χειμάῤῥους ἐς τὴν ἀγορὰν ἐμπεσὼν, ὤσατο μὲν διὰ μέσων τῶν συνεστώτων, καὶ διέστησεν αὐτούς· ὡς δὲ κατέπληξεν, ἐς τὸ τῶν Διοσκούρων ἱερὸν παρῆλθε, τὸν Κίνναν ἐκτρεπόμενος. ὅσοι δ' αὐτῷ συνῆσαν, χωρὶς ἐπαγγέλματος ἐμπεσόντες τοῖς νεοπολίταις, ἔκτεινάν τε πολλοὺς, καὶ ἑτέρους φεύγοντας ἐπὶ τὰς πύλας ἐδίωκον.

Κίννας δὲ, θαῤῥήσας μὲν τῷ πλήθει τῶν νεοπολιτῶν, καὶ βιάσεσθαι προσδοκήσας, παρὰ δόξαν δ' ὁρῶν τὸ τόλμημα τῶν ὀλιγωτέρων ἐπικρατοῦν, ἀνὰ τὴν πόλιν ἔθει, τοὺς θεράποντας ἐπ' ἐλευθερίᾳ συγκαλῶν. οὐδενὸς δ' αὐτῷ προσιόντος, ἐξέδραμεν ἐς τὰς ἀγχοῦ πόλεις, τὰς οὐ πρὸ πολλοῦ πολίτιδας Ῥωμαίων γενομένας, Τίβυρτόν τε, καὶ Πραινεστὸν, καὶ ὅσαι μέχρι Νώλης, ἐρεθίζων ἅπαντας ἐς ἀπόστασιν, καὶ χρήματα ἐς τὸν πόλεμον συλλέγων. ταῦτα δ' ἐργαζομένῳ τε καὶ ἐπινοοῦντι τῷ Κίννᾳ προσέφυγον ἀπὸ τῆς βουλῆς, οἳ τὰ αὐτὰ ἐφρόνουν, Γάϊός τε Μιλώνιος, καὶ Κόϊντος Σερτώριος, καὶ Γάϊος Μάριος ἕτερος. ἡ μὲν δὴ βουλὴ τὸν Κίνναν, ὡς ἐν κινδύνῳ τε τὴν πόλιν καταλιπόντα ὕπατον, καὶ δούλοις ἐλευθερίαν κηρύξαντα, ἐψηφίσατο μήτε ὕπατον, μήτε πολίτην ἔτι εἶναι· καὶ Λεύκιον Μερόλαν ἐχειροτόνησαν ἀντ' αὐτοῦ, τὸν ἱερέα τοῦ Διός. λέγεται δ' οὗτος ὁ ἱερεὺς Φλαμέντας, καὶ πιλοφορεῖ μόνος αἰεὶ, τῶν ἄλλων ἱερέων ἐν μόναις πιλοφορούντων ταῖς ἱερουργίαις. Κίννας δ' ἐς Καπύην τραπόμενος, ἔνθα Ῥωμαίων στρατὸς ἄλλος ἦν, τούς τε ἄρχοντας αὐτοῦ, καὶ ὅσοι ἀπὸ τῆς βουλῆς ἐπεδήμουν, ἐθεράπευε, καὶ παρελθὼν ὡς ὕπατος ἐς μέσους, τάς τε ῥάβδους καθεῖλεν, οἷα ἰδιώτης, καὶ δακρύσας, ἔφη· "παρὰ μὲν ὑμῶν, ὦ πολῖται, τὴν ἀρχὴν τήνδε ἔλαβον· ὁ γὰρ δῆμος ἐχειροτόνησεν, ἡ βουλὴ δ' ἀφείλετό με χωρὶς ὑμῶν. καὶ τάδε παθὼν, ἐν οἰκείοις κακοῖς ὑπὲρ ὑμῶν ὅμως ἀγανακτῶ. τί γὰρ ἔτι τὰς φυλὰς ἐν ταῖς χειροτονίαις θεραπεύομεν; τί δὲ ὑμῶν δεόμεθα; ποῦ δὲ ἔσεσθε τῶν ἐκκλησιῶν ἢ χειροτονιῶν ἢ τῶν ὑπατειῶν ἔτι κύριοι; εἰ μὴ βεβαιώσετε μὲν, ἃ δίδοτε, ἀφαιρήσεσθε δ', ὅταν αὐτοὶ δοκιμάσητε."

cap. 65. Cinna servos ad pileum (frustra) vocat; postea in proximis oppidis auxilia quærit; quare nec civis nec consul a senatu judicatus & in ejus locum L. Merula subrogatus est.

Cinna exercitum Romanum Capuæ morantem,

Ταῦτ' εἰπὼν ἐς ἐρέθισμα, καὶ πολλὰ περὶ αὐτοῦ κατοικτισάμενος, τήν τε ἐσθῆτα κατέῤῥηξε, καὶ ἀπὸ τοῦ βήματος

cap. 66. oratione permovet, ut ad ejus partes

transeat, & ex urbibus socialibus pecunias & milites colligit.

ματος καταθορὼν, ἔῤῥιψεν αὐτὸν ἐς μέσους, καὶ ἔκειτο ἐπιπλεῖστον· ἕως ἐπικλασθέντες ἀνέστησάν τε αὐτὸν, καὶ καθίσαντες αὖθις ἐπὶ τοῦ θρόνου, τάς τε ῥάβδους ἀνέσχον, καὶ θαῤῥεῖν ὡς ὕπατον ἐκέλευον, καὶ σφᾶς ἄγειν ἐφ᾽ ὅ τι χρήζοι. τῆς δ᾽ ἀφορμῆς εὐθὺς οἱ ἄρχοντες αὐτῶν ἐπέβαινον, καὶ ὤμνυον τῷ Κίννᾳ τὸν ὅρκον τὸν στρατιωτικὸν, καὶ τοὺς ὑφ᾽ αὑτὸν ἕκαστος ἐξώρκου. ὁ δ᾽, ἐπεὶ οἱ ταῦτ᾽ εἶχεν ἀσφαλῶς, ἐπὶ τὰς συμμαχίδας πόλεις διέθει, καὶ ἠρέθιζε κἀκείνους, ὡς διὰ τούσδε μάλιστα τὴν συμφορὰν αὐτῷ γεγονυμένην. οἱ δὲ χρήματά τε καὶ στρατιὰν αὐτῷ συνετέλουν, καὶ πολλοὶ καὶ τῶν ἐν Ῥώμῃ δυνατῶν ἕτεροι πρὸς αὐτὸν ἀφικνοῦντο, οἷς ἀπήρεσκεν ἡ τῆς πολιτείας εὐστάθεια. καὶ Κίννας μὲν ἀμφὶ ταῦτ᾽ ἐγίγνετο. Ὀκταούϊος δὲ καὶ Μερόλας, οἱ ὕπατοι, τὸ μὲν ἄστυ τάφροις καὶ τειχῶν ἐπισκευαῖς ὠχύρουν, καὶ μηχανήματα ἐφίσανον· ἐπὶ δὲ στρατιὰν ἔς τε τὰς ἑτέρας πόλεις τὰς ἔτι σφῶν κατηκόους, καὶ ἐς τὴν ἀγχοῦ Γαλατίαν περιέπεμπον· Γναῖόν τε Πομπήϊον, ἀνθύπατον ὄντα, καὶ στρατευμάτων περὶ τὸν Ἰόνιον ἡγούμενον, ἐκάλουν κατὰ σπουδὴν ἐπικουρεῖν τῇ πατρίδι.

cap. 67. Cinnæ exercitum, C. Marius, per Etruriam cum exsilii sociis rediens, sex Etruscorum millibus auget: urbs ternis castris ad Tiberim positis ab iis obsidetur.

Ὁ δ᾽ ἦλθε, καὶ πρὸς ταῖς Κολλίναις πύλαις ἐστρατοπέδευσε· καὶ ὁ Κίννας ἐπελθὼν αὐτῷ, παρεστρατοπέδευε. Γάϊος δὲ Μάριος τούτων πυθόμενος, ἐς Τυῤῥηνίαν κατέπλευσεν, ἅμα τοῖς συνεξελαθεῖσι, καὶ θεράπουσιν αὐτῶν ἐπελθοῦσιν ἀπὸ Ῥώμης, ἐς πεντακοσίους μάλιστά που γεγονόσι. ῥυπῶν δ᾽ ἔτι καὶ κόμης ἔμπλεως ἐπῄει τὰς πόλεις, οἰκτρὸς ὀφθῆναι· μάχας τε καὶ τρόπαια αὐτοῦ Κιμβρικὰ καὶ ἐξ ὑπατείας ὑπερεπαίρων, καὶ περὶ τῆς χειροτονίας, σφόδρα αὐτοῖς ἐπιθυμοῦσιν, ἐπαγγελλόμενός τε καὶ πιστὸς εἶναι δοκῶν, συνήγαγε Τυῤῥηνῶν ἑξακισχιλίους, καὶ ἐς Κίνναν διῆλθεν, ἀσμένως αὐτὸν ἐπὶ κοινωνίᾳ τῶν παρόντων δεχόμενον. ὡς δὲ ἀνεμίχθησαν, ἐστρατοπέδευον ἐπὶ τοῦ ποταμοῦ τοῦ Τιβέριος, ἐς τρία διαιρεθέντες· Κίννας μὲν καὶ Κάρβων σὺν αὐτῷ, τῆς πόλεως ἀντικρύ· Σερτώριος δὲ ὑπὲρ τὴν πόλιν ἄνω, καὶ Μάριος πρὸς τῇ θαλάσσῃ· ζευγνύντες οἵδε τὸν ποταμὸν καὶ γεφυροῦντες, ἵνα τὴν πόλιν ἀφέλοιντο τὴν σιταγωγίαν. Μάριος δὲ καὶ Ὄστια εἷλε καὶ διήρπαζε· καὶ Κίννας, ἐπιπέμψας, Ἀρίμινον κατέλαβε, τοῦ μή τινα στρατιὰν ἐς τὴν πόλιν ἐπελθεῖν ἐκ τῆς ὑπηκόου Γαλατίας. Οἱ

Οἱ δὲ ὕπατοι, δεδιότες, καὶ ϛρατιᾶς ἄλλης δεόμενοι, Σύλλαν μὲν ὀυκ εἶχον καλεῖν, ἐς τὴν Ἀσίαν ἤδη πεπερακότα· Καικίλιον δὲ Μέτελλον, τὰ λείψανα τῦ συμμαχικῦ πολέμυ πρὸς Σαυνίτας διατιθέμενον, ἐκέλευον, ὅπη δύναιτο, ἐυπρεπῶς διαλυσάμενον, ἐπικυρεῖν τῇ πατρίδι πολιορκυμένῃ. ὐ συμβαίνοντος δὲ Σαυνίταις, ἐς ἃ ᾔτυν, τῦ Μετέλλυ, ὁ Μάριος αἰθόμενος, συνέθετο τοῖς Σαυνίταις ἐπὶ πᾶσιν, ὅις ᾔτυν παρὰ τῦ Μετέλλυ. ὧδε μὲν δὴ καὶ Σαυνῖται Μαρίῳ συνεμάχυν. Κλαύδιον δὲ Ἄππιον χιλίαρχον, τειχοφυλακῦντα τῆς Ῥώμης τὸν λόφον τὸν καλύμενον Ἰάνυκλον, ἔυ ποτε παθόντα ὑφ' ἑαυτῦ, τῆς ἐυεργεσίας ἀναμνήσας ὁ Μάριος, ἐς τὴν πόλιν ἐσῆλθεν, ὑπανοιχθείσης αὐτῷ πύλης περὶ ἕω, καὶ τὸν Κίνναν ἐσεδέξατο. ἀλλ' ὗτοι μὲν αὐτίκα ἐξεώσθησαν, Ὀκταυΐυ καὶ Πομπηΐυ σφίσιν ἐπιδραμόντων. κεραυνῶν δὲ πολλῶν ἐς τὸ τῦ Πομπηΐυ ϛρατόπεδον καταῤῥαγέντων, ἄλλοι τε τῶν ἐπιφανῶν, καὶ ὁ Πομπήϊος ἀπώλετο.

> cap. 68. Ne bellum contra Samnitas a Cæcilio Metello componatur ejusque copiis Coss. exercitus augeatur, impedit Marius magnis promissis, Samnitibus datis.

Μάριος δ' ἐπεὶ τῆς ἀγορᾶς, τῆς ἔκ τε θαλάσσης καὶ ἄνωθεν ἀπὸ τῦ ποταμῦ φερομένης, κατέσχεν, ἐπὶ τὰς ἀγχῦ τῆς Ῥώμης πόλεις διετρόχαζεν, ἔνθα σῖτος ἦν τοῖς Ῥωμαίοις προσεσωρευμένος. ἄφνω δὲ τοῖς φρυρῦσιν αὐτὸν ἐπιπίπτων, εἷλε μὲν Ἄντιον καὶ Ἀρικίαν καὶ Λανούβιον, καὶ ἄλλας πόλεις, ἔϛιν ἃ καὶ προδιδόντων τινῶν· ὡς δὲ καὶ τῆς κατὰ γῆν ἐκράτησεν ἀγορᾶς, ἐυθαρσῶς ἐβάδιζεν ἐπὶ τὴν Ῥώμην αὐτίκα διὰ τῆς ὁδῦ τῆς καλυμένης Ἀππίας, πρίν τινα αὐτοῖς ἀγορὰν ἄλλην ἑτέρωθεν ἀχθῆναι. τῦ δ' ἄϛεος ἑκατὸν ϛαδίυς αὐτός τε καὶ Κίννας, καὶ οἱ ϛρατηγῦντες αὐτοῖς Κάρβων τε καὶ Σερτώριος, ἀποσχόντες, ἐϛρατοπέδευσαν· Ὀκταυΐυ καὶ Κράσσυ καὶ Μετέλλυ περὶ τὸ ὄρος τὸ Ἀλβανὸν αὐτοῖς ἀντικαθημένων, καὶ τὸ μέλλον ἔσεσθαι περιβλεπομένων· ἀρετῇ μὲν ἔτι καὶ πλήθει νομιζομένων εἶναι κρειττόνων, ὀκνύντων δ' ὑπὲρ ὅλης ὀξέως κινδυνεῦσαι τῆς πατρίδος διὰ μάχης μιᾶς. ὡς δὲ περιπέμψας ὁ Κίννας περὶ τὸ ἄϛυ κήρυκας, ἐδίδυ τοῖς ἐς αὐτὸν αὐτομολῦσι θεράπυσιν ἐλευθερίαν, κατὰ πλῆθος ηὐτομόλυν αὐτίκα· καὶ ἡ βυλὴ ταραττομένη, καὶ πολλὰ καὶ δεινὰ, ἐι βραδύνειεν ἡ σιτοδεία, παρὰ τῦ δήμυ προσδοκῶσα, μετέπιπτε τῇ γνώμῃ,

> cap. 69. Commeatus subvectiones terra marique intersepiuntur.

> Servis tandem agminatim ad Cinnam transeuntibus, legatos senatus de pace ad

καὶ

Cinnam mittit. Sed illi responsum nullum ferunt, quod ad Consulem non missi essent.

καὶ πρέσβεις περὶ διαλύσεων ἐς τὸν Κίνναν ἔπεμπον. ὁ δὲ αὐτὰς, Πότερον, ἤρετο, ὡς πρὸς ὕπατον ἔλθοιεν, ἢ πρὸς ἰδιώτην. ἀπορησάντων δ' ἐκείνων, καὶ ἐς τὰ ἄςυ ἐπανελθόντων, πολλοὶ καὶ τῶν ἐλευθέρων ἤδη κατὰ πλῆθος πρὸς τὸν Κίνναν ἐξεπήδων· οἱ μὲν, περὶ τῷ λιμῷ δεδιότες, οἱ δὲ, πρὸ πολλῦ τὰ ἐκείνων αἱρύμενοι, καὶ τὴν ῥοπὴν τῶν γιγνομένων περιμένοντες.

cap. 70. Senatus igitur iterum ad Cinnam Consulem legatos de pace mittit. Cinna promittit, se scientem nemini necis causam fore.

Κίννας δ' ἤδη καταφρονητικῶς τῷ τείχει ἐπλησίαζε, καὶ ἀποσχὼν ὅσον βέλυς ὁρμὴν, ἐςρατοπέδευεν· ἀπορύντων ἔτι, καὶ δεδιότων, καὶ ὀκνύντων ἐπιχειρεῖν αὐτῷ τῶν ἀμφὶ τὸν Ὀκταύϊον, διὰ τὰς αὐτομολίας τε καὶ διαπρεσβεύσεις. ἡ δὲ βυλὴ πάνυ μὲν ἀπορῦσα, καὶ δεινὸν ἡγυμένη, Λεύκιον Μερόλαν, τὸν ἱερέα τῦ Διὸς, ὑπατεύοντα ἀντὶ τῦ Κίννα, καὶ ὐδὲν ἐς τὴν ἀρχὴν ἁμαρτόντα, ἀφελέσθαι, ἄκυσα δ' ὅμως ὑπὸ τῶν συμφορῶν αὖθις ἐς τὸν Κίνναν τὺς πρέσβεις ἔπεμπεν, ὡς πρὸς ὕπατον. ὐδέν τε χρηςὸν ἔτι προσδοκῶντες, τῦτο μόνον ἤτυν ἐπομόσαι σφίσι τὸν Κίνναν, φόνον ὐκ ἐργάσασθαι. ὁ δὲ ὀμόσαι μὲν ὐκ ἠξίωσεν, ὑπέσχετο δὲ καὶ ὧδε, ἑκὼν ὐδενὶ σφαγῆς αἴτιος ἔσεσθαι· Ὀκταύϊον δ', ἤδη περιοδεύσαντα καὶ κατ' ἄλλας πύλας ἐς τὴν πόλιν ἐσελθόντα, ἐκέλευσεν ἐκςῆναι τῦ μέσυ, μή τι καὶ ἄκοντος αὐτῦ πάθοι. ὁ μὲν δὴ ταῦτ' ἐπὶ βήματος ὑψηλῦ, καθάπερ ὕπατος, τοῖς πρέσβεσιν ἄνωθεν ἀπεκρίνατο. Μάριος δ' αὐτῷ παρεςὼς παρὰ τὸν θρόνον, ἡσύχαζε μέν· ἐδήλυ δὲ τῇ δριμύτητι τῦ προσώπυ, πόσον ἐργάσεται φόνον. δεξαμένης δὲ ταῦτα τῆς βυλῆς, καὶ καλέσης ἐσελθεῖν Κίνναν τε καὶ Μάριον, (ᾔδοντο γὰρ δὴ, Μαρίυ μὲν εἶναι τὰ ἔργα τάδε πάντα, Κίνναν δ' αὐτοῖς ἐπιγράφεσθαι·) σὺν εἰρωνείᾳ σφόδρα ὁ Μάριος ἐπιμειδιῶν εἶπεν, ὐκ εἶναι φυγάσιν ἐσόδυς. καὶ εὐθὺς οἱ δήμαρχοι τὴν φυγὴν αὐτῷ τε, καὶ ὅσοι ἄλλοι κατὰ Σύλλαν ὕπατον ἐξελήλαντο, ἐψηφίσαντο λελύσθαι.

Senatus Cinnam Mariumque invitat in urbem, abrogato formulis solennibus Marii exsilio.

cap. 71. Cinna Marioque urbem ingressis bona diripi coepta sunt.

Οἱ μὲν δὴ, δεχομένων αὐτὺς σὺν δέει πάντων, ἐσήεσαν ἐς τὴν πόλιν. καὶ τὰ τῶν ἀντιπρᾶξαι σφίσι δοκύντων ἀκωλύτως πάντα διηρπάζετο. Ὀκταυΐῳ δὲ Κίννας μὲν καὶ Μάριος ὅρκυς ἐπεπόμφεσαν, καὶ θύται καὶ μάντεις ὐδὲν πείσεσθαι πρῦλεγον· οἱ δὲ φίλοι φυγεῖν παρῄ-

παρόντων. ὁ δ', εἰπὼν οὔποτε προλείψειν τὴν πόλιν ὕπατος ὢν, ἐς τὸν Ἰάνικλον, ἐκστὰς τοῦ μέσου, διῆλθε μετὰ τῶν ἐπιφανεστάτων, καί τινος ἔτι καὶ στρατοῦ· ἐπί τε τοῦ θρόνου προὐκάθητο, τὴν τῆς ἀρχῆς ἐσθῆτα ἐπικείμενος, ῥάβδων καὶ πελέκεων, ὡς ὑπάτῳ, περικειμένων. ἐπιθέοντος δ' αὐτῷ μετά τινων ἱππέων Κηνσωρίνου, καὶ πάλιν τῶν φίλων αὐτὸν καὶ τῆς παρεστώσης στρατιᾶς φυγεῖν παρακαλούντων, καὶ τὸν ἵππον αὐτῷ προσαγαγόντων, οὐκ ἀνασχόμενος οὐδὲ ὑπαναστῆναι, τὴν σφαγὴν περιέμενεν. ὁ δὲ Κηνσωρῖνος, αὐτοῦ τὴν κεφαλὴν ἐκτεμὼν, ἐκόμισεν ἐς Κίνναν, καὶ ἐκρεμάσθη πρὸ τῶν ἐμβόλων ἐν ἀγορᾷ, πρώτου τοῦδε ὑπάτου. μετὰ δ' αὐτὸν καὶ τῶν ἄλλων ἀναιρουμένων ἐκρήμναντο αἱ κεφαλαί. καὶ οὐ διέλιπεν ἔτι καὶ τόδε τὸ μῦσος, ἀρξάμενόν τε ἀπὸ Ὀκταουΐου, καὶ ἐς τοὺς ἔπειτα ὑπὸ τῶν ἐχθρῶν ἀναιρουμένους περιϊόν. ζητηταὶ δ' ἐπὶ τοὺς ἐχθροὺς αὐτίκα ἐξέθεον, τούς τε ἀπὸ τῆς βουλῆς καὶ τῶν καλουμένων ἱππέων. καὶ τῶν μὲν ἱππέων ἀναιρουμένων λόγος οὐδεὶς ἔτι μετὰ τὴν ἀναίρεσιν ἐγίγνετο· αἱ δὲ τῶν βουλευτῶν κεφαλαὶ πᾶσαι προυτίθεντο πρὸ τῶν ἐμβόλων. αἰδώς τε θεῶν, ἢ νέμεσις ἀνδρῶν, ἢ φθόνου φόβος οὐδεὶς ἔτι τοῖς γιγνομένοις ἐπῆν· ἀλλὰ ἐς ἔργα ἀνήμερα, καὶ ἐπὶ τοῖς ἔργοις ἐς ὄψεις ἐτρέποντο ἀθεμίστους, κτιννύντες τε νηλεῶς, καὶ περιτέμνοντες αὐχένας ἀνδρῶν ἤδη τεθνεώτων· καὶ προτιθέντες τὰς συμφορὰς ἐς φόβον ἢ κατάπληξιν, ἢ θέαν ἀθέμιστον.

Octavii Cos. caput abscissum pro rostris suspensum est.

Ἐπὶ δὲ τούτοις, ἐς ὑπόκρισιν ἀρχῆς ἐννόμου, μετὰ τοσούσδε φόνους ἀκρίτους, ὑπεβλήθησαν κατήγοροι. — Θεράποντες δ', ὅσοι κατὰ τὸ κήρυγμα πρὸς Κίνναν ἐστρατεύοντο, ταῖς οἰκίαις ἐπέτρεχον, καὶ διήρπαζον, ἀναιροῦντες ἅμα, οἷς περιτύχοιεν· οἱ δὲ αὐτῶν καὶ τοῖς σφετέροις δεσπόταις μάλιστα ἐπεχείρουν. Κίννας δ' ἐπεὶ πολλάκις αὐτοῖς ἀπαγορεύων οὐκ ἔπειθε, Γαλατῶν στρατιὰν αὐτοῖς ἔτι νυκτὸς ἀναπαυομένοις περιστήσας, διέφθειρε πάντας. οἱ μὲν δὴ θεράποντες δίκην ἀξίαν ἔδοσαν τῆς ἐς δεσπότας πολλάκις ἀπιστίας.

cap. 74. Alii in judicium vocati interemti sunt. Servi, qui ad Cinnam transfugerant, libertate olim donati, ob protervi- am ad unum delentur.

Τοῦ δ' ἐκιόντος ἔτους, ὕπατοι μὲν ᾕρηντο Κίννας τε αὖθις, καὶ Μάριος ἕβδομον· ᾧ, μετὰ φυγὴν καὶ ἐπικήρυξιν, εἴ τις ὡς πολέμιον ἀνέλοι, τὸ μάντευμα ὅμως ἀπήν-

cap. 75. Novi Coss. A. U. 668. ante Chr. 86. Cinna II. Ma-

tius VII; post ejus mortem Val. Flaccus, deinde Carbo, A. U. 669. ante Chr. 85.

πῆντα τὸ τῶν ἑπτὰ νεογνῶν ἀετῶν. ἀλλ᾽ ὗτος μὲν, πολλὰ καὶ δεινὰ ἐς Σύλλαν ἐπινοῶν, τῷ πρώτῳ μηνὸς τῆς ἀρχῆς ἀπέθανε. καὶ Οὐαλέριον Φλάκκον ὁ Κίννας ἑλόμενος ἀντ᾽ αὐτῦ, εἰς τὴν Ἀσίαν ἐξέπεμψεν. ἀποθανόντος δὲ καὶ Φλάκκυ, Κάρβωνα εἵλετο συνάρχειν ἑαυτῷ.

cap. 76. Sylla, debellato intra triennium Mithridate, cum magno exercitu ad debellandos Marianos redit.

Σύλλας δ᾽ ἐπείξει τῆς ἐπὶ τὰς ἐχθρὰς ἐπανόδυ, τὰ ἐς Μιθριδάτην πάντ᾽ ἐπιταχύνας, ὥς μοι προείρηται, καὶ ἔτεσιν ὐδ᾽ ὅλοις τρισὶν, ἑκκαίδεκα μὲν ἀνδρῶν μυριάδας κατακανὼν, τὴν δὲ Ἑλλάδα καὶ Μακεδονίαν καὶ Ἰωνίαν καὶ Ἀσίαν, καὶ ἄλλα ἔθνη πολλὰ, ὅσα Μιθριδάτης προειλήφει, ἐς Ῥωμαίυς ἀναλαβὼν, αὐτόν τε τὸν βασιλέα τὰς ναῦς ἀφελόμενος, καὶ ἐς μόνην τὴν πατρῴαν ἀρχὴν ἐκ τοσῶνδε κατακλείσας, ἐπανῄει· στρατὸν ἄγων εὔνυν οἱ, καὶ γεγυμνασμένον, καὶ πολὺν, καὶ τοῖς γεγονόσιν ἐπηρμένον. ἦγε δὲ καὶ νεῶν πλῆθος, καὶ χρήματα, καὶ παρασκευὴν ἐς ἅπαντα ἀξιόλογον, καὶ τοῖς ἐχθροῖς ἦν ἐπίφοβος.

Carbo & Cinna in usum imminentis belli pecunias, milites, frumentum comparant.

ὥστε δειμαίνοντες αὐτὸν ὅ τε Κάρβων καὶ ὁ Κίννας, ἐς ὅλην τὴν Ἰταλίαν τινὰς περιέπεμπον, χρήματα καὶ στρατιὰν καὶ σῖτον αὐτοῖς ἀθροίζειν· τύς τε δυνατὺς συνυσίαις ἀνελάμβανον, καὶ τῶν πόλεων ἠρέθιζον μάλιστα τὰς νεοπολίτιδας, ὡς δι᾽ αὐτὰς ὄντες ἐν τοσῷδε κινδύνῳ. τάς τε ναῦς ἐπεσκεύαζον ἀθρόως, καὶ τὰς ἐν Σικελίᾳ μετεκάλυν, καὶ τὴν παράλιον ἐφύλασσον, καὶ ὐδὲν ὀξείας ὐδὲ οἵδε παρασκευῆς μετὰ δέυς ἅμα καὶ σπυδῆς ἐξέλειπον.

cap. 77. Sylla in litteris ad Senatum datis poenas minatur auctoribus injuriarum ipsi tam privatim quam publice illatarum.

Σύλλας δ᾽ ἐπὶ φρονήματος ἐπέστελλε τῇ βυλῇ περί τε αὐτῦ, καταλέγων, ὅσα περὶ Λιβύην ἐς Ἰυγόρθαν τὸν Νομάδα, ἔτι ταμιεύων, ἢ ἐπὶ τοῖς Κιμβρικοῖς, πρεσβεύων, ἢ Κιλικίας ἡγύμενος, ἢ ἐν τοῖς συμμαχικοῖς, ἢ ὑπατεύων, ἔπραξε· τὰ δ᾽ ἔναγχος ἐς Μιθριδάτην ὑπερεπαίρων τε μάλιστα, καὶ καταλογιζόμενος αὐτοῖς ἀθρόως ἔθνη πολλὰ, ὅσα Μιθριδάτυ γενόμενα Ῥωμαίοις ἀναλάβοι· καὶ ὐδενὸς ἧττον, ὅτι τὺς ἐξελαθέντας ἐκ Ῥώμης ὑπὸ Κίννα, καταφυγόντας ἐς αὐτὸν, ὑποδέξαιτο ἀπορυμένυς, καὶ ἐπικυφίζοι τὰς συμφορὰς αὐτοῖς. ἀνθ᾽ ὧν, ἔφη, τὺς ἐχθρὺς πολεμίυς αὐτὸν ἀναγράψαι, καὶ τὴν οἰκίαν ἀνασκάψαι, καὶ τὺς φίλυς ἀνελεῖν· τὴν δὲ γυναῖκα καὶ τέκνα μόλις πρὸς ἑαυτὸν διαφυγεῖν. ἀλλ᾽ αὐτίκα καὶ τοῖσδε καὶ τῇ

Senatus legatos ad Syllam

πόλει

πόλει πάσῃ τιμωρὸς ἥξειν ἐπὶ τὰς εἰργασμένας. τοῖς δ' ἄλλοις πολίταις τε καὶ νεοπολίταις προῦλεγεν, οὐδενὶ μέμψεσθαι περὶ οὐδενός. ὧν ἀναγιγνωσκομένων, δέος ἅπαντας ἐπεῖχε, καὶ πρέσβεις ἔπεμπον, οἱ συναλλάξειν αὐτὸν τοῖς ἐχθροῖς ἔμελλον, καὶ προερεῖν, εἴ τινος ἀσφαλείας δέοιτο, τῇ βουλῇ τάχιστα ἐπιστεῖλαι. τοῖς δ' ἀμφὶ τὸν Κίνναν εἴρητο, μὴ στρατολογεῖν, ἔστε ἐκεῖνον ἀποκρίνεσθαι. οἱ δ' ὑπέσχοντο μὲν ὧδε πράξειν· οἰχομένων δὲ τῶν πρέσβεων, ἐς τὸ μέλλον ἑαυτοὺς ἀνεῖπον ὑπάτους αὐτίκα, τοῦ μὴ διὰ τὰ ἀρχαιρέσια θᾶττον ἐπανήκειν. καὶ τὴν Ἰταλίαν περιϊόντες, στρατιὰν συνῆγον, ἣ ἐς Λιβυρνίαν (ὡς ἐκεῖθεν ἀπαντήσοντες τῷ Σύλλᾳ) κατὰ μέρος ἐπὶ νεῶν διεβιβάζοντο.

mittit, qui concilient eum adversariis, & ut Coss. a delectibus cessent, jubet, attamen illi continuant, se in proximum annum Consules renunciant & Liburniam parte classis trajiciunt, Syllam exspectaturi, A. U. 670. ante Chr. 84.

Τὸ μὲν δὴ πρῶτον μέρος εὐσταθῶς διέπλευσε· τῷ δ' ἑξῆς χειμὼν ἐπέπεσε, καὶ ὅσοι τῆς γῆς ἐλαμβάνοντο, εὐθὺς ἐς τὰς πατρίδας διεδίδρασκον, ὡς οὐ στρατεύσοντες ἑκόντες κατὰ πολιτῶν. οἵ τε λοιποὶ πυνθανόμενοι ταῦτ', οὐδ' αὐτοὶ περάσειν ἔτι ἔλεγον ἐς τὴν Λιβυρνίαν. Κίννας δ' ἀγανακτῶν, ἐς ἐκκλησίαν αὐτοὺς ὡς ἐπιπλήξων συνεκάλει· καὶ οἱ σὺν ὀργῇ παρῆεσαν, ὡς ἀμυνούμενοι. τῶν δὲ ῥαβδοφόρων τινὸς ὁδοποιοῦντος τῷ Κίννᾳ, καί τινα τῶν ἐν ποσὶ πατάξαντος, ἕτερος ἐκ τοῦ στρατοῦ τὸν ῥαβδοῦχον ἐπάταξε. καὶ Κίννα κελεύσαντος αὐτὸν συλλαβεῖν, βοὴ παρὰ πάντων ἀνέστη, καὶ λίθων ἦσαν ἐπ' αὐτὸν ἀφέσεις· οἱ δ' ἐγγὺς καὶ τὰ ξιφίδια ἐπισπάσαντες, συνεκέντησαν αὐτόν. οὕτω μὲν δὴ καὶ Κίννας ὑπατεύων ἀπέθανε. Κάρβων δ' ἔκ τε Λιβυρνίας τοὺς διαπεπλευκότας ἐς αὐτὴν μετεκάλει, καὶ τὰ γιγνόμενα δεδιώς, ἐς τὴν πόλιν οὐ κατῄει, καὶ πάνυ τῶν δημάρχων αὐτὸν καλούντων ἐπὶ συνάρχου χειροτονίαν. ἀπειλησάντων δὲ ἰδιώτην ἀποφανεῖν, ἐπανῆλθε μέν, καὶ χειροτονίαν προῦθηκεν ὑπάτου. ἀπαισίου δὲ τῆς ἡμέρας γενομένης, ἑτέραν προὔγραφε· καὶ ταύτῃ κεραυνοῦ πεσόντος ἐς τὸ τῆς Σελήνης καὶ τὸ τῆς Δήμητρος ἱερὸν, οἱ μάντεις ὑπὲρ τὰς θερινὰς τροπὰς ἀνετίθεντο τὰς χειροτονίας· καὶ μόνος ἦρχεν ὁ Κάρβων.

cap. 78. Alia classis pars tempestate disjicitur; reliqui milites negant se in Liburniam trajecturos; Cinna concionem convocatam minis coacturus trucidatur: Carbo minis quidem tribunorum coactus ad comitia consularia habenda in urbem redit: nullus tamen creatur ob prodigia.

Σύλλας δὲ τοῖς πρὸς αὐτὸν ἥκουσιν ἀπὸ τῆς βουλῆς ἀπεκρίνατο, αὐτὸς μὲν οὔποτε ἀνδράσι τοιάδε εἰργασμένοις ἔσεσθαι φίλος· τῇ πόλει δ' οὐ φθονήσειν, χαριζομένῃ τὴν σωτη-

cap. 79. Ex iis, quæ Sylla legatis respondet, patet, eum exer-

Digitized by Google

citum non dimissurum, sed de dominatione cogitare.

σωτηρίαν αὐτοῖς. ἀσφάλειαν δὲ αὐτὸς μᾶλλον αὐτοῖς, ἔφη, καὶ τοῖς ἐς αὐτὸν καταφυγοῦσιν ἐς ἀεὶ παρέξειν, στρατὸν ἔχων εὔνουν. ᾧ δὴ καὶ μάλιστα δῆλος ἐγένετο, ἑνὶ ῥήματι τῷδε, οὐ διαλύσων τὸν στρατὸν, ἀλλὰ τὴν τυραννίδα ἤδη διανοούμενος. ᾔτει δ' αὐτοὺς τήν τε ἀξίωσιν καὶ περιουσίαν καὶ ἱερωσύνην, καὶ εἴ τι ἄλλο γέρας εἶχεν, ἐντελῆ πάντα ἀποδοθῆναι· καὶ τοὺς περὶ τούτων ἐροῦντας συνέπεμπε τοῖς πρέσβεσιν. οἱ δ' εὐθὺς ἀπὸ τοῦ Βρεντεσίου, Κίνναν τε πυθόμενοι τεθνάναι, καὶ τὴν πόλιν ἀδιοίκητον εἶναι, πρὸς τὸν Σύλλαν ἀνέστρεφον ἄπρακτοι. καὶ ὁ Σύλλας πέντε Ἰταλοῦ στρατοῦ τέλη, καὶ ἱππέας ἑξακισχιλίους, ἄλλους τέ τινας ἐκ Πελοποννήσου καὶ Μακεδονίας προσλαβὼν, ἅπαντας ἄγων ἐς μυριάδας ἀνδρῶν τέσσαρας, ἐπί τε Πάτρας ἀπὸ τοῦ Πειραιέως, καὶ ἐκ Πατρῶν ἐς Βρεντέσιον, χιλίαις καὶ ἑξακοσίαις ναυσὶ διέπλει. δεξαμένων δ' αὐτὸν ἀμαχεὶ τῶν Βρεντεσίων, τοῖσδε μὲν ὕστερον ἔδωκεν ἀτέλειαν, ἣν καὶ νῦν ἔχουσιν· αὐτὸς δ' ἀναστήσας τὸν στρατὸν, ἦγεν ἐς τὸ πρόσω.

Postulat, sibi restitui dignitatem pristinam, bona & sacerdotium; comitesque legatis aliquos de suis addit, qui tamen, audita Cinnæ morte, infecto negotio redeunt. Sylla Brundusium trajicit.

cap. 80. Ultro se socios Syllæ, partim cum legionibus ab ipsis conscriptis, adjungunt Cæcil. Metellus Pius, Cn. Pompejus, Cethegus.

Καὶ αὐτῷ Μέτελλος Καικίλιος ὁ Ἐυσεβὴς, ἐκ πολλοῦ τε ᾑρημένος ἐς τὰ λοιπὰ τοῦ συμμαχικοῦ πολέμου, καὶ διὰ Κίνναν καὶ Μάριον ἐς τὴν πόλιν οὐκ ἐσελθὼν, ἀλλὰ ἐν τῇ Λιγυστίδι τὸ μέλλον περιορῶν, αὐτόκλητος σύμμαχος ἀπήντα μεθ' ἧς εἶχε συμμαχίας, ἀνθύπατος ἔτι ὤν. ἔστι γὰρ εἶναι τοῖς αἱρεθεῖσιν, ἔστε ἐπανέλθοιεν ἐς Ῥώμην. ἐπὶ δὲ τῷ Μετέλλῳ καὶ Γναῖος Πομπήϊος, ὁ μετ' οὐ πολὺ Μέγας προσονομασθεὶς, Πομπηΐου μὲν ὢν παῖς τοῦ διεφθαρμένου τῷ κεραυνῷ, οὐκ εὔνου τῷ Σύλλᾳ νομισθέντος, τὴν δ' ὑποψίαν διαλυόμενος, ἦλθε, καὶ τέλος ἤγαγεν, ἐκ τῆς Πικηνίτιδος, κατὰ κλέος τοῦ πατρὸς ἰσχύσαντος ἐν αὐτῇ μάλιστα, ἀγείρας. μετὰ δ' οὐ πολὺ καὶ δύο ἄλλα συνέλεξε· καὶ χρησιμώτατος ἐν τοῖς μάλιστα ὅδε ὁ ἀνὴρ ἐγένετο τῷ Σύλλᾳ. ὅθεν αὐτὸν ὁ Σύλλας, ἔτι νεώτατον ὄντα, ἦγεν ἐν τιμῇ· καὶ ἐπιόντος, φασὶν, ὑπανίστατο μόνῳ. λήγοντος δὲ τοῦ πολέμου, καὶ ἐς Λιβύην ἔπεμψεν, ἐξελάσαι τε τοὺς Κάρβωνος φίλους, καὶ Ἱεμψάλαν, ἐκπεσόντα ὑπὸ Νομάδων, ἐς τὴν βασιλείαν καταγαγεῖν. ἐφ' ᾧ δὴ καὶ θριαμβεῦσαι κατὰ τῶν Νομάδων αὐτῷ παρέσχεν ὁ Σύλλας, ἔτι ὄντι νέῳ, καὶ ἔτι ὄντι τῶν ἱππέων. καὶ ἀπὸ τοῦδε ἐπαρ-

θεὶς

Digitized by Google

θεὶς ἐς μέγα ὁ Πομπήϊος, ἐπὶ Σερτώριον εἰς Ἰβηρίαν ἐπέμφθη, καὶ ἐς τὸν Πόντον ἐπὶ Μιθριδάτην ὕστερον. ἀφίκετο δὲ καὶ Κέθηγος ἐς τὸν Σύλλαν, χαλεπώτατος ἀντιστασιώτης αὐτῷ μετὰ Κίννα καὶ Μαρίου γενόμενος, καὶ σὺν ἐκείνοις τῆς πόλεως ἐκπεσὼν, ἱκέτης τε γιγνόμενος, καὶ ἑαυτὸν ὑπηρέτην ἐς ὅ τι βούλοιτο, παρέχων.

Ὁ δὲ, καὶ στρατιᾶς πολὺ πλῆθος ἔχων ἤδη, καὶ φίλους πολλοὺς τῶν ἐπιφανῶν, τοῖσδε μὲν ὑποστρατήγοις ἐχρῆτο, αὐτὸς δὲ καὶ Μέτελλος, ἀνθυπάτω ὄντε, ἐς τὸ πρόσθεν ἐχώρειν· ἐδόκει γὰρ δὴ καὶ ὁ Σύλλας, ἀνθύπατος ἐπὶ Μιθριδάτῃ γενόμενος, οὔπω ἀποθέσθαι πω τὴν ἀρχὴν, εἰ καὶ πολέμιον αὐτὸν ἐψηφίσατο Κίννας. ὁ μὲν δὴ κατὰ τῶν ἐχθρῶν ᾔει βαρυτάτῃ καὶ ἀφανεῖ ἔχθρᾳ. οἱ δ' ἐν ἄστει, τῆς τε φύσεως αὐτοῦ καλῶς τεκμαιρόμενοι, καὶ τὴν προτέραν ἐς τὴν πόλιν ἐσβολὴν αὐτοῦ καὶ κατάληψιν ἔτι ἔχοντες ἐν ὄψει, τά τε ψηφίσματα, ἃ ἐπεκήρυξαν αὐτῷ λογιζόμενοι, καὶ τὴν οἰκίαν ὁρῶντες ἀνεσκαμμένην, καὶ περιουσίαν δεδημευμένην, καὶ φίλους ἀνῃρημένους, καὶ γενεὰν μόλις ἐκφυγοῦσαν, ἐδείμαινον. καὶ οὐδὲν σφίσι νίκης ἢ πανωλεθρίας μέσον εἶναι νομίζοντες, συνίσταντο τοῖς ὑπάτοις ἐπὶ τὸν Σύλλαν μετὰ δέους· ἔς τε τὴν Ἰταλίαν περιπέμποντες, στρατιὰν καὶ τροφὰς καὶ χρήματα συνῆγον, οὐδὲν, ὡς περὶ ἐσχάτων, σφίσιν ἀπολείποντες οὔτε σπουδῆς οὔτε προθυμίας.

cap. 81. Sylla & Metellus tanquam Procoss. ad urbem ulterius procedunt; reliquis Sylla pro legatis utitur.

Timor & apparatus urbanorum.

Γάϊός τε Νωρβανὸς καὶ Λεύκιος Σκιπίων, τὼ τότε ὄντε ὑπάτω, καὶ μετ' αὐτῶν Κάρβων, ὃς πέρυσιν ἦρχεν, ἔχθρᾳ μὲν ἐς τὸν Σύλλαν ὁμοίᾳ χρώμενοι, δέει δὲ καὶ συνειδότι, ὧν ἔπραξαν, πολὺ τῶν ἄλλων χείρονι, ἔκ τε τῆς πόλεως στρατὸν ὅσον εὐπόρουν κατέλεγον, καὶ τὸν ἐκ τῆς Ἰταλίας προσλαβόντες, ἐπὶ τὸν Σύλλαν κατὰ μέρος ἐχώρουν, σπείραις ἐκ πεντακοσίων ἀνδρῶν διακοσίαις τότε πρῶτον· ὕστερον γὰρ καὶ πλέοσι τούτων. ἡ γὰρ εὔνοια τῶν ἀνδρῶν ἐς τοὺς ὑπάτους παρὰ πολὺ ἐποίει· ὡς τὸ μὲν ἔργον τὸ Σύλλα, χωροῦντος ἐπὶ τὴν πατρίδα, δόξαν ἔχον πολεμίου, τὸ δὲ τῶν ὑπάτων, εἰ καὶ περὶ σφῶν ἔπραττον, πρόσχημα τῆς πατρίδος. τῶν τε ἁμαρτηθέντων αὐτοῖς οἱ πολλοὶ συνεγνωκότες, καὶ τοῦ φόβου μετέχειν ἡγούμενοι, συνέπρασσον· εὖ τὸν Σύλλαν εἰδότες οὐ κόλασιν ἢ διόρ-

cap. 82. C. Norbanus & L. Scipio Coss. & Carbo, superioris anni Cos. partitis copiis contra hostem eunt, favente populo, quod Sylla patriam hostiliter petat, illi vero rempublicam defendant.

Summa rerum a Sylla hostiliter gestarum.

διόρθωσιν ἢ φόβον ἐπὶ σφίσιν, ἀλλὰ λύμας καὶ θανάτους καὶ δημεύσεις καὶ ἀναίρεσιν ὅλως ἀθρόαν ἐπινοοῦντα. ὧν οὐκ ἐψεύσθησαν τῆς δόξης. ὅ τε γὰρ πόλεμος ἔφθειρε πάντα· ὧν γε καὶ μύριοι καὶ δισμύριοι πολλάκις ἐν μάχῃ μιᾷ, καὶ ἀμφὶ τὸ ἄστυ πέντε μυριάδες, ἀμφοῖν ἀπέθανον· καὶ ἐς τοὺς ὑπολοίπους ὁ Σύλλας οὐδὲν δεινὸν καὶ καθ' ἕνα καὶ κατὰ πόλεις ἐξέλιπε δρῶν· μέχρι καὶ μόναρχον ἑαυτὸν ἀπέφηνε τῆς Ῥωμαίων ἀρχῆς ὅλης, ἐφ' ὅσον ἔχρῃζέ τε καὶ ἐβούλετο.

cap. 84. Belli initium, A. U. 671. ante Chr. 83.

Ἤρξατο μὲν οὖν ὅδε ὁ πόλεμος, ἐξ οὗ Σύλλας ἐς Βρεντέσιον παρῆλθεν, ὀλυμπιάδων οὐσῶν ἑκατὸν ἑβδομήκοντα καὶ τεσσάρων. μῆκος δ' αὐτοῦ, διά γε τὸ μέγεθος τῶν ἔργων, σὺν ἐπείξει ὡς ἐπ' ἐχθροὺς ἰδίους ταχυνόντων, οὐ πολὺ, ὡς ἐπὶ τοσοῖσδε ἔργοις, ἐγένετο. ὅθεν καὶ μάλιστα αὐτοῖς τὰ παθήματα ἐπειγομένοις ἐν βραχεῖ μείζω καὶ ὀξύτερα συνέβη γενέσθαι. ἐς δὲ τριετὲς ὅμως προῆλθε, κατά γε τὴν Ἰταλίαν, μέχρι τὴν ἀρχὴν ἀνεδήσατο Σύλλας· ἐν γὰρ Ἰβηρίᾳ καὶ μετὰ Σύλλαν ἐξέτεινεν ἐπὶ πλεῖον. μάχαι δὲ, καὶ ἀκροβολίαι, καὶ πολιορκίαι, καὶ πολέμων ἰδέαι πᾶσαι, κατὰ τὴν Ἰταλίαν, ἀθρόαι τε καὶ κατὰ μέρη τοῖς στρατηγοῖς ἐγένοντο πολλαὶ, καὶ πᾶσαι διαφανεῖς. ὧν τὰ μέγιστα καὶ ἀξιολογώτατα, ἐν κεφαλαίῳ φράσαι, τοιάδε ἦν.

Norbanus ad Canusium a Procoss. victus Capuam se recipit.

Πρώτη μὲν ἀμφὶ Κανύσιον τοῖς ἀνθυπάτοις πρὸς Νωρβανὸν ἐγίγνετο μάχη· καὶ θνήσκουσι Νωρβανοῦ μὲν ἑξακισχίλιοι, τῶν δ' ἀμφὶ τὸν Σύλλαν, ἑβδομήκοντα· τραυματίαι δ' ἐγένοντο πολλοί. καὶ Νωρβανὸς ἐς Καπύην ἀνέζευξε.

cap. 85. Cum L. Scipione de concordia agunt Proconsules, dissensionem excitaturi in Consulis exercitu.

Σύλλᾳ δὲ καὶ Μετέλλῳ περὶ τὸ Τέανον οὖσι Λεύκιος Σκιπίων ἐπήει, μεθ' ἑτέρου στρατοῦ, πάνυ ἀθύμως ἔχοντος, καὶ ποθοῦντος εἰρήνην γενέσθαι. αἰσθόμενοι δ' οἱ περὶ τὸν Σύλλαν, πρὸς τὸν Σκιπίωνα περὶ συμβάσεων ἐπρέσβευον, οὐχ οὕτως ἐλπίζοντες ἢ χρῄζοντες, ὡς στασιάσειν προσδοκῶντες αὐτοῦ τὸν στρατὸν ἀθύμως ἔχοντα. ὃ καὶ συνηνέχθη γενέσθαι. Σκιπίων μὲν γὰρ ὅμηρα τῆς συνόδου λαβὼν, ἐς τὸ πεδίον κατήει· καὶ συνῆσαν τρεῖς ἑκατέρωθεν, ὅθεν οὐδὲ γνῶναι τὰ λεχθέντα συνέβη. ἐδόκει δ' ἀναθέμενος ὁ Σκιπίων ἐς Νωρβανὸν τὸν σύναρχον περὶ τῶν λελεγμένων πέμψαι Σερτώριον ἀπαγγελοῦντα· καὶ ὁ στρατὸς ὁ ἑκατέρων ἡσυ-

Digitized by Google

ἡσύχαζε, τὰς ἀποκρίσεις ἀναμένοντες. Σερτωρίου δ' ἐν παρόδῳ Σύεσσαν, ἣ τὰ Σύλλα ᾕρητο, καταλαβόντος· ὁ μὲν Σύλλας ᾐτιᾶτο πέμπων ἐς τὸν Σκιπίωνα. ὁ δὲ, εἴτε τῷ γενομένῳ συνεγνωκὼς, εἴτε ἀποκρίσεως ἀπορῶν, ὡς ἐπὶ ἀλλοκότῳ δὴ τῷ Σερτωρίου ἔργῳ, τὰ ὅμηρα ἀπέπεμπε τῷ Σύλλᾳ. καὶ αὐτίκα ὁ στρατὸς αὐτοῦ, τῇ τε τῆς Συέσσης ἐν σπονδαῖς ἀλόγῳ καταλήψει, καὶ τῇ τῶν ὁμήρων οὐκ ἀπαιτουμένων ἀποπέμψει, τοὺς ὑπάτους ἔχοντες ἐν αἰτίαις, κρύφα τῷ Σύλλᾳ συνετίθεντο, μεταθήσεσθαι πρὸς αὐτὸν, εἰ πελάσειε. καὶ προσιόντος, αὐτίκα πάντες ἀθρόως μετέστησαν· ὡς τὸν ὕπατον Σκιπίωνα, καὶ τὸν υἱὸν αὐτοῦ Λεύκιον, μόνους ἐκ τοῦ στρατοῦ παντὸς ἐν τῇ σκηνῇ διηπορημένους Σύλλαν καταλαβεῖν. καί μοι δοκεῖ τόδε οὐ στρατηγοῦ παθεῖν ὁ Σκιπίων, ἀγνοήσας ὅλου στρατοῦ τοσήνδε συνθήκην.

Induciis durantibus Suessam, a Syllae partibus stantem, occupat Sertorius; & Scipio a Sylla objurgatus reddit obsides, quibus rebus offensus Scipionis exercitus ad Syllam transit, & Consul cum filio a Syllanis deprehenditur.

Σκιπίωνα μὲν δὴ μετὰ τοῦ παιδὸς, οὐ μεταπείθων ὁ Σύλλας, ἀπέπεμπεν ἀπαθῆ. καὶ πρὸς Νωρβανὸν ἐς Καπύην περὶ συμβάσεων ἔπεμπεν ἑτέρους, εἴτε δείσας, τῆς πλέονος Ἰταλίας ἔτι τοῖς ὑπάτοις συνισταμένης, εἴτε καὶ ἐς τόνδε, καθάπερ ἐς τὸν Σκιπίωνα, τεχνάζων. οὐδενὸς δ' αὐτῷ προσιόντος οὐδ' ἐς ἀπόκρισιν, (ὁ γάρ τοι Νωρβανὸς, ὡς ἔοικε, μὴ διαβληθείη τὰ ὅμοια ἐς τὸν στρατὸν, ἔδεισεν·) ἀναστήσας Σύλλας ἐχώρει πρόσω, τὰ πολέμια πάντα δῃῶν· τὸ δ' αὐτὸ καὶ Νωρβανὸς ἔπραττε κατ' ἄλλας ὁδούς. Κάρβων δὲ ἐς τὸ ἄστυ προδραμὼν, Μέτελλόν τε καὶ τοὺς ἄλλους, ὅσοι ὄντες ἀπὸ τῆς βουλῆς τῷ Σύλλᾳ συνῆσαν, ἐψηφίζετο εἶναι πολεμίους. αἷς ἡμέραις καὶ τὸ Καπιτώλιον ἐνεπίμπρατο· καὶ τὸ ἔργον τινὲς ἐλογοποίουν Κάρβωνος, ἢ τῶν ὑπάτων, ἢ Σύλλα πέμψαντος, εἶναι. τὸ δ' ἀκριβὲς ἄδηλον ἦν, καὶ οὐκ ἔχω τὴν αἰτίαν ἐγὼ συμβαλεῖν, δι' ἣν ἂν οὕτως ἐγένετο. Σερτώριος δ', ἐκ πολλοῦ στρατηγεῖν ᾑρημένος Ἰβηρίας, μετὰ τὴν Συέσσης κατάληψιν ἔφευγεν εἰς τὴν Ἰβηρίαν· καὶ αὐτὸν τῶν προτέρων στρατηγῶν οὐ δεχομένων, πολλοὺς ἐνταῦθα καὶ ὅδε Ῥωμαίοις ἀνεκίνησε πόνους. πλέονος δ' ἀεὶ τοῖς ὑπάτοις γιγνομένου στρατοῦ, ἀπό τε τῆς πλέονος Ἰταλίας ἔτι σφίσι συνεστώσης, καὶ ἀπὸ τῆς ὁμόρου περὶ τὸν Ἠριδανὸν Γαλατίας· οὐδ' ὁ Σύλλας ἠμέλει, περιπέμπων ἐς ὅσα δύναιτο τῆς Ἰταλίας, φιλίᾳ τε καὶ φόβῳ καὶ χρήμασι καὶ ἐλπίσιν ἀγείρων, μέχρι τὸ λοιπὸν τοῦ θέρους ἑκατέροις ἐς ταῦτα ἀνηλώθη. Τοῦ

cap. 86. Similem alterius exercitus defectionem sperans Sylla legatos de pace ad Norbanum Capuam mittit; sed nullum responsum fert: Sylla & Norbanus hostilia vastant. Metello aliisque patriae hostibus auctore Carbone declaratis, Capitolium deflagrat. Sertorius in Hispaniam suam provinciam profugit.

Utriusque factionis copiae augentur.

Digitized by Google

cap. 87. A. U. 672. ante Chr. 82. Coss. Papirius Carbo II. & Marius. Conflictus ad Aesim & ad Praeneste.

Τῦ δ' ἐπιόντος ἔτυς, ὕπατοι μὲν ἐγενέθην Παπίριός τε Κάρβων αὖθις, καὶ Μάριος ὁ ἀδελφιδῦς Μαρίυ τῦ περιφανῦς, ἑπτὰ καὶ εἴκοσιν ἔτη γεγονώς· χειμὼν δὲ καὶ κρύος πολὺ γενόμενον ἅπαντας ἀλλήλων διέστησεν. ἀρχομένυ δ' ἦρος, περὶ τὸν Αἰσῖνον ποταμὸν, ἐξ ἠῦς ἐπὶ μεσημβρίαν, ἀγὼν καρτερὸς ἐγένετο Μετέλλῳ τε καὶ Καῤῥίνᾳ, Κάρβωνος στρατηγῷ, πρὸς ἀλλήλυς. καὶ φεύγει μὲν ὁ Καῤῥίνας, πολλὺς ἀποβαλών· τὰ δὲ περίοικα πάντα ἐς τὸν Μέτελλον ἀπὸ τῶν ὑπάτων μετετίθετο. Μέτελλον δὲ Κάρβων καταλαβὼν, ἐφρύρει περικαθήμενος· ἕως τε, Μάριον τὸν ἕτερον ὕπατον μεγάλῃ μάχῃ περὶ Πραινεστὸν ἡττῆσθαι πυθόμενος, ἀνεστρατοπέδευεν εἰς Ἀρίμινον. καὶ τῦδε μὲν Πομπήϊος τῆς ὑραγίας ἐξαπτόμενος ἠνώχλει. ἡ δὲ περὶ Πραινεστὸν ἧσσα ὧδε ἐγένετο. Σύλλα Σήτιον καταλαβόντος, ὁ Μάριος ἀγχῦ στρατοπεδεύων, ὑπεχώρει κατ' ὀλίγον· ὡς δ' ἦλθεν ἐπὶ τὸν καλύμενον Ἱερὸν λιμένα, ἐξέτασσεν ἐς μάχην, καὶ ἠγωνίζετο προθύμως. ἀρχομένυ δ' ἐνδιδόναι τῦ λαιῦ μέρυς, σπεῖραι πέντε πεζῶν καὶ δύο ἱππέων, ὑκ ἀναμείνασαι τὴν τροπὴν ἐκφανῆναι, τά τε σημεῖα ἔῤῥιψαν ὁμῦ, καὶ πρὸς τὸν Σύλλαν μετετίθεντο. καὶ τόδ' εὐθὺς ἦρχε τῷ Μαρίῳ δυσχερῦς ἥττης. κοπτόμενοι γὰρ ἐς Πραινεστὸν ἔφευγον ἅπαντες, ἑπομένυ τῦ Σύλλα σὺν δρόμῳ. καὶ οἱ Πραινέσιοι τὺς μὲν πρώτυς αὐτῶν εἰσεδέξαντο· Σύλλα δ' ἐπικειμένυ, τὰς πύλας ἀπέκλεισαν, καὶ Μάριον καλωδίοις ἀνιμήσαντο. πολὺς δ' ἄλλος ἐκ τῦδε περὶ τοῖς τείχεσιν ἐγίγνετο φόνος. καὶ πλῆθος αἰχμαλώτων ὁ Σύλλας ἔλαβεν, ὧν τὺς Σαυνίτας ἔκτεινε πάντας, ὡς αἰεὶ χαλεπὺς Ῥωμαίοις γενομένυς.

cap. 88. Metellus Carbonis exercitum, Pompejus Marcium vincit. Marius a Lucretio Ofella oppugnatur, &, ne inimicos superstites relinquat, Romae eos

Ταῖς δ' αὐταῖς ἡμέραις καὶ Μέτελλος ἐνίκα ἕτερον Κάρβωνος στρατὸν, πέντε κἀνταῦθα σπειρῶν ἐν τῷ ἔργῳ σεσωσμένων ἐς Μέτελλον. Πομπήϊός τε Μάρκιον ἐνίκα περὶ πόλιν Σήνας, καὶ τὴν πόλιν διήρπαζεν. ὁ δὲ Σύλλας, τὸν Μάριον ἐς Πραινεστὸν κατακλείσας, τὴν πόλιν ἀπετάφρευε καὶ ἀπετείχιζεν ἐκ μακρῦ διαστήματος, καὶ Λυκρήτιον Ὀφέλλαν ἐπέστησε τῷ ἔργῳ, ὡς ὐκέτι μάχῃ παραστησόμενος Μάριον, ἀλλὰ λιμῷ. Μάριος δὲ, ὐδὲν χρηστὸν ἔτι προσδοκῶν, τὺς ἰδίυς ἐχθρὺς ἠπείγετο προανελεῖν·

νελεῦι· καὶ Βρούτῳ στρατηγοῦντι τῆς πόλεως ἐπέστελλε, σύγκλητον ὡς ἐπί τι ἄλλο συναγαγεῖν, καὶ κτεῖναι Πούπλιον Ἀντίστιον, καὶ Παπίριον Κάρβωνα ἕτερον, καὶ Λεύκιον Δομίτιον, καὶ Μούκιον Σκαιόλαν, τὸν τὴν μεγίστην Ῥωμαίοις ἱερωσύνην ἱερωμένον. οἱ μὲν δὴ δύο τῶνδε ἀνῃρέθησαν ἐν τῇ βουλῇ, καθὰ Μάριος προσέταξε, τῶν σφαγέων ἐς τὸ βουλευτήριον εἰσαχθέντων· Δομίτιος δ' ἐκτρέχων, παρὰ τὴν ἔξοδον ἀνῃρέθη, καὶ μικρὸν πρὸ τοῦ βουλευτηρίου Σκαιόλας. τά τε σώματα αὐτῶν ἐς τὸν ποταμὸν ἐῤῥίφη· ἐπεπόλαζε γὰρ ἤδη, μὴ θάπτεσθαι τοὺς ἀναιρουμένους. Σύλλας δὲ στρατὸν ἐς Ῥώμην κατὰ μέρη, δι' ἑτέρων καὶ ἑτέρων ὁδῶν, περιέπεμπεν· ἐντελλόμενος, τὰς πύλας καταλαβεῖν· εἰ δὲ ἀποκρουσθεῖεν, ἐπὶ Ὄσια χωρεῖν. τοὺς δὲ αἵ τε πόλεις παροδεύοντας ξὺν φόβῳ προσεδέχοντο, καὶ τὸ ἄστυ προσιοῦσι τὰς πύλας ἀνέῳξαν, ὑπό τε λιμοῦ πιεζόμενοι, καὶ τῶν παρόντων κακὰ ἄρα ἀεὶ τὰ ἐπικρατοῦντα φέρειν ἐθιζόμενοι.

trucidari jubet.

Sylla exercitum ad urbem ducit.

Σύλλας δ' ὡς ἔμαθεν, αὐτίκα ἐπελθὼν, τὴν μὲν στρατιὰν ἵδρυσε πρὸ τῶν πυλῶν ἐν τῷ Ἀρείῳ πεδίῳ· αὐτὸς δ' εἴσω παρῆλθεν, ἐκφυγόντων τῶν ἀντιστασιωτῶν ἁπάντων. καὶ τὰ μὲν τούτων αὐτίκα ἐδημεύετο καὶ διεπιπράσκετο. τὸν δὲ δῆμον ἐς ἐκκλησίαν συναγαγὼν, τήν τε ἀνάγκην τῶν παρόντων ὠλοφύρετο, καὶ θαῤῥεῖν προσέταξεν, ὡς αὐτίκα τῶνδε παυσομένων, καὶ τῆς πολιτείας ἐς τὸ δέον ἐλευσομένης. διοικησάμενος δ' ὅσα ἤπειγε, καὶ τῇ πόλει τινὰς ἐπιστήσας τῶν ἑαυτοῦ, ἐξώρμησεν (ἐς χώρας), ἔνθα τοῦ πολέμου τὰ λοιπὰ ἤκμαζεν.

cap. 89. Sylla, exercitu ante portas collocato, urbem ingreditur, & convocatæ concioni promittit finem malorum propediem futurum, & restitutam rempublicam.

Ἠνυσμένων δὲ τῶν ἀμφὶ τὴν Ἰταλίαν, πολέμοις καὶ πυρὶ καὶ φόνῳ πολλῷ, οἱ μὲν τοῦ Σύλλα στρατηγοὶ τὰς πόλεις ἐπιόντες, τὰ ὕποπτα ἐφρούρουν, καὶ Πομπήϊος ἔς τε Λιβύην ἐπὶ Κάρβωνα, καὶ ἐς Σικελίαν ἐπὶ τοὺς ἐκεῖ Κάρβωνος φίλους ἐστέλλετο. αὐτὸς δὲ ὁ Σύλλας, Ῥωμαίους ἐς ἐκκλησίαν συναγαγὼν, πολλὰ ἐμεγαληγόρησεν ἐφ' ἑαυτῷ, καὶ φοβερὰ ἐς κατάπληξιν εἶπεν ἕτερα· καὶ ἐπήνεγκεν, ὅτι τὸν μὲν δῆμον ἐς χρηστὴν ἄξει μεταβολὴν, εἰ πείθοιντό οἱ· τῶν δ' ἐχθρῶν οὐδενὸς ἐς ἔσχατα κακοῦ φείσεται, ἀλλὰ καὶ τοὺς στρατηγοὺς, ἢ ταμίας, ἢ χιλιάρχους, ἢ ὅσοι τι συνέπραξαν ἄλλο τοῖς πολεμίοις,

cap. 95. Confecto per Italiam bello & impositis locis suspectis præsidiis, Pompejus contra Carbonem ceterosque Marianos in Africam & Siciliam mittitur.

Digitized by Google

Sylla oratione pro concione habita, proscribit senatores & equites. Proscriptorum status flebilis.

μεθ' ἣν ἡμέραν Σκιπίων ὁ ὕπατος ἐκ ἐνέμεινε τοῖς πρὸς αὐτὸν ὡμολογημένοις, μετελεύσεσθαι κατὰ κράτος. ταῦτα δ' εἰπὼν, αὐτίκα βελευτὰς ἐς τεσσαράκοντα, καὶ τῶν καλεμένων ἱππέων ἀμφὶ χιλίες καὶ ἑξακοσίες ἐπὶ θανάτῳ πρέγραφεν. ἔτος γὰρ δοκεῖ πρῶτος, ἕς ἐκόλασε, θανάτῳ προγράψαι, καὶ γέρα τοῖς ἀναιρἕσι καὶ μήνυτρα τοῖς ἐλέγχεσι, καὶ κολάσεις τοῖς κρύπτεσιν ἐπιγράψαι. μετ' ἐ πολὺ δὲ βελευτὰς ἄλλες αὐτοῖς προσετίθει. καὶ τῶνδε, οἱ μὲν, ἀδοκήτως καταλαμβανόμενοι, διεφθείροντο, ἔνθα συνελαμβάνοντο, ἐν οἰκίαις, ἢ ϛενωποῖς, ἢ ἱεροῖς· οἱ δὲ, μετέωροι πρὸς τὸν Σύλλαν φερόμενοί τε, καὶ πρὸ ποδῶν αὐτἕ ῥιπτέμενοι· οἱ δὲ καὶ ἐσύροντο καὶ κατεπατἕντο· ἐδὲ φωνὴν ἔτι τῶν θεωμένων ἐδενὸς ἐπὶ τοσοῖσδε κακοῖς ἔχοντος, ὑπ' ἐκπλήξεως. ἐξέλασίς τε ἑτέρων ἦν, καὶ δήμευσις τῶν ἑτέροις ὄντων. ἐπὶ δὲ τὲς τῆς πόλεως ἐκφυγόντας ζητηταὶ πάντα μαϛεύοντες διέθεον· καὶ ὅσες αὐτῶν λάβοιεν, ἀνῄρεν.

Cap. 96. Italicorum sociorum cædes, direptio & expulsio.

Πολλὴ δὲ καὶ τῶν Ἰταλιωτῶν ἀναίρεσίς τε καὶ ἐξέλασις καὶ δήμευσις ἦν, ὅσοι τι Κάρβωνος, ἢ Νωρβανἕ, ἢ Μαρίε, ἢ τῶν ὑπ' ἐκείνοις ϛρατηγἕντων, ὑπήκεσαν. κρίσεις τε ἦσαν ἐπὶ τἕτοις ἀνὰ τὴν Ἰταλίαν ὅλην πικραὶ, καὶ ἐγκλήματα ποικίλα, ϛρατηγίας, ἢ ϛρατείας, ἢ εἰσφορᾶς χρημάτων, ἢ ἄλλης ὑπηρεσίας, ἢ βελεύσεως ὅλως κατὰ Σύλλα. ἐγκλήματα δ' ἦν καὶ ξενία, καὶ φιλία, καὶ δάνεισμα, λαβόντος ἢ δόντος. ἤδη δέ τις καὶ προθυμίας ἢ μόνης συνοδίας ἡλίσκετο. καὶ ταῦτ' ἤκμαζε μάλιϛα κατὰ τῶν πλεσίων. ὡς δ' ἐξέλιπε τὰ καθ' ἕνα ἄνδρα ἐγκλήματα, ἐπὶ τὰς πόλεις ὁ Σύλλας μετῄει, καὶ ἐκόλαζε καὶ τάσδε, τῶν μὲν ἀκροπόλεις κατασκάπτων, ἢ τείχη καθαιρῶν, ἢ κοινὰς ζημίας ἐπιτιθεὶς, ἢ εἰσφοραῖς ἐκτρύχων βαρυτάταις· ταῖς δὲ πλείοσι τὲς ἑαυτῷ ϛρατευσαμένες ἐπῴκιζεν, ὡς ἕξων φρέρια κατὰ τῆς Ἰταλίας· τήν τε γῆν αὐτῶν καὶ τὰ οἰκήματα ἐς τέσδε μεταφέρων διεμέριζεν. ὃ καὶ μάλιϛ' αὐτὲς εὔνες αὐτῷ καὶ τελευτήσαντι ἐποίησεν· ὡς γὰρ ἐχ ἕξοντες αὐτὰ βεβαίως, εἰ μὴ πάντ' εἴη τὰ Σύλλα βέβαια, ὑπερηγωνίζοντο αὐτἕ καὶ μεταςάντος. καὶ τάδε μὲν ἦν ἀμφὶ τὴν Ἰταλίαν.

Per plerasque eorum civitates Sylla distribuit veteranos suos, ut in sua potestate Italiam contineat.

Pompejus Carbonem

Κάρβωνα δ' ἐκ Λιβύης ἐς Σικελίαν, μετὰ πολλῶν ἐπιφανῶν,

Digitized by Google

φανῶν, καὶ ἀπ' αὐτῆς ἐς Κοσσύραν νῆσον ὑποφεύγοντα, πέμψας τινὰς ὁ Πομπήϊος συνέλαβε. καὶ τοὺς μὲν ἄλλους τοῖς ἄγουσιν ἐκέλευσεν, οὐδ' ἐς ὄψιν οἱ προσαχθέντας, ἀνελεῖν· Κάρβωνα δὲ παραστησάμενος αὐτοῦ τοῖς ποσὶ, δεσμώτην τρισύπατον, ἐπεδημηγόρησε, καὶ κατέκανε, καὶ τὴν κεφαλὴν ἐς Σύλλαν ἔπεμψεν.

ejusque amicos ex Africa in Siciliam pulsos e medio tollit.

Ὁ δ', ἐπεὶ οἱ πάντα ὡς ἐβούλετο ἐπὶ τοῖς ἐχθροῖς διῴκητο, καὶ πολέμιον οὐδὲν ἦν ἔτι, πλὴν Σερτωρίου, μακρὰν ὄντος· Μέτελλον μὲν ἐπὶ τοῦτον ἐξέπεμπεν ἐς Ἰβηρίαν· τὰ δ' ἐν τῇ πόλει καθίστατο ἅπαντα ἐφ' ἑαυτοῦ, καθ' ὃν ἐβούλετο τρόπον. νόμου γὰρ ἢ χειροτονίας ἢ κλήρου λόγος οὐκ ἦν ἔτι, πεφρικότων ὑπὸ δέους πάντων, καὶ κρυπτομένων, ἢ σιωπώντων· οἳ καὶ πάντα, ὅσα διῴκησεν ὁ Σύλλας ὑπατεύων τε καὶ ἀνθυπατεύων, βέβαια καὶ ἀνεύθυνα ἐψηφίζοντο εἶναι, εἰκόνα τε αὐτοῦ ἐπίχρυσον ἐπὶ ἵππου πρὸ τῶν ἐμβόλων ἀνέθεσαν, καὶ ὑπέγραψαν, ΚΟΡΝΗΛΙΟΥ ΣΥΛΛΑ ἩΓΕΜΟΝΟΣ ἘΥΤΥΧΩΥΣ. ὧδε γὰρ αὐτὸν οἱ κόλακες, διευτυχοῦντα ἐπὶ τοῖς ἐχθροῖς, ὠνόμαζον· καὶ προῆλθεν ἐς βέβαιον ὄνομα ἡ κολακεία. ἤδη δέ που γραφῇ περιέτυχον, ἡγουμένῃ, τὸν Σύλλαν Ἐπαφρόδιτον ἐν τῷδε τῷ ψηφίσματι ἀναγραφῆναι. καὶ οὐκ ἀπεικὸς ἐφαίνετό μοι καὶ τόδε, ἐπεὶ καὶ Φαῦστος ἐπωνομάζετο· δύναται δὲ τοῦ αἰσίου καὶ ἐπαφροδίτου ἀγχοτάτω μάλιστα εἶναι τὸ ὄνομα.

cap. 97. Sylla Metellum contra unicum adhuc superstitem hostem, Sertorium in Hispania, mittit, solusque res urbanas ordinat.

Ὁ δὲ, ἔργῳ βασιλεὺς ὢν ἢ τύραννος, οὐχ αἱρετὸς, ἀλλὰ δυνάμει καὶ βίᾳ· δεόμενος δ' ἄρα καὶ τοῦ προσποιήματος αἱρετὸς εἶναι δοκεῖν, ὧδε καὶ τόδε ἐμηχανήσατο. Ῥωμαίοις πάλαι κατ' ἀρετὴν ἦσαν οἱ βασιλέες. καὶ ὁπότε τις αὐτῶν ἀποθάνοι, βουλευτὴς ἕτερος παρ' ἕτερον ἐπὶ πέντε ἡμέρας ἦρχεν· ἕως τινὰ ἄλλον ὁ δῆμος δοκιμάσειε βασιλεύειν. καὶ τόνδε τὸν πενθήμερον ἄρχοντα Ἰντέρρηγα ἐκάλουν· εἴη δ' ἄν, ἐν τοσῷδε βασιλεύς. ἀρχαιρέσια δ' ὑπάτων οἱ λήγοντες τῆς ἀρχῆς ἀεὶ προυτίθεσαν· καὶ εἴ ποτε κατὰ συντυχίαν ὕπατος οὐκ εἴη, ὅδε ὁ ἐν τοσῷδε βασιλεὺς καὶ τότε ἐγίγνετο ἐς τὴν τῶν ὑπάτων χειροτονίαν. οὔτε δὴ τοῦ εὐθὺς ἐπιβαίνων ὁ Σύλλας, ὑπάτων οὐκ ὄντων, ἐπεὶ καὶ Κάρβων ἐν Σικελίᾳ καὶ Μάριος κατὰ Πραινεστὸν ἐτεθνήκεσαν, αὐτὸς μέν που τῆς πόλεως ὑπεξῆλθε, τῇ δὲ

cap. 98. Sylla, ut ad imperium, quo potitus erat, legitime electus videatur, paulisper egressus ex urbe senatum jubet interregem creare; quo facto interregi scribit, e republica videri Dictatorem ad indefinitum tempus dici, nec se defuturum reipublicæ.

Digitized by Google

βυλῇ προσέταξεν ἑλέθαι τὸν καλύμενον Μεταξὺ βασιλέα. ἡ μὲν δὴ Ὀυαλέριον Φλάκκον εἵλετο, ἐλπίσασα ὑπάτων προτεθήσεθαι χειροτονίαν. ὁ δὲ Σύλλας ἐπέσελλε τῷ Φλάκκῳ, γνώμην ἐς τὸν δῆμον ἐσενεγκεῖν, ὅτι χρήσιμον ἡγοῖτο Σύλλας ἐν τῷ παρόντι ἔσεθαι τῇ πόλει τὴν ἀρχὴν ὓς ἐκάλυν Δικτάτωρας, παυσάμενον ἔθος ἐκ - - ἐτῶν· ὃν δὲ ἕλοιντο, ἐκέλευεν ἄρχειν ὐκ ἐς χρόνον ῥητὸν, ἀλλὰ μέχρι τὴν πόλιν καὶ τὴν Ἰταλίαν καὶ τὴν ἀρχὴν ὅλην στάσεσι καὶ πολέμοις σεσαλευμένην στηρίσειεν. ὁ μὲν δὴ νῦς τὴν γνώμην ἐς αὐτὸν ἔφερε τὸν Σύλλαν, καὶ ὐδ' ἀμφίβολον ἦν. ὁ δὲ Σύλλας, ὐ κατασχὼν αὐτῦ, καὶ τὰτ' ἐν τέλει τῆς ἐπιστολῆς ἀνεκάλυπτεν, ὅτι οἱ δοκοίη μάλιστ' ἂν αὐτὸς τῇ πόλει καὶ ἐν τῷδε γενέθαι χρήσιμος.

cap. 99. Sylla igitur Dictator creatur legibus perferendis constituendæque reipublicæ.

Ὁ μὲν δὴ τάδε ἐπέστελλε. Ῥωμαῖοι δ', ὐχ ἑκόντες μὲν, ὐδὲ κατὰ νόμον ἔτι χειροτονῦντες ὐδὲν, ὐδ' ἐπὶ σφίσιν ἡγέμενοι τὸ ἔργον ὅλως· ἐν δὲ τῇ πάντων ἀπορίᾳ τὴν ὑπόκρισιν τῆς χειροτονίας, ὡς ἐλευθερίας εἰκόνα καὶ πρόσχημα, ἀσπασάμενοι· χειροτονῦσι τὸν Σύλλαν ἐς ὅσον θέλοι τύραννον αὐτοκράτορα. τύραννος μὲν γὰρ ἡ τῶν Δικτατώρων ἀρχὴ καὶ πάλαι, ὀλίγῳ χρόνῳ ὁριζομένη· τότε δὲ πρῶτον ἐς ἀόριστον ἐλθῦσα, τυραννὶς ἐγίγνετο ἐντελής. τοσόνδε μέν τοι προσέθεσαν, ἐς εὐπρέπειαν τῦ ῥήματος, ὅτι αὐτὸν αἱροῖντο δικτάτωρα ἐπὶ θέσει νόμων, ὧν αὐτὸς ἐφ' ἑαυτῦ δοκιμάσειε, καὶ καταστάσει τῆς πολιτείας. ὕτω μὲν δὴ Ῥωμαῖοι, βασιλεῦσιν ὑπὲρ τὰς ἑξήκοντα ὀλυμπιάδας χρησάμενοι, ἐπὶ δ' ἐκείνοις δημοκρατίᾳ τε καὶ ὑπάτοις ἐτησίοις προστάταις ἐς ἄλλας ἑκατὸν ὀλυμπιάδας, αὖθις ἐπειρῶντο βασιλείας· ὀλυμπιάδων ὔσῶν ἐν Ἕλλησιν ἑκατὸν ἑβδομήκοντα πέντε· καὶ ὐδενὸς ἐν Ὀλυμπίᾳ τότε ἀγωνίσματος, πλὴν σταδίυ δρόμυ, γινομένυ. τὺς γὰρ ἀθλητὰς καὶ τὰ ἄλλα θεάματα πάντα ὁ Σύλλας ἐς Ῥώμην μετεκέκλητο, ἐπὶ δόξῃ τῶν Μιθριδατείων ἔργων ἢ τῶν Ἰταλικῶν. πρόφασις δ' ἦν, ἀναπνεῦσαι καὶ ψυχαγωγῆσαι τὸ πλῆθος ἐκ καμάτων.

cap. 100. Ut forma reipubl. manere videatur, Coss. creantur, quibus

Ὁ δ' ἐς μὲν πρόσχημα τῆς πατρίυ πολιτείας, ὑπάτυς αὐτοῖς ἐπέτρεψεν ἀποφῆναι· καὶ ἐγένοντο Μάρκος Τύλλιος καὶ Κορνήλιος Δολαβέλλας. αὐτὸς δ', οἷα δὴ βασιλεύων, δικτάτωρ ἐπὶ τοῖς ὑπάτοις ἦν. πελέκεις τε γὰρ

Digitized by Google

γὰρ ἐφέροντο πρὸ αὐτῦ, ὅια δικτάτωρος, ἔικοσι καὶ τέσσαρες, (ὅσοι καὶ τῶν πάλαι βασιλέων ἡγῦντο) καὶ φυλακὴν τῦ σώματος περιέθετο πολλήν. νόμυς τε ἐξέλυε, καὶ ἑτέρυς ἐτίθετο· καὶ ϛρατηγεῖν ἀπεῖπε πρὶν ταμιεῦσαι, καὶ ὑπατέυειν πρὶν ϛρατηγῆσαι· καὶ τὴν ἀρχὴν τὴν αὐτὴν αὖθις ἄρχειν ἐκώλυσε, πρὶν ἔτη δέκα διαγενέϑαι. τὴν δὲ τῶν δημάρχων ἀρχὴν ἴσα καὶ ἀνεῖλεν, ἀθενεϛάτην ἀποφήνας· καὶ νόμῳ κωλύσας, μηδεμίαν ἄλλην τὸν δήμαρχον ἀρχὴν ἔτι ἄρχειν. διὸ καὶ πάντες οἱ δόξης ἢ γένυς ἀντιποιύμενοι τὴν ἀρχὴν ἐς τὸ μέλλον ἐξετρέποντο. καὶ ὐκ ἔχω σαφῶς ἐιπεῖν, ἐι Σύλλας αὐτὴν, καθὰ νῦν ἐϛιν, ἐις τὴν βυλὴν ἀπὸ τῦ δήμυ μετήνεγκεν. αὐτῇ δὲ τῇ βυλῇ, διὰ τὰς ϛάσεις, καὶ τὺς πολέμυς πάμπαν ὀλιγανδρύσῃ, προσκατέλεξεν ἀμφὶ τὺς τριακοσίυς, ἐκ τῶν ἀρίϛων ἱππέων, ταῖς φυλαῖς ἀναδὺς ψῆφον περὶ ἑκάϛυ. τῷ δὲ δήμῳ τὺς δύλυς τῶν ἀνῃρημένων τὺς νεωτάτυς τε καὶ ἐυρώϛυς, μυρίων πλείυς, ἐλευθερώσας ἐγκατέλεξε, καὶ πολίτας ἀπέφηνε Ῥωμαίων· καὶ Κορνηλίυς ἀφ᾽ ἑαυτῦ προσεῖπεν, ὅπως ἑτοίμοις ἐκ τῶν δημοτῶν πρὸς τὰ παραγγελλόμενα μυρίοις χρῷτο. τὸ δ᾽ αὐτὸ καὶ περὶ τὴν Ἰταλίαν ἐπινοῶν, τέλεσι τοῖς ὑπὲρ ἑαυτῦ ϛρατευσαμένοις τρισὶ καὶ ἔικοσιν ἐπένειμεν, ὥς μοι προείρηται, πολλὴν ἐν ταῖς πόλεσι γῆν, τὴν μὲν, ἔτι ὖσαν ἀνέμητον, τὴν δὲ τὰς πόλεις ἀφαιρύμενος ἐπὶ ζημίᾳ.

tamen Dictator præest. A. U. 673. ante Chr. 81. Syllæ edicta.

In senatum ccc ex ordine equestri adlegit.

Plebi inserit ex proscriptorum servis decies mille à patrono Cornelios vocatos.

Legionibus per Italiam agros dividit.

Ἐς ἅπαντα δ᾽ ἦν ὗτω φοβερὸς καὶ ἄκρος ὀργὴν, ὡς καὶ Κόϊντον Λυκρήτιον Ὀφέλλαν, τὸν Πραινεϛὸν αὐτῷ λαβόντα καὶ Μάριον τὸν ὕπατον ἐκπεπολιορκηκότα, καὶ τὸ τέλος αὐτῷ τῆς νίκης συναγαγόντα, ὑπατέυειν ἔτι ἱππέα ὄντα, πρὶν ταμιεῦσαι καὶ ϛρατηγῆσαι, διὰ τὸ μέγεθος τῶν ἐιργασμένων, κατὰ παλαιὸν ἔθος ἀξιῦντα, καὶ τῶν πολιτῶν δεόμενον, ἐπεὶ κωλύων καὶ ἀνατιθέμενος ὐ μετέπειθεν, ἐν ἀγορᾷ μέσῃ κτεῖναι. καὶ συναγαγὼν τὸ πλῆθος ἐς ἐκκλησίαν, ἔιπεν· "ἴϛε μὲν, ὦ ἄνδρες, καὶ παρ᾽ ἐμῦ δὲ ἀκύσατε, ὅτι Λυκρήτιον ἐγὼ κατέκανον ἀπειθῦντά μοι." καὶ λόγον ἔιπε· "Φθεῖρες γεωργὸν ἀροτριῶντα ὑπέδακνον· ὁ δὲ δὶς μὲν (ἔφη) τὸ ἄροτρον μεθεὶς, τὸν χιτωνίσκον ἐκάθηρεν. ὡς δὲ αὖθις ἐδάκνετο, ἵνα μὴ πολλάκις ἀργοίη, τὸν χιτωνίσκον ἔκαυσε. κἀγὼ τοῖς δὶς ἡττημέ-

cap. 101. Q. Lucretium Ofellam, de eo bene meritum, Sylla in medio foro interficit, quod contrà ejus edicta peccaverat.

Digitized by Google

Pro lubitu imperat.

τημένοις παραινῶ, τρίτε πυρὸς μὴ δεηθῆναι. "Σύλλας μὲν δὴ καὶ τοῖσδε καταπληξάμενος αὐτὰς, καθὰ ἐβέλετο ἦρχε. καὶ ἐθριάμβευσεν ἐπὶ τῷ Μιθριδατείῳ πολέμῳ. καὶ τινες αὐτῦ τὴν ἀρχὴν, ἀρνεμένην βασιλείαν ἐπισκώπτοντες ἐκάλεν· ὅτι τὸ τῦ βασιλέως ὄνομα μόνον ἐπικρύπτοι. οἱ δ' ἐπὶ τὐναντίον ἀπὸ τῶν ἔργων μετέφερον, καὶ τυραννίδα ὁμολογῦσαν ἔλεγον.

cap. 102. Mala tam urbi quam Italiæ & provinciis Sullano bello illata.

Ἐς τοσῦτον αὐτοῖς τε Ῥωμαίοις καὶ Ἰταλοῖς ἅπασιν ὁ πόλεμος ὅδε πρῦβη κακῦ· πρῦβη δὲ καὶ τοῖς ὑπὲρ τὴν Ἰταλίαν ἔθνεσιν ἅπασιν, ἄρτι μὲν ὑπὸ λῃςῶν καὶ Μιθριδάτε καὶ Σύλλα πεπολεμημένοις, ἄρτι δ' ἀπορῦντος τῦ ταμιεία διὰ τὰς ςάσεις ἐκτετρυχωμένοις εἰσφοραῖς πολλαῖς. ἔθνη τε γὰρ πάντα, καὶ βασιλεῖς ὅσοι σύμμαχοι, καὶ πόλεις ἐχ ὅσαι μόνον ὑποτελεῖς, ἀλλὰ καὶ ὅσαι ἑαυτὰς ἐγκεχειρίκεσαν ἐπὶ συνθήκαις ἔνορκοι, καὶ ὅσαι διὰ συμμαχίαν ἤ τινα ἀρετὴν ἄλλην αὐτόνομοί τε καὶ φόρων ἦσαν ἀτελεῖς, τότε πᾶσαι συντελεῖν ἐκελεύοντο καὶ ὑπακέειν· χώρας τε ἔνιαι καὶ λιμένων κατὰ συνθήκας σφίσι δεδομένων ἀφῃρῦντο. Σύλλας δὲ καὶ Ἀλέξανδρον, τὸν Ἀλεξάνδρε τῦ ἐν Αἰγύπτῳ βασιλεύσαντος υἱὸν, ἀνατραφέντα μὲν ἐν Κῷ, καὶ ὑπὸ Κώων ἐκδοθέντα Μιθριδάτῃ, διαφυγόντα δὲ πρὸς Σύλλαν ἐκ Μιθριδάτε, καὶ συνήθη γενόμενον, ἐψηφίσατο βασιλεύειν Ἀλεξανδρέων· ἐρήμε τῆς Ἀλεξανδρέων ἀρχῆς ἀνδρὸς ἔσης, καὶ τῶν γυναικῶν, ὅσαι βασιλεία γένες, ἀνδρὸς συγγενῦς δεομένων· ἐλπίσας χρηματιεῖσθαι πολλὰ ἐκ βασιλείας πολυχρύσε. ἀλλὰ τόνδε μὲν οἱ Ἀλεξανδρεῖς, ἐννεακαιδεκάτην ἡμέραν ἔχοντα τῆς ἀρχῆς, καὶ ἀτοπώτερον σφῶν, οἷα Σύλλᾳ πεποιθότα, ἐξηγέμενον, ἐς τὸ γυμνάσιον ἐκ τῦ βασιλεία προαγαγόντες ἔκτειναν. ὅτως ἔτι καὶ [οἵ]δε, διά τε μέγεθος ἀρχῆς ἰδίας, καὶ τῶν ἔξωθεν κακῶν ἔτι ὄντες ἀπαθεῖς, ἀφόβως εἶχον ἑτέρων.

Alexander a Sylla Alexandrinis rex datus, ab Alexandrinis interimitur.

cap. 103. Sylla, quamvis Dictator, iterum fit Consul, assumto Collega Metello Pio. A. U. 674. ante Chr. 80.

Τῦ δ' ἐπιόντος ἔτες Σύλλας, καίπερ ὢν δικτάτωρ, ἐς ὑπόκρισιν ὅμως καὶ σχῆμα δημοκρατικῆς ἀρχῆς, ὑπέςη καὶ ὕπατος αὖθις γενέσθαι σὺν Μετέλλῳ τῷ Εὐσεβεῖ. καὶ ἀπὸ τῦδε ἴσως ἔτι νῦν οἱ Ῥωμαίων βασιλέες, ὑπάτες ἀποφαίνοντες τῇ πατρίδι, ἔςιν ὅτε καὶ ἑαυτὲς ἀποδεικνύεσιν· ἐν καλῷ τιθέμενοι, μετὰ τῆς μεγίςης ἀρχῆς καὶ ὑπατεῦσαι.

τῦ

τῷ δ' ἑξῆς ἔτει, ὁ μὲν δῆμος καὶ τότε τὸν Σύλλαν θεραπεύων ᾑρεῖτο ὑπατεύειν· ὁ δὲ, οὐκ ἀνασχόμενος, ὑπάτους μὲν αὐτοῖς ἀπέφηνε Σερουΐλιον Ἰσαυρικὸν καὶ Κλαύδιον Πούλχρον· αὐτὸς δὲ τὴν μεγάλην ἀρχὴν, οὐδενὸς ἐνοχλοῦντος, ἑκὼν ἀπέθετο. καί μοι θαῦμα μὲν καὶ τόδε αὐτοῦ καταφαίνεται, τοσήνδε ἀρχὴν πρῶτον ἀνδρῶν καὶ μόνον ἐς τότε Σύλλαν, οὐδενὸς ἐπείγοντος, ἀποθέσθαι, οὐ παισὶν, (ὡς Πτολεμαῖος ἐν Αἰγύπτῳ, καὶ Ἀριοβαρζάνης ἐν Καππαδοκίᾳ, καὶ Σέλευκος ἐν Συρίᾳ·) ἀλλ' αὐτοῖς τοῖς τυραννουμένοις. ἄλογον δ' ἤδη καὶ τὸ, βιασάμενον ἐς τὴν ἀρχὴν ῥιψοκινδύνως, ἐπεὶ τε ἐγκρατὴς ἐγένετο, ἑκόντα ἀποθέσθαι. καὶ παράδοξον, οἷον οὔπω τι ἕτερον, τὸ μὴ δεῖσαι, νεότητος ἐν τῷδε τῷ πολέμῳ πλέον μυριάδων δέκα ἀνῃρημένης, καὶ τῶν ἐχθρῶν αὐτὸν ἀνελόντα βουλευτὰς μὲν ἐννενήκοντα, ὑπάτους δ' ἐς πεντεκαίδεκα, ἀπὸ δὲ τῶν καλουμένων ἱππέων δισχιλίους καὶ ἑξακοσίους, σὺν τοῖς ἐξεληλαμένοις· ὧν τῆς τε περιουσίας δεδημευμένης, καὶ πολλῶν ἀτάφων ἐκριφέντων, οὔτε τοὺς οἴκοι Σύλλας, οὔτε τοὺς φεύγοντας καταπλαγεὶς, οὐδὲ τὰς πόλεις, ὧν ἀκροπόλεις τε καὶ τείχη καὶ γῆν καὶ χρήματα καὶ ἀτελείας ἀφῄρητο· ἑαυτὸν ἀπέφηνεν ἰδιώτην.

A. U. 675. ante Chr. 79. Sylla a populo denuo Consul designatus, recusat illum magistratum, & Servilio Isaurico Appioque Claudio Coss. nominatis potestatem summam sponte deponit & ultro ad privatam vitam redit.

Τοσοῦτον ἦν ἐν τῷδε τῷ ἀνδρὶ τόλμης καὶ τύχης· ὅν γε φασὶν ἐπειπεῖν ἐν ἀγορᾷ, τὴν ἀρχὴν ἀποτιθέμενον, ὅτι καὶ λόγον, εἴ τις αἰτοίη, τῶν γεγονότων ὑφέξει· καὶ τὰς ῥάβδους καθελόντα καὶ τοὺς πελέκεας, τὴν φρουρὰν ἀπὸ τοῦ σώματος ἀπώσασθαι, καὶ μόνον μετὰ τῶν φίλων ἐς πολὺ ἐν μέσῳ βαδίσαι, θεωμένου τοῦ πλήθους καὶ καταπεπληγότος αὐτὸν καὶ τότε. ἀναχωροῦντα δ' ἐπὶ τὴν οἰκίαν μόλις ποτὲ μειράκιον ἐπεμέμφετο· καὶ οὐδενὸς αὐτὸ ἀπερύκοντος, ἐθάῤῥησε καὶ λοιδορούμενον αὐτῷ μέχρι τῆς οἰκίας ἐλθεῖν. ὁ δὲ, κατὰ τῶν μεγίστων ἀνδρῶν τε καὶ πόλεων ἄκρος ὀργὴν γενόμενος, εὐσταθῶς τὸ μειράκιον ἤνεγκε· καὶ τοσοῦτον, ἐσιὼν ἐς τὴν οἰκίαν, εἴτε ἀπὸ ξυνέσεως, εἴτε καὶ τύχῃ, καταμαντευόμενος τῶν ἐσομένων, ἀπεκρίνατο, ὅτι, Κωλύσει τὸ μειράκιον τόδε, ἕτερον ἄνδρα ἀρχὴν, τοιάνδε ἔχοντα ἀποθέσθαι. καὶ Ῥωμαίοις μὲν οὕτω γενέσθαι συνηνέχθη μετ' ὀλίγον, Γαΐου Καίσαρος τὴν ἀρχὴν οὐκέτι μεθέντος. ὁ δὲ Σύλλας μοι δοκεῖ, ἐς πάντα σφοδρὸς ὁμοῦ

cap. 104. Dixisse etiam, cum magistratum deponeret, fertur: paratum se, rationem actorum reddere.

Ab uno adulescentulo, nemine compescente, incusatus, hunc effecturum dicit, ne quis posthac talem magistratum deponat.

καὶ

καὶ δυνατὸς γενόμενος, ἐπιθυμῆσαι τύραννος ἐξ ἰδιώτε γενέθαι, καὶ ἰδιώτης ἐκ τυράννε, καὶ μετὰ τετ' ἐπ' ἐρημίας ἀγροίκε διαγενέθαι. διῆλθε γὰρ ἐς χωρία ἴδια ἐς Κύμην τῆς Ἰταλίας, καὶ ἐνταῦθα ἐπ' ἐρημίας θαλάσσῃ τε καὶ κυνηγεσίοις ἐχρῆτο· ἐ φυλασσόμενος ἄρα τὸν κατὰ ἄςυ ἰδιώτην βίον, ἐδ' ἀθενὴς ὢν αὖθις ἐς ὅ τι ὁρμήσειεν· ἐ δυνατὴ μὲν ἔτι ἡ ἡλικία, καὶ τὸ σῶμα εὔρωςον, ἀμφὶ δὲ τὴν Ἰταλίαν δυώδεκα μυριάδες ἀνδρῶν ἦσαν ἔναγχος ὑπεςρατευμένων, καὶ δωρεὰς μεγάλας καὶ γῆν πολλὴν παρ' αὐτε λαβόντων· ἕτοιμοι δ' οἱ κατὰ τὸ ἄςυ μύριοι Κορνήλιοι, καὶ ὁ ἄλλος αὐτε ςασιώτης λεὼς, εὔνες αὐτῷ καὶ φοβερὸς ὢν ἔτι τοῖς ἑτέροις, καὶ τὸ σφέτερον ἀδεὲς, ὧν τῷ Σύλλᾳ συνεπεπράχεσαν, ἐν τῷ Σύλλαν περιεῖναι τιθέμενοι. ἀλλά μοι δοκεῖ κόρον τε πολέμων καὶ κόρον ἀρχῆς καὶ κόρον ἄςεος λαβὼν, ἐπὶ τέλει καὶ ἀγροικίας ἐραθῆναι.

In secessu rustico prope Cumas post depositum imperium vixit.

cap. 105. A. U. 676. ante Chr. 78. Sylla ex vita decedit, ejusque cadaver in urbem,

Ἄρτι δ' ἀποσάντος αὐτε, Ῥωμαῖοι φόνε καὶ τυραννίδος ἀπαλλαγέντες, ἡσυχῇ πάλιν ἐπὶ ςάσεις ὑπερριπίζοντο ἑτέρας. καὶ ὕπατοι αὐτοῖς καθίςανται, Κόϊντός τε Κάτλος, ἀπὸ τῶν Συλλείων, καὶ Λέπιδος Αἰμίλιος, ἀπὸ τῶν ἐναντίων, ἐχθίςω τε ἀλλήλοιν, καὶ εὐθὺς ἀρξαμένω διαφέρεθαι. δῆλόν τε ἦν τι κακὸν ἕτερον ἐκ τεδε γενησόμενον. Σύλλας δ' ἐν τοῖς ἀγροῖς ἐνύπνιον ἔδοξεν ἰδεῖν, ὅτι αὐτὸν ὁ δαίμων ἤδη καλοίη· καὶ ὁ μὲν αὐτίκα μεθ' ἡμέραν τοῖς φίλοις τὸ ὄναρ ἐξειπὼν, διαθήκας συνέγραφεν ἐπειγόμενος, καὶ αὐτῆς ἡμέρας συνετέλει. σφραγισαμένῳ δ' αὐτὰς, περὶ ἑσπέραν πυρετὸς ἐμπίπτει· καὶ νυκτὸς ἐτελεύτησεν, ἑξήκοντα μὲν ἔτη βιώσας, εὐτυχέςατος δ' ἀνδρῶν ἔς τε τὸ τέλος αὐτὸ, καὶ ἐς τἄλλα πάντα, ὥσπερ καὶ ὠνομάζετο, γενέθαι δοκῶν· εἰ δή τις εὐτυχίαν ἡγοῖτο, τυχεῖν, ὅσων ἂν ἐθέλοι. γίγνεται δ' εὐθὺς ἐν ἄςει ςάσις ἐπ' αὐτῷ, τῶν μὲν ἄγειν ἀξιέντων τὸ σῶμα διὰ τῆς Ἰταλίας ἐπὶ πομπῇ, καὶ ἐς τὴν Ῥώμην ἐν ἀγορᾷ προτιθέναι, καὶ ταφῆς δημοσίας ἀξιεν· Λεπίδε δὲ καὶ τῶν ἀμφὶ Λέπιδον ἐνιςαμένων. ἐξενίκα δ' ὁ Κάτλος καὶ οἱ Σύλλειοι. καὶ ἐφέρετο ὁ νέκυς ὁ τε Σύλλα διὰ τῆς Ἰταλίας ἐς τὸ ἄςυ ἐπὶ κλίνης χρυσηλάτε, καὶ κόσμε βασιλικε. σαλπιγκταί τε πολλοὶ καὶ ἱππεῖς, καὶ ἄλλος ὅμιλος ἐκ ποδὸς ὡπλισμένος εἵπετο. οἵ τε ὑποςρατευσάμενοι αὐτῷ, πανταχό-

ταχόθεν ἐπὶ τὴν παραπομπὴν ὡπλισμένοι συνέθεον, καὶ, ὡς ἕκαστος ἀφικνοῖτο, εὐθὺς ἐς κόσμον καθίςαντο. ἄλλο τε πλῆθος, ὅσον ἐπ' ἐδενὶ ἔργῳ, συνέτρεχεν. ἡγεῖτο δ' αὐτῦ σημεῖα καὶ πελέκεις, ὅσοις περιὼν ἔτι καὶ ἄρχων ἐκοσμεῖτο.

Ὡς δ' ἐπὶ τὸ ἄςυ ἠνέχθη, ἐσεφέρετο μετὰ πομπῆς ἐνταῦθα δὴ μάλιςα ὑπερόγκε. ςέφανοί τε γὰρ δισχιλίων πλείες ἀπὸ χρυσῦ κατὰ σπεδὴν γενόμενοι παρεφέροντο, δῶρα τῶν πόλεων, καὶ τῶν ὑπ' αὐτῷ ςρατευσαμένων τελῶν, καὶ καθ' ἕνα τῶν φίλων· ἄλλη τε τῶν ἐς τὴν ταφὴν πεμφθέντων ἐ δυνατὴ φράσαι πολυτέλεια. καὶ τὸ σῶμα, δέει τῦ συνδραμόντος ςρατῦ, παρέπεμπον ἱερεῖς τε ἅμα πάντες καὶ ἱέρειαι, κατὰ σφᾶς αὐτῶν ἑκάτεροι· καὶ ἡ βελὴ πᾶσα, καὶ αἱ ἀρχαὶ, τὰ σφέτερα σημεῖα ἐπικείμενοι. κόσμῳ δ' ἄλλῳ τὸ τῶν καλεμένων ἱππέων πλῆθος εἵπετο· καὶ ὁ ςρατὸς ἐν μέρει πᾶς, ὅσος ὑπεςράτευτο αὐτῷ. συνέδραμον γὰρ σπεδῇ, τὸ ἔργον ἅπαντες ἐπειγόμενοι καταλαβεῖν, σημεῖά τε φέροντες ἐπίχρυσα, καὶ ὅπλα ἐπὶ σφίσι περιάργυρα, οἷς ἔτι νῦν ἐς τὰς πομπὰς εἰώθασι χρῆσθαι. σαλπιγκτῶν τε ἄπειρον ἦν πλῆθος, παρὰ μέρος ὑγρότατα καὶ πένθιμα μελωδέντων. βοῇ δ' ἐπευφήμεν, ἥ τε βελὴ πρώτη, καὶ οἱ ἱππέες ἐν μέρει, εἶθ' ὁ ςρατὸς, εἶθ' ὁ δῆμος· οἱ μὲν τῷ ὄντι Σύλλαν ἐπιποθῦντες, οἱ δὲ, δειμαίνοντες αὐτῦ καὶ τότε τὸν ςρατὸν καὶ τὸν νέκυν, ἐχ ἧττον ἢ περιόντος. ἔς τε γὰρ τὴν ὄψιν τῶν γιγνομένων ἀποβλέποντες, καὶ ἐς τὴν μνήμην, ὧν ἔδρασεν ὁ ἀνὴρ, ἐξεπλήττοντο· καὶ ὡμολόγεν τοῖς ἐναντίοις, εὐτυχέςατον αὐτὸν ἐκείνοις γενέσθαι, καὶ σφίσι καὶ τεθνεῶτα φοβερώτατον. ὡς δ' ἐπὶ τῦ βήματος, ἔνθα δημηγορῦσιν, ἐν ἀγορᾷ πρϋτέθη, τὲς μὲν ἐπιταφίες λόγες εἶπεν ὁ κράτιςος εἰπεῖν τῶν τότε· ἐπεὶ Φαῦςος, ὁ παῖς ὁ τῦ Σύλλα, νεώτατος ἦν ἔτι. τὸ δὲ λέχος ὑποδύντες ἀπὸ τῆς βελῆς ἄνδρες εὔρωςοι, διεκόμιζον ἐς τὸ πεδίον τὸ Ἄρειον, ἔνθα βασιλεῖς θάπτονται μόνοι· καὶ τὸ πῦρ οἵ τε ἱππεῖς καὶ ἡ ςρατιὰ περιέδραμον. καὶ Σύλλα μὲν τῦτο τέλος ἦν.

cap. 106. & splendida pompa funebri ad rogum in Campo Martio defertur.

Ἀπὸ δὲ τῆς πυρᾶς χωρῦντες εὐθὺς οἱ ὕπατοι λόγοις βλασφήμοις ἐς ἀλλήλες διεφέροντο, καὶ τὰ ἀςικὸν ἐς αὐτὲς διήρητο. Λέπιδος δὲ καὶ τὲς Ἰταλικὲς προσποιέμενος,

cap. 107. Coss. Lepidus & Catulus, mutuis conviciis altercan-

Digitized by Google

tes, divisa in eorum favorem urbana multitudine nec non populis Italiæ, a senatu jurejurando obstringuntur, ne bello res controversas decernant. Lepidus, Syllanos debellaturus, e provincia Transalpina Gallia, cum exercitu revertens, vincitur a Catulo non procul a campo Martio.

μενος, ἔλεγεν, ὅτι τὴν γῆν αὐτοῖς, ἣν ὁ Σύλλας ἀφῄρητο, ἀποδώσει. ἄμφω μὲν οὖν ἡ βουλὴ δείσασα, ὥρκωσε μὴ πολέμῳ διακριθῆναι. κληρωσάμενος δ' ὁ Λέπιδος τὴν ὑπὲρ Ἄλπεις Γαλατίαν, ἐπὶ τὰ ἀρχαιρέσια οὐ κατῄει, ὡς πολεμήσων τοῖς Συλλείοις τοῦ ἐπιόντος ἔτους ὑπὲρ τὸν ὅρκον ἀδεῶς· ἐδόκουν γὰρ ἐς τὸ τῆς ἀρχῆς ἔτος ὠρκῶσθαι. οὐ λανθάνων δ', ἐφ' οἷς ἐβούλευεν, ἐκαλεῖτο ὑπὸ τῆς βουλῆς· καὶ οὐδὲ αὐτὸς ἀγνοῶν, ἐφ' οἷς ἐκαλεῖτο, ᾔει μετὰ τοῦ στρατοῦ παντός, ὡς ἐς τὴν πόλιν ἐσελευσόμενος σὺν αὐτῷ. κωλυόμενος δέ, ἐκήρυξεν ἐς τὰ ὅπλα χωρεῖν, καὶ ἀντεκήρυττε Κάτλος. μικρόν τε πρὸ τοῦ Ἀρείου πεδίου μάχης αὐτοῖς γενομένης, ἡττώμενος ὁ Λέπιδος, καὶ οὐκ ἐς πολὺ ἔτι ἀντισχών, ἐς Σαρδὼ διέπλευσεν, ἔνθα νόσῳ τηκεδόνι χρώμενος ἀπέθανε. καὶ ὁ στρατὸς αὐτοῦ, μικρὰ κατὰ μέρος ἐνοχλήσας, διελύθη· τὸ δὲ κράτιστον Περπέννας ἐς Ἰβηρίαν ἤγαγε Σερτωρίῳ.

cap. 108. Bellum Sertorianum, A.U. 677-682. ante C. 77-72. Sertorius prætor in Hispaniam profectus, expulsis Syllanis prætoribus, Metello, a Sylla misso, repugnat strenue.

Λοιπὸν δ' ἐστὶ τῶν Συλλείων ἔργων τὸ Σερτωρίου, γενόμενον μὲν ὀκταετές, οὐκ εὐμαρὲς δὲ οὐδ' ἅμα Ῥωμαίοις, ἅτε μὴ πρὸς Ἴβηρας αὐτούς, ἀλλὰ καὶ τόδε ἐπ' ἀλλήλους καὶ πρὸς Σερτώριον· ὃς ᾕρητο μὲν Ἰβηρίας ἄρχειν, Κάρβωνι δ' ἐπὶ Σύλλᾳ συμμαχῶν, Σύεσσαν πόλιν ἐν σπονδαῖς κατέλαβε, καὶ φεύγων, ἐπὶ τὴν στρατηγίαν ᾤχετο. καὶ στρατὸν ἔχων ἔκ τε Ἰταλίας αὐτῆς, καί τινα ἄλλον ἐκ Κελτιβήρων ἀγείρας, τούς τε πρὸ ἑαυτοῦ στρατηγούς, οὐ παραδιδόντας οἱ τὴν ἀρχήν, ἐς χάριν Σύλλα, τῆς Ἰβηρίας ἐξέβαλε, καὶ πρὸς Μέτελλον ἐπιπεμφθέντα ὑπὸ Σύλλα ἀπεμάχετο γενναίως. περιώνυμος δὲ ὢν ἐπὶ τόλμῃ, βουλὴν κατέλεξεν ἐκ τῶν συνόντων οἱ φίλων, τριακοσίους· καὶ τήνδε ἔλεγεν εἶναι τὴν Ῥωμαίων βουλήν, καὶ ἐς ὕβριν ἐκείνης, Σύγκλητον ἐκάλει.

Auctis deinde Perpennæ ex Italia adventu copiis Sertorius Italiæ adeo imminet. Pompejus igitur cum novis copiis in Hisp. mittitur.

Σύλλα δ' ἀποθανόντος, καὶ Λεπίδου μετὰ Σύλλαν· στρατὸν ἔχων ἄλλον Ἰταλῶν, ὅσον αὐτῷ Περπέννας ὁ τοῦ Λεπίδου στρατηγὸς ἤγαγεν, ἐπίδοξος ἦν στρατεύσειν ἐπὶ τὴν Ἰταλίαν· εἰ μὴ δείσασα ἡ βουλή, στρατόν τε ἄλλον καὶ στρατηγὸν ἕτερον ἐπὶ τῷ προτέρῳ Πομπήϊον ἔπεμψεν ἐς Ἰβηρίαν, νέον μὲν ἔτι ὄντα, περιφανῆ δ' ἐξ ὧν ἐπὶ Σύλλα περί τε Λιβύην καὶ ἐν αὐτῇ Ἰταλίᾳ κατείργαστο.

Digitized by Google

Ὁ δὲ ἐς τὰ Ἄλπεια ὄρη μετὰ φρονήματος ἀνῄει, ȣ̓ κατὰ τὴν Ἀννίβȣ μεγαλȣργίαν, ἑτέραν δ' ἐχάρασσεν ἀμφὶ ταῖς πηγαῖς τȣ̃ τε Ῥοδανȣ̃ καὶ Ἠριδανȣ̃· οἳ ἀνίσχȣσι μὲν ἐκ τῶν Ἀλπείων ὀρῶν ȣ̓ μακρὰν ἀπ' ἀλλήλων, ῥεῖ δ' ὁ μὲν διὰ Κελτῶν τῶν ὑπὲρ Ἄλπεις εἰς τὴν Τυῤῥηνικὴν θάλασσαν, ὁ δὲ ἔνδοθεν τῶν Ἀλπείων, ἐπὶ τὸν Ἰόνιον, Πάδος ἀντὶ Ἠριδανȣ̃ μετονομασθείς. ἀφικομένȣ δ' ἐς Ἰβηρίαν, αὐτίκα ὁ Σερτώριος τέλος ὅλον, ἐπὶ χορτολογίαν ἐξιὸν, αὐτοῖς ὑποζυγίοις καὶ θεράπȣσι συνέκοψε· καὶ Λαύρωνα πόλιν, ἐφορῶντος αὐτȣ̃ Πομπηΐȣ, διήρπασε καὶ κατέσκαψεν. ἐκ δὲ τῆς πολιορκίας γυνή τις ἐνυβρίζοντος αὐτῇ τȣ̃ λαβόντος παρὰ φύσιν, τοῖς δακτύλοις ἐξέτεμε τὰς ὄψεις. καὶ ὁ Σερτώριος, τȣ̃ πάθȣς πυθόμενος, τὴν σπεῖραν ὅλην ἀγέρωχον ἐς τὰ τοιαῦτ' εἶναι νομιζομένην, καίπερ ȣ̓̃σαν Ῥωμαϊκὴν, κατέκανεν. καὶ τότε μὲν χειμῶνος ἐπιόντος διέστησαν.

cap. 109. Ad æmulationem Hannibalis alias fauces per Alpes aperit Pompejus.

Sertorius unam Pompepeji legionem concidit, eoque inspectante urbem Lauronem diruit.

Ἀρχομένȣ δ' ἦρος ἐπῄεσαν ἀλλήλοις, Μέτελλος μὲν καὶ Πομπήϊος, ἀπὸ τῶν Πυρηναίων ὀρῶν, ἔνθα διεχείμαζον· Σερτώριος δὲ καὶ Περπέννας, ἐκ Λυσιτανίας. καὶ συμβάλλȣσιν ἀλλήλοις περὶ πόλιν, ᾗ ὄνομα Σȣ́κρων. κτύπȣ δ' ἐν αἰθρίᾳ φοβερȣ̃ καὶ ἀστραπῶν παραλόγων γενομένων, τάδε μὲν ὡς ἐμπειροπόλεμοι διέφερον ἀκαταπλήκτως, πολὺν δ' ἀλλήλων φόνον ἐξειργάζοντο· μέχρι Μέτελλος μὲν Περπένναν ἐτρέψατο, καὶ τὸ στρατόπεδον αὐτȣ̃ διήρπαζεν. ὁ δὲ Σερτώριος ἐνίκα Πομπήϊον, καὶ ἐτρώθη δόρατι ἐς τὸν μηρὸν ἐπικινδύνως ὁ Πομπήϊος. καὶ τȣ̃το τέλος ἐγένετο τῆς τότε μάχης. ἔλαφος δ' ἦν λευκὴ χειροήθης τῷ Σερτωρίῳ καὶ ἄνετος· ἧς ἀφανȣ̃ς γενομένης, ὁ Σερτώριος ȣ̓κ αἴσιον ἑαυτῷ τιθέμενος, ἐβαρυθύμει τε καὶ ἐπ' ἀργίας ἦν, καὶ ταῦτ' ἐπιτωθαζόμενος ἐς τὴν ἔλαφον ὑπὸ τῶν πολεμίων. ὡς δ' ὤφθη διὰ δρυμῶν δρόμῳ φερομένη, ἀνά τε ἔδραμεν ὁ Σερτώριος, καὶ εὐθὺς, ὥσπερ αὐτῇ προκαταρχόμενος, ἠκροβολίσατο ἐς τȣ̀ς πολεμίȣς. ȣ̓ πολὺ δὲ ὕστερον ἀγῶνα μέγαν ἠγωνίσατο περὶ Σαγουντίαν, ἐκ μεσημβρίας ἐπὶ ἄστρα. καὶ αὐτὸς μὲν ἱππομαχῶν ἐκράτει τȣ̃ Πομπηΐȣ, καὶ ἔκτεινεν ἐς ἑξακισχιλίȣς, ἀποβαλὼν ἐς ἡμίσεας· Μέτελλος δὲ καὶ τότε Περπέννα περὶ πεντακισχιλίȣς διέφθειρε. καὶ ὁ Σερτώριος μετὰ τὴν μάχην τῆς ἐπιȣ-

cap. 110. A. U. 679. ante Chr. 75. Metellus Perpennam, Sertorius autem Pompejum profligat & tandem vincit.

ἐπιέσης ἡμέρας πολλὰς βαρβάρους προσλαβὼν, ἐπέδραμεν ἀδοκήτως τῷ Μετέλλου στρατοπέδῳ περὶ δείλην ἑσπέραν, ὡς ἀποταφρεύσων αὐτὸ συν τόλμῃ· Πομπηΐου δ' ἐπιδραμόντος, ἐπαύσατο τῆς καταφρονήσεως. καὶ τάδε μὲν αὐτοῖς ἦν τοῦδε τοῦ θέρους ἔργα, καὶ πάλιν ἐς χειμασίαν διεκρίθησαν.

cap. 111. A. U. 680. ante Chr. 74. DitioRomana Bithynia & Nicomedia aucta est, & bella plura simul gesta sunt, Sertorianum, Mithridaticum, Piraticum, Cretense, & cum gladiatoribus.

Τοῦ δ' ἐπιόντος ἔτους, ἕκτης ἑβδομηκοστῆς καὶ ἑκατοστῆς ὀλυμπιάδος οὔσης, δύο μὲν ἐκ διαθηκῶν ἔθνη Ῥωμαίοις προσεγίγνετο· Βιθυνία τε, Νικομήδους ἀπολιπόντος· καὶ Κυρήνη, Πτολεμαίου τοῦ Λαγίδου βασιλέως, ὃς ἐπίκλησιν ἦν Ἀπίων. πόλεμοι δ' ἤκμαζον, ἕτός τε ὁ Σερτωρίου περὶ Ἰβηρίαν, καὶ ὁ Μιθριδάτου περὶ τὴν ἀνατολὴν· καὶ ὁ τῶν λῃστῶν, ἐν ὅλῃ τῇ θαλάσσῃ· καὶ περὶ Κρήτην, πρὸς αὐτοὺς Κρῆτας, ἕτερος· καὶ ὁ τῶν μονομάχων ἀνὰ τὴν Ἰταλίαν, αἰφνίδιος αὐτοῖς καὶ ὅδε καὶ σφοδρὸς ὁμοῦ γενόμενος. διαιρούμενοι δ' ἐς τοσαῦτα, ὅμως καὶ ἐς Ἰβηρίαν ἔπεμψαν ἄλλα στρατοῦ δύο τέλη· μεθ' ὧν ἅμα τῷ ἄλλῳ παντὶ Μέτελλός τε καὶ Πομπήϊος αὖθις ἀπὸ τῶν Πυρηναίων ὀρῶν ἐπὶ τὸν Ἴβηρα κατέβαινον· Σερτώριος δὲ καὶ Περπέννας αὐτοῖς ἀπήντων ἀπὸ Λυσιτανίας. καὶ τότε μάλιστα πολλοὶ Σερτωρίου πρὸς τὸν Μέτελλον ηὐτομόλουν.

Multi Sertoriani ad Metellum transfugiunt.

cap. 112. Quo exasperatus Sertorius multos barbare tractat, Celtibericoque satellitio corporis sui custodiam committit.

Ἐφ' ᾧ χαλεπαίνων ὁ Σερτώριος, ἀγρίως καὶ βαρβαρικῶς ἐλυμαίνετο πολλοῖς, καὶ διὰ μίσους ἐγίγνετο. μᾶλλον δ' αὐτὸν ὁ στρατὸς ἐν αἰτίαις εἶχεν, ἐπεὶ καὶ δορυφόρους ἀντ' αὐτῶν ἐπήγετο πανταχοῦ Κελτίβηρας, καὶ τὴν φυλακὴν τοῦ σώματος, Ῥωμαίους ἀπελάσας, τοῖσδε ἀντ' ἐκείνων ἐπέτρεπεν. οὐ γὰρ ἔφερον ἐς ἀπιστίαν ὀνειδιζόμενοι, εἰ καὶ πολεμίῳ Ῥωμαίων ἐστρατεύοντο. ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ μάλιστα ὑπέδακνεν αὐτοὺς, τὸ, ἀπίστους ἐς τὴν πατρίδα διὰ τὸν Σερτώριον γενομένους, ἀπιστεῖσθαι καὶ πρὸς αὐτοῦ· οὐδ' ἠξίουν διὰ τοὺς αὐτομολήσαντας οἱ παραμένοντες καταγνῶσθαι. πολλὰ δὲ καὶ οἱ Κελτίβηρες αὐτοῖς, ἀφορμῆς λαβόμενοι, ἐνύβριζον ὡς ἀπιστουμένοις. οἱ δ' οὐ τελέως ὅμως τὸν Σερτώριον ἀπεστρέφοντο, διὰ τὰς χρείας. οὐ γὰρ ἦν τότε τοῦ ἀνδρὸς οὔτε πολεμικώτερος ἄλλος, οὔτ' ἐπιτυχέστερος. ὅθεν αὐτὸν καὶ οἱ Κελτίβηρες διὰ τὴν ταχυεργίαν ἐκάλουν Ἀννίβαν, ὃν θρασύτατόν τε καὶ ἀπατηλότατον στρατηγὸν παρὰ σφίσιν ἐδόκουν γενέσθαι. ὁ μὲν δὴ στρατὸς ὧδε εἶχε Σερτωρίῳ. πόλεις δ' αὐτοῦ πολλὰς ἐπέτρεχον οἱ

Attamen commoda, ex ejus militia profecta, milites in fide retinent,

περὶ

περὶ τὸν Μέτελλον, καὶ τὰς ἄνδρας ἐς τὰ ὑπήκοα σφίσι μετῆγον. Παλλαντίαν δὲ Πομπηΐυ περικαθημένυ, καὶ τὰ τείχη ξύλων κορμοῖς ὑποκρεμάσαντος, ἐπιφανεὶς ὁ Σερτώριος τὴν μὲν πολιορκίαν ἐξέλυσε· τὰ τείχη δ' ἔφθασεν ὑποκαύσας ὁ Πομπήϊος, καὶ ἐς Μέτελλον ἀνεχώρει. Σερτώριος δὲ καὶ τὰ πεσόντα ἤγειρε, καὶ τοῖς περί τι χωρίον Καλάγυρον στρατοπεδέυυσιν ἐπιδραμὼν, ἔκτεινε τρισχιλίυς. καὶ τάδε ἦν καὶ τῦδε τῦ ἔτυς ἐν Ἰβηρίᾳ.

& parum adhuc Romani imperatores contra eum efficiunt.

Τῦ δ' ἐπιόντος, οἱ στρατηγοὶ Ῥωμαίων, μᾶλλόν τι θαῤῥήσαντες, ἐπῄεσαν ταῖς πόλεσι ταῖς ὑπὸ Σερτωρίῳ σὺν καταφρονήσει, καὶ πολλὰ αὐτῦ περιέσπων, καὶ ἑτέροις ἐπέβαινον, ἐπαιρόμενοι τοῖς ἀπαντῶμένοις. ὐ μέντοι μεγάλῃ γε μάχῃ συνηνέχθησαν, ἀλλ' αὖθις - - -. μέχρι τῦ ἑξῆς ἔτυς αὐτοὶ μὲν αὖθις ἐπῄεσαν, σὺν πλέονι μᾶλλον καταφρονήσει· ὁ δὲ Σερτώριος, βλάπτοντος ἤδη θεῦ, τὸν μὲν ἐπὶ τοῖς πράγμασι πόνον ἑκὼν μεθίει, τὰ πολλὰ δ' ἦν ἐπὶ τρυφῆς, γυναιξὶ καὶ κώμοις καὶ πότοις σχολάζων. ὅθεν ἡττᾶτο συνεχῶς. καὶ γεγένητο ὀργήν τε ἄκρος, δι' ὑπονοίας ποικίλας, καὶ ὠμότατος ἐς κόλασιν, καὶ ὑπόπτης ἐς ἅπαντας· ὥστε καὶ Περπένναν, τὸν ἐκ τῆς Αἰμιλίυ στάσεως ἑκόντα πρὸς αὐτὸν ἐλθόντα μετὰ πολλῦ στρατῦ, δεῖσαι περὶ ἑαυτῦ, καὶ προσεπιβυλεῦσαι μετὰ ἀνδρῶν δέκα. ὡς δὲ καὶ τῶνδέ τινες τῶν ἀνδρῶν ἐνδειχθέντες, οἱ μὲν ἐκολάσθησαν, οἱ δ' ἀπέφυγον· ὁ Περπέννας παρὰ δόξαν λαθὼν, ἔτι μᾶλλον ἐπὶ τὸ ἔργον ἠπείγετο. καὶ ὐδαμῦ τὸν Σερτώριον μεθιέντα τὺς δορυφόρυς, ἐπὶ ἑστίασιν ἐκάλει. μεθύσας δ' αὐτόν τε καὶ τὴν περιεστῶσαν τῶν ἀνδρῶν φυλακὴν, ἔκτεινεν ἀπὸ τῆς διαίτης.

cap. 113. A. U. 682. ante Chr. 72. Sertorius se dat mulierculis & commessationibus.

Cum Sertorius suis diffidere inciperet, insidiæ ei a Perpenna struuntur; & ab eo inter cœnam obtruncatur.

Καὶ ὁ στρατὸς εὐθὺς ἐπὶ τὸν Περπένναν ἀνίστατο σὺν θορύβῳ τε πολλῷ καὶ μετ' ὀργῆς, ἐς εὔνοιαν αὐτίκα τῦ Σερτωρίυ μεταβάλλοντες ἀπὸ τῦ μίσυς· ὥσπερ ἅπαντες ἐπὶ τοῖς ἀποθανῦσι τὴν μὲν ὀργὴν μεθιᾶσιν, ἐκ ἐμποδὼν ἔτι τῦ λυπῦντος ὄντος, ἐς δὲ τὴν ἀρετὴν αὐτῶν μετ' ἐλέυ καὶ μνήμης ἐπανίασι. τότε δὲ καὶ τὰ παρόντα σφίσιν ἐκλογιζόμενοι, Περπέννα μὲν, ὡς ἰδιώτυ, κατεφρόνυν· τὴν δ' ἀρετὴν Σερτωρίυ μόνην ἂν σφίσιν ἡγύμενοι γενέσθαι σωτήριον, χαλεπῶς ἐς τὸν Περπένναν διετίθεντο αὐτοί τε καὶ οἱ βάρβαροι σὺν αὐτοῖς· μάλιστα δὲ τύτων Λυσιτανοὶ, ὅσῳ

cap. 114. Sertoriani indignati sunt adversus Perpennam.

κα

Digitized by Google

Perpenna milites variis modis placat, quibus deliniti ei ut proprætori parent.

καὶ μάλιϛα αὐτοῖς ὁ Σερτώριος ἐχρῆτο. ὡς δὲ καὶ τῶν διαθηκῶν ἀνοιχθεισῶν τῶν Σερτωρίȣ ὁ Περπέννας αὐταῖς ἐνεγέγραπτο ἐπὶ τῷ κλήρῳ, μᾶλλόν τι πάντας ὀργὴ καὶ μῖσος ἐς τὸν Περπένναν ἐσῄει, ὡς ȣκ ἐς ἄρχοντα μόνον ἢ ϛρατηγὸν, ἀλλὰ καὶ ἐς φίλον καὶ εὐεργέτην, τοσόνδε μῦσος ἐργασάμενον. καὶ ȣκ ἂν ȣδὲ χειρῶν ἀπέσχοντο, εἰ μὴ περιθέων αὐτȣ̀ς ὁ Περπέννας, τȣ̀ς μὲν δώροις ὑπηγάγετο, τȣ̀ς δ' ὑποσχέσεσι· τȣ̀ς δ' ἀπειλαῖς ἐξεφόβησε· τȣ̀ς δὲ καὶ διεχρήσατο, ἐς κατάπληξιν ἑτέρων. ἐπί τε τὰ πλήθη παρερχόμενος ἐδημαγώγει, καὶ τȣ̀ς δεσμότας αὐτῶν ἐξέλυεν, ȣ̀ς ὁ Σερτώριος κατέδησε· καὶ τοῖς Ἴβηρσι τὰ ὅμηρα ἀπέλυεν. οἷς ὑπαχθέντες, ὑπήκȣον μὲν ὡς ϛρατηγῷ· (τὸ γὰρ δὴ μετὰ Σερτώριον εἶχεν ἀξίωμα·) ȣ μέν τοι χωρὶς δυσμενείας ȣδὲ τότε ἐγίγνοντο. καὶ γὰρ ὠμότατος αὐτίκα ἐς κολάσεις θαῤῥήσας ἐφαίνετο, καὶ τῶν ἐκ Ῥώμης αὐτῷ συμφυγόντων ἐπιφανῶν ἔκτεινε τρεῖς, καὶ τὸν ἀδελφιδȣ̃ν ἑαυτȣ̃.

cap. 115. Perpenna prœlio vincitur a Pompejo, capitur, & Pompeji jussu interficitur.

Ὡς δὲ ἐφ' ἕτερα τῆς Ἰβηρίας ὁ Μέτελλος ᾤχετο (ȣ̓ γὰρ ἔτι δυσχερὲς ἐδόκει, Περπένναν ἐπιτρέψαι μόνῳ Πομπηΐῳ) ἐπὶ μέν τινας ἡμέρας ἐγίγνοντο ἀψιμαχίαι καὶ ἀπόπειραι Πομπηΐȣ καὶ Περπέννα, μὴ σαλευόντων ἄθρȣν τὸν ϛρατὸν· τῇ δεκάτῃ δὲ ἀγὼν αὐτοῖς μέγιϛος ἐξεῤῥάγη. ἑνὶ γὰρ ἔργῳ κρίναντες διακριθῆναι, Πομπήϊος μὲν τῆς Περπέννα ϛρατηγίας κατεφρόνει, Περπέννας δ' ὡς ȣ πιϛῷ χρησόμενος ἐς πολὺ τῷ ϛρατῷ, πάσῃ σχεδὸν τῇ δυνάμει συνεπλέκετο. ταχὺ δ' ὁ Πομπήϊος περιῆν, ὡς ἔτε ϛρατηγȣ̃ διαφέροντος, ἔτε προθύμȣ ϛρατȣ̃. καὶ τροπῆς πάντων ὁμαλȣ̃ς γενομένης, ὁ μὲν Περπέννας ὑπὸ θάμνῳ πόας ἐκρύφθη, δεδιὼς τȣ̀ς οἰκείȣς μᾶλλον τῶν πολεμίων. λαβόντες δ' αὐτὸν ἱππεῖς τινες εἷλκον ἐς τὸν Πομπήϊον, ἐπιβλασφημȣ́μενον ὑπὸ τῶν ἰδίων, ὡς αὐθέντην Σερτωρίȣ· καὶ βοῶντα, πολλὰ μηνύσειν τῷ Πομπηΐῳ περὶ τῆς ἐν Ῥώμῃ ϛάσεως. (ἔλεγε δὲ, εἴτε ἀληθεύων, εἴθ' ἵνα σῶος ἀχθείη πρὸς αὐτόν.) ὁ δὲ, προπέμψας, ἀπέκτεινεν αὐτὸν πρὶν ἐς ὄψιν ἐλθεῖν· δείσας ἄρα, μή τι μηνύσειεν ἀδόκητον, καὶ ἑτέρων ἀρχὴ κακῶν ἐν Ῥώμῃ γένοιτο. καὶ ἔδοξεν ἐμφρόνως πάνυ τȣ̃θ' ὁ Πομπήϊος πρᾶξαι, καὶ συνετέλεσεν αὐτῷ καὶ τόδε ἐς δόξαν ἀγαθήν.

τέλος

Digitized by Google

τέλος δ' ἦν τῦτο τῷ περὶ Ἰβηρίαν πολέμῳ, τὸ καὶ Σερτωρίῳ τῦ βίυ γενόμενον. δοκεῖ γὰρ ὐκ ἂν ὖτε ὀξέως ὖτε εὐμαρῶς ὖτως, ἔτι Σερτωρίυ περιόντος, συντελεσθῆναι.

Τῦ δ' αὐτῦ χρόνυ, περὶ τὴν Ἰταλίαν μονομάχων ἐς θέας ἐν Καπύῃ τρεφομένων, Σπάρτακος, Θρᾷξ ἀνὴρ, ἐστρατευμένος ποτὲ Ῥωμαίοις, ἐκ δὲ αἰχμαλωσίας καὶ πράσεως ἐν τοῖς μονομάχοις ὢν, ἔπεισεν αὐτῶν ἐς ἑβδομήκοντα ἄνδρας μάλιστα, κινδυνεῦσαι περὶ ἐλευθερίας μᾶλλον, ἢ θέας ἐπιδείξεως. καὶ βιασάμενος σὺν αὐτοῖς τὺς φυλάσσοντας, ἐξέδραμε· καί τινων ὁδοιπόρων ξύλοις καὶ ξιφιδίοις ὁπλισάμενος, ἐς τὸ Βέσβιον ὄρος ἀνέφυγεν· ἔνθα πολλὺς ἀποδιδράσκοντας οἰκέτας, καί τινας ἐλευθέρυς ἐκ τῶν ἀγρῶν, ὑποδεχόμενος, ἐλῄστευε τὰ ἐγγὺς, ὑποστρατήγυς ἔχων Οἰνόμαόν τε καὶ Κρίξον μονομάχυς. μεριζομένῳ δ' αὐτῷ τὰ κέρδη κατ' ἰσομοιρίαν, ταχὺ πλῆθος ἦν ἀνδρῶν. καὶ πρῶτος ἐπ' αὐτὸν ἐκπεμφθεὶς Οὐαρίνιος Γλάβρος, ἐπὶ δ' ἐκείνῳ Πόπλιος Οὐαλέριος, ὐ πολιτικὴν στρατιὰν ἄγοντες, ἀλλ' ὅσυς ἐν σπυδῇ καὶ παρόδῳ συνέλεξαν, (ὐ γάρ πω Ῥωμαῖοι πόλεμον, ἀλλ' ἐπιδρομήν τινα, καὶ λῃστηρίῳ τὸ ἔργον ὅμοιον, ἡγῦντο εἶναι) συμβαλόντες ἡττῶντο· Οὐαρινίυ δὲ καὶ τὸν ἵππον αὐτὸς Σπάρτακος περιέσπασε. παρὰ τοσῦτον ἦλθε κινδύνυ Ῥωμαίων ὁ στρατηγὸς, αὐτὸς αἰχμάλωτος ὑπὸ μονομάχυ γενέσθαι. μετὰ δὲ τῦτο Σπαρτάκῳ μὲν ἔτι μᾶλλον πολλοὶ συνέθεον, καὶ ἑπτὰ μυριάδες ἦσαν ἤδη στρατῦ. καὶ ὅπλα ἐχάλκευε, καὶ παρασκευὴν συνέλεγεν.

cap. 116. Bellum gladiatorum, A.U.681-683. ante C. 73-71. Spartaco duce circiter LXX gladiatores ex ludo gladiatorio Capuano profugiunt,&Vesuvio monte occupato, vicina loca latrociniis infestant. Divisa ex æquo præda eorum numerus brevi valde augetur. Victo Rom. exercitu obiter collecto Spartacus Copias ad LXX M. virorum auget.

Οἱ δ' ἐν ἄστει τὺς ὑπάτυς ἐξέπεμπον μετὰ δύο τελῶν, καὶ τύτων ὑπὸ μὲν θατέρυ Κρίξος, ἡγύμενος τρισμυρίων ἀνδρῶν, περὶ τὸ Γάργανον ὄρος ἡττᾶτο, καὶ δύο μέρη τῦ στρατῦ καὶ αὐτὸς συναπώλετο αὐτοῖς. Σπάρτακον δὲ, διὰ τῶν Ἀπεννίνων ὀρῶν ἐπὶ τὰ Ἄλπεια καὶ ἐς Κελτὺς ἀπὸ τῶν Ἀλπείων ἐπειγόμενον, ὁ ἕτερος ὕπατος προλαβὼν, ἐκώλυε τῆς φυγῆς, καὶ ὁ ἕτερος ἐδίωκεν. ὁ δὲ, ἐφ' ἑκάτερον αὐτῶν ἐπιστρεφόμενος, παρὰ μέρος ἐνίκα· καὶ οἱ μὲν σὺν θορύβῳ τὸ ἀπὸ τῦδε ὑπεχώρυν. ὁ δὲ Σπάρτακος, τριακοσίυς Ῥωμαίων αἰχμαλώτυς ἐναγίσας Κρίξῳ, δυώδεκα μυριάσι πεζῶν ἐς Ῥώμην ἠπείγετο, τὰ ἄχρηστα τῶν σκευῶν κατακαύσας, καὶ τὺς αἰχμαλώτυς πάν-

cap. 117. Coss. contra gladiatores mittuntur: alter Crixum, præfectum minorem, cædit; utrumque vincit Spartacus, & auctus ad CXX. M. peditum Romam petit, A. U. 682. ante Chr. 72,

πάντας ἀνελὼν, καὶ ἐπισφάξας τὰ ὑποζύγια, ἵνα κοῦφος εἴη· αὐτομόλων τε πολλῶν αὐτῷ προσιόντων οὐδένα προσίετο. καὶ τῶν ὑπάτων αὐτὸν αὖθις περὶ τὴν Πικηνῖτιν γῆν ὑποστάντων, μέγας ἀγὼν ἕτερος ὅδε γίγνεται, καὶ μεγάλη καὶ τότε ἧσσα Ῥωμαίων. ὁ δὲ τῆς μὲν ἐς Ῥώμην ὁδοῦ μετέγνω, ὡς οὔπω γεγονὼς ἀξιόμαχος, οὐδὲ τὸν στρατὸν ὅλον ἔχων στρατιωτικῶς ὡπλισμένον· (οὐ γάρ τις αὐτοῖς συνέπραττε πόλις, ἀλλὰ θεράποντες ἦσαν καὶ αὐτόμολοι καὶ σύγκλυδες.) τὰ δ' ὄρη τὰ περὶ Θουρίους καὶ τὴν πόλιν αὐτὴν κατέλαβε, καὶ χρυσὸν μὲν ἢ ἄργυρον τοὺς ἐμπόρους ἐσφέρειν ἐκώλυε, καὶ κεκτῆσθαι τοὺς ἑαυτοῦ· μόνον δὲ σίδηρον καὶ χαλκὸν ὠνοῦντο πολλοῦ, καὶ τοὺς ἐσφέροντας οὐκ ἠδίκουν. ὅθεν ἀθρόας ὕλης εὐπορήσαντες, εὖ παρεσκευάσαντο, καὶ θαμινὰ ἐπὶ λεηλασίας ἐξῄεσαν. Ῥωμαίοις τε πάλιν συνενεχθέντες ἐς χεῖρας, ἐκράτουν καὶ τότε, καὶ λείας πολλῆς γέμοντες ἐπανῄεσαν.

Coss. iterum proelio victis, sententiam urbem petendi mutat Spartacus, & montes circa Thurium insidet.

Τριέτης τε ἦν ἤδη καὶ φοβερὸς αὐτοῖς ὁ πόλεμος, γελώμενος ἐν ἀρχῇ καὶ καταφρονούμενος, ὡς μονομάχων. προτεθείσης τε στρατηγῶν ἄλλων χειροτονίας ὄκνος ἐπεῖχεν ἅπαντας, καὶ παρήγγελλεν οὐδείς· μέχρι Λικίνιος Κράσσος, γένει καὶ πλούτῳ Ῥωμαίων διαφανὴς, ἀνεδέξατο στρατηγήσειν, καὶ τέλεσιν ἓξ ἄλλοις ἤλαυνεν ἐπὶ τὸν Σπάρτακον. ἀφικόμενος δὲ, καὶ τὰ τῶν ὑπάτων δύο προσέλαβε. καὶ τῶνδε μὲν αὐτίκα διακληρώσας, ὡς πολλάκις ἡττημένων, ἐπὶ θανάτῳ μέρος δέκατον, διέφθειρεν. οἱ δ' οὐχ οὕτω νομίζουσιν, ἀλλὰ παντὶ τῷ στρατῷ συμβαλόντα καὶ τόνδε, καὶ ἡττημένον, πάντων διακληρῶσαι τὸ δέκατον, καὶ ἀνελεῖν ἐς τετρακισχιλίους, οὐδὲν διὰ τὸ πλῆθος ἐνδοιάσαντα. ὁποτέρως δ' ἔπραξε, φοβερώτερος αὐτοῖς τῆς τῶν πολεμίων ἥττης φανεὶς, αὐτίκα μυρίων Σπαρτακείων ἐφ' ἑαυτῶν που στρατοπεδευόντων ἐκράτει· καὶ δύο αὐτῶν μέρη κατακανὼν, ἐπ' αὐτὸν ἤλαυνε τὸν Σπάρτακον σὺν καταφρονήσει. νικήσας δὲ καὶ τόνδε λαμπρῶς, ἐδίωκε φεύγοντα ἐπὶ τὴν θάλασσαν, ὡς διαπλευσόμενον ἐς Σικελίαν· καὶ καταλαβὼν, ἀπετάφρευε καὶ ἀπετείχιζε καὶ ἀπεσταύρου.

cap. 118. Tertio belli anno Licinius Crassus contra Spartacum profectus bis victor e proeliis discessit; Spartacumque in fuga deprehensum fossa valloque cinxit, A. U. 683. ante Chr. 71.

Βιαζομένου δ' ἐς τὴν Σαυνῖτιδα τοῦ Σπαρτάκου διαδραμεῖν, ἔκτεινεν ὁ Κράσσος ἐς ἑξακισχιλίους ἄλλους περὶ ἕω,

cap. 119. Spartaco obsesso diffici-

ξω, καὶ περὶ δείλην ἐς τοσῦσδε ἑτέρους, τριῶν ἐκ τοῦ Ῥωμαίων στρατοῦ μόνων ἀποθανόντων, καὶ ἑπτὰ τρωθέντων. τοσήδε ἦν αὐτίκα διὰ τὴν κόλασιν ἐς τὸ τῆς νίκης θάρσος μεταβολή. Σπάρτακος δὲ ἱππέας ποθὲν αὐτῷ προσιόντας περιμένων, οὐκέτι μὲν ἐς μάχην ᾔει τῷ στρατῷ παντὶ, πολλὰ δ' ἠνώχλει τοῖς περικαθημένοις ἀνὰ μέρος. ἄφνω τε καὶ συνεχῶς αὐτοῖς ἐπιπίπτων, φακέλλους τε ξύλων ἐς τὴν τάφρον ἐμβάλλων κατέκαιε, καὶ τὸν πόνον αὐτοῖς δύσεργον ἐποίει. αἰχμάλωτόν τε Ῥωμαῖον ἐκρέμασεν ἐν τῷ μεταιχμίῳ, δεικνὺς τοῖς ἰδίοις τὴν ὄψιν, ὧν πείσονται μὴ κρατοῦντες. οἱ δ' ἐν ἄστει Ῥωμαῖοι, τῆς πολιορκίας πυνθανόμενοι, καὶ ἀδοξοῦντες εἰ χρόνιος αὐτοῖς ἔσται πόλεμος μονομάχων, προσκατέλεγον ἐπὶ τὴν στρατείαν Πομπήϊον, ἄρτι ἀφικόμενον ἐξ Ἰβηρίας, πιστεύοντες ἤδη δυσχερὲς εἶναι καὶ μέγα τὸ Σπαρτάκειον ἔργον.

lem laborem Romanis faciente, Crasso ad id bellum conficiendum collega Pompejus datus est.

Διὰ δὲ τὴν χειροτονίαν τήνδε, καὶ Κράσσος (ἵνα μὴ τὸ κλέος τοῦ πολέμου γένοιτο Πομπηΐου) πάντα τρόπον ἐπειγόμενος, ἐπεχείρει τῷ Σπαρτάκῳ· καὶ ὁ Σπάρτακος, τὸν Πομπήϊον προλαβεῖν ἀξιῶν, ἐς συνθήκας τὸν Κράσσον προὐκαλεῖτο. ὑπερορώμενος δ' ὑπ' αὐτοῦ, διακινδυνεύειν τε ἔγνω· καὶ, παρόντων οἱ τῶν ἱππέων ἤδη, ὤσατο παντὶ τῷ στρατῷ διὰ τοῦ περιτειχίσματος, καὶ ἔφυγεν ἐπὶ Βρεντέσιον, Κράσσου διώκοντος. ὡς δὲ καὶ Λεύκολλον ἔμαθεν ὁ Σπάρτακος ἐς τὸ Βρεντέσιον, ἀπὸ τῆς ἐπὶ Μιθριδάτῃ νίκης ἐπανιόντα, εἶναι, πάντων ἀπογνοὺς, ἐς χεῖρας ᾔει τῷ Κράσσῳ μετὰ πολλοῦ καὶ τότε πλήθους. γενομένης δὲ τῆς μάχης μακρᾶς τε καὶ καρτερᾶς, ὡς ἐν ἀπογνώσει τοσῶνδε μυριάδων, τιτρώσκεται τὸν μηρὸν ὁ Σπάρτακος δορατίῳ, καὶ συγκάμψας ἐς τὸ γόνυ, καὶ προβαλὼν τὴν ἀσπίδα, πρὸς τοὺς ἐπιόντες ἀπεμάχετο· μέχρι καὶ αὐτὸς καὶ πολὺ πλῆθος ἀμφ' αὐτὸν κυκλωθέντες ἔπεσον. ὅ τε λοιπὸς αὐτοῦ στρατὸς ἀκόσμως ἤδη κατεκόπτοντο κατὰ πλῆθος· ὡς φόνον γενέσθαι, τῶν μὲν οὐδ' εὐαρίθμητον, Ῥωμαίων δὲ ἐς χιλίους ἄνδρας, καὶ τὸν Σπαρτάκου νέκυν οὐχ εὑρεθῆναι. πολὺ δ' ἔτι πλῆθος ἦν ἐν τοῖς ὄρεσιν, ἐκ τῆς μάχης διαφυγόν· ἐφ' οὓς ὁ Κράσσος ἀνέβαινεν. οἱ δὲ, διελόντες ἑαυτοὺς ἐς τέσσαρα μέρη, ἀπεμάχοντο, μέχρι πάντες

cap. 120. Spartacus ante auctum adventu Pompeji exercitum Romanum pugnandum statuit, & in acerrimo conflictu periit, ejusque copiae deletae sunt, suspensis e crucibus, qui vivi capti erant.

Digitized by Google

τες ἀπώλοντο, πλὴν ἑξακισχιλίων, οἳ ληφθέντες ἐκρεμάσθησαν ἀνὰ ὅλην τὴν ἐς Ῥώμην ἀπὸ Καπύης ὁδόν.

cap. 121. Oritur inter Pompejum, & Crassum de gloria contentio. Ambo consulatum petunt, ambo retinent exercitum; ut res ad novas seditiones tendere videatur.

Καὶ τάδε Κράσσος ἓξ μησὶν ἐργασάμενος, ἀμφήριστος ἐκ τοῦδε αὐτίκα μάλιστα τῇ δόξῃ τῇ Πομπηΐου γίγνεται· καὶ τὸν στρατὸν οὐ μεθίει, διότι μηδὲ Πομπήϊος. ἐς δὲ ὑπατείαν ἄμφω παρήγγελον· ὁ μὲν, ἐστρατηγηκὼς, κατὰ τὸν νόμον Σύλλα· ὁ δὲ Πομπήϊος, οὔτε στρατηγήσας, οὔτε ταμιεύσας, ἔτος τε ἔχων τέταρτον ἐπὶ τοῖς τριάκοντα. τοῖς δὲ δημάρχοις ὑπέσχητο, πολλὰ τῆς ἀρχῆς ἐς τὸ ἀρχαῖον ἐπανάξειν. αἱρεθέντες δὲ ὕπατοι, οὐδ' ὡς μεθίεσαν τὸν στρατὸν, ἔχοντες ἀγχοῦ τῆς πόλεως· ἑκάτερος πρόφασιν τήνδε ποιούμενος· Πομπήϊος μὲν, ἐς τὸν Ἰβηρικὸν θρίαμβον περιμένειν ἐπανιόντα Μέτελλον· ὁ δὲ Κράσσος, ὡς Πομπήϊον δέον προδιαλῦσαι.

Tandem populi precibus moti dextras in concordiæ fidem porrigunt.

καὶ ὁ δῆμος, ἑτέραν ἀρχὴν στάσεως ὁρῶν, καὶ φοβούμενος δύο στρατοὺς περικαθημένους, ἐδέοντο τῶν ὑπάτων, ἐν ἀγορᾷ προκαθημένων, συναλλαγῆναι πρὸς ἀλλήλους. καὶ τὰ μὲν πρῶτα ἑκάτερος ἀπεκρούετο. ὡς δὲ καὶ θεόληπτοί τινες προὔλεγον πολλὰ καὶ δεινὰ, εἰ μὴ συναλλαγεῖεν οἱ ὕπατοι, ὁ δῆμος αὖθις αὐτοὺς μετ' οἰμωγῆς παρεκάλει, πάνυ ταπεινῶς, ἔτι τῶν Σύλλα καὶ Μαρίου κακῶν ἀναφέροντες. καὶ ὁ Κράσσος, πρότερος ἐνδοὺς, ἀπὸ τοῦ θρόνου κατέβαινε, καὶ ἐς τὸν Πομπήϊον ἐχώρει, τὴν χεῖρα προτείνων ἐπὶ διαλλαγαῖς· ὁ δ' ὑπανίστατο, καὶ προσέτρεχε. καὶ δεξιωσαμένων ἀλλήλους, εὐφημίαι τε ἦσαν ἐς αὐτοὺς ποικίλαι· καὶ οὐ πρὶν ὁ δῆμος ἀπέστη τῆς ἐκκλησίας, ἢ προγράψαι τοὺς ὑπάτους τὰς ἀφέσεις τῶν στρατοπέδων. οὕτω μὲν δὴ, δόξασα καὶ ἥδε μεγάλη στάσις ἔσεσθαι, κατελύετο εὐσταθῶς· καὶ ἔτος ἦν τῷδε τῷ μέρει τῶν ἐμφυλίων ἀμφὶ τὰ ἑξήκοντα μάλιστ' ἀπὸ τῆς ἀναιρέσεως Τιβερίου Γράκχου.

Ibidem. Lib. II. c. 1. II. Bellum civile inter Cæsarem &Pompejum M. Quæ ante hujus belli initia gesta sunt.

Μετὰ δὲ τὴν Σύλλα μοναρχίαν, καὶ ὅσα ἐπ' αὐτῇ Σερτώριός τε καὶ Περπέννας περὶ Ἰβηρίαν ἔδρασαν, ἕτερα ἐμφύλια Ῥωμαίοις τοιάδε ἐγίγνετο· μέχρι Γάϊος Καῖσαρ καὶ Πομπήϊος Μάγνος ἀλλήλοις ἐπολέμησαν, καὶ Πομπήϊον μὲν καθεῖλεν ὁ Καῖσαρ, Καίσαρα δ' ἐν τῷ βουλευτηρίῳ τινὲς, ὡς βασιλιζόμενον, κατέκανον. ταῦτα δ' ὅπως ἐγένετο, καὶ ὅπως ἀνῃρέθησαν ὅ τε Πομπήϊος καὶ ὁ Γάϊος, ἡ δευτέρα τῶν Ἐμφυλίων ἥδε δηλοῖ. ὁ μὲν δὴ

Πομ-

Digitized by Google

Πομπήϊος, ἄρτι τὴν θάλασσαν καθήρας ἀπὸ τῶν λῃστηρίων τότε μάλιστα πανταχοῦ πλεονασάντων, Μιθριδάτην ἐπὶ τοῖς λῃσταῖς καθῃρήκει, Πόντου βασιλέα· καὶ τὴν ἀρχὴν αὐτοῦ, καὶ ὅσα ἄλλα ἔθνη προσέλαβεν ἀμφὶ τὴν ἕω, διετάσσετο. ὁ δὲ Καῖσαρ ἦν ἔτι νέος, δεινὸς εἰπεῖν τε καὶ πρᾶξαι, τολμῆσαί τε ἐς πάντα, καὶ ἐλπίσαι περὶ ἁπάντων, ἐς δὲ δὴ φιλοτιμίαν ἀφειδὴς ὑπὲρ δύναμιν· ὡς ἀγορανομῶν ἔτι καὶ στρατηγῶν εἶναι κατάχρεως, καὶ τῷ πλήθει δαιμονίως ὑπεραρέσκειν, τῶν δήμων αἰεὶ τοὺς δαψιλεῖς ἐπαινούντων.

Pompeji bellum piraticum, A.U. 679-687. ante C. 75-67. Bellum Mithridaticum, A.U. 680-690. ante C. 74-64. Cæsaris adolescentia.

Γάϊος δὲ Κατιλίνας, μεγέθει τε δόξης καὶ γένους λαμπρότητι περιώνυμος, ἔμπληκτος ἀνὴρ, δόξας ποτὲ καὶ υἱὸν ἀνελεῖν δι' Αὐρηλίας Ὀρεστίλλης ἔρωτα, οὐχ ὑφισταμένης τῆς Ὀρεστίλλης παῖδα ἔχοντι γήμασθαι, Σύλλα φίλος τε καὶ στασιώτης καὶ ζηλωτὴς μάλιστα γεγονώς· ἐκ δὲ φιλοτιμίας καὶ ὅδε ἐς πενίαν ὑπενηνεγμένος, καὶ θεραπευόμενος ἔτι πρὸς δυνατῶν ἀνδρῶν τε καὶ γυναικῶν· ἐς ὑπατείαν παρήγγελεν, ὡς τῇδε παροδεύσων ἐς τυραννίδα. πάνυ δ' ἐλπίσας αἱρεθήσεσθαι, διὰ τὴν ὑποψίαν τήνδε ἀπεκρούσθη. καὶ Κικέρων μὲν ἦρχεν ἀντ' αὐτοῦ, ἀνὴρ ἄριστος εἰπεῖν τε καὶ ῥητορεῦσαι. Κατιλίνας δ' αὐτὸν ἐς ὕβριν τῶν ἑλομένων ἐπέσκωπτεν, ἐς μὲν ἀγνωσίαν γένους, καινὸν ὀνομάζων· (καλοῦσι δ' οὕτω τοὺς ἀφ' ἑαυτῶν, ἀλλ' οὐ τῶν προγόνων, γνωρίμους·) ἐς δὲ ξενίαν τῆς πόλεως, Ἰγκυϊλῖνον, ᾧ ῥήματι καλοῦσιν τοὺς ἐνοικοῦντας ἐν ἀλλοτρίαις οἰκίαις. αὐτὸς δὲ πολιτείαν μὲν ὅλως ἔτι ἀπεστρέφετο ἐκ τοῦδε, ὡς οὐδὲν ἐς μοναρχίαν ταχὺ καὶ μέγα φέρουσαν, ἀλλ' ἔριδος καὶ φθόνου μεστήν. χρήματα δὲ ἀγείρων πολλὰ παρὰ πολλῶν γυναικῶν, αἳ τοὺς ἄνδρας ἤλπιζον ἐν τῇ ἐπαναστάσει διαφθερεῖν, συνώμνυτο τισὶν ἀπὸ τῆς βουλῆς καὶ τῶν καλουμένων ἱππέων· συνῆγε δὲ καὶ δημότας, καὶ ξένους, καὶ θεράποντας. καὶ πάντων ἡγεμόνες ἦσαν αὐτῷ Κορνήλιος Λέντλος καὶ Κέθηγος, οἳ τότε τῆς πόλεως ἐστρατήγουν. ἀνά τε τὴν Ἰταλίαν περιέπεμπεν ἐκ τῶν Συλλείων τοὺς τὰ κέρδη τῆς τότε βίας ἀναλωκότας, καὶ ὀρεγομένους ἔργων ὁμοίων, ἐς μὲν Φαισούλας τῆς Τυῤῥηνίας Γάϊον Μάλλιον, ἐς δὲ τὴν Πικηνίτιδα

cap. 2. Bellum Catilinarium, A.U. 688-692. ante C. 66-62.

Cicero Consul creatur, A. U. 691. ante Chr. 63. Conjuratio Catilinæ, cui præter alios multos in urbe et per Italiam favebant Corn. Lentulus, Cethegus & C. Manlius.

νῖτιδα καὶ τὴν Ἀπυλίαν ἑτέρυς· οἱ ςρατὸν αὐτῷ συνέλεγον ἀφανῶς.

cap. 3. Cicero, rem per Fulviam compertus, præsidia per urbem disponit.

Καὶ τάδε πάντα, ἔτι ἀγνοούμενα, Φυλβία γύναικι ἐκ ἀφανὲς ἐμήνυε τῷ Κικέρωνι· ἧς ἐρῶν Κόϊντος Κύριος, ἀνὴρ δι' ὀνείδη πολλὰ τῆς βυλῆς ἀπεωσμένος, καὶ τῆσδε τῆς Κατιλίνα συνθήκης ἠξιωμένος, κέφως μάλα καὶ φιλοτίμως ἐξέφερεν, διὰ πρὸς ἐρωμένην, ὡς αὐτίκα δυναςεύσων. ἤδη δὲ καὶ περὶ τῶν ἐν τῇ Ἰταλίᾳ γιγνομένων λόγος ἐφοίτα. καὶ ὁ Κικέρων τήν τε πόλιν ἐκ διαςημάτων φρυραῖς διελάμβανε, καὶ τῶν ἐπιφανῶν ἐξέπεμπε πολλὺς ἐς πάντα τὰ ὕποπτα, τοῖς γιγνομένοις ἐφεδρεύειν.

Catilina, Fæsulas ad C. Manlium profectus, Ciceronem occidi, urbemque incendi jubet.

Κατιλίνας δ', ὐδενὸς μέν πω θαῤῥῦντος αὐτῦ λαβέσθαι, διὰ τὴν ἔτι τῦ ἀκριβῦς ἀγνωσίαν, δεδιὼς δ' ὅμως, καὶ τὸ χρόνιον ἡγύμενος ὕποπτον, ἐν δὲ τῷ τάχει τὴν ἐλπίδα τιθέμενος, τά τε χρήματα πρῦπεμπεν ἐς Φαισύλας, καὶ τοῖς συνωμόταις ἐντειλάμενος κτεῖναι Κικέρωνα, καὶ τὴν πόλιν ἐκ διαςημάτων πολλῶν νυκτὸς ἐμπρῆσαι μιᾶς, ἐξῄει πρὸς Γάϊον Μάλλιον, ὡς αὐτίκα ςρατὸν ἄλλον ἀθροίσων, καὶ ἐς τὸν ἐμπρησμὸν τῆς πόλεως ἐπιδραμύμενος. ὁ μὲν δὴ ῥάβδυς τε καὶ πελέκεας, ὥς τις ἀνθύπατος, κύφως μάλα ἀνέσχε πρὸ ἑαυτῦ, καὶ ἐς τὸν Μάλλιον ἐχώρει ςρατολογῶν. Λέντλῳ δὲ καὶ τοῖς συνωμόταις ἔδοξεν, ὅτε Κατιλίναν ἐν Φαισύλαις πυνθάνοιντο γεγενῆσθαι, Λέντλον μὲν αὐτὸν καὶ Κέθηγον ἐφεδρεῦσαι ταῖς Κικέρωνος θύραις περὶ ἕω, μετὰ κεκρυμμένων ξιφιδίων, ἐσδεχθέντας τε διὰ τὴν ἀξίωσιν, καὶ λαλῦντας ὅ τι δὴ, μηκῦναι τὴν ὁμιλίαν ἐν περιπάτῳ, καὶ κτεῖναι περισπάσαντας ἀπὸ τῶν ἄλλων· Λεύκιον δὲ Βηςίαν, τὸν δήμαρχον, ἐκκλησίαν εὐθὺς ὑπὸ κήρυξι συνάγειν, καὶ κατηγορεῖν τῦ Κικέρωνος, ὡς ἀεὶ δειλῦ καὶ πολεμοποιῦ, καὶ τὴν πόλιν ἐν ὐδενὶ δεινῷ διαταράττοντος· ἐπὶ δὲ τῇ Βηςίυ δημηγορίᾳ, νυκτὸς αὐτίκα τῆς ἐπιύσης, ἑτέρυς ἐν δυώδεκα τόποις ἐμπιμπράναι τὴν πόλιν, καὶ διαρπάζειν, καὶ κατακτείνειν τὺς ἀρίςυς.

cap. 4. Legati Allobrogum in eandem conjurationem pelliciuntur, Romamque profecti Vul-

Ὧδε μὲν Λέντλῳ καὶ Κεθήγῳ καὶ Στατιλίῳ καὶ Κασσίῳ, τοῖς ἄρχυσι τῆς ἐπαναςάσεως, δέδοκτο· καὶ τὸν καιρὸν ἐπετήρυν. Ἀλλοβρίγων δὲ πρέσβεις, αἰτιώμενοι τὺς ἡγυμένυς αὐτῶν, ἐς τὴν Λέντλυ συνωμοσίαν ἐπήχθησαν,

Digitized by Google

σαν, ὡς ἀναστήσοντες ἐπὶ Ῥωμαίους τὴν Γαλατίαν. καὶ Λέντλος μὲν αὐτοῖς συνέπεμπεν ἐς Κατιλίναν Βουλτούρκιον, ἄνδρα Κροτωνιάτην, γράμματα χωρὶς ὀνομάτων γεγραμμένα φέροντα. οἱ δ' Ἀλλόβριγες ἐνδοιάσαντες, ἐκοινώσαντο Φαβίῳ Σάγγᾳ, ὃς ἦν τῶν Ἀλλοβρίγων προστάτης· ὥσπερ ἁπάσαις πόλεσιν ἐστί τις ἐν Ῥώμῃ προστάτης. παρὰ δὲ τοῦ Σάγγα μαθὼν ὁ Κικέρων, συνέλαβεν ἀπιόντας τοὺς Ἀλλόβριγάς τε καὶ Βουλτούρκιον, καὶ ἐς τὴν βουλὴν εὐθὺς ἐπήγαγεν. οἱ δ' ὡμολόγουν, ὅσα τοῖς ἀμφὶ τὸν Λέντλον συνῄδεσαν· ἀχθέντας τε ἤλεγχον, ὡς ὁ Κορνήλιος Λέντλος εἴποι πολλάκις, εἱμάρθαι, τρεῖς Κορνηλίους γενέσθαι Ῥωμαίων μονάρχους, ὧν ἤδη Κίνναν καὶ Σύλλαν γεγονέναι.

turcium ferentem litteras Lentuli ad Catilinam, comitem habent: rem tamen cum Fabio Sanga communicant. Cicero, Sangæ indicio monitus, legatos cum Vulturcio comprehendendos curat remque omnem detegit.

Λεχθέντων δὲ τούτων, ἡ μὲν βουλὴ Λέντλον παρέλυσε τῆς ἀρχῆς· ὁ δὲ Κικέρων, ἕκαστον ἐς τὰς οἰκίας τῶν στρατηγῶν διαθεὶς, ἐπανῆλθεν αὐτίκα, καὶ ψῆφον περὶ αὐτῶν ἐδίδου. θόρυβος δ' ἦν ἀμφὶ τὸ βουλευτήριον, ἀγνοουμένων ἔτι τοῦ ἀκριβοῦς, καὶ δέος τῶν συνεγνωκότων. αὐτοῦ δὲ Λέντλου καὶ Κεθήγου θεράποντές τε καὶ ἐξελεύθεροι, χειροτέχνας πολλοὺς προσλαβόντες, κατ' ὀπισθίας ὁδοὺς περιῄεσαν ἐπὶ τὰς τῶν στρατηγῶν οἰκίας, ὡς τοὺς δεσπότας ἐξαρπασόμενοι. ὧν ὁ Κικέρων πυθόμενος, ἐξέδραμεν ἐκ τοῦ βουλευτηρίου, καὶ διαθεὶς ἐς τὰ ἐπίκαιρα φύλακας, ἐπανῆλθε, καὶ τὴν γνώμην ἐπετάχυνε. Σιλανὸς μὲν δὴ πρῶτος ἔλεγεν, ὃς ἐς τὸ μέλλον ᾕρητο ὑπατεύειν. ὧδε γὰρ Ῥωμαίοις ὁ μέλλων ὑπατεύσειν, πρῶτος ἐσφέρει γνώμην· ὡς αὐτὸς (οἶμαι) πολλὰ τῶν κυρουμένων ἐργασόμενος, καὶ ἐκ τοῦδε εὐβουλότερόν τε καὶ εὐλαβέστερον ἐνθυμησόμενος περὶ ἑκάστου. ἀξιοῦντι δὲ τῷ Σιλανῷ, τοὺς ἄνδρας ἐσχάτῃ κολάσει μετιέναι, πολλοὶ συνετίθεντο, ἕως, ἐπὶ Νέρωνα τῆς γνώμης περιϊούσης, ὁ Νέρων ἐδικαίου, φυλάττειν αὐτοὺς, μέχρι Κατιλίναν ἐξέλωσι πολέμῳ, καὶ τὰ ἀκριβέστατα μάθωσι.

cap. 5. Conjurati in custodiam dati. Senatus de iis, quæ porro agenda essent, deliberatio.

Γάϊός τε Καῖσαρ, οὐ καθαρεύων μὲν ὑπονοίας, μὴ συνεγνωκέναι τοῖς ἀνδράσι, Κικέρωνος δ' οὐ θαῤῥοῦντος καὶ τόνδε, ὑπεραρέσκοντα τῷ δήμῳ, ἐς τὸν ἀγῶνα προβάλλεσθαι, προσετίθει, διαθέσθαι τοὺς ἄνδρας Κικέρωνα τῆς Ἰταλίας ἐν πόλεσιν, αἷς ἂν αὐτὸς δοκιμάσῃ, μέχρι, Κατιλί-

cap. 6. Catone & Cicerone auctoribus decernitur: comprehensos indicta caussa esse necandos.

να καταπολεμηθέντος, ἐς δικαστήριον ὑπαχθῶσι, καὶ μηδὲν ἀνήκεστον ἐς ἄνδρας ἐπιφανεῖς ἢ πρὸ λόγου καὶ δίκης ἐξειργασμένος. δικαίου δὲ τῆς γνώμης φανείσης καὶ δεχθείσης, ἀκρατῶς οἱ πολλοὶ μετετίθεντο· μέχρι Κάτων, ἤδη σαφῶς ἀνακαλύπτων τὴν ἐς τὸν Καίσαρα ὑποψίαν, καὶ ὁ Κικέρων, δεδιὼς ἀμφὶ τῇ νυκτὶ προσιούσῃ, μὴ τὸ συνεγνωκὸς τοῖς ἀνδράσι πλῆθος αἰωρούμενον ἔτι κατ' ἀγορὰν, καὶ δεδιὸς περί τε σφῶν αὐτῶν καὶ περὶ ἐκείνων, ἐργάσηταί τι ἄτοπον, ἔπεισαν, ὡς αὐτοφώρων ἄνευ κρίσεως καταγνῶναι. καὶ εὐθὺς ἐκ τῶν οἰκιῶν, ἔτι τῆς βουλῆς συνεστώσης, ἕκαστον αὐτῶν ὁ Κικέρων ἐς τὸ δεσμωτήριον μεταγαγὼν, τοῦ πλήθους ἀγνοοῦντος, ἐπεῖδεν ἀποθνήσκοντας· καὶ τοῖς ἐν ἀγορᾷ παροδεύων ἐσήμηνεν, ὅτι τεθνᾶσιν. οἱ δὲ διελύοντο, πεφρικότες τε, καὶ περὶ σφῶν ἀγαπῶντες ὡς διαλαθόντες. οὕτω μὲν ἡ πόλις ἀνέπνευσεν ἀπὸ τοῦ δέους, πολλοῦ σφίσιν ἐκείνης τῆς ἡμέρας ἐπιστάντος.

Necatis iis, Cicero in forum progressus, populo eos vixisse significat, quo ipso civitas a gravi metu respirat.

cap. 7.

Antonius, alter Cos., Catilinam trans Alpes assequitur, eumque victum cum reliquis conjurationis auctoribus cædit.

Κατιλίναν δὲ ἐς δισμυρίους τε ἀγείραντα, καὶ τούτων τεταρτημόριον ὁπλίσαντα ἤδη, καὶ ἐς Γαλατίαν ἐπὶ ἄλλην παρασκευὴν ἀπιόντα, Ἀντώνιος, ὁ ἕτερος ὕπατος, ὑπὲρ Ἄλπεις καταλαβὼν, οὐ δυσχερῶς ἐκράτησεν ἀνδρὸς ἐμπλήκτως ἀλλόκοτον ἔργον ἐπὶ νοῦν λαβόντος τε, καὶ ἐς πεῖραν ἔτι ἐμπληκτότερον ἀπαρασκεύως προαγαγόντος. οὐ μὴν ὅ γε Κατιλίνας, οὐδ' ἄλλος οὐδεὶς τῶν συνόντων ἐπιφανῶν, φυγεῖν ἠξίωσεν· ἀλλ' ἐσδραμόντες ἐς τοὺς πολεμίους ἀπώλοντο. ὧδε μὲν ἡ Κατιλίνα ἐπανάστασις, παρ' ὀλίγον ἐς ἔσχατον ἐλθοῦσα κινδύνου τῇ πόλει, διελύετο. καὶ ὁ Κικέρων, ἅπασιν ἐπὶ λόγου δυνάμει μόνῃ γνώριμος ὤν, τότε καὶ ἐπὶ ἔργῳ διὰ στόματος ἦν, καὶ σωτὴρ ἐδόκει περιφανῶς ἀπολλυμένῃ τῇ πατρίδι γενέσθαι, χάριτές τε ἦσαν αὐτῷ παρὰ τὴν ἐκκλησίαν καὶ εὐφημίαι ποικίλαι. Κάτωνος δ' αὐτὸν καὶ Πατέρα τῆς Πατρίδος προσαγορεύσαντος, ἐπεβόησεν ὁ δῆμος. καὶ δοκεῖ τισιν ἥδε ἡ εὐφημία ἀπὸ Κικέρωνος ἀρξαμένη περιελθεῖν ἐς τῶν νῦν αὐτοκρατόρων τοὺς φαινομένους ἀξίους. οὐδὲ γὰρ τοῖσδε, καίπερ οὖσι βασιλεῦσιν, εὐθὺς ἀπ' ἀρχῆς ἅμα ταῖς ἄλλαις ἐπωνυμίαις, ἀλλὰ σὺν χρόνῳ μόλις, ἥδε, ὡς ἐντελὴς ἐπὶ μεγίστοις δὴ μαρτυρία, ψηφίζεται.

Cicero pater patriæ salutatur.

(Nun

Digitized by Google

(Νυνὶ δέ μοι δοκεῖ, τὰ Μιθριδάτεια ἔργα, ἐς ὐδεμίαν συγγραφὴν οἰκείαν ἄλλην ἀπαντῶντα, ἐς τόδε τὸ μέρος συναγαγεῖν τε καὶ ἐπιδραμεῖν, ὡς ἐγένετο. Οἱ μὲν Ῥωμαῖοι Νικομήδην ὁμῦ καὶ Ἀριοβαρζάνην, ἐκβληθέντας ὑπὸ Μιθριδάτυ τῆς ἀρχῆς, ἐπανῆγον ἐς τὴν οἰκείαν.) εὐθύς τε ἀνέπειθον ἄμφω, γείτονας τοσῦδε πολέμυ κατάρξαι, τὴν Μιθριδάτυ δύναμιν δεδιότες. ἐγκειμένων δὲ τῶν πρέσβεων, ὁ Νικομήδης, πολλὰ μὲν ὑπὲρ τῆς ἐπικυρίας τοῖς στρατηγοῖς καὶ τοῖς πρέσβεσιν ὡμολογηκὼς χρήματα δώσειν, καὶ ἔτι ὄφλων, πολλὰ δ' ἄλλα παρὰ τῶν ἑπομένων Ῥωμαίων δεδανεισμένος, καὶ ὀχλύμενος, ἄκων ἐσέβαλεν ἐς τὴν Μιθριδάτυ γῆν· καὶ ἐλεηλάτησεν, ἐπὶ πόλιν Ἄμαστριν, ὐδενὸς ὔτε κωλύοντος αὐτὸν, ὔτε ἀπαντῶντος. ὁ γάρ τοι Μιθριδάτης, ἑτοίμην ἔχων δύναμιν, ὅμως ὑπεχώρει, πολλὰ καὶ δίκαια διδὺς ἐγκλήματα τῷ πολέμῳ γενέσθαι.

Ibidem. De bello Mith. cap. 11. Bella Mithridatica tria, ab A.U.666-690. ante C. 88-64. *Bellum Mithridaticum I.* A.U.666-669. ante C. 88-85. Causa belli. (v.T.I.p.620.) Romani, Nicomedem & Ariobarzanem in Mithridatem sollicitant: Nicomedes obtemperat invitus.

Ἀναζεύξαντος δὲ τῦ Νικομήδυς μετὰ πολλῶν λαφύρων, Πελοπίδαν ὁ Μιθριδάτης ἔπεμπεν ἐς τὺς Ῥωμαίων στρατηγύς τε καὶ πρέσβεις· ὐκ ἀγνοῶν μὲν, αὐτὺς πολεμησείοντας αὐτῷ, καὶ τῆσδε τῆς ἐσβολῆς αἰτίυς γεγονότας. ὑποκρινόμενος δὲ, καὶ πλείονας ὁμῦ καὶ εὐπρεπεστέρας αἰτίας τῦ γενησομένυ πολέμυ πορίζων, ἀνεμίμνησκε φιλίας καὶ συμμαχίας ἰδίας τε καὶ πατρῴας. ἀνθ' ὧν αὐτὸν, ὁ Πελοπίδας ἔφη, Φρυγίαν ἀφῃρῆσθαι καὶ Καππαδοκίαν· τὴν μὲν, ἀεὶ τῶν προγόνων αὐτῦ γενομένην, καὶ ὑπὸ τῦ πατρὸς ἀναληφθεῖσαν· Φρυγίαν δὲ ἐπινίκιον ἐπὶ Ἀριστονίκῳ παρὰ τῦ ὑμετέρυ στρατηγῦ δοθεῖσάν τε, καὶ ὐχ ἧσσον παρὰ τῦ αὐτῦ στρατηγῦ πολλῶν χρημάτων ἐωνημένην. "νῦν δ', ἔφη, καὶ Νικομήδη τὸ στόμα τῦ Πόντυ διακλείοντα περιορᾶτε, καὶ τὴν γῆν μέχρι Ἀμάστριδος ἐπιτρέχοντα, καὶ λείαν ἄγοντα, ὅσην ἴστε ἀκριβῶς· ὐκ ἀσθενῶς ὐδὲ ἀνετοίμως ἔχοντος πρὸς ἄμυναν τῦ ἐμῦ βασιλέως, ἀλλ' ἀναμένοντος ὑμᾶς ἐν ὄψει μάρτυρας τῶν γιγνομένων γενέσθαι. ἐπειδὴ δὲ ἐγένεσθέ τε, καὶ εἴδετε· παρακαλεῖ Μιθριδάτης, φίλος ὢν ὑμῖν καὶ σύμμαχος, φίλυς ὄντας ὑμᾶς καὶ συμμάχυς, (ὧδε γὰρ αἱ συνθῆκαι λέγυσιν,) ἐπικυρεῖν ἡμῖν ἀδικυμένοις ὑπὸ Νικομήδυς, ἢ κωλύειν αὐτὸν ἀδικῦντα."

cap. 12. Mithridates per legatum Pelopidam apud Romanos de injuria ipsi a Nicomede illata conqueritur.

Ὁ

Digitized by Google

cap. 16. Romani jubent Mithridatem abstinere a Nicomede & Cappadocia, & inscio senatu bellum parant.

Ὁ μὲν δὴ Πελοπίδας ὧδε ἔλεξεν. οἱ δὲ Ῥωμαῖοι Μιθριδάτην μὲν ἐκέλευον ἀπέχεσθαι Νικομήδους καὶ Καππαδοκίας· (αὐτοὶ γὰρ αὖθις Ἀριοβαρζάνην ἐς αὐτὴν καταξειν·) Πελοπίδαν δ' εὐθὺς ἐξιέναι τοῦ στρατοπέδου, καὶ μηκέτι πρεσβεύειν ἐς αὐτοὺς, εἰ μὴ τοῖς κελευομένοις ὁ βασιλεὺς ἐμμένοι. οὕτω μὲν ἀπεκρίναντο· καὶ ἀπιόντι φυλακὴν συνέπεμψαν, ἵνα μή τινας ἐπιτρίψειε παροδεύων.

cap. 17. Apparatus bellicus ex utraque parte.

Ταῦτα δὲ εἰπόντες, οὐκ ἀναμείναντες, περὶ τοσοῦδε πολέμου τὴν βουλὴν ἢ τὸν δῆμον ἐπιγνώμονα γενέσθαι, στρατιὰν ἤγειρον ἔκ τε Βιθυνίας καὶ Καππαδοκίας καὶ Παφλαγονίας, καὶ Γαλατῶν τῶν ἐν Ἀσίᾳ. ὡς δὲ αὐτοῖς ὅ τε ἴδιος στρατὸς, ὅσον εἶχε Λούκιος Κάσσιος ὁ τῆς Ἀσίας ἡγούμενος, ἕτοιμος ἦν ἤδη, καὶ τὰ συμμαχικὰ πάντα συνεληλύθει· διελόμενοι τὸ πλῆθος, ἐστρατοπέδευον· Κάσσιος μὲν, ἐν μέσῳ Βιθυνίας τε καὶ Γαλατίας· Μάνιος δὲ, ᾗ διαβατὸν ἦν ἐς Βιθυνίαν τῷ Μιθριδάτῃ· Ὄππιος δὲ, ἕτερος στρατηγὸς, ἐπὶ τῶν ὅρων τῶν Καππαδοκίας· ἱππέας ἔχων ἕκαστος αὐτῶν καὶ πεζοὺς ἀμφὶ τοὺς τετρακισμυρίους. ἦν δὲ καὶ νεῶν στόλος αὐτοῖς, οὗ περὶ Βυζάντιον Μινούκιός τε Ῥοῦφος καὶ Γάϊος Ποπίλλιος ἡγοῦντο, τὸ στόμα τοῦ Πόντου φυλάσσοντες. παρῆν δὲ αὐτοῖς καὶ Νικομήδης, ἄρχων ἑτέρων πεντακισμυρίων πεζῶν, καὶ ἱππέων ἑξακισχιλίων. τοσόσδε μὲν αὐτοῖς ἀθρόως στρατὸς ἀγήγερτο. Μιθριδάτῃ δὲ τὸ μὲν οἰκεῖον ἦν, μυριάδες πεζῶν πέντε καὶ εἴκοσι, καὶ ἱππεῖς τετρακισμύριοι, καὶ νῆες κατάφρακτοι τριακόσιαι, δίκροτα δὲ ἑκατὸν, καὶ ἡ ἄλλη παρασκευὴ τούτων κατὰ λόγον· στρατηγοὶ δὲ, Νεοπτόλεμός τε καὶ Ἀρχέλαος, ἀλλήλων ἀδελφώ. καὶ τοῖς πλείστοις αὐτὸς βασιλεὺς παρεγίγνετο. συμμαχικὰ δὲ ἦγον αὐτῷ, Ἀρκαθίας μὲν, αὐτοῦ Μιθριδάτου παῖς, ἐκ τῆς βραχυτέρας Ἀρμενίας, μυρίους ἱππέας, καὶ Δορύλαος ἐν φάλαγγι ταττομένους· Κρατερὸς δὲ ἑκατὸν καὶ τριάκοντα ἅρματα. Τοσαύτη μὲν ἦν ἑκατέροις ἡ παρασκευὴ, ὅτε πρῶτον ᾔεσαν ἐς ἀλλήλους Ῥωμαῖοί τε καὶ Μιθριδάτης, ἀμφὶ τὰς ἑκατὸν καὶ ἑβδομήκοντα τρεῖς ὀλυμπιάδας.

cap. 18. Primo proelio Nicomedes fugatur.

Ἐν δὲ πεδίῳ πλατεῖ παρὰ τὸν Ἀμνειὸν ποταμὸν κατιδόντες ἀλλήλους ὅ τε Νικομήδης καὶ οἱ τοῦ Μιθριδάτου στρατηγοὶ, παρέταττον ἐς μάχην· Νικομήδης μὲν ἅπαντας

τοὺς

Digitized by Google

τὰς ἑαυτῦ, Νεοπτόλεμος δὲ καὶ Ἀρχέλαος τὰς εὐζώνυς μόνυς, καὶ ὗς Ἀρκαθίας ἦγεν ἱππέας, καί τινα τῶν ἁρμάτων· ἡ γὰρ φάλαγξ ἔτι προσῄει. ἐς δέ τινα γήλοφον τῦ πεδίυ πετρώδη, προλαβόντες, ἀνέπεμψαν ὀλίγυς, ἵνα μὴ κυκλωθεῖεν ὑπὸ τῶν Βιθυνῶν, πολὺ πλειόνων ὄντων. ὡς δὲ ἐξωθυμένυς εἶδον αὐτὺς ἐκ τῦ γηλόφυ, δείσας ὁ Νεοπτόλεμος περὶ τῇ κυκλώσει, προσεβοήθει μετὰ σπυδῆς, καλῶν ἅμα καὶ τὸν Ἀρκαθίαν. Νικομήδης δ', ὁρῶν, ἀντιπαρῄει· καὶ γίγνεται πολὺς ἐνταῦθα ἀγὼν καὶ φόνος. βιασαμένυ δὲ τῦ Νικομήδυς, ἔφευγον οἱ Μιθριδάτειοι· ἕως ὁ Ἀρχέλαος, ἀπὸ τῦ δεξιῦ μετελθὼν, ἐνέβαλεν ἐς τὺς διώκοντας· οἱ δ' ἐς αὐτὸν ἐπεστράφησαν. ὁ δ' ὑπεχώρει κατ' ὀλίγον, ἵν' ἔχοιεν ἐκ τῆς φυγῆς ἐπανελθεῖν οἱ περὶ Νεοπτόλεμον. ὡς δὲ εἴκασεν αὐτάρκως ἔχειν, ἐπέστρεφεν. καὶ τοῖς Βιθυνοῖς τὰ δρεπανηφόρα ἅρματα ἐμπίπτοντα μετὰ ῥύμης, διέκοπτε καὶ διέτεμνε τὺς μὲν ἀθρόως ἐς δύο, τὺς δ' ἐς μέρη πολλά. τό τε γιγνόμενον ἐξέπληττε τὴν στρατιὰν τῦ Νικομήδυς, ὅτε ἴδοιεν ἡμιτόμυς ἄνδρας ἔτι ἐμπνόυς, ἢ ἐς πολλὰ διεῤῥιμμένυς, ἢ τῶν δρεπάνων ἀπηρτημένυς. ἀηδίᾳ τε μᾶλλον ὄψεως, ἢ μάχης ἥσσῃ, τὴν τάξιν ὑπὸ φόβυ συνέχεον. ταραχθεῖσι δ' αὐτοῖς ὁ μὲν Ἀρχέλαος ἐκ τῦ μετώπυ, Νεοπτόλεμος δὲ καὶ Ἀρκαθίας, ἐκ τῆς φυγῆς ἀναστρέφοντες, ἐπέκειντο ὄπιθεν. οἱ δ' ἐπὶ πολὺ μὲν ἠμύνοντο, ἐς ἑκατέρυς ἐπιστρεφόμενοι· ὡς δὲ τὸ πλεῖστον ἐπεπτώκει, Νικομήδης μὲν ἔφευγε μετὰ τῶν ὑπολοίπων ἐς Παφλαγονίαν, ὐδ' εἰς χεῖρας ἐλθύσης πω τῆς Μιθριδατείυ φάλαγγος. ἑάλω δ' αὐτῦ τὸ χαράκωμα, καὶ τὰ χρήματα πολλὰ ὄντα, καὶ πλῆθος αἰχμαλώτων. ὓς πάντας Μιθριδάτης, φιλανθρωπευσάμενός τε, καὶ ἐφόδια δὺς, ἀπέλυσεν ἐς τὰ οἰκεῖα ἀπιέναι· δόξαν ἐμποιῶν τοῖς πολεμίοις φιλανθρωπίας.

Captivi a Mithridate benigne tractantur.

Ἔργον δὴ τόδε πρῶτον τῦ Μιθριδατείυ πολέμυ καὶ οἱ στρατηγοὶ τῶν Ῥωμαίων κατεπεπλήγεσαν, ὡς ἐκ εὐβυλίᾳ μᾶλλον, ἢ προπετῶς, ἄνευ τῦ κοινῦ, τοσόνδε πόλεμον ἅψαντες. ὀλίγοι τε γὰρ πολὺ πλειόνων ἐκεκρατήκεσαν, καὶ ὐδεμιᾷ συντυχίᾳ χωρίων, ἢ πολεμίυ σφάλματος· ἀλλ' ἀρετῇ στρατηγῶν καὶ ἀνδρείᾳ στρατῦ. Νικομήδης

cap. 19. Secundo praelio vincit Mithridates Manium & Nicomedem.

Digitized by Google

δης μὲν ἐν Μανίῳ παρεςρατοπέδευε· Μιθριδάτης δ' ἐπὶ τὸ Σκορόβαν ὄρος ἀνῄει, ὅ τέλος ἐςὶ Βιθυνῶν καὶ τῆς Ποντικῆς χώρας. πρόδρομοί τε αὐτῦ, Σαυροματῶν ἑκατὸν ἱππεῖς, ὀκτακοσίοις ἱππεῦσι τῦ Νικομήδυς ἐντυχόντες, αἱρῦσι καὶ τύτων τινάς· ὓς πάλιν ὁ Μιθριδάτης σὺν ἐφοδίοις μεθῆκεν ἐς τὰς πατρίδας ἀπιέναι. Μάνιον δ' ὑποφεύγοντα Νεοπτόλεμός τε καὶ Νεμάνης ὁ Ἀρμένιος, ἀμφὶ τὸ πρῶτον Πάχιον χωρίον, ἑβδόμης ὥρας καταλαβόντες, οἰχομένυ πρὸς Κάσσιον Νικομήδυς, ἠνάγκασαν ἐς μάχην, ἱππέας ἔχοντα τετρακισχιλίυς, καὶ πεζὺς ἔτι τύτων δεκαπλασίονας. κτείναντες δ' αὐτῦ περὶ μυρίυς, ἐζώγρησαν ἐς τριακοσίυς. ὓς ὁμοίως ὁ Μιθριδάτης, ἐς αὐτὸν ἀναχθέντας, ἀπέλυσε, καταδημοκοπῶν τὺς πολεμίυς. Μανίυ δ' ἐλήφθη καὶ τὸ ςρατόπεδον· καὶ φεύγων αὐτὸς ἐπὶ τὸν Σαγγάριον ποταμὸν, νυκτὸς γενομένης ἐπέρασέ τε καὶ ἐς Πέργαμον ἐσώθη. Κάσσιος δὲ, καὶ Νικομήδης, καὶ ὅσοι ἄλλοι Ῥωμαίων πρέσβεις παρῆσαν, ἐς Λεόντων κεφαλὴν (ὃ τῆς Φρυγίας ἐςὶν ὀχυρώτατον χωρίον) μετεςρατοπέδευον· καὶ τὸ πλῆθος, ὅσον εἶχον, ὑ πάλαι συνειλεγμένον, χειροτεχνῶν, ἢ γεωργῶν, ἢ ἰδιωτῶν, ἐγύμναζον· καὶ τὺς Φρύγας αὐτοῖς προσκατέλεγον. ὀκνύντων δὲ ἑκατέρων, ἀπέγνωσαν πολεμεῖν ἀνδράσιν ἀπολέμοις. καὶ διαλύσαντες αὐτὺς, ἀνεχώρυν· Κάσσιος μὲν, ἐς Ἀπάμειαν, σὺν τῷ ἑαυτῦ ςρατῷ· Νικομήδης δὲ ἐς Πέργαμον, Μαγκῖνος δὲ ἐπὶ Ῥόδυ. ὧν, ὅσοι τὸ ςόμα τῦ Πόντυ κατεῖχον, πυθόμενοι, διελύθησαν· καὶ [Νικομήδης] τάς τε κλεῖς τῦ Πόντυ, καὶ ναῦς, ὅσας εἶχον, τῷ Μιθριδάτῃ παρέδοσαν.

cap. 20. totaque Nicomedis ditione potitus Phrygiam ingreditur, & Romanas provincias percurrit;

Ὁ δὲ ὁρμῇ τῇδε μιᾷ τὴν ἀρχὴν ὅλην τῦ Νικομήδυς ὑπολαβὼν, ἐπῄει, καὶ καθίςατο τὰς πόλεις. ἐμβαλὼν δὲ καὶ ἐς Φρυγίαν, ἐς τὸ τῦ Ἀλεξάνδρυ πανδοκεῖον κατέλυσεν, οἰωνιζόμενος ἄρα, ἔνθαπερ Ἀλέξανδρος ἀνεπαύσατο, καὶ Μιθριδάτην ςαθμεῦσαι. ὁ μὲν δὴ καὶ Φρυγίας τὰ λοιπὰ, καὶ Μυσίαν καὶ Ἀσίαν, ἃ Ῥωμαίοις νεόκτητα ἦν, ἐπέτρεχε· καὶ ἐς τὰ περίοικα περιπέμπων, ὑπηγάγετο Λυκίαν τε καὶ Παμφυλίαν, καὶ τὰ μέχρι Ἰωνίας. Λαοδικεῦσι δὲ ἔτι ἀντέχυσι, τοῖς περὶ τὸν Λύκον ποταμὸν, (Ῥωμαίων γάρ τις ςρατηγὸς, Κόιντος Ὄππιος,

πιος, ἱππέας ἔχων καὶ μισθοφόρους τινάς, ἐς τὴν πόλιν ἐσδραμὼν, ἐφύλαττεν αὐτήν·) κήρυκα ἐπιπέμψας ἐπὶ τὰ τείχη, λέγειν ἐκέλευσεν, ὅτι, Βασιλεὺς Μιθριδάτης ὑπέχεται Λαοδικεῦσιν ἄδειαν, εἰ τὸν Ὄππιον αὐτῷ προσαγάγοιεν. οἱ δ' ἐπὶ τῷ κηρύγματι, τοὺς μὲν μισθοφόρους Ὀππίου μεθῆκαν ἀπαθεῖς ἀπιέναι· αὐτὸν δ' ἤγαγον τῷ Μιθριδάτῃ τὸν Ὄππιον, ἡγουμένων αὐτοῦ τῶν ῥαβδοφόρων ἐπὶ γέλωτι. καὶ αὐτὸν ὁ Μιθριδάτης, οὐδὲν διαθεὶς, ἐπήγετο πανταχοῦ λελυμένον, ἐπιδεικνύμενος ἅμα Ῥωμαίων αἰχμάλωτον στρατηγόν.

Oppius a Laodicensibus captivus ei traditur.

Μετ' οὐ πολὺ δὲ καὶ Μάνιον Ἀκύλιον, τὸν τῆσδε τῆς πρεσβείας καὶ τοῦδε τοῦ πολέμου μάλιστα αἴτιον, ἑλὼν, δεδεμένον ἐπὶ ὄνου περιήγετο, κηρύσσοντα τοῖς ὁρῶσιν, ὅτι Μάνιος εἴη· μέχρι ἐν Περγάμῳ τοῦ στόματος αὐτοῦ κατεχώνευσε χρυσίον, δωροδοκίαν ἄρα Ῥωμαίοις ὀνειδίζων. σατράπας δὲ τοῖς ἔθνεσιν ἐπιστήσας, ἐς Μαγνησίαν καὶ Ἔφεσον καὶ Μιτυλήνην παρῆλθεν, ἀσμένως αὐτὸν ἁπάντων δεχομένων, Ἐφεσίων δὲ καὶ τὰς Ῥωμαίων εἰκόνας τὰς παρὰ σφίσι καθαιρούντων· ἐφ' ᾧ δίκην ἔδοσαν οὐ πολὺ ὕστερον. ἐπανιὼν δὲ ἐκ τῆς Ἰωνίας, Στρατονίκειαν εἷλε, καὶ ἐζημίωσε χρήμασι, καὶ φρουρὰν ἐς τὴν πόλιν ἐσήγαγεν. παρθένον τε εὔμορφον ἰδὼν, ἐς τὰς γυναῖκας ἀνεδέξατο· καὶ, εἴ τῳ σπουδὴ καὶ τὸ ὄνομα πυθέσθαι, Μονίμη Φιλοποίμενος ἦν. Μάγνησι δὲ καὶ Παφλαγόσι καὶ Λυκίοις, ἔτι ἀντέχουσι, διὰ τῶν στρατηγῶν ἐπολέμει.

cap. 21. Adeo Manium Aquilium, belli auctorem capit.

Magnesiam, Ephesim aliasque urbes occupat.

Καὶ τάδε μὲν ἦν ἀμφὶ τὸν Μιθριδάτην. Ῥωμαῖοι δ', ἐξ οὗ τῆς πρώτης αὐτοῦ ὁρμῆς τε καὶ ἐς τὴν Ἀσίαν ἐσβολῆς ἐπύθοντο, στρατεύειν ἐπ' αὐτὸν ἐψηφίσαντο, καίπερ ἀσχολούμενοι στάσεσιν ἀτρύτοις ἐν τῇ πόλει, καὶ οἰκείῳ πολέμῳ χαλεπῷ, τῆς Ἰταλίας ἀφισαμένης σχεδὸν ἁπάσης ἀνὰ μέρος. κληρουμένων δὲ τῶν ὑπάτων, ἔλαχε μὲν Κορνήλιος Σύλλας ἄρχειν τῆς Ἀσίας, καὶ πολεμεῖν τῷ Μιθριδάτῃ. χρήματα δ' οὐκ ἔχοντες αὐτῷ ἐσενεγκεῖν, ἐψηφίσαντο πραθῆναι, ὅσα Νουμᾶς Πομπίλιος βασιλεὺς ἐς θυσίας θεῶν διετέτακτο. τοσήδε μὲν ἦν τότε πάντων ἀπορία, καὶ ἐς πάντα φιλοτιμία. καί τινα αὐτῶν ἔφθασε πραθῆναι, καὶ συνενεγκεῖν χρυσίου λίτρας ἐννακισχιλίας· ἃς μόνας ἐς τηλικοῦτον πόλεμον ἔδοσαν. Σύλλαν μὲν

cap. 22. Senatus Romanus bellum decernit; Corneliusque Sylla sortitur Asiam & bellum Mithridaticum.

Digitized by Google

Mithridates Satrapis civitatumque magistratibus scribit, ut Romanos Italosque hospites interficiant in Asia.

μὲν οὖν ἐς πολὺ αἱ στάσεις κατέσχον, ὡς ἐν τοῖς Ἐμφυλίοις συγγέγραπται. ἐν τούτῳ δ' ὁ Μιθριδάτης ἐπί τε Ῥοδίους ναῦς πλείονας συνεπήγνυτο, καὶ σατράπαις ἅπασι καὶ πόλεως ἄρχουσι δι' ἀπορρήτων ἔγραφε, τριακοστὴν ἡμέραν φυλάξαντας, ὁμοῦ πάντας ἐπιθέσθαι τοῖς παρὰ σφίσι Ῥωμαίοις καὶ Ἰταλοῖς, αὐτοῖς τε, καὶ γυναιξὶν αὐτῶν, καὶ παισὶ, καὶ ἐλευθέροις ὅσοι γένους Ἰταλικοῦ. κτείναντάς τε, ἀτάφους ἀποῤῥίψαι, καὶ τὰ ὄντα αὐτοῖς μερίσασθαι πρὸς βασιλέα Μιθριδάτην. ἐπεκήρυξε δὲ καὶ ζημίαν τοῖς καταθάπτουσιν αὐτοὺς, ἢ ἐπικρύπτουσι, καὶ μήνυτρα τοῖς ἐλέγχουσιν, ἢ τοὺς κρυπτομένους ἀναιροῦσι· θεράπουσι μὲν ἐπὶ δεσπότας, ἐλευθερίαν· χρήσταις δ' ἐπὶ δανειστὰς, ἥμισυ τοῦ χρέους. τάδε μὲν δι' ἀποῤῥήτων ὁ Μιθριδάτης ἐπέστελλεν ἅπασιν ὁμοῦ. καὶ τῆς ἡμέρας ἐπελθούσης, συμφορῶν ἰδέαι ποικίλαι κατὰ τὴν Ἀσίαν ἦσαν. ὧν ἔνια τοιάδε ἦν.

cap. 23. Crudelitates Ephesiorum, Pergamenorum, Adramyttenorum, Cauniorum, Trallianorum per Theophilum Paphlagonem.

Ἐφέσιοι τοὺς ἐς τὸ Ἀρτεμίσιον καταφυγόντας, συμπλεκομένους τοῖς ἀγάλμασιν, ἐξέλκοντες ἔκτεινον. Περγαμηνοὶ τοὺς ἐς τὸ Ἀσκληπιεῖον συμφυγόντας, οὐκ ἀφισταμένους, ἐτόξευον τοῖς ξοάνοις συμπλεκομένους. Ἀδραμυττηνοὶ τοὺς ἐκνέοντας, ἐσβαίνοντες ἐς τὴν θάλασσαν, ἀνῄρουν, καὶ τὰ βρέφη κατεπόντουν. Καύνιοι, Ῥοδίοις ὑποτελεῖς ἐπὶ τῷ Ἀντιόχου πολέμῳ γενόμενοι, καὶ ὑπὸ Ῥωμαίων ἀφεθέντες οὐ πρὸ πολλοῦ, τοὺς Ἰταλοὺς ἐς τὴν Βουλαίαν Ἑστίαν καταφυγόντας, ἕλκοντες ἀπὸ τῆς Ἑστίας, τὰ βρέφη σφῶν πρῶτα ἔκτεινον ἐν ὄψει τῶν μητέρων, αὐτάς τε καὶ τοὺς ἄνδρας ἐπ' ἐκείνοις. Τραλλιανοὶ δ', αὐθένται τοῦ κακοῦ φυλαξάμενοι γενέσθαι, Παφλαγόνα Θεόφιλον, ἄγριον ἄνδρα, ἐς τὸ ἔργον ἐμισθώσαντο. καὶ ὁ Θεόφιλος αὐτοὺς συναγαγὼν ἐπὶ τὸν τῆς Ὁμονοίας νεὼν, ἥπτετο τοῦ φόνου· καί τινων τοῖς ἀγάλμασι συμπλεκομένων τὰς χεῖρας ἀπέκοπτε. τοιαύταις μὲν τύχαις οἱ περὶ τὴν Ἀσίαν ὄντες Ἰταλοὶ καὶ Ῥωμαῖοι συνεφέροντο, ἄνδρες τε ὁμοῦ, καὶ βρέφη, καὶ γυναῖκες, καὶ ἐξελεύθεροι, καὶ θεράποντες αὐτῶν, ὅσοι γένους Ἰταλικοῦ. ᾧ καὶ μάλιστα δῆλον ἐγένετο, τὴν Ἀσίαν οὐ φόβῳ Μιθριδάτου μᾶλλον, ἢ μίσει Ῥωμαίων, τοιάδε ἐς αὐτοὺς ἐργάσασθαι. ἀλλ' οὗτοι μὲν δίκην ἔδοσαν διπλῆν, αὐτοῦ τε Μιθριδάτου μετ' ὀλίγον ἀπίστως ἐξυβρίσαντος ἐς αὐτοὺς, καὶ ὕστερον Κορνηλίῳ Σύλλᾳ. Μιθριδάτης δὲ ἐς μὲν Κῶ

A Coo Mithridates accersit

Κῶ κατέπλευσε, Κῴων αὐτὸν ἀσμένως δεχομένων. καὶ τὸν Ἀλεξάνδρου παῖδα τοῦ βασιλεύοντος Αἰγύπτου, σὺν χρήμασι πολλοῖς ὑπὸ τῆς μάμμης Κλεοπάτρας ἐν Κῷ καταλελειμμένον, παραλαβὼν, ἔτρεφε βασιλικῶς· ἔκ τε τῶν Κλεοπάτρας θησαυρῶν γάζαν πολλὴν, καὶ τέχνην, καὶ λίθους, καὶ κόσμους γυναικείους, καὶ χρήματα πολλὰ ἐς τὸν Πόντον ἔπεμψεν.

filium Alexandri reg. Aegypti, educandum, & multa artificum opera aliasque divitias in Pontum mittit.

Ἐν δὲ τούτῳ Ῥόδιοι τά τε τείχη σφῶν καὶ τοὺς λιμένας ἐκρατύναντο, καὶ μηχανὰς ἅπασιν ἐφίσταντο· καί τινες αὐτοῖς Τελμισσέων τε καὶ Λυκίων συνεμάχουν. ὅσοι τε ἐξ Ἀσίας Ἰταλοὶ διεπεφεύγεσαν, ἐς Ῥόδον ἅπαντες ἐχώρουν· καὶ σὺν αὐτοῖς Λούκιος Κάσσιος, ὁ τῆς Ἀσίας ἀνθύπατος. ἐπιπλέοντος δὲ τοῦ Μιθριδάτου, τὰ προάστεια καθῄρουν, ἵνα μηδὲν εἴη χρήσιμα τοῖς πολεμίοις. μετὰ δὲ πλείονας ναυμαχίας καὶ ἄλλας ὁρμὰς ἀνεζεύγνυεν ἐκ τῆς Ῥόδου.

cap. 24. Rhodum frustra adoritur.

Πατάροις δὲ τὴν στρατιὰν περιστήσας, ἔκοπτε Λητοῦς ἄλσος ἱερὸν ἐς μηχανάς· μέχρι φοβήσαντος αὐτὸν ἐνυπνίου, τῆς τε ὕλης ἐφείσατο· καὶ Πελοπίδαν Λυκίοις πολεμεῖν ἐπιστήσας, Ἀρχέλαον ἐς τὴν Ἑλλάδα ἔπεμπε, προσεταιρισόμενον ἢ βιασόμενον αὐτῆς, ὅσα δύναιτο. αὐτὸς δ' ἀπὸ τοῦδε τοῖς στρατηγοῖς τὰ πολλὰ μεθεὶς, ἐστρατολόγει, καὶ ὡπλοποίει, καὶ τῇ Στρατονικίδι γυναικὶ διετέρπετο, καὶ δίκας ἐδίκαζε τοῖς ἐπιβουλεύειν ἐς τὸ σῶμα αὐτοῦ λεγομένοις, ἢ νεωτερίζουσιν, ἢ ὅλως ῥωμαΐζουσι.

cap. 27. Pataris cædit Latonæ lucum. Pelopidas, bellum in Lycia continuat. Archelaus in Græcia. Mithridates vero belli curas suis ducibus committit.

Καὶ ὁ μὲν ἐπὶ τοῖσδε ἦν· κατὰ δὲ τὴν Ἑλλάδα τοιάδε ἐγίγνετο. Ἀρχέλαος, ἐπιπλεύσας καὶ σίτῳ καὶ στόλῳ πολλῷ, Δῆλόν τε ἀφισταμένην ἀπὸ Ἀθηναίων, καὶ ἄλλα χωρία, ἐχειρώσατο βίᾳ καὶ κράτει. κτείνας δ' ἐν αὐτοῖς δισμυρίους ἄνδρας, ὧν οἱ πλέονες ἦσαν Ἰταλοὶ, τὰ χωρία προσεποιεῖτο τοῖς Ἀθηναίοις· καὶ ἀπὸ τοῦδε αὐτοὺς, καὶ τὰ ἄλλα κομπάζων περὶ τοῦ Μιθριδάτου, καὶ ἐς μέγα ἐπαίρων, ἐς φιλίαν ὑπηγάγετο· τά τε χρήματα αὐτοῖς τὰ ἱερὰ ἔπεμπεν ἐκ Δήλου, δι' Ἀριστίωνος, ἀνδρὸς Ἀθηναίου, συμπέμψας φυλακὴν τῶν χρημάτων ἐς δισχιλίους ἄνδρας. οἷς ὁ Ἀριστίων συγχρώμενος, ἐτυράννησε τῆς πατρίδος, καὶ τῶν Ἀθηναίων τοὺς μὲν εὐθὺς ἔκτεινε ῥωμαΐζοντας, τοὺς δ' ἀνέπεμψεν ἐς Μιθριδάτην.

cap. 28. Archelaus Delum expugnat & Athenienses ad amicitiam Mithridatis perducit, quam postea Aristion, tyrannide Athenis occupata, fovet,
A. U. 667.
ante Chr. 87.

Ἀρ-

cap. 29. Archelaus Achæos, Laced., & Boeotos in suas partes trahit; Thespienses oppugnat. Metrophanes civitates a Mithrid. alienas populatur, cui Bruttius se opponit.

Ἀρχελάῳ δ' Ἀχαιοὶ καὶ Λάκωνες προσετίθεντο, καὶ Βοιωτία πᾶσα, χωρίς γε Θεσπιέων· ὃς περικαθήμενος ἐπολιόρκει. τῷ δ' αὐτῷ χρόνῳ Μητροφάνης ἐπιπεμφθεὶς ὑπὸ Μιθριδάτου μεθ' ἑτέρας στρατιᾶς, Εὔβοιαν καὶ Δημητριάδα καὶ Μαγνησίαν, οὐκ ἐνδεχομένας τὰ Μιθριδάτεια, ἐλεηλάτει. καὶ Βρύττιος ἐκ Μακεδονίας ἐπελθὼν σὺν ὀλίγῳ στρατῷ, διεναυμάχησέ τε αὐτῷ, καὶ καταποντώσας τι πλοῖον καὶ ἡμιολίαν, ἔκτεινε πάντας τοὺς ἐν αὐτοῖς, ἐφορῶντος τοῦ Μητροφάνους. ὁ δὲ, καταπλαγεὶς ἔφευγε· καὶ αὐτὸν οὐρίῳ ἀνέμῳ χρώμενον ὁ Βρύττιος οὐ καταλαβὼν, Σκίαθον ἐξεῖλεν, ἣ τῆς λείας τοῖς βαρβάροις ταμιεῖον ἦν· καὶ δούλους τινὰς αὐτῶν ἐκρέμασε, καὶ ἐλευθέρων ἀπέτεμε τὰς χεῖρας. ἐπί τε Βοιωτίαν τραπεὶς, ἑτέρων οἱ χιλίων ἱππέων καὶ πεζῶν ἐκ Μακεδονίας ἐπελθόντων, ἀμφὶ Χαιρώνειαν Ἀρχελάῳ καὶ Ἀριστίωνι τρισὶν ἡμέραις συνεπλέκετο, ἴσου καὶ ἀγχωμάλου παρ' ὅλον τὸν ἀγῶνα τοῦ ἔργου γιγνομένου. Λακώνων δὲ καὶ Ἀχαιῶν ἐς συμμαχίαν Ἀρχελάῳ καὶ Ἀριστίωνι προσιόντων, ὁ Βρύττιος, ἅπασιν ὁμοῦ γενομένοις οὐχ ἡγούμενος ἀξιόμαχος ἔτι ἔσεσθαι, ἀνεζεύγνυεν ἐς τὸν Πειραιᾶ. μέχρι καὶ τοῦδε Ἀρχέλαος, ἐπιπλεύσας, κατέσχε.

cap. 30. Sylla contra Archelaum transit in Atticam, & in ipso itinere Bœotos a Mithrid. abstrahit.

Σύλλας δ', ὁ τοῦ Μιθριδατείου πολέμου στρατηγὸς ὑπὸ Ῥωμαίων αἱρεθεὶς εἶναι, τότε πρῶτον ἐξ Ἰταλίας σὺν τέλεσι πέντε καὶ σπείραις τισὶ καὶ ἴλαις ἐς τὴν Ἑλλάδα περαιωθεὶς, χρήματα μὲν αὐτίκα καὶ συμμάχους καὶ ἀγορὰν ἔκ τε Αἰτωλίας καὶ Θεσσαλίας συνέλεγεν. ὡς δ' ἀποχρώντως ἔχειν ἐδόκει, διέβαινεν ἐς τὴν Ἀττικὴν ἐπὶ τὸν Ἀρχέλαον. παροδεύοντι δ' αὐτῷ Βοιωτία τε ἀθρόως μετεχώρει, χωρὶς ὀλίγων. καὶ τὸ μέγα ἄστυ αἱ Θῆβαι, μάλα κουφόνως ἀντὶ Ῥωμαίων ἑλόμενοι τὰ Μιθριδάτεια, ὀξύτερον ἔτι, πρὶν ἐς πεῖραν ἐλθεῖν, ἀπὸ Ἀρχελάου πρὸς Σύλλαν μετετίθετο. ὁ δ' ἐπὶ τὴν Ἀττικὴν ἐχώρει, καὶ μέρος τι στρατοῦ ἐς τὸ ἄστυ περιπέμψας Ἀριστίωνα πολιορκεῖν, αὐτὸς, ἔνθαπερ ἦν Ἀρχέλαος, ἐπὶ τὸν Πειραιᾶ κατῆλθε, κατακεκλεισμένων ἐς τὰ τείχη τῶν πολεμίων. ὕψος δ' ἦν τὰ τείχη πήχεων τεσσαράκοντα μάλιστα, καὶ εἴργαστο ἐκ λίθου μεγάλου τε καὶ τετραγώνου, Περίκλειον ἔργον, ὅτε τοῖς Ἀθηναίοις ἐπὶ Πελοποννησίους στρατηγῶν, καὶ τὴν ἐλπίδα

Pars copiarum Rom. Aristionem Athenis Sylla Archelaum in Piræeo oppugnat.

τῆς

Digitized by Google

τῆς νίκης ἐν τῷ Πειραιεῖ τιθέμενος, μᾶλλον αὐτὸν ἐκρατύνατο. Σύλλας δὲ καὶ τοιοῖσδε ἔσι τοῖς τείχεσιν εὐθὺς ἐπῆγε τὰς κλίμακας. καὶ πολλὰ μὲν ἔδρα, πολλὰ δ' ἀντέπασχεν, ἰσχυρῶς τῶν Καππαδοκῶν αὐτὸν ἀμυνομένων· ἕς τε κάμνων ἐς Ἐλευσῖνα καὶ Μέγαρα ἀνεχώρει, καὶ μηχανὰς ἐπὶ τὸν Πειραιᾶ συνεπήγνυτο, καὶ χῶμα αὐτῷ προσχῶν ἐπενόει. τέχναι μὲν δὴ καὶ παρασκευὴ πᾶσα αὐτῷ, καὶ σίδηρος, καὶ καταπέλται, καὶ εἴ τι τοιουτότροπον ἄλλο, ἐκ Θηβῶν ἐκομίζετο. ὕλην δὲ τῆς Ἀκαδημίας ἔκοπτε, καὶ μηχανὰς εἰργάζετο μεγίςας. τά τε μακρὰ σκέλη καθῄρει, λίθους καὶ ξύλα καὶ γῆν ἐς τὸ χῶμα μεταβάλλων.

Αἰθόμενος δὲ τοὺς ἐν ἄςει μᾶλλόν τι πεπιεσμένους, καὶ κτήνη πάντα καταθύσαντας, δέρματά τε καὶ βύρσας ἕψοντας, καὶ λειχομένους τὸ γιγνόμενον ἐξ αὐτῶν, τινὰς δὲ καὶ τῶν ἀποθνησκόντων ἁπτομένους· ἐκέλευσε τῷ ςρατῷ τὴν πόλιν περιταφρεύειν, ἵνα μηδὲ καθ' ἕνα τις ἐκφεύγοι λανθάνων. ὡς δὲ καὶ τοῦτο ἐξείργαςο αὐτῷ, κλίμακας ἐπῆγεν ὁμοῦ, καὶ τὸ τεῖχος διώρυττε. τροπῆς δ', ὡς ἐν ἀσθενέσιν ἀνδράσιν, αὐτίκα γενομένης, ἐσέπεσεν ἐς τὴν πόλιν. καὶ εὐθὺς ἐν Ἀθήναις σφαγὴ πολλὴ ἦν καὶ ἀνηλεής. οὔτε γὰρ ὑποφεύγειν ἐδύναντο, δι' ἀτροφίαν· οὔτε παιδίων ἢ γυναικῶν ἔλεος ἦν· τοῦ Σύλλα τὸν ἐν ποσὶν ἀναιρεῖν κελεύοντος, ὑπὸ ὀργῆς, ὡς ἐπὶ ταχείᾳ δὴ καὶ ἐς βαρβάρους ἀλόγῳ μεταβολῇ, καὶ πρὸς αὐτὸν ἀκράτῳ φιλονεικίᾳ. ὅθεν οἱ πλέονες, αἰσθανόμενοι τοῦ κηρύγματος, ἑαυτοὺς τοῖς σφαγεῦσιν ὑπερρίπτουν ἐς τὸ ἔργον. ὀλίγων δ' ἦν ἀσθενὴς ἐς τὴν ἀκρόπολιν δρόμος· καὶ Ἀριςίων αὐτοῖς συνέφευγεν, ἐμπρήσας τὸ Ὠδεῖον, ἵνα μὴ ἑτοίμοις ξύλοις αὐτίκα ὁ Σύλλας ἔχοι τὴν ἀκρόπολιν ἐνοχλεῖν. ὁ δ' ἐμπιμπράναι μὲν τὴν πόλιν ἀπεῖπε, διαρπάσαι δὲ ἔδωκε τῷ ςρατῷ. καὶ ἕτοιμοι σάρκες ἀνθρώπων ἐς τροφὴν ἐν πολλοῖς οἰκήμασιν εὑρέθησαν. τῇ δὲ ἑξῆς ὁ Σύλλας τοὺς μὲν δούλους ἀπέδοτο· τοῖς δ' ἐλευθέροις, ὅσοι νυκτὸς ἐπιλαβούσης οὐκ ἔφθασαν ἀναιρεθῆναι, πάμπαν ὀλίγοις οὖσι, τὴν μὲν ἐλευθερίαν, ἔφη, διδόναι· ψῆφον δὲ καὶ χειροτονίαν τῶνδε μὲν, ὡς οἱ πεπολεμηκότων, ἀφαιρεῖσθαι· τοῖς δ' ἐκγόνοις καὶ ταῦτα διδόναι.

cap. 38. Exorta in urbe fame operibusque absolutis scalis simul & arietibus urbem capit Sylla, eamque caedibus replet. Aristion in arcem evadit. A. U. 668. ante Chr. 86.

Urbem Sylla militibus in praedam concedit, servos sub hasta vendit; ingenuis jus suffragiorum adimit, usque ad tempora nepotum.

Ὧδε

cap. 39. Aristion fame ad deditionem cogitur, & cum suo satellitio reliquisque defectionis auctoribus trucidatur.

Ὧδε μὲν ἄδδην εἶχον αἱ Ἀθῆναι κακῶν. ὁ δὲ Σύλλας τῇ μὲν ἀκροπόλει φρουρὰν ἐπέστησεν, ᾗ τὸν Ἀριστίωνα καὶ τοὺς συμπεφευγότας, λιμῷ καὶ δίψει πιεσθέντας, ἐξεῖλεν οὐ μετὰ πολύ. καὶ αὐτῶν ὁ Σύλλας Ἀριστίωνα μὲν καὶ τοὺς ἐκείνῳ δορυφορήσαντας, ἢ ἀρχήν τινα ἄρξαντας, ἢ ὁτιοῦν ἄλλο πράξαντας, παρ᾽ ἃ πρότερον ἁλούσης τῆς Ἑλλάδος ὑπὸ Ῥωμαίων αὐτοῖς διετέτακτο, ἐκόλασε θανάτῳ. τοῖς δὲ ἄλλοις συνέγνω, καὶ νόμους ἔθηκεν ἅπασιν ἀγχοῦ τῶν πρόσθεν αὐτοῖς ὑπὸ Ῥωμαίων ὁρισθέντων. συνηνέχθη δ᾽ ἐκ τῆς ἀκροπόλεως χρυσίου μὲν ἐς τεσσαράκοντα λίτρας μάλιστα, ἀργύρου δ᾽ ἐς ἑξακοσίας. καὶ τάδε μὲν ἀμφὶ τὴν ἀκρόπολιν ὀλίγον ὕστερον ἐγένετο.

cap. 40. Piræei obsidionem indefesso studio ita ursit Sylla, ut Archelaus cogeretur, desertis muris, in munitissimam Piræei partem se recipere, quam Sylla, navibus carens, attentare non poterat.

Ὁ δὲ Σύλλας αὐτίκα τοῦ ἄστεος ληφθέντος, οὐ περιμένων ἔτι τὸν Πειραιᾶ διὰ πολιορκίας ἐξελεῖν, κριοὺς ὁμοῦ καὶ βέλη καὶ ἀκόντια ἐπῆγεν· ἄνδρας τε πολλοὺς, οἳ διώρυσσον ὑπὸ χελώναις τὰ τείχη· καὶ σπείρας, αἳ τοὺς ἐπὶ τῶν τειχῶν, ἀκοντίζουσαί τε καὶ τοξεύουσαι θαμινὰ, ἀνέκοπτον. καὶ κατήρειψέ τι τοῦ μηνοειδοῦς, ὑγροτέρου καὶ ἀσθενεστέρου ἔτι ὄντος, ἅτε νεοδομήτου. ὑπιδομένου δὲ τοῦτο ἔτι πρότερον Ἀρχελάου, καὶ προοικοδομήσαντος ἔνδοθεν ὅμοια πολλὰ, τὸ μὲν ἔργον ἦν τῷ Σύλλᾳ διηνεκὲς, ἐμπίπτοντι ἐς ἕτερον ὅμοιον ἐξ ἑτέρου. ὀρμῇ δ᾽ ἀπαύστῳ καὶ στρατοῦ μεταβολῇ πυκνῇ χρώμενος, καὶ περιθέων αὐτοὺς, καὶ παρακαλῶν ἐπὶ τὸ ἔργον, ὡς ἐν τῷδε ἔτι λοιπῷ τῆς ὅλης ἐλπίδος καὶ κέρδους τῶν προπεπονημένων ὄντος· οἱ δὲ καὶ αὐτοὶ, τῷ ὄντι τοῦτο σφίσιν ἡγούμενοι τέλος εἶναι πόνων, καὶ ἐς τὸ ἔργον αὐτὸ, ὡς μέγα δὴ καὶ λαμπρὸν, τοιῶν τειχῶν κρατῆσαι, φιλοτιμούμενοι, προσέκειντο βιαίως. μέχρι καταπλαγεὶς αὐτῶν τὴν ὁρμὴν ὁ Ἀρχέλαος, ὡς μανιώδη καὶ ἄλογον, ἐξέλιπεν αὐτοῖς τὰ τείχη· ἐς δέ τι τοῦ Πειραιῶς ἀνέδραμεν ὀχυρώτατόν τε καὶ θαλάσσῃ περίκλυστον· ᾧ ναῦς οὐκ ἔχων ὁ Σύλλας οὐδ᾽ ἐπιχειρεῖν ἐδύνατο.

cap. 41. Archelaus inde Thessaliam petit novasque copias colligit.

Ἐντεῦθεν ὁ μὲν Ἀρχέλαος ἐπὶ Θεσσαλίαν διὰ Βοιωτῶν ἀνεζεύγνυε, καὶ συνῆγεν ἐς Θερμοπύλας τὰ λοιπὰ τοῦ τε ἰδίου στρατοῦ παντὸς, ὃν ἔχων ἦλθε, καὶ τοῦ σὺν Δρομιχαίτῃ παραγεγονότος. συνῆγε δὲ καὶ τὸ σὺν Ἀρκαθίᾳ τῷ παιδὶ τοῦ βασιλέως ἐς Μακεδονίαν ἐμβαλὸν, ἀκραιφνέ-

Digitized by Google

φυέςατον δὴ καὶ πλῆρες ὂν τόδε μάλιςα, καὶ ἐς αὐτίκα ἄλλως ὁ Μιθριδάτης ἀπέςειλεν. ȣ̓ γὰρ διέλιπεν ἐπιπέμπων. ὁ μὲν δὴ ταῦτα σὺν ἐπείξει συνῆγεν. ὁ δὲ Σύλλας τὸν Πειραιᾶ, τȣ̃ ἄςεος μᾶλλον ἐνοχλήσαντά οἱ, κατεπίμπρη, φειδόμενος ȣ̓́τε τῆς ὁπλοθήκης, ȣ̓́τε τῶν νεωσοίκων, ȣ̓́τε τινὸς ἄλλȣ τῶν ἀοιδίμων. καὶ μετὰ τȣ̃τ᾽ ἐπὶ τὸν Ἀρχέλαον ᾔει διὰ τῆς Βοιωτίας καὶ ὅδε. ὡς δ᾽ ἐπλησίασαν ἀλλήλοις, οἱ μὲν ἐκ Θερμοπυλῶν ἄρτι μετεχώρȣν ἐς τὴν Φωκίδα, Θρᾷκές τε ὄντες, καὶ ἀπὸ τȣ̃ Πόντȣ, καὶ Σκύθαι, καὶ Καππαδόκαι, Βιθυνοί τε καὶ Γαλάται καὶ Φρύγες, καὶ ὅσα ἄλλα τῷ Μιθριδάτῃ νεόκτητα γένοιτο· πάντες ἐς δυώδεκα μυριάδας ἀνδρῶν. καὶ ςρατηγοὶ αὐτῶν ἦσαν μὲν καὶ κατὰ μέρος ἑκάςῳ, αὐτοκράτωρ δ᾽ Ἀρχέλαος ἐπὶ πᾶσι. Σύλλας δ᾽ ἦγεν Ἰταλιώτας, καὶ Ἑλλήνων ἢ Μακεδόνων, ὅσοι ἄρτι πρὸς αὐτὸν ἀπὸ Ἀρχελάȣ μετετίθεντο, ἢ εἴ τι ἄλλο περίοικον· ȣ̓δ᾽ ἐς τριτημόριον τὰ πάντα τῶν πολεμίων.

Sylla Piræeum incendit & contra Archelaum proficis citur exercitu, ne tertiam quidem partem hostium numerum æquante.

Ἀντικαθιςάντες δ᾽ ἀλλήλοις, ὁ μὲν Ἀρχέλαος ἐξέταττεν ἐς μάχην, αἰεὶ προκαλȣ́μενος. ὁ δὲ Σύλλας ἐβράδυνε, τὰ χωρία καὶ τὸ πλῆθος τῶν ἐχθρῶν περισκοπȣ́μενος. ἀναχωρȣ̃ντι δ᾽ ἐς Χαλκίδα τῷ Ἀρχελάῳ παρακολȣθῶν, καιρὸν ἐπετήρει καὶ τόπον. ὡς δὲ αὐτὸν εἶδε περὶ Χαιρώνειαν ἐν ἀποκρήμνοις ςρατοπεδεύομενον, ἔνθα μὴ κρατȣ̃σιν ἀποχώρησις μηδεμία ἦν, πεδίον αὐτὸς εὐρὺ πλησίον καταλαβὼν, εὐθὺς ἐπῆγεν, ὡς καὶ ἄκοντα βιασόμενος ἐς μάχην Ἀρχέλαον· ἐν ᾧ σφίσι μὲν ὕπτιον καὶ εὐπετὲς ἐς δίωξιν καὶ ἀναχώρησιν ἦν πεδίον· Ἀρχελάῳ δὲ κρημνοὶ περιέκειντο, οἱ τὸ ἔργον ȣ̓κ εἴων ἐν ȣ̓δενὶ κοινὸν ὅλȣ τȣ̃ ςρατȣ̃ γενέσθαι, συςῆναι διὰ τὴν ἀνωμαλίαν ȣ̓κ ἔχοντος· τραπεῖσί τε αὐτοῖς ἄπορος διὰ τῶν κρημνῶν ἐγίγνετο ἡ φυγή. ὁ μὲν δὴ τοιοῖσδε λογισμοῖς τῇ δυσχωρίᾳ μάλιςα πιςεύων, ἐπῄει, ὡς ȣ̓δὲν ἐσομένȣ χρησίμȣ τȣ̃ πλήθȣς Ἀρχελάῳ.

cap. 42. Sylla locum paucioribus suis copiis ad pugnandum idoneum assecutus prope Chæroneam, proelio decertat.

Τρεπομένων δ᾽ ἤδη τῶν Ἀρχελάȣ κερῶν, ȣ̓δ᾽ οἱ μέσοι τὴν τάξιν ἐφύλασσον, ἀλλ᾽ ἀθρόα πάντων ἐγίγνετο φυγή. Ἀρχέλαος δὲ, καὶ ὅσοι ἄλλοι κατὰ μέρος ἐξέφυγον, ἐς χαλκίδα συνελέγοντο, ȣ̓ πολὺ πλείȣς μυρίων, ἐκ δυώδεκα μυριάδων, γενόμενοι. Ῥωμαίων δὲ ἔδοξαν μὲν ἀπο-

cap. 44. & 45. Archelaus fugatur, magnam stragem perpessus, & ad Chalcidem se recipit.

Digitized by Google

ἀποθανεῖν πεντεκαίδεκα ἄνδρες, δύο δ' αὐτῶν ἐπανῆλθον. τοῦτο μὲν δὴ Σύλλα καὶ Ἀρχελάῳ, τῷ Μιθριδάτου στρατηγῷ, τῆς περὶ Χαιρώνειαν μάχης τέλος ἦν· δι' εὐβουλίαν δὴ μάλιστα Σύλλα, καὶ δι' ἀφροσύνην Ἀρχελάου, τοιόνδε ἑκατέρῳ γενόμενον. Σύλλας δὲ, πολλῶν μὲν αἰχμαλώτων, πολλῶν δ' ὅπλων καὶ λείας κρατῶν, τὰ μὲν ἀχρεῖα σωρευθέντα, διαζωσάμενος, ὡς ἔθος ἐστὶ Ῥωμαίοις, αὐτὸς ἐνέπρησε τοῖς ἐνυαλίοις θεοῖς. Ἀναπαύσας δὲ τὴν στρατιὰν ἐπ' ὀλίγον, ἐς τὸν Εὔριπον σὺν εὐζώνοις ἐπὶ τὸν Ἀρχέλαον ἠπείγετο. Ῥωμαίων δὲ ναῦς οὐκ ἐχόντων, ἀδεῶς τὰς νήσους περιέπλει, τὰ παράλια πορθῶν. Ζακύνθῳ δ', ἐκβὰς, παρεστρατοπέδευσε. καί τινων Ῥωμαίων, οἳ ἐπεδήμουν, νυκτὸς ἐπιθεμένων αὐτῷ, κατὰ τάχος ἐσβὰς, αὖθις ἀνήγετο ἐς Χαλκίδα, λῃστεύοντι μᾶλλον ἢ πολεμοῦντι ἐοικώς.

Sylla spolia inutilia concremat & adversus Archelaum properat, qui vero, quoniam Romani classe carebant, secure maritimas oras depopulatur.

Μιθριδάτης δ' ἐπεὶ τοσῆσδε ἥττης ἐπύθετο, κατεπλάγη μὲν αὐτίκα, καὶ ἔδεισεν, ὡς ἐπὶ ἔργῳ τοσούτῳ· στρατιὰν δ' ὅμως ἄλλην ἀπὸ τῶν ὑπ' αὐτὸν ἐθνῶν ἁπάντων κατὰ σπουδὴν συνέλεγε. Νομίσας δ' ἄν τινας αὐτῷ, διὰ τὴν ἧτταν, ἢ νῦν, ἢ εἴ τινα καιρὸν ἄλλον εὕροιεν, ἐπιθήσεσθαι, τοὺς ὑπόπτους οἱ πάντας, πρὶν ὀξύτερον γενέσθαι τὸν πόλεμον, ἀνελέγετο.

cap. 46. Mithridates novas copias contrahit, omnesque in Asia suspectos, priusquam vincatur, trucidat.

Γιγνομένων δὲ τῶνδε περὶ τὴν Ἀσίαν, ὀκτὼ μυριάδων στρατὸς ἤθροιστο τῷ Μιθριδάτῃ· καὶ αὐτὸν Δορύαλος ἐς τὴν Ἑλλάδα πρὸς Ἀρχέλαον ἦγεν, ἔχοντα τῶν προτέρων ἔτι μυρίους. ὁ δὲ Σύλλας ἀντεστρατοπέδευε μὲν Ἀρχελάῳ περὶ Ὀρχομενόν. ὡς δὲ εἶδε τῆς ἐπελθούσης ἵππου τὸ πλῆθος, ὤρυσσε τάφρους πολλὰς ἀνὰ τὸ πεδίον, εὖρος δέκα πόδας· καὶ ἐπιόντος αὐτῷ τοῦ Ἀρχελάου ἀντιπαρέταξεν. ἀσθενῶς δὲ τῶν Ῥωμαίων διὰ δέος τῆς ἵππου μαχομένων, ἐς πολὺ μὲν αὐτοὺς παριππεύων παρεκάλει, καὶ ἐπέσπερχε σὺν ἀπειλῇ. οὐκ ἐπιστρέφων δ' αὐτοὺς ἐς τὸ ἔργον οὐδ' ὣς, ἐξήλατο τοῦ ἵππου· καὶ, σημεῖον ἁρπάσας, ἀνὰ τὸ μεταίχμιον ἔθει μετὰ τῶν ὑπασπιστῶν, κεκραγώς· "εἴ τις ὑμᾶν, ὦ Ῥωμαῖοι, πύθοιτο, ποῦ Σύλλαν τὸν στρατηγὸν ὑμῶν αὐτῶν προὐδώκατε· λέγειν, ἐν Ὀρχομενῷ μαχόμενον." οἱ δ' ἡγεμόνες αὐτῷ κινδυνεύοντι συνεξέθεον ἐκ τῶν ἰδίων τάξεων, συνεξέθεον δὲ καὶ ἡ ἄλλη πληθὺς

cap. 49. Archelaus, novo exercitu instructus, a Sylla ad Orchomenum vincitur;

Digitized by Google

αἰδουμένη, παλίωξίν τε εἰργάσαντο. καὶ τῆς νίκης ἀρχομένης, ἀναθορὼν αὖθις ἐπὶ τὸν ἵππον, ἐπῄει τὸν στρατὸν περιιὼν, καὶ ἐπέσπερχεν· ἕως τέλεον αὐτοῖς τὸ ἔργον ἐξετελέσθη. καὶ τῶν πολεμίων ἀπώλοντο μὲν ἀμφὶ τοὺς μυρίους καὶ πεντακισχιλίους. καὶ τούτων ἦσαν οἱ μύριοι, ἱππεῖς μάλιστα· καὶ σὺν αὐτοῖς, ὁ παῖς Ἀρχελάου Διογένης. οἱ πεζοὶ δ' ἐς τὸ στρατόπεδον συνέφυγον.

cap. 50. Fossaque circa vallum, ne effugiat, circumdatur.

Καὶ δείσας ὁ Σύλλας, μὴ πάλιν αὐτὸν ὁ Ἀρχέλαος, οὐκ ἔχοντα ναῦς, ἐς Χαλκίδα, ὡς πρότερον, διαφύγοι· τὸ πεδίον ὅλον ἐκ διαστημάτων ἐνυκτοφυλάκει. καὶ μεθ' ἡμέραν, στάδιον οὐχ ὅλον ἀποσχὼν τοῦ Ἀρχελάου, τάφρον αὐτῷ περιώρυσσεν οὐκ ἐπεξιόντι. καὶ παρεκάλει τότε μάλιστα τὴν ἑαυτοῦ στρατιὰν, ἐκπονῆσαι τοῦ παντὸς πολέμου τὸ ἔτι λείψανον, ὡς τῶν πολεμίων αὐτὸν οὐδ' ὑφισταμένων· καὶ ἐπῆγεν αὐτὴν ἐπὶ τὸ χαράκωμα τοῦ Ἀρχελάου. ὅμοια δ' ἐκ μεταβολῆς ἐγίγνετο καὶ παρὰ τοῖς πολεμίοις ὑπὸ ἀνάγκης, τῶν ἡγεμόνων αὐτοὺς περιθεόντων, καὶ τὸν παρόντα κίνδυνον προφερόντων τε, καὶ ὀνειδιζόντων, εἰ μηδ' ἀπὸ χάρακος ἀπομαχέσονται τοὺς ἐχθροὺς, ὀλιγωτέρους ὄντας. ὁρμῆς δὲ καὶ βοῆς ἑκατέρωθεν γενομένης, πολλὰ μὲν ἐγίγνετο ἐπ' ἀμφοῖν ἔργα πολέμου. γωνίαν δέ τινα τοῦ χαρακώματος οἱ Ῥωμαῖοι, τὰς ἀσπίδας σφῶν ὑπερσχόντες, ἤδη διέσπων. καὶ οἱ βάρβαροι καταθορόντες ἀπὸ τοῦ χαρακώματος εἴσω τῆς γωνίας, περιέστησαν αὐτὴν, ὡς τοῖς ξίφεσιν ἀμυνούμενοι τοὺς ἐστρέχοντας. οὐδέ τις ἐτόλμα· μέχρι Βάσιλλος, ὁ τοῦ τέλους ταξίαρχος, ἐσήλατο πρῶτος, καὶ τὸν ὑπαντήσαντα ἔκτεινε. τότε δ' αὐτῷ συνεισέπιπτεν ὁ στρατὸς ἅπας. καὶ φυγὴ τῶν βαρβάρων ἐγίγνετο, καὶ φόνος, τῶν μὲν, καταλαμβανομένων, τῶν δ' εἰς τὴν ἐγγὺς λίμνην ὠθουμένων τε, καὶ νεῖν οὐκ ἐπισταμένων, ἀξύνετα βαρβαρισὶ τοὺς κτείνοντας παρακαλούντων. Ἀρχέλαος δ' ἐν ἕλει τινὶ ἐκρύφθη· καὶ σκάφους ἐπιτυχὼν, ἐς Χαλκίδα διέπλευσε. καὶ εἴ τις ἦν ἄλλη Μιθριδάτου στρατιὰ κατὰ μέρος ποι διατεταγμένη, πάντας αὐτοὺς ἐκάλει κατὰ σπουδήν.

postquam autem Rom. exercitus cum magna strage intra vallum irruperat, Archelaus in paludem se abdit, nactusque naviculam Chalcidem trajicit.

cap. 51. Remuneratis militibus & direpta Boeotia, Thessa-

Ὁ δὲ Σύλλας τῆς ἐπιούσης τόν τε ταξίαρχον ἐστεφάνου, καὶ τοῖς ἄλλοις ἀριστεῖα ἐδίδου. καὶ τὴν Βοιωτίαν, συνεχῶς μετατιθεμένην, διήρπαζε· καὶ ἐς Θεσσαλίαν ἐλ-

Digitized by Google

liam Sylla ingreditur. Interea Sylla Romæ ab inimicis patriæ hostis declaratur, & Flaccus pro eo in Asiam mittitur, cui Fimbria, senator, se comitem adjungit.

θῶν ἐχείμαζε, τὰς ναῦς τὰς μετὰ Λουκούλλου περιμένων. ἀγνοῶν δ', ὅπη ὁ Λούκουλλος εἴη, ἐναυπηγεῖτο ἑτέρας. καὶ ταῦτα μέντοι, Κορνηλίου τε Κίννα καὶ Γαΐου Μαρίου, τῶν ἐχθρῶν αὐτοῦ, ἐν Ῥώμῃ ψηφισαμένων εἶναι Ῥωμαίων πολέμιον, καὶ τὴν οἰκίαν αὐτοῦ καὶ τὰς ἐπαύλεις καθῃρηκότων, καὶ τοὺς φίλους ἀνελόντων. ὁ δὲ οὐδὲν οὐδ' ὣς καθῄρει τῆς ἐξουσίας, τὸν στρατὸν ἔχων εὐπειθῆ καὶ πρόθυμον. Κίννας δὲ Φλάκκον ἑλόμενός οἱ συνάρχειν τὴν ὕπατον ἀρχὴν, ἔπεμπεν ἐς τὴν Ἀσίαν μετὰ δύο τελῶν, ἀντὶ τοῦ Σύλλα, ὡς ἤδη πολεμίου γεγονότος, τῆς τε Ἀσίας ἄρχειν καὶ πολεμεῖν τῷ Μιθριδάτῃ. ἀπειροπολέμῳ δ' ὄντι τῷ Φλάκκῳ συνεξῆλθεν ἑκὼν ἀπὸ τῆς βουλῆς ἀνὴρ πιθανὸς ἐς στρατηγίαν, ὄνομα Φιμβρίας. τούτοις ἐς Βρεντησίου διαπλέουσιν αἱ πολλαὶ τῶν νεῶν ἀπὸ χειμῶνος διελύθησαν· καὶ τὰς πρόπλους αὐτῶν ἐνέπρησε στρατὸς ἄλλος ἐπιπεμφθεὶς ἐκ Μιθριδάτου. μοχθηρὸν δ' ὄντα τὸν Φλάκκον, καὶ σκαιὸν ἐν ταῖς κολάσεσι, καὶ φιλοκερδῆ, ὁ στρατὸς ἅπας ἀπεστρέφετο. καὶ μέρος αὐτῶν τι, προπεμφθὲν ἐς Θεσσαλίαν, ἐς τὸν Σύλλαν μετεστρατεύσαντο. τοὺς δὲ ὑπολοίπους ὁ Φιμβρίας, στρατηγικώτερος τοῦ Φλάκκου φαινόμενος αὐτοῖς καὶ φιλανθρωπότερος, κατεῖχε μὴ μεταθέσθαι.

Pars exercitus, præmissa in Thessaliam, in Syllæ castra transit.

cap. 52. Fimbria, Flacco absente, Thermo, pro prætore relicto, fasces aufert, quasi eum magistratum ipsi exercitus detulisset; Flaccum adeo, post ejus reditum occidit; A. U. 669. ante Chr. 86.

Ὡς δ', ἔν τινι καταγωγῇ περὶ ξενίας ἔριδος αὐτῷ καὶ τῷ ταμίᾳ γενομένης, ὁ Φλάκκος διαιτῶν οὐδὲν ἐς τιμὴν ἐπεσήμηνε τοῦ Φιμβρίου, χαλεπήνας ὁ Φιμβρίας, ἠπείλησεν ἐς Ῥώμην ἐπανελεύσεσθαι. καὶ τοῦ Φλάκκου δόντος αὐτῷ διάδοχον, ἐς ἃ τότε διώκει· φυλάξας αὐτὸν ὁ Φιμβρίας ἐς Χαλκηδόνα διαπλέοντα, πρῶτα μὲν Θέρμου τὰς ῥάβδους ἀφείλετο, τὸν ἀντιστράτηγον ὑπὸ τοῦ Φλάκκου καταλελειμμένον, ὡς οἱ τοῦ στρατοῦ τὴν στρατηγίαν περιθέντος· εἶτα Φλάκκον αὐτὸν, σὺν ὀργῇ μετ' ὀλίγον ἐπανιόντα, ἐδίωκεν. ἕως ὁ μὲν Φλάκκος, εἴς τινα οἰκίαν καταφυγὼν, καὶ νυκτὸς τὸ τεῖχος ὑπερελθὼν, ἐς Χαλκηδόνα πρῶτον, καὶ ἀπ' αὐτῆς ἐς Νικομήδειαν ἔφυγε, καὶ τὰς πύλας ἀπέκλεισεν. ὁ δὲ Φιμβρίας αὐτὸν, ἐπελθὼν, ἔκτεινεν, ἐν φρέατι κρυπτόμενον, ὕπατόν τε ὄντα Ῥωμαίων, καὶ στρατηγὸν τοῦδε τοῦ πολέμου· ἰδιώτης αὐτὸς ὢν, καὶ ὡς φίλῳ κελεύοντι συνεληλυθώς. ἐκτεμὼν τε τὴν κεφα-

Digitized by Google

κεφαλὴν αὐτῦ, μεθῆκεν ἐς θάλασσαν· καὶ τὸ λοιπὸν ἄταφον ἐκρίψας, αὐτὸν αὐτοκράτορα ἀπέφηνε τῦ ςρατῦ. καὶ μάχας τινὰς ὀκ ἀγεννῶς ἠγωνίσατο τῷ παιδὶ τῦ Μιθριδάτυ. αὐτόν τε βασιλέα συνεδίωξεν ἐς τὸ Πέργαμον· καὶ ἐς Πιτάνην ἐκ τῦ Περγάμυ διαφυγόντα, ἐπελθὼν, ἀπετάφρευεν. ἕως ὁ μὲν βασιλεὺς ἐπὶ νεῶν ἔφυγεν ἐς Μιτυλήνην.

& arrogata sibi imperatoria dignitate, Mithridatem Mitylenen usque pellit.

Ὁ δὲ Μιθριδάτης, ἐπεὶ καὶ τῆς περὶ Ὀρχομενὸν ἥττης ἐπύθετο, διαλογιζόμενος τὸ πλῆθος, ὅσον ἐξ ἀρχῆς ἐς τὴν Ἑλλάδα πεπόμφει, καὶ τὴν συνεχῆ καὶ ταχεῖαν αὐτῦ φθορὰν, ἐπέςελλεν Ἀρχελάῳ, διαλύσεις, ὡς δύναιτο, εὐπρεπῶς ἐργάσασθαι. ὁ δὲ, Σύλλᾳ συνελθὼν ἐς λόγυς, εἶπε· "Φίλος ὢν ὑμῖν πατρῷος, ὦ Σύλλα, Μιθριδάτης ὁ βασιλεὺς, ἐπολέμησε μὲν διὰ ςρατηγῶν ἑτέρων πλεονεξίαν· διαλύσεται δὲ διὰ τὴν σὴν ἀρετὴν, ἢν τὰ δίκαια προστάσσῃς." καὶ ὁ Σύλλας, ἀπορίᾳ τε νεῶν, καὶ, χρήματα ὀκ ἐπιπεμπόντων οἱ ἄλλο ὀδὲν οἴκοθεν αὐτῷ τῶν ἐχθρῶν, ὡς πολεμίῳ, ἀψάμενος ἤδη τῶν ἐν Πυθοῖ καὶ Ὀλυμπίᾳ καὶ Ἐπιδαύρῳ χρημάτων, καὶ ἀντιδὺς πρὸς λόγον τοῖς ἱεροῖς τὸ ἥμισυ τῆς Θηβαίων γῆς πολλάκις ἀποςάντων· ἐς τε τὴν ςάσιν αὐτὴν τῶν ἐχθρῶν ἐπειγόμενος ἀκραιφνῆ καὶ ἀπαθῆ τὸν ςρατὸν μεταγαγεῖν· ἐνεδίδυ πρὸς τὰς διαλύσεις, καὶ εἶπεν. "Ἐὰν τὸν ςόλον ἡμῖν, ὃν ἔχεις, ὦ Ἀρχέλαε, παραδιδῷ πάντα Μιθριδάτης· ἀποδῷ δὲ καὶ ςρατηγὺς ἡμῖν, ἢ πρέσβεις, ἢ αἰχμαλώτυς, ἢ αὐτομόλυς, ἢ ἀνδράποδα ἀποδράντα· καὶ Χίυς ἐπὶ τοῖσδε, καὶ ὅσυς ἄλλυς ἀνασπάςυς ἐς τὸν Πόντον ἐποιήσατο, μεθῇ· ἐξαγάγῃ δὲ καὶ τὰς φρυρὰς ἐκ πάντων φρυρίων, χωρὶς ὧν ἐκράτει πρὸ τῆσδε τῆς παρασπονδήσεως· ἐσενέγκῃ δὲ καὶ τὴν δαπάνην τῦδε τῦ πολέμυ, τὴν δι' αὐτὸν γενομένην· καὶ ςέργῃ μόνης ἄρχων τῆς πατρῴας δυναςείας· ἐλπίζω πείσειν Ῥωμαίυς, αὐτῷ μηδὲν ἐπιμηνίσαι τῶν γεγονότων." ὁ μὲν δὴ τοσάδε εἶπεν. ὁ δὲ Ἀρχέλαος τὰς μὲν φρυρὰς αὐτίκα πανταχόθεν ἐξῆγεν· περὶ δὲ τῶν ἄλλων ἐπέςελλε τῷ βασιλεῖ. καὶ Σύλλας τὴν ἐν τοσῷδε ἀργίαν διατιθέμενος, Ἐνετὺς, καὶ Δαρδανέας, καὶ Σιντὺς, περίοικα Μακεδόνων ἔθνη, συνεχῶς ἐς Μακεδονίαν ἐμβάλλοντα, ἐπιὼν ἐπόρθει· καὶ τὸν ςρατὸν ἐγύμνα-

cap. 54. Mithridates Archelao per litteras mandat, ut bello finem faciat.

cap. 55. Sylla rerum suarum statu motus, in pacem consentit. Pacis conditiones.

Archelaus præsidia statim omnibus locis deducit; Sylla vero, donec Mithridates responderit, finitimas Macedonibus gentes bello petit.

Digitized by Google

cap. 58. Mithridates consentit in leges pacis Archelao datas, A. U. 670. ante Chr. 84.

ἐγύμναζε, καὶ ἐχρηματίζετο ὁμοῦ. Μετ' οὐ πολὺ δὲ ὁ βασιλεὺς ἐς τὰς δι' Ἀρχελάου γενομένας συνθήκας ἐνεδίδου. τάς τε ναῦς καὶ τὰ ἄλλα πάντα παραδοὺς, ἐς τὸν Πόντον ἐπὶ τὴν πατρῴαν ἀρχὴν ἐπανῄει μόνην. ὧδε μὲν ὁ πρῶτος Μιθριδάτου τε καὶ Ῥωμαίων πόλεμος κατεπαύετο.

cap. 59. Sylla Fimbriam jubet, tradere sibi exercitum. cap. 60. Fimbria a militibus suis desertus, gladio se trajicit.

Σύλλας δὲ, Φιμβρίου δύο σταδίους ἀποσχὼν, ἐκέλευε παραδοῦναί οἱ τὸν στρατὸν, οὐ παρανόμως ἄρχοι. ὁ δ' ἀντεπέσκωπτε μὲν, ὡς οὐδ' ἐκεῖνος ἔτι ἐννόμως ἄρχοι. περιταφρεύοντος δ' αὐτὸν τοῦ Σύλλα, καὶ πολλῶν οὐκ ἀφανῶς ἀποδιδρασκόντων, ἐπανῆλθεν ἐς Πέργαμον, καὶ ἐς τὸ τοῦ Ἀσκληπιοῦ ἱερὸν παρελθὼν, ἐχρήσατο τῷ ξίφει. οὐ καιρίου δ' αὐτῷ τῆς πληγῆς γενομένης, ἐκέλευσε τὸν παῖδα ἐπερεῖσαι. ὁ δὲ καὶ τὸν δεσπότην ἔκτεινε, καὶ αὐτὸν ἐπὶ τῷ δεσπότῃ. οὕτω μὲν καὶ Φιμβρίας ἀπέθανε, πολλὰ τὴν Ἀσίαν ἐπὶ Μιθριδάτῃ λελυμασμένος.

Sylla Fimbriæ exercitum in fidem recipit, Nicomedem & Ariobarzanem in regna reducit, actaque omnia ad senatum perscribit.

καὶ αὐτὸν ὁ Σύλλας ἐφῆκε τοῖς ἀπελευθέροις θάψαι· καὶ ἐπεῖπεν, οὐ μιμεῖσθαι Κίνναν καὶ Μάριον, ἐν Ῥώμῃ θάνατόν τε πολλῶν καὶ ἀταφίαν ἐπὶ τῷ θανάτῳ καταγνόντας. τὸν δὲ στρατὸν τοῦ Φιμβρίου, προσιόντα οἱ, δεξιωσάμενός τε καὶ τῷ σφετέρῳ συναγαγὼν, Κουρίωνι προσέταξε Νικομήδην ἐς Βιθυνίαν, καὶ Ἀριοβαρζάνην ἐς Καππαδοκίαν, καταγαγεῖν. τῇ τε βουλῇ περὶ πάντων ἐπέστελλεν, οὐχ ὑποκρινόμενος ἐψηφίσθαι πολέμιος.

cap. 61. Asiam provinciam ordinat, pluribus populis inter populi Rom. socios adscriptis.

Αὐτὴν δὲ τὴν Ἀσίαν καθιστάμενος, Ἰλιέας μὲν καὶ Χίους, καὶ Λυκίους, καὶ Ῥοδίους, καὶ Μαγνησίαν, καί τινας ἄλλους, ἢ συμμαχίας ἀμειβόμενος, ἢ ὧν διὰ προθυμίαν ἐπεπόνθεσαν οὕνεκα, ἐλευθέρους ἠφίει, καὶ Ῥωμαίων ἀνέγραφε φίλους. ἐς δὲ τὰ λοιπὰ πάντα στρατιὰν περιέπεμπε· καὶ τοὺς θεράποντας, οἷς ἐλευθερίαν ἐδεδώκει Μιθριδάτης, ἐκήρυττεν, αὐτίκα ἐς τοὺς δεσπότας ἐπανιέναι.

Mancipia pristinis heris restituit.

πολλῶν δὲ ἀπειθούντων, καὶ πόλεών τινων ἀφισταμένων, ἐγίγνοντο σφαγαὶ κατὰ πλῆθος ἐλευθέρων τε καὶ θεραπόντων, ἐπὶ ποικίλαις προφάσεσι. τείχη τε πολλῶν καθῃρεῖτο, καὶ συχνὰ τῆς Ἀσίας ἠνδραποδίζετο καὶ διηρπάζετο.

Civitates, quæ factionis regiæ fuerunt, severe mulctat, inprimis Ephesum.

οἵ τε καπαδοκίσαντες, ἄνδρες ἢ πόλεις, ἐκολάζοντο πικρῶς, καὶ μάλιστα αὐτῶν Ἐφέσιοι, σὺν αἰσχρᾷ κολακείᾳ ἐς τὰ Ῥωμαίων ἀναθήματα ἐνυβρίσαντες. ἐπὶ δὲ τοῖσδε καὶ κήρυγμα περιῄει, τοὺς ἐν ἀξιώσει κατὰ πόλιν

Digitized by Google

λιν ἐς ἡμέραν ῥητὴν πρὸς τὸν Σύλλαν ἀπαντᾷν ἐς Ἔφεσον. καὶ συνελθοῦσιν αὐτοῖς, "μόνους ὑμῖν (ἔφη) ἐπιγράφω πέντε ἐτῶν φόρους ἐσενεγκεῖν αὐτίκα, καὶ τὴν τοῦ πολέμου δαπάνην, ὅση τε γέγονέ μοι, καὶ ἔσται καθισαμένῳ τὰ ὑπόλοιπα. διαιρήσω δὲ ταῦθ' ἑκάστοις ἐγὼ κατὰ πόλεις, καὶ τάξω προθεσμίαν ταῖς ἐσφοραῖς. καὶ τοῖς οὐ φυλάξασιν ἐπιθήσω δίκην ὡς πολεμίοις." Τοσάδε εἰπὼν, ἐπιδιῄρει τοῖς πρέσβεσι τὴν ζημίαν, καὶ ἐπὶ τὰ χρήματα ἔπεμπεν. αἱ δὲ πόλεις, ἀποροῦσαί τε, καὶ δανειζόμεναι μεγάλων τόκων, αἱ μὲν τὰ θέατρα τοῖς δανείζουσιν, αἱ δὲ τὰ γυμνάσια, ἢ τεῖχος, ἢ λιμένας, ἤ τι δημόσιον ἄλλο, σὺν ὕβρει στρατιωτῶν ἐπειγόντων, ὑπετίθεντο. τὰ μὲν δὴ χρήματα ὧδε τῷ Σύλλᾳ συνεκομίζετο. καὶ κακῶν ἅδδην εἶχεν ἡ Ἀσία. ἐπέπλει δ' αὐτὴν καὶ λῃστήρια πολύανδρα φανερῶς, στόλοις ἐοικότα μᾶλλον ἢ λῃσταῖς· Μιθριδάτου μὲν αὐτὰ πρώτου καθέντος ἐς τὴν θάλασσαν, ὅτε πάνθ' ὡς οὐκ ἐς πολὺ καθέξων ἐλυμαίνετο· πλεονάσαντα δ' ἐς τότε μάλιστα, καὶ οὐ τοῖς πλέουσι μόνοις, ἀλλὰ καὶ λιμέσι, καὶ χωρίοις, καὶ πόλεσιν ἐπιχειροῦντα φανερῶς. Ἰασσός γέ τοι καὶ Σάμος, καὶ Κλαζομεναὶ, καὶ Σαμοθρᾴκη, Σύλλα παρόντος, ἐλήφθησαν· καὶ τὸ ἱερὸν ἐσυλήθη τὸ Σαμοθρᾴκιον, χιλίων ταλάντων κόσμον, ὡς ἐνομίζετο. ὁ δὲ, εἴτε ἑκὼν, ὡς ἁμαρτόντας ἐνυβρίζεσθαι καταλιπὼν, εἴτ' ἐπὶ τὴν ἐς Ῥώμην στάσιν ἐπειγόμενος, ἐς τὴν Ἑλλάδα, καὶ ἀπ' αὐτῆς ἐς τὴν Ἰταλίαν, μετὰ τοῦ πλείονος στρατοῦ διέπλει. καὶ τὰ μὲν ἀμφὶ Σύλλαν ἐν τοῖς Ἐμφυλίοις ἀναγέγραπται.

Ἄρχεται δ' ὁ δεύτερος Ῥωμαίων τε καὶ Μιθριδάτου πόλεμος, ἐνθένδε. Μουρήνας μὲν ὑπὸ Σύλλα σὺν δύο τέλεσι τοῖς Φιμβρίου καθίσασθαι τὰ λοιπὰ τῆς Ἀσίας ὑπελέλειπτο, καὶ πολέμων ἀφορμὰς ἠρεσχέλει, δι' ἐπιθυμίαν θριάμβου. Μιθριδάτης δ', ἐς τὸν Πόντον ἐσπλεύσας, Κόλχοις καὶ Βοσποριανοῖς ἀφισταμένοις ἐπολέμει. ὧν Κόλχοι τὸν υἱὸν παρ' αὐτοῦ, Μιθριδάτην, βασιλέα σφίσιν ᾐτοῦντο δοθῆναι· καὶ λαβόντες, αὐτίκα ὑπήκουσαν. ὑποπτεύσας δ' ὁ βασιλεὺς, τόδε πρὸς τοῦ παιδὸς αὐτοῦ, βασιλείας ἐπιθυμοῦντος, γενέσθαι· καλέσας αὐτὸν, ἔδησεν ἐν πέδαις χρυσαῖς· καὶ μετ' οὐ πολὺ ἀπέκτεινε, πολλὰ χρήσιμον οἱ περὶ τὴν Ἀσίαν ἐν τοῖς πρὸς Φιμβρίαν ἀγῶσι γενόμενον. ἐπὶ δὲ

cap. 62.

cap. 63. Tributum quinquennale Asiaticis imponitur, quo post tantas miserias prorsus exhauriuntur.

cap. 64. *Bellum Mithridatic.* II. A.U.671-673. ante C. 83-81. Murena, a Sylla in Asia relictus, bellorum occasiones captans, & triumphi cupidus,

Digitized by Google

δὲ Βοσποριανὲς ναῦς τε συνεπήγνυτο, καὶ στρατὸν ἡτοιμάζετο πολύν· ὡς τὸ μέγεθος αὐτῆ τῆς παρασκευῆς δόξαι ἐγεῖραι ταχεῖαν, ἐκ ἐπὶ Βοσποριανοῖς, ἀλλ' ἐπὶ Ῥωμαίοις τάδε συλλέγεσθαι. ὃ γάρ πω ἐδ' Ἀριοβαρζάνῃ πᾶσαν ἐβεβαίε Καππαδοκίαν, ἀλλ' ἔστιν αὐτῆς, ἃ καὶ τότε κατεῖχεν. Ἀρχέλαόν τε ἐν ὑποψίᾳ ἐτίθετο, ὡς πολλὰ πέρα τῦ δέοντος κατὰ τὴν Ἑλλάδα ἐν ταῖς διαλύσεσιν ἐπιχωρήσαντι τῷ Σύλλᾳ. ὧν ὁ Ἀρχέλαος αἰσθανόμενός τε καὶ δείσας, ἐς Μερῆναν ἔφευγε. καὶ παροξύνας αὐτὸν, ἔπεισε, Μιθριδάτῃ προεπιχειρεῖν. Μερήνας μὲν δὴ διὰ Καππαδοκίας αὐτίκα ἐσβαλὼν, ἐς Κόμανα, κώμην ὑπὸ τῷ Μιθριδάτῃ μεγίστην, σεβάσμιον ἱερὸν καὶ πλέσιον ἔχεσαν, ἱππέας τινὰς ἔκτεινε τῦ Μιθριδάτε· καὶ πρέσβεσιν αὐτῦ, τὰς συνθήκας προτείνεσιν, ἐκ, ἔφη, συνθήκας ὁρᾶν. ὃ γὰρ συνεγέγραπτο Σύλλας· ἀλλ' ἔργῳ τὰ λεχθέντα βεβαιώσας, ἀπήλλακτο. ταῦτα δ' εἰπὼν ὁ Μερήνας, εὐθέως ἐλεηλάτει· καὶ ἐδὲ τῶν ἱερῶν χρημάτων ἀποσχόμενος, ἐχείμαζεν ἐν Καππαδοκίᾳ.

ab Archelao, a Mithridate in suspicionem rerum male gestarum vocato, irritatur, ut Comana invaderet.

cap. 65. Mithridates ab armis abstinet usque ad reditum legati Romam missi, qui de Murena conquereretur.

Μιθριδάτης δ' ἐς Ῥώμην ἔπεμπε πρός τε τὴν βελὴν καὶ πρὸς Σύλλαν, αἰτιώμενος, ἃ ποιεῖ Μερήνας. ὁ δ' ἐν τέτῳ τὸν Ἅλυν ποταμὸν περάσας, μέγαν τε ὄντα, καὶ δύσπορον τότε μάλιστα αὐτῷ γενόμενον ὑπὸ ὄμβρων, τετρακοσίας τῦ Μιθριδάτε κώμας ἐπέτρεχεν· ἐκ ἀπαντῶντος ἐς ἐδὲν αὐτῷ τῦ βασιλέως, ἀλλὰ τὴν πρεσβείαν ἀναμένοντος. λείας δὲ πολλῆς καταγέμων, ἐς Φρυγίαν καὶ Γαλατίαν ἐπανῄει. ἔνθα αὐτῷ Καλίδιος, ἐπὶ ταῖς Μιθριδάτε μέμψεσι πεμφθεὶς ἀπὸ Ῥώμης, ψήφισμα μὲν ἐδὲν ἐπέδωκεν· ἔφη δ' ἐς ἐπήκοον ἐν μέσῳ, τὴν βελὴν αὐτῷ κελεύειν φείδεσθαι τῦ βασιλέως, ὄντος ἐνσπόνδε. ταῦτα δ' εἰπὼν, ὤφθη διαλεγόμενος αὐτῷ μόνῳ. καὶ ὁ Μερήνας, ἐδὲν ἀνεὶς τῆς ὁρμῆς, καὶ τότε τὴν γῆν ἐπῄει τὴν τῦ Μιθριδάτε. ὁ δὲ, σαφῶς ὑπὸ Ῥωμαίων ἡγέμενος πολεμεῖσθαι, Γόρδιον ἐς τὰς κώμας ἐσβαλεῖν ἐκέλευσε. καὶ αὐτίκα ὁ Γόρδιος ὑποζύγιά τε πολλὰ καὶ σκευοφόρα καὶ ἀνθρώπες, ἰδιώτας τε καὶ στρατιώτας, συνήρπαζε· καὶ αὐτῷ Μερήνᾳ, μέσον λαβὼν ποταμὸν, ἀντεκαθέζετο. μάχης δ' ἐδέτερος ἦρχεν, ἕως ἀφίκετο Μιθριδάτης σὺν τῷ πλείονι στρατῷ· καὶ εὐθὺς ἀμφὶ τῷ ποταμῷ μάχη γίγνεται

Senatus quidem jubet, ut a fœderato rege abstineat arma; cum tamen Murena deprædationes continuet, aperto bello peti se existimans Mithridates, & ipse

Digitized by Google

ται καρτερά. καὶ βιασάμενος ὁ Μιθριδάτης ἐπέρα τὸν ποταμὸν, καὶ τἆλλα πολὺ κρείττων τοῦ Μουρήνα γενόμενος. ὁ δ' ἐς λόφον καρτερὸν ἀναφυγὼν, ἐπιχειροῦντος αὐτῷ τοῦ βασιλέως, πολλοὺς ἀποβαλὼν, ἔφευγε διὰ τῶν ὀρεινῶν ἐπὶ Φρυγίας, ὁδὸν ἀτριβῆ, βαλλόμενός τε καὶ χαλεπῶς.

arma capit Murenamque proelio vincit. A. U. 672. ante Chr. 82.

Σύλλα δ' οὐκ ἀξιοῦντος Μιθριδάτην ἔνσπονδον πολεμεῖσθαι, Αὖλος Γαβίνιος ἐπέμφθη, Μουρήνᾳ μὲν ἀληθῆ τήνδε προαγόρευσιν ἐρῶν, μὴ πολεμεῖν Μιθριδάτῃ· Μιθριδάτην δὲ καὶ Ἀριοβαρζάνην ἀλλήλοις συναλλάξων. ὁ δὲ Μιθριδάτης ἐν τῇδε τῇ συνόδῳ παιδίον τετραετὲς ἐγγυήσας τῷ Ἀριοβαρζάνῃ, καὶ ἐπὶ τῇδε προφάσει λαβὼν ἔχειν Καππαδοκίας, ὅσα τε εἶχε, καὶ ἕτερα ἐπ' ἐκείνοις, εἱστία πάντας, καὶ χρυσίον ἐπί τε τῇ κύλικι, καὶ τῇ τροφῇ, καὶ ἐπὶ σκώμμασι, καὶ ἐπὶ ᾠδῇ, καὶ πᾶσιν, ὥσπερ εἰώθει, προυτίθει· οὗ μόνος Γαβίνιος οὐχ ἥψατο. ὁ μὲν δὴ δεύτερος Μιθριδάτῃ καὶ Ῥωμαίοις πόλεμος, τρίτῳ μάλιστα ἔτει, ἐς τοῦτο διελύετο.

cap. 66. Sylla inhibet bellum, Aulo Gabinio ad Murenam misso, qui simul Mithridatem cum Ariobarzane reducat in gratiam. A. U. 673. ante Chr. 81.

Καὶ σχολὴν ἄγων ὁ Μιθριδάτης, Βόσπωρον ἐχειροῦτο, καὶ βασιλέα αὐτοῖς τῶν υἱέων ἕνα ἀπεδείκνυε Μαχάρην. ἐς δ' Ἀχαιοὺς τοὺς ὑπὲρ Κόλχους ἐσβαλὼν, (οἳ δοκοῦσιν εἶναι τῶν ἐκ Τροίας κατὰ τὴν ἐπάνοδον πλανηθέντων) δύο μέρη τοῦ στρατοῦ πολέμῳ τε καὶ κρύει καὶ ἐνέδραις ἀποβαλὼν, ἐπανῆλθε, καὶ ἐς Ῥώμην ἔπεμπε τοὺς συγγραψομένους τὰ συγκείμενα. ἔπεμπε δὲ καὶ Ἀριοβαρζάνης, εἴθ' ἑκὼν, εἴτε πρός τινων ἐνοχλούμενος, οὐκ ἀπολαμβάνειν Καππαδοκίαν, ἀλλὰ τὸ πλέον αὐτῆς ἔτι Μιθριδάτην ἀφαιρεῖσθαι. Μιθριδάτης μὲν οὖν, Σύλλα κελεύοντος αὐτῷ μεθεῖναι Καππαδοκίαν, μεθῆκε· καὶ ἑτέραν πρεσβείαν ἐπέπεμπεν ἐπὶ τὰς τῶν συνθηκῶν συγγραφάς. ἤδη δὲ Σύλλα τεθνεῶτος, οὐκ ἐπαγόντων αὐτὴν, ὡς ἐν ἀσχολίᾳ, τῶν προβούλων ἐπὶ τὸ κοινὸν· Τιγράνη τὸν γαμβρὸν Μιθριδάτης ἔπεισεν, ἐς Καππαδοκίαν ἐμβαλεῖν, ὥσπερ ἀφ' ἑαυτοῦ. καὶ τὸ μὲν σόφισμα οὐκ ἔλαθε Ῥωμαίους. ὁ δ' Ἀρμένιος, Καππαδοκίαν σαγηνεύσας, ἐς τριάκοντα μυριάδας ἀνθρώπων ἀνασπάσας ἐς Ἀρμενίαν ἐποίησε, καὶ συνῴκιζεν αὐτοὺς μεθ' ἑτέρων ἔς τι χωρίον, ἔνθα πρῶτον Ἀρμενίας τὸ διάδημα αὐτὸς περιεθήκατο, καὶ Τιγρανόκερταν ἀφ' ἑαυτοῦ προσεῖπε· δύναται δ' εἶναι Τιγρανόπολις.

cap. 67. Novi motus Mithridatis: Bosporum subigit; Achæos aggreditur; Cappadociam retinet, qua tandem, jussus a Sylla, cedit; Tigranem generum concitat, ut Cappadociam invadat.

Καὶ

Digitized by Google

cap. 68. Mithridates ad Sertorium in Hispaniam legatos mittit, eumque sibi foedere contra Romanos jungit.

Καὶ τάδε μὲν ἦν ἐν Ἀσίᾳ. Σερτώριος δ', Ἰβηρίας ἡγέμενος, αὐτήν τε Ἰβηρίαν καὶ τὰ περίοικα πάντα ἐπὶ Ῥωμαίους ἀνίστη, καὶ βουλὴν ἐκ τῶν οἱ συνόντων, ἐς μίμημα τῆς συγκλήτου, κατέλεγε. δύο δ' αὐτοῦ τῶν στασιωτῶν, Λεύκιοι, Μάγιός τε καὶ Φάννιος, Μιθριδάτην ἔπειθον συμμαχῆσαι τῷ Σερτωρίῳ, πολλὰ περὶ τῆς Ἀσίας αὐτὸν καὶ τῶν ἐγγὺς ἐθνῶν ἐπελπίζοντες. ὁ μὲν δὴ, πεισθεὶς, ἐς τὸν Σερτώριον ἔπεμψεν· ὁ δὲ, τοὺς πρέσβεις ἐς τὴν ἑαυτοῦ σύγκλητον παραγαγών τε, καὶ μεγαλοφρονησάμενος, ὅτι τὸ κλέος αὐτοῦ καὶ ἐς τὸν Πόντον διίκετο, καὶ Ῥωμαίους ἕξοι πολιορκεῖν ἀπό τε δύσεως καὶ ἐξ ἀνατολῆς, συνετίθετο τῷ Μιθριδάτῃ, δώσειν Ἀσίαν τε καὶ Βιθυνίαν, καὶ Παφλαγονίαν, καὶ Καππαδοκίαν, καὶ Γαλατίαν· στρατηγόν τε αὐτῷ Μάρκον Οὐάριον, καὶ συμβούλους τοὺς Λευκίους, Μάγιόν τε καὶ Φάννιον, ἔπεμψε. μεθ' ὧν ὁ Μιθριδάτης ἐξέφαινε τὸν τρίτον καὶ τελευταῖον οἱ γενόμενον ἐς Ῥωμαίους πόλεμον· ἐν ᾧ πᾶσαν ἀπώλεσε τὴν ἀρχὴν, Σερτωρίου μὲν ἀποθανόντος ἐν Ἰβηρίᾳ, ἐπιπεμφθέντων δὲ οἱ στρατηγῶν ἀπὸ Ῥώμης, προτέρου Λευκόλλου τοῦδε, τοῦ νεναυαρχηκότος Σύλλᾳ, ὑστέρου δὲ Πομπηΐου· ἐφ' ὅτου πάντα, ὅσα ἦν Μιθριδάτου, καὶ ὅσα αὐτοῖς γειτονεύοντα, μέχρι ἐπὶ ποταμὸν Εὐφράτην, προφάσει καὶ ὁρμῇ τοῦ Μιθριδατείου πολέμου ἐς Ῥωμαίους ἅπαντα περιηνέχθη.

Bellum Mithridatic. III. A. U. 680-690. ante C. 74-64.

cap. 69. Belli apparatus.

Μιθριδάτης μὲν οὖν, οἷα Ῥωμαίων πολλάκις ἐς πεῖραν ἐλθών· καὶ τόνδε μάλιστα τὸν πόλεμον ἡγούμενος, ἀπροφασίστως δὴ καὶ ὀξέως γενόμενον, ἄσπειστον ἕξειν· πᾶσαν ἐπενόει παρασκευὴν, ὡς ἄρτι δὴ κριθησόμενος περὶ ἁπάντων. καὶ τὸ λοιπὸν τοῦ θέρους καὶ τὸν χειμῶνα ὅλον ὑλοτομῶν, ἐπήγνυτο ναῦς καὶ ὅπλα, καὶ σίτου διακοσίας μεδίμνων μυριάδας ἐπὶ θαλάσσῃ διετίθει. σύμμαχοί τε αὐτῷ προσεγίγνοντο, χωρὶς τῆς προτέρας δυνάμεως, Χάλυβες, Ἀρμένιοι, Σκύθαι, Ταῦροι, Ἀχαιοὶ, Ἡνίοχοι, Λευκόσυροι, καὶ ὅσοι περὶ Θερμώδοντα ποταμὸν γῆν ἔχουσι τὴν Ἀμαζόνων λεγομένην. τοσαῦτα μὲν ἐπὶ τοῖς προτέροις αὐτῷ περὶ τὴν Ἀσίαν προσεγίγνετο· περάσαντι δ' ἐς τὴν Εὐρώπην, Σαυροματῶν οἵ τε Βασίλειοι καὶ Ἰάζυγες, καὶ Κόραλλοι, καὶ Θρᾳκῶν ὅσα γένη παρὰ τὸν Ἴστρον ἢ Ῥοδόπην ἢ τὸν Αἷμον οἰκοῦσι, καὶ ἐπὶ τοῖσδε Βαστάρναι, τὸ ἀλκιμώ-

Digitized by Google

μώτατον αὐτῶν γένος. τοσάδε μὲν δὴ καὶ τῆς Εὐρώπης τότε προσελάμβανεν ὁ Μιθριδάτης. καὶ μυριάδες ἐκ πάντων ἐς τὸ μάχιμον αὐτῷ συνελέγοντο τεσσαρεσκαίδεκα μάλιστα πεζῶν, καὶ ἱππεῖς ἐπὶ μυρίοις ἑξακισχίλιοι. πολὺς δὲ καὶ ἄλλος ὅμιλος ὁδοποιῶν καὶ σκευοφόρων εἵπετο καὶ ἐμπόρων.

Λεύκιος δὲ Λεύκολλος ὑπατεύειν καὶ στρατηγεῖν αἱρεθεὶς τοῦδε τοῦ πολέμου, τέλος μέν τι στρατιωτῶν ἦγεν ἐκ Ῥώμης· δύο δ' ἄλλα τὰ Φιμβρίου, καὶ ἐπ' αὐτοῖς ἕτερα δύο, προσλαβὼν, σύμπαντας ἔχων πεζοὺς τρισμυρίους, καὶ ἱππέας ἐς χιλίους ἐπὶ ἑξακοσίοις (ἐπολέμησε τῷ Μιθριδάτῃ· διὰ δὲ ἑπτὰ ἐτῶν ἐς οὐδὲν βέβαιον οὐδὲ κεκριμένον τέλος ὁ πόλεμος ἔληξεν·) ἀφισαμένης γὰρ τῆς Ἰταλίας, ἐνοχλούμενοι, καὶ λῃστευομένης τῆς θαλάσσης, λιμῷ πιεζόμενοι, οὐκ ἐν καιρῷ σφίσιν ἡγοῦντο πολεμεῖν ἄλλον τοσόνδε πόλεμον, πρὶν τὰ ἐνοχλοῦντα διαθέσθαι. ὧν καὶ ὁ Μιθριδάτης αἰσθανόμενος, ἐς Καππαδοκίαν ἐσέβαλε, καὶ τὴν ἰδίαν ἀρχὴν ὠχύρου. καὶ τάδε αὐτὸν πράσσοντα οἱ Ῥωμαῖοι περιεώρων, ἐφ' ὅσον αὐτοῖς ἡ θάλασσα ἐκαθαίρετο. ὡς δ' ἐκεκάθαρτο, καὶ ὁ καθῄρας Πομπήϊος ἔτι ἦν ἐν Ἀσίᾳ, τὸν Μιθριδάτειον πόλεμον ἀνελάμβανον αὐτίκα, καὶ ἐπέστελλον καὶ τοῦδε τῷ Πομπηΐῳ στρατηγῆσαι. διό μοι δοκεῖ, μέρος ὄντα τῆς Πομπηΐου στρατείας τὰ περὶ τὴν θάλασσαν αὐτῷ πρὸ Μιθριδάτου κατειργασμένα, καὶ ἐς οὐδεμίαν συγγραφὴν οἰκείαν ἄλλην ἀπαντῶντα, ἐς τόδε τὸ μέρος συναγαγεῖν τε, καὶ ἐπιδραμεῖν, ὡς ἐγένετο.

Μιθριδάτης, ὅτε πρῶτον Ῥωμαίοις ἐπολέμει, καὶ τῆς Ἀσίας ἐκράτει, Σύλλα περὶ τὴν Ἑλλάδα πονουμένου, ἡγούμενος οὐκ ἐς πολὺ καθέξειν τῆς Ἀσίας, τά τε ἄλλα (ὥς μοι προείρηται) πάντα ἐλυμαίνετο, καὶ ἐς τὴν θάλασσαν πειρατὰς καθῆκεν· οἱ τὸ μὲν πρῶτον ὀλίγαις σκάφεσι καὶ μικροῖς, οἷα λῃσταὶ, περιπλέοντες ἐλύπουν. ὡς δὲ ὁ πόλεμος ἐμηκύνετο, πλέονες ἐγίγνοντο, καὶ ναυσὶ μεγάλαις ἐπέπλεον. γευσάμενοι δὲ κερδῶν μεγάλων, οὐδ', ἡττωμένου καὶ σπενδομένου τοῦ Μιθριδάτου, καὶ ἀναχωροῦντος, ἔτι ἐπαύοντο. οἱ γὰρ βίου καὶ πατρίδων διὰ τὸν πόλεμον ἀφῃρημένοι, καὶ ἐς ἀπορίαν ἐμπεσόντες ἀθρόαν, ἀντὶ τῆς γῆς ἐκαρποῦντο τὴν θάλασσαν, μυοπάρωσι πρῶτον καὶ ἡμιολίαις,

εἶτα

cap. 72. & 91. Lucullus per septem annos (usque ad A. U. 687. ante Chr. 67.) contra Mithridatem pugnat, nec tamen bellum finit.

Bellum piraticum A. U. 679-687. ante Chr. 75 - 67. Mithridatico III. interpositum.

cap. 92. Initium belli piratici tempore belli Mithridatici primi.

Digitized by Google

εἶτα δικρότοις καὶ τριήρεσι, κατὰ μέρη περιπλέοντες, ἡγουμένων λῃστάρχων, οἷα πολέμου στρατηγῶν. ἔς τε ἀτειχίστους πόλεις ἐμπίπτοντες, καὶ ἑτέρων τὰ τείχη διορύττοντες ἢ κόπτοντες, ἢ πολιορκίᾳ λαμβάνοντες, ἐσύλων· καὶ τοὺς ἄνδρας, οἷς τι πλέον εἴη, ἐς ναυλοχίαν ἐπὶ λύτροις ἀπῆγον. καὶ τάδε τὰ λήμματα, ἀδοξοῦντες ἤδη τὸ τῶν λῃστῶν ὄνομα, μισθοὺς ἐκάλουν στρατιωτικούς. χειροτέχνας τε εἶχον ἐπ' ἔργοις δεδεμένους, καὶ ὕλην ξύλου καὶ χαλκοῦ καὶ σιδήρου συμφέροντες οὔποτε ἐπαύοντο. ἐπαιρόμενοι γὰρ ὑπὸ τοῦ κέρδους, καὶ τὸ λῃστεύειν οὐκ ἐγνωκότες ἔτι μεθεῖναι, βασιλεῦσι δ' ἤδη καὶ τυράννοις ἢ στρατοπέδοις μεγάλοις ἑαυτοὺς ὁμοιοῦντες· καὶ νομίζοντες, ὅτε συνέλθοιεν ἐς τὸ αὐτὸ πάντες, ἄμαχοι γενήσεσθαι· ναῦς τε καὶ ὅπλα πάντα ἐτεκταίνοντο, μάλιστα περὶ τὴν Τραχεῖαν λεγομένην Κιλικίαν, ἣν κοινὸν σφῶν ὕφορμον ἢ στρατόπεδον ἐτίθεντο εἶναι· φρούρια μὲν καὶ ἄκρας, καὶ νήσους ἐρήμους, καὶ ναυλοχίας ἔχοντες πολλαχοῦ. κυριωτάτας δὲ ἀφέσεις ἡγούμενοι τὰς περὶ τήνδε τὴν Κιλικίαν, τραχεῖάν τε καὶ ἀλίμενον οὖσαν, καὶ κορυφαῖς μεγάλαις ἐξέχουσαν. ὅθεν δὴ καὶ πάντες ὀνόματι κοινῷ Κίλικες ἐκαλοῦντο· ἀρξαμένου μὲν ἴσως τοῦ κακοῦ παρὰ τῶν Τραχειωτῶν Κιλίκων, συνεπιλαβόντων δὲ Σύρων τε καὶ Κυπρίων καὶ Παμφύλων καὶ τῶν Ποντικῶν, καὶ σχεδὸν ἁπάντων τῶν ἑῴων ἐθνῶν· οἳ, πολλοῦ καὶ χρονίου σφίσιν ὄντος τοῦ Μιθριδατείου πολέμου, δρᾶν τι μᾶλλον ἢ πάσχειν αἱρούμενοι, τὴν θάλασσαν ἀντὶ τῆς γῆς ἐπελέγοντο.

Piratæ, abdicato suo nomine milites mercenarios se vocant,

& Ciliciam Asperam quasi castra communia eligunt.

Ὥστε πολλαὶ τάχιστα αὐτῶν μυριάδες ἦσαν. καὶ οὐ μόνης ἔτι τῆς ἑῴας θαλάσσης ἐκράτουν, ἀλλὰ καὶ τῆς ἐντὸς Ἡρακλείων στηλῶν ἁπάσης. καὶ γάρ τινας ἤδη Ῥωμαίων στρατηγοὺς ναυμαχίᾳ νενικήκεσαν, ἄλλους τε, καὶ τὸν τῆς Σικελίας περὶ αὐτῇ Σικελίᾳ. ἄπλωτά τε ἤδη πάντα ἦν, καὶ ἡ γῆ τῶν ἔργων ἐνδεὴς, διὰ τὴν ἀνεπιμιξίαν. ἥ τε πόλις ἡ Ῥωμαίων ᾔσθετο μάλιστα τοῦ κακοῦ, τῶν τε ὑπηκόων σφίσι καμνόντων, καὶ αὐτοὶ διὰ πλῆθος ἴδιον ἐπιπόνως λιμώττοντες. τὸ δ' ἔργον αὐτοῖς ἐφαίνετο μέγα καὶ δυσχερὲς, ἐξελεῖν τοσάδε στρατόπεδα ἀνδρῶν ναυτικῶν, μεμερισμένα μὲν ἐς πᾶσαν ἐν κύκλῳ γῆν καὶ θάλασσαν, κοῦφα δὲ ταῖς κατασκευαῖς ἐς τὸ ὑποφεύγειν· οὐκ ἐκ πατρίδων ἢ φανε-

cap. 93. Per universum mare, quam late patet, usque ad Herculis columnas, oris molesti, proeliis navalibus superiores sunt, commeatum Romam subvehendum impediunt cet.

φανερᾶς χώρας ὁρμώμενα, ἐδ' ἀπεῖον ἐδὲν, ἢ ἴδιον, ἀλλ' ἀεὶ τὸ προστυχὸν, ἔχοντα. ὥςε πολὺς ὢν ὁ τῦδε τῦ πολέμυ παράλογος, ἔννομον ἐδὲν ἔχοντος, ἐδὲ βέβαιον, ἐδὲ φανερὸν, ἀμηχανίαν ὁμῦ καὶ φόβον εἰργάζετο. Μυρήνας τε, ἐγχειρήσας αὐτοῖς, ἐδὲν ἐξείργασο μέγα· ἀλλ' ἐδὲ Σερϐίλιος Ἰσαυρικὸς, ἐπὶ τῷ Μυρήνᾳ. ἀλλ' ἤδη καὶ τῆς γῆς τῆς Ἰταλικῆς τοῖς παραλίοις, ἀμφί τε τὸ Βρεντέσιον καὶ τὴν Τυῤῥηνίαν, ἐπέβαινον οἱ λῃςαὶ σὺν καταφρονήσει· καὶ γύναια παροδεύοντα τῶν εὐπατριδῶν, καὶ δύο ςρατηγὺς αὐτοῖς σημείοις, συνηρπάκεσαν.

Nec Murena, nec Servilius Isauricus quidquam contra eos efficiunt.

Ὧν ὔτε τὴν βλάβην ὔτε τὴν αἰσχύνην ἔτι φέροντες οἱ Ῥωμαῖοι, τὸν τότε σφῶν ἐπὶ δόξης ὄντα μεγίςης Γναῖον Πομπήϊον αἱρῦνται νόμῳ ςρατηγὸν ἐπὶ τριετὲς αὐτοκράτορα εἶναι, θαλάσσης τε ἁπάσης, ἢ ςηλῶν Ἡρακλείων ἐντός ἐςι, καὶ γῆς ἀπὸ θαλάσσης ἐπὶ ςαδίυς τετρακοσίυς ἄνω. βασιλεῦσί τε καὶ δυνάςαις καὶ ἔθνεσι καὶ πόλεσι πάσαις ἐπέςελλον, ἐς πάντα συλλαμβάνειν τῷ Πομπηΐῳ. καὶ αὐτῷ ςρατιὰν καταλέγειν ἔδοσαν, καὶ χρήματα ἀγείρειν. συνέπεμψαν δὲ καὶ παρὰ σφῶν ςρατὸν πολὺν ἐκ καταλόγυ, καὶ ναῦς, ὅσας εἶχον, καὶ χρημάτων ἐς ἑξακισχίλια τάλαντα Ἀττικά. ὕτω μέγα καὶ δυσεργὲς ἡγῦντο εἶναι, τοσῶνδε κρατῆσαι ςρατοπέδων, ἐν τοσῇδε θαλάσσῃ καὶ μυχοῖς τοσοῖσδε διαλανθανόντων τε εὐμαρῶς, καὶ ὑποχωρύντων ῥᾳδίως, καὶ ἐμπιπτόντων αὖθις ἀφανῶς. ἀνήρ τε ἐδείς πω, πρὸ τῦ Πομπηΐυ, ἐπὶ τοσήνδε ἀρχὴν αἱρεθεὶς ὑπὸ Ῥωμαίων ἐξέπλευσεν. ᾧ ςρατιὰ μὲν αὐτίκα ἦν ἐν δυώδεκα μυριάσι πεζῶν, καὶ ἱππεῖς τετρακισχίλιοι· νῆες δὲ, σὺν ἡμιολίαις, ἑβδομήκοντα καὶ διακόσιαι. ὑπηρέται δ' ἀπὸ τῆς βυλῆς, ὓς καλῦσι πρεσβευτὰς, πέντε καὶ εἴκοσιν· οἷς ὁ Πομπήϊος ἐπιδιῄρει τὴν θάλασσαν, καὶ ναῦς ἐδίδυ, καὶ ἱππέας ἑκάςῳ, καὶ ςρατὸν πεζὸν, καὶ ςρατηγίας σημεῖα περικεῖσθαι. ἵνα αὐτοκράτωρ ἐντελὴς, ᾧ πιςεύοιτο μέρυς, ἕκαςος ὑπάρχοι· αὐτὸς δ', οἷα δὴ βασιλεὺς βασιλέων, αὐτὺς περιθέοι καὶ ἐφορῴη μένοντας, ἐφ' ὧν ἐτάχθησαν, μήτε μεταδιώκων τὺς λῃςὰς περιφέροιτο ἐξ ἔργων ἀτελῶν ἔτι ὄντων εἰς ἕτερα, ἀλλ' εἶέν οἱ πανταχόθεν αὐτοῖς ἀπαντῶντές τε, καὶ τὰς ἐς ἀλλήλυς διαδρομὰς ἀποκλείοντες.

cap. 94. Cn. Pompejus contra piratas imperator creatur in triennium cum tanta potestate, quantam ante eum nullus Romanorum imperator habuit; A. U. 687. ante Chr. 67.

xxv legatos per maria disponit, cum pleno imperio, quibus ipse mandata exsequenda dat.

Οὐ-

Digitized by Google

cap. 95. Dispositionis ratio.

Οὕτω διαθεὶς ὁ Πομπήϊος ἅπαντα, ἐπέστησεν Ἰβηρίᾳ μὲν καὶ ταῖς Ἡρακλείοις στήλαις Τιβέριον Νέρωνα καὶ Μάλλιον Τορκουᾶτον· ἀμφὶ δὲ τὴν Λιγυστικήν τε καὶ Κελτικὴν θάλασσαν Μάρκον Πομπώνιον· Λιβύῃ δὲ καὶ Σαρδόνι καὶ Κύρνῳ, καὶ ὅσαι πλησίον νῆσοι, Λέντουλόν τε Μαρκελλῖνον, καὶ Πούπλιον Ἀτίλιον· περὶ δὲ αὐτὴν Ἰταλίαν, Λούκιον Γέλλιον, καὶ Γναῖον Λέντουλον. Σικελίαν δὲ καὶ τὸν Ἰόνιον ἐφύλασσον αὐτῷ Πλώτιός τε Οὔαρος καὶ Τερέντιος Οὐάρρων, μέχρις Ἀκαρνανίας. Πελοπόννησον δὲ καὶ τὴν Ἀττικήν, ἔτι δ' Εὔβοιαν καὶ Θεσσαλίαν καὶ Μακεδονίαν καὶ Βοιωτίαν, Λούκιος Σισιννᾶς· τὰς δὲ νήσους, καὶ τὸ Αἰγαῖον ἅπαν, καὶ τὸν Ἑλλήσποντον ἐπ' ἐκείνῳ, Λούκιος Λόλλιος· Βιθυνίαν δὲ καὶ Θρᾴκην καὶ τὴν Προποντίδα καὶ τὸ τοῦ Πόντου στόμα, Πούπλιος Πείσων· Λυκίαν δὲ καὶ Παμφυλίαν καὶ Κύπρον καὶ Φοινίκην, Μέτελλος Νέπως. ὧδε μὲν αὐτῷ διετετάχατο οἱ στρατηγοί, ἐπιχειρεῖν τε, καὶ ἀμύνεσθαι, καὶ φυλάσσειν τὰ τεταγμένα, καὶ τοὺς παρ' ἀλλήλων ἐκφεύγοντας ὑπολαμβάνειν· ἵνα μὴ διώκοντες ἀφίσταιντο μακράν, μηδὲ ὡς ἐν δρόμῳ περιφέροιντο, καὶ χρόνιον εἴη τὸ ἔργον. αὐτὸς δ' ἅπαντας ἐπέπλει· καὶ τὰ ἐς δύσιν πρῶτα ἡμέραις τεσσαράκοντα ἐπιδών, ἐς Ῥώμην παρῆλθεν. ὅθεν ἐς Βρεντέσιον, καὶ ἐκ Βρεντεσίου τοσῷδε διαστήματι τὴν ἕω περιπλεύσας, ἐξέπληξεν ἅπαντας τάχει τε ἐπίπλου, καὶ μεγέθει παρασκευῆς, καὶ φόβῳ δόξης. ὥστε τοὺς λῃστάς, ἐλπίσαντας αὐτῷ προεπιχειρήσειν, ἢ οὐκ εὐμαρές γε τὸ κατὰ σφῶν ἔργον ἀποδείξειν, δείσαντας εὐθύς, τῶν τε πόλεων, ἃς ἐπολιόρκουν, ἐξαναχθῆναι, καὶ ἐς τὰς συνήθεις ἄκρας καὶ ναυλοχίας ὑποφεύγειν· καὶ Πομπηΐῳ τὴν μὲν θάλασσαν αὐτίκα ἀμαχεὶ κεκαθάρθαι, τοὺς δὲ λῃστὰς ὑπὸ τῶν στρατηγῶν ἁλίσκεσθαι πανταχοῦ κατὰ μέρη.

Incredibili celeritate, solo terrore, sine certamine maria a Pompejo purgantur, piratæque a prætoribus capiuntur.

cap. 96. Sine certamine adeo arces & castella sua in Cilicia Pompejo tradunt;

Αὐτὸς δὲ ἐς Κιλικίαν ἠπείγετο, μετὰ ποικίλου στρατοῦ καὶ μηχανημάτων πολλῶν· ἐλπίσας, παντοίας μάχης καὶ πολιορκίας αὐτῷ δεήσειν ἐπὶ ἄκρας ἀποκρήμνους. οὐδενὸς δὲ ἐδέησε. τὸ γὰρ κλέος αὐτοῦ καὶ τὴν παρασκευὴν οἱ λῃσταὶ καταπλαγέντες, καὶ ἐλπίσαντες, εἰ μὴ διὰ μάχης ἔλθοιεν, τεύξεσθαι φιλανθρώπου, πρῶτοι μὲν οἱ Κράγον

γου καὶ Ἀντικράγου εἶχον, φρούρια μέγιστα, μετὰ δ' ἐκείνους, οἱ ὄρειοι Κίλικες, καὶ ἐφεξῆς ἅπαντες, ἑαυτοὺς ἐνεχείρισαν· ὅπλα τε ὁμοῦ πολλὰ, τὰ μὲν ἕτοιμα, τὰ δὲ χαλκευόμενα, παρέδωκαν· καὶ ναῦς, τὰς μὲν ἔτι πηγνυμένας, τὰς δ' ἤδη πλεούσας· χαλκόν τε καὶ σίδηρον ἐς ταῦτα συνενηνεγμένον, καὶ ὀθόνας, καὶ κάλως, καὶ ὕλην ποικίλην· αἰχμαλώτων τε πλῆθος, τῶν μὲν ἐπὶ λύτροις, τῶν δὲ ἐπὶ ἔργοις δεδεμένων. ὧν ὁ Πομπήϊος τὴν μὲν ὕλην ἐνέπρησε, τὰς δὲ ναῦς ἀπήγαγε. τοὺς δ' αἰχμαλώτους ἐς τὰς πατρίδας ἀφῆκε· καὶ πολλοὶ κενοτάφια σφῶν κατέλαβον, ὡς ἐπὶ νεκροῖς γενόμενα. τοὺς δὲ πειρατὰς, οἳ μάλιστα ἐδόκουν οὐχ ὑπὸ μοχθηρίας, ἀλλ' ἀπορίᾳ βίου διὰ τὸν πόλεμον, ἐπὶ ταῦτα ἐλθεῖν, ἐς Μαλλὸν καὶ Ἄδανα καὶ Ἐπιφάνειαν, ἢ εἴ τι ἄλλο πόλισμα ἔρημον ἢ ὀλιγάνθρωπον ἦν τῆσδε τῆς Τραχείας Κιλικίας, συνῴκιζε· τοὺς δέ τινας αὐτῶν καὶ ἐς Δύμην τῆς Ἀχαΐας ἐξέπεμπεν. ὧδε μὲν ὁ λῃστρικὸς πόλεμος, χαλεπώτατος ἔσεσθαι νομισθεὶς, ὀλιγήμερος ἐγένετο τῷ Πομπηΐῳ· καὶ ναῦς ἔλαβε, τὰς μὲν ἁλούσας, μίαν καὶ ἑβδομήκοντα, τὰς δὲ ὑπ' αὐτῶν παραδοθείσας, ἓξ καὶ τριακοσίας· πόλεις δὲ καὶ φρούρια, καὶ ὁρμητήρια ἄλλα αὐτῶν, ἐς εἴκοσι καὶ ἑκατόν. λῃσταὶ δ' ἀνῃρέθησαν ἐν ταῖς μάχαις ἀμφὶ τοὺς μυρίους.

Pompejus vero sedes piratis in Cilicia Aspera assignat.

Ἐπὶ δὴ τούτοις, ὀξέως τε οὕτω καὶ παραδόξως γενομένοις, οἱ Ῥωμαῖοι, τὸν Πομπήϊον ἐπὶ μέγα ἐπαίροντες, ἔτι ὄντα περὶ Κιλικίαν, εἵλοντο τοῦ πρὸς Μιθριδάτην πολέμου στρατηγὸν, ἐπὶ τῆς ὁμοίας ἐξουσίας αὐτοκράτορα ὄντα, ὅπῃ θέλοι, συντίθεσθαί τε καὶ πολεμεῖν, καὶ φίλους ἢ πολεμίους Ῥωμαίοις, οὓς δοκιμάσειε, ποιεῖσθαι· στρατιᾶς τε πάσης, ὅση πέραν ἐστὶ τῆς Ἰταλίας, ἄρχειν ἔδωκαν. ἅπερ οὐδενί πω παντάπασι πρὸ τοῦδε ὁμοῦ πάντα ἐδόθη. καὶ ἴσως αὐτὸν καὶ διὰ τάδε Μέγαν στρατηγὸν ὀνομάζουσιν. ὁ γάρ τοι πόλεμος ὁ τοῦ Μιθριδάτου καὶ ὑπὸ τῶν προτέρων στρατηγῶν ἐξήνυστο ἤδη. Πομπήϊος μὲν οὖν, εὐθὺς ἐκ τῆς Ἀσίας στρατὸν ἀγείρας, μετεστρατοπέδευεν ἐπὶ τοὺς ὅρους τοῦ Μιθριδάτου. Μιθριδάτῃ δὲ ἦν ἐπίλεκτος οἰκεῖος στρατὸς, τρισμύριοι πεζοὶ, καὶ ἱππεῖς τρισχίλιοι· καὶ προὐκάθητο τῆς χώρας. ἄρτι δ' αὐτὴν Λουκούλλου διεφθαρκότος, ἀπόρως εἶχεν ἀγορᾶς· ὅθεν αὐτομολίαις ἐπετίθεντο πολλοί. καὶ τούσδε μὲν

cap. 97. Prorogata eadem potestate, Pompejus designatur imperator ad bellum Mithridaticum continuandum.

Digitized by Google

μὲν ὁ Μιθριδάτης ἐρευνώμενος ἐκρήμνη, καὶ ὀφθαλμὲς ἀνώρυττε, καὶ ἔκαιε. καὶ τὰ μὲν τῶν αὐτομολιῶν ἧσσυ ἠνώχλει, διὰ φόβον τῶν κολάσεων· ἐπέτριβε δ' ἡ ἀπορία.

cap. 98. Prima pugna equestris, post rejectas pacis conditiones Mithridati a Pompejo propositas.

Πρέσβεις ἂν ἐς Πομπήϊον πέμψας, ἠξίε μαθεῖν, τίς ἂν εἴη τῦ πολέμυ διάλυσις. ὁ δ', ἐὰν τὺς αὐτομόλυς ἡμῖν παραδῷς, ἔφη, καὶ σεαυτὸν ἡμῖν ἐπιτρέψῃς. ὧν ὁ Μιθριδάτης πυθόμενος, τοῖς αὐτομόλοις τὸ περὶ αὐτῶν ἔφρασε· καὶ δεδιότας ὁρῶν, ὤμοσεν, ὅτι οἱ τὰ πρὸς Ῥωμαίυς ἐςὶν ἄσπονδα διὰ τὴν πλεονεξίαν αὐτῶν, καὶ ἐκ ἐκδώσει τινὰ, ὐδὲ πράξει ποτὲ, ὃ μὴ κοινῇ πᾶσι συνοίσει. ὁ μὲν δὴ ὧδε εἶπεν. ὁ δὲ Πομπήϊος, ἐνέδραν ποι πεθεὶς ἱππέων, ἑτέρυς ἔπεμπεν, ἐκ φανερῦ τοῖς προφύλαξι τῦ βασιλέως ἐνοχλεῖν· καὶ εἴρητο αὐτοῖς, ἐρεθίζειν καὶ ὑποφεύγειν, ὥσπερ ἡττωμένυς. ἕς τε περ οἱ ἐκ τῆς ἐνέδρας περιλαβόντες αὐτὺς ἐτρέψαντο. καὶ φεύγυσι τάχ' ἂν καὶ ἐς τὸ ςρατόπεδον συνεισεπήδησαν, εἰ μὴ δείσας ὁ βασιλεὺς προήγαγε τὸ πεζόν. οἱ δ' ἀπεχώρυν. καὶ τέλος ἦν τῦτο τῇ πρώτῃ Πομπηΐυ καὶ Μιθριδάτυ πεῖρα ἐς ἀλλήλυς καὶ ἱππομαχία.

cap. 99. Mithridates Pompejum intra fines regni ejus procedentem non impedit; fugam vero noctu cum exercitu capit, in qua eum insequenti die Pompejus adsequitur.

Ἐνοχλύμενος δ' ὑπὸ τῆς ἀπορίας ὁ βασιλεὺς, ἄκων ὑπεχώρει, καὶ ἐσεδέχετο Πομπήϊον ἐς τὴν ἑαυτῦ· ἐλπίζων, καθήμενον ἐν τῇδε τῇ διεφθαρμένῃ κακοπαθήσειν. ὁ δὲ ἀγορὰν μὲν ἐπακτὸν ἐκ τῶν ὄπισθεν εἶχε· περιελθὼν δὲ τὰ πρὸς ἕω τῦ Μιθριδάτυ, καὶ φρύρια αὐτῷ καὶ ςρατόπεδα πολλὰ ἐς ἑκατὸν καὶ πεντήκοντα ςαδίυς περιθεὶς, ἀπετάφρευε, τῦ μὴ σιτολογεῖν αὐτὸν ἔτι εὐμαρῶς. καὶ ὁ βασιλεὺς ἀποταφρεύοντι μὲν ὐκ ἐπετίθετο, εἴθ' ὑπὸ ἀνοίας, ἣ πᾶσιν ἐγγίγνεται πλησιαζόντων τῶν κακῶν. κάμνων δ' αὖθις ἐξ ἀπορίας, τὰ ὑποζύγια, ὅσα εἶχε, κατέκοπτε, τὺς ἵππυς μόνυς περιποιύμενος. ἕςε μόλις ἐς πεντήκοντα διαρκέσας ἡμέρας, νυκτὸς ἀπεδίδρασκε σὺν σιωπῇ βαθείᾳ διὰ ὁδῶν δυσχερῶν. ὡς δὲ αὐτὸν μόλις ἡμέρας ὁ Πομπήϊος καταλαβὼν εἵχετο τῶν ὑςάτων, ὁ μὲν, καὶ τότε τῶν φίλων ἐκτάξαι κελευόντων, ὐκ ἐμάχετο· ἀλλὰ τοῖς ἱππεῦσι μόνοις τὺς πλησιάζοντας ἀνακόπτων, ἑσπέρας ἐν ὕλαις ηὐλίσατο πυκναῖς. τῇ δ' ἐπιύσῃ, χωρίον κατέλαβε περίκρημνον, ὗ μία ἐς αὐτὸ ἄνοδος ἦν, καὶ τέσσαρες αὐτὴν σπεῖραι πρυφύλασσον. ἀντεφύλασσον δὲ καὶ Ῥωμαῖοι, μὴ διαφυγεῖν Μιθριδάτην.

Ἀμα

Ἅμα δ' ἡμέρᾳ, τὸν μὲν στρατὸν αὐτῶν ὥπλιζεν ἑκάτερος. οἱ προφύλακες δ' ἀλλήλων κατὰ τὸ πρανὲς ἀπεπειρῶντο· καί τινες ἱππεῖς τοῦ Μιθριδάτου χωρίς τε τῶν ἵππων καὶ χωρὶς ἐπαγγέλματος ἐβοήθουν τοῖς σφετέροις προφύλαξι. πλειόνων δὲ σφίσι Ῥωμαίων ἱππέων ἐπιόντων, οἱ ἄνιπποι τῶν Μιθριδατείων οἵδε ἀθρόως ἐς τὸ στρατόπεδον ἀνεπήδων, ἀναβησόμενοί τε τοὺς ἵππους, καὶ ἐξ ἴσου τοῖς ἐπιοῦσι Ῥωμαίοις συνοισόμενοι. Κατιδόντες δ' αὐτοὺς οἱ ἄνω ἔτι ὁπλιζόμενοι σὺν δρόμῳ καὶ βοῇ προσθέοντας, καὶ τὸ γιγνόμενον οὐκ εἰδότες, ἀλλὰ φεύγειν αὐτοὺς ὑπολαβόντες· ὡς εἰλημμένου σφῶν ἤδη καθ' ἑκάτερα τοῦ στρατοπέδου, τὰ ὅπλα μεθέντες ἔφευγον. ἀδιεξόδου δ' ὄντος τοῦ χωρίου, προσέπταιον ἀλλήλοις ἀναστρεφόμενοι, μέχρι κατήλαντο κατὰ των κρημνῶν. οὕτω μὲν ἡ στρατιὰ τῷ Μιθριδάτῃ, διὰ προπέτειαν τῶν ἄνευ προστάγματος τοῖς προμάχοις ἐπικουρεῖν ἑλομένων θορυβηθεῖσα, διέφθαρτο. καὶ τὸ λοιπὸν ἔργον εὔκολον ἦν τῷ Πομπηΐῳ, κτείνοντι καὶ συλλαμβάνοντι ἀνόπλους ἔτι, καὶ ἐν περικρήμνῳ συγκεκλεισμένους. καὶ ἀνῃρέθησαν ἐς μυρίους, καὶ τὸ στρατόπεδον ὅλῃ τῇ παρασκευῇ κατελήφθη.

cap. 100. Mithridatis exercitus cæditur.

Μιθριδάτης δὲ, μετὰ τῶν ὑπασπιστῶν μόνων ὠσάμενος ἐς τὰ κατάκρημνα, καὶ διαφυγὼν, ἐνέτυχέ τισιν ἱππεῦσι μισθοφόροις, καὶ πεζοῖς ὡς τρισχιλίοις, οἳ εὐθὺς αὐτῷ συνείποντο ἐς Σινορηγα φρούριον, ἔνθα αὐτῷ χρήματα πολλὰ σεσώρευτο· καὶ δωρεὰν καὶ μισθὸν ἐνιαυτοῦ τοῖς συμφυγοῦσι διέδωκε. Φέρων δ' ἐς ἑξακισχίλια τάλαντα, ἐπὶ τὰς τοῦ Εὐφράτου πηγὰς ἠπείγετο, ὡς ἐκεῖθεν ἐς Κόλχους περάσων.

cap. 101. Mithridates fugam capit, Colchos petiturus.

Ὁ δὲ Πομπήϊος αὐτὸν εὐθὺς μὲν ἐπὶ τῇ φυγῇ μέχρι Κόλχων ἐδίωξε· μετὰ δὲ τοὺς Κόλχους, οὐδαμοῦ δόξας αὐτὸν οὔτε τὸν Πόντον, οὔτε τὴν Μαιώτιδα λίμνην περιελεύσεσθαι, οὐδὲ μεγάλοις ἔτι πράγμασιν ἐγχειρήσειν, ἐκπεσόντα· τοὺς Κόλχους ἐπῄει, καθ' ἱστορίαν τῆς Ἀργοναυτῶν καὶ Διοσκούρων καὶ Ἡρακλέους ἐπιδημίας· τὸ πάθος μάλιστα ἰδεῖν ἐθέλων, ὃ Προμηθεῖ φασι γενέσθαι περὶ τὸ Καύκασον ὄρος. Χρυσοφοροῦσι δ' ἐκ τοῦ Καυκάσου πολλαὶ πηγαὶ ψῆγμα ἀφανές· καὶ οἱ περίοικοι, κώδια τιθέντες ἐς τὸ ῥεῦμα βαθύμαλλα, τὸ ψῆγμα ἐνισχόμενον αὐτοῖς ἐκλέγουσι.

cap. 103. Pompejus A. U. 688. ante Chr. 66. Mithridatem ad Colchos usque prosequitur, & Colchidem obit, regionem Argonautarum spectaturus;

καὶ

καὶ τριῦτον ἦν ἴσως καὶ τὸ χρυσόμαλλον Αἰήτυ δέρος. τὸν ὖν Πομπήϊον ἐπὶ τῇ ἱςορίᾳ ἀνιόντα οἱ μὲν ἄλλοι παρέπεμπον, ὅσα ἔθνη γείτονα· Ὀροίζης δ', ὁ τῶν Ἀλβανῶν βασιλεὺς, καὶ Ἀρτώκης, ὁ Ἰβήρων, ἑπτὰ μυριάσιν ἐλόχων ἀμφὶ τὸν Κύρτον ποταμὸν· ὃς δυώδεκα ςόμασι πλωτοῖς ἐς τὴν Κασπίαν θάλασσαν ἐρεύγεται, πολλῶν ἐς αὐτὸν ἐμβαλόντων ποταμῶν, καὶ μεγίςυ πάντων Ἀράξυ. αἰσθόμενος δὲ τῆς ἐνέδρας ὁ Πομπήϊος, τὸν ποταμὸν ἐζεύγνυ· καὶ τὰς βαρβάρυς συνελάσας ἐς λόχμην βαθεῖαν, (ὑλομαχῆσαι δ' εἰσὶ δεινοὶ, κρυπτόμενοί τε καὶ ἐπιόντες ἀφανῶς·) αὐτῇ λόχμῃ τὸν ςρατὸν περιςήσας, ἐνέπρησε, καὶ τὰς ἐκφεύγοντας ἐδίωκεν· ἕως ἂν πάντες ὅμηρά τε καὶ δῶρα ἤνεγκαν. καὶ ἐθριάμβευσεν ἐς Ῥώμην καὶ ἀπὸ τῶνδε. πολλαὶ δὲ ἔν τε τοῖς ὁμήροις καὶ τοῖς αἰχμαλώτοις εὑρέθησαν γυναῖκες, ὐ μείονα τῶν ἀνδρῶν τραύματα ἔχυσαι· καὶ ἐδόκυν Ἀμαζόνες εἶναι· εἴτε τι ἔθνος ἐςὶν αὐτοῖς γειτονεῦον αἱ Ἀμαζόνες, ἐπίκλητοι τότε ἐς συμμαχίαν γενόμεναι· εἴ τέ τινας πολεμικὰς ὅλως γυναῖκας οἱ τῇδε βάρβαροι καλῦσιν Ἀμαζόνας.

dum Albanis & Iberis pugnat feliciter. Inter captivos inventæ sunt Amazones.

Ἐπανιὼν δ' ἐντεῦθεν ὁ Πομπήϊος ἐςράτευσεν ἐς Ἀρμενίαν, ἔγκλημα ἐς Τιγράνη τιθέμενος, ὅτι συνεμάχει Μιθριδάτῃ· καὶ ἦν ἤδη περὶ Ἀρτάξατα τὴν βασίλειον. Τιγράνῃ δὲ ὐκ ἔγνωςο μὲν πολεμεῖν ἔτι. παῖδες δ' ἐκ τῆς Μιθριδάτυ θυγατρὸς αὐτῷ γεγένηντο, ὧν δύο μὲν αὐτὸς ὁ Τιγράνης ἀνῃρήκει· τὸν μὲν, ἐν μάχῃ, πολεμῦντά οἱ· τὸν δ' ἐν κυνηγεσίοις, αὐτῦ πεσόντος ἀμελήσαντα, καὶ τὸ διάδημα περιθέμενον ἔτι κειμένυ. ὁ δὲ τρίτος, Τιγράνης, ἐν μὲν τοῖς κυνηγεσίοις ὑπεραλγήσας τῦ πατρὸς, ἐςεφάνωτο ὑπ' αὐτῦ· μικρὸν δὲ διαλιπὼν, ἀπέςη καὶ ὅδε· καὶ πολεμῶν τῷ πατρὶ, καὶ ἡττώμενος, ἐς Φραάτην ἐπεφεύγει τὸν Παρθυαίων βασιλέα, ἄρτι τὴν Σιντρίκυ τῦ πατρὸς ἀρχὴν διαδεδεγμένον. πλησιάσαντος δὲ τῦ Πομπηΐυ, κοινωσάμενος Φραάτῃ, συγχωρῦντός τι κἀκείνυ, καὶ φιλίαν ἰδίαν ἐς τὸν Πομπήϊον μνωμένυ, κατέφευγεν ὁ ἱκέτης ἐς τὸν Πομπήϊον· καὶ ταῦτα, ὢν Μιθριδάτυ θυγατριδῦς. ἀλλὰ μέγα δικαιοσύνης καὶ πίςεως κλέος ἦν τῦ Πομπηΐυ παρὰ τοῖς βαρβάροις. ᾧ δὴ πίσυνος καὶ ὁ πατὴρ Τιγράνης, ὐδ' ἐπικηρυσάμενος, ἧκε· τά τε ἄλλα πάντα

cap. 104. Tigranes Pompeji se tradit arbitrio.

Digitized by Google

τα ἑαυτὸν ἐπιτρέψας ἐς τὰ δίκαια Πομπηΐῳ, καὶ κατηγορήσαν τῦ παιδὸς ἐπὶ Πομπηΐυ. χιλιάρχυ δὲ αὐτῷ καὶ ἱππάρχυς ἐπὶ τιμῇ κελεύσαντος ὑπαντᾷν τῦ Πομπηΐυ, οἱ μὲν ὄντες ἀμφὶ τὸν Τιγράνη, τὸ ἀκήρυκτον τῆς ὁδῦ δεδιότες, ἔφευγον ὀπίσω. ὁ δὲ Τιγράνης ἦλθε, καὶ τὸν Πομπήϊον, ὡς κρείττονα, βαρβαρικῶς προσεκύνησεν. εἰσὶ δ' οἱ λέγυσιν, ὑπὸ ῥαβδόχοις αὐτὸν ἀχθῆναι, μετάπεμπτον ὑπὸ τῦ Πομπηΐυ γενόμενον. ὁποτέρως δ' ἦλθεν, ἐξελογεῖτο περὶ τῶν γεγονότων· καὶ ἐδίδυ Πομπηΐῳ μὲν αὐτῷ τάλαντα ἑξακισχίλια· τῇ ςρατιᾷ δὲ, δραχμὰς πεντήκοντα ἑκάςῳ, καὶ λοχαγῷ χιλίας, καὶ χιλιάρχῳ μυρίας.

Καὶ ὁ Πομπήϊος αὐτῷ συνεγίγνωσκε τῶν γεγονότων, καὶ συνήλλασσε τῷ παιδί· καὶ διήτησε, τὸν μὲν υἱὸν ἄρχειν τῆς Σωφηνῆς καὶ Γορδυηνῆς· (αἳ νῦν ἄρα εἰσὶν Ἀρμενία βραχυτέρα·) τὸν δὲ πατέρα, τῆς ἄλλης Ἀρμενίας, ἐπὶ τῷδε τῷ παιδὶ κληρονόμῳ. τὴν δὲ ἐπίκτητον αὐτὸν ἀρχὴν ἐκέλευσεν ἤδη μεθεῖναι. καὶ μεθίει Συρίαν, τὴν ἀπ' Εὐφράτυ μέχρι τῆς θαλάσσης. εἶχε γὰρ δὴ καὶ τήνδε καὶ Κιλικίας τινὰ ὁ Τιγράνης, Ἀντίοχον ἐκβαλὼν τὸν Εὐσεβῆ προσαγορευθέντα. Ἀρμενίων δ' ὅσοι τὸν Τιγράνη πρὸς Πομπήϊον ὁδεύοντα ἐγκαταλελοίπεσαν, ἐν ὑποψίᾳ τῦτ' ἔχοντες, τὸν παῖδα αὐτῦ, παρὰ τῷ Πομπηΐῳ ἔτι ὄντα, πείθυσιν ἐπιθέσθαι τῷ πατρί. καὶ ὁ μὲν ἐλήφθη καὶ ἐδέθη· καὶ μεταξὺ Παρθυαίυς ἐρεθίζων ἐπὶ τὸν Πομπήϊον, ἐθριαμβεύθη καὶ ἀνῃρέθη. ὁ δὲ Πομπήϊος, ἐκτετελέσθαι οἱ τὸν πάντα πόλεμον ἡγύμενος, ᾤκιζε πόλιν ἔνθα τὴν μάχην ἐνίκα Μιθριδάτην· ἣ ἀπὸ τῦ ἔργυ Νικόπολις κλήζεται, καὶ ἔςιν Ἀρμενίας τῆς βραχυτέρας λεγομένης. Ἀριοβαρζάνῃ δ' ἀπεδίδυ βασιλεύειν Καππαδοκίας· καὶ προσεπέδωκε Σωφηνὴν καὶ Γορδυηνὴν, ἃ τῷ παιδὶ μεμέριςο τῷ Τιγράνυς, καὶ ςρατηγεῖται νῦν ἅμα τῇ Καππαδοκίᾳ καὶ τάδε. ἔδωκε δὲ καὶ τῆς Κιλικίας πόλιν Κασάβαλα, καὶ ἄλλας. Ἀριοβαρζάνης μὲν ὖν τὴν βασιλείαν ὅλην τῷ παιδὶ περιὼν ἐνεχείρισε. καὶ πολλαὶ μεταβολαὶ μέχρι Καίσαρος ἐγένοντο τῦ Σεβαςῦ. ἐφ' ὖ, καθάπερ τὰ λοιπὰ, καὶ ἥδε ἡ βασιλεία περιῆλθεν ἐς ςρατηγίαν.

cap. 105. Pompejus dat Tigrani filio Armeniam minorem, patri reliquam Armeniam; e reliquis vero provinciis, quas bello acquisivisset, Tigranem patrem decedere jubet.

Tigranes filius jussu Pompeji necatur incarcere.

Ariobarzani regnum Cappadociæ reddit, una cum Armenia minore, & nonnullis civitatibus Ciliciæ.

Digitized by Google

cap. 106. Pompejus bello petit Antiochum Commagenes regem, Darium Mediæ, Aretam Arabum regem, & Judæos; omnem Syriam, Idumæam & Ituræam sine certamine Romanis subjicit, A. U. 690. 691. ante C. 64. 63.

Ὁ δὲ Πομπήϊος καὶ τὸν Ταῦρον ὑπερελθὼν, ἐπολέμησεν Ἀντιόχῳ τῷ Κομμαγηνῷ, ἕως ἐς φιλίαν ὁ Ἀντίοχος αὐτῷ συνῆλθεν. ἐπολέμησε δὲ καὶ Δαρείῳ τῷ Μήδῳ, μέχρις ἔφυγεν, εἴτε Ἀντιόχῳ συμμαχῶν, εἴτε Τιγράνῃ πρότερον. ἐπολέμησε δὲ καὶ Ἄραψι τοῖς Ναβαταίοις, Ἀρέτα βασιλεύοντος αὐτῶν· καὶ Ἰουδαίοις, Ἀριστοβούλου τοῦ βασιλέως ἀποστάντος· ἕως εἷλεν Ἱεροσόλυμα, τὴν ἁγιωτάτην αὐτοῖς πόλιν. καὶ Κιλικίας δὲ ὅσα οὔπω Ῥωμαίοις ὑπήκουε, καὶ τὴν ἄλλην Συρίαν, ὅση τε περὶ Εὐφράτην ἐστὶ, καὶ Κοίλη καὶ Φοινίκη καὶ Παλαιστίνη λέγεται, καὶ τὴν Ἰδουμαίων καὶ Ἰτουραίων, καὶ ὅσα ἄλλα ὀνόματα Συρίας, ἐπιὼν, ἀμαχεὶ Ῥωμαίοις καθίστατο· ἔγκλημα μὲν οὐδὲν ἔχων ἐς Ἀντίοχον, τὸν Εὐσεβοῦς, παρόντα καὶ δεόμενον ὑπὲρ ἀρχῆς πατρῴας· ἡγούμενος δὲ, Τιγράνη τὸν κρατήσαντα τοῦ Ἀντιόχου τῆς γῆς ἀπελάσας, Ῥωμαίοις αὐτὴν κατὰ τόδε προσεκτῆσθαι. ταῦτα δ' αὐτῷ διοικουμένῳ πρέσβεις ἀφίκοντο Φραάτου καὶ Τιγράνους, ἐς πόλεμον ἀλλήλοις συμπεσόντων· οἱ μὲν Τιγράνους, ὡς φίλῳ συμμαχεῖν τὸν Πομπήϊον ἀξιοῦντες· οἱ δὲ τοῦ Παρθυαίου, φιλίαν αὐτῷ πρὸς Ῥωμαίους τιθέμενοι. καὶ ὁ Πομπήϊος, οὐκ ἀξιῶν Παρθυαίοις πολεμεῖν ἄνευ Ῥωμαίων ψηφίσματος, ἔπεμψεν ἀμφοτέροις διαλλακτάς. καὶ ὁ μὲν ἀμφὶ ταῦτα ἦν.

Phraatem Parthorum & Tigranem in pacem reducit.

cap. 107. Mithridates Xipharem filium interficit propter matris, Stratonices, culpam, quæ castellum una cum thesauris Pompejo prodiderat, A. U. 689. ante Chr. 65;

Μιθριδάτῃ δὲ ἡ περίοδος ἤνυστο τοῦ Πόντου· καὶ Παντικάπαιον, ἐμπόριον Εὐρωπαῖον ἐπὶ τῆς ἐκβολῆς τοῦ Πόντου, καταλαβὼν, κτείνει τῶν υἱέων Ξιφάρην ἐπὶ τοῦ πόρου, διὰ μητρὸς ἁμάρτημα τοιόνδε. Φρούριον ἦν τι Μιθριδάτῃ, ἔνθα λανθάνοντες ὑπόγαιοι θησαυροὶ πολλῶν σιδηροδέτων χαλκέων, πολλὰ χρήματα ἔκρυπτον. Στρατονίκη δὲ, μία τῶν Μιθριδάτου παλλακῶν ἢ γυναικῶν, ἣ τοῦδε τοῦ φρουρίου τὴν ἐπιστήμην καὶ φυλακὴν ἐπετέτραπτο, περιιόντος ἔτι τὸν Πόντον τοῦ Μιθριδάτου, τὸ φρούριον ἐνεχείρισε τῷ Πομπηΐῳ· καὶ τοὺς θησαυροὺς ἀγνοουμένους ἐμήνυσεν, ἐπὶ συνθήκῃ μόνῃ τῇδε, ὅτι οἱ τὸν υἱὸν Ξιφάρην ὁ Πομπήϊος, εἰ λάβοι, περισώσει. καὶ ὁ μὲν, τοῖς χρήμασιν ἐπιτυχὼν, ὑπέσχητο αὐτῇ τὸν Ξιφάρην· καὶ ἐδεδώκει φέρεσθαι καὶ τὰ ἴδια. αἰσθόμενος δὲ τῶν γεγονότων ὁ Μιθριδάτης, κτείνει τὸν Ξιφάρην ἐπὶ τοῦ πόρου, ἐφο-

Digitized by Google

ἀφορώσης τῆς μητρὸς πέραθεν, καὶ ἐξέῤῥιψεν ἄταφον. καὶ ὁ μὲν υἱοῦ κατεφρόνησεν, ἐς ἀνίαν τῆς ἁμαρτούσης, καὶ πρέσβεις ἐς τὸν Πομπήϊον, ἔτι περὶ Συρίαν ὄντα, καὶ οὐκ αἰσθανόμενον αὐτοῦ παρόντος, ἔπεμπεν, εἰ τῆς πατρῴας ἀρχῆς αὐτὸν Ῥωμαίοις τελέσειν φόρους ὑπισχνοῦντο. Πομπηΐου δ' αὐτὸν, ἐλθόντα δεῖσθαι τὸν Μιθριδάτην, κελεύοντος, καθὰ καὶ Τιγράνης ἀφίκετο· τοῦτο μὲν οὐκ, ἔφη, ποτὲ ὑποστήσεσθαι, Μιθριδάτης γε ὤν, πέμψειν δὲ τῶν παίδων τινὰς καὶ φίλους. ἅμα δὲ ταῦτ' ἔλεγε, καὶ στρατιὰν ἀθρόως κατέλεγεν ἐλευθέρων τε καὶ δούλων· ὅπλα τε πολλὰ καὶ βέλη καὶ μηχανὰς ἐπήγνυ, φειδόμενος οὔτε τινὸς ὕλης, οὔτε βοῶν ἀροτήρων ἐς τὰ νεῦρα. εἰσφορὰς τε πᾶσιν, ἐς τὰ βραχύτατα τῆς περιουσίας, ἐπέγραφεν. οἱ δὲ ὑπηρέται τούτου πολλοὺς ἐνύβριζον, οὐκ αἰσθομένου τοῦ Μιθριδάτου. νόσον γάρ τινα ἑλκώδη τοῦ προσώπου νοσῶν, ὑπὸ τριῶν εὐνούχων ἐθεραπεύετο καὶ ἑωρᾶτο.

populo Rom. tributa pollicetur, si regnum paternum ipsi concedatur; sed indignatus Pompeji responso ad arma redit.

Ὡς δ' ἔληγε τὸ πάθος, καὶ ὁ στρατὸς αὐτῷ ἀγήγερτο ἤδη· (ἐπίλεκτοι μὲν ἑξήκοντα σπεῖραι, ἀνὰ ἑξακοσίους ἄνδρας· πολὺς δὲ καὶ ἄλλος ὅμιλος, καὶ νῆες, καὶ χωρία ὅσα οἱ στρατηγοὶ παρὰ τὴν νόσον ᾑρήκεσαν·) ἐπέρα τοῦ στρατοῦ μέρος ἐς Φαναγόρειαν, ἕτερον ἐμπόριον ἐπὶ τοῦ στόματος, ὡς ἑκατέρωθεν ἕξων τὰς ἐσβολὰς, ἔτι Πομπηΐου περὶ Συρίαν ὄντος. Κάστωρ δὲ, Φαναγορεὺς, ᾐκισμένος ποτὲ ὑπὸ τοῦ Τρύφωνος, εὐνούχου βασιλικοῦ, τὸν Τρύφωνα εἰσιόντα κτείνει προσπεσὼν, καὶ τὸ πλῆθος ἐς ἐλευθερίαν συνεκάλει. οἱ δὲ, καίπερ ἤδη τῆς ἀκροπόλεως ἐχομένης ὑπὸ Ἀρταφέρνους τε καὶ ἑτέρων υἱέων τοῦ Μιθριδάτου, ξύλα περιθέντες, τὴν ἄκραν ἐνεπίμπρασαν. ἕως ὁ μὲν Ἀρταφέρνης καὶ Δαρεῖος, καὶ Ξέρξης, καὶ Ὀξάθρης, καὶ Εὐπάτρα, παῖδες τοῦ Μιθριδάτου, δείσαντες ἐπὶ τῷ πυρὶ, παρέδοσαν ἑαυτοὺς ἄγεσθαι. καὶ ἦν αὐτῶν Ἀρταφέρνης ἀμφὶ τεσσαράκοντα ἔτη μόνος· οἱ δὲ λοιποὶ, παῖδες εὔμορφοι. Κλεοπάτρα δὲ ἀντεῖχεν, ἑτέρα παῖς τοῦ Μιθριδάτου· καὶ αὐτὴν ὁ πατὴρ ἀγάμενος τῆς εὐψυχίας, δίκροτα πολλὰ ἐπιπέμψας ἐξήρπασεν. ὅσα δὲ ἐγγὺς ἦν φρούρια, ἀρτίληπτα τῷ Μιθριδάτῃ γενόμενα, πρὸς τὴν θερμουργίαν τῶν Φαναγορέων ἀφίσατο τοῦ Μιθριδάτου, Χεῤῥόνησός τε καὶ Θεοδοσία καὶ Νύμφαιον, καὶ ὅσα

cap. 108. Mithridates partem novi exercitus trajicit Phanagoriam, emporium in ostio Mæotidis Paludis situm.

Phanagorenses, subdito igne arci ab Artapherne, Mithridatis filio jam occupatæ, plures filios Mithridatis cogunt, se captivos tradere.

Plurium castellorum a Mithrid. defectione, exercitus fides regi suspecta videtur.

ἄλλα περὶ τὸν Πόντον ἐςὶν εὔκαιρα ἐς πόλεμον. ὁ δὲ, τὰς ἀποςάσεις ὁρῶν πυκνὰς, καὶ τὸν ςρατὸν ἐν ὑποψίᾳ ἔχων, μὴ ἐ βέβαιος ᾖ διὰ τὴν ἀνάγκην τῆς ςρατείας, καὶ διὰ εἰσφορῶν βαρύτητα, καὶ τὴν ἀεὶ τοῖς ςρατοῖς ἐς ἡγεμόνας ἀτυχῆντας ἀπιςίαν· ἔπεμπεν ἐς τὲς Σκύθας ἐπὶ

Scythiæ igitur regulis filias suas nuptum mittit, ut eos sibi belli socios concilièt; quæ autem ad Pompejum mittuntur.

ἐυνέχων τοῖς δυνάςαις τὰς θυγατέρας ἐς γάμες· αἰτῶν, ςρατιὰν κατὰ τάχος ἤδη οἱ παρεῖναι. πεντακόσιοι δ' αὐτὰς ἀπὸ τῆ ςρατῆ παρέπεμπον ἄνδρες· οἱ Μιθριδάτε βραχὺ διασχόντες, ἔκτεινάν τε τὲς ἄγοντας εὐνέχες, (ἀεὶ πρὸς εὐνέχες, κρατῆντας τῆ Μιθριδάτε, πεπολεμωμένοι) καὶ τὰς κόρας ἐς τὸν Πομπήϊον ἀπήγαγον.

cap. 109. Rex tot liberis, castellis, regno spollatus ad Gallos iter meditatur, ut cum eis per Alpes Italiam invadat;

Ὁ δὲ καὶ τέκνων τοσῶνδε, καὶ Φρερίων, καὶ τῆς ἀρχῆς ὅλης ἀφῃρημένος, καὶ ἐς ἐδὲν ἀξιόμαχος ἔτι ὢν, ἐδὲ τῆς Σκυθῶν συμμαχίας ἡγέμενος ἂν τυχεῖν, ὅμως ἐδὲν ἐδὲ τότε ἢ ταπεινὸν ἢ συμφορῶν ἄξιον ἐνεθυμεῖτο· ἀλλ' ἐς Κελτὲς, ἐκ πολλῆ φίλες ἐπὶ τῷδέ οἱ γεγονότας, ἐπενόει διελθὼν ἐς τὴν Ἰταλίαν σὺν ἐκείνοις ἐμβαλεῖν· ἐλπίζων οἱ πολλὰ καὶ τῆς Ἰταλίας αὐτῆς, ἔχθει Ῥωμαίων, προσέσεθαι. πυνθανόμενος, ὧδε καὶ Ἀννίβαν πρᾶξαι, πολεμέμενον ἐν Ἰβηρίᾳ, καὶ ἐπιφοβώτατον ἐκ τῆδε Ῥωμαίοις γενέθαι. ᾔδει δὲ, καὶ ἔναγχος τὴν Ἰταλίαν σχεδὸν ἅπασαν ἀπὸ Ῥωμαίων ἀποςᾶσαν ὑπὸ ἔχθες, καὶ ἐπὶ πλεῖςον αὐτοῖς πεπολεμηκυῖαν, Σπαρτάκῳ τε μονομάχῳ συςᾶσαν ἐπ' αὐτὲς, ἀνδρὶ ἐπ' ἐδεμιᾶς ἀξιώσεως

sed exercitus, audaciæ magnitudine deterritus, eum destituit.

ὄντι. ταῦτα ἐνθυμέμενος, ἐς Κελτὲς ἠπείγετο. τῆ δὲ τολμήματος ἂν αὐτῷ λαμπροτάτε γενομένε, ὁ ςρατὸς ὤκνει, δι' αὐτὸ μάλιςα τῆς τόλμης τὸ μέγεθός, ἐπί τε χρόνιον ςρατείαν καὶ ἐς ἀλλοτρίαν γῆν ἀγόμενοι, καὶ ἐπὶ ἄνδρας ὧν ἐδ' ἐν τῇ σφετέρᾳ κρατῆσιν. αὐτόν τε τὸν Μιθριδάτην ἡγέμενοι, πάντων ἀπογιγνώσκοντα, βέλεθαί τι δρῶντα καὶ βασιλιζόμενον μᾶλλον, ἢ δι' ἀργίας, ἀποθανεῖν· ὅμως ἐνεκαρτέρεν καὶ ἡσύχαζον. ἐ γάρ τοι σμικρὸς ἐδ' εὐκαταφρόνητος ἦν βασιλεὺς ἐδ' ἐν ταῖς συμφοραῖς.

cap. 110. Tandem Pharnaces, filius ejus carissimus, patri insidias struit,

Ὧδε δ' ἐχόντων ἁπάντων, Φαρνάκης, ὁ τῶν παίδων αὐτῷ τιμιώτατός τε, καὶ πολλάκις ὑπ' αὐτῆ τῆς ἀρχῆς ἀποδεδειγμένος ἔσεθαι διάδοχος· εἴ τε δείσας περὶ τῆδε τῆ ςόλε καὶ τῆς ἀρχῆς, ὡς νῦν μὲν ἔτι συγγνωσομέ-

σομένων τι Ῥωμαίων, ἀπολεμένης δὲ πάμπαν ὁλοκλήρως, εἰ ἐπὶ τὴν Ἰταλίαν ὁ πατὴρ στρατεύσειεν· εἴθ᾽ ἑτέραις αἰτίαις καὶ λογισμῶν ἐπιθυμίαις, ἐπεβούλευε τῷ πατρί. ληφθέντων δὲ τῶν συνεγνωκότων αὐτῷ, καὶ ἐς βασάνους ἀγομένων, Μηνοφάνης μετέπεισε τὸν Μιθριδάτην, ὡς οὐ δέον, ἀποπλέοντα ἤδη, τὸν ἔτι οἱ τιμιώτατον υἱὸν ἀνελεῖν. εἶναι δ᾽, ἔφη, τὰς τοιαύτας τροπὰς ἔργα πολέμων· ὧν παυσαμένων, καὶ τάδε καθίσασθαι. ὁ μὲν δὴ πεισθεὶς, προὔτεινε τῷ παιδὶ συγγνώμην. ὁ δὲ, δείσας τι μήνιμα, καὶ τὸν στρατὸν εἰδὼς κατοκνοῦντα τὴν στρατείαν, νυκτὸς ἐς πρώτους τοὺς Ῥωμαίων αὐτομόλους, ἀγχοτάτω τοῦ Μιθριδάτου στρατοπεδεύοντας, ἐσῆλθε· καὶ τὸν κίνδυνον αὐτοῖς ἴσασιν ἐπὶ τὴν Ἰταλίαν, ὅσος εἴη σαφῶς εἰδόσιν, ὑπερεκαίρων, πολλὰ δὲ μένουσιν ἐπελπίσας ἔσεσθαι παρ᾽ ἑαυτοῦ, προήγαγεν ἐς ἀπόστασιν ἀπὸ τοῦ πατρός. ὡς δ᾽ ἐπείσθησαν οἵδε, τῆς αὐτῆς νυκτὸς ἐς τὰ ἐγγὺς ἄλλα στρατόπεδα ἔπεμπεν ὁ Φαρνάκης. Συνθεμένων δὲ κἀκείνων, πρῶτοι μὲν ἅμα ἕῳ ἠλάλαξαν οἱ αὐτόμολοι, ἐπὶ δ᾽ ἐκείνοις οἱ ἀεὶ πλησίον τὴν βοὴν μετελάμβανον. καὶ τὸ ναυτικὸν αὐτοῖς ἐπήχησεν· οὐ προειδότες μὲν ἅπαντες ἴσως, ὀξύῤῥοποι δ᾽ ὄντες ἐς μεταβολὰς, καὶ τὸ δυστυχοῦν ὑπερορῶντες, ἐν δὲ τῷ καινῷ τὸ εὔελπι ἀεὶ τιθέμενοι. οἱ δὲ, καὶ ἀγνοίᾳ τῶν συνεγνωκότων, ἡγούμενοι πάντας διεφθάρθαι, καὶ, μόνοι ἔτι ὄντες, ἔσεσθαι τοῖς πλείοσιν εὐκαταφρόνητοι, φόβῳ καὶ ἀνάγκῃ μᾶλλον ἢ ἑκουσίῳ γνώμῃ συνεπήχουν. Μιθριδάτης δ᾽ ἐγρόμενος ὑπὸ τῆς βοῆς, ἔπεμπέ τινας, ἐρησομένους, ὅ τι χρήζοιεν οἱ βοῶντες. οἱ δ᾽ οὐκ ἐγκαλυψάμενοι, τὸν υἱὸν, ἔφασαν, βασιλεύειν, νέον ἀντὶ γέροντος, εὐνούχοις τε ἐκδεδομένου, καὶ κτείναντος ἤδη πολλοὺς υἱέας τε καὶ ἡγεμόνας καὶ φίλους.

> adeoque post veniam a patre impetratam milites incitat, ut a patre deficiant.

> Milites a Mithridate filium sibi regem petunt, A. U. 691. ante Chr. 63.

Ὧν ὁ Μιθριδάτης πυθόμενος, ἐξῄει διαλεξόμενος αὐτοῖς. καί τι πλῆθος ἐκ φρουρίου τοῖς αὐτομόλοις συνέτρεχεν. οἱ δ᾽ οὐκ, ἔφασαν, αὐτοὺς προσήσεσθαι, πρίν τι ἀνήκεστον ἐς πίστιν ἐργάσασθαι· δεικνύντες ὁμοῦ τὸν Μιθριδάτην. οἱ μὲν δὴ τὸν ἵππον ἔφθασαν αὐτοῦ κτεῖναι φυγόντος, καὶ τὸν Φαρνάκην, ὡς ἤδη κρατοῦντες, ἀνεῖπον βασιλέα· καὶ βύβλον τις πλατεῖαν φέρων ἐξ ἱεροῦ, ἐστεφάνωσεν αὐτὸν ἀντὶ διαδήματος. ἅπερ ἄνωθεν ἐκ περιπάτου

> cap. III. Pharnaces rex appellatur, ejusque caput membrana chartacea vice diadematis circumdatur.

Digitized by Google

πάτε θεώμενος, ἔπεμπεν ἐς τὸν Φαρνάκην ἄλλον ἐπ' ἄλλῳ, Φυγὴν αἰτῶν ἀσφαλῆ. ἐδενὸς δὲ τῶν πεμπομένων ἐπανιόντος, δείσας, μὴ Ῥωμαίοις ἐκδοθείη, τὲς μὲν σωματοφύλακας αὐτὲ καὶ Φίλες ἔτι οἱ παραμένοντας, ἐπαινέσας, ἔπεμψεν ἐς τὸν νέον βασιλέα, καὶ αὐτῶν τινας προσιόντας ἔκτεινεν ἡ ςρατιὰ παραλόγως. αὐτὸς δὲ παραλύσας ὃ περὶ τῷ ξίφει Φάρμακον ἀεὶ περιέκειτο, ἐκίρνη, καθὼς διηγησάμεθα ἤδη ἐν τῇ περὶ τὲ Πόντε περικοπῇ.

Mithridates, ut vitæ finem faciat, venenum haurit. (v. Tom. I. p. 624.)

cap. 114. Provinciæ & regna a Pompejo constituta.

Ὁ δὲ Πομπήϊος, ἐνὶ τῷδε πολέμῳ τά τε λῃςήρια καθήρας, καὶ βασιλέα καθελὼν μέγιςον· καὶ συνενεχθεὶς ἐς μάχας, ἄνευ τὲ Ποντικὲ πολέμε, Κόλχοις τε καὶ Ἀλβανοῖς καὶ Ἴβηρσι καὶ Ἀρμενίοις καὶ Μήδοις καὶ Ἄραψι καὶ Ἰεδαίοις, καὶ ἑτέροις ἔθνεσιν ἑώοις· τὴν ἀρχὴν ὡρίσατο Ῥωμαίοις μέχρις Αἰγύπτε. ἐς δὲ Αἴγυπτον αὐτὴν ἐ παρῆλθε, καίτοι ςασιάζεσαν ἐς τὸν βασιλέα, καὶ καλἔντος αὐτὸν αὐτὲ βασιλέως, καὶ πέμψαντος αὐτῷ δῶρα καὶ χρήματα καὶ ἐσθῆτας ἐς τὸν ςρατὸν ἅπαντα· εἴτε δείσας μέγεθος ἀρχῆς ἔτι εὐτυχέσης, εἴτε Φυλαξάμενος ἐχθρῶν Φθόνον, ἢ χρησμῶν ἀπαγόρευσιν, εἴτε ἑτέροις λογισμοῖς, ἐς ἐξοίσω κατὰ τὰ Αἰγύπτια. τῶν δὲ εἰλημμένων ἐθνῶν τὰ μὲν αὐτόνομα ἠφίει, συμμαχίας ἕνεκα· τὰ δὲ ὑπὸ Ῥωμαίοις εὐθὺς ἐγίγνετο· τὰ δ' εἰς βασιλείας διεδίδε, Τιγράνῃ μὲν Ἀρμενίαν, καὶ Φαρνάκῃ Βόσπορον, καὶ Ἀριοβαρζάνῃ Καππαδοκίαν, καὶ ὅσα προεῖπον ἕτερα. Ἀντιόχῳ δὲ τῷ Κομμαγηνῷ Σελεύκειαν ἐπέτρεψε, καὶ ὅσα τῆς Μεσοποταμίας ἄλλα κατέδραμεν. Ἐποίει δὲ καὶ τετράρχας, Γαλλογραικῶν μὲν, οἳ νῦν εἰσι Γαλάται Καππαδόκαις ὅμοροι, Δηϊόταρον, καὶ ἑτέρες· Παφλαγονίας δὲ Ἄτταλον, καὶ Κόλχων Ἀρίςαρχον, δυνάςην. ἀπέφηνε δὲ καὶ τῆς ἐν Κομάνοις θεᾶς Ἀρχέλαον ἱερέα, ὅπερ ἐςὶ δυναςεία βασιλική· καὶ τὸν Φαναγορέα Κάςορα, Ῥωμαίων Φίλον. πολλὴν δὲ καὶ ἑτέροις χώραν τε καὶ χρήματα ἔδωκε.

cap. 115. Urbe a Pompejo instauratæ & conditæ.

Καὶ πόλεις ᾤκισεν, ἐν μὲν Ἀρμενίᾳ τῇ βραχυτέρᾳ Νικόπολιν ἐπὶ τῇ νίκῃ· ἐν δὲ Πόντῳ Εὐπατορίαν, ἣν αὐτὸς μὲν ὁ Εὐπάτωρ Μιθριδάτης ἔκτισε, καὶ Εὐπατορίαν ὠνόμασεν ἀφ' ἑαυτὲ, ὑποδεξαμένην δὲ Ῥωμαίες καθη-

Digitized by Google

καθῃρήκει· καὶ ὁ Πομπήϊος ἐγείρας, Μαγνόπολιν ἐκάλει. ἐν δὲ Καππαδοκίᾳ, Μάζακα, ὑπὸ τοῦ πολέμου λελυμασμένην ἐς τέλος, ἤγειρεν αὖθις. καὶ ἑτέρας πολλαχοῦ κατενεχθείσας ἢ βεβλαμμένας διωρθοῦτο, περί τε τὸν Πόντον καὶ Παλαιστίνην καὶ κοίλην Συρίαν, καὶ Κιλικίαν, ἐν ᾗ δὴ καὶ μάλιστα τοὺς λῃστὰς συνῴκιζε, καὶ ἡ πόλις ἡ πάλαι Σόλοι νῦν Πομπηϊούπολις ἐστιν. ἐν δὲ Ταλαύροις, ἥν τινα πόλιν ὁ Μιθριδάτης εἶχε ταμιεῖον τῆς κατασκευῆς, δισχίλια μὲν ἐκπώματα λίθου τῆς ὀνυχίτιδος λεγομένης εὑρέθη χρυσοκόλλητα, καὶ φιάλαι καὶ ψυκτῆρες πολλοί, καὶ ῥυτά, καὶ κλίναι, καὶ θρόνοι κατάκοσμοι, καὶ ἵππων χαλινοὶ καὶ προστερνίδια καὶ ἐπωμίδια, πάντα ὁμοίως διάλιθα καὶ κατάχρυσα· ὧν ἡ παράδοσις διὰ τὸ πλῆθος ἐς τριάκοντα ἡμέρας παρέτεινε. καὶ ἦν τὰ μὲν ἐκ Δαρείου τοῦ Ὑστάσπου, τὰ δὲ ἐκ τῆς Πτολεμαίων ἀρχῆς, ὅσα Κλεοπάτρα Κῴοις παρέθετο, καὶ Κῷοι Μιθριδάτῃ δεδώκεσαν· τὰ δὲ καὶ ὑπ' αὐτοῦ Μιθριδάτου κατεσκεύαστο καὶ συνείλεκτο, φιλοκάλου καὶ περὶ κατασκευὴν γενομένου.

cap. 116. Praemia militibus distribuit Pompejus XVI. M. talentorum, A. U. 692. ante Chr. 62.

Λήγοντος δὲ τοῦ χειμῶνος, διέδωκεν ὁ Πομπήϊος ἀριστεῖα τῷ στρατῷ, καὶ ἕκαστον ἄνδρα χιλίας πεντακοσίας Ἀττικάς, καὶ τοῖς ἡγουμένοις αὐτῶν ἀνάλογον· καί φασι γενέσθαι τάλαντα μύρια καὶ ἑξακισχίλια. αὐτὸς δ' ἐς Ἔφεσον καταβάς, διέπλευσεν ἐς τὴν Ἰταλίαν, καὶ ἐς Ῥώμην ἠπείγετο, διαφεὶς ἐν Βρεντεσίῳ τὸν στρατὸν ἐς τὰ οἰκεῖα. ἐφ' ὅτῳ μάλιστα, ὡς δημοτικῷ, τοὺς Ῥωμαίους ἐξέπληξε. καὶ αὐτῷ προσιόντι ἀπήντων κατὰ μέρος, πορρωτάτω μὲν οἱ νέοι, ἑξῆς δὲ ὡς ἠδύναντο καθ' ἡλικίαν ἕκαστοι· καὶ ἐπὶ πᾶσιν ἡ βουλή, θαυμάζουσα τῶν γεγονότων. οὐ γάρ πω τις ἐχθρὸν τηλικοῦτον ἑλών, τοσάδε ὁμοῦ καὶ μέγιστα ἔθνη προσειλήφει, καὶ τὴν Ῥωμαίων ἀρχὴν ἐπὶ τὸν Εὐφράτην ὡρίκει. ὁ δὲ ἐθριάμβευσεν ἐπὶ λαμπροτάτης καὶ ἧς οὔτις προτοῦ δόξης, ἔτη ἔχων πέντε καὶ τριάκοντα, δύο ἐφεξῆς ἡμέραις, ἐπὶ πολλοῖς ἔθνεσιν, ἀπό τε τοῦ Πόντου καὶ Ἀρμενίας καὶ Καππαδοκίας καὶ Κιλικίας, καὶ Συρίας ὅλης, καὶ Ἀλβανῶν καὶ Ἡνιόχων, καὶ Ἀχαιῶν τῶν ἐν Σκύθαις, καὶ Ἰβηρίας τῆς ἑῴας. καὶ παρῆγεν ἐς μὲν τοὺς λιμένας ἑπτακοσίας ναῦς ἐντελεῖς.

Dimissis Brundusii militibus publicam exspectationem superat.

Triumphus Pompeji splendidissimus.

Digitized by Google

λεῖς. ἐς δὲ τὴν πομπὴν τῦ θριάμβυ, ζεύγη καὶ Φορεῖα χρυσοφόρα, καὶ ἕτερα κόσμυ ποικίλυ, καὶ τὴν Δαρείυ τῦ Ὑστάσπυ κλίνην, καὶ τὸν τῦ Εὐπάτορος αὐτῦ θρόνον, καὶ σκῆπτρον αὐτῦ, καὶ εἰκόνα ὀκτάπηχυν ἀπὸ στερεῦ χρυσίυ παρῆγε, καὶ ἐπισήμυ ἀργυρίυ μυριάδας ἑπτακισχιλίας καὶ πεντακοσίας καὶ δέκα. ἁμάξας δὲ ὅπλων ἀπείρυς τὸ πλῆθος, καὶ νεῶν ἔμβολα· καὶ πλῆθος αἰχμαλώτων τε καὶ λῃστῶν, ὐδένα δεδεμένον, ἀλλ᾽ ἐς τὰ πάτρια ἐσταλμένυς.

cap. 117. Αὐτῦ δὲ τῦ Πομπηΐυ προῆγον ὅσοι τῶν πεπολεμημένων βασιλέων ἡγεμόνες ἢ παῖδες ἢ στρατηγοὶ ἦσαν, οἱ μὲν, αἰχμάλωτοι ὄντες, οἱ δὲ, ἐς ὁμηρείαν δεδομένοι, τριακόσιοι μάλιστα καὶ εἴκοσι καὶ τέσσαρες. ἔνθα δὴ καὶ ὁ Τιγράνυς ἦν παῖς Τιγράνης, καὶ πέντε Μιθριδάτυ, Ἀρταφέρνης τε καὶ Κῦρος, καὶ Ὀξάθρης, καὶ Δαρεῖος, καὶ Ξέρξης· καὶ θυγατέρες, Ὀρσάβαρίς τε καὶ Εὐπάτρα. παρήγετο δὲ καὶ ὁ Κόλχων σκηπτῦχος Ὀλθάκης, καὶ Ἰυδαίων βασιλεὺς Ἀριστόβυλος· καὶ οἱ Κιλίκων τύραννοι, καὶ Σκυθῶν βασίλειοι γυναῖκες· καὶ ἡγεμόνες τρεῖς Ἰβήρων, καὶ Ἀλβανῶν δύο, καὶ Μένανδρος ὁ Λαοδικεὺς, ἱππάρχης τῦ Μιθριδάτυ γενόμενος. τῶν δὲ ὐκ ἀφικομένων εἰκόνες παρεφέροντο, Τιγράνυς καὶ Μιθριδάτυ, μαχομένων τε καὶ νικωμένων καὶ φευγόντων. Μιθριδάτυ δὲ καὶ ἡ πολιορκία, καὶ ἡ νὺξ ὅτε ἔφευγεν, εἴκαστο, καὶ ἡ σιωπή. ἐπὶ τέλει δὲ ἐδείχθη καὶ ὡς ἀπέθανεν, αἵ τε παρθένοι αἱ συναποθανεῖν αὐτῷ ἑλόμεναι παρεζωγράφηντο, καὶ τῶν προαποθανόντων υἱέων καὶ θυγατέρων ἦσαν γραφαί· θεῶν τε βαρβαρικῶν εἰκόνες, καὶ κόσμοι πάτριοι. παρεφέρετο δὲ καὶ πίναξ ἐγγεγραμμένων τῶνδε· ΝΗΕΣ ἙΑΛΩΣΑΝ ΧΑΛΚΕΜΒΟΛΟΙ ΟΚΤΑΚΟΣΙΑΙ. ΠΟΛΕΙΣ ΕΚΤΙΣΘΗΣΑΝ. ΚΑΠΠΑΔΟΚΩΝ ΟΚΤΩ, ΚΙΛΙΚΩΝ ΔΕ ΚΑΙ ΚΟΙΛΗΣ ΣΥΡΙΑΣ ΕΙΚΟΣΙ· ΠΑΛΑΙΣΤΙΝΗΣ ΔΕ, Ἡ ΝΥΝ ΣΕΛΕΥΚΙΣ. ΒΑΣΙΛΕΙΣ ΕΝΙΚΗΘΗΣΑΝ, ΤΙΓΡΑΝΗΣ, Ὁ ΑΡΜΕΝΙΟΣ· ΑΡΤΩΚΗΣ, ΙΒΗΡ· ΟΡΟΙΖΗΣ, ΑΛΒΑΝΟΣ· ΔΑΡΕΙΟΣ, ΜΗΔΟΣ· ΑΡΕΤΑΣ, ΝΑΒΑΤΑΙΟΣ· ΑΝΤΙΟΧΟΣ, ΚΟΜΜΑΓΗΝΟΣ. τοσαῦτα μὲν ἐδήλυ τὸ διάγραμμα. αὐτὸς δὲ ὁ Πομπήϊος ἐπὶ ἅρματος ἦν, καὶ τῦδε λιθοκολλήτυ, χλαμύδα ἔχων, ὥς φασιν,

Digitized by Google

φασιν, Ἀλεξάνδρου τοῦ Μακεδόνος, εἴ τῳ πιστόν ἐστιν· ἔοικε δ' αὐτὴν εὑρεῖν ἐν Μιθριδάτου, Κῴων παρὰ Κλεοπάτρας λαβόντων. εἵποντο δὲ αὐτῷ μετὰ τὸ ἅρμα οἱ συστρατευσάμενοι τῶν ἡγεμόνων, οἱ μὲν, ἐπὶ ἵππων, οἱ δὲ, πεζοί. παρελθὼν δ' ἐς τὸ Καπιτώλιον, οὐδένα τῶν αἰχμαλώτων ἔκτεινεν, ὡς ἕτεροι τῶν θριάμβους παραγόντων, ἀλλ' ἐς τὰς πατρίδας ἔπεμψε δημοσίοις δαπανήμασι, χωρὶς τῶν βασιλικῶν. καὶ τούτων μόνος Ἀριστόβουλος εὐθὺς ἀνῃρέθη, καὶ Τιγράνης ὕστερον. ὁ μὲν δὴ θρίαμβος ἦν τοιόσδε.

cap. 118. Fines imperii Romani hoc bello prorogati.

Ὧδε μὲν Ῥωμαῖοι Βιθυνοὺς καὶ Καππάδοκας, ὅσα τε αὐτοῖς ὅμορα ἔθνη ἐπὶ τὸν Πόντον κατοικεῖ τὸν Εὔξεινον, βασιλέα Μιθριδάτην τεσσαράκοντα δύο ἔτεσι μάλιστα καθελόντες, ὑπηγάγοντο σφίσιν ὑπήκοα εἶναι. τοῦ δὲ αὐτοῦ πολέμου καὶ Κιλικίας τὰ μήπω σφίσι κατήκοα, καὶ Συρίας τήν τε Φοινίκην καὶ Κοίλην καὶ Παλαιστίνην, καὶ τὴν ἐς τὸ μεσόγαιον ἐπὶ ποταμὸν Εὐφράτην, οὐδὲν ἔτι τῷ Μιθριδάτῃ προσήκοντα, ῥύμῃ τῆσδε τῆς νίκης προσέλαβον· καὶ φόρους τοῖς μὲν αὐτίκα, τοῖς δὲ ὕστερον, ἔταξαν. Παφλαγονίαν τε καὶ Γαλατίαν, καὶ Φρυγίαν, καὶ τὴν ὅμορον τῇ Φρυγίᾳ Μυσίαν, καὶ ἐπὶ τοῖσδε Λυδίαν καὶ Καρίαν καὶ Ἰωνίαν, καὶ ὅσα ἄλλα Ἀσίας τῆς περὶ τὸ Πέργαμόν ἐστι, καὶ τὴν ἀρχαίαν Ἑλλάδα, καὶ Μακεδονίαν, Μιθριδάτου περισπάσαντος, ὀξέως ἀνελάβοντο· καὶ τοῖς πολλοῖς αὐτῶν, οὔπω σφίσιν ὑποτελέσιν οὖσιν, ἐπέθηκαν φόρους. δι' ἅ μοι καὶ μάλιστα δοκοῦσι τόνδε τὸν πόλεμον ἡγεῖσθαι μέγαν, καὶ τὴν ἐπ' αὐτῷ νίκην Μεγάλην Νίκην καλεῖν, καὶ τὸν στρατηγήσαντα Πομπήϊον, Μέγαν, τῇ ἰδίᾳ φωνῇ μέχρι νῦν ἐπονομάζειν· ἐθνῶν τε πλήθους ἕνεκα, ὧν ἀνέλαβον ἢ προσέλαβον· καὶ χρόνου μήκους, τεσσαρακονταετοῦς γενομένου· τόλμης τε αὐτοῦ Μιθριδάτου, καὶ φερεπονίας, δυνατοῦ σφίσιν ἐς ἅπαντα ὀφθέντος.

cap. 119. Belli tam piratici quam Mithridatici gravitas & magnitudo.

Ὧι νῆες μὲν ἦσαν οἰκεῖαι πολλάκις πλείους τετρακοσίων, ἱππεῖς δ' ἔστιν ὅτε πεντακισμύριοι, καὶ πεζῶν μυριάδες πέντε καὶ εἴκοσι, καὶ μηχαναὶ καὶ βέλη κατὰ λόγον. συνεμάχουν δὲ βασιλεῖς καὶ δυνάσται, ὅ τε Ἀρμένιος, καὶ Σκυθῶν τῶν περὶ τὸν Πόντον, ἐπί τε Μαιώτιδα λίμνην καὶ ἀπ' ἐκείνης ἐπὶ τὸν Θρᾴκιον Βόσπορον περι-

ριπλέοντι. ἔς τε τὰς Ῥωμαίων δυνατὰς, ςασιάζοντας ἀλλήλοις τότε μάλιςα, καὶ Ἰβηρίαν ἀνιςάντας ἐπὶ Ῥωμαίυς, περιέπεμπε· καὶ Κελτοῖς φιλίαν ἐτίθετο, ὡς καὶ τῇδε ἐσβαλῶν ἐς τὴν Ἰταλίαν· λῃςῶν τε ἐνεπίμπλη τὴν θάλασσαν ἀπὸ Κιλικίας ἐπὶ ςήλας Ἡρακλείυς, οἱ πάντα ἄμικτα καὶ ἄπλωτα ταῖς πόλεσιν ἐς ἀλλήλυς ἐποίυν, καὶ λιμὸν ἐπίπονον ἐξειργάσαντο ἐπιπλεῖςον· ὅλως τε ὐδὲν ἀνδρὶ δυνατὸν ἐξέλιπεν, ἢ πράττων, ἢ διανοέμενος, ὡς μέγιςον δὴ τόδε τὸ κίνημα ἐξ ἀνατολῆς ἐπὶ δύσιν γενόμενον ἐνοχλῆσαι πᾶσιν, ὡς ἔπος ἐιπεῖν, ἢ πολεμεμένοις, ἢ συμμαχῦσιν, ἢ λῃςευομένοις, ἢ γειτονέυσι. τοσόσδε ἐις ὗτος πόλεμος καὶ ποικίλος ἐγένετο. καὶ ἐς τὰ μέγιςα λήγων συνήνεγκε Ῥωμαίοις. ὡρίσαντο γὰρ ἐπὶ τῷδε τὴν ἡγεμονίαν ἐκ δύσεως ἐπὶ ποταμὸν Εὐφράτην.

Ibidem. De bellis civ. Lib. II. c. 9. Romæ non omnia a Pompejo instituta rata habentur Lucullo Crassoque auctoribus; Crassus tamen Pomp. per Cæsarem reconciliatur. Cæsaris, Pompeji & Crassi triumviratus. A. U. 695. ante Chr 59. Cæsari Cos. Bibulus collega adjungitur.

Ἐν δὲ τύτῳ Πομπήϊος, ἐκ τῶν Μιθριδατείων ἔργων ἐπὶ μέγα δόξης καὶ δυνάμεως ἐλθὼν, ἠξίυ, πολλὰ, ὅσα βασιλεῦσι καὶ δυνάςαις καὶ πόλεσιν ἐδεδώκει, τὴν βυλὴν βεβαιῶσαι. Φθόνῳ δ᾽ αὐτῶν οἱ πολλοὶ, καὶ μάλιςα Λεύκολλος, ὁ πρὸ τῦ Πομπηΐυ ςρατεύσας ἐπὶ τὸν Μιθριδάτην, ὡς ἀσθενέςατον αὐτὸν ἀπολιπὼν τῷ Πομπηΐῳ, διεκώλυεν, ἴδιον ἔργον ἀποφαίνων τὸ Μιθριδάτειον. καὶ Λευκόλλῳ συνελάμβανε Κράσσος. ἀγανακτῶν ὖν ὁ Πομπήϊος προσεταιρίζεται Καίσαρα, συμπράξειν ἐς τὴν ὑπατείαν ἐπομόσας. ὁ δ᾽ εὐθὺς αὐτῷ Κράσσον διήλλασσε. καὶ τρεῖς οἵδε τὸ μέγιςον ἐπὶ πᾶσι κράτος ἔχοντες, τὰς χρείας ἀλλήλοις συνηράνιζον. καί τις αὐτῶν τήνδε τὴν συμφροσύνην συγγραφεὺς, Βάῤῥων, ἑνὶ βιβλίῳ περιλαβὼν, ἐπέγραψε Τρικάρανον. ὑφορωμένη δ᾽ αὐτὺς ἡ βυλὴ, Λεύκιον Βύβλον ἐς ἐναντίωσιν τῦ Καίσαρος ἐχειροτόνησεν αὐτῷ συνάρχειν.

cap. 10. Consulum contentiones, Cæsar pacem simulat, ut collegam incautum reddat.

Καὶ εὐθὺς αὐτῶν ἦσαν ἔριδές τε, καὶ ὅπλων ἐπ᾽ ἀλλήλυς ἰδίᾳ παρασκευαί. δεινὸς δ᾽ ὢν ὁ Καῖσαρ ὑποκρίνεσθαι, λόγυς ἐν τῇ βυλῇ περὶ ὁμονοίας διέθετο πρὸς Βύβλον, ὡς τὰ κοινὰ λυπήσοντες ἐι διαφέροιντο. πιςευθεὶς δ᾽ ὕτω φρονεῖν, ἀπερίσκεπτον ἤδη καὶ ἀπαράσκευον καὶ ὐδὲν ἔτι τῶν γιγνομένων ὑπονοῦντα τὸν Βύβλον ἔχων, χεῖρά τε πολλὴν ἀφανῶς ἡτοιμάζετο, καὶ νόμυς ὑπὲρ τῶν πενήτων ἐς τὸ βυλευτήριον ἐσέφερε, καὶ γῆν αὐτοῖς διένεμε, καὶ

τὴν

Digitized by Google

τὴν ἀριϛεύϐσαν αὐτῆς μάλιϛα περὶ Καπύην ἐς τὰ κοινὰ διεμιθϐτο τοῖς ϐσι πατράσι παίδων τριῶν, ἔμμιθον ἑαυτῷ τῆσδε τῆς χάριτος πλῆθος τοσόνδε ποιϐμένος. δισμύριοι γὰρ ἀθρόως ἐφάνησαν οἱ τὰ τρία τρέφοντες μόνοι. ἐνιϛαμένων δὲ τῇ γνώμῃ πολλῶν, ὑποκρινάμενος δυσχεραίνειν ὡς ϐ δίκαια ποιϐντων, ἐξέδραμε· καὶ βϐλὴν μὲν ϐκέτι συνῆγεν ἐπὶ τὸ ἔτος ὅλον, ἐπὶ δὲ τῶν ἐμβόλων ἐδημηγόρει. Πομπήϊόν τε ἐν μέσῳ καὶ Κράσσον ἠρώτα περὶ τῶν νόμων· οἱ δὲ αὐτϐς ἐπῄνϐν, καὶ ὁ δῆμος ἐπὶ τὴν χειροτονίαν ᾔει σὺν κεκρυμμένοις ξιφιδίοις.

Civibus, trium liberorum patribus, agrum Campanum attribuit Pompejo Crassoque assentientibus.

Ἡ βϐλὴ δὲ (ϐ γάρ τις αὐτὴν συνῆγεν, ϐδ' ἐξῆν τῷ ἑτέρῳ τῶν ὑπάτων συναγαγεῖν αὐτὴν) ἐς τὴν οἰκίαν τϐ Βύβλϐ συνελθόντες, ϐδὲν μὲν ἀντάξιον τῆς Καίσαρος ἰσχύος τε καὶ παρασκευῆς ἐποίϐν· ἐπενόϐν δ' ὅμως, Βύβλον ἐνϛῆναι τοῖς νόμοις, καὶ μὴ δόξαν ἀμελείας, ἀλλὰ ἥσσης, ἐνέγκασθαι. πεισθεὶς ϐν ὁ Βύβλος, ἐνέβαλεν ἐς τὴν ἀγορὰν, δημηγορϐντος ἔτι τϐ Καίσαρος. ἔριδος δὲ καὶ ἀταξίας γενομένης, πληγαί τε ἦσαν ἤδη, καὶ οἱ μετὰ τῶν ξιφιδίων τὰς ῥάβδϐς καὶ τὰ σημεῖα τϐ Βύβλϐ περιέκλων, καὶ τῶν δημάρχων ἔϛιν ϐς περὶ αὐτὸν ὄντας ἔτρωσαν. Βύβλος δ' ϐ καταπλαγεὶς, ἀπεγύμνϐ τὴν σφαγὴν, καὶ μετὰ βοῆς ἐκάλει τϐς Καίσαρος φίλϐς ἐπὶ τὸ ἔργον. εἰ γὰρ ϐ δύναμαι πεῖσαι τὰ δίκαια ποιεῖν (ἔφη) Καίσαρα, τό γε ἄγος αὐτῷ καὶ μῦσος ϐτως ἀποθανὼν ἐπιβαλῶ. ἀλλὰ τὸν μὲν ἄκοντα ὑπεξήγαγον οἱ φίλοι ἐς τὸ πλησίον ἱερὸν τϐ Κτησίϐ Διός. Κάτων δ' ἐπιπεμφθεὶς, ὤσατο μὲν ὡς νέος ἐς μέσϐς, καὶ δημηγορεῖν ἤρχετο· μετέωρος δ' ὑπὸ τῶν Καίσαρος ἀρθεὶς ἐξεφέρετο. καὶ λαθὼν κατ' ἄλλας ὁδϐς αὖθις ἀνέδραμεν ἐς τὸ βῆμα· καὶ λέγειν μὲν ἔτι, ϐδενὸς ἀκϐοντος, ἀπεγίγνωσκε· τϐ δὲ Καίσαρος ἀγροίκως κατεβόα, μέχρι καὶ τότε μετέωρος ἐξεῤῥίφη.

cap. 11. Bibulus collegæ legibus, quibus pl. favorem aucupatur, contradicit.

Fasces Bibuli a pl. franguntur.

Cato, ad populum verba facturus, a Cæsarianis impeditur.

Καὶ τϐς νόμϐς ὁ Καῖσαρ ἐκύρωσε, καὶ ἐπ' αὐτοῖς τόν τε δῆμον ὥρκωσεν, ἐς ἀεὶ κυρίϐς νομιεῖν, καὶ τὴν βϐλὴν ἐκέλευεν ὀμνῦναι. ἐνιϛαμένων δὲ πολλῶν καὶ Κάτωνος, εἰσηγεῖτο μὲν ὁ Καῖσαρ θάνατον τῷ μὴ ὀμόσαντι, καὶ ὁ δῆμος ἐπεκύρϐ. ὤμνυον δ' αὐτίκα, δείσαντες, οἵ τε ἄλλοι καὶ οἱ δήμαρχοι. ϐ γὰρ ἔτι χρήσιμον ἀντιλέ-

cap. 12. Cæsar leges perfert, Patresque, ut in eas jurent, cogit.

Vettius, se ad necem Cæsaris submissum, præ se fert, & ante inquisitionem in custodia trucidatur. Posthac Bibulus tanquam privatus domi se continet.

τιλέγειν ἦν, κυρουμένου διὰ τοὺς ἄλλους τοῦ νόμου. Οὐέττιος δ', ἀνὴρ δημότης, ἐς τὸ μέσον ἐσδραμὼν μετὰ ξιφιδίου γυμνοῦ, ἐπιπεμφθῆναι ἔφη πρός τε Βύβλου καὶ Κικέρωνος καὶ Κάτωνος, ἐς ἀναίρεσιν Καίσαρός τε καὶ Πομπηΐου· καὶ τὸ ξιφίδιον αὐτῷ Βύβλου ῥαβδοῦχον ἐπιδοῦναι Ποστούμιον. ὑπόπτου δ' ὄντος ἐφ' ἑκάτερα τοῦ πράγματος, ὁ μὲν Καῖσαρ ἐξετράχυνε τὸ πλῆθος, τὴν δ' ἐπιοῦσαν ἐξετάσειν τὸν Οὐέττιον ἀνεβάλλοντο. καὶ ὁ Οὐέττιος, φυλασσόμενος ἐν τῷ δεσμωτηρίῳ, νυκτὸς ἀνῃρέθη. εἰκαζομένου δ' ἐς ποικίλα τοῦ συμβεβηκότος, ὁ Καῖσαρ οὐκ ἀνίει καὶ τοῦτο δρᾶσαι λέγων τοὺς δεδιότας· ἕως ὁ δῆμος αὐτοῦ συνεχώρησεν ἀμύνειν τοῖς ἐπιβεβουλευμένοις. καὶ Βύβλος μὲν, ἐκ χειρῶν ἅπαντα μεθεὶς, οἷά τις ἰδιώτης, οὐ προῄει τῆς οἰκίας ἐπὶ τὸ λοιπὸν τῆς ἀρχῆς ἅπαν.

cap. 13. Cæsar solus res Rom. moderatur, novas leges fert in pl. gratiam, acta Pompeji rata habet, publicanis tertiam partem ex locationum pretio remittit equitum in gratiam.

Ὁ δὲ Καῖσαρ οὐδ' αὐτὸς ἔτι ἐζήτει περὶ τοῦ Οὐεττίου, μόνος ἔχων τὸ κράτος ἐπὶ τῆς πολιτείας. νόμους δ' ἐσέφερεν, ἐκθεραπεύων τὸ πλῆθος, ἑτέρους, καὶ τὰ Πομπηΐῳ πεπραγμένα ἅπαντα ἐκύρου, καθάπερ ὑπέσχητο αὐτῷ. οἱ δ' Ἱππέες λεγόμενοι, τὴν μὲν ἀξίωσιν τοῦ δήμου καὶ τῆς βουλῆς ὄντες ἐν μέσῳ, δυνατώτατοι δὲ ἐς ἅπαντα, περιουσίας τε ἕνεκα, καὶ μισθώσεως τελῶν καὶ φόρων, οὓς ὑπὲρ τῶν ἐθνῶν τελουμένους ἐξεμισθοῦντο, καὶ πλήθους βεβαιοτάτων ἐς ταῦτα θεραπόντων, ἐκ πολλοῦ τὴν βουλὴν ᾔτουν, ἄφεσίν τινα μέρους τῶν φόρων αὐτοῖς γενέσθαι. καὶ ἀποδιέτριβεν ἡ βουλή. ὁ δὲ Καῖσαρ, ἐς οὐδὲν τότε τῆς βουλῆς δεόμενος, ἀλλὰ μόνῳ τῷ δήμῳ χρώμενος, τὰ τρίτα τῶν μισθώσεων αὐτοῖς παρῆκεν. οἱ δὲ, ὑπὲρ τὴν σφετέραν ἀξίωσιν ἀδοκήτου τῆς χάριτος αὐτοῖς γενομένης, ἐξεθείαζον αὐτόν. καὶ εἶφος ἄλλο καρτερώτερον τοῦ δήμου τόδε τῷ Καίσαρι προσγεγένητο δι' ἑνὸς πολιτεύματος. ὁ δὲ καὶ θέας ἐπεδίδου καὶ κυνηγέσια θηρίων, ὑπὲρ δύναμιν δανειζόμενος ἐς ἅπαντα, καὶ τὰ πρότερα πάνθ' ὑπερβάλλων παρασκευῇ καὶ χορηγίᾳ καὶ δόσεσι λαμπραῖς. ἐφ' οἷς αὐτὸν εἵλοντο Γαλατίας τῆς τε ἐντὸς Ἄλπεων καὶ ὑπὲρ Ἄλπεις ἐπὶ πενταετὲς ἄρχειν, καὶ ἐς τὴν ἀρχὴν ἔδοσαν τέλη στρατοῦ τέσσαρα.

Cæsari Gallia, citerior & ulterior, in quinquennium decernitur.

cap. 14. Cæsar filiam Pompejo col-

Ὁ δὲ, καὶ τὴν ἀποδημίαν οἱ χρόνιον ὁρῶν ἐσομένην, καὶ τὸν φθόνον ὡς ἐπὶ μεγίστοις δὴ τοῖς δεδομένοις μείζονα, Πο-

Digitized by Google

Πομπηΐῳ μὲν ἐζεύγνυ τὴν θυγατέρα, καίπερ ἐνηγγυομένην Καιπίωνι· δεδιὼς, μὴ καὶ φίλος ὢν ἐπιφθονήσειε τῷ μεγέθει τῆς εὐδαιμονίας. τοὺς δὲ θρασυτάτους τῶν στασιωτῶν ἐπὶ τὰς ἀρχὰς τοῦ μέλλοντος ἔτους παρῆγε. καὶ ὕπατον μὲν ἀπέφηνεν Αὖλον Γαβίνιον, φίλον ἑαυτοῦ· Λευκίου δὲ Πείσωνος, τοῦ σὺν αὐτῷ μέλλοντος ὑπατεύσειν, τὴν θυγατέρα Καλπουρνίαν αὐτὸς ἤγετο· βοῶντος Κάτωνος, διαμαστροπεύεσθαι γάμοις τὴν ἡγεμονίαν. δημάρχους δὲ ᾑρεῖτο Οὐατίνιόν τε, καὶ Κλώδιον τὸν Καλὸν ἐπίκλην· ὅντινα, αἰσχρὰν ἐν ἱερουργίᾳ γυναικῶν ποτε λαβόντα ὑπόνοιαν ἐπὶ τῇ Καίσαρος αὐτοῦ γυναικὶ, ὁ μὲν Καῖσαρ οὐκ ἔκρινεν, ὑπεραρέσκοντα τῷ δήμῳ, καίπερ ἀποπεμψάμενος τὴν γυναῖκα· ἕτεροι δὲ διὰ τὴν ἱερουργίαν ἐς ἀσέβειαν ἐδίωκον, καὶ συνηγόρευε τοῖς διώκουσι Κικέρων· καὶ κληθεὶς ἐς μαρτυρίαν ὁ Καῖσαρ οὐ κατεῖπεν, ἀλλὰ καὶ τότε δήμαρχον ἐς ἐπιβουλὴν τοῦ Κικέρωνος ἀπέφηνε, διαβάλλοντος ἤδη τὴν συμφροσύνην τῶν τριῶν ἀνδρῶν ἐς μοναρχίαν. οὕτω καὶ λύπης ἐκράτουν ὑπὸ χρείας, καὶ τὸν ἐχθρὸν εὐηργέτουν ἐς ἄμυναν ἑτέρου. δοκεῖ δὲ ὁ Κλώδιος ἀμείψασθαι πρότερος τὸν Καίσαρα, καὶ συλλαβεῖν ἐς τὴν τῆς Γαλατίας ἀρχήν.

locat, proximosque magistratus ex intimis amicis designat, A. Gabinium & L. Pisonem Coss., Vatinium & Clodium tribunos pl.

Τοσάδε μὲν δὴ Καῖσαρ ὑπατεύων ἔπραξε· καὶ τὴν ἀρχὴν ἀποθέμενος, ἐπὶ τὴν ἑτέραν εὐθὺς ἐξῄει. Κικέρωνα δὲ γράφεται Κλώδιος παρανόμων, ὅτι πρὸ δικαστηρίου τοὺς ἀμφὶ Λέντλον καὶ Κέθηγον ἀνέλοι. ὁ δ' ἐς τὸ ἔργον ἐκεῖνο γενναιοτάτῳ λήματι κεχρημένος, ἀσθενέστατος ἐς τὴν δίκην ἐγίγνετο. καὶ ταπεινὴν ἐσθῆτα ἐπικείμενος, γέμων τε αὐχμοῦ καὶ ῥύπου, προσέπιπτεν οἷς ἐντύχοι κατὰ τοὺς στενωποὺς, οὐδὲ τοῖς ἀγνῶσιν ἐνοχλεῖν αἰδούμενος· ὥστε αὐτῷ τὸ ἔργον, διὰ τὴν ἀπρέπειαν, ἀπὸ οἴκτου μεταπίπτειν ἐς γέλωτα. ἐς τοσοῦτο δειλίας περὶ μίαν οἰκείαν δίκην κατέπεσεν, ὃς τὸν ὅλον βίον ἐν ἀλλοτρίαις ἐξήτασο λαμπρῶς. οἷόν τι καὶ Δημοσθένη φασὶ τὸν Ἀθηναῖον οὐδ' ὑποστῆναι τὴν ἑαυτοῦ δίκην, ἀλλὰ πρὸ τοῦ ἀγῶνος φυγεῖν. Κλωδίου δὲ καὶ τὰς παρακλήσεις αὐτῷ σὺν ὕβρει διακόπτοντος ἐν τοῖς στενωποῖς, ἀπέγνω πάνθ' ὁ Κικέρων· καὶ ἔφευγεν ἑκούσιον καὶ ὅδε φυγὴν, καὶ φίλων αὐτῷ πλῆθος συνεξῄει, καὶ ἡ βουλὴ συνίστη τὸν ἄνδρα πόλεσί τε καὶ βασιλεῦσι καὶ δυνάσταις. Κλώδιος δ' αὐτῷ τὴν οἰκίαν καὶ τὰς ἐπαύλεις ἐπι-

cap. 15. Cæsare in Galliam profecto Clodius Ciceroni diem dicit.

Cicero tam imbecilli animo fert intentatum sibi judicium, ut sponte in exsilium abeat, A. U. 696. ante Chr. 58.

ἐπικατέσκαπτεν. ἐπαιρόμενός τε ἐπὶ τῷδε, ἀντιπαρεβάλλετο ἤδη καὶ Πομπηΐῳ, τὸ μέγιστον ἐν τῇ πόλει κράτος ἔχοντι.

cap. 16. Pompejus Milonem adversus Clodium concitat, & Ciceronem plebiscito in patriam revocat.

Ὁ δὲ Μίλωνα, τὸν σὺν τῷ Κλωδίῳ τὴν ἀρχὴν παραδεδεγμένον, θρασύτερον ὄντα τοῦ Κλωδίου, ἐς ὑπατείαν ἐπήλπιζε, καὶ ἤλειφεν ἐπὶ τὸν Κλώδιον, καὶ ψηφίσασθαι τῷ Κικέρωνι κάθοδον ἐκέλευεν· ἐλπίσας, τὸν Κικέρωνα ἐλθόντα, περὶ μὲν τῆς παρούσης πολιτείας οὐκέτι φθέγξεσθαι, μεμνημένον ὅσα ἔπαθε, δίκας δὲ καὶ πράγματα ἐποίσειν τῷ Κλωδίῳ. Κικέρων μὲν δὴ, διὰ Πομπήϊον ἐκπεσὼν, διὰ Πομπήϊον κατῄει, ἑκκαιδεκάτῳ μάλιστα μηνὶ τῆς ἐξελάσεως. καὶ αὐτῷ καὶ τὴν οἰκίαν καὶ τὰς ἐπαύλεις ἀνίστη τέλεσι κοινοῖς. λαμπρῶς δ' αὐτὸν περὶ τὰς πύλας ὑποδεχομένων πάντων, φασὶ περὶ τὰς δεξιώσεις τὴν ἡμέραν ὅλην (οἷόν τι καὶ Δημοσθένει συνέβη κατιόντι) ἀναλῶσαι.

cap. 17. A. U. 698. ante Chr. 56. Honores Cæsari post res in Gallia Britanniaque præclare gestas in Gallia Cisalpina habiti.

Ὁ δὲ Καῖσαρ ἔν τε Κελτοῖς καὶ Βρεττανοῖς πολλὰ καὶ λαμπρὰ εἰργασαμένος, πλούτου γέμων ἐς τὴν ὅμορον τῇ Ἰταλίᾳ Γαλατίαν, τὴν ἀμφὶ τὸν Ἠριδανὸν ποταμὸν, ἧκεν, ἐκ συνεχοῦς πολέμου τὸν στρατὸν ἀναπαύσων ἐπ' ὀλίγον. ὅθεν αὐτῷ περιπέμποντι ἐς Ῥώμην πολλὰ πολλοῖς χρήματα, αἵ τε ἐτήσιοι ἀρχαὶ παρὰ μέρος ἀπήντων, καὶ οἱ ἄλλως ἐπιφανεῖς ἐς ἡγεμονίας ἐθνῶν ἢ στρατοπέδων ἐξῄεσαν· ὡς ἑκατὸν μέν ποτε καὶ εἴκοσι ῥάβδους ἀμφ' αὐτὸν γενέσθαι, βουλευτὰς δὲ πλείους διακοσίων, τοὺς μὲν, ἀμειβομένους ὑπὲρ τῶν ἤδη γεγονότων, τοὺς δὲ χρηματιουμένους, τοὺς δ' ἄλλο τι τοιουτότροπον αὐτοῖς ἐξεργασομένους. πάντα

Præter alios magistratus annuos & senatores adeunt Cæsarem salutandi caussa etiam Pompejus & Crassus, imperiumque inter se dividunt.

γὰρ ἤδη διὰ τούτου ἐπράσσετο, στρατιᾶς τε πολλῆς ἕνεκα, καὶ δυνάμεως χρημάτων, καὶ σπουδῆς ἐς ἅπαντας φιλανθρώπου. ἀφίκοντο δ' αὐτῷ καὶ Πομπήϊος καὶ Κράσσος, οἱ κοινωνοὶ τῆς δυναστείας. καὶ αὐτοῖς βουλευομένοις ἔδοξε, Πομπήϊον μὲν καὶ Κράσσον αὖθις ὑπατεῦσαι, Καίσαρι δ' ἐς τὴν ἡγεμονίαν ὧν εἶχεν ἐθνῶν ἄλλην ἐπιψηφισθῆναι πενταετίαν. ὧδε μὲν ἀπ' ἀλλήλων διεκρίθησαν. Πομπηΐῳ δ' ἐς τὴν ὑπατείαν ἀντιπαρήγγελλε Δομίτιος Ἀινόβαρβος· καὶ τῆς κυρίας ἡμέρας ἄμφω κατῄεσαν ἔτι νυκτὸς ἐς τὸ πεδίον ἐς τὴν χειροτονίαν. τῶν δ' ἀμφ' αὐτοὺς ἔριδες ἦσαν, καὶ συνεπλέκοντο, μέχρι τις τὸν Δομιτίου δᾳδοῦχον ἐπάταξε ξίφει. καὶ φυγὴ μετὰ τοῦτο ἦν, Δομίτιός τε αὐτὸς ἐς τὴν

οἰκίαν

Digitized by Google

οἰκίαν διεσώζετο μόλις, καὶ Πομπηΐȣ τὴν ἐσθῆτά τινες ἡμαγμένην ἔφερον οἴκαδε. παρὰ τοσȣ̃τον ἑκάτερος ἦλθε κινδύνȣ.

Αἱρεθέντες δ' ȣ̃ν ὕπατοι Κράσσος τε καὶ Πομπήϊος, Καίσαρι μὲν (ὥσπερ ὑπέστησαν) τὴν ἑτέραν πενταετίαν προσεψηφίσαντο. τὰ δὲ ἔθνη διακληρȣ́μενοι, καὶ στρατιὰν ἐπ' αὐτοῖς, ὁ μὲν Πομπήϊος εἵλετο Ἰβηρίαν τε καὶ Λιβύην· καὶ ἐς τάσδε τȣ̀ς φίλȣς περιπέμπων, αὐτὸς ὑπέμεινεν ἐν Ῥώμῃ. ὁ δὲ Κράσσος Συρίαν τε καὶ τὰ Συρίας πλησίον, ἐπιθυμίᾳ πολέμȣ πρὸς Παρθυαίȣς, ὡς εὐχερȣ̃ς δὴ καὶ ἐνδόξȣ καὶ ἐπικερδȣ̃ς. ἀλλὰ τῷδε μὲν ἐξιόντι τῆς πόλεως πολλά τε ἄλλα ἀπαίσια ἐγίγνετο, καὶ οἱ δήμαρχοι προηγόρευον μὴ πολεμεῖν Παρθυαίοις, ȣ̓δὲν ἀδικȣ̃σιν· ȣ̓ πειθομένῳ δὲ, δημοσίας ἀρὰς ἐπηρῶντο. ὧν ὁ Κράσσος ȣ̓ φροντίσας, ἀπώλετο ἐν τῇ Παρθυήνῃ, σύν τε παιδὶ ὁμωνύμῳ καὶ αὐτῷ στρατῷ· μύριοι γὰρ ȣ̓δ' ἐντελεῖς ἐκ δέκα μυριάδων ἐς Συρίαν διέφυγον. ἀλλὰ τὴν μὲν Κράσσȣ συμφορὰν ἡ Παρθυακὴ ἐδήλωσε γραφή. Ῥωμαῖοι δὲ, λιμῷ πιεζόμενοι, Πομπήϊον εἵλοντο τῆς ἀγορᾶς αὐτοκράτορα εἶναι· καὶ οἱ, καθάπερ ἐπὶ τῶν λῃστηρίων, εἴκοσιν ἀπὸ τῆς βȣλῆς ὑπηρέτας ἔδωκαν. ὁ δὲ αὐτȣ̀ς ὁμοίως ἐς τὰ ἔθνη διαθεὶς ἐπέτρεχε, καὶ τὴν Ῥώμην αὐτίκα ἐνέπλησεν ἀγορᾶς δαψιλȣ̃ς. ὅθεν ἔτι μᾶλλον ἐς μέγα δόξης ἐπῆρτο καὶ δυνάμεως.

Τȣ̃ δ' αὐτȣ̃ χρόνȣ καὶ ἡ Καίσαρος θυγάτηρ κύȣσα τῷ Πομπηΐῳ θνήσκει. καὶ δέος ἅπασιν ἐνέπιπτεν, ἀνῃρημένης τῆς ἐπιγαμίας, ὡς αὐτίκα μεγάλοις στρατοῖς Καίσαρός τε καὶ Πομπηΐȣ διοισομένων ἐς ἀλλήλȣς, ἀσυντάκτȣ μάλιστα καὶ χαλεπῆς ἐκ πολλȣ̃ γεγενημένης τῆς πολιτείας. αἵ τε γὰρ ἀρχαὶ κατὰ στάσιν ἢ δωροδοκίαν, σπȣδῇ τε ἀδίκῳ, καὶ λίθοις ἢ ξίφεσι, καθίσαντο, καὶ τὸ δεκάζειν ἢ δωροδοκεῖν ἀναισχύντως τότε μάλιστα ἐπλεόνασεν· ὅ τε δῆμος αὐτὸς ἔμμισθος ἐπὶ τὰς χειροτονίας ᾔει. ὤφθη δέ πȣ καὶ μεσεγγύημα ταλάντων ὀκτακοσίων ὑπὲρ τῆς ἐπωνύμȣ γενόμενον ἀρχῆς. οἵ τε ἀνὰ ἔτος ἕκαστον ὕπατοι στρατεύειν μέν πȣ καὶ πολεμεῖν ἀπεγίνωσκον, διακλειόμενοι τῇ δυναστείᾳ τῶνδε τῶν τριῶν ἀνδρῶν. ὅσοι δ' ἦσαν αὐτῶν ἀτοπώτεροι, κέρδος ἀντὶ τῶν στρατειῶν ἐτίθεντο

cap. 18. Pompejus & Crass. iterum Coss. creantur, Cæsari imper. prorogatur in aliud quinquennium. Pompejus in urbe manens, Hispaniam & Africam per amicos regit; Crassus, Syriam provinc. sortitus ad bellum Parth. proficiscitur, in quo cum filio & exercitu perit, A. U. 699. ante Chr. 55. (v. T. I. p. 271.) Pompejus Romæ annonæ præficitur cum summo imperio.

cap. 19. Pompeji uxor (Cæsaris filia) fato defungitur. Status reipublicæ turbatus; magistratus Romæ qua arte parati, A. U. 700. ante Chr. 54.

Per octo menses absque Coss. est res-

publica, Pompejo omnia connivente, ut Dictatore opus sit; A. U. 701. ante Chr. 53.

θεντο τὰ κοινὰ τῆς πόλεως, καὶ τὰς τῶν ἰδίων διαδόχων χειροτονίας. οἱ δ' ἀγαθοὶ διὰ ταῦτα καὶ πάμπαν ἐξέλιπον τὸ ἄρχειν· ὥςε ποτὲ καὶ μῆνας ὀκτὼ τὴν πόλιν ἄναρχον, ἐκ τῆς τοιᾶσδε ἀσυνταξίας, γενέσθαι· Πομπηΐϐ πάνθ' ὑπερορῶντος ἐπίτηδες, ἵνα ἐν χρείᾳ γένοιντο δικτάτωρος.

cap. 20. Milonem etiam de Consulatu, quem petit, detinet, comitia remorando, A. U. 702. ante Chr. 52.

Καὶ πολλοὶ τϐτο ἐς ἀλλήλϐς διελάλϐν, ὅτι μόνον ἂν γένοιτο φάρμακον ἐπὶ τοῖς παρϐσι κακοῖς ἡ μόναρχος ἐξϐσία. χρῆναι δ' ἑλέσθαι δυνατὸν ὁμϐ καὶ ἤπιον· ἐνσημαινόμενοι τὸν Πομπήϊον, ςρατιᾶς τε ἄρχοντα ἱκανῆς, καὶ φιλόδημον εἶναι δοκϐντα, καὶ τὴν βϐλὴν ἄγοντα διὰ τιμῆς, καὶ τὸν βίον ἐγκρατῆ καὶ σώφρονα, περί τε τὰς ἐντεύξεις εὐπρόσιτον ἢ ὄντα ἢ νομιζόμενον εἶναι. ὁ δὲ τὴν προσδοκίαν τήνδε λόγῳ μὲν ἐδυσχέραινεν, ἔργῳ δ' ἐς αὐτὴν πάντα ἔπραττεν ἀφανῶς, καὶ τὴν ἀσυνταξίαν τῆς πολιτείας καὶ ἀναρχίαν ἐπὶ τῇ ἀσυνταξίᾳ ἑκὼν ὑπερεώρα. Μίλωνός τε, τὰ ἐς Κλώδιον ὑπηρετήσαντος αὐτῷ, καὶ ἀρεσκομένϐ τῷ δήμῳ διὰ τὴν Κικέρωνος κάθοδον, ὑπατείαν ὡς ἐν καιρῷ παρὰ τήνδε τὴν ἀναρχίαν μετιόντος, ἀποδιέτριβε τὰς χειροτονίας· μέχρι βαρυθυμῶν ὁ Μίλων, ὡς καὶ περὶ αὐτὸν ἀπίςϐ γιγνομένϐ τϐ Πομπηΐϐ, ἐς τὴν πατρίδα Λανϐβιον ἐξῄει· ἣν Διομήδη φασὶν, ἀλώμενον ἐξ Ἰλίϐ, πρώτην ἐν τῇ Ἰταλίᾳ πόλιν οἰκίσαι· καὶ εἰσὶν ἀπὸ Ῥώμης ἐς αὐτὴν ςάδιοι πεντήκοντα καὶ ἑκατόν.

cap. 21. Clodii interitus per famulos Milonis.

Κλωδίϐ δ' ἐξ ἰδίων χωρίων ἐπανιόντος ἐφ' ἵππϐ, καὶ περὶ Βοΐλλας ἀπαντήσαντος αὐτῷ· οἱ μὲν κατὰ τὴν ἔχθραν ὑπείδοντο μόνον ἀλλήλϐς, καὶ παρώδευσαν· θεράπων δὲ τϐ Μίλωνος ἐπιδραμὼν τῷ Κλωδίῳ, εἴτε κεκελευσμένος, εἴθ' ὡς ἐχθρὸν δεσπότϐ κτείνων, ἐπάταξεν ἐς τὸ μετάφρενον ξιφιδίῳ. καὶ τὸν μὲν αἵματι ῥεόμενον ἐς τὸ πλησίον πανδοκεῖον ὁ ἱπποκόμος ἐσέφερεν. ὁ δὲ Μίλων μετὰ τῶν θεραπόντων ἐπιςὰς, ἔτι ἔμπνϐν, ἢ καὶ νεκρὸν, ἐπανεῖλεν· ὑποκρινόμενος μὲν ϐ βϐλεῦσαι τὸν φόνον, ϐδὲ προστάξαι· ὡς δὲ κινδυνεύσων ἐξάπαντος, ἠξίϐ τὸ ἔργον ϐκ ἀτελὲς καταλιπεῖν. περιαγγελθέντος δ' ἐς

Funus Clodii, cujus rogo curia conflagrat.

Ῥώμην τϐ πάθϐς, ὁ μὲν δῆμος ἐκπλαγεὶς ἐν ἀγορᾷ διενυκτέρευε, καὶ τὸ σῶμά τινες τϐ Κλωδίϐ μεθ' ἡμέραν πρϐθεσαν ἐπὶ τῶν ἐμβόλων. ἁρπάσαντες δ' αὐτὸ τῶν τε δημάρχων ἔνιοι, καὶ οἱ φίλοι τϐ Κλωδίϐ, καὶ πλῆ-

θος

Digitized by Google

θος ἄλλο σὺν ἐκείνοις, ἐς τὸ βουλευτήριον ἐκόμισαν· εἴτε ἐπὶ τιμῇ, βουλευτικοῦ γένους ὄντα, εἴτε ἐς ὄνειδος τῆς βουλῆς τοιᾶσδε περιορώσης. καὶ τῶν παρόντων οἱ προπετέστεροι τὰ βάθρα καὶ τοὺς θρόνους τῶν βουλευτῶν συμφορήσαντες, ἧψαν αὐτῷ πυρὰν, ὑφ' ἧς τό τε βουλευτήριον. καὶ πολλαὶ τῶν πλησίον οἰκίαι τῷ Κλωδίῳ συγκατεφλέγησαν.

Μίλωνι δὲ θράσος τοσόνδε περιῆν, ὡς οὐ δεδιέναι περὶ τῷ φόνῳ μᾶλλον, ἢ ἀγανακτεῖν ἐπὶ τῇ Κλωδίου περὶ τὴν ταφὴν τιμῇ. θεραπόντων οὖν καὶ ἀνδρῶν ἀγροίκων πλῆθος ἀθροίσας, καὶ ἐς τὸν δῆμον περιπέμψας χρήματα, τῶν τε δημάρχων Μάρκον Καίλιον πριάμενος, ἐς τὴν πόλιν κατῄει θρασύτατα. καὶ αὐτὸν ὁ Καίλιος εὐθὺς ἐσιόντα εἷλκεν ἐς τὴν ἀγορὰν ἐπὶ τοὺς παρ' αὐτοῦ δεδωροδοκηκότας, ὥσπερ ἐπ' ἐκκλησίαν· ὑποκρινόμενος μὲν ἀγανακτεῖν, καὶ οὐ διδόναι τῆς δίκης ἀναβολὴν, ἐλπίζων δὲ, εἰ αὐτὸν οἱ παρόντες μεθεῖεν, ἐκλύσειν τὴν δίκην τὴν ἀληθεστέραν. καὶ Μίλων μὲν οὐ βουλεῦσαι τὸ ἔργον εἰπὼν, (οὐ γὰρ ἂν μετὰ σκευῆς καὶ γυναικὸς ἐπὶ ταῦτα ὁρμῆσαι) τὸν λοιπὸν λόγον κατὰ τοῦ Κλωδίου διετίθετο, ὡς θρασυτάτου δὴ, καὶ φίλου θρασυτάτων, οἳ καὶ τὸ βουλευτήριον ἐπικατέπρησαν αὐτῷ. ἔτι δ' αὐτοῦ λέγοντος, οἵ τε λοιποὶ δήμαρχοι, καὶ τοῦ δήμου τὸ ἀδιάφθορον, ὁπλισάμενοι ἐνέβαλλον ἐς τὴν ἀγοράν. Καίλιος μὲν δὴ καὶ Μίλων, δούλων ἐσθῆτας ὑποδύντες, ἀπέδρασαν. πολὺς δὲ τῶν ἄλλων ἐγίγνετο φόνος, οὐ τοὺς Μίλωνος ἔτι φίλους ἐρευνώντων, ἀλλὰ τὸν ἐντυγχάνοντα ἀναιρούντων, ἀστὸν ὁμοῦ καὶ ξένον, καὶ μάλιστα ὅσοι ταῖς ἐσθῆσιν ἢ σφραγῖσιν ἀπὸ χρυσοῦ διέφερον. ὡς γὰρ ἐν ἀσυντάκτῳ πολιτείᾳ, σὺν ὀργῇ, καὶ προφάσει τοῦδε τοῦ θορύβου προσπεσόντος, θεράποντές τε ὄντες οἱ πλείους, καὶ ὡπλισμένοι κατὰ ἀνόπλων, ἐς ἁρπαγὰς ἐτράποντο. ἔργον τε οὐδὲν αὐτοῖς ἀπῆν, ἀλλὰ καὶ ἐπ' οἰκίας ἐφέροντο, καὶ περιϊόντες ἠρεύνων, ἔργῳ μὲν, τὰ εὔληπτα σφίσιν ἅπαντα, λόγῳ δὲ, τοὺς φίλους τοῦ Μίλωνος· πρόφασίς τε ἦν αὐτοῖς, ἐπὶ πολλὰς ἡμέρας, καὶ πυρὸς καὶ λίθων καὶ παντὸς ἔργου, Μίλων.

cap. 22. Milo cum rusticis & plebe a M. Cælio, trib. pl., largitionibus & mercede conductus, in urbem reversus, in honorem Clodii cadaveri exhibitum & Clodium ipsum publice in foro invehitur.

Reliqui tribuni pl. cum incorrupta parte civium armata Cælium & Milonem a foro abigunt, magnamque stragem edunt.

Ἡ βουλὴ δὲ συνῄει μετὰ δέους, καὶ ἐς τὸν Πομπήϊον ἀφεώρων, ὡς αὐτίκα σφῶν ἐσόμενον δικτάτορα· χρή-

cap. 23. Pompejus Consul abs-

Digitized by Google

que collega creatur, simulque duas maximas provincias retinet.

χρῄζειν γὰρ αὐτοῖς ἐφαίνετο τὰ παρόντα τοιᾶσδε θεραπείας. Κάτωνος δ' αὐτὰς μεταδιδάξαντος, ὕπατον εἵλοντο χωρὶς συνάρχου, ὡς ἂν ἔχοι τὴν μὲν ἐξουσίαν δικτάτωρος, ἄρχων μόνος, τὴν δ' εὔθυναν ὑπάτου. καὶ πρῶτος ὑπάτων ὅδε ἔθνη τε δύο μέγιστα καὶ στρατιὰν ἔχων καὶ χρήματα, καὶ τὴν τῆς πόλεως μοναρχίαν, διὰ τὸ μόνος ὕπατος εἶναι· Κάτωνα μὲν ἐψηφίσατο, ἵνα μὴ παρὼν ἐνοχλοίη, Κύπρον ἀφελέσθαι Πτολεμαίου βασιλέας· νενομοτεθημένον ἤδη τοῦτο ὑπὸ Κλωδίου, ὅτι οἱ ποτε ἁλόντι ὑπὸ λῃστῶν ὁ Πτολεμαῖος ἐς λύτρα ὑπὸ σμικρολογίας δύο τάλαντα ἐπεπόμφει. Κάτων μὲν δὴ καθίσατο Κύπρον, Πτολεμαίου τὰ χρήματα ῥίψαντος ἐς τὴν θάλασσαν, καὶ ἑαυτὸν ἐξαγαγόντος, ἐπεὶ τῶν ἐψηφισμένων ἐπύθετο. ὁ δὲ Πομπήϊος δίκας προυτίθει τῶν τε ἄλλων ἁμαρτημάτων, καὶ μάλιστα δωροδοκίας καὶ δεκασμοῦ. ἐδόκει γὰρ ἐντεῦθεν αὐτῷ νοσεῖν τὰ κοινὰ ἀρξάμενα, ἐν τούτῳ καὶ τὴν ἴασιν ἕξειν ταχεῖαν. νόμῳ τε ὥριζεν, ἀπὸ τῆς ἑαυτοῦ τοπρῶτον ὑπατείας ἐς τὸ παρὸν, εὐθύνειν τὸν ἐθέλοντα. καὶ ἦν ὁ χρόνος ὀλίγῳ μείων ἐτῶν εἴκοσιν, ἐν ᾧ καὶ ὁ Καῖσαρ γεγένητο ὕπατος. τῶν οὖν φίλων τοῦ Καίσαρος ὑπονοούντων, ἐς ὕβριν ἢ ἐς ἐπήρειαν αὐτὸν τοῦ Καίσαρος ὧδε πολὺ τοῦ χρόνου προλαβεῖν, καὶ παραινούντων τὸ παρὸν διορθοῦσθαι μᾶλλον, ἢ τὸ παρελθὸν ἐνοχλεῖν ἐπ' ἀνδράσι τοσοῖσδε ἀξιολόγοις, ἐπονομαζόντων δὲ τοῖς ἄλλοις καὶ τὸν Καίσαρα· ὁ Πομπήϊος ἀμφὶ μὲν τοῦ Καίσαρος ἠγανάκτει, ὡς ἀμείνονος ὄντος ὑποψίας, ἐπεὶ καὶ τὴν ἑαυτοῦ δευτέραν ὑπατείαν τῷ χρόνῳ περιλαμβάνεσθαι· πολὺ δὲ ἀναλαβεῖν ἔλεγεν, ἐς ἀκριβῆ διόρθωσιν ἐπιτετριμμένης ἐκ πολλοῦ τῆς πολιτείας.

Cato in Cyprum mittitur, ne præsens in urbe Consuli molestias creet, prætereaque ut insulæ imperium Ptolemæo eripiat. Pompejus judicia proponit de criminibus, præcipue de largitionibus habenda & ad primum suum consulatum inquirendo regressura.

cap. 24. Damnatorum recensio.

Τοιαῦτα δ' εἰπὼν, ἐκύρου τὸν νόμον. καὶ πλῆθος ἦν αὐτίκα δικῶν ποικίλων. ἵνα τε μὴ δείσειαν οἱ δικασαὶ, αὐτὸς αὐτοὺς ἐπώπτευε, στρατιὰν περιστησάμενος. καὶ πρῶτοι μὲν ἀπόντες ἑάλωσαν, Μίλων τε ἐπὶ Κλωδίου φόνῳ, καὶ Γαβίνιος παρανομίας ὁμοῦ καὶ ἀσεβείας, ὅτι χωρὶς ψηφίσματος ἐς Αἴγυπτον μετὰ στρατιᾶς ἐσέβαλεν, ἀπαγορευόντων τῶν Σιβυλλείων· Ὑψαῖος δὲ καὶ Μέμμιος καὶ Σέξτος, καὶ ἕτεροι πλείονες, ἐπὶ δωροδοκίαις ἢ πλήθους δεκασμῷ. Σκαῦρον δὲ τοῦ πλήθους παραιτουμένου, ἐκήρυξεν

Digitized by Google

ρύξεν ὁ Πομπήϊος ὑπακȣ̃σαι τῇ δίκῃ· καὶ πάλιν τȣ̃ δήμȣ τȣ̀ς κατηγόρȣς ἐνοχλȣ̃ντος, σφαγή τις ἐκ τῶν Πομπηΐȣ ϛρατιωτῶν ἐπιδραμόντων ἐγένετο. καὶ ὁ μὲν δῆμος κατεσιώπησεν, ὁ δὲ Σκαῦρος ἑάλω· καὶ πάντων φυγὴ κατέγνωϛο, Γαβινίȣ δὲ καὶ δήμευσις ἦν ἐπὶ τῇ φυγῇ. καὶ τάδε ἡ βȣλὴ λαμπρῶς ἐπαινȣ̃σα, δύο τε ἄλλα τέλη καὶ χρόνον ἐς τὴν ἀρχὴν τῶν ἐθνῶν ἕτερον τῷ Πομπηΐῳ προσεψηφίσαντο. Μέμμιος δὲ ἁλȣ̀ς ἐπὶ δεκασμῷ, τȣ̃ νόμȣ Πομπηΐȣ διδόντος αὐτῷ, φήναντι ἕτερον, ἀφεῖσθαι τῆς καταδίκης, τὸν πενθερὸν τȣ̃ Πομπηΐȣ Λεύκιον Σκιπίωνα προεκαλέσατο ἐς ὁμοίαν δεκασμȣ̃ δίκην. καὶ ἐπὶ τῷδε τȣ̃ Πομπηΐȣ τὴν τῶν κρινομένων ἐσθῆτα μεταλαβόντος, πολλοὶ καὶ τῶν δικαϛῶν μετελάμβανον. ὀλοφυράμενος ȣ̃ν ὁ Μέμμιος τὴν πολιτείαν, διέλυσε τὴν δίκην.

Καὶ ὁ Πομπήϊος, ὡς ἤδη τὰ χρῄζοντα τῆς μοναρχίας διωρθωμένος, τὸν Σκιπίωνα σύναρχον ἐς τὸ λοιπὸν τȣ̃ ἔτȣς ἐποιεῖτο. καὶ μετὰ τȣ̃θ' ἑτέρων ἐς τὴν ἀρχὴν καθιϛαμένων, ȣ̓δὲν ἧττον ἐφεώρα καὶ ἐδυνάϛευε· καὶ πάντ' ἦν ἐν Ῥώμῃ τότε Πομπήϊος. ἡ γὰρ εὔνοια τῆς βȣλῆς μάλιϛα ἐς αὐτὸν ἐποίει, ζήλῳ τε τȣ̃ Καίσαρος, ἐς ȣ̓δὲν αὐτῇ παρὰ τὴν ἰδίαν ὑπατείαν κεχρημένȣ, καὶ ὅτι νοσȣ̃σαν ὁ Πομπήϊος τὴν πολιτείαν ὀξέως ἀναλάβοι, καὶ ȣ̓δενὶ σφῶν παρὰ τὴν ἀρχὴν φορτικὸς ἢ ἐπαχθὴς γένοιτο. τῶν δὲ φυγάδων ἐς τὸν Καίσαρα ἰόντων ἀθρόων, καὶ παραινȣ́ντων φυλάσσεσθαι τὸν Πομπήϊον, ὡς τὸν νόμον τȣ̃ δεκασμȣ̃ μάλιϛα θέμενον ἐπ' ἐκείνῳ· τȣ́σδε μὲν ὁ Καῖσαρ παρηγόρει, καὶ τὸν Πομπήϊον εὐφήμει· τȣ̀ς δὲ δημάρχȣς ἔπεισεν εἰσηγήσασθαι νόμον, ἐξεῖναι Καίσαρι δευτέραν ὑπατείαν ἀπόντι μετιέναι. καὶ τȣ̃θ', ὑπατεύοντος ἔτι τȣ̃ Πομπηΐȣ, καὶ ȣ̓δὲν ἀντειπόντος, ἐκεκύρωτο. ὁ δὲ Καῖσαρ ἀντιπράξειν τὴν βȣλὴν ὑπονοῶν, ἐδεδοίκει μὲν, ὑπὸ τοῖς ἐχθροῖς ἰδιώτης γενέσθαι, ἐτέχναζε δὲ ἐπὶ δυνάμεως εἶναι, μέχρι ὕπατος ἀποδειχθείη· καὶ τὴν βȣλὴν ᾔτει χρόνον ἄλλον ὀλίγον ἐς τὴν παρȣ̃σάν οἱ τῆς Γαλατίας ἡγεμονίαν, ἢ ἐς μέρος αὐτῆς ἐπιλαβεῖν. Διακωλύσαντος δὲ Μαρκέλλȣ, ὃς ἐπὶ τῷ Πομπηΐῳ ὕπατος ἦν, φασὶ τὸν Καίσαρα τῷ μηνύοντι ἀποκρίνασθαι, κόπτοντα τὴν λαβὴν τȣ̃ ξίφȣς· ἥδε μοι δώσει.

cap. 25. Pompejus, quanquam Scipionem collegam in consulatu adsumserat, unus in urbe administrat omnia, adjutus favore senatus.

Tribuni pl. rogationem ferunt, licere Cæsari absenti alterum consulatum petere, quæ & rata habetur; imperium vero in citeriori Galliá ipsi non prorogatur.

A. U. 703. ante Chr. 51.

Digitized by Google

cap. 26. Marcellus, Pompeji in consulatu successor, Novocomensem quendam in Cæsaris contumeliam virgis cædi jubet, adeoque de successoribus Cæsari ante præfinitum terminum mittendis agit, intercedente tamen Pompejo.

Πόλιν δὲ Νεόκωμον ὁ Καῖσαρ ἐς Λατίου δίκαιον ἐπὶ τῶν Ἄλπεων ᾠκίκει· ὧν ὅσοι κατ' ἔτος ἦρχον, ἐγίγνοντο Ῥωμαίων πολῖται· τόδε γὰρ ἰσχύει τὸ Λάτιον. τῶν οὖν Νεοκώμων τινὰ, ἄρχοντά τε αὐτοῖς γενόμενον, καὶ παρὰ τοῦτο Ῥωμαῖον εἶναι νομιζόμενον, ὁ Μάρκελλος ἐφ' ὕβρει τοῦ Καίσαρος ἔξηνε ῥάβδοις ἐφ' ὅτῳ δὴ, οὐ πασχόντων τοῦτο Ῥωμαίων· καὶ τὸν νοῦν ὑπὸ ὀργῆς ἀνεκάλυπτε, τὰς πληγὰς εἶναι ξενίας σύμβολον, καὶ φέρειν αὐτὰς ἐκέλευε καὶ δεικνύναι τῷ Καίσαρι· οὕτω μὲν ὑβριστικῶς ὁ Μάρκελλος. εἰσηγεῖτο δὲ ἤδη καὶ διαδόχους αὐτῷ πέμπειν ἐπὶ τὰ ἔθνη, προαφαιρῶν τοῦ χρόνου. ἀλλὰ διεκώλυσεν ὁ Πομπήϊος, εὐπρεπείᾳ τε λόγου καὶ εὐνοίας ὑποκρίσει, μὴ δεῖν ἄνδρα λαμπρὸν, καὶ ἐς πολλὰ χρήσιμον τῇ πατρίδι γενόμενον, ὑβρίζειν βραχεῖ διαστήματι χρόνου. καὶ δῆλον ἐποίησεν, ὅτι χρὴ μετὰ τὸν χρόνον παραλύειν τῆς ἀρχῆς αὐτίκα τὸν Καίσαρα.

Cæsaris inimici Aem. Paulus & Claud. Marcellus Coss. creantur, & tribunus pl. Curio; Paulus tamen & Curio largitionibus in Cæsaris partes traducuntur, A. U. 704. ante Chr. 50.

καὶ ἐπὶ τῷδε οἱ μάλιστα ἐχθροὶ τοῦ Καίσαρος ἐς τοὐπιὸν ᾑρέθησαν ὕπατοι, Αἰμίλιός τε Παῦλος καὶ Κλαύδιος Μάρκελλος, ἀνεψιὸς τοῦ προτέρου Μαρκέλλου· δήμαρχός τε Κουρίων, ἐχθρὸς ὢν καὶ ὅδε τῷ Καίσαρι καρτερὸς, καὶ ἐς τὸν δῆμον εὐχαριτώτατος, καὶ εἰπεῖν ἱκανώτατος. τούτων ὁ Καῖσαρ Κλαύδιον μὲν οὐκ ἴσχυσεν ὑπάγεσθαι χρήμασι, Παῦλον δὲ χιλίων καὶ πεντακοσίων ταλάντων ἐπρίατο, μηδὲν αὐτῷ μήτε συμπράττειν μήτε ἐνοχλεῖν· Κουρίωνα δὲ, καὶ συμπράττειν, ἔτι πλειόνων, εἰδὼς ἐνοχλούμενον ὑπὸ χρεῶν πολλῶν. Παῦλος μὲν δὴ τὴν Παύλου λεγομένην βασιλικὴν ἀπὸ τῶνδε τῶν χρημάτων ἀνέθηκε Ῥωμαίοις, οἰκοδόμημα περικαλλές.

cap. 27. Curio rogationibus, repulsam laturis, occasionem faciendi a Pompejanis dissidium quærit.

Ὁ δὲ Κουρίων, ἵνα μὴ ἄφνω μετατιθέμενος γίγνοιτο κατάφωρος, εἰσηγεῖτο βαρυτάτας ὁδῶν πολλῶν ἐπισκευάς τε καὶ κατασκευὰς, καὶ αὐτὸν ἐπιστάτην αὐτῶν ἐπὶ πενταετὲς εἶναι· εἰδὼς μὲν αὐτὸν οὐδὲν τούτων ἐσόμενον, ἐλπίζων δὲ τοὺς Πομπηΐου φίλους ἀντιλέξειν, καὶ αὐτὸς ἐς τὸν Πομπήϊον ἕξειν τι τοῦτο πρόσκρουμα. καὶ γενομένων τῶνδε, ὡς προσεδόκησεν, ὁ μὲν εἶχε τὴν πρόφασιν τῆς διαφορᾶς. Κλαύδιος δ' εἰσηγεῖτο, πέμπειν Καίσαρι διαδόχους ἐπὶ τὰ ἔθνη· καὶ γὰρ ἔληγεν ὁ χρόνος. καὶ Παῦλος ἐσιώπα.

Cum Claudius de mittendis Cæsari suc-

Κουρίων δὲ, νομιζόμενος ἀμφοτέροις διαφέρεσθαι, ἐπῄνει τὴν τοῦ Κλαυδίου γνώμην· ὡς δὲ ἐνδέον αὐτῇ προσετίθει τὸ

Digitized by Google

τὸ καὶ Πομπήϊον ὁμοίως Καίσαρι ἀποθέσθαι τὰ ἔθνη καὶ τὸν στρατόν· ὧδε γὰρ ἔσεσθαι τῇ πόλει καθαρὰν καὶ πανταχόθεν ἀδεῆ τὴν πολιτείαν. ἐνισαμένων δὲ πολλῶν, ὡς οὐκ ἴσον τὸ μήπω τὸν χρόνον ἐξήκειν τῷ Πομπηΐῳ· σαφέστερον ὁ Κουρίων ἤδη καὶ τραχύτερον ἀπεγύμνου, μὴ χρῆναι μηδὲ Καίσαρι πέμπειν διαδόχους, εἰ μὴ καὶ Πομπηΐῳ δοῖεν. ὄντων γὰρ αὐτῶν ἐς ἀλλήλους ὑπόπτων, οὔπω τῇ πόλει τὴν εἰρήνην ἔσεσθαι βεβαίαν εἰ μὴ πάντες ἰδιωτεύσειαν. ἔλεγε δὲ ταῦτ', εἰδὼς οὐ μεθήσοντα τὴν ἀρχὴν Πομπήϊον, καὶ τὸν δῆμον ὁρῶν ἤδη τι προσκοπτόμενον αὐτῷ διὰ τὰς τοῦ δεκασμοῦ δίκας. εὐπρεποῦς δὲ τῆς γνώμης οὔσης, ὁ δῆμος ἐπῄνει τὸν Κουρίωνα, ὡς μόνον ἀξίως τῆς πόλεως τὴν πρὸς ἀμφοτέρους αἱρόμενον ἔχθραν· καί ποτε καὶ παρέπεμψαν αὐτὸν ἀνθοβολοῦντες, ὥσπερ ἀθλητὴν μεγάλου καὶ δυσχεροῦς ἀγῶνος· οὐδὲν γὰρ ἐδόκει τότε εἶναι φοβερώτερον τῆς Πομπηΐου διαφορᾶς.

cessoribus in provincias ageret, Curio adjecit, oportere Pompejum quoque tam provincias, quam exercitus missos facere, plebe Curioni adsentiente.

Ὁ δὲ Πομπήϊος, νοσηλευόμενος περὶ τὴν Ἰταλίαν, ἐπέστελλε τῇ βουλῇ σὺν τέχνῃ· τά τε ἔργα τοῦ Καίσαρος ἐπαινῶν, καὶ τὰ ἴδια ἐξ ἀρχῆς καταλέγων, ὅτι τε τῆς τρίτης ὑπατείας, καὶ ἐθνῶν τῶν ἐπ' αὐτῇ καὶ στρατοῦ δοθέντος, οὐ μετιὼν, ἀλλ' ἐς θεραπείαν τῆς πόλεως ἐπικληθεὶς, ἀξιωθείη. ἃ δὲ ἄκων, ἔφη, λαβεῖν, ἑκὼν ἀποθήσομαι τοῖς ἀπολαβεῖν θέλουσιν, οὐκ ἀναμένων τοὺς χρόνους τοὺς ὡρισμένους. ἡ μὲν δὴ τέχνη τῶν γεγραμμένων εἶχεν εὐπρέπειάν τε τῷ Πομπηΐῳ, καὶ ἐρέθισμα κατὰ τοῦ Καίσαρος, οὐκ ἀποδιδόντος τὴν ἀρχὴν οὐδ' ἐν τῷ νενομισμένῳ χρόνῳ. ἀφικόμενος δ', ἄλλα τε τούτοις ὅμοια ἔλεγε, καὶ τὴν ἀρχὴν καὶ τότε ὑπισχνεῖτο ἀποθήσεσθαι. ὡς δὲ δὴ φίλος καὶ κηδεστὴς γενόμενος Καίσαρι, κἀκεῖνον, ἔλεγε, μάλα χαίροντα ἀποθήσεσθαι· χρόνιόν τε γὰρ αὐτῷ τὴν στρατείαν καὶ ἐπίπονον κατὰ ἐθνῶν μαχιμωτάτων γεγονέναι· καὶ πολλὰ τῇ πατρίδι προσλαβόντα, ἐπὶ τιμὰς καὶ θυσίας ἥξειν καὶ ἀναπαύσεις. ἔλεγε δὲ ταῦθ', ὡς Καίσαρι μὲν αὐτίκα δοθησομένων διαδόχων, αὐτὸς δ' ἐσόμενος ἐν ὑποσχέσει μόνῃ. Κουρίων δὲ, αὐτοῦ τὸ σόφισμα διελέγχων, οὐχ ὑπισχνεῖσθαι δεῖν, ἔφη, μᾶλλον, ἢ αὐτίκα ἀποθέσθαι, οὐδ' ἐξοπλίζειν Καίσαρα τῆς στρατιᾶς πρὶν καὶ αὐτὸν ἰδιωτεῦσαι· οὔτε γὰρ ἐς τὴν ἰδίαν ἔχθραν ἐκείνῳ

cap. 28. Pompejus absens & præsens astute promittit, se abiturum magistratu, ut Cæsari confestim successores mittantur.

Curio interponit: non satis esse pollicita; nec debere exarmari Cæsa-

Digitized by Google

rem exercitu ante Pompejum; simul utrique imperium esse abrogandum.

ἐκείνῳ λυσιτελεῖν, οὔτε Ῥωμαίοις, ὑφ' ἑνὶ τηλικαύτην ἀρχὴν γενέσθαι μᾶλλον, ἢ τὸν ἕτερον αὐτῶν ἔχειν ἐπὶ τὸν ἕτερον, εἴ τι τὴν πόλιν καταβιάζοιτο. οὐδέν τε ἐπικρύπτων ἔτι, ἀφειδῶς ἐς τὸν Πομπήϊον ἐβλασφήμει, ὡς τυραννίδος ἐφιέμενον, καὶ, εἰ μὴ νῦν σὺν φόβῳ τοῦ Καίσαρος ἀποθοῖτο τὴν ἀρχὴν, οὔποτε μεθήσοντα. ἠξίου δ', ἂν ἀπειθῶσιν, ἄμφω ψηφίζεσθαι πολεμίους, καὶ στρατὸν ἀγείρειν ἐπ' αὐτούς. ᾧ δὴ μάλιστα ἔλαθεν ὑπὸ Καίσαρος ἐωνημένος.

cap. 29. Senatus utrumque suspectum habet.

Πομπήϊος δ' αὐτῷ χαλεψάμενός τε καὶ ἀπειλήσας, εὐθὺς ἐς τὰ προάστεια ἀγανακτῶν ὑπεξῄει. καὶ ἡ βουλὴ ὑπόπτως μὲν εἶχεν ἤδη πρὸς ἀμφοτέρους· δημοτικώτερον δ' ὅμως ἡγοῦντο Πομπήϊον, καὶ τῷ Καίσαρι ἐδυσχέραινον τῆς παρὰ τὴν ὑπατείαν ὑπεροψίας σφῶν. οἱ δὲ καὶ τῷ ὄντι οὐκ ἀσφαλὲς ἡγοῦντο, διαλύειν τὴν ὑπὸ τῷ Πομπηΐῳ δύναμιν, μέχρι πρότερον ἐκεῖνον ἀποθέσθαι, ἔξω τε τῆς πόλεως ὄντα καὶ μεγαλοπραγμονέστερον. τὸ δ' αὐτὸ καὶ ὁ Κουρίων ἀνέστρεφεν, ὡς δέον ὑπάρχειν αὐτοῖς ἐπὶ τὸν Πομπήϊον Καίσαρα, ἢ ὁμοῦ πάντα καταλύειν. οὐ πείθων δὲ, διέλυε τὴν βουλὴν ἐπὶ ἀτελέσι πᾶσι· δύναται δὲ ταῦθ' ὁ δήμαρχος. ὅτε δὴ καὶ μάλιστα τῷ Πομπηΐῳ μετεμέλησε, τὴν δημαρχίαν, ἐς ἀσθενέστατον ὑπὸ Σύλλα καθῃρημένην, ἀναγαγόντι αὖθις ἐπὶ τὸ ἀρχαῖον.

Decernitur, ut Cæsar & Pompejus unam uterque ex suis legionibus in Syriam mittant. Cæsar duas legiones ad urbem remittit.

διαλυόμενοι δὲ, ὅμως τοσόνδε μόνον ἐψηφίσαντο, Καίσαρα καὶ Πομπήϊον τέλος ἔχοντα στρατιωτῶν ἐς Συρίαν ἑκάτερον πέμψαι, φυλακῆς ἕνεκα, διὰ τὴν Κράσσου συμφοράν. καὶ τεχνάζων ὁ Πομπήϊος ἀπῄτει τὸ τέλος, ὃ ἔναγχος ἐπὶ συμφορᾷ στρατηγῶν δύο Καίσαρος, Τιτουρίου τε καὶ Κόττα, Καίσαρι κεχρήκει. ὁ δ' αὐτὸ, τιμήσας ἕκαστον ἄνδρα δραχμαῖς πεντήκοντα καὶ διακοσίαις, ἀπέπεμπεν ἐς Ῥώμην, καὶ συνέπεμπεν ἄλλο παρ' ἑαυτοῦ. οὐδενὸς δὲ δεινοῦ περὶ Συρίαν φανέντος, τάδε μὲν ἐχείμαζεν ἐν Καπύῃ.

cap. 30. Pompejus, rumoribus de exercitu Cæsaris longæ militiæ pertæso credens, nec delectus

Οἱ δ' ἐπ' αὐτὰ πεμφθέντες ὑπὸ τοῦ Πομπηΐου πρὸς Καίσαρα, ἄλλα τε πολλὰ δυσχερῆ κατὰ τοῦ Καίσαρος διεθρόουν· καὶ ἰσχυρίζοντο τῷ Πομπηΐῳ, τὴν στρατιὰν Καίσαρος τετρυμένην τε πόνῳ καὶ χρόνῳ, καὶ τὰ οἴκοι ποθοῦσαν, μεταθήσεσθαι πρὸς αὐτὸν, ὅτε τὰ Ἄλπεια διέλθοιεν. καὶ οἱ μὲν οὕτως ἔλεγον, εἴθ' ὑπὸ ἀγνοίας, εἴτε διε-

διεφθαρμένοι. Καίσαρι δ' ἔῤῥωτο πᾶς ἀνὴρ ἐς προθυμίαν καὶ πόνους, ὑπό τε ἔθους τῶν στρατειῶν, καὶ ὑπὸ κερδῶν, ὅσα πόλεμος τοῖς νικῶσιν ἐργάζεται, καὶ ὅσα παρὰ Καίσαρος ἄλλα ἐλάμβανον. ἐδίδου γὰρ ἀφειδῶς, θεραπεύων εἰς ἃ ἐβούλευεν. οἱ δὲ καὶ αὐτοὶ συνιέντες αὐτῶν, ὅμως ὑπέμενον. ὁ δὲ Πομπήϊος τοῖς ἠγγελμένοις πίσυνος, οὔτε στρατιὰν οὔτε παρασκευὴν, ὡς ἐς τοσοῦτον ἔργον, ἤγειρεν. ἡ βουλὴ δὲ γνώμην ἕκαστον ᾔτει· καὶ ὁ Κλαύδιος πανούργως διῄρει, καὶ ἐπυνθάνετο αὐτῶν παρὰ μέρος· εἰ δοκεῖ Καίσαρι πέμπειν διαδόχους; καὶ, εἰ Πομπήϊον τὴν ἀρχὴν ἀφαιρεῖσθαι; οἱ δὲ τοῦτο μὲν ἀνένευον οἱ πλείους, Καίσαρι δ' ἐπεψήφιζον τοὺς διαδόχους. ἐπανερομένου δὲ τοῦ Κουρίωνος, εἰ ἀμφοτέρους δοκεῖ τὰ ἐν χερσὶν ἀποθέσθαι, δύο μὲν καὶ εἴκοσιν ἀνδράσιν ἀπήρεσκε, τριακόσιοι δὲ καὶ ἑβδομήκοντα ἐς τὸ συμφέρον ἀπὸ τῆς ἔριδος ἐπὶ τὴν τοῦ Κουρίωνος γνώμην ἀπέκλινον. ὅτε δὴ καὶ ὁ Κλαύδιος τὴν βουλὴν διέλυσε, βοῶν· Νικᾶτε, δεσπότην ἔχειν Καίσαρα.

facit nec apparatus ad instans cum Cæsare certamen.

Plurima pars senatus in Curionis discedit sententiam ut ambo potestatem deponant.

Λόγου δ' ἄφνω ψευδοῦς ἐμπεσόντος, ὅτι τὰς Ἄλπεις ὁ Καῖσαρ ὑπερελθὼν, ἐπὶ τὴν πόλιν ἐλαύνοι· θόρυβός τε πολὺς ἦν καὶ φόβος ἁπάντων. καὶ ὁ Κλαύδιος εἰσηγεῖτο, τὴν ἐν Καπύῃ στρατιὰν ἀπαντᾷν ὡς πολεμίῳ Καίσαρι. ἐνισταμένου δὲ, ὡς ἐπὶ ψευδέσι, τοῦ Κουρίωνος, εἶπεν· εἰ κωλύομαι ψήφῳ κοινῇ τὰ συμφέροντα διοικεῖν, κατ' ἐμαυτὸν ὡς ὕπατος διοικήσω. καὶ τάδε εἰπὼν, ἐξέδραμε τῆς βουλῆς ἐς τὰ προάστεια μετὰ τοῦ συνάρχου· ξίφος τε ὀρέγων τῷ Πομπηΐῳ, Κελεύω σοι, ἔφη, κἀγὼ καὶ ὅδε, χωρεῖν ἐπὶ Καίσαρα ὑπὲρ τῆς πατρίδος· καὶ στρατιὰν ἐς τοῦτο σοὶ δίδομεν, ἥ τε νῦν ἀμφὶ Καπύην ἢ τὴν ἄλλην Ἰταλίαν ἐστὶ, καὶ ὅσην αὐτὸς ἐθέλοις ἄλλην καταλέγειν. ὁ δ' ὑπήκουε μὲν, ὡς κελευόμενος πρὸς ὑπάτων· ἐπετίθει δ' ὅμως, εἰ μή τι κρεῖσσον· ἀπατῶν ἢ τεχνάζων καὶ τότε εἰς εὐπρέπειαν.

cap. 31. Rumore, quem Curio falsum declaravit, exorto Cæsarem superatis Alpibus ad urbem contendere, soli Coss. Pompejo bellum contra Cæsarem mandant.

Κουρίωνι δ' οὐκ ἦν μὲν ὑπὲρ τὴν πόλιν ἐξουσία τις· οὐδὲ γὰρ προϊέναι τῶν τειχῶν τοῖς δημάρχοις ἐφίεται. ὠλοφύρετο δ' ἐν τῷ δήμῳ τὰ γιγνόμενα· καὶ τοὺς ὑπάτους ἠξίου κηρύσσειν, μηδένα πω καταλέγοντι πείθεσθαι Πομπηΐῳ. οὐδὲν δὲ ἀνύων, ἐπεὶ οἱ καὶ ὁ τῆς δημαρχίας χρόνος ἔληγε, δείσας ὑπὲρ ἑαυτοῦ, καὶ ἀπογνοὺς ἔτι δύνασθαι βοηθεῖν τῷ Καίσαρι, κατὰ σπουδὴν ἐχώρει πρὸς αὐτόν.

Curio, frustra huic mandato obnixus, ad Cæsarem properat.

Ὁ

cap. 32. Cæsar Ravennam, extremum provinciæ suæ oppidum progressus, primum per amicos petit, ut sibi liceat duas legiones cum cisalpinâ Gallia & Illyrico retinere, donec consul crearetur;

Ὁ δ᾽ ἄρτι τὸν Ὠκεανὸν ἐκ Βρεττανῶν διεπεπλεύκει, καὶ ἀπὸ Κελτῶν τῶν ἀμφὶ τὸν Ῥῆνον τὰ ὄρη τὰ Ἄλπεια διελθὼν σὺν πεντακισχιλίοις πεζοῖς καὶ ἱππεῦσι τριακοσίοις, κατέβαινεν ἐπὶ Ῥαβέννης, ἣ συναφής τε ἦν τῇ Ἰταλίᾳ, καὶ τῆς Καίσαρος ἀρχῆς τελευταία. Φιλοφρονησάμενος δὲ τὸν Κουρίωνα, καὶ χάριν ὑπὲρ τῶν γεγονότων ὁμολογήσας, ἐσκόπει περὶ τῶν παρόντων. Κουρίωνι μὲν δὴ συγκαλεῖν ἐδόκει τὸν στρατὸν ἅπαντα ἤδη, καὶ ἄγειν ἐπὶ Ῥώμης· Καίσαρι δ᾽, ἔτι πειρᾶσθαι διαλύσεων. τοὺς οὖν φίλους ἐκέλευεν ὑπὲρ αὐτοῦ συμβῆναι, τὰ μὲν ἄλλα αὐτὸν ἔθνη καὶ στρατόπεδα ἀποθήσεσθαι, μόνα δ᾽ ἕξειν δύο τέλη, καὶ τὴν Ἰλλυρίδα μετὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας, ἕως ὕπατος ἀποδειχθείη.

deinde per litteras senatui declarat, se paratum esse, imperium deponere, si idem Pompejus faciat, A. U. 705. ante Chr. 49.

καὶ Πομπηΐῳ μὲν ἀρκεῖν ἐδόκει. κατακωλυόντων δὲ τῶν ὑπάτων, ὁ Καῖσαρ ἐπέστελλε τῇ βουλῇ, καὶ τὴν ἐπιστολὴν ὁ Κουρίων, τρισὶν ἡμέραις τριακοσίους ἐπὶ χιλίοις σταδίους δραμὼν, ἐπέδωκε τοῖς νέοις ὑπάτοις, ἐσιοῦσιν ἐς τὸ βουλευτήριον τῇ νουμηνίᾳ τοῦ ἔτους. περιεῖχε δ᾽ ἡ γραφὴ κατάλογόν τε σεμνὸν ἂν ἐξ ἀρχῆς ὁ Καῖσαρ ἐπεπράχει, καὶ πρόκλησιν, ὅτι θέλοι Πομπηΐῳ συναποθέσθαι, ἄρχοντος δ᾽ ἔτι ἐκείνου οὔτε ἀποθήσεσθαι, καὶ τιμωρὸς αὐτίκα τε τῇ πατρίδι καὶ ἑαυτῷ κατὰ τάχος ἀφίξεσθαι.

L. Domitius Cæsaris successor nominatur.

ἐφ᾽ ᾧ δὴ σφόδρα πάντες ἀνέκραγον, ὡς ἐπὶ πολέμου καταγγελίᾳ, διάδοχον εἶναι Λεύκιον Δομίτιον. καὶ ὁ Δομίτιος εὐθὺς ἐξῄει μετὰ τετρακισχιλίων ἐκ καταλόγου.

cap. 33. Tribuni pl., Antonius & Cassius, sententiæ Curionis inhærentes, senatu excedere a Coss. jubentur, & cum Curione ad Cæsarem properant;

Ἀντωνίου δὲ καὶ Κασσίου δημαρχούντοιν μετὰ Κουρίωνα, καὶ τὴν Κουρίωνος γνώμην ἐπαινούντοιν· ἡ βουλὴ, φιλονεικότερον ἔτι, τὴν Πομπηΐου στρατιὰν φύλακα σφῶν ἡγοῦντο εἶναι, τὴν δὲ Καίσαρος πολεμίαν. καὶ οἱ ὕπατοι, Μάρκελλός τε καὶ Λέντλος, ἐκέλευον τοῖς ἀμφὶ τὸν Ἀντώνιον ἐκστῆναι τοῦ συνεδρίου, μή τι καὶ δημαρχοῦντες ὅμως πάθοιεν ἀτοπώτερον. ἔνθα δὴ μέγα βοήσας ὁ Ἀντώνιος, ἀνά τε ἔδραμε τῆς ἕδρας σὺν ὀργῇ, καὶ περὶ τῆς ἀρχῆς ἐπεθείαζεν αὐτοῖς, ὡς ἱερὰ καὶ ἄσυλος οὖσα ὑβρίζοιτο· καὶ περὶ σφῶν, ὅτι γνώμην ἐσφέροντες ἣν δοκοῦσι συνοίσειν, ἐξελαύνοιντο σὺν ὕβρει, μήτε τινὰ σφαγὴν μήτε μύσος ἐργασάμενοι. ταῦτα δ᾽ εἰπὼν, ἐξέτρεχεν, ὥσπερ ἔνθους, πολέμους καὶ σφαγὰς καὶ προγραφὰς καὶ φυγὰς καὶ δημεύ-

μεύσεις, καὶ ὅσα ἄλλα αὐτοῖς ἔμελλεν ἔσεσθαι, προθεσπίζων, ἀράς τε βαρείας τοῖς τούτων αἰτίοις ἐπαρώμενος. συνεξέθεον δ' αὐτῷ Κουρίων τε καὶ Κάσσιος· καὶ γάρ τις ἤδη στρατὸς ἑωρᾶτο, ἐκ Πομπηΐου περιϊστάμενος τὸ βουλευτήριον. οἵδε μὲν δὴ τάχει πολλῷ πρὸς Καίσαρα, νυκτὸς αὐτίκα, λαθόντες ἐχώρουν ἐπὶ ὀχήματος μισθωτοῦ, θεραπόντων ἐσθῆτας ἐνδύντες. καὶ αὐτοὺς, ἔτι ὧδε ἔχοντας, ὁ Καῖσαρ ἐπεδείκνυ τῷ στρατῷ, καὶ ἠρέθιζε, λέγων· "ὅτι καὶ σφᾶς, τοσάδε ἐργασαμένους, ἡγοῦνται πολεμίους· καὶ τοιούσδε ἄνδρας, ὑπὲρ αὐτῶν τι φθεγξαμένους, οὕτως ἐξελαύνουσιν αἰσχρῶς."

quibus a Cæsare producti, milites ejus tam ejus sermone quam servili tribunorum habitu exasperati sunt.

Ὁ μὲν δὴ πόλεμος ἑκατέρωθεν ἀνέῳκτο, καὶ κεκήρυκτο ἤδη σαφῶς. ἡ δὲ βουλὴ, νομίζουσα Καίσαρι τὸν στρατὸν ἀπὸ Κελτῶν σὺν χρόνῳ παρέσεσθαι, καὶ οὔποτε αὐτὸν ὁρμήσειν ἐπὶ τηλικοῦτον ἔργον σὺν ὀλίγοις, προσέτασσε Πομπηΐῳ τρισκαίδεκα μυριάδας Ἰταλῶν ἀγείρειν, καὶ μάλιστα αὐτῶν τοὺς ἐστρατευμένους, ὡς ἐμπειροπολέμους· ξενολογεῖν δὲ καὶ ἐκ τῶν περιοίκων ἐθνῶν ὅσα ἄλκιμα. χρήματα δ' ἐς τὸν πόλεμον αὐτῷ τά τε κοινὰ πάντα αὐτίκα ἐψηφίζοντο, καὶ τὰ ἰδιωτικὰ σφῶν ἐπὶ τοῖς κοινοῖς (εἰ δεήσειεν) εἶναι στρατιωτικά. ἔς τε τὰς πόλεις ἐφ' ἕτερα περιέπεμπον σύν τε ὀργῇ καὶ φιλονεικίᾳ, σπουδῆς οὐδὲν ἀπολείποντες ὀξυτάτης. ὁ δὲ Καῖσαρ ἐπὶ μὲν τὸν ἑαυτοῦ στρατὸν περιεπεπόμφει· χαίρων δ' ἀεὶ ταχυεργίας τε ἐκπλήξει, καὶ φόβῳ τόλμης μᾶλλον, ἢ παρασκευῆς δυνάμει, μετὰ τῶν πεντακισχιλίων ἔγνω προεπιχειρεῖν τοσῷδε πολέμῳ, καὶ φθάσαι τὰ εὔκαιρα τῆς Ἰταλίας.

cap. 35. Dum senatus belli apparatum decernit, Pompejusque [illegible]arat, rati Cæsaris tardius adventurum exercitum e Gallia,

Cæsar cum quinque millitum millibus loca Italiæ opportuna occupat.

Τοὺς οὖν λοχαγοὺς αὐτῶν σὺν ὀλίγοις τοῖς μάλιστα εὐτολμοτάτοις, εἰρηνικῶς ἐσταλμένοις, προὔπεμπεν ἐσελθεῖν ἐς Ἀρίμινον, καὶ τὴν πόλιν ἄφνω καταλαβεῖν· ἡ δ' ἐστὶν Ἰταλίας πρώτη, μετὰ τὴν Γαλατίαν. αὐτὸς δὲ περὶ ἑσπέραν, ὡς δὴ τὸ σῶμα ἐνοχλούμενος, ὑπεχώρησε τοῦ συμποσίου, τοὺς φίλους ἀπολιπὼν ἔτι ἑστιᾶσθαι· καὶ ζεύγους ἐπιβὰς, ἤλαυνεν ἐς τὸ Ἀρίμινον, ἑπομένων οἱ τῶν ἱππέων ἐκ διαστήματος. δρόμῳ δ' ἐλθὼν ἐπὶ τὸν Ῥουβίκωνα ποταμὸν, ὃς ὁρίζει τὴν Ἰταλίαν, ἔστη τοῦ δρόμου· καὶ ἐς τὸ ῥεῦμα ἀφορῶν, περιεφέρετο τῇ γνώμῃ, λογιζόμενος ἕκαστα τῶν ἐσομένων κακῶν, εἰ τόνδε τὸν ποταμὸν σὺν ὅπλοις περάσειε.

cap. 35. Trajecto Rubicone fluvio Arminium occupat.

καὶ

Digitized by Google

καὶ πρὸς τοὺς παρόντας εἶπεν, ἀνενεγκών· ἡ μὲν ἐπίσχεσις, ὦ φίλοι, τῆσδε τῆς διαβάσεως ἐμοὶ κακῶν ἄρξει· ἡ δὲ διάβασις, πᾶσιν ἀνθρώποις. καὶ εἰπὼν, οἷά τις ἔνθους ἐπέρα σὺν ὁρμῇ, τὸ κοινὸν τόδε εἰπών· ὁ κύβος ἀνερρίφθω. δρόμῳ δ' ἐντεῦθεν ἐπιὼν, Ἀρίμινόν τε αἱρεῖ περὶ ἕω, καὶ ἐς τὸ πρόσθεν ἐχώρει, φρούρια τοῖς ἐπικαίροις ἐφιστὰς, καὶ τὰ ἐν ποσὶν ἢ βίᾳ χειρούμενος ἢ φιλανθρωπίᾳ. φυγαί τε καὶ μεταναστάσεις ἦσαν ἐκ πάντων χωρίων, ὡς ἐν ἐκπλήξει, καὶ δρόμος ἀσύντακτος μετ' οἰμωγῆς· τό τε ἀκριβὲς οὐκ εἰδότες, καὶ τὸν Καίσαρα νομίζοντες μετὰ ἀπείρου στρατοῦ κατακράτος ἐλαύνειν.

cap. 36. Senatus, inopinata impressione Caesaris territus, non finit Pompejum ex sua sententia agere;

Ὧν οἱ ὕπατοι πυνθανόμενοι, τὸν Πομπήϊον οὐκ εἴων ἐπὶ τῆς ἑαυτοῦ γνώμης ἐμπειροπολέμως εὐσταθεῖν, ἀλλ' ἐξώτρυνον ἐκπηδᾶν ἐς τὴν Ἰταλίαν καὶ στρατολογεῖν, ὡς τῆς πόλεως καταληφθησομένης αὐτίκα. ἥ τε ἄλλη βουλὴ, παρὰ δόξαν αὐτοῖς ὀξείας τῆς ἐσβολῆς τοῦ Καίσαρος γενομένης, ἐδεδοίκεσαν, ἔτι ὄντες ἀπαράσκευοι· καὶ σὺν ἐκπλήξει μετενόουν, οὐ δεξάμενοι τὰς Καίσαρος προκλήσεις, τότε νομίζοντες εἶναι δικαίας, ὅτε σφᾶς ὁ φόβος ἐς τὸ εὔβουλον ἀπὸ τοῦ φιλονείκου μετέφερε. τέρατά τε αὐτοῖς ἐπέπιπτε πολλὰ, καὶ σημεῖα οὐράνια. αἷμά τε γὰρ ἔδοξεν ὁ θεὸς ὗσαι, καὶ ξόανα ἱδρῶσαι, καὶ κεραυνοὶ πεσεῖν ἐπὶ νεὼς πολλοὺς, καὶ ἡμίονος τεκεῖν· ἄλλα τε πολλὰ δυσχερῆ προεσήμαινε τὴν ἐς ἀεὶ τῆς πολιτείας ἀναίρεσίν τε καὶ μεταβολήν. εὐχαὶ δὲ, ὡς ἐπὶ φοβεροῖς, προὐγράφοντο· καὶ ὁ δῆμος, ἐν μνήμῃ τῶν Μαρίου καὶ Σύλλα κακῶν γιγνόμενος, ἐκεκράγει, Καίσαρα καὶ Πομπήϊον ἀποθέσθαι τὰς δυναστείας, ὡς ἐν τῷδε μόνῳ τοῦ πολέμου λυθησομένου· Κικέρων δὲ, καὶ πέμπειν ἐς Καίσαρα διαλλακτάς.

accedunt prodigia; populus & Patres incertis fluctuant consiliis.

cap. 37. Pompejus, graviter interminatus pavidos, Capuam ad exercitum se confert, quorsum & Coss. & senatores se recipiunt.

Ἀντιπραττόντων δ' ἐς ἅπαντα τῶν ὑπάτων, Φαώνιος μὲν, Πομπήϊον ἐπισκώπτων τοῦ ποτε λεχθέντος ὑπ' αὐτοῦ, παρεκάλει, τὴν γῆν πατάξαι τῷ ποδὶ, καὶ τὰ στρατόπεδα ἐξ αὐτῆς ἀναγαγεῖν. ὁ δὲ, Ἕξετε, εἶπεν, ἂν ἐπακολουθῆτέ μοι, καὶ μὴ δεινὸν ἡγῆσθε τὴν Ῥώμην ἀπολιπεῖν, καὶ εἰ τὴν Ἰταλίαν ἐπὶ τῇ Ῥώμῃ δεήσειεν. οὐ γὰρ τὰ χωρία καὶ τὰ οἰκήματα τὴν δύναμιν ἢ τὴν ἐλευθερίαν εἶναι τοῖς ἀνδράσιν· ἀλλὰ τοὺς ἄνδρας, ὅπῃ ποτ' ἂν ὦσιν, ἔχειν ταῦτα σὺν ἑαυτοῖς. ἀμυνομένους δ' ἀναλήψεσθαι

Digitized by Google

ψεσθαι καὶ τὰ οἰκήματα. ὁ μὲν δὴ, τοσάδε εἰπὼν, καὶ ἀπειλήσας τοῖς ἐπιμένουσιν, εἰ φειδοῖντο χωρίων ἢ κατασκευῆς ἀπολελείψονται τῶν ὑπὲρ τῆς πατρίδος ἀγώνων, ἐξῄει τῆς τε βουλῆς καὶ τῆς πόλεως αὐτίκα ἐς τὴν ἐν Καπύῃ στρατιάν· καὶ οἱ ὕπατοι συνείποντο αὐτῷ. τοὺς δ' ἄλλους ἀπορία τε ἐς πολὺ κατεῖχε, καὶ διενυκτέρευον ἐν τῷ βουλευτηρίῳ μετ' ἀλλήλων. ἅμα δ' ἡμέρᾳ τὸ πλέον ὅμως ἐξῄει, καὶ ἐδίωκε τὸν Πομπήϊον.

cap. 38. Cæsar L. Domitium, Corfinii obsessum, ipsique ab oppidanis traditum, illæsum cum rebus suis dimittit, ut alios quoque ad deficiendum alliciat.

Ὁ δὲ Καῖσαρ ἐν Κορφινίῳ Λεύκιον Δομίτιον, τὸν ἐπιπεμφθέντα οἱ τῆς ἀρχῆς εἶναι διάδοχον, καταλαβὼν, οὐ πάντας ἀμφ' αὐτὸν ἔχοντα τοὺς τετρακισχιλίους, ἐπολιόρκει· καὶ οἱ τὸ Κορφίνιον οἰκοῦντες φεύγοντα τὸν Δομίτιον ἀμφὶ τὰς πύλας καταλαβόντες, τῷ Καίσαρι προσήγαγον. ὁ δὲ τὴν μὲν στρατιὰν αὐτοῦ, προστιθεμένην οἱ, προθύμως ἐδέχετο, ἐς ἐρέθισμα τῶν ἄλλων· Δομίτιον δ' αὐτὸν ἀπαθῆ μετὰ τῶν ἑαυτοῦ χρημάτων μεθῆκεν ὅποι βούλοιτο ἀπιέναι· ἐλπίσας μὲν, ἴσως διὰ τὴν εὐποιΐαν παραμενεῖν, οὐ κωλύσας δ' ἐς Πομπήϊον ἰόντα. γιγνομένων δὲ τούτων οὕτως ὀξέως, ὁ Πομπήϊος ἐς Νουκερίαν ἐκ Καπύης, καὶ ἐκ Νουκερίας ἐς Βρεντέσιον ἠπείγετο, ὡς τὸν Ἰόνιον διαβαλῶν ἐς Ἤπειρον· καὶ τοῦ πολέμου τὴν παρασκευὴν συστήσων ἐν αὐτῇ. ἔθνεσί τε πᾶσι καὶ στρατηγοῖς καὶ δυνάσταις καὶ βασιλεῦσι καὶ πόλεσι ἔγραφε, κατὰ σπουδὴν ὅ τι δύναιτο ἕκαστος ἐς τὸν πόλεμον συμφέρειν. καὶ τάδε μὲν ἀθρόως ἐγίγνετο. ὁ δ' ἴδιος αὐτοῦ Πομπηΐου στρατὸς ἦν ἐν Ἰβηρίᾳ, καὶ παρασκευὴς εἶχεν ὡς ὁρμήσων ὅπη ποτ' ἂν αἱ χρεῖαι καλῶσιν. αὐτὸς δ' ὁ Πομπήϊος τῶν ἀμφ' αὐτὸν ἤδη τελῶν τὰ μὲν ἔδωκε τοῖς ὑπάτοις προαπάγειν ἐς Ἤπειρον ἐκ Βρεντεσίου.

Pompejus Capua Luceriam, inde Brandusium properat, & Epirum sedem belli constituturus, partem legionum Consulibus illuc ducendam tradit;

cap. 39. & 40. ipseque eos cum reliquis copiis deserta Italia illuc sequitur.

Καὶ διέπλευσαν οἵδε αὐτίκα ἀσφαλῶς ἐς Δυῤῥάχιον· ὁ δὲ Πομπήϊος τὸν ὑπόλοιπον στρατὸν ἐς τὸ Βρεντέσιον ἀγαγὼν, τάς τε ναῦς ἀνέμενεν ἐπανελθεῖν, αἳ τοὺς ὑπάτους διέφερον, καὶ τὸν Καίσαρα ἐπελθόντα ἀπὸ τειχῶν ἠμύνετο, τήν τε πόλιν διετάφρευσε μέχρι καταπλεύσαντος αὐτῷ τοῦ στόλου, περὶ δείλην ἑσπέραν ἀπέπλευσε, τοὺς εὐτολμοτάτους ἐπὶ τῶν τειχῶν ὑπολιπών· οἳ καὶ αὐτοὶ νυκτὸς ἐρχομένης ἐξέπλεον οὐρίῳ πνεύματι. καὶ Πομπήϊος μὲν ὧδε μετὰ τοῦ στρατοῦ παντὸς ἐς Ἤπειρον, ἐκλιπὼν τὴν Ἰταλίαν,

διε-

Digitized by Google

διεπέρα. ὁ δὲ Καῖσαρ ἠπόρει μὲν, ὅπη τραπείη, καὶ ὅθεν ἄρξαιτο τοῦ πολέμου, τὴν ὁρμὴν πανταχόθεν οὖσαν ἐς τὸν Πομπήϊον ὁρῶν. δείσας δὲ τοῦ Πομπηΐου τὸν ἐν Ἰβηρίᾳ στρατὸν, πολύν τε ὄντα, καὶ χρόνῳ γεγυμνασμένον, μὴ οἱ διώκοντι τὸν Πομπήϊον κατόπιν ἐπιγένοιτο· τόνδε μὲν αὐτὸς ἔγνω προκαθελεῖν, ἐς Ἰβηρίαν ἐλάσας. τὴν δὲ δύναμιν ἐς πέντ' ἐπιδιῄρει. καὶ τοὺς μὲν ἐν τῷ Βρεντεσίῳ, τοὺς δ' ἐν Ὑδροῦντι κατέλιπε, τοὺς δ' ἐν Τάραντι, φύλακας εἶναι τῆς Ἰταλίας. ἑτέρους δ' ἔπεμπεν ἅμα Κοΐντῳ Οὐαλερίῳ, Σαρδὼ τὴν νῆσον καταλαβεῖν πυροφοροῦσαν· καὶ κατέλαβον. Ἀσίνιός τε Πολλίων, ἐς Σικελίαν πεμφθεὶς, ἧς ἡγεῖτο Κάτων, πυνθανομένῳ τῷ Κάτωνι, πότερα τῆς βουλῆς ἢ τοῦ δήμου δόγμα φέρων ἐς ἀλλοτρίαν ἀρχὴν ἐμβάλλοι, ὧδε ἀπεκρίνατο· ὁ τῆς Ἰταλίας κρατῶν ἐπὶ ταῦτά με ἔπεμψε. καὶ Κάτων μὲν τοσόνδε ἀποκρινάμενος, ὅτι φειδοῖ τῶν ὑπηκόων οὐκ ἐνταῦθ' αὐτὸν ἀμυνεῖται, διέπλευσεν ἐς Κέρκυραν, καὶ ἐκ Κερκύρας ἐς Πομπήϊον.

Cæsar, relictis copiis præsidio Italiæ, missoque Q. Valerio in Sardiniam, Asinio Pollione in Siciliam, in Hispaniam adversus Pompeji exercitum proficisci decernit.

cap. 41. Ante abitum in Hispaniam Romam properat, ut populum promissionibus erigat, & pecunias ærarii sibi vindicet.

Ὁ δὲ Καῖσαρ, ἐς Ῥώμην ἐπειχθεὶς, τόν τε δῆμον, ἐκ μνήμης τῶν ἐπὶ Σύλλα καὶ Μαρίου κακῶν πεφρικότα, ἐλπίσι καὶ ὑποσχέσεσι πολλαῖς ἀνελάμβανε· καὶ τοῖς ἐχθροῖς ἐνσημαινόμενος φιλανθρωπίαν, εἶπεν, ὅτι καὶ Λεύκιον Δομίτιον ἑλὼν, ἀπαθῆ μεθείη μετὰ τῶν χρημάτων. τά δὲ κλεῖθρα τῶν δημοσίων ταμιείων ἐξέκοπτε, καὶ τῶν δημάρχων ἑνὶ Μετέλλῳ κωλύοντι θάνατον ἠπείλει. τῶν τε ἀψαύστων ἐκίνει χρημάτων, ἅ φασιν ἐπὶ Κελτοῖς πάλαι σὺν ἀρᾷ δημοσίᾳ τεθῆναι, μὴ σαλεύειν ἐς μηδὲν, εἰ μὴ Κελτικὸς πόλεμος ἐπίοι. ὁ δὲ ἔφη, Κελτοὺς αὐτὸς ἐς τὸ ἀσφαλέστατον ἑλὼν, λελυκέναι τῇ πόλει τὴν ἀράν. Λέπιδον δὲ Αἰμίλιον ἐφίστη τῇ πόλει, καὶ τὸν δήμαρχον Μάρκον Ἀντώνιον τῇ Ἰταλίᾳ καὶ τῷ περὶ αὐτὴν στρατῷ. ἔς τε τὰ ἔξω, Κουρίωνα μὲν ἀντὶ Κάτωνος ᾑρεῖτο ἡγεῖσθαι Σικελίας, Κόϊντον δὲ Σαρδοῦς, καὶ ἐς τὴν Ἰλλυρίδα Γάϊον Ἀντώνιον ἔπεμπε, καὶ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἐπέτρεπε Λικινίῳ Κράσσῳ. ἐκέλευσε δὲ καὶ νεῶν στόλους δύο γίγνεσθαι κατὰ σπουδὴν, ἀμφί τε τὸν Ἰόνιον, καὶ περὶ Τυῤῥηνίαν· καὶ ναυάρχους αὐτοῖς, ἔτι γιγνομένοις, ἐπέστησεν Ὁρτήσιόν τε καὶ Δολοβέλλαν.

Rebus urbis & provinciarum in ordinem redactis, & firmatis,

Οὕτ-

Digitized by Google

Ὅυτω κρατυνάμενος ὁ Καῖσαρ ἄβατον Πομπηΐῳ γενέσθαι τὴν Ἰταλίαν, ἐς Ἰβηρίαν ᾔει· ἔνθα Πετρηΐῳ καὶ Ἀφρανίῳ τοῖς Πομπηΐου στρατηγοῖς συμβαλὼν, ἧσσον αὐτῶν ἐφέρετο τά γε πρῶτα· μετὰ δὲ, ἀγχωμάλως ἀλλήλοις ἐπολέμουν ἀμφὶ πόλιν Ἰλέρτην. καὶ στρατοπεδεύουν ὁ Καῖσαρ ἐπὶ κρημνῶν, ἐσιτολόγει διὰ γεφύρας τοῦ Σικόριος ποταμοῦ. χειμάῤῥου δ' ἄφνω τὴν γέφυραν καταβαλόντος, ἀνδρῶν τε πλῆθος ἀποληφθὲν ἐν τῇ περαίᾳ διέφθειραν ὁ περὶ τὸν Πετρήϊον· καὶ ὁ Καῖσαρ αὐτὸς ἐμόχθει μετὰ τοῦ ἄλλου στρατοῦ πάνυ καρτερῶς, ὑπό τε δυσχωρίας καὶ ὑπὸ λιμοῦ καὶ χειμῶνος ἤδη καὶ πολεμίων, οὐδέν τε ἄλλ' ἢ πολιορκίας ἔργον ἦν. μέχρι, θέρους ἐπελθόντος, ὁ μὲν Ἀφράνιος καὶ ὁ Πετρήϊος ἐς τὴν ἐντὸς Ἰβηρίαν ἐχώρουν, ἕτερον στρατὸν ἀθροίσοντες. καὶ ὁ Καῖσαρ, ἀεὶ προλαμβάνων, διετάφρευε τὰς παρόδους, καὶ ἐκώλυεν ἐς τὸ πρόσθεν ἰέναι· καί τι καὶ μέρος αὐτῶν, προπεμπόμενον ἐς στρατοπέδου κατάληψιν, ἐκυκλώσατο. οἱ δὲ ἐπέθεσαν ταῖς κεφαλαῖς τὰς ἀσπίδας, ὅπερ ἐστὶ σύμβολον ἑαυτοὺς παραδιδόντων. καὶ ὁ Καῖσαρ οὔτε συνέλαβεν, οὔτε κατηκόντισεν, ἀλλὰ μεθῆκεν ἀπαθεῖς ἐς τοὺς περὶ τὸν Ἀφράνιον ἀπιέναι, δημοκοπῶν ἐς τοὺς πανταχοῦ πολεμίους. ὅθεν ἐν ταῖς στρατοπεδείαις ἐπιμιξίαι τε ἐς ἀλλήλους ἐγίγνοντο συνεχεῖς, καὶ λόγοι περὶ συμβάσεων κατὰ τὸ πλῆθος.

cap. 42. in Hispaniam proficiscitur; ubi primum Pompejanis ducibus inferior, deinde æquo Marte tandem victor pugnavit.

Ἤδη δὲ καὶ τῶν ἡγεμόνων Ἀφρανίῳ μὲν καὶ ἑτέροις ἐδόκει, τῆς Ἰβηρίας ἐκστῆναι Καίσαρι, καὶ ἀπαθεῖς ἐς Πομπήϊον ἀπιέναι. Πετρήϊος δὲ ἀντέλεγε, καὶ περιθέων ἀνὰ τὸ στρατόπεδον, ἔκτεινεν ὅσους εὑρίσκοι κατὰ τὴν ἐπιμιξίαν τῶν Καίσαρος· τῶν τε ἰδίων ἡγεμόνων ἐνιστάμενόν τινα αὐτοχειρὶ διεχρήσατο. ἐξ ὧν ἔτι μᾶλλον ἀχθόμενοι τῷ σκυθρωπῷ τοῦ Πετρηΐου, ἐς τὸ φιλάνθρωπον τοῦ Καίσαρος ἐτρέποντο ταῖς γνώμαις. ἐπεὶ δέ που καὶ τὴν ὑδρείαν αὐτῶν προὔλαβεν ὁ Καῖσαρ, ἐν ἀμηχάνῳ γενόμενος ὁ Πετρήϊος, ἐς λόγους τῷ Καίσαρι συνῄει μετὰ Ἀφρανίου, ἐφορώντων αὐτοὺς τῶν στρατῶν ἑκατέρωθεν. καὶ συνέβησαν, οἱ μὲν, ἐκστῆναι τῆς Ἰβηρίας τῷ Καίσαρι· ὁ δὲ Καῖσαρ, αὐτοὺς ἀπαθεῖς ἐπὶ τὸν Ὄυαρον ποταμὸν διαγαγεῖν, καὶ ἀπὸ τοῦδε χωροῦντας ἐς Πομπήϊον ἐᾶν. γενόμε-

cap. 43. Pompejani Hispania decedunt, dimissi a Cæsare illæsi. Q. Cassius Hispaniæ præponitur.

νόμενος δ' ὁ Καῖσαρ ἐπὶ τοῦδε τοῦ ποταμοῦ, συνήγαγεν αὐτῶν ἐς ἐπήκοον ὅσοι ἦσαν ἔκ τε Ῥώμης καὶ Ἰταλίας, καὶ ἐδημηγόρησεν ὧδε· ὑμῶν, ὦ πολέμιοι (τᾶδε γὰρ ἔτι τῷ ῥήματι χρώμενος, ἐναργεστέραν ὑμῖν τὴν ἐμαυτοῦ γνώμην ποιήσω) οὔτε τοὺς προπεμφθέντας ἐς τὴν κατάληψιν τοῦ στρατοπέδου, οἱ σφᾶς ἐμοὶ παρέδοσαν, διέφθειρα· οὔτε τὸν ἄλλον ὑμῶν στρατὸν, λαβὼν τὰ ὑδρεύματα· Πετρηΐου ἐκ τῶν ἐμῶν τοὺς ὑπὲρ τὸν Σίκοριν ποταμὸν ἀποληφθέντας προανελόντος. εἰ δή τις ἐστί μοι παρ' ὑμῶν ὑπὲρ τούτων χάρις, φράζετε αὐτὰ τοῖς Πομπηΐου στρατιώταις ἅπασι. τοσάδε εἰπὼν, τοὺς μὲν ἀπέλυεν ἀπαθεῖς, αὐτὸς δὲ τῆς Ἰβηρίας ἀπέφαινεν ἡγεῖσθαι Κάσσιον Κόϊντον. καὶ τάδε μὲν ἦν ἀμφὶ τὸν Καίσαρα.

cap. 44. & 46. Curio in Africam cum duabus Cæsarianis legionibus contra Pompejanos, quibus Juba Maurit. rex opem ferebat, missus, cum exercitu suo perit.

Λιβύης δὲ Οὔαρος Ἄττιος ἐστρατήγει τῷ Πομπηΐῳ, καὶ Ἰόβας ὁ τῶν Μαυρουσίων Νομάδων βασιλεὺς τῷ Οὐάρῳ συνεμάχει. Κουρίων δ' ὑπὲρ Καίσαρος αὐτοῖς ἐκ Σικελίας ἐπέπλει δύο τέλεσι στρατοῦ, καὶ ναυσὶ δυώδεκα μακραῖς, καὶ ὁλκάσι πολλαῖς. — Αὐτὰ δὲ τὰ σὺν Κουρίωνι ἐς Λιβύην ἐπιπλεύσαντα Ῥωμαίων δύο τέλη διώλετο ἅπαντα, καὶ ὅσοι μετ' αὐτῶν ἦσαν ἱππεῖς τε καὶ ψιλοὶ, καὶ ὑπηρέται τοῦ στρατοῦ. Ἰόβας δ' ἐς τὰ οἰκεῖα ἀνέστρεφε, μέγιστον ἔργον τόδε Πομπηΐῳ καταλογιζόμενος.

cap. 47. In Illyrico Antonius ab Octaviano Pompeji legato superatur; & alius Cæsarianus exercitus ad Placentiam seditionem movet, quam tamen Cæsar, Massilia advolans, brevi sermone sedat.

Καὶ τῶν αὐτῶν ἡμερῶν Ἀντώνιός τε περὶ τὴν Ἰλλυρίδα ἡσσᾶτο ὑπὸ Ὀκταουΐου, Πομπηΐῳ στρατηγοῦντος· καὶ στρατιὰ Καίσαρος ἄλλη περὶ Πλακεντίαν στασιάσασα, τῶν ἀρχόντων κατεβόησεν, ὡς ἔν τε τῇ στρατείᾳ βραδύνοντες, καὶ τὰς πέντε μνᾶς οὐ λαβόντες, ἥν τινα δωρεὰν αὐτοῖς ὁ Καῖσαρ ἔτι περὶ Βρεντέσιον ὑπέσχητο. ὧν ὁ Καῖσαρ πυθόμενος, ἐκ Μασσαλίας ἐς Πλακεντίαν ἠπείγετο συντόμως, καὶ ἐς ἔτι στασιάζοντας ἐπελθὼν, ἔλεγεν ὧδε· «τάχει μὲν ὅσῳ περὶ ἕκαστα χρῶμαι, σύνιστέ μοι. βραδύνει δ' ὁ πόλεμος οὐ δι' ἡμᾶς· ἀλλὰ διὰ τοὺς πολεμίους, ὑποφεύγοντας ἡμᾶς. ὑμεῖς δ' ἔν τε Γαλατίᾳ πολλὰ τῆς ἐμῆς ἀρχῆς ὀνάμενοι, καὶ ἐς τόνδε τὸν πόλεμον ὅλον, οὐκ ἐς μέρος αὐτοῦ, μοὶ συνομόσαντες, ἐν μέσοις ἔργοις ἡμᾶς ἀπολείπετε, καὶ τοῖς ἄρχουσιν ἐπανίσασθε, καὶ προστάττειν ἀξιοῦτε παρ' ὧν χρὴ προστάγματα λαμβάνειν. μαρτυράμενος οὖν ἐμαυτὸν τῆς ἐς ὑμᾶς μέχρι δεῦρο φιλοτιμίας,

Digitized by Google

τιμίας, χρήσομαι τῷ πατρίῳ νόμῳ, καὶ τȣ͂ ἐνάτȣ τέλȣς, (ἐπειδὴ μάλιςα τῆς ςάσεως κατῆρξε) τὸ δέκατον διακληρώσαι θανεῖν." Θρήνȣ δὲ ἀθρόως ἐξ ἅπαντος τȣ͂ τέλȣς γενομένȣ, οἱ μὲν ἄρχοντες αὐτȣ͂ προσπεσόντες ἱκέτευον· ὁ δὲ Καῖσαρ μόλις τε καὶ κατ' ὀλίγον ἐνδιδȣ̀ς, ἐς τοσȣ͂τον ὅμως ὑφῆκεν, ὡς ἑκατὸν καὶ εἴκοσι μόνȣς (οἳ κατάρξαι μάλιςα ἐδόκȣν) διακληρῶσαι, καὶ δυώδεκα αὐτῶν τȣ̀ς λαχόντας ἀνελεῖν. τῶν δὲ δυώδεκα τῶνδε ἐφάνη τις ȣ̓δ' ἐπιδημῶν ὅτε ἡ ςάσις ἐγίγνετο· καὶ ὁ Καῖσαρ τὸν ἐμφήναντα λοχαγὸν ἔκτεινεν ἀντ' αὐτȣ͂.

cap. 48. CæſarRomam petit & a plebe Dictator creatur: is tamen maluit in sequentem annum Consulem creari, assumto collega P.Servil. Isaurico.

Ἡ μὲν δὴ περὶ Πλακεντίαν ςάσις ȣ̓́τως ἐλέλυτο. ὁ δὲ Καῖσαρ ἐς Ῥώμην παρῆλθε· καὶ αὐτὸν ὁ δῆμος περιφρικῶς ᾑρεῖτο δικτάτωρα, ȣ̓́τε τι τῆς βȣλῆς ψηφιζομένης, ȣ̓́τε προχειροτονȣ͂ντος ἄρχοντος. ὁ δὲ, εἴ τε παραιτησάμενος τὴν ἀρχὴν, ὡς ἐπίφθονον, εἴτε ȣ̓ χρῄζων, ἄρξας ἐπὶ ἕνδεκα μόνας ἡμέρας (ὧδε γάρ τισι δοκεῖ) ὑπάτȣς ἐς τὸ μέλλον ἀπέφηνεν ἑαυτόν τε καὶ Πȣ́πλιον Ἰσαυρικόν. ἡγεμόνας τε ἐς τὰ ἔθνη περιέπεμπεν, ἢ ἐνήλλαττεν, ἐφ' ἑαυτȣ͂ καταλέγων· ἐς μὲν Ἰβηρίαν, Μάρκον Λέπιδον· ἐς δὲ Σικελίαν, Αὖλον Ἀλβῖνον· ἐς δὲ Σαρδὼ, Σέξτον Πεδȣκαῖον· ἐς δὲ τὴν νεόληπτον Γαλατίαν, Δέκμον Βρȣ͂τον. τῷ δὲ δήμῳ λιμώττοντι σῖτον ἐπέδωκε· καὶ τȣ̀ς φυγάδας δεομένῳ καταγαγεῖν συνεχώρησε, χωρὶς Μίλωνος. αἰτȣ͂σι δ' αὐτοῖς καὶ χρεῶν ἀποκοπὰς, διά τε πολέμȣς καὶ ςάσεις καὶ τὴν ἐκ τῶνδε τοῖς πιπρασκομένοις ἐπȣ͂σαν εὐωνίαν, τὰς μὲν ἀποκοπὰς ȣ̓κ ἔδωκε, τιμητὰς δὲ τῶν ὠνίων ἀπέφηνεν, οἷς ἔδει τȣ̀ς χρήςας τοῖς δανείσασιν ἀντὶ τῶν χρημάτων διδόναι. καὶ τάδε πράξας, περὶ χειμερίȣς τροπὰς περιέπεμπε τὸν ςρατὸν ἅπαντα ἐς τὸ Βρεντέσιον· αὐτός τε ἐξῄει, Δεκεμβρίȣ μηνὸς Ῥωμαίοις ὄντος, ȣ̓κ ἀναμείνας ȣ̓δὲ τῆς ἀρχῆς ἕνεκα τὴν νȣμηνίαν τȣ͂ ἔτȣς πλησιάζȣσαν. ὁ δὲ δῆμος εἵπετο, παρακαλῶν συμβῆναι Πομπηΐῳ· ȣ̓ γὰρ ἄδηλον ἦν, ἐς μοναρχίαν τὸν νικῶντα τρέψεσθαι. καὶ ὁ μὲν ὥδευεν ȣ̓δὲν ἐλλείπων δυνατῆς ἐπείξεως.

Præsides provinciarum designat, populo frumentum distribuit, exulibus reditum concedit, Censores creat, exercitum circa brumam evocat & mense Decembri ante initum magistratum, proficiscitur.

cap. 49. Cæsaris & Pompeji copiæ.

Ὁ δὲ Πομπήϊος πάντα τὸν χρόνον τόνδε ναῦς ἐποιεῖτο, καὶ ςρατὸν αἰεὶ πλείονα καὶ χρήματα συνῆγε· καὶ τὰς ἐν τῷ Ἰονίῳ Καίσαρος τεσσαράκοντα ναῦς ἑλὼν, ἐφύλασσεν

λάσσεν

λασσεν αὐτῷ τὸν διάπλουν· τόν τε στρατὸν ἐγύμναζε, συντρέχων καὶ συνιππεύων, καὶ παντὸς ἐξάρχων πόνου παρ' ἡλικίαν· ὅθεν αὐτῷ ῥᾳδίως εὔνοιά τε ἦν, καὶ συνέθεον ἐπὶ τὰ γυμνάσια Πομπηΐου πάντες, ὡς ἐπὶ θέαν. ἦν δ' ἐς τότε Καίσαρι μὲν δέκα τέλη πεζῶν, καὶ Κελτῶν ἱππεῖς μύριοι· Πομπηΐῳ δὲ πέντε μὲν ἐξ Ἰταλίας, δι' ὧν τὸν Ἰόνιον διεπεπλεύκει, καὶ τούτοις ὅσοι συνετάσσοντο ἱππεῖς· ἐκ δὲ Παρθυαίων δύο, τῶν σὺν Κράσσῳ πεπολεμηκότων τὰ ὑπόλοιπα· καί τι μέρος ἄλλο τῶν ἐς Αἴγυπτον ἐσβαλόντων μετὰ Γαβινίου. σύμπαντα, ἀνδρῶν Ἰταλῶν ἕνδεκα τέλη, καὶ ἱππεῖς ἀμφὶ τοὺς ἑπτακισχιλίους. σύμμαχοι δ' ἐξ Ἰωνίας τε καὶ Μακεδονίας καὶ Πελοποννήσου καὶ Βοιωτίας, τοξόται τε Κρῆτες, καὶ σφενδονῆται Θρᾶκες, καὶ ὅσοι περὶ τὸν Πόντον βέλεσι χρῶνται· ἱππεῖς τέ τινες Κελτῶν, καὶ ἐκ Γαλατίας ἕτεροι τῆς ἑώας, Κομμαγηνοί τε ὑπ' Ἀντιόχου πεμφθέντες, καὶ Κίλικες καὶ Καππαδόκαι, καὶ ἐκ τῆς βραχυτέρας Ἀρμενίας τινὲς, καὶ Παμφύλιοι καὶ Πισίδαι. ὧν οὐχ ἅπασιν ἐς μάχας, ἀλλ' ἐς φρούρια καὶ ταφρείας καὶ τὴν ἄλλην ὑπηρεσίαν τοῦ Ἰταλικοῦ στρατοῦ, χρῆσθαι διενοεῖτο, ἵνα μηδένα τῶν Ἰταλῶν τοῦ πολέμου περισπῴη. καὶ τάδε μὲν ἦν αὐτῷ τὰ πεζά. νῆες δὲ, μακραὶ μὲν ἐντελεῖς τοῖς πληρώμασιν, ἑξακόσιαι· καὶ τούτων ἐς ἑκατὸν Ῥωμαίων ἐπιβατῶν, αἳ καὶ μάλιστα προὔχειν ἐδόκουν. πολὺ δὲ ὁλκάδων καὶ σκευοφόρων ἄλλο πλῆθος. ναύαρχοί τε πολλοὶ κατὰ μέρη· καὶ ἐπ' αὐτοῖς Μάρκος Βύβλος.

cap. 52. Pompejus copias in hiberna distribuit per Thessaliam & Macedoniam.

Ὁ δὲ Πομπήϊος (ἡγεῖτο γὰρ, δυσχεροῦς ἔτι τῆς ὥρας οὔσης καὶ τῆς θαλάσσης ἀλιμένου, μετὰ χειμῶνα ἐπιπλευσεῖσθαι τὸν Καίσαρα· ὕπατόν τε ὄντα, τὴν ἀρχὴν ἐν τοσῷδε διαθήσεσθαι) τοῖς μὲν ναυάρχοις προσέταττεν ἐπιτηρεῖν τὴν θάλασσαν· τὸν δὲ στρατὸν ἐς χειμασίαν ἐπιδιῄρει, καὶ περιέπεμπεν ἔς τε Θεσσαλίαν καὶ Μακεδονίαν. καὶ Πομπήϊος μὲν οὕτω τοῦ μέλλοντος ἀμελῶς ἐτεκμαίρετο.

Cæsar vero, in celeritate spem victoriæ quærens,

ὁ δὲ Καῖσαρ, ὥς μοι προείρητο, περὶ χειμερίους τροπὰς ἐς τὸ Βρεντέσιον ἠπείγετο, νομίζων τῷ ἀδοκήτῳ μάλιστα ἐκπλήξειν τοὺς πολεμίους. οὔτε δὲ ἀγορὰν, οὔτε παρασκευὴν, οὔτε τὸν στρατὸν τὸν ἑαυτοῦ πάντα ἠθροισμένον ἐν τῷ Βρεντεσίῳ καταλαβὼν, τοὺς παρόντας ὅμως ἐς ἐκκλησίαν συναγαγὼν, ἔλεγεν·

Οὔτε

Digitized by Google

"Ουτε τῆς ὥρας τὸ χειμέριον, ὦ ἄνδρες, οἱ περὶ τῶν μεγίϛων ἐμοὶ συναίρεϑε, ὧϑ' ἡ τῶν ἄλλων βραδύτης ἢ ἔνδεια τῆς πρεπέσης παρασκευῆς, ἐφέξει με τῆς ὁρμῆς. ἀντὶ γὰρ πάντων ἡγῦμαί μοι συνοίσειν τὴν ταχυεργίαν. καὶ πρώτυς ἡμᾶς, οἱ πρῶτοι συνεδράμομεν ἀλλήλοις, ἀξιῶ, ϑεράποντας μὲν ἐνταῦϑα καὶ ὑποζύγια καὶ παρασκευὴν καὶ πάνϑ' ὑπολιπέϑαι, ἵνα ἡμᾶς αἱ παρῦσαι νῆες ὑποδέξωνται· μόνυς δ' εὐϑὺς ἐμβάντας περᾶν, ἵνα τὺς ἐχϑρὺς διαλάϑοιμεν· τῷ μὲν χειμῶνι τύχην ἀγαϑὴν ἀντιϑέντες, τῇ δ' ὀλιγότητι τόλμαν, τῇ δ' ἀπορίᾳ τὴν τῶν ἐχϑρῶν εὐπορίαν, ἧς ἐϛιν ἡμῖν εὐϑὺς ἐπιβαίνυσιν ἐπὶ τὴν γῆν κρατεῖν, ἣν εἰδῶμεν ὅτι μὴ κρατήσασιν ὐδέν ἐϛιν ἴδιον. ἴωμεν ὖν ἐπὶ ϑεράποντάς τε καὶ σκευὴν καὶ ἀγορὰν τὴν ἐκείνων, ἕως χειμάζυσιν ἐν ὑποϛέγοις. ἴωμεν, ἕως Πομπήϊος ἡγεῖται κἀμὲ χειμάζειν, ἢ περὶ πομπὰς καὶ ϑυσίας ὑπατικὰς ἔιναι. εἰδόσι δ' ὑμῖν ἐκφέρω, δυνατώτατον ἐν πολέμοις ἔργον ἔιναι τὸ ἀδόκητον· φιλότιμον δὲ, καὶ πρώτιϛον δόξαν ἀπενέγκαϑαι τῶν ἐσομένων, καὶ τοῖς αὐτίκα διωξομένοις ἡμᾶς ἀσφαλῆ τὰ ἐκεῖ προετοιμάσαι. ἐγὼ μὲν δὴ καὶ τόνδε τὸν καιρὸν πλεῖν ἂν, ἢ λέγειν, μᾶλλον ἐβυλόμην· ἵνα με Πομπήϊος ἴδῃ, νομίζων ἔτι τὴν ἀρχὴν ἐν Ῥώμῃ διατίϑεϑαι. τὸ δὲ ὑμέτερον εὐπειϑὲς εἰδὼς, ὅμως ἀναμένω τὴν ἀπόκρισιν."

cap. 53. hortatur milites Brundusii, mare secum media hieme trajiciant, Pompejanosque in hibernis degentes inopinato invadant.

Ἀναβοήσαντος δὲ σὺν ὁρμῇ τῦ ϛρατῦ παντὸς, ἄγειν σφᾶς, εὐϑὺς ἐπὶ τὴν ϑάλασσαν ἦγεν ἀπὸ τῦ βήματος, πέντε πεζῶν τέλη, καὶ ἱππέας λογάδας ἑξακοσίυς. καὶ ἐπ' ἀγκυρῶν ἀπεσάλευε, κλυδωνίυ διαταράσσοντος. χειμέριοι δ' ἦσαν τροπαί· καὶ τὸ πνεῦμα ἄκοντα καὶ ἀσχάλλοντα κατεκώλυε, μέχρι καὶ τὴν πρώτην τῦ ἔτυς ἡμέραν ἐν Βρεντεσίῳ διατρίψαι. καὶ δύο τελῶν ἄλλων ἐπελϑόντων, ὅδε καὶ τάδε προσλαβὼν ἀνήγετο χειμῶνος ἐπὶ ὀλκάδων· αἱ γὰρ ἦσαν αὐτῷ νῆες ὀλίγαι μακραὶ, Σαρδὼ καὶ Σικελίαν ἐφρύρυν. ὑπὸ δὲ χειμώνων ἐς τὰ Κεραύνια ὄρη περιαχϑεὶς, τὰ μὲν πλοῖα εὐϑὺς ἐς Βρεντέσιον ἐπὶ τὴν ἄλλην ϛρατιὰν περιέπεμπεν· αὐτὸς δ' ᾔει νυκτὸς ἐπὶ πόλιν Ὤρικον διὰ τραχείας ἀτραπῦ καὶ ϛενῆς, ἐς μέρη πολλὰ διασπώμενος ὑπὸ τῆς δυσχωρίας· ὡς εὐεπιχείρητος ἂν, εἴ τις ᾔϑετο, γενέϑαι. περὶ δὲ τὴν ἕω μόλις αὐτῷ συνήει

cap. 54. Legionibus VII in naves impositis solvit post Calendas Januarias, & tempestatibus ad Ceraunios montes adpulsus, A. U. 706. ante Chr. 48.

Oricum petit, cujus claves Cæsari traduntur. Na-

Naves onerariæ, frumentum Pompejo deferentes, ne in Cæsaris manus incidant, depriimuntur.

τὸ πλῆθος, καὶ ὁ Φρούραρχος ὁ τῆς Ὠρίκου, τῶν ἔνδον αὐτῷ προειπόντων οὐ κωλύσειν ἐπιόντα Ῥωμαίων ὕπατον, τάς τε κλεῖς παρέδωκε τῷ Καίσαρι, καὶ παρ' αὐτῷ κατέμεινε τιμῆς ἀξιούμενος. Λουκρήτιος δὲ καὶ Μινούκιος, ἐπὶ θάτερα τῆς Ὠρίκου ναυσὶν ὀκτωκαίδεκα μακραῖς Πομπηΐῳ σῖτον ἐν πλοίοις φυλάσσοντες, τά τε πλοῖα κατέδυσαν, ἵνα μὴ ὁ Καῖσαρ αὐτὰ λάβοι, καὶ ἐς Δυῤῥάχιον διέφυγον.

Cæsar post Oricum Apolloniam etiam sine certamine capit,

ἀπὸ δὲ τῆς Ὠρίκου, Καῖσαρ ἐς Ἀπολλωνίαν ἠπείγετο· καὶ τῶν Ἀπολλωνιατῶν αὐτὸν δεχομένων, Σταβέριος ὁ Φρούραρχος ἐξέλιπε τὴν πόλιν.

cap. 55. & inde Dyrrhachium, Pompeji promtuarium, petit, quo tamen Pompejus prior venit. Cæsar ex adverso Pompeji castra metatur.

Καὶ ὁ Καῖσαρ, ἀλίσας τὸν ἑαυτοῦ στρατὸν, ἀνέμνησεν, ὅτι διὰ τὴν ταχυεργίαν τοῦ τε χειμῶνος σὺν τῇ τύχῃ περιγένοιντο, καὶ θαλάσσης τοσῆσδε χωρὶς νεῶν κρατήσειαν, Ὤρικόν τε καὶ Ἀπολλωνίαν ἀμαχεὶ λάβοιεν, καὶ τὰ τῶν πολεμίων ἔχοιεν, καθάπερ εἶπεν, ἀγνοοῦντος ἔτι Πομπηΐου. εἰ δὲ καὶ Δυῤῥάχιον, ἔφη, τὸ ταμιεῖον τῆς Πομπηΐου παρασκευῆς προλάβοιμεν, ἔσται πάντα ἡμῖν ἃ ἐκείνοις δι' ὅλου θέρους πεπονημένοις. τοσαῦτα εἰπὼν, ἦγε συντόμως ἐπὶ τὸ Δυῤῥάχιον αὐτοὺς ὁδὸν μακρὰν, οὔτε ἡμέρας οὔτε νυκτὸς ἀναπαύων. Πομπήϊος δὲ προμαθὼν, ἀντιπαρώδευσεν ἐκ Μακεδονίας, καὶ προὔλαβεν τὸ Δυῤῥάχιον, καὶ παρ' αὐτὸ ἐστρατοπέδευσεν. ναῦς τε ἐπιπέμψας, Ὤρικον αὖθις εἷλε, καὶ τὴν θάλασσαν ἀκριβεστέραις φρουραῖς ἐφύλασσεν. ὁ δὲ Καῖσαρ, τοῦ Πομπηΐου τὸν Ἄλωρα ποταμὸν ἐν μέσῳ θέμενος, ἐστρατοπέδευσε.

cap. 60. Castra castellis distinguuntur, circa quæ crebræ præliationes.

Μετ' οὐ πολὺ δὲ τῷ Καίσαρι σύμπας ὁ στρατὸς ἤδη παρῆν, παρῆν δὲ καὶ Πομπηΐῳ. καὶ ἀντεστρατοπέδευον ἀλλήλοις ἐπὶ λόφων ἐν φρουρίοις πολλοῖς. πεῖραί τε ἦσαν περὶ ἕκαστον φρούριον πυκναὶ, περιταφρευόντων καὶ περιτειχιζόντων ἀλλήλους, καὶ γιγνομένων ὁμοῦ καὶ ποιούντων ἐν ἀπόροις.

cap. 61. Cæsar, exercitu suo fame laborante, copias suas contrahit vel cum invito Pompejo conflicturus. Pompejo pugnam evitan-

Καίσαρι μὲν δὴ οὐδὲν ἦν ἐκ θαλάσσης, διὰ Πομπήϊον ναυκρατοῦντα· ἐλίμαινεν οὖν ὁ στρατὸς αὐτῷ, καὶ τὴν πόαν ἠρτοποίουν. αὐτόμολοί τε Πομπηΐῳ τοιούσδε ἄρτους προσήνεγκαν, ὡς εὐφρανοῦντες ἰδόντα· ὁ δὲ οὐχ ἥσθη, ἀλλ' εἶπεν, Οἵοις θηρίοις μαχόμεθα. ὁ μὲν δὴ Καῖσαρ ὑπ' ἀνάγκης τὸν στρατὸν ἅπαντα συνῆγεν, ὡς καὶ ἄκοντα Πομπήϊον βιασόμενος ἐς μάχην· ὁ δὲ αὐτοῦ τὰ πολλὰ τῶν φρουρίων ἐκ τοῦδε κεκενωμένα προσλαβὼν, ἡσύχαζε.

καὶ

Digitized by Google

καὶ τῷδε μάλιστα ἀνιαθεὶς ὁ Καῖσαρ, ἐπετόλμησεν ἔργῳ δυσχερεῖ τε καὶ παραλόγῳ· πάντα Πομπηΐου τὰ στρατόπεδα, ἑνὶ τείχει περιλαβὼν, ἐκ θαλάσσης ἐς θάλασσαν ἀποτειχίσαι· ὡς μεγάλην, εἰ καὶ διαμάρτοι, δόξαν οἰσόμενος ἐπὶ τῷ τολμήματι. στάδιοι γὰρ ἦσαν διακόσιοι καὶ χίλιοι. καὶ ὁ μὲν ἐνεχείρει τοσῷδε ἔργῳ. Πομπήϊος δ' αὐτὸν ἀνταπετάφρευε καὶ ἀντῳκοδόμει· καὶ μάταια τὰ ἔργα ἀλλήλοις ἐποίουν. γίγνεται δ' αὐτοῖς ἀγὼν εἷς μέγας, ἐν ᾧ Πομπήϊος τρέπεταί τε τοὺς Καίσαρος πάνυ λαμπρῶς, καὶ ἐς τὸ στρατόπεδον ἐδίωκε φεύγοντας. σημεῖά τε πολλὰ εἷλεν αὐτῶν· καὶ τὸν ἀετὸν (ὃ δὴ κυριώτατόν ἐστι Ῥωμαίοις) μόλις ἔφθασεν ὁ φέρων ὑπὲρ τὸ χαράκωμα τοῖς ἔνδον ῥίψαι.

te, Cæsar castra ejus munitione circumvallare tentat; cui Pompejus fossas & munitiones opponit.

Pompejus magno prœlio Cæsarianos vincit.

Γενομένης δὲ τῆς τροπῆς λαμπρᾶς, ὁ Καῖσαρ ἑτέρωθεν ἦγεν ἄλλον στρατὸν, οὕτω δή τι καὶ τοῦτον περίφοβον, ὡς, Πομπηΐου μακρόθεν ἐπιφανέντος, μήτε στῆναι, περὶ τὰς πύλας ὄντας ἤδη, μήτε ἐσελθεῖν ἐν κόσμῳ, μήτε πειθῆναι τοῖς προστάγμασιν, ἀλλὰ φεύγειν ἕκαστον ὅπη τύχοιεν ἀμεταστρεπτὶ, χωρὶς αἰδοῦς, καὶ παραγγέλματος, καὶ λογισμοῦ. Καίσαρος δ' αὐτοὺς περιθέοντός τε καὶ σὺν ὀνείδει μακρὰν ἔτι τὸν Πομπήϊον ὄντα ἐπιδεικνύοντος, καὶ ἐφορῶντος, τὰ σημεῖα ἀπερρίπτουν καὶ ἔφευγον. οἱ δὲ μόλις ὑπ' αἰδοῦς κατέκυπτον ἐς τὴν γῆν ἄπρακτοι. τοσοῦτος αὐτοῖς τάραχος ἐνεπεπτώκει. εἷς δὲ καὶ στρέψας τὸ σημεῖον ἀνέτεινε τὸν οὐρίαχον ἐς τὸν αὐτοκράτορα· καὶ τόνδε μὲν οἱ Καίσαρος ὑπασπισταὶ κατέκοπτον. οἱ δ', ἐσελθόντες, οὐδ' ἐπὶ τὰς φυλακὰς ἀπήντων, ἀλλὰ μεθειμένα πάντα ἦν, καὶ τὸ χαράκωμα ἀφύλακτον· ὥστε αὐτὸ δοκεῖ συνεσπεσὼν ἂν τότε ὁ Πομπήϊος ἑλεῖν κατὰ κράτος, καὶ τὸν πόλεμον ἑνὶ τῷδε ἔργῳ πάντα ἐξεργάσασθαι· εἰ μὴ Λαβιηνὸς αὐτὸν, θεοῦ παράγοντος, ἐπὶ τοὺς φεύγοντας ἔπειθε τραπῆναι· καὶ αὐτὸς ἅμα ὤκνησεν, ἢ τὴν ἀφυλαξίαν τοῦ χαρακώματος, ὡς ἐνέδραν, ὑφορώμενος, ἢ ὡς ἤδη κεκριμένου τοῦ πολέμου καταφρονήσας. ἐπὶ δὲ τοὺς ἔξω τραπεὶς, ἑτέρους τε ἔκτεινε πολλοὺς, καὶ σημεῖα τῆς ἡμέρας ἐκείνης ἔλαβεν ἐν ταῖς δύο μάχαις ὀκτὼ καὶ εἴκοσι, καὶ δεύτερον τόνδε καιρὸν ἐντελοῦς ἔργου μεθῆκεν. ὃ καὶ τὸν

cap. 62. Cæsarianorum fuga, consternatio omniumque rerum confusio tanta fuit,

ut Pompejus bello potuisset finem afferre, si scisset uti victoria.

τὸν Καίσαρα φασὶν εἰπεῖν, ὅτι σήμερον ἂν ὁ πόλεμος ἐξείργαστο τοῖς πολεμίοις, εἰ τὸν νικᾷν ἐπιστάμενον εἶχον.

cap. 63. Cæsaris exercitum pudet stragis & fugæ, poscit decimationis supplicium, eoque remisso jurat, non nisi victores rediturος se e prælio.

Ὁ δὲ Πομπήϊος τήν τε νίκην ὑπερεπαίρων, ἐπέστελλε βασιλεῦσι καὶ πόλεσι πάσαις· καὶ τὸν στρατὸν αὐτίκα τὸν Καίσαρος ἤλπιζε πρὸς ἑαυτὸν μεταβαλεῖσθαι, λιμῷ τε πεπιεσμένον, καὶ ὑπὸ τῆς ἥττης καταπεπληγμένον· μάλιστα δὲ τοὺς ἡγεμόνας αὐτοῦ, τὸ σφέτερον ἁμάρτημα φοβουμένους. οἱ δὲ, θεοῦ σφᾶς ἐπὶ μετάνοιαν ἄγοντος, τὸ ἁμάρτημα ᾐδοῦντο· καὶ τοῦ Καίσαρος αὐτοῖς ἐπιμεμφομένου τε πρᾴως, καὶ συγγνώμην διδόντος, ἔτι μᾶλλον ἠρεθίζοντο καθ' ἑαυτῶν· καὶ, ἐκ παραδόξου μεταβολῆς, ἐκέλευον τῷ πατρίῳ νόμῳ διακληρώσαντα αὐτοὺς, τὸ δέκατον μέρος ἀναιρεῖν. οὐ πειθομένου δὲ τοῦ Καίσαρος, μᾶλλον ᾐδοῦντο, καὶ συνεγίγνωσκον αὐτὸν ἐκ ἀξίως ὑπὸ σφῶν ἠδικῆσθαι· καὶ τοὺς φέροντας τὰ σημεῖα κτείνειν ἐπεβόων, ὡς οὐκ ἂν αὐτοί ποτε φυγόντες, εἰ μὴ τὰ σημεῖα προαπεστράφη. ὡς δὲ ὁ Καῖσαρ, οὐδὲ τοῦτ' ἀνασχόμενος, ὀλίγους μόλις ἐκόλασεν, αὐτίκα πᾶσιν αὐτοῦ πρὸς τὴν μετριοπάθειαν ὁρμὴ τοσήδε ἐνέπιπτεν, ὡς εὐθὺς αὐτὸν ἄγειν ἀξιοῦν ἐπὶ τοὺς πολεμίους. καὶ ἐνέκειντο σφόδρα προθύμως, παρακαλοῦντές τε καὶ ὑπισχνούμενοι διορθώσεσθαι τὸ ἁμάρτημα νίκῃ καλῇ· κατά τε σφᾶς ἐπιστρεφόμενοι πρὸς ἀλλήλους ἰλαδὸν, κατὰ μέρη συνώμνυντο, ἐφορῶντος αὐτοῦ Καίσαρος, μὴ ἐπανήξειν ἐκ τῆς μάχης, εἰ μὴ κρατοῖεν.

cap. 64. Cæsar in opportunius tempus prælium differendum censet, fassus, a se erratum quod ad Dyrrhachium castra posuisset.

Ὅθεν αὐτὸν οἱ μὲν φίλοι παρεκάλουν, ἀποχρήσασθαι τοιᾶδε μετανοίᾳ καὶ προθυμίᾳ στρατοῦ. ὁ δ' ἐς μὲν τὸ πλῆθος εἶπεν, ὅτι μετὰ βελτιόνων καιρῶν αὐτοὺς ἐπὶ τοὺς πολεμίους ἄξει, καὶ μεμνῆσθαι τῆσδε τῆς προθυμίας διεκελεύσατο. τοὺς δὲ φίλους ἀνεδίδασκεν, ὅτι χρὴ καὶ τῶνδε προεξελεῖν τὸν φόβον τῆς ἥσσης, πολὺν αὐτοῖς ἐγγενόμενον, καὶ τῶν πολεμίων τὸ φρόνημα ἀκμάζον προκαθελεῖν. ὡμολόγει τε, μεταγιγνώσκειν πρὸς Δυῤῥαχίῳ στρατοπεδεύσας, ἔνθα ἐστὶν ἡ παρασκευὴ πᾶσα Πομπηΐου, δέον ἀποσπᾶν αὐτὸν ἑτέρωθι ἐς ὁμοίας ἀπορίας. καὶ τάδε εἰπὼν, ἐς Ἀπολλωνίαν εὐθὺς μετῄει, καὶ ἀπ' αὐτῆς ἐς Θεσσαλίαν νυκτὸς ὑπεχώρει λανθάνων· Γόμφους τε, πόλιν μικρὰν, οὐ δεχομένην αὐτὸν, ἐξεῖλεν ὑπὸ ὀργῆς, καὶ

Cæsar Appolloniam, inde Thessaliam petit; Gomphos expu-

Digitized by Google

καὶ ἐπέτρεψε τῷ στρατῷ διαρπάσαι. οἱ δ᾽ ὡς ἐκ λιμοῦ πάντων ἐνεπίπλαντο ἀθρόως, καὶ ἐμεθύσκοντο ἀπρεπῶς· καὶ μάλιστα αὐτῶν οἱ Γερμανοὶ γελοιότατοι κατὰ τὴν μέθην ἦσαν. ὥστε δοκεῖ καὶ τότε ἂν ὁ Πομπήϊος ἐπελθὼν ἐργάσασθαί τι λαμπρὸν, εἰ μὴ διώκειν ὅλως ὑπερεῖδεν ἐκ καταφρονήσεως· μέχρι Καῖσαρ ἑπτὰ συντόνως ἡμέραις ὁδεύσας, ἐστρατοπέδευσε περὶ Φάρσαλον. λέγεται δ᾽ ἐν τοῖς Γόμφοις γενέσθαι παθήματα γενναῖα, καὶ νεκροὺς τῶν ἐπιφανῶν γερόντων ἐν ἰατρείῳ φανῆναι, κυλίκων αὐτοῖς παρακειμένων ἀτρώτοις, εἴκοσι μὲν, ὡς ἐς μέθην κατακεκλιμένους ἐπὶ τὸ ἔδαφος· ἕνα δ᾽ ἐπὶ θρόνου παρακαθεζόμενον, οἷα ἰατρὸν, ὃς τὸ φάρμακον αὐτοῖς ἄρα παρέσχε.

> gnat & diripit; tandem circa Pharsalum castra metatur.

Πομπήϊος δ᾽ ἐπὶ τῇ Καίσαρος ἀναζεύξει βουλὴν προυτίθει· καὶ Ἀφρανίῳ μὲν ἐδόκει, τὸ ναυτικὸν, ᾧ δὴ καὶ πολὺ προύχεν, ἐπιπέμπειν Καίσαρι, καὶ ἐνοχλεῖν θαλασσοκρατοῦντας ἀλωμένῳ καὶ ἀποροῦντι· τὸ δὲ πεζὸν αὐτὸν Πομπήϊον ἄγειν κατὰ σπουδὴν ἐς τὴν Ἰταλίαν, εὔνουν τε πρὸς αὐτὸν οὖσαν, καὶ πολεμίων ἔρημον. κρατυνάμενον δ᾽ αὐτήν τε καὶ Γαλατίαν καὶ Ἰβηρίαν, ἐξ οἰκείας καὶ ἡγεμονίδος γῆς αὖθις ἐπιχειρεῖν Καίσαρι. ὁ δὲ καὶ ταῦτα, ἄριστα ἂν οἱ γενόμενα, παριδὼν, ἐπείθετο τοῖς λέγουσιν, αὐτίκα τὸν Καίσαρος στρατὸν μεταθήσεσθαι πρὸς αὐτὸν ὑπὸ τοῦ λιμοῦ, ἢ οὐ πολὺ σφίσιν ἔσεσθαι τὸ ἔτι λοιπὸν ἐπὶ τῇ κατὰ Δυῤῥάχιον γενομένῃ νίκῃ· τὸ δ᾽ ἐναντίον αἴσχιστον εἶναι, καταλιπεῖν φεύγοντα Καίσαρα, καὶ τοῖς ἡττηθεῖσιν ὁμοίως τὸν νικῶντα φεύγειν. ὁ μὲν δὴ τοῖσδε προσθέμενος, αἰδοῖ μάλιστα τῶν ἑῴων ἐθνῶν ἐς αὐτὸν ἀφορώντων, καὶ φειδοῖ Λευκίου Σκιπίωνος, μή τι περὶ Μακεδονίαν ὢν ἔτι πάθοι· μάλιστα δ᾽, ἐς ἀγῶνα χρήσασθαι θαῤῥοῦντι τῷ στρατῷ διανοούμενος· ἐπῆλθε, καὶ ἀντεστρατοπέδευσε τῷ Καίσαρι περὶ Φάρσαλον, καὶ τριάκοντα σταδίους ἀλλήλων ἀπεῖχον.

> cap. 65. Pompeji de continuatione belli consultatio. Afranii consilium de Italia Gallia & Hispania absente Cæsare adgredienda rejicit; Cæsarem potius persequendum censet, castraque castris ejus ad Pharsalum opponit.

Ἀγορὰ δὲ Πομπηΐῳ μὲν ἦν πανταχόθεν· οὕτω γὰρ αὐτῷ προδιῴκηντο καὶ ὁδοὶ καὶ λιμένες καὶ φρούρια, ὡς ἔκ τε γῆς αἰεὶ φέρεσθαι, καὶ διὰ θαλάσσης πάντα ἄνεμον αὐτῷ φέρειν. Καῖσαρ δὲ μόνον εἶχεν ὅ τι μόλις εὕροι καὶ λάβοι κακοπαθῶν. καὶ οὐδ᾽ ὣς αὐτὸν ἀπέλειπεν οὐδεὶς, ἀλλὰ σπουδῇ δαιμονίῳ συνενεχθῆναι τοῖς πολεμίοις

> cap. 66. Commeatu Pompejus abundans Cæsarem re frumentaria laborantem vult fame conficere.

μίοις ὠρέγοντο· καὶ ἡγῦντο, πολέμῳ μὲν εἶναι παρὰ πολὺ ἀμείνες νεοςρατεύτων ἔτι ὄντων, δέκα ἔτεσιν ἠσκημένοι. ὁ μὲν δὴ κρατίςῳ λογισμῷ τρίβειν τὸν πόλεμον ἐγνώκει, καὶ ἐς λιμὸν ἐκ λιμῦ τῦς πολεμίυς περιφέρειν.

cap. 67. Senatores vero & equites in castris Pompeji eum ad pugnam incitant.

Πολὺ δ' ἀμφ' αὐτὸν πλῆθος ἀνδρῶν ἀπό τε τῆς βυλῆς ὁμοτίμων οἱ, καὶ τῶν καλυμένων ἱππέων οἱ διαφανέςατοι, βασιλεῖς τε πολλοὶ καὶ δυνάςαι, οἱ μὲν ὑπ' ἀπειρίας, οἱ δ' ἀμέτρως τοῖς περὶ τὸ Δυῤῥάχιον εὐπραγήμασιν ἐπηρμένοι, εἰσὶ δ' οἳ καὶ τῷ πλέονες εἶναι τῶν πολεμίων, οἱ δὲ καὶ κάμνοντες ὅμως τῷ πολέμῳ τὴν κρίσιν ταχυτέραν μᾶλλον ἢ πρέπυσαν ἐπειγόμενοι γενέϑαι, πάντες ἐξώτρυνον αὐτὸν ἐς τὴν μάχην· ἐπιδεικνύοντες αἰεὶ τὸν Καίσαρα παρατάττοντά τε καὶ προκαλύμενον.

cap. 70. Cæsaris & Pompeji copiæ.

Στρατιὰ δ' ἦν, (ὡς ἐμοὶ δοκεῖ, πολλῶν ἀμφίλογα εἰπόντων, ἑπομένῳ μάλιστα Ῥωμαίων τοῖς τὰ πιθανώτατα γράφυσι περὶ τῶν ἐξ Ἰταλίας ἀνδρῶν· οἷς δὴ καὶ μάλιςα ϑαῤῥῦντες, τὰ συμμαχικὰ ὐκ ἀκριβῦσιν, ὐδὲ ἀναγράφυσιν, ὡς ἀλλότρια, καὶ ὀλίγην ἐν αὐτοῖς ἐς προσϑήκην χώραν ἔχοντα) Καίσαρι μὲν, ἐς δισχιλίυς ἐπὶ δισμυρίοις, καὶ τύτων ἱππεῖς ἦσαν ἀμφὶ τὺς χιλίυς· Πομπηΐῳ δὲ, ὑπὲρ τὸ διπλάσιον, καὶ τύτων ἱππεῖς ἐς ἑπτακισχιλίυς. ὧδε μὲν τοῖς τὰ πιθανώτατα λέγυσι δοκεῖ, μυριάδας ἑπτὰ ἀνδρῶν Ἰταλῶν συμπεσεῖν ἀλλήλοις ἐς μάχην. οἱ δ' ὀλιγωτέρυς ἑξακισμυρίων φασίν. οἱ δ', ὑπερεπαίροντες, τεσσαράκοντα μυριάδας γενέϑαι λέγυσι. καὶ τύτων οἱ μὲν ἡμιόλιον, οἱ δὲ ἐκ τριῶν νομίζυσιν ἀμφὶ τὰ δύο τῷ Πομπηΐῳ γενέϑαι μέρη. τοσάδε μὲν ἀμφιγνοῦσι περὶ τῦ ἀκριβῦς. ὅπως δ' ὖν εἶχε, τοῖσδε μάλιςα τοῖς ἐξ Ἰταλίας ἑκάτερος αὐτῶν ἐϑάῤῥει. τὸ δὲ συμμαχικὸν ἦν, Καίσαρι μὲν, ἱππεῖς τε Κελτοί, καὶ Κελτῶν τῶν ὑπὲρ Ἄλπεις ἀριϑμὸς ἄλλος· Ἑλλήνων δ' ἐπέλταζον αὐτῷ Δόλοπες, Ἀκαρνᾶνες, Αἰτωλοί. τοσοίδε μὲν τῷ Καίσαρι συνεμάχυν. Πομπηΐῳ δὲ, πάντα τὰ ἑῷα ἔϑνη κατὰ πλῆϑος, οἱ μὲν, ἐξ ἵππων, οἱ δὲ, πεζοί· ἀπὸ μὲν τῆς Ἑλλάδος, Λάκωνες, ὑπὸ τοῖς ἰδίοις βασιλεῦσι τασσόμενοι, καὶ ἡ ἄλλη Πελοπόννησος, καὶ Βοιωτοὶ μετ' αὐτῶν. ἐςράτευον δὲ καὶ Ἀϑηναῖοι, κηρυξάντων μὲν αὐτῦς ἑκατέρων μὴ ἀδικεῖν τὸν ςρατὸν, ὡς ἱερεῖς

ρεῖς τῶν θεσμοφόρων· πρὸς δὲ τὴν δόξαν ἄρα τȣ̃ πολέμȣ τραπέντες, ὡς ὑπὲρ τῆς Ῥωμαίων ἡγεμονίας ἀγωνιȣ́μενοι.

Ἐπὶ δὲ τοῖς Ἕλλησιν, ὀλίγȣ πάντες, ὅσοι περιϊόντι τὴν ἐν κύκλῳ θάλασσαν ἐπὶ τὴν ἕω, Θρᾷκές τε καὶ Ἑλλησπόντιοι, καὶ Βιθυνοὶ, καὶ Φρύγες, καὶ Ἴωνες, Λυδοί τε καὶ Παμφύλιοι, καὶ Πισίδαι, καὶ Παφλαγόνες, καὶ Κιλικία, καὶ Συρία, καὶ Φοινίκη, καὶ τὸ Ἑβραίων γένος, καὶ Ἄραβες οἱ τȣ́των ἐχόμενοι, Κύπριοί τε καὶ Ῥόδιοι, καὶ Κρῆτες σφενδονῆται, καὶ ὅσοι ἄλλοι νησιῶται. παρῆσαν δὲ καὶ βασιλεῖς καὶ δυνάσαι σρατὸν ἄγοντες· Δηϊόταρος μὲν, τετράρχης Γαλατῶν τῶν ἑῴων, Ἀριαράθης δὲ, Καππαδοκῶν βασιλεύς. Ἀρμενίȣς δὲ ἦγε τȣ̀ς ἐντὸς Εὐφράτȣ σρατηγὸς Ταξίλης, καὶ Ἀρμενίȣς τȣ̀ς ὑπὲρ Εὐφράτην Μεγαβάτης, ὕπαρχος Ἀρτάπα τȣ̃ βασιλέως. ἄλλοι τε μικροὶ δυνάσαι συνεπελαμβάνοντο τȣ̃ πόνȣ. λέγονται δὲ καὶ ἀπ' Αἰγύπτȣ νῆες ἑξήκοντα αὐτῷ παραγενέσθαι παρὰ τῶν Αἰγύπτȣ βασιλέων, Κλεοπάτρας τε καὶ τȣ̃ ἀδελφȣ̃ παιδὸς ἔτι ὄντος. ἀλλ' αἵδε μὲν ȣ̓ συνεμάχησαν· ȣ̓δὲ γὰρ τὸ ἄλλο ναυτικὸν, ἀλλ' ἐπὶ ἀργίας ἐν Κερκύρᾳ κατέμενε. καὶ δοκεῖ Πομπήϊος τόδε μάλισα ἀφρόνως ἐργάσασθαι, τῶν μὲν νεῶν καταφρονήσας· αἷς δὴ πολὺ προȣ̈́χων, ἐδύνατο πανταχȣ̃ τὴν ἐπακτὸν ἀγορὰν τȣ̀ς πολεμίȣς ἀφαιρεῖσθαι· ἐν δὲ ἀγῶνι πεζῷ συνενεχθεὶς ἀνδράσιν ἐκ πόνȣ πολλȣ̃ μεγαλαύχοις τε καὶ θηριώδεσιν ἐς μάχας γενομένοις. ἀλλ' αὐτὸν, αὐτȣ̀ς φυλαξάμενον περὶ Δυῤῥάχιον, θεοβλάβεια δοκεῖ παραγαγεῖν, ἐν καιρῷ μάλισα δὴ πάντων ἥδε τῷ Καίσαρι γενομένη. διὰ γὰρ αὐτὴν ὁ σρατὸς ὁ τȣ̃ Πομπηΐȣ κȣφόνως μάλα ἐπήρθη, καὶ τȣ̃ σρατηγȣ̃ σφῶν κατεκράτησαν, καὶ ἐς τὸ ἔργον ἀπειροπολέμως ἐτράποντο. ἀλλὰ τάδε μὲν ᾠκονόμει θεὸς ἐς ἀρχὴν τῆσδε τῆς νῦν ἐπεχȣ́σης τὰ πάντα ἡγεμονίας.

Τότε δ' αὐτῶν τὴν σρατιὰν ἑκάτερος συναγαγὼν, ἐπώτρυνε. Πομπήϊος μὲν, τοιάδε λέγων· ὑμεῖς, ὦ συσρατιῶται, σρατηγεῖτε τȣ̃ πόνȣ μᾶλλον, ἢ σρατεύεσθε. αὐτοὶ γὰρ, ἐμȣ̃ τὰ Καίσαρος ἐκτρύχειν ἔτι βȣλομένȣ, τὸν ἀγῶνα τόνδε προȣκαλέσασθε. ὡς ȣ̃ν ἀγωνοθέται τῆς μάχης,

cap. 71.

Pompejus parum prudenter classibus, quibus præpollet, uti negligit.

Clades Dyrrhachina quam Cæsari profuerit.

cap. 72. Pompeji, suos hortantis, oratio.

Digitized by Google

μάχης, χρήσασθε μὲν, ὡς ἐλάττοσι πολὺ πλείονες· καταφρονεῖτε δὲ ὡς ἡσσημένων νενικηκότες, καὶ γερόντων νέοι, καὶ πολλὰ κεκμηκότων ἀκμῆτες ἄνδρες. οἷς ὑπάρχει δύναμις τοσήδε καὶ παρασκευή, καὶ τὸ συνειδὸς αὐτὸ τῆς αἰτίας. ὑπὲρ γὰρ ἐλευθερίας καὶ πατρίδος ἀγωνιζόμεθα, μετὰ νόμων καὶ δόξης ἀγαθῆς, καὶ τοσῶνδε ἀνδρῶν, τῶν μὲν ἀπὸ βουλῆς, τῶν δ' ἱππέων, πρὸς ἄνδρα ἕνα λῃστεύοντα τὴν ἡγεμονίαν. ἴτε οὖν, ὡς ἠξιοῦτε, μετ' ἀγαθῆς ἐλπίδος· ἐν ὄψει τιθέμενοι τήν τε φυγὴν αὐτῶν τὴν περὶ τὸ Δυῤῥάχιον γενομένην, καὶ ὅσα σημεῖα μιᾶς ἡμέρας κρατοῦντες αὐτῶν ἐλάβομεν." ὁ μὲν δὴ Πομπήϊος ὧδε ἔλεγεν.

cap. 73. Cæsaris suos hortantis oratio.

Ὁ δὲ Καῖσαρ τοῖς ἰδίοις τοιάδε· τὰ μὲν δυσχερέστερα ἤδη νενικήκαμεν, ὦ φίλοι. ἀντὶ γὰρ λιμοῦ καὶ ἀπορίας, ἀνδράσι μαχούμεθα. ἥδε δ' ἡ ἡμέρα κρινεῖ πάντα. μέμνησθέ μοι τῆς περὶ τὸ Δυῤῥάχιον ἐπαγγελίας, καὶ ὧν ἐφορῶντος ἐμοῦ συνώμνυσθε ἀλλήλοις, μὴ νικῶντες οὐδ' ἐπανήξειν. οἵδε εἰσὶν, ὦ ἄνδρες, ἐφ' οὓς ἐξ Ἡρακλείων στηλῶν ἤλθομεν· οἵδε οἱ περιφυγόντες ἡμᾶς ἐξ Ἰταλίας· οἱ τοὺς δέκα ἔτεσιν ἀθλοῦντας ἡμᾶς, καὶ πολέμους τοσούσδε καὶ νίκας δυσαριθμήτους ἀνύσαντας, καὶ Ἰβήρων καὶ Κελτῶν καὶ Βρεττανῶν ἔθνη τετρακόσια περιποιήσαντας τῇ πατρίδι, διέλυον ἀγεράστους ἄνευ θριάμβου τε καὶ δωρεᾶς. καὶ οὐδ' ἐς τὰ δίκαια αὐτοὺς ἐγὼ προκαλούμενος ἔπειθον, οὐδὲ χάρισιν ἐξήνυον. ἴστε, οὓς μεθῆκα καὶ ἀπαθεῖς, ἐλπίσας ἡμῖν τι παρ' αὐτῶν ἔσεσθαι δίκαιον. τῶνδε οὖν μοι τήμερον ἀθρόων ἀνενέγκατε: καὶ τῆς ἐμῆς πρὸς ὑμᾶς, εἴ τι σύνιστέ μοι, κηδεμονίας ἢ πίστεως, ἢ δωρεῶν μεγαλοφροσύνης.

cap. 74.

Ἔστι δὲ οὐ δυσχερὲς, νεοστρατεύτων καὶ ἀπειροπολέμων ἔτι πολυπόνους ἀγωνιστὰς περιγενέσθαι· ἄλλως τε, καὶ μειρακιωδῶς ἐς ἀταξίαν καὶ δυσπείθειαν τοῦ στρατηγοῦ τραπέντων. ὃν ἐγὼ πυνθάνομαι δεδιότα καὶ ἄκοντα χωρεῖν ἐπὶ τὸ ἔργον, τύχῃ τε παρακμάζοντα ἤδη, καὶ νωθῆ καὶ βραδὺν ἐς ἅπαντα γεγενημένον, καὶ οὐδὲ στρατηγοῦντα ἔτι μᾶλλον ἢ στρατηγούμενον. καὶ τάδε μοι περὶ μόνων ἐστὶ τῶν Ἰταλῶν. ἐπεὶ τῶν γε συμμάχων μηδὲ φροντίζετε, μηδ' ἐν λόγῳ τίθεσθε, μηδὲ μάχεσθε ὅλως ἐκείνοις. ἀνδράποδα ταῦτ' ἐστὶ Σύρια καὶ Φρύγια καὶ Λύδια, φεύγειν ἀεὶ

Digitized by Google

ἀεὶ καὶ δουλεύειν ἕτοιμα· οἷς, ἐγὼ σαφῶς οἶδα, καὶ ὑμεῖς δὲ αὐτίκα ὄψεσθε, οὐδὲ Πομπήϊον αὐτὸν τάξιν ἐγγυῶντα πολέμου. ἔχεσθε οὖν μοι τῶν Ἰταλῶν μόνων, κἂν οἱ σύμμαχοι δίκην κυνῶν περιθέωσιν ὑμᾶς καὶ θορυβοποιῶσι. τρεψάμενοι δ' αὐτοὺς, τῶνδε μὲν ὡς συγγενῶν φειδώμεθα, τοὺς δὲ συμμάχους ἐς τὴν τῶνδε κατάπληξιν ἐξεργάσασθε. πρὸ δὲ πάντων, ὡς ἂν εἰδείην ὑμᾶς, ἔγωγε ὧν συνετίθεσθε μεμνημένους τε, καὶ νίκην πάντως ἢ θάνατον αἱρουμένους, καθέλετέ μοι προϊόντες ἐπὶ τὴν μάχην τὰ τείχη τὰ σφέτερα αὐτῶν, καὶ τὴν τάφρον ἐγχώσατε· ἵνα μηδὲν ἔχωμεν, ἂν μὴ κρατῶμεν· ἴδωσι δ' ἡμᾶς ἀσταθμεύτους οἱ πολέμιοι, καὶ συνῶσιν ὅτι πρὸς ἀνάγκης ἐστὶν ἡμῖν ἐν τοῖς ἐκείνων σταθμεῦσαι.

Cæsar jubet milites vallum convellere fossa que compler ag gere, ut nihil supersit, nisi vincant.

Ὁ μὲν, τοσάδε εἰπὼν, φυλακὴν ὅμως τῶν σκηνῶν κατέπεμπε, δισχιλίους τοὺς πάνυ γέροντας. οἱ δ' ἐξιόντες, τὸ τεῖχος ἤρειπον μετὰ σιωπῆς βαθυτάτης, καὶ ἐς τὴν τάφρον αὐτὸ ἐνεχώννυον. ὁρῶν δ' ὁ Πομπήϊος, ἡγουμένων τινῶν ἐς φυγὴν αὐτοὺς συσκευάζεσθαι, συνίει τοῦ τολμήματος, καὶ ἔστενε καθ' αὐτὸν, ὅτι χωροῦσιν ἐς χεῖρας θηρίοις, λιμὸν ἔχοντες, ἄξιον θηρίων φάρμακον. ἀλλ' οὐ γὰρ ἦν ἀναδῦναι ἔτι, τῶν πραγμάτων ὄντων ἐπὶ ξυροῦ. διὸ δὴ καὶ τετρακισχιλίους τῶν Ἰταλῶν φύλακας τοῦ στρατοπέδου καταλιπὼν, παρέτασσε τοὺς λοιποὺς, ἐς τὸ μεταξὺ Φαρσάλου τε πόλεως καὶ Ἐνιπέως ποταμοῦ, ἔνθα καὶ ὁ Καῖσαρ ἀντιδιεκόσμει· τοὺς μὲν Ἰταλοὺς ἑκάτερος αὐτῶν ἐς τρία διαιρῶν ἐπὶ μετώπου, μικρὸν ἀλλήλων διεστῶτας, καὶ τοὺς ἱππέας ἐπὶ τοῖς κέρασι τοῖς κατὰ μέρη τάσσων. τοξόται δὲ πᾶσιν ἀναμεμίχατο καὶ σφενδονῆται. καὶ τὸ μὲν Ἰταλικὸν οὕτω κεκόσμητο, ᾧ δὴ καὶ μάλιστα αὐτῶν ἑκάτερος ἐθάῤῥει. τὰ συμμαχικὰ δ' ἦγον ἐφ' ἑαυτῶν, ὡς ἐς ἐπίδειξιν. πολύθρουν δὲ ἦν τὸ Πομπηΐου συμμαχικὸν καὶ πολύγλωσσον· καὶ αὐτῶν ὁ Πομπήϊος Μακεδόνας μὲν καὶ Πελοποννησίους καὶ Βοιωτοὺς καὶ Ἀθηναίους, ἀποδεξάμενος τῆς εὐταξίας καὶ σιωπῆς, παρεστήσατο τῇ φάλαγγι τῇ Ἰταλικῇ· τοὺς δὲ ἄλλους (ὅπερ ὁ Καῖσαρ εἴκαζεν) ἔξω τάξεως ἐκέλευσε κατὰ φυλὰς ἐφεδρεύοντας, ὅταν ἐν χερσὶν ὁ ἀγὼν γένηται, κυκλοῦσθαι τοὺς

cap. 75. Pompejus, animadversa hac audacia, ingemiscens exercitum ducit in aciem inter Pharsalum & Enipeum fl., ubi & ex adverso Cæsar suos instruit.

Uterque Romanas legiones, in quibus erat tota fiducia, in fronte collocat; auxilia seorsim.

πολε-

Digitized by Google

πολεμίους, καὶ διώκειν, ὅσα δύναιντο βλάπτοντας, καὶ τὸ στρατόπεδον αὐτὸ Καίσαρος, ἀχαράκωτον ὄν, διαρπάζειν.

cap. 76. Duces utriusque exercitus.

Ἡγοῦντο δὲ τῆς φάλαγγος, Πομπηΐου μὲν, ὁ κηδεστὴς Σκιπίων ἐν μέσῳ, καὶ ἐπὶ τοῦ λαιοῦ Δομίτιος, ἐπὶ δὲ τοῦ δεξιοῦ Λέντλος· Ἀφράνιος δὲ καὶ Πομπήϊος τὸ στρατόπεδον ἐφύλαττον. Καίσαρι δ' ἐστρατήγουν μὲν Σύλλας καὶ Ἀντώνιος καὶ Δομίτιος· αὐτὸς δ' ἐπικαίρως συνετάσσετο τῷ δεκάτῳ τέλει, καθάπερ ἦν ἔθος αὐτῷ. καὶ τοῦτ' ἰδόντες οἱ πολέμιοι, μετήγαγον ἐπ' αὐτὸ τοὺς ἀρίστους τῶν ἱππέων, ἵνα πλέονες ὄντες, εἰ δυνηθεῖεν, κυκλώσαιντο. συνεὶς δὲ ὁ Καῖσαρ, τρισχιλίους εὐτολμοτάτους πεζοὺς ἐνήδρευσεν, οἷς ἐκέλευσεν, ὅταν αἴσθωνται τοὺς πολεμίους περιθέοντας, ἀναπηδᾶν, καὶ τὰ δόρατα ἐσπηδῶντας ἀνίσχειν ὀρθὰ ἐς τὰ πρόσωπα τῶν ἀνδρῶν· οὐ γὰρ οἴσειν ἀπείρους καὶ νέους, ὡραϊζομένους ἔτι, τὸν ἐς τὰ πρόσωπα κίνδυνον. οἱ μὲν δὴ τοιάδε κατ' ἀλλήλων ἐμηχανῶντο, καὶ περιῄεσαν ἑκάστους, καθιστάμενοι τά τε ἐπείγοντα, καὶ ἐς εὐτολμίαν παρακαλοῦντες, καὶ τὰ συνθήματα ἀναδιδόντες, ὁ μὲν Καῖσαρ, Ἀφροδίτην νικηφόρον· ὁ δὲ Πομπήϊος, Ἡρακλέα ἀνίκητον.

Pompejus decimam legionem fortissimis equitum circumvenire studet; Cæsar audacissimos peditum hastis jubet faciem circumventurorum petere.

cap. 78. Pompejus veritus, ne auxiliis parum ordines servantibus ante initium pugnæ ceterorum ordines turbarentur, jubet prior signa canere.

Μέλλουσι δ' ἔτι, καὶ ἐς ἀλλήλους ἀποβλέπουσιν, ἡ ἡμέρα προὔκοπτε. καὶ τὸ μὲν Ἰταλικὸν ἅπαν ἐυσταθῶς ἐφ' ἡσυχίας ἀκριβοῦς ἀνέμενε· τὸ δὲ συμμαχικὸν ὁ Πομπήϊος αὐτοῦ ταρασσόμενον ὁρῶν ὑπὸ τῆς μελλήσεως, καὶ δείσας μὴ πρὸ τοῦ ἀγῶνος ἀταξίας κατάρξειεν, ὑπεσήμαινε πρῶτος, καὶ ἀντήχησε Καῖσαρ. αὐτίκα δ' αἵ τε σάλπιγγες αὐτοὺς ἐξώτρυνον ὀρθίοις κλαγγαῖς, ὡς ἐν τοσῷδε πλήθει πολλαὶ κατὰ μέρη· καὶ οἱ κήρυκες καὶ οἱ ἐπιστάται περιθέοντες ἤπειγον. οἱ δὲ σοβαρῶς ἀλλήλοις ἐπῄεσαν, μετά τε θάμβους καὶ σιωπῆς βαθυτάτης, ὡς πολλῶν ἀγώνων τοιῶνδε ἐμπειροπόλεμοι. πλησιάζουσι δ' αὐτοῖς ἤδη, τόξα καὶ λίθοι πρῶτον ἦν, καὶ τῶν ἱππέων βραχὺ τὰ πεζὰ προλαβόντων πεῖραί τε καὶ ἐπελάσεις ἐπ' ἀλλήλους. καὶ προὔχοντες οἱ τοῦ Πομπηΐου, τὸ δέκατον τέλος ἐκυκλοῦντο. Καίσαρος δὲ τὸ σημεῖον τοῖς ἐφεδρεύουσιν ἄραντος, οἱ μὲν, ἐξαναστάντες, ἐς τοὺς ἵππους ἐχώρουν, ὀρθοῖς ἄνω τοῖς δόρασιν ἐς τὰ πρόσωπα τύπτοντες τοὺς ἐπικαθημένους. οἱ δ', οὐκ ἐνεγκόντες αὐτῶν οὔτε τὴν ἀπόνοι-

Pompejani legionem decimam circumventuri hastis in faciem directis in fugam projiciuntur.

πόνοιαν, ὅτε τὰς ἐπὶ σόμα καὶ κατ' ὀφθαλμὲς πληγὰς, ἔφευγον ἀκόσμως. καὶ τὸ ἐνταῦθα πεζὸν, εὐθὺς ἱππέων ἔρημον γενόμενον, ἐκυκλῦντο οἱ τῦ Καίσαρος ἱππεῖς, αὐτοὶ δείσαντες περικύκλωσιν.

Πομπήϊος δὲ, πυθόμενος, ἐκέλευε τοῖς πεζοῖς, μήτ' ἐπεκθεῖν ἔτι, μήτ' ἐκτρέχειν ἐκ τῆς φάλαγγος, μηδ' ἀκοντίζειν, ἀλλ' ἐν προβολῇ διασάντας ἀμύνεσθαι διὰ χειρὸς τοῖς δόρασι τὲς ἐπιόντας. καὶ τόδε τινὲς αὐτῦ τὸ σρατήγημα ἐπαινῦσιν, ὡς ἄρισον ἐν περικυκλώσει· ὁ δὲ Καῖσαρ ἐν ταῖς Ἐπισολαῖς καταμέμφεται. τάς τε γὰρ πληγὰς ὑπὸ τῆς βολῆς εὐτονωτέρας γίγνεσθαι, καὶ τὲς ἄνδρας ὑπὸ τῦ δρόμυ προθυμοτέρυς· ἑςῶτας δ' ἀποψύχεσθαί τε, καὶ τοῖς ἐπιθέυσιν εὐβλήτυς δι' ἀτρεμίαν, οἷα σκοπὺς, εἶναι. ὃ καὶ τότε γενέσθαι. τὸ γὰρ δέκατον τέλος σὺν αὐτῷ περιδραμεῖν τὰ λαιὰ τῦ Πομπηΐυ, ἔρημα ἱππέων γενόμενα, καὶ πανταχόθεν ἀτρεμῦντας ἐς τὰ πλευρὰ ἐσακοντίζειν· μέχρι θορυβυμένοις ἐμπεσόντας βίᾳ τρέψασθαι, καὶ τῆς νίκης κατάρξαι. κατὰ δὲ τὸ ἄλλο πλῆθος, ἦν ἔτι τραυμάτων καὶ φόνων ἔργα πολλὰ καὶ ποικίλα· βοὴ δὲ ὐδεμία ἐκ τοσῆσδε φάλαγγος τοιάδε δρώσης, ὐδ' οἰμωγαὶ τῶν ἀναιρυμένων ἢ πλησσομένων· ἀλλὰ βρυχήματα μόνα καὶ σόνοι, πιπτόντων, ἔνθα συνετάχθησαν, εὐσχημόνως. οἱ σύμμαχοι δὲ, καθάπερ ἀγῶνα πολέμυ θεώμενοι, κατεπλήσσοντο τὴν εὐταξίαν, καὶ ὅτε ἐς τὰς σκηνὰς τῦ Καίσαρος ἐτόλμων, ὑπὸ θαύματος, (ὀλίγων αὐτὰς καὶ πρεσβυτέρων ἀνδρῶν φυλασσόντων) περιδραμεῖν, ὅτε τι ἄλλο ἢ ἑςῶτες ἐθάμβυν.

Ὡς δὲ ἐνέδωκε τὸ λαιὸν τῦ Πομπηΐυ, αὐτοὶ μὲν καὶ τότε βάδην ὑπεχώρυν ἅμα καὶ συνεπλέκοντο· οἱ δὲ σύμμαχοι προτροπάδην ἔφευγον ἄπρακτοι, βοῶντες, Ἡσσήμεθα· καὶ τὰς σκηνὰς σφῶν αὐτοὶ καὶ τὰ χαρακώματα ὡς ἀλλότρια προλαβόντες, διέσπων καὶ διήρπαζον ἐς τὴν φυγὴν ὅ τι δύναιντο ἐπάγεσθαι. ἤδη δὲ καὶ τὸ ἄλλο τῶν Ἰταλῶν ὁπλιτικὸν τῆς ἐπὶ τάδε ἥσσης αἰσθανόμενον, ὑπεχώρει κατὰ πόδα, πρῶτον ἐν κόσμῳ, καὶ ἔτι ἐκ τῶν δυνατῶν ἀμυνόμενοι· ἐπικειμένων δ' αὐτοῖς, ὡς ἐν εὐπραξίᾳ, τῶν πολεμίων, ἐςράφησαν ἐς φυγήν. καὶ ὁ Καῖσαρ εὐμηχάνως δὴ τότε μάλισα, ἵνα μὴ συνελ-

cap. 79. Pompejus pedites parum prudenter jubet stantes prætentis hastis impetum irruentium hostium excipere.

Auxiliares spectatores tantum adstant attonitis similes.

cap. 80. Sinistro Pompejanorum cornu inclinato auxiliares fuga castra sua petunt.

Cum ceteræ etiam legio-

Digitized by Google

nes in fugam versæ essent, Cæsar edicit suis, parcant civibus & in sola sæviant auxilia.

ἔλθοιεν αὖθις, μηδὲ τὸ ἔργον γένοιτο μάχης μιᾶς, ἀλλὰ παντὸς τοῦ πολέμου, κήρυκας ἐς τὰς τάξεις πανταχοῦ περιέπεμπεν, οἳ τοῖς νικῶσιν ἐκέλευον ἀψαυσεῖν τῶν ὁμοεθνῶν, ἐπὶ δὲ τοὺς συμμάχους μόνους χωρεῖν. καὶ τοῖς ἡσσωμένοις προσεπέλαζον, παραινοῦντες ἀδεῶς ἑστάναι. ἀνήρ τε παρ' ἀνδρὸς ἐκμανθάνων τὸ κήρυγμα, εἱστήκει· καὶ σύμβολον ἤδη τοῦτο τῶν Πομπηΐου στρατιωτῶν ἦν, τὸ ἀδεῶς ἑστάναι· τὰ ἄλλα, ὡς Ἰταλῶν, ὁμοιοτρόπως ἐσκευασμένων τε καὶ φωνὴν ὁμοίαν ἀφιέντων. διεκθέοντες δ' αὐτοὺς οἱ τοῦ Καίσαρος, τοὺς συμμάχους οὐ δυναμένους ἀντέχειν ἀνῄρουν· καὶ ὁ πλεῖστος ἐνταῦθα ἐγίγνετο φόνος.

cap. 81. Pompejus in castra se gradatim recipit.

Πομπήϊος δ' ἐπειδὴ τὴν τροπὴν εἶδεν, ἔκφρων αὐτοῦ γενόμενος, ἀπῄει βάδην ἐς τὸ στρατόπεδον, καὶ παρελθὼν ἐς τὴν σκηνήν, ἐκαθέζετο ἄναυδος· οἷόν τι καὶ τὸν Τελαμῶνος Αἴαντά φασιν ἐν Ἰλίῳ παθεῖν, ἐν μέσοις πολεμίοις, ὑπὸ θεοβλαβείας. τῶν δ' ἄλλων ὀλίγοι πάνυ ἐσῄεσαν ἐς τὸ στρατόπεδον. τὸ γὰρ κήρυγμα τοῦ Καίσαρος ἑστάναι τε ἀκινδύνως ἐποίει, καὶ παραδραμόντων τῶν πολεμίων, διεσκίδνη κατὰ μέρος.

Sub vesperam monet Cæsar suos, ut expugnatis castris totum bellum conficiant.

ληγούσης δὲ τῆς ἡμέρας, ὁ Καῖσαρ τὸν στρατὸν ἀσχέτως που περιθέων, ἱκέτευε προσπονῆσαι, μέχρι καὶ τὸν χάρακα τοῦ Πομπηΐου λάβοιεν· ἐκδιδάσκων, ὅτι, εἰ συσταῖεν αὖθις οἱ πολέμιοι, μίαν ἡμέραν ἔσονται νενικηκότες· εἰ δὲ τὸ στρατόπεδον αὐτῶν ἕλοιεν, τὸν πόλεμον ἑνὶ τῷδε ἔργῳ κατωρθωκότες ἂν εἶεν. τάς τε οὖν χεῖρας αὐτοῖς ὤρεγε, καὶ πρῶτος ἐξῆρχε δρόμου. τοῖς δὲ τὰ μὲν σώματα ἔκαμνε, τὴν δὲ ψυχὴν ὅ τε λογισμὸς καὶ ὁ αὐτοκράτωρ συντρέχων ἐκούφιζεν. ἠώρει δὲ καὶ ἡ τῶν γεγονότων εὐπραξία καὶ ἐλπὶς, ὅτι καὶ τὸν χάρακα αἱρήσουσι καὶ πολλὰ τὰ ἐν αὐτῷ. ἥκιστα δ' ἐν ἐλπίσιν ἢ εὐτυχίαις ἄνθρωποι καμάτων αἰσθάνονται. οἱ μὲν δὴ καὶ τῷδε προσπεσόντες, ἐπεχείρουν σὺν πολλῇ πρὸς τοὺς ἀπομαχομένους καταφρονήσει.

Pompejus Larissam fugit, Cæsar vero intra Pompeji vallum diversatur.

ὁ δὲ Πομπήϊος μαθὼν, ἐξ ἀλλοκότου σιωπῆς τοσοῦτον ἀπέρρηξεν· οὐκοῦν καὶ ἐπὶ τὸν χάρακα ἡμῶν; καὶ εἰπὼν, τήν τε στολὴν ἐνήλλαξε, καὶ ἵππου ἐπιβὰς σὺν φίλοις τέσσαρσιν, οὐκ ἀνέσχε δρόμου, πρὶν ἀρχομένης ἡμέρας ἐν Λαρίσσῃ γενέσθαι. ὁ δὲ Καῖσαρ, ὡς ἐπηπείλησε παρατάσσων, ἐν τῷ Πομπηΐου χάρακι ἐστάθμευσε, καὶ αὐτός τε τὴν ἐκεί-

νου

Digitized by Google

νυ βρώμην, καὶ ὁ στρατὸς ἅπας τὴν τῶν πολεμίων ἐδαίσαντο.

Ἀπέθανον δὲ ἑκατέρων, τῶν γε Ἰταλῶν, (ὐ γὰρ δὴ τῶν γε συμμάχων ὐδ' ἐξαρίθμησις ἐγένετο, ὑπὸ πλήθυς καὶ καταφρονήσεως) ἐκ μὲν τῦ Καίσαρος στρατῦ, τριάκοντα λοχαγοὶ, καὶ ὁπλῖται διακόσιοι, ἢ (ὡς ἑτέροις δοκεῖ) χίλιοι καὶ διακόσιοι· ἐκ δὲ τῶν Πομπηΐυ, βυλευταὶ μὲν δέκα, ὧν ἦν καὶ Λεύκιος Δομίτιος, ὁ αὐτῷ Καίσαρι πεμφθεὶς ἐπὶ τὴν Γαλατίαν διάδοχος· τῶν δὲ καλυμένων ἱππέων, ἀμφὶ τεσσαράκοντα τῶν ἐπιφανῶν· ἐκ δὲ τῆς ἄλλης στρατιᾶς, οἱ μὲν ἐπαίροντές φασι δισμυρίυς ἐπὶ πεντακισχιλίοις. Ἀσίνιος δὲ Πολλίων, ὑπὸ Καίσαρι τῆς μάχης ἐκείνης στρατηγῶν, ἑξακισχιλίυς ἀναγράφει νεκρὺς εὑρεθῆναι τῶν Πομπηΐυ. τῦτο τέλος ἦν τῆς ἀοιδίμυ περὶ Φάρσαλον μάχης. ἀριστεῖα δ' ὁ μὲν Καῖσαρ αὐτὸς καὶ πρῶτα καὶ δεύτερα ἐκ πάντων ἐφέρετο, ὁμολογύμενος ἀριστεῦσαι, καὶ σὺν αὐτῷ τὸ τέλος τὸ δέκατον· τὰ δὲ τρίτα Κράστινος λοχαγὸς, ὃν Καῖσαρ μὲν ἐξιὼν ἐπὶ τὴν μάχην, ἤρετο, ὅ τι προσδοκῴη· ὁ δὲ λαμπρῶς ἀνεβόησε, Νικήσομεν, ὦ Καῖσαρ· κἀμὲ ἢ ζῶντα ἢ νεκρὸν ἀποδέξῃ. ἡ στρατιὰ δ' ἐμαρτύρει, καθάπερ ἔνθεν ἐς ἑκάστην τάξιν διαθέοντα, πολλὰ καὶ λαμπρὰ δρᾶσαι. ἐπεὶ δὲ ζητύμενος ἐν τοῖς νεκροῖς εὑρέθη, τὰ ἀριστεῖα ὁ Καῖσαρ αὐτῷ περιέθηκε καὶ συνέθαψε, καὶ τάφον ἐξαίρετον ἀνέστησεν ἐγγὺς τῦ πολυανδρίυ.

cap. 82. Cæsorum numerus.

Cæsaris, decimæ legionis & Crastini centurionis egregia facinora.

Ὁ δὲ Πομπήϊος ἐκ Λαρίσσης ὁμοίῳ δρόμῳ μέχρι θαλάσσης ἐπειχθεὶς, σκάφυς ἐπέβη σμικρῦ, καὶ νεὼς παραπλεύσης ἐπιτυχὼν, ἐς Μιτυλήνην διέπλευσεν· ὅθεν τὴν γυναῖκα Κορνηλίαν ἀναλαβὼν, καὶ τριηρῶν τεσσάρων ἐπιβὰς, αἳ αὐτῷ παρά τε Ῥοδίων καὶ Τυρίων ἀφίκοντο, Κερκύρας μὲν καὶ τότε καὶ Λιβύης ὑπερεῖδεν, ἔνθα αὐτῷ στρατὸς ἦν ἄλλος πολὺς, καὶ ναυτικὸν ἀκραιφνές. ἐπὶ δὲ τὴν ἕω φερόμενος, ἐπὶ τὸν Παρθυαῖον, ὡς δι' ἐκείνυ πάντα ἀναληψόμενος, τὸ ἐνθύμημα ἐπέκρυπτε, μέχρι περὶ τὴν Κιλικίαν μόλις ἐξέφερε τοῖς φίλοις. οἱ δὲ αὐτὸν ἠξίυν φυλάσσεσθαι τὸν Παρθυαῖον, ἐπιβεβυλευμένον τε ἔναγχος ὑπὸ Κράσσυ, καὶ θυμύμενον ἔτι τῇ Κράσσυ συμφορᾷ· μηδ' ἐς ἀκρατεῖς βαρβάρυς ἄγειν εὐπρεπῆ γυναῖκα Κορ-

cap. 83. Pompejus e Larissa trajicit Mitylenen, neglectaque Africa, ubi habebat exercitum & classem, primum Parthorum regem petere mavult, deinde Aegyptum.

Κορνηλίαν, Κράσσου μάλιστα γεγενημένην. δεύτερα δ' αὐτοῦ προθέντος περί τε Αἰγύπτου καὶ Ἰόβα, Ἰόβα μὲν ὑπερεώρων, ὡς ἀδόξου· ἐς δὲ τὴν Αἴγυπτον αὐτῷ συνεφρόνουν, ἐγγύς τε οὖσαν, καὶ μεγάλην ἀρχὴν, ἔτι δὲ καὶ εὐδαίμονα, καὶ δυνατὴν ναυσὶ καὶ σίτῳ καὶ χρήμασι. τοὺς τε βασιλεύοντας αὐτῆς, εἰ καὶ παῖδές εἰσι, πατρικοὺς εἶναι τῷ Πομπηΐῳ φίλους. ὁ μὲν δὴ διὰ τάδε ἐς τὴν Αἴγυπτον ἔπλει.

cap. 84. Pompejus Ptolemæo, tunc circa montem Cassium moranti, adventum suum nunciandum curat.

Ἄρτι δ' ἐκπεσούσης ἀπ' Αἰγύπτου Κλεοπάτρας, ἣ τῷ ἀδελφῷ συνῆρχε, καὶ στρατὸν ἀμφὶ τὴν Συρίαν ἀγειρούσης, Πτολεμαῖος, ὁ τῆς Κλεοπάτρας ἀδελφὸς, ἀμφὶ τὸ Κάσσιον τῆς Αἰγύπτου ταῖς Κλεοπάτρας ἐσβολαῖς ἐφήδρευε· καί πως κατὰ δαίμονα ἐς τὸ Κάσσιον τὸ πνεῦμα τὸν Πομπήϊον κατέφερε. θεασάμενος δὲ στρατὸν ἐπὶ τῆς γῆς πολὺν, ἔστησε τὸν πλοῦν, καὶ εἴκασεν ὅπερ ἦν, παρεῖναι τὸν βασιλέα. πέμψας τε ἔφραζε περὶ ἑαυτοῦ καὶ τῆς τοῦ πατρὸς φιλίας. ὁ δὲ ἦν μὲν ἐπὶ τρισκαίδεκα ἔτη μάλιστα γεγονώς· ἐπετρόπευον δ' αὐτῷ, τὴν μὲν στρατιὰν Ἀχιλλᾶς, τὰ δὲ χρήματα Ποθεινὸς εὐνοῦχος· οἳ βουλὴν προὐτίθεντο περὶ τοῦ Πομπηΐου.

Rex, Theodoto rhetore auctore, Pompejum per insidias tolli decernit.

καὶ παρὼν ὁ Σάμιος Θεόδοτος ὁ ῥήτωρ, διδάσκαλος ὢν τοῦ παιδὸς, ἀθέμιστον εἰσηγεῖτο ἔργον, ἐνεδρεῦσαι καὶ κτεῖναι Πομπήϊον, ὡς χαριουμένους Καίσαρι. κυρωθείσης δὲ τῆς γνώμης, σκάφος εὐτελὲς ἐπ' αὐτὸν ἐπέμπετο, ὡς τῆς θαλάσσης οὔσης ἀλιτενοῦς, καὶ μεγάλαις ναυσὶν οὐκ εὐχεροῦς· ὑπηρέται τέ τινες τῶν βασιλικῶν ἐνέβαινον ἐς τὸ σκάφος· καὶ Σεμπρώνιος, ἀνὴρ Ῥωμαῖος, τότε μὲν τῷ βασιλεῖ, πάλαι δὲ αὐτῷ Πομπηΐῳ, στρατευσάμενος, δεξιὰν ἔφερε παρὰ τοῦ βασιλέως τῷ Πομπηΐῳ, καὶ ἐκέλευεν ὡς ἐς φίλον τὸν παῖδα διαπλεῦσαι. ἅμα δὲ ταῦτ' ἐγίγνετο, καὶ ὁ στρατὸς, ὥσπερ ἐπὶ τιμῇ τοῦ Πομπηΐου, παρὰ τὸν αἰγιαλὸν ἐξετάσσετο ἅπας· καὶ ὁ βασιλεὺς ἐν μέσῳ τῇ φοινικίδι κατάδηλος ἦν περικειμένῃ.

cap. 85. Vili navicula sine comitatu regio accersitus Pompejus statim suspicatus est insidias;

Ὁ δὲ Πομπήϊος ὑπώπτευε μὲν ἅπαντα, καὶ τὴν παράταξιν τοῦ στρατοῦ, καὶ τὴν τοῦ σκάφους εὐτέλειαν, καὶ τὸ μὴ τὸν βασιλέα αὐτόν οἱ παραγενέσθαι, μηδὲ τῶν ἐπιφανῶν τινας πέμψαι. τοσοῦτο δ' ἐκ τῶν Σοφοκλέους ἰαμβείων πρὸς ἑαυτὸν ἀνενεγκὼν,

Ὅστις

Digitized by Google

Ὅςις γὰρ ὡς τύραννον ἐμπορεύεται,
κείνȣ ςὶ δȣ̃λος, κἂν ἐλεύθερος μόλῃ·

ἐνέβαινεν ἐς τὸ σκάφος. καὶ ἐν τῷ διάπλῳ σιωπώντων ἁπάντων, ἔτι μᾶλλον ὑπώπτευε· καὶ, τὸν Σεμπρώνιον εἴτε ἐπιγιγνώσκων Ῥωμαῖον ὄντα καὶ ἐςρατευμένον ἑαυτῷ, εἴτε τοπάζων ἐκ τȣ̃ μόνον ἑςάναι, κατὰ δὴ τὴν ςρατιωτικὴν ἄρα διδασκαλίαν ȣ̓ συνεδρεύοντα αὐτοκράτορι, ἐπιςραφεὶς ἐς αὐτὸν εἶπεν· ἄρα σε γιγνώσκω, συςρατιῶτα; καὶ ὃς αὐτίκα μὲν ἐπένευσεν, ἀποςραφέντα δ' εὐθὺς ἐπάταξε πρῶτος, εἶθ' ἕτεροι. καὶ τὸ μὲν γύναιον τȣ̃ Πομπηΐȣ καὶ οἱ φίλοι, ταῦτα μακρόθεν ὁρῶντες, ἀνῴμοζόν τε, καὶ χεῖρας ἐς θεȣ̀ς ἐκδίκȣς σπονδῶν ἀνίσχοντες, ἀπέπλεον τάχιςα, ὡς ἐκ πολεμίας.

& paullo post adventum a Sempronio, suo quondam milite, interemtus est.

Πομπηΐȣ δὲ τὴν μὲν κεφαλὴν ἀποτεμόντες οἱ περὶ Ποθεινὸν, ἐφύλασσον Καίσαρι, ὡς ἐπὶ μεγίςαις ἀμοιβαῖς. ὁ δὲ αὐτȣ̀ς ἠμύνατο ἀξίως τῆς ἀθεμιςίας. τὸ δὲ λοιπὸν σῶμά τις ἔθαψεν ἐπὶ τῆς ἠϊόνος, καὶ τάφον ἤγειρεν εὐτελῆ· καὶ ἐπίγραμμα ἄλλος ἐπέγραψε·

cap. 86. Pompeji caput in Cæsaris adventum servandum, resecatur; truncus in littore sepelitur.

Τῷ ναοῖς βρίθοντι πόση σπάνις ἔπλετο τύμβȣ.

χρόνῳ δὲ τὸν τάφον τόνδε ἐπικρυφθέντα ὅλον ὑπὸ ψάμμȣ, καὶ εἰκόνας ὅσας ἀπὸ χαλκȣ̃ τῷ Πομπηΐῳ περὶ τὸ Κάσσιον ὕςερον οἱ προσήκοντες ἀνέθηκαν, λελωβημένα πάντα, καὶ ἐς τὸ ἄδυτον τȣ̃ ἱερȣ̃ κατενεχθέντα, ἐζήτησε καὶ εὗρεν ἐπ' ἐμȣ̃ Ῥωμαίων βασιλεὺς Ἀδριανὸς ἐπιδημῶν, καὶ τὸν τάφον ἀνεκάθηρε, γνώριμον αὖθις εἶναι· καὶ τὰς εἰκόνας αὐτȣ̃ Πομπηΐȣ διωρθώσατο. τόδε μὲν δὴ τȣ̃ βίȣ τέλος ἦν Πομπηΐῳ, τῷ μεγίςȣς πολέμȣς ἀνύσαντι, καὶ μέγιςα τὴν Ῥωμαίων ἀρχὴν ὠφελήσαντι, καὶ Μεγάλῳ διὰ ταῦτα ὀνομαθέντι· καὶ ȣ̓χ ἡσσηθέντι ποτὲ πρότερον, ἀλλὰ ἀησσήτῳ καὶ εὐτυχεςάτῳ ἐξέτι νέȣ γενομένῳ· ἀπὸ γὰρ τριῶν καὶ εἴκοσιν ἐτῶν ȣ̓ διέλιπεν, ἐς ὀκτὼ καὶ πεντήκοντα, τῇ μὲν ἰσχύϊ μοναρχικῶς δυναςεύων, τῇ δὲ δόξῃ, διὰ τὸν Καίσαρος ζῆλον, δημοτικῶς νομιζόμενος ἄρχειν.

Monumentum ejus exile restituit Adrianus.

Λεύκιος δὲ Σκιπίων, ὁ κηδεςὴς τȣ̃ Πομπηΐȣ, καὶ ὅσοι ἄλλοι τῶν ἐπιφανῶν ἐκ τȣ̃ κατὰ Φάρσαλον ἔργȣ διεπεφεύγεσαν, ἐπὶ Κερκύρας ἠπείγοντο πρὸς Κάτωνα, ἑτέρȣ ςρατȣ̃ καὶ τριακοσίων τριηρῶν ἄρχειν ὑπολελειμμένον, εὐβȣ-

cap. 87. E Pompejanis, Pharsaliam pugnam elapsis, Cas-

Digitized by Google

sius in Pontum navigavit, Scipio eum Catone in Africam, Pompeji major filius cum Labieno Scapulaque in Hispaniam.

εὐβουλότερον οἶδε τοῦ Πομπηΐου. καὶ αὐτῶν οἱ περιφανέστατοι, νειμάμενοι τὸ ναυτικὸν, Κάσσιος μὲν ἐς τὸν Πόντον ἔπλει πρὸς Φαρνάκην, ὡς ἀναστήσων αὐτὸν ἐπὶ Καίσαρα· Σκιπίων δὲ καὶ Κάτων ἐς Λιβύην ἔπλεον, Οὐάρῳ τε πίσυνοι καὶ τῷ μετὰ Οὐάρου στρατῷ, καὶ Ἰόβᾳ Νομάδων βασιλεῖ συμμαχοῦντι. Πομπήϊος δὲ ὁ τοῦ Πομπηΐου πρεσβύτερος υἱὸς, καὶ Λαβιηνὸς σὺν αὐτῷ, καὶ Σκάπλας, τὸ μέρος ἔχοντες, ἠπείγοντο ἐς Ἰβηρίαν, καὶ αὐτὴν ἀποστήσαντες ἀπὸ τοῦ Καίσαρος, στρατὸν ἄλλον ἐξ αὐτῶν Ἰβήρων τε καὶ Κελτιβήρων καὶ θεραπόντων συνέλεγον, ἔν τε παρασκευῇ μείζονι ἐγίγνοντο. τηλικαῦται δυνάμεις τῆς Πομπηΐου παρασκευῆς ἦσαν ὑπόλοιποι, καὶ αὐτῶν ὑπὸ θεοβλαβείας ὑπεριδὼν ὁ Πομπήϊος ἔφυγε. τῶν δ' ἐν Λιβύῃ Κάτωνα σφῶν στρατηγεῖν αἱρουμένων, ὁ Κάτων οὐχ ὑπέστη, παρόντων ἀνδρῶν ὑπάτων, οἳ κατ' ἀξίωσιν ἐπρέσβευον, αὐτοῦ μόνην ἀρχὴν ἄρξαντος ἐν Ῥώμῃ τὴν στρατηγίδα. γίγνεται μὲν δὴ Λεύκιος Σκιπίων αὐτοκράτωρ, καὶ στρατὸς κἀνταῦθα πολὺς ἠθροίζετο καὶ ἐγυμνάζετο. καὶ δύο αἵδε μάλιστα ἀξιόλογοι παρασκευαὶ, περὶ Λιβύην καὶ Ἰβηρίαν, ἐπὶ Καίσαρα συνεκροτοῦντο.

cap. 88. Cæsar tertio post pugnam die Pompejum versus Orientem profectum prosequitur; ei Hellespontum trajicienti Cassius classem dedit;

Αὐτὸς δ' ἐπὶ τῇ νίκῃ δύο μὲν ἡμέρας ἐν Φαρσάλῳ διέτριψε, θύων, καὶ τὸν στρατὸν ἐκ τῆς μάχης ἀναλαμβάνων. ἔνθα καὶ Θεσσαλοὺς ἐλευθέρους ἠφίει, συμμαχήσαντάς οἱ· καὶ Ἀθηναίοις αἰτήσασι συγγνώμην ἐπεδίδου, καὶ ἐπεῖπε· ποσάκις ὑμᾶς ὑπὸ σφῶν αὐτῶν ἀπολλυμένους ἡ δόξα τῶν προγόνων περισώσει; τῇ τρίτῃ δ' ἐξήλαυνεν ἐπὶ τὴν ἕω κατὰ πύστιν τῆς Πομπηΐου φυγῆς· καὶ τὸν Ἑλλήσποντον, ἀπορίᾳ τριηρῶν, σκάφεσιν ἐπεραιοῦτο μικροῖς. Κάσσιος δὲ σὺν τῷ μέρει τῶν τριηρῶν ἐπιφαίνεται μεσοποροῦντι, πρὸς Φαρνάκην ἐπειγόμενος· καὶ δυνηθεὶς ἂν πολλαῖς τριήρεσι κατὰ σκαφῶν μικρῶν, ὑπὸ δέους τῆς Καίσαρος εὐτυχίας, περιπύστου δὴ καὶ ἐπιφόβου τότε οὔσης, ἐξεπλάγη· καὶ νομίσας οἱ τὸν Καίσαρα ἐπίτηδες ἐπιπλεῖν, τὰς χεῖρας ὤρεγεν ἐς αὐτὸν ἀπὸ τριηρῶν ἐς σκάφη, καὶ συγγνώμην ᾔτει, καὶ τὰς τριήρεις παρεδίδου. τοσοῦτον ἴσχυεν ἡ δόξα τῆς Καίσαρος εὐπραγίας. οὐ γὰρ ἔγωγε αἰτίαν ἑτέραν ὁρῶ, οὐδὲ ἔργον ἕτερον ἡγοῦμαι τύχης ἐν ἀπόρῳ καιρῷ γενέσθαι μᾶλλον, ἢ Κάσσιον τὸ πολεμικώτατον

ἐπὶ

ἐπὶ τριήρων ἑβδομήκοντα ἀπαρασκεύῳ Καίσαρι συντυχόντα, μηδ' ἐς χεῖρας ἐλθεῖν ὑποστῆναι. ὁ δ' οὕτως ἑαυτὸν αἰσχρῶς ὑπὸ φόβου μόνου παραπλέοντι παραδοὺς, ὕστερον ἐν Ῥώμῃ δυναστεύοντα ἤδη κατέκανεν. ᾧ καὶ αὐτῷ δῆλόν ἐστι, τὸν ὕστερον τῷ Κασσίῳ φόβον ὑπὸ τύχης ἐγγενέσθαι τὸν Καίσαρα ἐπαιρούσης.

Διασωθεὶς δ' οὕτω παραδόξως ὁ Καῖσαρ, καὶ τὸν Ἑλλήσποντον περαιωθεὶς, Ἴωσι μὲν καὶ Αἰολεῦσι, καὶ ὅσα ἄλλα ἔθνη τὴν μεγάλην Χεῤῥόνησον οἰκοῦσι, καὶ καλοῦσιν αὐτὰ ἑνὶ ὀνόματι Ἀσίαν τὴν κάτω, συνεγίγνωσκε, πρεσβευομένοις ἐς αὐτὸν καὶ παρακαλοῦσι. πυθόμενος δὲ Πομπήϊον ἐπ' Αἰγύπτου φέρεσθαι, διέπλευσεν ἐς Ῥόδον. καὶ οὐδ' ἐνταῦθα τὸν στρατὸν αὐτοῦ κατὰ μέρη προσιόντα περιμείνας, ἐς τὰς Κασσίου καὶ Ῥοδίων τριήρεις ἐνέβη σὺν τοῖς παροῦσιν. οὐδενί τε ἐκφήνας ὅπη τὸν πλοῦν ποιήσεται, περὶ ἑσπέραν ἀνήγετο· ἐπαγγείλας τοῖς λοιποῖς κυβερνήταις, πρὸς τὸν λαμπτῆρα τῆς ἑαυτοῦ νεὼς, καὶ μεθ' ἡμέραν πρὸς τὸ σημεῖον εὐθύνειν· τῷ δ' αὐτοῦ κυβερνήτῃ, πολὺ τῆς γῆς ἀποσχὼν, προσέταξεν ἐς Ἀλεξάνδρειαν φέρεσθαι. καὶ ὁ μὲν τρισὶν ἡμέραις πελάγιος ἀμφὶ τὴν Ἀλεξάνδρειαν ἦν. ἐσδέχονται δ' αὐτὸν οἱ τοῦ βασιλέως ἐπιτροπεύοντες, ἔτι τοῦ βασιλέως ἀμφὶ τὸ Κάσσιον ὄντος. καὶ πρῶτα μὲν ἀπραγμοσύνην τινὰ διὰ τὴν ὀλιγότητα τῶν συνόντων ὑπεκρίνετο· φιλοφρόνως τε τοὺς ἐντυγχάνοντας ἐξεδέχετο· καὶ τὴν πόλιν περιϊὼν τοῦ κάλλους ἐθαύμαζε, καὶ τῶν φιλοσόφων μετὰ τοῦ πλήθους ἑστὼς ἠκροᾶτο. ὅθεν αὐτῷ χάρις τε καὶ δόξα ἀγαθὴ, ὡς ἀπράγμονι, παρὰ τοῖς Ἀλεξανδρεῦσιν ἐφύετο.

Ἐπεὶ δ' ὁ στρατὸς αὐτῷ κατέπλευσε, Ποθεινὸν μὲν καὶ Ἀχιλλᾶν ἐκόλασε θανάτῳ τῆς ἐς τὸν Πομπήϊον παρανομίας· Θεόδοτον δὲ διαδράντα Κάσσιος ὕστερον ἐκρέμασεν, εὑρὼν ἐν Ἀσίᾳ. θορυβούντων δ' ἐπὶ τῷδε τῶν Ἀλεξανδρέων, καὶ τῆς στρατιᾶς τῆς βασιλικῆς ἐπ' αὐτὸν ἰούσης, ἀγῶνες αὐτῷ ποικίλοι περὶ τὸ βασίλειον ἐγένοντο, καὶ ἐν τοῖς παρ' αὐτὸ αἰγιαλοῖς. ἔνθα καὶ φεύγων ἐς τὴν θάλασσαν ἐξήλατο, καὶ ἐς πολὺ ἐν τῷ βυθῷ διενήξατο. καὶ τὴν χλαμύδα αὐτοῦ λαβόντες οἱ Ἀλεξανδρεῖς περὶ τρόπαιον ἐκρέμασαν. τελευταῖον δ' ἀνὰ τὸν Νεῖλον αὐτῷ γίγνεται πρὸς

cap. 89. Jones, Aeolas ceterosque inferioris Asiæ populos in gratiam recipit, acceptoque nuncio Pompejum Aegyptum petiisse,

nemini aperiens, quo cursum flexurus esset, Alexandriam devehitur, cujus incolas comitate sibi devincit;

cap. 90. sed postquam post exercitus sui adventum de Ptolemæi tutoribus ob scelus in Pompejum patratum sumserat supplicium, tumultuantur non sine magno Cæsaris periculo.

Digitized by Google

πρὸς τὸν βασιλέα ἀγὼν, ᾧ δὴ καὶ μάλιςα ἐκράτει. καὶ ἐς ταῦτα διετρίφθησαν αὐτῷ μῆνες ἐννέα, μέχρι Κλεοπάτραν ἀντὶ τῦ ἀδελφῦ βασιλεύειν ἀπέφηνεν Αἰγύπτυ. καὶ τὸν Νεῖλον ἐπὶ τετρακοσίων νεῶν, τὴν χώραν θεώμενος, περιέπλει μετὰ τῆς Κλεοπάτρας, καὶ τἄλλα ἡδόμενος αὐτῇ. τὴν δὲ κεφαλὴν τῦ Πομπηΐυ προσφερομένην ὀυχ ὑπέςη, ἀλλὰ προσέταξε ταφῆναι, καί τι αὐτῇ τέμενος βραχὺ, πρὸ τῆς πόλεως περιτεθὲν, Νεμέσεως τέμενος ἐκαλεῖτο· ὅπερ ἐπ' ἐμῦ κατὰ Ῥωμαίων αὐτοκράτορα Τραϊανὸν, ἐξολλύντα τὸ ἐν Αἰγύπτῳ Ἰυδαίων γένος, ὑπὸ τῶν Ἰυδαίων ἐς τὰς τῦ πολέμυ χρείας κατηρείφθη.

Victis Alexandrinis Cleopatram loco Ptolemæi reginam nominat, & in suburbio, in memoriam capitis Pompeji ibi sepulti, sacellum dicat Nemeseos. A. U. 707. ante Chr. 47;

Τοσάδε μὲν δὴ Καῖσαρ ἐργασάμενος ἐν Ἀλεξανδρείᾳ, διὰ Συρίας ἐπὶ Φαρνάκην ἠπείγετο. ὁ δὲ ἤδη μὲν εἴργαςο πολλὰ, καὶ περιεσπάκει τινὰ Ῥωμαίων χωρία, καὶ Δομιτίῳ Καίσαρος ςρατηγῷ συνενεχθεὶς ἐς μάχην, ἐνενικήκει πάνυ λαμπρῶς· καὶ τῷδε μάλιςα ἐπαρθεὶς, Ἀμισὸν πόλιν ἐν τῷ Πόντῳ, ῥωμαΐζυσαν, ἐξηνδραπόδιςο, καὶ τὺς παῖδας αὐτῶν τομίας ἐπεποίητο πάντας. προσιόντος δὲ τῦ Καίσαρος ἐταράσσετο καὶ μετεγίγνωσκε, καὶ ἀπὸ ςαδίων διακοσίων γενομένῳ πρέσβεις ἔπεμπεν ὑπὲρ εἰρήνης, ςέφανόν τε χρύσειον αὐτῷ φέροντας, καὶ ἐς γάμον, ὑπ' ἀνοίας, ἐγγυῶντας Καίσαρι τὴν Φαρνάκυς θυγατέρα. ὁ δ' αἰσθόμενος ὧν φέρυσι, προῆλθε μετὰ τῦ ςρατῦ, καὶ ἐς τὸ πρόσθεν ἐβάδιζε, λεσχηνεύων τοῖς πρέσβεσι· μέχρι προσπελάσας τῷ χάρακι τῦ Φαρνάκυς, καὶ τοσόνδε εἰπὼν, ὐ γὰρ αὐτίκα δώσει δίκην ὁ πατροκτόνος; ἐπὶ τὸν ἵππον ἀνεπήδησε, καὶ εὐθὺς ἐκ πρώτης βοῆς τρέπεταί τε τὸν Φαρνάκην, καὶ πολλὺς ἔκτεινε, σὺν χιλίοις πυ μάλιςα ἱππεῦσιν ὢν, τοῖς πρώτοις αὐτῷ συνδραμῦσιν. ὅτε καὶ φασιν αὐτὸν εἰπεῖν· ὦ μακάριε Πομπήϊε, τοιύτοις ἄρα, κατὰ Μιθριδάτην τὸν τῦδε πατέρα, πολεμῶν ἀνδράσι, μέγας τε ἐνομίσθης καὶ μέγας ἐπεκλήθης. ἐς δὲ Ῥώμην περὶ τῆσδε τῆς μάχης ἐπέςελλεν· ΕΓΩ ΔΕ ΗΛΘΟΝ, ΕΙΔΟΝ, ΕΝΙΚΗΣΑ.

cap. 91. Contra Pharnacem exercitum ducit eumque ad primum editum clamorem profligat;

Μετὰ δὲ τῦτο Φαρνάκης μὲν, ἀγαπῶν, ἐς τὴν ἀρχὴν Βοσπόρυ, τὴν δεδομένην οἱ παρὰ Πομπηΐυ, συνέφυγεν. ὁ δὲ Καῖσαρ, ὐ σχολὴν ἄγων περὶ μικρὰ τρίβεσθαι, τοσῶνδε πολέμων αὐτὸν περιμενόντων, ἐς τὴν Ἀσίαν μετῆλθε,

cap. 92. sed Pharnacem, in Bosporanum regnum refugientem, non prosequitur,

τῆλθε, καὶ παροδεύων αὐτὴν ἐχρημάτιζε ταῖς πόλεσιν, ἐνοχλεμέναις ὑπὸ τῶν μιθεμένων τὲς Φόρες, ὥς μοι κατὰ τὴν Ἀσιανὴν συγγραφὴν δεδήλωται. πυθόμενος δ', ἐν Ῥώμῃ ςάσιν ἔιναι, καὶ Ἀντώνιον τὸν ἵππαρχον αὐτῦ τὴν ἀγορὰν ςρατιᾷ Φυλάσσειν, πάντα μεθεὶς, ἐς Ῥώμην ἠπείγετο. ὡς δ' ἦλθεν, ἡ μὲν ςάσις ἡ πολιτικὴ κατεπάυετο· ἑτέρα δ' ἐπ' αὐτὸν ἀνίςατο τῦ ςρατῦ, ὡς ὕτε τὰ ἐπηγγελμένα σφίσιν ἐπὶ τῷ κατὰ Φάρσαλον ἔργῳ λαβόντες, ὕτε ἐννόμως ἔτι βραδύνοντες ἐν τῇ ςρατείᾳ· ἀφεθῆναί τε πάντες ἐπὶ τὰ αὐτῶν ἠξίυν. Καίσαρος δ' αὐτοῖς Φιλανθρώπυ Φανέντος, αἰδὼς αὐτίκα πᾶσιν ἐνέπιπτε, καὶ λογισμὸς, μετὰ ζήλυ, ἐι δόξυσι μὲν αὐτοὶ καταλιπεῖν σΦῶν τὸν αὐτοκράτορα ἐν μέσοις τοσοῖσδε πολεμίοις, θριαμβεύσυσι δ' ἀντ' αὐτῶν ἕτεροι· καὶ σΦεῖς τῶν ἐν Λιβύῃ κερδῶν ἐκπεσῦνται, μεγάλων ἔσεσθαι νομιζομένων· ἐχθροί τε ὁμοίως αὐτῦ τε Καίσαρος ἔσονται καὶ τῶν πολεμίων. ὁ δὲ Καῖσαρ ὐδὲν αὐτὰς ὑπερεθίζειν δεόμενος ἀκριβῶς μετανοῦντας, συνηλλάσσετο ἅπασι, καὶ ἐυθὺς ἐπὶ τὸν ἐν Λιβύῃ πόλεμον ἐξῄει.

quoniam seditiones eum Romam evocant: quibus sedatis protinus ad bellum Africanum proficiscitur.

Διαβαλὼν δ' ἐκ Ῥηγίυ τὸν πορθμὸν ἐπὶ Μεσήνης, ἐς Λιλύβαιον ἦλθε. καὶ πυθόμενος, Κάτωνα μὲν τὴν παρασκευὴν τῦ πολέμυ ναυσὶ καὶ πεζῶν τινι μέρει Φρυρεῖν ἐν Ἰτύκῃ, μετὰ τῶν τριακοσίων, ὓς ἀπὸ σΦῶν ἐκ πολλῦ προβέλυς ἐπεποίηντο τῦ πολέμυ, καὶ σύγκλητον ἐκάλυν· τὸν δ' αὐτοκράτορα Λεύκιον Σκιπίωνα καὶ τὺς ἀρίςυς ἐν Ἀδρυμητῷ ςρατέυειν· διέπλευσεν ἐπὶ τὸν Σκιπίωνα. καὶ αὐτὸν οἰχόμενον ἐς Ἰόβαν καταλαβὼν, παρέτασσεν ἐς μάχην παρ' αὐτὸ τῦ Σκιπίωνος τὸ ςρατόπεδον, ὡς ἐν καιρῷ συνοισόμενος τοῖς πολεμίοις χωρὶς αὐτοκράτορος ὖσιν. ἀντεπῄεσαν δ' αὐτῷ Λαβιηνός τε καὶ Πετρήϊος, ὁ τῦ Σκιπίωνος ὑποςράτηγοι· καὶ ἐκράτυν τῶν Καίσαρος παρὰ πολὺ, καὶ τραπέντας ἐδίωκον σοβαρῶς μετὰ καταφρονήσεως, μέχρι Λαβιηνὸν μὲν ὁ ἵππος ἐς τὴν γαςέρα πληγεὶς ἀπεσείσατο, καὶ αὐτὸν οἱ παρασπ.ςαὶ συνήρπαζον· ὁ δὲ Πετρήϊος, ὡς ἀκριβῆ τῦ ςρατῦ λαβὼν πεῖραν, καὶ νικήσων ὅτε βύλεται, διέλυε τὸ ἔργον· ἐπειπὼν τοῖς ἀμΦ' αὐτόν· μὴ ἀΦελώμεθα τὴν νίκην τὸν αὐτοκράτορα ἡμῶν Σκιπίωνα. καὶ τὸ μὲν ἄλλο μέρος, τῆς Καίσαρος

cap. 95. Bellum contra L. Scipionem in Africa A. U. 708. ante Chr. 46. Labienus Petrejusque legati (absente Scipione) reprimunt Cæsarianos; victoriam autem non prosequuntur, ne Scipio aude victoriæ fraudetur.

σαρος τύχης ἔργον ἐφαίνετο, κρατησάντων ἂν, ὡς ἐδόκει, τῶν πολεμίων, ἄφνω τὴν μάχην ὑπὸ τῶν νικώντων διαλυθῆναι. αὐτὸς δὲ λέγεται παρὰ τὴν φυγὴν, ἐγχρίμπτων ἅπασιν, ἐπιςρέφειν αὐτὲς. καί τινα τῶν τὰ μέγιςα σημεῖα, τὲς ἀετὲς, φερόντων τῇ ἑαυτȢ χειρὶ περισπάσας, μετενεγκεῖν ἀπὸ τῆς φυγῆς ἐς τὸ πρόσθεν· ἕως Πετρήϊος ἀνέζευξε, καὶ ὁ Καῖσαρ ἀσπασίως ὑπεχώρει. τȢτο μὲν δὴ τῆς πρώτης ἐν Λιβύῃ Καίσαρι μάχης τέλος ἦν.

cap. 96. Secundum prœlium ingenti pavore Cæsariani quidem ingrediuntur;

Ὀυ πολὺ δὲ ὕςερον, αὐτȢ τε Σκιπίωνος ὀκτὼ τέλεσι πεζῶν καὶ ἱππέων δύο μυριάσιν (ὧν οἱ πολλοὶ Λίβυες ἦσαν) πελταςαῖς τε πολλοῖς καὶ ἐλέφασιν ἐς τριάκοντα προσδοκωμένȢ παρέσεσθαι, σὺν Ἰόβᾳ τῷ βασιλεῖ, καὶ τῷδε ἄγοντι πεζὲς ἄλλȢς ἀμφὶ τρισμυρίȢς, καὶ ἱππέας Νομάδας ἐς δισμυρίȢς, καὶ ἀκοντιςὰς πολλȢς, καὶ ἐλεφαντας ἑξήκοντα ἑτέρȢς· ἡ ςρατιὰ τȢ Καίσαρος ἐδείμαινε, καὶ ἐν σφίσιν αὐτοῖς ἐθορυβȢντο, κατά τε πεῖραν ὧν ἤδη πεπόνθεσαν, καὶ κατὰ δόξαν τῶν ἐπιόντων τȢ τε πλήθȢς, καὶ ἀρετῆς μάλιςα τῶν Νομάδων ἱππέων. ὅ τε τῶν ἐλεφάντων πόλεμος, ἀήθης σφίσιν ὢν, ἐξέπλησσε. ΒόκχȢ δ', ἑτέρȢ ΜαυρȢσίων δυνάςȢ, Κίρταν (ἣ βασίλειον ἦν Ἰόβα) καταλαβόντος· ὁ μὲν Ἰόβας, ἐξαγγελθέντος αὐτῷ τȢδε, ἐς τὰ οἰκεῖα μάλιςα ἀνεζεύγνυ μετὰ τȢ ἰδίȢ ςρατȢ, τριάκοντα ἐξ αὐτȢ μόνȢς ὑπολιπὼν ἐλέφαντας τῷ Σκιπίωνι. ἡ δὲ ςρατιὰ τȢ Καίσαρος ἐς τοσȢτον ἀνεθάῤῥησεν, ὡς τὸ πέμπτον τέλος, αἰτῆσαν ἀντιταχθῆναι τοῖς ἐλέφασι, κρατῆσαι πάνυ καρτερῶς. καὶ νῦν ἀπ' ἐκείνȢ τῷδε τῷ τέλει ἐλέφαντες ἐς τὰ σημεῖα ἐπίκεινται.

cap. 97. attamen victoria Cæsaris finitur.

Μακρᾶς δὲ καὶ ἐπιπόνȢ κατὰ πάντα τὰ μέρη τῆς μάχης καὶ πολυτρόπȢ γενομένης, περὶ ἑσπέραν μόλις ὁ Καῖσαρ ἐνίκα· καὶ τὸ ςρατόπεδον εὐθὺς ἐξῄρει τὸ τȢ Σκιπίωνος, ȢδὲνἀνιεὶςȢδ' ἐν νυκτὶ) τῆς νίκης, μέχρι τὸ σύμπαν ἐξεργάσασθαι. οἱ δ' ἐχθροὶ κατ' ὀλίγȢς, ὅπη δύναιντο, διέφευγον· καὶ ὁ Σκιπίων αὐτὸς ἅμα Ἀφρανίῳ, πάντα μεθεὶς, ἔφευγεν ἀνὰ τὸ πέλαγος ἐπὶ δώδεκα ἀφράκτων. ὧδε μὲν δὴ καὶ ὅδε ὁ ςρατὸς, ἐς ὀκτὼ μυριάδας μάλιςα συνελθὼν, ἔκ τε πολλȢ γεγυμνασμένος, καὶ ἐκ τῆς προτέρας μάχης ἐν ἐλπίδι καὶ θάρσει γενόμενος, δευτέρᾳ τῇδε συμβολῇ συνετρίβετο ἀθρόως. καὶ τὸ τȢ Καίσαρος

κλέος

κλέος ἐς ἄμαχον εὐτυχίαν ἐδοξάζετο, ἐδὲν ἔτι τῶν ἡσσωμένων ἐς ἀρετὴν αὐτε͂ μεριζόντων, ἀλλὰ καὶ τὰ σφέτερα αὐτῶν ἁμαρτήματα τῇ Καίσαρος τύχῃ προστιθέντων. ἐδόκει γὰρ δὴ καὶ ὅδε ὁ πόλεμος ἀβελίᾳ τῶν ϛρατηγῶν, ἔτε διατριψάντων αὐτὸν, ἕως ἀπορήσειεν ὁ Καῖσαρ, ὡς ἐν ἀλλοτρίᾳ, ἔτε τὴν πρώτην νίκην ἐς τέλος προαγαγόντων, συντριφθεὶς, ἕτως ὀξέως διαλυθῆναι.

cap. 98. Stragis nuncio Uticam perlato omnes præter Catonem fugiunt,

Ἐξαγγελθέντων δὲ τέτων ἐς Ἰτύκην τρίτῃ μάλιϛα ἡμέρᾳ, καὶ τε͂ Καίσαρος εὐθὺς ἐπὶ τὴν Ἰτύκην ἰόντος, ἐγίγνετο φυγὴ πάντων. καὶ ἐδένα κατεῖχεν ὁ Κάτων, ἀλλὰ καὶ ναῦς ἐδίδε τοῖς αἰτε͂σι τῶν ἐπιφανῶν· αὐτὸς δ' εὐϛαθῶς ὑπέμενε· καὶ τοῖς Ἰτυκαίοις, ὑπισχνεμένοις πρὸ ἑαυτῶν ὑπὲρ ἐκείνε δεήσεσθαι, ἐπιμειδιῶν ἀπεκρίνατο, ἐ δεήσειν αὐτῷ πρὸς Καίσαρα διαλλακτῶν, καὶ τε͂το εἰδέναι καὶ τὸν Καίσαρα καλῶς. σημηνάμενος δὲ τὲς θησαυρὲς ἅπαντας, καὶ συγγραφὰς ὑπὲρ ἑκάϛε τοῖς Ἰτυκαίων ἄρχεσιν ἐπιδὲς, περὶ ἑσπέραν ἀμφὶ λετρὰ καὶ δεῖπνον ἦν· καθεζόμενός τε ἐγένετο, ὥσπερ εἰθιϛο, ἐξ ὅ Πομπήϊος ἀνῄρητο· ἐδέν τε τῶν συνήθων ἐναλλάσσων, ἐδ' ἐλάσσω προσφερόμενος ἢ πλείω, συνελεσχήνευε τοῖς παρε͂σι περὶ τῶν ἐκπεπλευκότων· καὶ ἠρώτα περὶ τε͂ πνεύματος, εἰ κατὰ πρύμνην ἔσοιτο αὐτοῖς· καὶ τε͂ διαϛήματος, εἰ φθάσεσι πόῤῥω γενέσθαι, πρὶν ἐς ἕω Καίσαρα ἐπελθεῖν. ἐ μὴν ἐδ' ἐς ὕπνον ἀπιὼν, ἐνήλλαξέ τι τῶν συνήθων, πλὴν ὅτι τὸν υἱὸν ἠσπάσατο φιλοφρονέϛερον. τὸ δὲ ξιφίδιον τῇ κλίνῃ τὸ σύνηθες ἐχ εὑρὼν παρακείμενον, ἐξεβόησεν, ὅτι προδιδοῖτο ὑπὸ τῶν οἰκείων τοῖς πολεμίοις· τίνι γὰρ, ἔφη, χρήσεσθαι προσιόντων, ἂν νυκτὸς ἐπίωσι; τῶν δὲ αὐτὸν παρακαλέντων, μηδὲν ἐφ' ἑαυτὸν βελεύειν, ἀλλ' ἀναπάυεσθαι χωρὶς ξιφιδίε, ἀξιοπιϛότερον ἔτι εἶπεν· ἐ γὰρ ἐϛί μοι, θέλοντι, καὶ δι' ἐσθῆτος ἐμαυτὸν ἀποπνῖξαι; καὶ ἐς τὰ τείχη τὴν κεφαλὴν ἀπαῤῥάξαι; καὶ ἐς τράχηλον κυβιϛῆσαι; καὶ τὸ πνεῦμα κατασχόντα ἐκτρίψαι; πολλά τε ὅμοια εἰπὼν, παρήγαγεν αὐτὲς παραθεῖναι τὸ ξιφίδιον. ὡς δὲ ἐτέθη, Πλάτωνος αἰτήσας τὴν περὶ ψυχῆς συγγραφὴν, ἀνεγίγνωσκε.

qui animo intrepido ad mortem sibi consciscendam necessaria parat.

cap. 99. Inflictum sibi sub pectore vulnus non

Καὶ ἐπεὶ τέλος εἶχε τῷ Πλάτωνι ὁ λόγος, ἀναπάυεσθαι τὲς περὶ θύρας ὑπολαβὼν, ἔτρωσεν αὐτὸν ὑπὸ τὰ

lethale medici fasciis obvinciunt;

τὰ στέρνα. προπεσόντων δ' αὐτῷ τῶν σπλάγχνων, καὶ στόνου τινὸς ἐξακουσθέντος, ἐσέδραμον οἱ περὶ θύρας· καὶ οἱ ἰατροὶ τὰ σπλάγχνα ἔτι σῶα ὄντα ἐνέθηκαν ἔνδον, καὶ τὰς πληγὰς ἐπιῤῥάψαντες ἐπέδησαν. ὁ δὲ ἀνενεγκὼν, αὖθις ὑπεκρίνετο· καὶ κατεμέμφετο μὲν ἑαυτῷ πληγῆς ἀσθενοῦς, χάριν δ' ὡμολόγει τοῖς περισώσασι, καὶ καταδαρθεῖν ἔφη δεῖσθαι. οἱ μὲν δὴ, τὸ ξίφος ἔχοντες, ᾤχοντο, καὶ τὰς θύρας ὡς ἠρεμοῦντι ἐπέκλεισαν. ὁ δ' ὕπνου δόξαν αὐτοῖς παρασχὼν, τὰ δεσμὰ ταῖς χερσὶ μετὰ σιγῆς ἀπεῤῥήγνυ, καὶ τὰς ῥαφὰς τοῦ τραύματος ἀνέπτυσσεν· οἷα θηρίον τό τε τραῦμα καὶ τὴν γαστέρα εὐρύνων ὄνυξι, καὶ δακτύλοις ἐρευνῶν, καὶ τὰ σπλάγχνα διαῤῥίπτων· μέχρι ἐτελεύτησεν, ἔτη μὲν ἀμφὶ πεντήκοντα γεγονώς· ὁμολογούμενος δὲ τήν τε γνώμην, ἐς ὅ τι κρίνειε, πάντων ἀνδρῶν ἐπιμονώτατος φῦναι, καὶ τὸ δίκαιον ἢ πρέπον ἢ καλὸν οὐκ ἔθεσι μᾶλλον ἢ μεγαλοψύχοις λογισμοῖς ὁρίσαι. Μαρκίᾳ γέ τοι, τῇ Φιλίππου, συνὼν ἐκ παρθένου, καὶ ἀρεσκόμενος αὐτῇ μάλιστα, καὶ παῖδας ἔχων ἐξ ἐκείνης, ἔδωκεν ὅμως αὐτὴν Ὀρτησίῳ, τῶν φίλων τινὶ, παίδων τε ἐπιθυμοῦντι, καὶ τεκνοποιοῦ γυναικὸς οὐ τυγχάνοντι· μέχρι κἀκείνῳ κυήσασαν, ἐς τὸν οἶκον αὖθις ὡς χρήσας ἀνεδέξατο. τοιόσδε μὲν δὴ Κάτων ἦν. καὶ αὐτὸν οἱ Ἰτυκαῖοι λαμπρῶς ἔθαπτον. ὁ δὲ Καῖσαρ ἔφη μὲν, οἱ φθονῆσαι Κάτωνα καλῆς ἐπιδείξεως· Κικέρωνος δὲ ποιήσαντος ἐγκώμιον ἐς αὐτὸν, καὶ ἐπιγράψαντος Κάτων, ἀντέγραψε κατηγορίαν ὁ Καῖσαρ, καὶ ἐπέγραψεν Ἀντικάτων.

quibus digressis, fascias disrumpit & viscera lacerat, donec exhalaret animam.

Laus Catonis.

cap. 100 Juba & Petrejus mutuis se vulneribus interficiunt.

Ἰόβας δὲ καὶ Πετρήϊος τῶν γιγνομένων πυνθανόμενοι, καὶ οὐδεμίαν σφίσιν οὔτε φυγὴν οὔτε σωτηρίαν ἐπινοοῦντες, ἐπὶ διαίτῃ ξίφεσι διεχρήσαντο ἀλλήλους· καὶ τὴν ἀρχὴν τὴν Ἰόβα Καῖσαρ ὑποτελῆ Ῥωμαίοις ἐποίησεν, αὐτῇ Σαλούστιον Κρίσπον ἐγκαταστήσας. Ἰτυκαίοις δὲ καὶ τῷ Κάτωνος υἱῷ συνεγίγνωσκε· καὶ τὴν θυγατέρα τοῦ Πομπηΐου, μετὰ δύο παίδων αὐτῆς, ἐν Ἰτύκῃ καταλαβὼν, ἐξέπεμπε σώους τῷ Πομπηΐῳ. τῶν δὲ τριακοσίων ὅσους εὗρε, διέφθειρε. Λεύκιος δὲ Σκιπίων ὁ αὐτοκράτωρ, χειμαζόμενος ἐν τῇ θαλάσσῃ, καὶ πολεμίαις ναυσὶν ἐντυχὼν, ἐφέρετο γενναίως· μέχρι καταλαμβανόμενος αὐτόν τε διεχρήσατο, καὶ

Regnum Mauritaniæ Rom. populo tributarium.

τὸ

Digitized by Google

τὸ σῶμα μεθῆκεν ἐς τὸ πέλαγος. τοῦτο μὲν δὴ καὶ τῷ περὶ Λιβύην Καίσαρος πολέμῳ τέλος ἐγίγνετο.

Αὐτὸς δ' ἐπανελθὼν ἐς Ῥώμην ἐθριάμβευε τέσσαρας ὁμοῦ θριάμβους· ἐπί τε Γαλάταις, ὧν δὴ πολλὰ καὶ μέγιστα ἔθνη προσέλαβε, καὶ ἀφιστάμενα ἄλλα ἐκρατύνατο· καὶ Ποντικὸν, ἐπὶ Φαρνάκει· καὶ Λιβυκὸν, ἐπὶ Λιβύων τοῖς συμμαχήσασι τῷ Σκιπίωνι· ἔνθα καὶ Ἰόβα παῖς, Ἰόβας, ὁ συγγραφεὺς, βρέφος ὢν ἔτι, παρήγετο. παρήγαγε δέ τινα καὶ τῆς ἀνὰ τὸν Νεῖλον ναυμαχίας θρίαμβον Αἰγύπτιον, μεταξὺ τοῦ Γαλατῶν καὶ Φαρνάκους. τὰ δὲ Ῥωμαίων φυλαξάμενος ἄρα, ὡς ἐμφύλια, οὐκ ἐοικότα τε αὐτῷ, καὶ Ῥωμαίοις αἰσχρὰ καὶ ἀπαίσια, ἐπιγράψαι θριάμβῳ· παρήνεγκεν ὅμως αὐτῶν ἐν τοῖσδε τὰ παθήματα ἅπαντα, καὶ τοὺς ἄνδρας ἐν εἰκόσι καὶ ποικίλαις γραφαῖς, χωρίς γε Πομπηΐου. τοῦτον γὰρ δὴ μόνον ἐφυλάξατο δεῖξαι, σφόδρα ἔτι πρὸς πάντων ἐπιποθούμενον. ὁ δὲ δῆμος ἐπὶ μὲν τοῖς οἰκείοις κακοῖς, καίπερ δεδιὼς, ἔστενε· καὶ μάλιστα, ὅτε ἴδοι Λεύκιόν τε Σκιπίωνα τὸν αὐτοκράτορα πλησσόμενον ἐς τὰ στέρνα ὑφ' ἑαυτοῦ, καὶ μεθιέμενον ἐς τὸ πέλαγος· ἢ Πετρήϊον ἐπὶ διαίτῃ διαχρώμενον ἑαυτὸν, ἢ Κάτωνα ὑφ' ἑαυτοῦ διασπώμενον, ὡς θηρίον. Ἀχιλλᾷ δ' ἐφήσθησαν καὶ Ποθεινῷ, καὶ τὴν Φαρνάκους φυγὴν ἐγέλασαν.

cap. 101. Triumphi Cæsaris quatuor.

Desiderium populi præclarorum virorum, qui bello Pompejano interierant.

Χρήματα δ' ἐν τοῖς θριάμβοις φασὶ παρενεχθῆναι μυριάδας ἓξ καὶ ἥμισυ ταλάντων, καὶ στεφάνους δύο καὶ εἴκοσι καὶ δισχιλίους ἐπὶ τοῖς ὀκτακοσίοις, ἀπὸ χρυσοῦ, ἕλκοντας ἐς δισμυρίας καὶ δέκα καὶ τέσσαρας καὶ τετρακοσίας λίτρας. ἀφ' ὧν εὐθὺς ἐπὶ τῷ θριάμβῳ διένειμε, τὰ ὑπεσχημένα πάνθ' ὑπερβάλλων, στρατιώτῃ μὲν ἀνὰ πεντακισχιλίας δραχμὰς Ἀττικὰς, λοχαγῷ δ' αὐτοῦ τὸ διπλάσιον, καὶ χιλιάρχῃ καὶ ἱππάρχῃ τὸ ἔτι διπλάσιον, καὶ τοῖς δημόταις, ἑκάστῳ μνᾶν Ἀττικήν. ἐπέδωκε δὲ καὶ θέας ποικίλας, ἵππων τε, καὶ μουσικῆς, καὶ πεζομαχίας, ἀνδρῶν χιλίων πρὸς ἑτέρους χιλίους, καὶ ἱππομαχίαν διακοσίων πρὸς ἴσους· καὶ ἀναμὶξ ἄλλων πεζῶν τε καὶ ἱππέων ἀγῶνα· ἐλεφάντων τε μάχην εἴκοσι πρὸς εἴκοσι· καὶ ναυμαχίαν ἐρετῶν τετρακισχιλίων, ἐπιβεβηκότων ἐς μάχην χιλίων ἑκατέρωθεν. ἀνέστησε καὶ τῇ γενε-

cap. 102. Præda ex hoste reportata.

Præmia militibus persoluta.

Spectacula.

Votiva.

Digitized by Google

γενετείρᾳ τὸν νεὼν, ὥσπερ εὔξατο μέλλων ἐν Φαρσάλῳ μαχεῖσθαι· καὶ τέμενος τῷ νεῷ περιέθηκεν, ὃ Ῥωμαίοις ἔταξεν ἀγορὰν εἶναι, οὐ τῶν ὠνίων, ἀλλ᾽ ἐπὶ πράξεσι συνιόντων ἐς ἀλλήλους· καθὰ καὶ Πέρσαις ἦν τις ἀγορὰ, ζητοῦσιν ἢ μανθάνουσι τὰ δίκαια. Κλεοπάτρας τε εἰκόνα καλὴν τῇ θεῷ παρεστήσατο, ἣ καὶ νῦν συνέστηκεν αὐτῇ. τὸ δὲ τοῦ δήμου πλῆθος ἀναγραψάμενος, ἐς ἥμισυ λέγεται τῶν πρὸ τοῦδε τοῦ πολέμου γενομένων εὑρεῖν. ἐς τοσοῦτον καθεῖλεν ἡ τῶνδε φιλονεικία τὴν πόλιν.

Censu acto dimidio minus capitum censum, quam ante bellum.

'Αυτὸς δὲ, ἤδη τέταρτον ὑπατεύων, ἐπὶ τὸν νέον Πομπήϊον ἐστράτευεν ἐς Ἰβηρίαν· ὅσπερ αὐτῷ λοιπὸς ἦν ἔτι πόλεμος ἐμφύλιος, οὐκ εὐκαταφρόνητος. τῶν τε γὰρ ἀρίστων ὅσοι διεπεφεύγεσαν ἐκ Λιβύης, ἐκεῖ συνέδραμον. καὶ στρατὸς, ὁ μὲν, ἐξ αὐτῆς Λιβύης τε καὶ Φαρσάλου τοῖς ἡγεμόσι συνῆλθεν, ὁ δὲ, ἐξ Ἰβήρων τε καὶ Κελτιβήρων, ἔθνους ἀλκίμου καὶ χαίροντος αἰεὶ μάχαις· πολὺς δὲ καὶ δούλων ὅμιλος ἐστρατεύετο τῷ Πομπηΐῳ· καὶ τέταρτον ἔτος εἶχον ἐν τοῖς γυμνασίοις, καὶ γνώμην ἑτοίμον ἀγωνίσασθαι μετὰ ἀπογνώσεως. ᾧ δὴ καὶ μάλιστα σφαλεὶς ὁ Πομπήϊος, οὐκ ἀνεβάλλετο τὴν μάχην, ἀλλ᾽ εὐθὺς ἐλθόντι τῷ Καίσαρι συνεμάχετο· καί τοι τῶν πρεσβυτέρων αὐτῷ παραινούντων, ἐκ πείρας ὧν ἀμφί τε Φάρσαλον καὶ Λιβύην ἐπεπόνθεσαν, ἐκτρίβειν τῷ χρόνῳ τὸν Καίσαρα, καὶ ἐς ἀπορίαν, ὡς ἐν ἀλλοτρίᾳ γῇ, περιφέρειν. ὁ δὲ Καῖσαρ ἧκε μὲν ἀπὸ Ῥώμης ἑπτὰ καὶ εἴκοσιν ἡμέραις, βαρυτάτῳ στρατῷ μακροτάτην ὁδὸν ἐπελθών. δέος δ᾽, οἷον οὐ πρότερον, ἐνέπιπτεν αὐτοῦ τῷ στρατῷ, κατὰ δόξαν τῶν πολεμίων τοῦ τε πλήθους καὶ ἀσκήσεως καὶ ἀπογνώσεως.

cap. 103. Bellum contra juniorem Pompejum in Hispania. A. U. 709. ante Chr. 45.

Ob militum metum manus cum hostibus conserere non properat Cæsar.

Δι᾽ ἃ καὶ ὁ Καῖσαρ αὐτὸς ἐβράδυνεν· ἔστε πού τι αὐτῷ κατασκεπτομένῳ προσπελάσας ὁ Πομπήϊος, ὠνείδισεν ἐς δειλίαν. καὶ τὸ ὄνειδος οὐκ ἐνεγκὼν ὁ Καῖσαρ, ἐξέτασσε παρὰ πόλιν Κορδύβην, σύνθημα καὶ τότε δοὺς Ἀφροδίτην· ἔδωκε δὲ καὶ ὁ Πομπήϊος Εὐσέβειαν. ὡς δὲ, καὶ συνιόντων ἤδη, τοῦ Καίσαρος στρατοῦ τὸ δέος ἥπτετο, καὶ ὄκνος ἐπεγίγνετο τῷ φόβῳ, θεοὺς πάντας ὁ Καῖσαρ ἱκέτευε, τὰς χεῖρας ἐς τὸν οὐρανὸν ἀνίσχων, μὴ ἑνὶ πόνῳ τῷδε πολλὰ καὶ λαμπρὰ ἔργα μιῆναι, καὶ τοὺς στρατιώτας

cap. 104. Exprobrata autem ei a Pompejo ignavia, instruit aciem prope Cordubam.

Digitized by Google

τιώτας ἐπιθέων παρεκάλει· τό τε κράνος τῆς κεφαλῆς ἀφαιρῶν, ἐς πρόσωπον ἐδυσώπει καὶ προὔτρεπεν. οἱ δὲ οὐδ' ὥς τι μετέβαλλον ἀπὸ τοῦ δέους· ἕως ὁ Καῖσαρ αὐτὸς, ἁρπάσας τινὸς ἀσπίδα, καὶ τοῖς ἀμφ' αὐτὸν ἡγεμόσιν εἰπὼν, ἔσαι τοῦτο τέλος ἐμοί τε τοῦ βίου καὶ ὑμῖν τῶν στρατειῶν· προὔδραμε τῆς τάξεως ἐς τοὺς πολεμίους ἐπὶ τοσοῦτον, ὡς μόνους αὐτῶν ἀποσχεῖν δέκα πόδας, καὶ διακόσια αὐτῷ δόρατα ἐπιβληθῆναι, καὶ τούτων τὰ μὲν αὐτὸν ἐκκλῖναι, τὰ δὲ ἐς τὴν ἀσπίδα ἀναδέξασθαι. τότε γὰρ δὴ τῶν τε ἡγεμόνων προθέων ἕκαστος ἵστατο παρ' αὐτὸν, καὶ ὁ στρατὸς ἅπας ἐμπεσὼν μετὰ ὁρμῆς ὅλην ἠγωνίζετο τὴν ἡμέραν, προὔχων τε καὶ ἡττώμενος αἰεὶ παρὰ μέρος· μέχρις ἐς ἑσπέραν μόλις ἐνίκησεν. ὅτε καὶ φασὶν αὐτὸν εἰπεῖν, ὅτι πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ καὶ περὶ ψυχῆς.

Ut metum militibus adimeret, ipse Cæsar ante aciem pugnavit, victoriaque potitus est.

Φόνου δὲ πολλοῦ γενομένου, καὶ φυγῆς τῶν Πομπηΐου στρατιωτῶν ἐς τὴν Κορδύβην, ὁ μὲν Καῖσαρ, ἵνα μὴ διαφυγόντες οἱ πολέμιοι, πάλιν ἐς μάχην παρασκευάσαιντο, ἐκέλευε τὸν στρατὸν ἐκτειχίσαι τὴν Κορδύβην. οἱ δὲ κάμνοντες τοῖς γεγονόσι, τά τε σώματα καὶ τὰ ὅπλα τῶν ἀνῃρημένων ἐπεφόρουν ἀλλήλοις, καὶ δόρασιν αὐτὰ διαπηγνύντες ἐς τὴν γῆν, ἐπὶ τοιοῦδε τείχους ηὐλίσαντο. τῆς δ' ἐπιούσης ἑάλω μὲν ἡ πόλις, τῶν δὲ ἡγεμόνων τοῦ Πομπηΐου, Σκάπλας μὲν, νήσας πυρὰν, ἑαυτὸν ἐνέπρησεν· Οὐάρου δὲ καὶ Λαβιηνοῦ καὶ ἑτέρων ἀνδρῶν ἐπιφανῶν ἐκομίσθησαν αἱ κεφαλαὶ Καίσαρι. Πομπήϊος δ' αὐτὸς διέφυγε μὲν ἀπὸ τῆς ἥσσης σὺν ἑκατὸν καὶ πεντήκοντα ἱππεῦσιν ἐπὶ Καρθαίας, ἔνθα αὐτῷ νεῶν στόλος ἦν· καὶ παρῆλθεν ἐς τὰ νεώρια λαθὼν, ὡς τις ἰδιώτης, φορείῳ κομιζόμενος. ὁρῶν δὲ καὶ τούτους ἀπογιγνώσκοντας ἑαυτῶν, ἔδεισε περὶ ἐκδόσεως· καὶ ἔφευγεν αὖθις, ἐπιβαίνων σκάφους. ἐμπλακέντα δ' αὐτοῦ τὸν πόδα καλωδίῳ, κόπτων τις τὸ καλώδιον ξιφιδίῳ, τὸν ταρσὸν ἔτεμεν, ἀντὶ τοῦ καλωδίου, τοῦ ποδός· καὶ διαπλεύσας ἔς τι χωρίον ἐθεραπεύετο. ζητούμενος δὲ κἀνταῦθα, ἔφευγε διὰ δυσβάτου καὶ ἀκανθώδους ὁδοῦ, τὸ τραῦμα περικεντούμενος, μέχρι κάμνων ὑπό τι δένδρον ἐκαθέζετο. καὶ τῶν ζητητῶν ἐπιπεσόντων, οὐκ ἀγεννῶς αὐτοὺς ἀμυνόμενος, κατακόπη. τοῦδε

cap. 105. Cordubam circumvallat, & sequenti die capit.

Interitus Pompejanorum.

Digitized by Google

δε μὲν δὴ τὴν κεφαλὴν ὁ Καῖσαρ ἐνεχθεῖσάν οἱ προσέταξέ τινι θάψαι. καὶ ὁ πόλεμος ἑνὶ ἔργῳ καὶ ὅδε παρὰ δόξαν ἐλέλυτο. τὰς δ' ἐξ αὐτῆ διαφυγόντας ἤθροιζεν ὁ τῦδε τῆ Πομπηΐε νεώτερος ἀδελφὸς, Πομπήϊος μὲν καὶ ὅδε ὢν, Σέξστος δὲ καλέμενος τῷ προτέρῳ τῶν ὀνομάτων. ἀλλ' ὅδε μὲν ἔτι λανθάνων καὶ διαδιδράσκων ἐλῄστευεν.

Sextus Pompejus cladem evasit.

cap. 106. Honores Cæsari decreti.

Ὁ δὲ Καῖσαρ ἐς Ῥώμην ἠπείγετο, τὰ ἐμφύλια πάντα καθελὼν, ἐπὶ φόβε καὶ δόξης οἵας ἐ τις προτῆ. ὅθεν αὐτῷ τιμαὶ πᾶσαι, ὅσαι ὑπὲρ ἄνθρωπον, ἀμέτρως ἐς χάριν ἐπενοῦντο, θυσιῶν τε πέρι, καὶ ἀγώνων, καὶ ἀναθημάτων ἐν πᾶσιν ἱεροῖς καὶ δημοσίοις χωρίοις, ἀνὰ φυλὴν ἑκάστην· καὶ ἐν ἔθνεσιν ἅπασι, καὶ ἐν βασιλεῦσιν ὅσοι Ῥωμαίοις φίλοι. σχήματά τε ἐπεγράφετο ταῖς εἰκόσι ποικίλα· καὶ στέφανος ἐκ δρυὸς ἦν ἐπ' ἐνίαις, ὡς σωτῆρι τῆς πατρίδος· ᾧ πάλαι τὰς ὑπερασπίσαντας ἐγέραιρον οἱ περισωθέντες. ἀνεῤῥήθη δὲ καὶ Πατὴρ πατρίδος, καὶ δικτάτωρ ἐς τὸν ἑαυτῆ βίον ἡρέθη, καὶ ὕπατος ἐς δέκα ἔτη· καὶ τὸ σῶμα ἱερὸς καὶ ἄσυλος εἶναι· καὶ χρηματίζειν ἐπὶ θρόνων ἐλεφαντίνων τε καὶ χρυσέων· καὶ θύειν μὲν αὐτὸν αἰεὶ θριαμβικῶς ἠμφιεσμένον, τὴν δὲ πόλιν ἀνὰ ἔτος ἕκαστον, αἷς αὐτὸς ἡμέραις ἐν παρατάξεσιν ἐνίκα· ἱερέας δὲ καὶ ἱερείας ἀνὰ πενταετὲς εὐχὰς δημοσίας ὑπὲρ αὐτῆ τίθεσθαι· καὶ τὰς ἀρχὰς εὐθὺς καθισαμένας ὀμνύναι, μηδενὶ τῶν ὑπὸ Καίσαρος ὁριζομένων ἀντιπράξειν. ἔς τε τιμὴν τῆς γενέσεως αὐτῆ τὸν Κυΐντίλιον μῆνα, Ἰέλιον ἀντὶ Κτϊντιλίε μετωνόμασαν εἶναι· καὶ νεὼς ἐψηφίσαντο πολλὰς αὐτῷ γενέσθαι καθάπερ θεῷ, καὶ κοινὸν αὐτῆ καὶ Ἐπιεικείας, ἀλλήλας δεξιεμένων.

Dictator perpetuus & Consul creatur in decennium.

cap. 107. Rex a nonnullis salutatur, renuente tamen Cæsare, qui se in multis adhuc ad popularem sensum accommodabat.

Οὕτως ἐδεδοίκεσαν μὲν ὡς δεσπότην, εὔχοντο δὲ σφίσιν ἐπιεικῆ γενέσθαι. εἰσὶ δ' οἳ καὶ βασιλέα προσειπεῖν ἐπενόεν, μέχρι μαθὼν αὐτὸς ἀπηγόρευσε καὶ ἠπείλησεν, ὡς ἀθέμιστον ὄνομα, μετὰ τὴν τῶν προγόνων ἀράν. σπεῖραι δ' ὅσαι στρατηγίδες αὐτὸν ἐκ τῶν πολέμων ἔτι ἐσωματοφυλάκεν, ἀπέστησε τῆς φυλακῆς, καὶ μετὰ τῆς δημοσίας ὑπηρεσίας ἐπεφαίνετο μόνης. ὧδε δ' ἔχοντι, καὶ χρηματίζοντι πρὸ τῶν ἐμβόλων, τὸ ψήφισμα τῶν προ-

Digitized by Google

προλελεγμένων τιμῶν ἡ βυλὴ, τῶν ὑπάτων ἡγυμένων, ἐν κόσμῳ τῷ πρέποντι ἑκάςῳ, προσέφερον. ὁ δὲ αὐτὰς ἐδεξιῦτο μὲν, ὐχ' ὑπανέςη δὲ προσιῦσιν, ὐδ' ἐπιμένυσι· ἀλλὰ τοῖς διαβάλλυσιν αὐτὸν ἐς τὴν ἐπιθυμίαν τῆς βασιλικῆς προσηγορίας καὶ τόδε παρέσχε. τὰς δὲ ἄλλας τιμὰς, χωρὶς τῆς δεκαετῦς ὑπατείας προσέμενος, ὑπάτυς ἐς τὸ μέλλον ἀπέφηνεν αὐτόν τε καὶ Ἀντώνιον, τὸν ἵππαρχον ἑαυτῦ· Λεπίδῳ προστάξας ἱππαρχεῖν ἀντὶ τῦ Ἀντωνίυ, ἄρχοντι μὲν Ἰβηρίας, ἡγεμονεύοντι δ' αὐτῆς διὰ φίλων. κατεκάλει δὲ καὶ τὺς φεύγοντας ὁ Καῖσαρ, πλὴν εἴ τις ἐπὶ ἀνηκέςοις ἔφευγε· καὶ τοῖς ἐχθροῖς διηλλάσσετο, καὶ τῶν πεπολεμηκότων οἱ πολλὺς προῆγεν ἀθρόως ἐς ἐτησίυς ἀρχὰς, ἢ ἐς ἐθνῶν ἢ ςρατοπέδων ἡγεμονίας. ᾧ δὴ καὶ μάλιςα ὑπαχθεὶς ὁ δῆμος, ἤλπιζε καὶ τὴν δημοκρατίαν αὐτὸν αὐτοῖς ἀποδώσειν· καθάπερ Σύλλας, ἐς ἴσον αὐτῷ δυναςεύσας, ἐποίησεν. ἀλλὰ τῦδε μὲν ἐσφάλησαν.

Repudiato decenni consulatu se ipsum & Antonium Coss. designat, exules revocat, inimicis veniam dat &c.

Εἰκόνα δ' αὐτῦ τις τῶν ὑπερεθιζόντων τὸ λογοποίημα τῆς βασιλείας ἐςεφάνωσε δάφναις, ἀναπεπλεγμένης ταινίας λευκῆς· καὶ αὐτὸν οἱ δήμαρχοι Μάρυλλός τε καὶ Καισήτιος ἀνευρόντες, ἐς τὴν φυλακὴν ἐσέβαλλον, ὑποκρινάμενοί τι καὶ τῷ Καίσαρι χαρίζεσθαι, προαπειλήσαντι τοῖς περὶ βασιλείας λέγυσιν. ὁ δὲ τῦτο μὲν ἤνεγκεν εὐςαθῶς. ἑτέρων δ' αὐτὸν ἀμφὶ τὰς πύλας ἰόντα ποθὲν Βασιλέα προσειπόντων, καὶ τῦ δήμυ ςενάξαντος, εὐμηχάνως εἶπε τοῖς ἀσπασαμένοις· ὐκ εἰμὶ Βασιλεὺς, ἀλλὰ Καῖσαρ· ὡς δὴ περὶ τὸ ὄνομα ἐσφαλμένοις. οἱ δ' ἀμφὶ τὸν Μάρυλλον, καὶ τῶνδε τῶν ἀνδρῶν τὸν ἀρξάμενον ἐξεῦρον, καὶ τοῖς ὑπηρέταις ἐκέλευον ἄγειν ἐς δίκην ἐπὶ τὸ ἀρχεῖον αὐτῶν. καὶ ὁ Καῖσαρ, ὐκέτι ἐνεγκὼν, κατηγόρησεν ἐπὶ τῆς βυλῆς τῶν περὶ τὸν Μάρυλλον, ὡς ἐπιβυλευόντων οἱ μετὰ τέχνης ἐς τυραννίδος διαβολήν. καὶ ἐπήνεγκεν, ἀξίυς μὲν αὐτὺς εἶναι θανάτυ, μόνης δ' αὐτὺς ἀφαιρεῖσθαι καὶ παραλύειν τῆς τε ἀρχῆς καὶ τῦ βυλευτηρίυ. ὁ δὴ καὶ μάλιςα αὐτὸν διέβαλεν ὡς ἐπιθυμῦντα τῆς ἐπικλήσεως, καὶ τὰς ἐς τῦτο πείρας καθιέντα, καὶ τυραννικὸν ὅλως γεγονότα· ἥ τε γὰρ πρόφασις τῆς κολάσεως περὶ τῆς βασιλικῆς ἐπωνυμίας ἦν, ἥ τε τῶν δημάρχων ἀρχὴ ἱερὰ καὶ ἄσυ-

cap. 108. Aequo animo tulit, cum aliquis, qui Cæsaris statuæ lauream, albis fasciis intertextam imposuerat, a tribunis pl. in carcerem conjiceretur. A. U. 710. ante Chr. 44.

Salutantibus eum Regem, non Regem se esse, sed Cæsarem, respondit; eos autem qui hujus salutationis auctores ad tribunal trahi jusserant, ad magnam suam

Digitized by Google

Invidiam punitos voluit.

ἄσυλος ἦν ἐκ νόμου καὶ ὅρκου παλαιοῦ· τήν τε ὀργὴν ὀξεῖαν ἐποίει τὸ μηδ᾽ ἀναμεῖναι τῆς ἀρχῆς τὸ ὑπόλοιπον.

cap. 109. Custodiam tamen respuit, ne sollicitus videretur.

Ὧν καὶ αὐτὸς αἰσθανόμενος, καὶ μετανοῶν, καὶ τόδε πρῶτον ἡγούμενος ἄνευ πολεμικῆς ἀρχῆς ἐν εἰρήνῃ βαρὺ καὶ δυσχερὲς διαπεπρᾶχθαι, λέγεται τοῖς φίλοις αὐτὸν ἐντείλασθαι φυλάσσειν, ὡς δεδωκότα τοῖς ἐχθροῖς λαβὴν, ζητοῦσι κατ᾽ αὐτοῦ. πυθομένων δ᾽ ἐκείνων, εἰ συγχωρεῖ πάλιν αὐτὸν σωματοφυλακεῖν τὰς Ἰβηρικὰς σπείρας· οὐδὲν ἀτυχέστερον, ἔφη, διηνεκοῦς φυλακῆς· ἔστι γὰρ αἰεὶ δεδιότος. οὐ μὴν αἵ γε περὶ τῆς βασιλείας πεῖραι κατεπαύοντο οὐδ᾽ ὥς· ἀλλὰ θεώμενον αὐτὸν ἐν ἀγορᾷ τὰ Λουπερκάλια ἐπὶ θρόνου χρυσοῦ, πρὸ τῶν ἐμβόλων, Ἀντώνιος, ὑπατεύων σὺν αὐτῷ Καίσαρι, καὶ διαθέων τότε γυμνὸς ἀληλιμμένος, (ὥσπερ εἰώθασιν οἱ τῆσδε τῆς ἑορτῆς ἱερέες) ἐπὶ τὰ ἔμβολα ἀναδραμὼν, ἐστεφάνωσε διαδήματι. κρότου δὲ πρὸς τὴν ὄψιν παρ᾽ ὀλίγων γενομένου, καὶ στόνου παρὰ τῶν πλειόνων, ὁ Καῖσαρ ἀπέῤῥιψε τὸ διάδημα· καὶ ὁ Ἀντώνιος αὖθις ἐπέθηκε, καὶ ὁ Καῖσαρ αὖθις ἀπεῤῥιπτει. καὶ ὁ δῆμος, διερίζοντων μὲν ἔτι, ἡσύχαζε, μετέωρος ὢν ὅπῃ τελευτήσειε τὸ γιγνόμενον· ἐπικρατήσαντος δὲ τοῦ Καίσαρος, ἀνεβόησαν ἥδιστον, καὶ αὐτὸν ἅμα εὐφήμουν, οὐ προσέμενον.

Antonius, in consulatu collega, in Lupercalibus diadema capiti Cæsaris imposuit, quod vero cum magno plausu populi rejecit.

cap. 110. Forsitan, ut se tandem insidiis subduceret, Cæsar de expeditione in Getas & Parthos cogitavit,

Ὁ δὲ, εἴτε ἀπογνοὺς, εἴτε κάμνων, καὶ ἐκκλίνων ἤδη τήνδε τὴν πεῖραν ἢ διαβολὴν, εἴτε τισὶν ἐχθροῖς τῆς πόλεως ἀφιστάμενος, εἴτε νοσήματα τοῦ σώματος θεραπεύων, ἐπιληψίαν καὶ σπασμὸν, αἰφνίδιον ἐμπίπτοντα αὐτῷ μάλιστα παρὰ τὰς ἀργίας, ἐπενόει στρατείαν μακρὰν ἔς τε Γέτας καὶ Παρθυαίους· Γέταις μὲν αὐστηρῷ καὶ φιλοπολέμῳ καὶ γείτονι ἔθνει προεπιβουλεύων· Παρθυαίους δὲ τιννύμενος τῆς ἐς Κράσσον παρασπονδήσεως. στρατιὰν δὴ προὔπεμπεν ἤδη τὸν Ἰόνιον περᾶν, ἑκκαίδεκα τέλη πεζῶν, καὶ ἱππέας μυρίους. καὶ λόγος ἄλλος ἐφοίτα, Σιβύλλειον εἶναι προαγόρευμα, μὴ πρὶν ὑπακούσεσθαι Ῥωμαίοις Παρθυαίους, εἰ μὴ βασιλεὺς αὐτοῖς ἐπιστρατεύσειε. καί τινες ἀπὸ τοῦδε ἐτόλμων λέγειν, ὅτι χρὴ Ῥωμαίων μὲν αὐτὸν, ὥσπερ ἦν, δικτάτωρα καὶ αὐτοκράτορα καλεῖν, καὶ ὅσα ἄλλα ἐστὶν αὐτοῖς ἀντὶ βασιλείας ὀνόματα· τῶν δὲ ἐθνῶν, ὅσα Ῥωμαίοις ὑπήκοα, ἄντικρυς ἀνειπεῖν βασιλέα. ὁ δὲ καὶ τόδε

δε παρῃτεῖτο, καὶ τὴν ἔξοδον ὅλως ἐπετάχυνεν, ἐπίφθονος ὢν ἐν τῇ πόλει.

Ἐξιέναι δ' αὐτὸν μέλλοντα, πρὸ τετάρτης ἡμέρας οἱ ἐχθροὶ κατέκανον ἐν τῷ βουλευτηρίῳ· εἴτε διὰ ζῆλον εὐτυχίας τε καὶ δυνάμεως, ὑπερόγκου πάνυ γενομένης· εἴθ', ὡς ἔφασκον αὐτοὶ, τῆς πατρίου πολιτείας ἐπιθυμίᾳ. οὐ γὰρ ᾔδεσαν αὐτὸν, μὴ καὶ τάδε τὰ ἔθνη προσλαβὼν, ἀναμφιλόγως γένοιτο βασιλεύς. ταύτης δὲ σκοπὸν ἡγοῦμαι τῆς προσθήκης ἀφορμὴν λαβεῖν ἐγχειρήσεως, ἐς ὄνομα μόνον αὐτοῖς διαφερούσης, ἔργῳ δὲ καὶ τοῦ δικτάτωρος ὄντος ἀκριβῶς βασιλέως. συνεστήσαντο δὲ τὴν ἐπιβουλὴν μάλιστα δύω ἄνδρε, Μάρκος τε Βροῦτος, ὁ Καιπίων ἐπίκλην, Βρούτου τοῦ κατὰ Σύλλαν ἀνῃρημένου παῖς, αὐτῷ τε Καίσαρι προσφυγὼν ἐκ τοῦ κατὰ Φάρσαλον ἀτυχήματος· καὶ Γάϊος Κάσσιος, ὁ τὰς τριήρεις κατὰ τὸν Ἑλλήσποντον ἐγχειρίσας τῷ Καίσαρι· οἵδε μὲν ἄμφω τῆς Πομπηΐου μοίρας γεγονότε· τῶν δ' αὐτῷ Καίσαρι φιλτάτων, Δέκμος Βροῦτος Ἀλβῖνος. ἅπαντες αἰεὶ παρὰ Καίσαρι τιμῆς καὶ πίστεως χρηματίζοντες ἄξιοι· οἷς γε καὶ πράξεις ἐνεχείρισε μεγίστας, καὶ, ἐπὶ τὸν ἐν Λιβύῃ πόλεμον ἀπιὼν, στρατεύματα ἔδωκε, καὶ τὴν Κελτικὴν ἐπέτρεψε, τὴν μὲν ὑπὲρ Ἄλπεων Δέκμῳ, τὴν δ' ἐντὸς Ἄλπεων Βρούτῳ.

cap. 111. sed triduo ante profectionem ex urbe in curia interfectus est, M. Bruto Cæpione, C. Cassio & Decimo Bruto Albino conjurationis auctoribus.

Μέλλοντες δὲ ὁμοῦ τότε τῆς πόλεως στρατηγήσειν ὁ Βροῦτος καὶ ὁ Κάσσιος, ἐς ἀλλήλους διήριζον περὶ τῆς καλουμένης πολιτικῆς στρατηγίας, ἣ τῶν ἄλλων προτιμᾶται· εἴτε τῷ ὄντι φιλοτιμούμενοι περὶ αὐτὴν, εἴθ' ὑπόκρισις ἦν τοῦ μὴ πάντα συμπράσσειν ἀλλήλοις νομίζεσθαι. καὶ ὁ Καῖσαρ, αὐτοῖς διαιτῶν, λέγεται πρὸς τοὺς φίλους εἰπεῖν, ὡς τὰ μὲν δίκαια Κάσσιον ἀποφαίνοι, Βρούτῳ δ' αὐτὸς χαρίζοιτο. τοσῇδε ἐν ἅπασιν εὐνοίᾳ καὶ τιμῇ πρὸς τὸν ἄνδρα ἐχρῆτο. καὶ γὰρ αὐτῷ καὶ παῖς ἐνομίζετο εἶναι, Σερουϊλίας τῆς Κάτωνος ἀδελφῆς ἐραθείσης τοῦ Καίσαρος, ὅτε ὁ Βροῦτος ἐγίγνετο. διὸ καὶ, νικῶν ἐν Φαρσάλῳ, μετὰ σπουδῆς λέγεται τοῖς ἡγεμόσιν εἰπεῖν, Βροῦτον ὅπη δύναιντο περισώζειν. ἀλλ' εἴτε ἀχάριστος ὢν ὁ Βροῦτος, εἴτε τὰ τῆς μητρὸς ἁμαρτήματα ἀγνοῶν ἢ ἀπιστῶν ἢ αἰδούμενος, εἴτε φιλελεύθερος ὢν ἄγαν, καὶ τὴν πατρίδα προτιμῶν,

cap. 112. Favor Cæsaris in Brutum, qui adeo ejus filius putabatur.

Quid Brutum impulerit ad tyrannicidium.

Digitized by Google

τιμῶν, εἶθ' ὅτι ἔκγονος ὢν Βρούτου τοῦ πάλαι τοὺς βασιλέας ἐξελάσαντος, ἐρεθιζόμενος καὶ ὀνειδιζόμενος μάλιστα ἐς τοῦτο ὑπὸ τοῦ δήμου· (πολλὰ γὰρ τοῖς ἀνδριᾶσι τοῦ πάλαι Βρούτου, καὶ τῷ δικαστηρίῳ τοῦδε τοῦ Βρούτου, τοιάδε ἐπεγράφετο λάθρα· Βροῦτε δωροδοκεῖς; Βροῦτε νεκρὸς εἶ; ἤ, ὤφελές γε νῦν περιεῖναι· ἤ, ἀνάξιά σου τὰ ἔκγονα· ἤ, οὐδ' ἔκγονος εἶ σὺ τοῦδε·) ταῦτα καὶ τοιουτότροπα ἄλλα πολλὰ τὸν νεανίαν ἐξέκαυσεν ἐπὶ τὸ ἔργον, ὡς ἑαυτοῦ προγονικόν.

cap. 113. Conjuratio initium sumit a confabulatione inter Cassium & Brutum.

Ἀκμάζοντος δ' ἔτι τοῦ περὶ τῆς βασιλείας λόγου, καὶ συνόδου μελλούσης ἔσεσθαι τῆς βουλῆς μετ' ὀλίγον, ὁ Κάσσιος ἐμβαλὼν τὴν χεῖρα τῷ Βρούτῳ, τί ποιήσομεν, ἔφη, παρὰ τὸ βουλευτήριον, ἂν οἱ κόλακες τοῦ Καίσαρος γνώμην περὶ βασιλείας προθῶσι; καὶ ὁ Βροῦτος οὐκ, ἔφη, παρέσεσθαι τῷ βουλευτηρίῳ. ἐπανερομένου δὲ τοῦ Κασσίου; τί δ', ἂν ἡμᾶς καλῶσιν ὡς στρατηγούς, τί ποιήσομεν, ὦ ἀγαθὲ Βροῦτε; ἀμυνῶ τῇ πατρίδι, ἔφη, μέχρι θανάτου. καὶ ὁ Κάσσιος αὐτὸν ἀσπασάμενος· τίνα δ', ἔφη, σὺ προσλήψῃ τῶν ἀρίστων, οὕτω φρονῶν; ἢ σοι δοκοῦσιν οἱ χειροτέχναι καὶ κάπηλοι καταγράφειν σου τὸ δικαστήριον ἀσήμως μᾶλλον, ἢ οἱ Ῥωμαίων ἄριστοι, παρὰ μὲν τῶν ἄλλων στρατηγῶν θέας αἰτοῦντες ἵππων ἢ θηρίων, παρὰ δὲ σοῦ τὴν ἐλευθερίαν, ὡς σὸν προγονικὸν ἔργον; οἱ μὲν δὴ τάδε ἄρα ἐκ πολλοῦ διανοούμενοι, τότε πρῶτον ἐς τὸ φανερὸν ἀλλήλοις προὔφερον· καὶ τῶν ἰδίων ἑκάτερος φίλων ἀπεπειρῶντο, καὶ τῶν αὐτοῦ Καίσαρος, οὓς εὐτολμοτάτους ἑκάτεροι ᾔδεσαν.

Reliquorum conspiratorum nomina.

καὶ συνήγειραν ἐκ μὲν τῶν σφετέρων ἀδελφοὺς δύο, Καικίλιόν τε καὶ Βουκολιανὸν, καὶ ἐπὶ τούτοις Ῥούβριον Ῥῆγα, καὶ Κόϊντον Λιγάριον, καὶ Μάρκον Σπόριον, καὶ Σερουΐλιον Κάσκαν, καὶ Σερούϊον Γάλβαν, καὶ Σέξστιον Νάσωνα, καὶ Πόντιον Ἀκύλαν· τούσδε μὲν ἐκ τῶν οἰκείων σφίσιν. ἐκ δὲ τῶν αὐτοῦ φίλων Καίσαρος Δέκμον τε, περὶ οὗ μοι προείρηται, καὶ Γάϊον Κάσκαν, καὶ Τρεβώνιον καὶ Τίλλιον Κίμβρον καὶ Μινούκιον Βάσιλλον.

cap. 114. Cum pro republica conspirarent sine jurisjurando & sacrifi-

Ὡς δὲ σφίσιν ἐδόκουν ἅλις ἔχειν, καὶ πλέοσιν ἐκφέρειν οὐκ ἐδοκίμαζον, συνέθεντο μὲν ἀλλήλοις ἄνευ τε ὅρκων καὶ ἄνευ σφαγίων· καὶ οὐδεὶς μετέθετο, οὐδὲ προὔδωκε· καιρὸν δ' ἐζήτουν, καὶ τόπον. ὁ μὲν δὴ καιρὸς ὑπερέ-

Digitized by Google

περιήπειγεν, ὡς Καίσαρος ἐς τετάρτην ἡμέραν ἐξιόντος ἐπὶ τὰς στρατείας, καὶ φυλακῆς αὐτὸν αὐτίκα περιεξούσης στρατιωτικῆς. χωρίον δ' ἐπενόουν τὸ βουλευτήριον· ὡς τῶν βουλευτῶν, εἰ καὶ μὴ προμάθοιεν, προθύμως, ὅτε ἴδοιεν τὸ ἔργον, συνεπιληψομένων. ὃ καὶ περὶ Ῥωμύλου, τυραννικὸν ἐκ βασιλικοῦ γενόμενον, ἐλέγετο συμβῆναι. δόξειν τε τὸ ἔργον, ὥσπερ ἐκεῖνο, καὶ τόδε ἐν βουλευτηρίῳ γενόμενον, οὐ κατ' ἐπιβουλὴν, ἀλλ' ὑπὲρ τῆς πόλεως πεπρᾶχθαι. ἀκίνδυνόν τε, ὡς κοινὸν, ἔσεσθαι παρὰ τῷ Καίσαρος στρατῷ· καὶ τὴν τιμὴν σφίσι μενεῖν, οὐκ ἀγνοουμένοις ὅτι ἦρξαν. διὰ μὲν δὴ ταῦτα τὸ βουλευτήριον ἐπελέγοντο πάντες ὁμαλῶς· περὶ δὲ τοῦ τρόπου διεφέροντο. οἱ μὲν, καὶ Ἀντώνιον συναναιρεῖν ἀξιοῦντες, ὑπατόν τε ὄντα σὺν τῷ Καίσαρι, καὶ φίλον αὐτοῦ δυνατώτατον, καὶ τοῖς στρατιώταις γνωριμώτατον· ὁ δὲ Βροῦτος ἔλεγεν, ἐπὶ μὲν τῷ Καίσαρι μόνῳ δόξαν οἴσεσθαι τυραννοκτόνων, ὡς βασιλέα ἀναιροῦντες· ἐπὶ δὲ τοῖς φίλοις αὐτοῦ, ἐχθρῶν, ὡς Πομπηΐου στασιῶται. καὶ οἱ μὲν, τῶδε μάλιστα ἀναπεισθέντες, τὴν προσιοῦσαν αὐτίκα τῆς βουλῆς σύνοδον ἐφύλασσον.

ciis, locus cædis placuit curia,

nec Antonius una tollendus visus est.

Οἱ δ' Ἀντώνιον μὲν πρὸ θυρῶν (τοῦ βουλευτηρίου) ἀποδιατρίβειν ἐν ὁμιλίᾳ Τρεβώνιον ἐξ ἑαυτῶν ὑπελίποντο· Καίσαρα δ' ἐπὶ τοῦ θρόνου προκαθίσαντα περιέστησαν, οἷα φίλοι, σὺν λεληθόσι ξιφιδίοις. καὶ αὐτῶν Τίλλιος μὲν Κίμβερ, ἐντυχὼν ἐς πρόσωπον, ἀδελφῷ φυγάδι κάθοδον ᾔτει. ἀνατιθεμένου δὲ καὶ ἀντιλέγοντος ὅλως τοῦ Καίσαρος, ὁ μὲν Κίμβερ αὐτοῦ τῆς πορφύρας, ὡς ἔτι δεόμενος, ἐλάβετο, καὶ τὸ εἷμα περισπάσας ἐπὶ τὸν τράχηλον εἷλκε, βοῶν· τί βραδύνετε, ὦ φίλοι; Κάσκας δ' ἐφεστὼς ὑπὲρ κεφαλῆς, ἐπὶ τὴν σφαγὴν τὸ ξίφος ἤρεισε πρῶτος· παρολισθὼν δὲ, ἐνέτεμε τὸ στῆθος. καὶ ὁ Καῖσαρ τό τε ἱμάτιον ἀπὸ τοῦ Κίμβρου ἐπισπάσας, καὶ τῆς χειρὸς τοῦ Κάσκα λαβόμενος, καὶ καταδραμὼν ἀπὸ τοῦ θρόνου, καὶ ἐπιστραφεὶς, τὸν Κάσκαν εἵλκυσε σὺν βίᾳ πολλῇ. οὕτω δ' ἔχοντος αὐτοῦ, τὸ πλευρὸν ἕτερος, ὡς ἐπὶ συστροφῇ τεταμένον, διελαύνει ξιφιδίῳ· καὶ Κάσσιος ἐς τὸ πρόσωπον ἔπληξε, καὶ Βροῦτος ἐς τὸν μηρὸν ἐπάταξε, καὶ Βουκολιανὸς ἐς τὸ μετάφρενον· ὥστε τὸν Καίσαρα ἐπὶ μέν τι σὺν ὀργῇ καὶ βοῇ, καθάπερ θηρίον, ἐς ἕκαστον αὐτῶν ἐπιστρέφεσθαι·

cap. 117. Antonio proforibus curiæ adhuc morante,

Cæsar confoditur,

& cadit ad Pompeji statuam XXIII plagis confessus.

φεσθαι· μετὰ δὲ τὴν Βρούτου πληγὴν, εἴτε ἀπογιγνώσκοντα ἤδη, τὸ ἱμάτιον περικαλύψασθαι, καὶ πεσεῖν εὐσχημόνως παρὰ ἀνδριάντι Πομπηΐου. οἱ δὲ καὶ ὡς ἐνύβριζον αὐτῷ πεσόντι, μέχρι τριῶν ἐπὶ εἴκοσι πληγῶν· πολλοί τε διωθιζόμενοι μετὰ τῶν ξιφῶν, ἀλλήλους ἔπληξαν.

cap. 118 Comperta cæde fuga communis in curia & per urbem, & communis perturbatio.

Ἐκτελεσθέντος δὲ τοῖς φονεῦσι τοσοῦδε ἄγους ἐν ἱερῷ χωρίῳ, καὶ ἐς ἄνδρα ἱερὸν καὶ ἄσυλον, φυγή τε ἦν ἀνὰ τὸ βουλευτήριον αὐτίκα καὶ ἀνὰ τὴν πόλιν ὅλην· καὶ ἐτρώθησάν τινες τῶν βουλευτῶν ἐν τῷδε τῷ θορύβῳ, καὶ ἀπέθανον ἕτεροι. πολὺς δὲ καὶ ἄλλος ἀστῶν τε καὶ ξένων ἐγίγνετο φόνος, οὐ προβεβουλευμένος, ἀλλ' οἷος ἐκ θορύβου πολιτικοῦ, καὶ ἀγνωσίας τῶν ἐπιλαβόντων. οἵ τε γὰρ μονομάχοι, ὡπλισμένοι ἕωθεν ὡς ἐπὶ δή τινα θέας ἐπίδειξιν, ἐκ τοῦ θεάτρου διέθεον ἐς τὰ τοῦ βουλευτηρίου παραφράγματα· καὶ τὸ θέατρον ὑπὸ ἐκπλήξεως σὺν φόβῳ καὶ δρόμῳ διελύετο, τά τε ὤνια ἡρπάζετο. καὶ τὰς θύρας ἅπαντες ἀπέκλειον, καὶ ἀπὸ τῶν τεγῶν εἰς ἄμυναν ἡτοιμάζοντο. Ἀντώνιός τε τὴν οἰκίαν ὠχύρου, τεκμαιρόμενος συνεπιβουλεύεσθαι τῷ Καίσαρι. καὶ Λέπιδος ὁ ἵππαρχος, ἐν ἀγορᾷ μὲν ὤν, ἐπύθετο τοῦ γεγονότος· ἐς δὲ τὴν ἐν τῷ ποταμῷ νῆσον διαδραμὼν, ἔνθα ἦν αὐτῷ τέλος στρατιωτῶν, ἐς τὸ πεδίον αὐτοὺς μετεβίβαζεν, ὡς ἑτοιμοτέρους ἕξων ἐς τὰ παραγγελλόμενα ὑπ' Ἀντωνίου· Ἀντωνίῳ γὰρ ἐξίστατο, φίλῳ τε τοῦ Καίσαρος ὄντι μᾶλλον, καὶ ὑπάτῳ. καὶ αὐτοῖς σκεπτομένοις ὁρμὴ μὲν ἦν, ἀμύνειν τῷ Καίσαρι τοιάδε παθόντι· τὴν δὲ βουλὴν πρὸς τῶν ἀνδροφόνων ἐσομένην ἐδεδοίκεσαν, καὶ τὸ μέλλον ἔτι περιεσκόπουν. ἀμφὶ δὲ αὐτῷ Καίσαρι στρατιωτικὸν μὲν οὐκ ἦν· οὐ γὰρ δορυφόροις ἠρέσκετο, τῇ δὲ τῆς ἡγεμονίας ὑπηρεσίᾳ μόνῃ. καὶ αἱ πλέονες ἀρχαὶ καὶ πολὺς ὅμιλος ἄλλος ἀστῶν καὶ ξένων, καὶ πολὺς θεράπων καὶ ἐξελεύθερος αὐτὸν ἐπὶ τὸ βουλευτήριον ἐκ τῆς οἰκίας παρεπεπόμφεισαν· ὧν ἀθρόως διαφυγόντων, τρεῖς θεράποντες μόνοι παρέμειναν, οἳ τὸ σῶμα ἐς τὸ φορεῖον ἐνθέμενοι, διεκόμισαν οἴκαδε ἀνωμάλως, οἷα τρεῖς, τὸν πρὸ ὀλίγου γῆς καὶ θαλάσσης προστάτην.

Antonius ædes suas munit; Lepidus vero traducit legionem in campum ad mandata Antonii exsequenda, qui tamen Cæsaris necem ulcisci non audet.

Cæsarem trucidatum tres servuli in lectica domum transferunt.

cap. 119. Percussores nec verbis nec

Οἱ δὲ σφαγεῖς ἐβούλοντο μέν τι εἰπεῖν ἐν τῷ βουλευτηρίῳ. οὐδενὸς δὲ παραμείναντος, τὰ ἱμάτια ταῖς λαιαῖς,

Digitized by Google

ῖς, ὥσπερ ἀσπίδας, περιπλεξάμενοι, καὶ τὰ ξίφη μετὰ τοῦ αἵματος ἔχοντες, ἐβοηδρόμουν βασιλέα καὶ τύραννον ἀνελεῖν· καὶ πιλόν τις ἐπὶ δόρατος ἔφερε, σύμβολον ἐλευθερώσεως· ἐπί τε τὴν πάτριον πολιτείαν παρεκάλουν, καὶ Βρούτου τοῦ πάλαι καὶ τῶν τότε σφίσιν ὀμωμοσμένων ἐπὶ τοῖς πάλαι βασιλεῦσιν ἀνεμίμνησκον. συνέθεον δὲ αὐτοῖς τινες, χρησάμενοι ξιφίδια, οἱ τοῦ ἔργου μὴ μετασχόντες, προσεποιοῦντο τὴν δόξαν, Λέντλος τε ὁ Σπινθὴρ, καὶ Φαώνιος, καὶ Ἀκουῖνος, καὶ Δολοβέλλας, καὶ Μοῦρκος, καὶ Πατίσκος· οἳ τῆς μὲν δόξης οὐ μετέσχον, τῆς δὲ τιμωρίας τοῖς ἁμαρτοῦσι συνέτυχον. τοῦ δήμου δὲ αὐτοῖς οὐ προσθέοντος, ἠπόρουν καὶ ἐδεδοίκεσαν· τῇ μὲν βουλῇ, καὶ εἰ αὐτίκα ὑπ' ἀγνοίας καὶ θορύβου διέφυγε, θαῤῥοῦντες ὅμως, συγγενέσι τε σφῶν καὶ φίλοις οὖσι, βαρυνομένοις τε τὴν τυραννίδα ὁμοίως· τὸν δὲ δῆμον ὑφορώμενοι, καὶ τοὺς ἐστρατευμένους τῷ Καίσαρι, πολλοὺς ἐν τῇ πόλει τότε παρόντας· τοὺς μὲν, ἄρτι τῆς στρατείας ἀφειμένους, καὶ ἐς κληρουχίας διατεταγμένους· τοὺς δὲ, προαπῳκισμένους μὲν, ἐς δὲ παραπομπὴν τοῦ Καίσαρος ἐξιόντος ἀφιγμένους. Λέπιδόν τε ἐδεδοίκεσαν, καὶ τὸν ὑπὸ τῷ Λεπίδῳ στρατὸν ἐν τῇ πόλει, καὶ Ἀντώνιον ὑπατεύοντα, μὴ ἀντὶ τῆς βουλῆς τῷ δήμῳ μόνῳ χρώμενος, ἐργάσαιτό τι δεινὸν αὐτούς.

Οὕτω δ' ἔχοντες ἐς τὸ Καπιτώλιον σὺν τοῖς μονομάχοις ἀνέθορον. Μετὰ δὲ ταῦτα τῶν οἰκείων σφίσι καὶ συγγενῶν ἐς τὸ ἱερὸν ἐλθεῖν πρὸς αὐτοὺς δυνηθέντων, ᾑρέθησαν οἱ πρεσβεύσοντες ὑπὲρ αὐτῶν ἐς Λέπιδόν τε καὶ Ἀντώνιον, ὁμονοίας πέρι, καὶ προνοίας τῆς ἐλευθερίας, καὶ φειδοῦς τῶν ἐσομένων τῇ πατρίδι κακῶν, εἰ μὴ συμφρονοῖεν. καὶ ἐδέοντο οἱ πεμφθέντες, οὐκ ἐπαινοῦντες μὲν τὸ πεπραγμένον· (οὐ γὰρ ἐθάῤῥουν ἐν φίλοις Καίσαρος·) γενόμενον δ' ἐνεγκεῖν ἀξιοῦντες, ἐλέῳ τε τῶν δεδρακότων αὐτὸ, οὐ κατὰ μῖσος, ἀλλ' ἐπ' εὐνοίᾳ τῆς πατρίδος· καὶ οἴκτῳ τῆς πόλεως, (κεκενωμένης στάσεσιν ἤδη συνεχέσιν,) εἰ καὶ τοὺς ὑπολοίπους ἀγαθοὺς ἄνδρας ἡ μέλλουσα στάσις διολέσει. οὐδὲ γὰρ ὅσιον, εἴ τις αὐτοῖς ἐστιν ἔχθρα πρὸς ἐνίους, ἐν τοῖς δημοσίοις κινδύνοις ἐξερίζειν· πολὺ δὲ μᾶλλον, ἐν τοῖς κοινοῖς καὶ τὰ ἴδια καταθέσθαι· ἢ, εἴ τις ἀνηκέστως ἔχει, τὰ ἴδια ἐν τῷ παρόντι ἀναθέσθαι.

insigni recuperatæ libertatis, pileo in hasta circumlato, populum ad restituendam libertatem incitare potuerunt; de senatu igitur bene sperantes;

Plebem vero, & veteranos tunc in urbe degentes, Lepidum & Antonium timentes, cap. 120 & 123. **Capitolium cum gladiatoribus occupant, & per amicos cum Antonio & Lepido de concordia agunt.**

cap. 124. Antonius, Cæsarem ulcisci cupiens, ancipiti responso percussores in curiam ad deliberandum de re præsenti invitat.

Ἀντώνιος δὲ καὶ Λέπιδος ἐβούλοντο μὲν ἀμύνειν Καίσαρι, ὥς μοι προείρηται, εἴτε φιλίας ἕνεκα, εἴτε τῶν ὀμωμοσμένων· εἴτε καὶ ἀρχῆς ὀρεγόμενοι, καὶ νομίζοντες εὐμαρέστερα σφίσιν ἅπαντα ἔσεσθαι, τοιῶνδε καὶ τοσῶνδε ἀνδρῶν ἀθρόως ἐκποδὼν γενομένων. τοὺς δὲ φίλους καὶ συγγενεῖς αὐτῶν ἐδεδοίκεσαν, καὶ τὴν ἄλλην βουλὴν ἐπιρρέπουσαν ἐς ἐκείνους· Δέκμον τε μάλιστα, τῆς ὁμόρου Κελτικῆς ᾑρημένον ὑπὸ Καίσαρος ἄρχειν, στρατὸν πολὺν ἐχούσης. ἐδόκει δὲ καραδοκεῖν ἔτι τὰ γενησόμενα, καὶ τεχνάζειν, εἰ δύναιντο περισπάσαι πρὸς ἑαυτοὺς τὴν στρατιὰν τὴν Δέκμου, ἄθυμον ἤδη τοῖς ἀτρύτοις πόνοις γεγενημένην. οὕτω δὲ δόξαν αὐτοῖς, ὁ Ἀντώνιος τοὺς εἰπόντας ἠμείψατο· "κατὰ μὲν ἔχθραν ἰδίαν οὐδὲν ἐργασόμεθα· ἕνεκα δὲ τοῦ μύσους, καὶ ὧν Καίσαρι πάντες ὠμόσαμεν, φύλακες αὐτῷ τοῦ σώματος ἢ τιμωροὶ παθόντι ἔσεσθαι, εὔορκον ἦν τὸ ἄγος ἐξελαύνειν, καὶ μετ' ὀλιγωτέρων καθαρῶν βιοῦν μᾶλλον, ἢ πάντας ἐνόχους ὄντας ταῖς ἀραῖς. ἀλλὰ δι' ἡμᾶς, οἷς οὕτω δοκεῖ, σκεψόμεθα μεθ' ὑμῶν ἐν τῷ βουλευτηρίῳ, καὶ νομιοῦμεν εὐαγὲς ἔσεσθαι τῇ πόλει, ὅ τι ἂν κοινῇ δοκιμάσηται."

cap. 125. Pecuniæ Cæsaris & actorum commentarii in ædes Ant. translati. cap. 126. Senatus in ædem Telluris convocatus,

Τῆς δ' ἐπιούσης νυκτὸς τὰ χρήματα τοῦ Καίσαρος καὶ τὰ ὑπομνήματα τῆς ἀρχῆς ἐς τὸν Ἀντώνιον μετεκομίζετο· εἴτε τῆς γυναικὸς αὐτὰ τῆς Καίσαρος ἐξ ἐπικινδύνου τότε οἰκίας ἐς ἀκινδυνοτέραν τὴν Ἀντωνίου μεταφερούσης, εἴτε τοῦ Ἀντωνίου κελεύσαντος. Γιγνομένων δὲ τούτων, διάγραμμα νυκτὸς ἀνεγιγνώσκετο Ἀντωνίου τὴν βουλὴν συγκαλοῦντος ἔτι πρὸ ἡμέρας ἐς τὸ τῆς γῆς ἱερὸν, ἀγχοτάτω μάλιστα ὂν τῆς οἰκίας Ἀντωνίου· οὔτε γὰρ ἐς τὸ βουλευτήριον ἐθάρρει κατελθεῖν, ὑποκείμενον τῷ Καπιτωλίῳ, μονομάχων ὄντων ἐκείνοις συνεργῶν· οὔτε, στρατιὰν ἐσαγαγὼν ἐς τὴν πόλιν, διαταράξαι. Λέπιδος δὲ ὅμως ἐσήγαγε.

cap. 127. ex parte favebat Cæsaris percussoribus, ex parte vero eos detestabatur. cap. 132. Antonius vero statuit servare percus-

Ἐν δὲ τῷ βουλευτηρίῳ βραχὺ μὲν ἦν τὸ καθαρεῦον σπουδῆς βιαίου καὶ ἀγανακτοῦν· οἱ δὲ πλέονες σὺν παρασκευῇ ποικίλῃ τοῖς ἀνδροφόνοις συνήργουν. οἱ δὲ καθαρώτεροι τὸ μὲν ἔργον ὡς ἄγος ἀπεστρέφοντο, αἰδοῖ δὲ μεγάλων οἴκων περισώζειν αὐτοὺς οὐκ ἐκώλυον· ἠγανάκτουν δὲ, εἰ καὶ τιμήσουσιν ὡς εὐεργέτας. Ὁ δὲ Ἀντώνιος τοὺς μὲν ἄνδρας ἔγνω περισώζειν, ὑπὸ ἀνάγκης· (ἐπικρύπτων

τὴν

Digitized by Google

τὴν ἀνάγκην, καὶ ὡς ἐν βαρυτάτῃ χάριτι περισώζων·) τὰ δὲ τῷ Καίσαρι πεπραγμένα κυρῦν συμβόλῳ, καὶ τὰ βεβυλευμένα συντελεῖν. Περὶ δὲ τύτυ πολλὰ εἰπόντος τῦ Ἀντωνίυ σὺν ἀνατάσει τε καὶ ὁρμῇ βαρυτέρᾳ, γίγνεται δόγμα, ἡσυχαζόντων ἤδη καὶ ἀγαπώντων ἁπάντων· Φόνυ μὲν ὐκ ἔιναι δίκας ἐπὶ τῷ Καίσαρι· κύρια δὲ ἔιναι τὰ πεπραγμένα αὐτῷ πάντα καὶ ἐγνωσμένα, ἐπεὶ τῇ πόλει συμφέρει. ἐβιάσαντο γὰρ τόδε ἐς ἀσφάλειαν οἱ τῶν περισωζομένων οἰκεῖοι προστεθῆναι μάλιστα, ὡς ὐ δικαίως Φυλασσόμενα μᾶλλον, ἢ διὰ χρείαν. καὶ ὁ Ἀντώνιος αὐτοῖς ἐς τῦτο ἐνέδωκεν. ἐψηφισμένων δὲ τύτων, ὅσοι τῶν κληρύχων ἡγεμόνες ἦσαν, ἠξίυν ἴδιον περὶ σφῶν ἐπὶ τῷ κοινῷ δόγμα ἕτερον γένεσθαι, βεβαιῦν αὐτῶν τὰς κληρυχίας. καὶ ὐκ ἐκώλυεν ὁ Ἀντώνιος, ἐπιδεικνὺς τῇ βυλῇ τὸν Φόβον. γίγνεται μὲν δὴ καὶ τῦτο· καὶ ἕτερον ἀυ περὶ τῶν ἐξιόντων ἐπὶ τὰς ἀποικίας ὅμοιον. Λεύκιον δὲ Πείσωνα, ὅτῳ τὰς διαθήκας ὁ Καῖσαρ παρετίθετο, τῦτον ἤδη τὸν τρόπον τῆς βυλῆς διαλελυμένης, τινὲς περιστάντες παρεκάλυν, μήτε τὰς διαθήκας προφέρειν, μήτε θάπτειν τὸ σῶμα Φανερῶς, μή τι νεώτερον ἕτερον ἐκ τύτων γένοιτο. καὶ ὐ πειθόμενον ἠπείλυν ἐσαγγέλλειν, ὅτι τὸν δῆμον ὐσίαν τηλικαύτην ἀφαιροῖτο, γιγνομένην κοινήν· ἄυθις ἄρα ἐνσημαινόμενοι τὴν τυραννίδα.

Ἐκβοήσας ὐν ὁ Πείσων ὅτι μέγιστον, καὶ τὺς ὑπάτυς ἔτι παρῦσαν δι τὴν βυλὴν ἀξιώσας συναγαγεῖν, ἔιπεν· "οἱ τύραννον λέγοντες ἕνα ἀνῃρηκέναι, τοσοίδε ἡμῶν ἀνθ' ἑνὸς ἤδη τυραννῦσιν· οἱ θάπτειν με κωλύυσι τὸν ἀρχιερέα, καὶ τὰς διαθήκας ἀπειλῦσι προφέροντι, καὶ τὴν ὐσίαν δημεύυσιν ἄυθις ὡς τυράννυ. καὶ τὰ μὲν ἐπὶ τύτοις αὐτῷ πεπραγμένα κεκύρωται· ἃ δὲ ἐφ' ἑαυτῷ κατέλιπεν, ἀκυρῦσιν, ὐ Βρῦτος ἔτι, ὐδὲ Κάσσιος, ἀλλ' οἱ κἀκείνυς ἐς τόνδε τὸν ὄλεθρον ἐκριπίσαντες. τῆς μὲν ὖν ταφῆς ὑμεῖς ἐστε κύριοι, τῶν δὲ διαθηκῶν ἐγώ· καὶ ὔποτε, ἃ ἐπιστεύθην προδώσω, πρὶν κἀμέ τις ἐπανέλῃ." Θορύβυ δὲ καὶ ἀγανακτήσεως γενομένης παρὰ πάντων, καὶ μάλιστα τῶν τι καὶ ἐλπιζόντων ἐκ τῶν διαθηκῶν αὐτοῖς ἔσεσθαι· τάς τε διαθήκας ἐς τὸ μέσον ἔδοξε προφέρειν, καὶ θάπτειν τὸν ἄνδρα δημοσίᾳ. καὶ ἐπὶ τοῖσδε ἡ βυλὴ διελύθη.

sores, sed simul & acta Cæsaris rata habere; cap. 135. cui senatus adstipulatus est, adjecta tamen hac caussa, *quia ita e republica esse videatur.* Veteranis peculiari S. C. agrorum possessio confirmatur, similiter etiam colonis. Discutitur quæstio: an testamentum Cæsaris apud L. Pisonem depositum, proferendum, ejusque corpus publice funerandum sit? quod utrumque tandem placet.

cap. 136

 Βρῦ-

Digitized by Google

cap. 137. Bruti oratio ad populum apologetica.

Βροῦτος δὲ καὶ Κάσσιος, αἰσθόμενοι τῶν γεγονότων, ἐς τὸ πλῆθος περιέπεμπον, καὶ παρεκάλουν, πρὸς αὐτοὺς ἀνελθεῖν ἐς τὸ Καπιτώλιον. συνδραμόντων δὲ ὀξέως πολλῶν, ὁ Βροῦτος ἔλεγεν· "ἐνταῦθα ὑμῖν ἐντυγχάνομεν, ὦ πολῖται, οἱ χθὲς κατ' ἀγορὰν ἐντυχόντες· οὔτε ὡς ἐς ἱερὸν καταφυγόντες, (οὐ γὰρ ἡμάρτομεν·) οὔτε ὡς ἐπὶ κρημνὸν, (οἱ τὰ καθ' ἑαυτοὺς ἐπιτρέπομεν ὑμῖν·) ἀλλὰ τὸ Κίννα πάθος, ὀξύτερόν τε καὶ ἀλογώτερον αὐτῷ γενόμενον, οὕτως ἠνάγκασεν. ᾐσθόμην δὲ τῶν ἐχθρῶν διαβαλλόντων ἡμᾶς ἐς ἐπιορκίαν, καὶ ἐς αἰτίαν ἀπορίας εἰρήνης ἀσφαλοῦς. ἃ δὴ περὶ τούτων ἔχομεν εἰπεῖν, ἐν ὑμῖν ἐροῦμεν, ὦ πολῖται, μεθ' ὧν καὶ τἄλλα δημοκρατουμένων πράξομεν. ἐπειδὴ Γάϊος Καῖσαρ ἐκ Γαλατίας ἐπὶ τὴν πατρίδα ἤλασε σὺν ὅπλοις πολεμίοις, καὶ Πομπήϊος μὲν ὁ δημοκρατικώτατος ὑμῶν ἔπαθεν, οἷα ἔπαθεν, ἐπὶ δ' αὐτῷ πλῆθος ἄλλο πολιτῶν ἀγαθῶν ἔς τε Λιβύην καὶ Ἰβηρίαν ἐλαυνόμενοι διωλώλεσαν· εἰκότως αὐτῷ δεδιότι, καὶ βέβαιον ἔχοντι τὴν τυραννίδα, ἀμνηστίαν αἰτοῦντι ἔδομεν, καὶ ὠμόσαμεν ὑπὲρ αὐτῆς. εἰ δὲ ἡμῖν ὀμνῦναι προσέταττεν, οὐ τὰ παρελθόντα μόνον οἴσειν ἐγκρατῶς, ἀλλὰ δουλεύσειν ἐς τὸ μέλλον ἑκόντας, τί ἂν ἔπραξαν οἱ νῦν ἐπιβουλεύσοντες ἡμῖν; ἐγὼ μὲν γὰρ, ὄντας γε Ῥωμαίους, οἴομαι πολλάκις ἀποθανεῖν ἑλέσθαι μᾶλλον, ἢ δουλεύειν ἑκόντας ἐπὶ ὅρκῳ.

cap. 138.

Εἰ μὲν δὴ μηδὲν ἔτι εἰς δουλείαν εἰργάζετο ὁ Καῖσαρ, ἐπιωρκήσαμεν. εἰ δὲ οὔτε τὰς ἀρχὰς τὰς ἐν ἄστει, οὔτε τὰς τῶν ἐθνῶν ἡγεμονίας, οὔτε στρατείας, ἢ ἱερωσύνας, ἢ κληρουχίας, ἢ τιμὰς ἄλλας ὑμῖν ἀπέδωκεν, οὐδὲ προεβούλευεν ἡ βουλὴ ἐπὶ οὐδενὸς, οὐδ' ὁ δῆμος ἐπεκύρου, ἀλλὰ πάνθ' ὁ Καῖσαρ ἦν ἅπασιν ἐξ ἐπιτάγματος, καὶ οὐδὲ κόρος αὐτῷ τοῦ κακοῦ τις ἐγίγνετο, οἷος ἐγένετο Σύλλᾳ· (ἀλλ' ὁ μὲν τοὺς ἐχθροὺς καθελὼν, ἀπέδωκεν ὑμῖν τὴν πολιτείαν· ὁ δ' ἐπὶ ἄλλην στρατείαν χρόνιον ἀπιὼν, ἐς πενταετὲς ὑμῶν τὰ ἀρχαιρέσια προελάμβανε·) ποία ταῦτα ἦν ἐλευθερία, ἧς οὐδ' ἐλπὶς ὑπεφαίνετο ἔτι; τί δὲ οἱ τοῦ δήμου προστάται Καισήτιος καὶ Μάρυλλος; οὐχ, ἱερὰν καὶ ἄσυλον ἄρχοντες ἀρχὴν, ἐξηλαύνοντο σὺν ὕβρει; καὶ ὁ μὲν νόμος ὁ τῶν προγόνων, καὶ ὁ ὅρκος οὐδ' ἐπάγεσθαι δί-

κην

Digitized by Google

κὴν ἔτι ἄσι δημάρχοις ἐπιτρέπουσιν· ὁ δὲ Καῖσαρ αὐτὰς ἐξήλασεν, ὐδὲ δίκην ἐπαγαγών. πότεροι ἂν ἐς τὰς ἀσύλας ἡμάρτανον; ἢ Καῖσαρ μὲν ἱερὸς καὶ ἄσυλος, ὅτῳ ταῦτα ἀχ ἑκόντες, ἀλλ' ὑπ' ἀνάγκης, ὐδὲ πρὶν ἐπελθεῖν αὐτὸν ἐς τὴν πατρίδα σὺν ὅπλοις, καὶ τοσάσδε καὶ τοιάσδε ἀγαθὰς πολίτας κατακανεῖν, ἐθέμεθα· τὴν δὲ τῶν δημάρχων ἀρχὴν ἀχ ἱερὰν καὶ ἄσυλον οἱ πατέρες ἡμῶν ἐν δημοκρατίᾳ χωρὶς ἀνάγκης ὤμοσάν τε καὶ ἐπηράσαντο ἐς ἀεὶ ἔσεσθαι; πῦ δὲ οἱ Φόροι τῆς ἡγεμονίας καὶ λογισμοὶ συνεφέροντο; τίς δ' ἡμῶν ἀκόντων ἤνοιγε τὰ ταμιεῖα; τίς τῶν ἀψαύςων καὶ ἐπαράτων ἐκίνει χρημάτων; καὶ ἑτέρῳ δημάρχῳ κωλύοντι θάνατον ἠπείλει;

'Αλλὰ τίς, Φασὶν, ἔτι ὅρκος ἐς ἀσφάλειαν εἰρήνης ἂν γένοιτο; εἰ μὲν ὐ τυραννήσει τις, ὐδὲ ὅρκων δεῖ· ὐδὲ γὰρ τοῖς πατράσιν ἡμῶν ἐδέησεν ὐδέποτε. εἰ δ' ἐπιθυμήσει τις ἄλλος τυραννίδος, ὐδὲν πιςὸν ἐςι Ῥωμαίοις πρὸς τύραννον, ὐδ' ἔνορκον. καὶ τάδε προλέγομεν, ἔτι ὄντες ὑπὸ τῷ κινδύνῳ, καὶ προερῦμεν ὑπὲρ τῆς πατρίδος αἰεί. καὶ γὰρ, ὄντες ἐν ἀσφαλεῖ τιμῇ παρὰ Καίσαρι, τὴν πατρίδα τῆς ἡμετέρας τιμῆς προετιμήσαμεν κ. τ. λ."

cap. 139.

Τοιαῦτα τῦ Βρύτυ λέγοντος, ἀκροώμενοί τε ἔτι πάντες, καὶ διαλυόμενοι κατὰ σφᾶς ἐπῄνυν ὡς δικαιότατα· καὶ τὰς ἄνδρας, ὡς ἀκαταπλήκτυς δὴ, καὶ μάλιςα Φιλοδήμυς, ἐν θαύματι ἐποιῦντο, καὶ ἐς εὔνοιαν πρὸς αὐτὰς μετετίθεντο, καὶ ἐς τὴν ἐπιῦσαν αὐτοῖς συμπράξειν ἔμελλον. ἅμα δὲ ἡμέρᾳ οἱ μὲν ὕπατοι τὸ πλῆθος ἐς ἐκκλησίαν συνεκάλυν· καὶ ἀνεγιγνώσκετο αὐτοῖς τὰ δόξαντα, καὶ Κικέρων πολὺ τῆς ἀμνηςίας ἐγκώμιον ἐπέλεγεν. οἱ δὲ, ἡδόμενοι, κατεκάλυν ἐκ τῦ ἱερῦ τὰς ἀμφὶ τὸν Κάσσιον· καὶ οἵδε ἀναπέμπειν αὐτοῖς ἐν τοσῷδε ὅμηρα ἐκέλευον, καὶ ἀνεπέμποντο οἱ παῖδες Ἀντωνίυ τε καὶ Λεπίδυ. ὀφθέντων δὲ τῶν ἀμφὶ τὸν Βρῦτον, κρότος ἦν καὶ βοή. καὶ τῶν ὑπάτων εἰπεῖν τι βυλομένων, ὐκ ἀνασχόμενοι, δεξιώσασθαι αὐτὰς καὶ συναλλαγῆναι πρότερον ἐκέλευον· καὶ γίγνεται μὲν ὕτως. καὶ διεσείετο μάλιςα τοῖς ὑπάτοις ἡ γνώμη ὑπὸ δέυς ἢ φθόνυ, ὡς τῶν ἀνδρῶν καὶ τὰ ἄλλα αὐτὰς ὑπεροισάντων ἐν τῇ πολιτείᾳ.

cap. 142. Populus, laudatis percussoribus, eisdem in diem crastinum operam suam pollicetur.

Acceptis obsidibus Antonii Lepidique filiis, Cassius cum sociis e Capitolio progreditur plaudente & acclamante populo.

Δια-

cap. 143. Testamento Cæsaris recitato, moventur animi liberalitate ejus in populum & Decimum Brutum.

Διαθῆκαι δὲ τῦ Καίσαρος ἔφθησαν φερόμεναι, καὶ εὐθὺς αὐτὰς τὸ πλῆθος ἐκέλευον ἀναγιγνώσκειν. θετὸς μὲν δὴ τῷ Καίσαρι παῖς ἐγίγνετο ἐν αὐταῖς, ὁ τῆς ἀδελφῆς θυγατριδῦς Ὀκταΐος· τῷ δήμῳ δὲ ἦσαν ἐνδιαίτημα οἱ κῆποι δεδομένοι. καὶ κατ᾽ ἄνδρα Ῥωμαίων τῶν ὄντων ἔτι ἐν ἄςει, πέντε καὶ ἑβδομήκοντα Ἀττικαὶ δραχμαί. καὶ ὑπεσαλεύετο αὖθις ἐς ὀργὴν ὁ δῆμος, τυράννυ μὲν κατηγορίας προπεπαμένοι, διαθήκας δὲ φιλοπόλιδος ἀνδρὸς ὁρῶντες. οἰκτιςον δὲ ἐφάνη μάλιςα αὐτοῖς, ὅτι τῶν ἀνδροφόνων Δέκμος ὁ Βρῦτος ἐν τοῖς δευτέροις κληρονόμοις ἐγέγραπτο παῖς. ἔθος γάρ τι Ῥωμαίοις, παραγράφειν τοῖς κληρονόμοις ἑτέρυς, εἰ μὴ κληρονομοῖεν οἱ πρότεροι. ἐφ᾽ ᾧ δὴ καὶ μᾶλλον συνεταράσσοντο, καὶ δεινὸν καὶ ἀθέμιςον ἡγῦντο, καὶ Δέκμον ἐπιβυλεῦσαι Καίσαρι, παῖδα αὐτῷ γεγραμμένον εἶναι.

Delato deinde corpore Cæsaris in forum populum poenitet decreti de oblivione injuriarum facti.

ἐπεὶ δὲ καὶ Πείσωνος τὸ σῶμα φέροντος ἐς τὴν ἀγορὰν πλῆθός τε ἄπειρον ἐς φρυρὰν συνέδραμον σὺν ὅπλοις, καὶ μετὰ βοῆς καὶ πομπῆς δαψιλῦς ἐπὶ τὰ Ἔμβολα πρῦτέθη· οἰμωγή τε καὶ θρῆνος ἦν αὖθις ἐπιπλεῖςον, καὶ τὰ ὅπλα ἐπατάγυν οἱ ὡπλισμένοι, καὶ κατὰ μικρὸν ἐν μετανοίᾳ τῆς ἀμνηςίας ἐγίγνοντο. καὶ ὁ Ἀντώνιος ὧδε ἔχοντας ἰδὼν, ὐ μεθῆκεν, ἀλλὰ ἤρξατο εἰπεῖν τὸν ἐπιτάφιον, οἷα ὕπατος ὑπάτυ, καὶ φίλος φίλυ, καὶ συγγενὴς συγγενῦς.

cap. 146. Oratione funebri, ab Antonio habita, populus ad commiserationem & iram accenditur; præterea veste Cæsaris explicata lacera & sanguine inquinata, lugubri etiam carmine,

Ἐυφορώτατα δὲ ἐς τὸ πάθος ἐκφερόμενος, τὸ σῶμα τῦ Καίσαρος ἐγύμνυ, καὶ τὴν ἐσθῆτα ἐπὶ κοντῦ φερομένην ἀνέσειε, λελακισμένην ὑπὸ τῶν πληγῶν, καὶ πεφυρμένην αἵματι αὐτοκράτορος. ἐφ᾽ οἷς ὁ δῆμος, οἷα χορὸς, αὐτῷ πενθιμώτατα συνωδύρατο, καὶ ἐκ τῦ πάθυς αὖθις ὀργῆς ἐνεπίμπλατο. ὡς δ᾽ ἐπὶ τοῖς λόγοις ἕτεροι θρῆνοι μετὰ ᾠδῆς κατὰ πάτριον ἔθος ὑπὸ χορῶν ἐς αὐτὸν ᾔδοντο, καὶ τὰ ἔργα αὖθις αὐτῦ καὶ τὸ πάθος κατέλεγον, καί πυ τῶν θρήνων αὐτὸς ὁ Καῖσαρ ἐδόκει λέγειν, ὅσυς εὖ ποιήσειε τῶν ἐχθρῶν ἐξ ὀνόματος, καὶ περὶ τῶν σφαγέων αὐτῶν ἐπέλεγεν ὥσπερ ἐν θαύματι, "ἐμὲ δὲ καὶ τύσδε περισῶσαι τὺς κτενῦντάς με;" ὐκ ἔφερεν ἔτι ὁ δῆμος, ἐν παραλόγῳ ποιύμενος τὸ πάντας αὐτῦ τὺς σφαγέας, χωρὶς μόνυ Δέκμυ, αἰχμαλώτυς ἐκ τῆς Πομπηΐυ ςάσεως γενομένυς, ἀντὶ κολάσεων ἐπὶ ἀρχὰς καὶ ἡγε-

Digitized by Google

ἡγεμονίας ἐθνῶν καὶ στρατοπέδων προαχθέντας, ἐπιβουλεῦσαι· Δέκιον δὲ καὶ παῖδα αὐτῷ θετὸν ἀξιωθῆναι γενέσθαι.

Ὧδε δὲ αὐτοῖς ἔχουσιν ἤδη, καὶ χειρῶν ἐγγὺς οὖσιν, ἀνέσχε τις ὑπὲρ τὸ λέχος ἀνδρείκελον αὐτοῦ Καίσαρος ἐκ κηροῦ πεποιημένον· τὸ μὲν γὰρ σῶμα, ὡς ὕπτιον ἐπὶ λέχους, οὐχ ἑωρᾶτο. τὸ δὲ ἀνδρείκελον ἐκ μηχανῆς ἐπεστρέφετο πάντη, καὶ σφαγαὶ τρεῖς καὶ εἴκοσιν ὤφθησαν, ἀνά τε τὸ σῶμα πᾶν καὶ ἀνὰ τὸ πρόσωπον θηριωδῶς ἐς αὐτὸν γενόμεναι. τήνδε οὖν τὴν ὄψιν ὁ δῆμος οἰκτίστην σφίσι φανεῖσαν οὐκέτι ἐνεγκὼν, ἀνῴμωξάν τε, καὶ, διαζωσάμενοι, τὸ βουλευτήριον, ἔνθα ὁ Καῖσαρ ἀνῄρητο, κατέφλεξαν· καὶ τοὺς ἀνδροφόνους, ἐκφυγόντας πρὸ πολλοῦ, περιθέοντες ἐζήτουν, οὕτω δὴ μανιωδῶς ὑπὸ ὀργῆς τε καὶ λύπης, ὥστε τὸν δημαρχοῦντα Κίνναν ἐξ ὁμωνυμίας τοῦ στρατηγοῦ Κίννα, τοῦ δημηγορήσαντος ἐπὶ τῷ Καίσαρι, οὐκ ἀνασχόμενοί τι περὶ τῆς ὁμωνυμίας οὐδ' ἀκοῦσαι, διέσπασαν θηριωδῶς, καὶ οὐδὲν αὐτοῦ μέρος ἐς ταφὴν εὑρέθη. πῦρ δ' ἐπὶ τὰς τῶν ἄλλων οἰκίας ἔφερον, καὶ καρτερῶς αὐτοὺς ἐκείνων τε ἀμυνομένων, καὶ τῶν γειτόνων δεομένων, τοῦ μὲν πυρὸς ἀπέσχοντο, ὅπλα δ' ἠπείλησαν ἐς τὴν ἐπιοῦσαν οἴσειν.

cap. 147. denique cerea Cæsaris effigie, notas XXIII vulnerum exhibente.

Quibus artibus in furorem actus populus curiam incendit, interfectores disquirit, Cinnam per errorem discerpit &c.

Καὶ οἱ μὲν σφαγεῖς ἐξέφυγον ἐκ τῆς πόλεως διαλαθόντες. ὁ δὲ δῆμος ἐπὶ τὸ λέχος τοῦ Καίσαρος ἐπανελθὼν, ἔφερον αὐτὸ ἐς τὸ Καπιτώλιον ὡς ἐναγὲς, θάψαι τε ἐν ἱερῷ, καὶ μετὰ θεῶν θέσθαι. κωλυόμενοι δὲ ὑπὸ τῶν ἱερέων, ἐς τὴν ἀγορὰν αὖθις ἔθεσαν, ἔνθα τὸ πάλαι Ῥωμαίοις ἐστὶ βασίλειον, καὶ ξύλα αὐτῷ καὶ βάθρα, ὅσα πολλὰ ἦν ἐν ἀγορᾷ, καὶ εἴ τι τοιουτότροπον ἄλλο, συνενεγκόντες, καὶ τὴν πομπὴν δαψιλεστάτην οὖσαν ἐπιβαλόντες, στεφάνους τε ἔνιοι παρ' ἑαυτῶν, καὶ ἀριστεῖα πολλὰ ἐπιθέντες, ἐξῆψαν, καὶ τὴν νύκτα πανδημεὶ τῇ πυρᾷ παρέμενον. ἔνθα βωμὸς πρῶτος ἐτέθη, νῦν δ' ἐστὶ νεὼς αὐτοῦ Καίσαρος, θείων τιμῶν ἀξιούμενος. ὁ γάρ τοι θετὸς αὐτῷ παῖς Ὀκταούϊος, τό τε ὄνομα ἐς τὸν Καίσαρα μεταβαλὼν, καὶ κατ' ἴχνος ἐκείνου τῇ πολιτείᾳ προσιὼν, τήν τε ἀρχὴν τὴν ἐπικρατοῦσαν ἔτι νῦν, ἐῤῥιζωμένην ὑπ' ἐκείνου, μειζόνως ἐκρατύνατο, καὶ τὸν πατέρα τιμῶν ἰσοθέων ἠξίωσεν· ὧν δὴ καὶ νῦν, ἐξ ἐκείνου πρώτου, Ῥωμαῖοι τὸν ἑκά-

cap. 148. Percussores ex urbe profugiunt:

Corpus Cæsaris in foro imponitur in rogum, quo loco primum ara, deinde templum Cæsaris exstructum est, ad divinos ei honores exhibendos.

Digitized by Google

ἑκάστοτε τὴν ἀρχὴν τήνδε ἄρχοντα, ἢν μὴ τύχῃ τυραννικὸς ὢν ἢ ἐπίμεμπτος, ἀποθανόντα ἀξιοῦσιν, οἱ πρότερον οὐδὲ περιόντας αὐτοὺς ἔφερον καλεῖν βασιλέας.

Lib. III. c. 2. Quo fugerint percussores. Cassius & Brutus, ut prætores urbani, in urbe quidem remanent.

Τῶν δὲ ἀνδροφόνων οἱ μὲν ἄλλοι διετεφεύγεσαν ἐκ τῆς πόλεως, καὶ ὅσοι παρ' αὐτοῦ Καίσαρος εἰλήφεσαν ἡγεμονίας ἐθνῶν, ἀπεληλύθεσαν ἐπὶ τὰς ἡγεμονίας, Βροῦτος μὲν ὁ Δέκμος ἐς τὴν ὅμορον τῆς Ἰταλίας Κελτικὴν, Τρεβώνιος δὲ ἐς τὴν Ἀσίαν τὴν περὶ Ἰωνίαν, Τίλλιος δὲ Κίμβερ ἐς Βιθυνίαν. Κάσσιος δὲ καὶ Βροῦτος ὁ Μάρκος, ὧν δὴ καὶ μάλιστα τῇ βουλῇ διέφερεν, ᾕρηντο μὲν καὶ οἵδε ὑπὸ τοῦ Καίσαρος ἐς τὸ μέλλον ἔτος ἡγεμονεύειν, Συρίας μὲν ὁ Κάσσιος, καὶ Μακεδονίας ὁ Βροῦτος· ἔτι δὲ ὄντες ἀστικοὶ στρατηγοὶ, ὑπέμενον ἐν ἄστει ὑπ' ἀνάγκης· καὶ διατάγμασιν, οἷα στρατηγοὶ, τοὺς κληρούχους ἐθεράπευον, ὅσοις τε ἄλλοις ἐπενόουν, καὶ τὰ κληρουχήματα συγχωροῦντες αὐτοῖς πιπράσκειν, τοῦ νόμου κωλύοντος ἐντὸς εἴκοσιν ἐτῶν ἀποδίδοσθαι.

cap. 6. Sed nec veteranis nec plebi satis fidentes conjurationis socios de legionibus & pecuniis colligendis monent.

Ὁ δὲ Βροῦτος καὶ ὁ Κάσσιος, οὔτε τινὸς παρὰ τοῦ δήμου σφίσιν, ἢ παρὰ τῶν ἐξεστρατευμένων, εἰρηναίου φανέντος, οὔτε τὸ ποικίλον Ἀντωνίου φέροντες ἀφόβως, ἤδη καὶ στρατιὰν ἔχοντος, οὔτε τὴν δημοκρατίαν βεβαιουμένην ἔργοις δρῶντες, ἀλλὰ καὶ ἐς τοῦτο ὑφορώμενοι τὸν Ἀντώνιον· Δέκμῳ μάλιστα ἐπεποίθεσαν, ἔχοντι ἐν πλευραῖς τρία τέλη στρατοῦ· καὶ πρὸς Τρεβώνιον ἐς τὴν Ἀσίαν, καὶ πρὸς Τίλλιον ἐς Βιθυνίαν κρύφα ἔπεμπον, χρήματα ἀγείρειν ἀφανῶς καὶ στρατὸν περιβλέπεσθαι· αὐτοί τε ἠπείγοντο τῶν δεδομένων σφίσιν ὑπὸ τοῦ Καίσαρος ἐθνῶν λαβέσθαι. τοῦ χρόνου δὲ οὔπω συγχωροῦντος αὐτοῖς, ἀπρεπὲς ἡγούμενοι, τὴν ἐν ἄστει στρατηγίαν προλιπόντες ἀτελῆ, δόξαν ὕποπτον φιλαρχίας ἐθνῶν ἐνέγκασθαι, ᾕρουντο ὅμως ὑπὸ ἀνάγκης τὸ ἐν μέσῳ διάστημα διατρίψαι ποι μᾶλλον ἰδιωτεύοντες, ἢ ἐν ἄστει στρατηγεῖν, οὔτε ἀφόβως ἔχοντες, οὔτε τὰ εἰκότα, ἐφ' οἷς ὑπὲρ τῆς πατρίδος ἐπεπράχεσαν, τιμώμενοι.

Ut extra urbem agere possint, donec adveniat tempus in provincias abeundi, rei frumentariæ præficiuntur.

οὕτω δ' αὐτοῖς ἔχουσιν, ἡ βουλὴ συνειδυῖα τὴν γνώμην, ἔδωκε σίτου τῇ πόλει φροντίσαι, ἐξ ὅσης δύναιντο γῆς, μέχρι αὐτοὺς ὁ χρόνος τῶν ἐθνῶν τῆς στρατηγίας καταλάβοι. καὶ ἡ μὲν οὕτως ἔπραξεν, ἵνα μή ποτε Βροῦτος ἢ Κάσσιος φεύγειν δοκοῖεν· τοσήδε αὐτῶν φροντὶς ἦν ἅμα καὶ αἰδὼς,

ἐπεὶ

ἐπεὶ καὶ τοῖς ἄλλοις σφαγεῦσι· διὰ τέσδε μάλιςα συνε-λάμβανον.

Ἐξελθόντων δὲ τῆς πόλεως τῶν ἀμφὶ τὸν Βρῦτον, ἐπὶ δυνας είας ὢν ὁ Ἀντώνιος ἤδη μοναρχικῆς, ἀρχὴν ἔθνες καὶ ςρατιᾶς αὐτῷ περιέβλεπε. καὶ Συρίας μὲν ἐπεθύμει μάλιςα· ἐκ ἠγνόει δὲ ὢν δι' ὑπονοίας, καὶ μᾶλλον ἐσόμενος, εἴ τι αἰτοίη· καὶ γὰρ αὐτῷ κρύφα Δολοβέλλαν τὸν ἕτερον ὕπατον ἐπήλειφεν ἐς ἐναντίωσιν ἡ βελὴ, διάφορον αἰεὶ τῷ Ἀντωνίῳ γενόμενον. αὐτὸν ἂν τὸν Δολοβέλλαν ὁ Ἀντώνιος, νέον τε καὶ φιλότιμον εἰδὼς, ἔπεισεν αἰτεῖν Συρίαν, ἀντὶ Κασσίε, καὶ τὸν ἐς Παρθυαίες κατειλεγμένον ςρατὸν· αἰτεῖν δὲ ἐ παρὰ τῆς βελῆς, (ἐ γὰρ ἐξῆν·) ἀλλὰ παρὰ τε δήμε, νόμῳ. καὶ ὁ μὲν ἥσθεις, αὐτίκα πρέτιθει τὸν νόμον. καὶ τῆς βελῆς αἰτιωμένης αὐτὸν παραλύειν τὰ δόξαντα τῷ Καίσαρι· τὸν μὲν ἐπὶ Παρθυαίες πόλεμον ἐδενὶ, ἔφη, ὑπὸ Καίσαρος ἐπιτετράφθαι· Κάσσιον δὲ τὸν Συρίας ἀξιωθέντα, αὐτόν τι τῶν Καίσαρος πρότερον ἀλλάξαι, δόντα πωλεῖν τὰ κληρεχήματα τοῖς λαβεσι πρὸ τῶν νενομισμένων εἴκοσιν ἐτῶν· καὶ αὐτὸς δὲ αἰδεῖσθαι, Συρίας ἐκ ἀξιέμενος, Δολοβέλλας ὢν, πρὸ Κασσίε. οἱ μὲν δὴ τῶν δημάρχων τινὰ Ἀσπρήναν ἔπεισαν, ἐν τῇ χειροτονίᾳ ψεύσασθαι περὶ διοσημείας· ἐλπίσαντές τι καὶ Ἀντώνιον συμπράξειν, ὕπατόν τε ὄντα, καὶ τῶν σημείων ἱερέα, καὶ διάφορον ἔτι νομιζόμενον εἶναι τῷ Δολοβέλλᾳ. ὁ δ' Ἀντώνιος, ἐπεὶ τῆς χειροτονίας ἔσης ὁ Ἀσπρήνας ἔφη, διοσημείαν ἀπαίσιον γεγονέναι, ἔθες ὄντος ἑτέρες ἐπὶ τετο πέμπεσθαι, πάνυ χαλεψάμενος τῷ Ἀσπρήνᾳ τε ψεύσματος, τὰς φυλὰς ἐκέλευε χειροτονεῖν περὶ τε Δολοβέλλα.

cap. 7. Syria, provincia Cassio designata a Cæsare, obvenit Dolabellæ.

Καὶ γίγνεται μὲν ἔτω Συρίας ἡγεμὼν Δολοβέλλας, καὶ ςρατηγὸς τε πολέμε τε πρὸς Παρθυαίες, καὶ ςρατιᾶς τῆς ἐς αὐτὸν ὑπὸ Καίσαρος κατειλεγμένης, ὅση τε περὶ Μακεδονίαν προεληλύθει. καὶ ὁ Ἀντώνιος τότε πρῶτον ἔγνωςο συμπράσσων τῷ Δολοβέλλᾳ. γεγενημένων δὲ τῶνδε ἐν τῷ δήμῳ, τὴν βελὴν ὁ Ἀντώνιος ᾔτει Μακεδονίαν· εὖ εἰδὼς, ὅτι αἰδέσονται, μετὰ Συρίαν δοθεῖσαν Δολοβέλλᾳ, ἀντειπεῖν περὶ Μακεδονίας Ἀντωνίῳ, καὶ ταῦτα γυμνῆς ςρατε γενομένης. καὶ ἔδοσαν μὲν ἄκοντες, καὶ

cap. 8. Macedonia, provincia Bruto designata a Cæsare, obvenit Antonio.

Digitized by Google

καὶ ἐν θαύματι ἔχοντες, ὅπως τὸν ἐν αὐτῇ στρατὸν, προμεθῆκεν ὁ Ἀντώνιος τῷ Δολοβέλλᾳ· ἠγάπων δὲ ὅμως, Δολοβέλλαν ἔχειν τὸν στρατὸν, Ἀντωνίυ μᾶλλον. ἐν καιρῷ δὲ αὐτοὶ τὸν Ἀντώνιον τοῖς ἀμφὶ τὸν Κάσσιον ἀντήτυν ἕτερα ἔθνη. καὶ ἐδόθη Κυρήνη τε, καὶ Κρήτη· ὡς δ' ἑτέροις δοκεῖ, τάδε μὲν ἀμφότερα Κασσίῳ, Βιθυνία δὲ Βρύτῳ.

Cassio Cyrenaica, Bruto Creta.

Dio Cassius histor. Lib. XLV. c. 1. *C. Octavius Caepia*, Caesaris ex sorore pronepos,

Ὁ δὲ δὴ Γάϊος ὁ Ὀκταύϊος Καιπίας (ὕτω γὰρ ὁ τῆς Ἀττίας τῆς τῦ Καίσαρος ἀδελφῆς υἱὸς ὠνομάζετο) ἦν μὲν ἐξ Οὐελίτρων τῶν Οὐολσκίων· ὀρφανὸς δὲ ὑπὸ τῦ Ὀκταυΐυ τῦ πατρὸς καταλειφθεὶς, ἐτράφη μὲν παρά τε τῇ μητρὶ καὶ παρὰ τῷ ἀδελφῷ αὐτῆς Λυκίῳ Φιλίππῳ. αὐξηθεὶς δὲ, συνδιέτριβε τῷ Καίσαρι. ἄπαις τε γὰρ ἐκεῖνος ὢν, καὶ μεγάλας ἐπ' αὐτῷ ἐλπίδας ἔχων, ἠγάπα τε καὶ περιεῖπεν αὐτὸν, ὡς καὶ τῦ ὀνόματος, καὶ τῆς ὐσίας, τῆς τε μοναρχίας διάδοχον καταλείψων. Οὗτος ὖν ὁ Ὀκταύϊος ἔτυχε μὲν τότε, ὅτε ὁ Καῖσαρ ἐσφάγη, ἐν τῇ Ἀπολλωνίᾳ ἔτι πρὸς τῷ Ἰονίῳ ὢν κόλπῳ, ἐπὶ παιδείᾳ· (κατὰ γὰρ τὴν στρατείαν αὐτῦ τὴν ἐπὶ τὺς Πάρθυς ἐκεῖσε προεπέμπετο·) πυθόμενος δὲ τὸ συμβεβηκὸς, ἤλγησε μὲν, ὥσπερ εἰκὸς ἦν· ὐ μέντοι καὶ νεωτερίσαι τι εὐθὺς ἐτόλμησεν. ὔτε γὰρ ὅτι υἱὸς, ὔθ' ὅτι κληρονόμος κατελέλειπτο, ἠκηκόετο. καὶ προσέτι καὶ ὁ δῆμος ὁμονοῶν ἐπὶ τῷ γεγονότι ἠγγέλλετο τὴν πρώτην. περαιωθεὶς δὲ ἐς τὸ Βρεντέσιον, καὶ τάς τε διαθήκας ἅμα καὶ τὴν γνώμην τῦ δήμυ τὴν δευτέραν μαθὼν, ὐκέτ' ἀναβολὰς ἐποιήσατο, καὶ μάλιθ', ὅτι καὶ χρήματα πολλὰ καὶ στρατιώτας συχνὺς συμπροπεμφθέντας εἶχεν· ἀλλὰ τό, τε ὄνομα τῦ Καίσαρος παραχρῆμα ἀνέλαβε, καὶ τῦ κλήρυ αὐτὸν διεδέξατο, τῶν τε πραγμάτων εἴχετο. Πρῶτον μὲν γὰρ, ὡς καὶ ἐπὶ μόνῃ τῇ τῦ κλήρυ διαδοχῇ, καὶ ἰδιωτικῶς, καὶ μετ' ὀλίγων, ἄνευ ὄγκυ τινὸς, ἐς τὴν πόλιν ἐσῆλθεν· ἐπεί τ' ὐδ' ἠπείλει ὐδενὶ ὐδὲν, ὔτε ἐνεδείκνυτο, ὅτι ἄχθοιτό τε τοῖς γεγονόσι, καὶ τιμωρίαν αὐτῶν ποιήσοιτο. τόν τε Ἀντώνιον ὐχ ὅσον ὐκ ἀπῄτει τι τῶν χρημάτων, ὧν προηρπάκει, ἀλλὰ καὶ ἐθεράπευε, καίτοι καὶ προπηλακιζόμενος ὑπ' αὐτῦ καὶ ἀδικύμενος. τά τε γὰρ ἄλλα ἐκεῖνος καὶ λόγ-

cap. 3. Apolloniae tum litteris & rei militari vacans, Brundusium trajicit, acceptoque Caesaris nomine ob testamentum, rebus gerendis se parat,

cap. 5. quas tanta prudentia [illegible]essit, ut ab [illegible]initio nemini molestus esset.

Ab Antonio vero laesus est

γῳ καὶ ἔργῳ αὐτὸν ἐκάκε, καὶ τὸν νόμον τὸν φρατριατικὸν ἐσφερόμενον, καθ' ὃν τὴν ἐσποίησιν αὐτῦ τὴν ἐς τὰ τῦ Καίσαρος γενέθαι ἔδει, αὐτὸς μὲν ἐσπέδαζε δῆθεν ἐσενεγκεῖν, διὰ δὲ δημάρχων τινῶν ἀνεβάλλετο· ὅπως, ὡς μηδέπω παῖς αὐτῦ ἐκ τῶν νόμων ὢν, μήτε τι τῆς ἐσίας πολυπραγμονοίη, καὶ πρὸς τἄλλα ἀθενέςερος εἴη.

re & verbis, præsertim impedimentis potestati in Cæsaris opes inquirendi oppositis.

Ἐπ' ἐν τέταις ὁ Καῖσαρ ἤσχαλε μὲν, ὐ μέντοι καὶ ἀσφαλῶς παῤῥησιάσαθαί τι δυνάμενος, ἠνείχετο· μέχρις ὗ τὸ πλῆθος, ὑφ' ὗ τὸν πατέρα αὐξηθέντα ἠπίσατο, προσεποιήσατο. ὀργήν τε γὰρ αὐτὲς ἐπὶ τῷ ἐκείνε θανάτῳ ἔχοντας εἰδὼς, καὶ ἑαυτὸν ὡς καὶ παῖδα αὐτῦ σπεδάσειν ἐλπίσας, τόν τε Ἀντώνιον, διά τε τὴν ἱππαρχίαν, καὶ διὰ τὴν τῶν σφαγέων ὐ τιμωρίαν, μισῦντας αἰθόμενος, ἐπεχείρησε μὲν δημαρχῆσαι, πρός τε τὴν τῆς δημαγωγίας ἀφορμὴν, καὶ πρὸς τὴν ὑποδοχὴν τῆς ἐξ αὐτῆς δυναςείας· καὶ διὰ τῦτο τῆς τῦ Κίννε χώρας κενῆς ὔσης ἀντεποιήσατο. κωλυθεὶς δὲ ὑπὸ τῶν περὶ τὸν Ἀντώνιον, ὐχ ἡσύχασεν, ἀλλὰ Τιβέριον Καννέτιον δημαρχῦντα ἀναπείσας, ἐς τε τὸν ὅμιλον ὑπ' αὐτῦ ἐσήχθη, πρόφασιν τὴν δωρεὰν τὴν καταλειφθεῖσαν ὑπὸ τῦ Καίσαρος ποιησάμενος· καὶ δημηγορήσας, ὅσα ἥρμοττε, ταύτην τε εὐθὺς ἐκτίσειν σφίσιν ὑπέσχετο, καὶ ἄλλα αὐτῦ πολλὰ προσεπήλπισε· καὶ μετὰ τῦτο τὴν πανήγυριν τὴν ἐπὶ τῇ τῦ Ἀφροδισίε ἐκποιήσει καταδειχθεῖσαν, ἣν ὑποδεξάμενοί τινες ζῶντος ἔτι τῦ Καίσαρος ἐπιτελέσειν, ἐν ὀλιγωρίᾳ, ὥσπερ πε καὶ τὴν τῶν Παριλίων ἱπποδρομίαν, ἐποιῦντο, αὐτὸς ἐπὶ τῇ τῦ πλήθες θεραπείᾳ, ὡς καὶ προσήκεσαν διὰ τὸ γένος, τοῖς οἰκείοις τέλεσι διέθηκε. καὶ τότε μὲν ὔτε τὸν δίφρον τὸν τῦ Καίσαρος τὸν ἐπίχρυσον, ὔτε τὸν ςέφανον τὸν διάλιθον, ἐς τὸ θέατρον ἐσήγαγεν, ὥσπερ ἐψήφιςο, φοβηθεὶς τὸν Ἀντώνιον.

cap. 6. Octavius, plebis favorem capturus, tribunatum pl. affectat, sed Antonio impediente, frustra.

Productus deinde a trib. pl. ad populum, debita illi ex testam. Cæsaris promittit; ludis etiam eum oblectat.

Ἐπεὶ μέντοι ἄςρον τι παρὰ πάσας τὰς ἡμέρας ἐκείνας ἐκ τῆς ἄρκτε πρὸς ἑσπέραν ἀνεφάνη· καὶ αὐτὸ κομήτην τέ τινων καλέντων, καὶ προσημαίνειν, διά περ εἰώθε λεγόντων, οἱ πολλοὶ τῦτο μὲν ὐκ ἐπίςευον· τῷ δὲ δὴ Καίσαρι αὐτὸ, ὡς καὶ ἀπηθανατισμένῳ, καὶ ἐς τὸν τῶν ἄςρων ἀριθμὸν συγκατειλεγμένῳ, ἀνετίθεσαν· θαρσήσας, χαλκῦν αὐτὸν ἐς τὸ Ἀφροδίσιον, ἀςέρα ὑπὲρ τῆς κεφαλῆς

cap. 7. Quæ in honorem Cæsaris instituta sunt: statua cum stella supra caput, mensis Julius, feriæ.

Digitized by Google

λῆς ἔχοντα, ἔστησεν. ἐπειδή τε οὔτε τοῦτό τις, φόβῳ τοῦ ὁμίλου, ἐκώλυσεν, οὕτω δὴ καὶ ἄλλα τινὰ τῶν ἐς τὴν τοῦ Καίσαρος τιμὴν προδεδογμένων ἐγένετο. τόν τε γὰρ μῆνα τὸν Ἰούλιον ὁμοίως ἐκάλεσαν, καὶ ἱερομηνίαις τισὶν ἐπινικίοις ἰδίαν ἡμέραν ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἐβουθύτησαν. καὶ διὰ ταῦτα καὶ οἱ στρατιῶται ἑτοίμως, ἄλλως τε καὶ χρήμασι θεραπευθέντων τινῶν, συνίσταντο πρὸς τὸν Καίσαρα. θροῦς τε οὖν ἐγίγνετο, καὶ ἐδόκει τι νέον ἔσεσθαι· καὶ μάλιστα, ὅτι ὁ Ἀντώνιος αὐτὸν ἐν τῷ δικαστηρίῳ ἀπὸ μετεώρου καὶ ἀπὸ περιόπτου τινὸς, καθάπερ ἐπὶ τοῦ πατρὸς εἰώθει ποιεῖν, ἐντυχεῖν τι ἐθελήσαντα οὐ προσεδέξατο, ἀλλὰ καὶ κατέσπασε καὶ ἐξήλασε διὰ τῶν ῥαβδούχων.

Milites Octavio se adjungunt, Antonius vero ei non permittit de sublimi loco verba facere.

cap. 8. Ut Antonii invidiam augeat, Octavius foro se omnino abstinet, donec Antonius ei restitutionem amicitiæ offert. Sed mox novæ inter eos suspiciones oriuntur.

Δεινῶς γὰρ δὴ πάντες ἠγανάκτησαν, καὶ οὐχ ἥκιστα, ὅτι ὁ Καῖσαρ οὐδὲ ἐς τὴν ἀγορὰν ἔτι, πρός τε τὸ ἐκείνου ἐπίφθονον καὶ πρὸς τὸ τοῦ πλήθους ἐπαγωγὸν, ἐφοίτησε. φοβηθεὶς οὖν ὁ Ἀντώνιος διελέξατό ποτε τοῖς παροῦσιν, ὅτι οὔτε τινὰ ὀργὴν τῷ Καίσαρι ἔχοι, ἀλλὰ καὶ εὔνοιαν αὐτῷ ὀφείλει, καὶ ἕτοιμος εἴη πᾶσαν τὴν ὑποψίαν ἀπολύσασθαι. ἀγγελθέντων δὲ τούτων ἐκείνῳ, συνῆλθον μὲν ἐς λόγους, καὶ κατηλλάχθαι τισὶν ἔδοξαν· (τάς τε γὰρ γνώμας σφῶν ἀκριβῶς εἰδότες, καὶ ἐξελέγξαι τότε αὐτὰς ἄκαιρον εἶναι νομίσαντες, ἀνθυπεῖξάν τινα ἀλλήλοις συμβιβαζόμενοι·) καὶ ἡμέρας μέν τινας ἡσύχασαν, ἔπειτα δὲ ἀνθυποπτεύσαντες ἀλλήλους, εἴτ' ἐξ ἀληθοῦς ἐπιβουλῆς, εἴτε καὶ ἐκ ψευδοῦς διαβολῆς (οἷα ἐν τῷ τοιούτῳ φιλεῖ γίγνεσθαι) διηνέχθησαν αὖθις.

cap. 9. Ut plebem ab Octavio avellat, per fratrem suum rogationem de agris dividendis fert Antonius.

Ὁρῶν οὖν ὁ Ἀντώνιος τὸν Καίσαρα αὐξανόμενον, ἐπεχείρησε δελεάσαι τὸ πλῆθος, εἴ πως ἐκείνου τε αὐτοὺς ἀποσπάσειε, καὶ ἑαυτῷ προσποιήσειε. καὶ χώραν ἄλλην τε πολλὴν, καὶ τὴν ἐν τοῖς ἕλεσι τοῖς Ποντίνοις, ὡς κεχωσμένοις ἤδη, καίτοι γεωργεῖσθαι δυναμένοις, κληρουχηθῆναι διὰ Λουκίου Ἀντωνίου ἀδελφοῦ δημαρχοῦντος, ἐσηγήσατο. τρεῖς γὰρ οἱ ἀδελφοὶ οἱ Ἀντώνιοι οὗτοι ὄντες, ἀρχὰς ἅμα πάντες ἔσχον· ὁ μὲν Μάρκος, ὑπατεύων· ὁ δὲ Λούκιος, δημαρχῶν· ὁ δὲ Γάϊος, στρατηγῶν. ὅθεν οὐχ ἥκιστα ἐδυνήθησαν τοὺς μὲν τότε τῶν συμμάχων καὶ τῶν ὑπηκόων ἄρχοντας, πλὴν τῶν σφαγέων τῶν πλειόνων, ἄλλων τέ τινων, οὓς πιστοὺς σφίσιν εἶναι ἐνόμιζον, παῦσαι, ἑτέρους δὲ ἀντ'

ἀντ' αὐτῶν ἀνθελέσθαι· καί τισιν ἐπὶ μακρότερον, παρὰ τὰ νενομοθετημένα παρὰ τοῦ Καίσαρος, ἄρχειν ἐπιτρέψαι· καὶ τὴν μὲν Μακεδονίαν τὴν τῷ Μάρκῳ ἐκ τοῦ κλήρου δεδομένην, ὁ ἀδελφὸς αὐτοῦ Γάϊος σφετερίσασθαι· τὴν δὲ Γαλατίαν τὴν ἐντὸς τῶν Ἄλπεων, ἣ ὁ Βροῦτος ὁ Δέκιμος προσετέτακτο, αὐτὸς ἐκεῖνος, μετὰ τῶν στρατευμάτων ἐς τὴν Ἀπολλωνίαν προπεμφθέντων (ὡς καὶ ἰσχυροτάτην καὶ τοῖς στρατιώταις καὶ τοῖς χρήμασιν οὖσαν) ἀντιλαβεῖν. ταῦτά τε οὖν ἐψηφίσθη· καὶ τῷ Πομπηΐῳ τῷ Σέξτῳ, δύναμιν ἤδη πολλὴν ἔχοντι, ἥ τε ἄδεια, καίτοι ὑπὸ τοῦ Καίσαρος, ὥσπερ καὶ τοῖς ἄλλοις, δοθεῖσα, ἐβεβαιώθη· καὶ τὰ χρήματα, ὅσα ἔν τε ἀργυρίῳ καὶ ἐν χρυσίῳ τὸ δημόσιον ἐκ τῆς πατρῴας αὐτοῦ οὐσίας εἰλήφει, ἀποδοθῆναι ἐγνώσθη. τῶν γὰρ χωρίων αὐτῆς τὰ πλείω Ἀντώνιος ἔχων, οὐδεμίαν ἀπόδοσιν ἐποιήσατο. ἐκεῖνοι μὲν δὴ ταῦτ' ἔπραττον.

Gens Antonia, tunc valde potens ad magistratus distribuendos & prorogandos, M. Antonio vindicat Galliam Cisalpinam, C. Antonio Macedoniam, Sexto Pompejo procurat impunitatem.

cap. 10. Sextus Pompejus post fugam a Corduba & Cæsaris discessum Bæticam occupaverat,

Διηγήσομαι δὲ καὶ τὰ κατὰ τὸν Σέξτον γενόμενα. ὡς γὰρ τότε ἀπὸ τῆς Κορδούβης ἔφυγε, τὸ μὲν πρῶτον ἐς Λακητανίαν ἐλθὼν ἐκρύφθη: ἐπεδιώχθη μὲν γάρ, διέλαθε δέ, εὐνοϊκῶς τῶν ἐπιχωρίων οἱ, διὰ τὴν τοῦ πατρὸς μνήμην, ἐχόντων· ἔπειτα δέ, ἐπειδή ὅ, τε Καῖσαρ ἐς τὴν Ἰταλίαν ἀπῇρε, καὶ ἐν τῇ Βαιτικῇ στράτευμα οὐ πολὺ ὑπελείφθη, συνέστησαν πρὸς αὐτὸν καὶ ἐκεῖνοι, καὶ οἱ ἐκ τῆς μάχης διασωθέντες. καὶ οὕτω μετ' αὐτῶν ἔς τε τὴν Βαιτικήν, ὡς καὶ ἐπιτηδειοτέραν ἐμπολεμῆσαι οὖσαν, αὖθις ἀφίκετο. κἀνταῦθα καὶ στρατιώτας καὶ πόλεις, ἄλλως τε καὶ ἐπειδὴ ὁ Καῖσαρ ἀπέθανε, τὰς μὲν ἑκούσας, τὰς δὲ καὶ βίᾳ προσλαβών, (ὁ γὰρ ἄρχων αὐτῶν Γάϊος Ἀσίνιος Πολλίων οὐδὲν ἰσχυρὸν εἶχεν) ὥρμησε μὲν ἐπὶ τὴν Καρχηδόνα τὴν Ἰβηρικήν· ἐπιθεμένου δὲ ἐν τούτῳ τοῦ Πολλίωνος τῇ ἀπουσίᾳ αὐτοῦ, καὶ κακώσαντός τινα, ἐπανῆλθε χειρὶ πολλῇ· καὶ συμβαλών, αὐτόν τε ἐτρέψατο, καὶ τοὺς λοιποὺς ἰσχυρῶς ἀγωνιζομένους ἔπειτ' ἐκ συντυχίας τοιᾶσδε ἐξέπληξε καὶ ἐνίκησεν. ἐπειδὴ γὰρ ἐκεῖνος μὲν τὴν χλαμύδα τὴν στρατιωτικὴν ἀπέῤῥιψεν, ὥστε ῥᾶον τῇ φυγῇ λαθεῖν, ἕτερος δέ τις ὁμώνυμός τε αὐτῷ καὶ ἐπιφανὴς ἱππεὺς ἔπεσε, καὶ ὁ μὲν ἔκειτο, ἡ δὲ ἑαλώκει· τὸ μὲν ἀκούσαντες οἱ στρατιῶται, τὸ δὲ ἰδόντες, ἠπατήθησαν ὡς καὶ τοῦ στρατηγοῦ σφῶν ἀπολωλότος, καὶ ἐνέδοσαν. καὶ οὕτως

ὁ

jam vero Lepido, finitimæ Hispaniæ præfecto moriente, pacificationem admittit & Hispania excedit.

ὁ Σέξςος νικήσας, πάντα ὀλίγε τὰ ταύτῃ κατέσχε. δυνατε δὲ ἤδη αὐτε ὄντος, ὁ Λέπιδος τῆς τε ὁμοχώρε Ἰβηρίας ἄρξων ἀφίκετο, καὶ ἔπεισεν αὐτὸν ἐς ὁμολογίαν ἐλθεῖν, ἐπὶ τῷ τὰ πατρῷα κομίσασθαι. καὶ ἕτω καὶ ὁ Ἀντώνιος, διά τε τὴν τε Λεπίδε φιλίαν, καὶ διὰ τὴν τε Καίσαρος ἔχθραν, ψηφισθῆναι ἐποίησε. καὶ ὁ μὲν ἕτω τε καὶ ἐπὶ τέτοις ἐκ τῆς Ἰβηρίας ἀπηλλάγη.

cap. 11. Res a Cæsare & Antonio gestæ omnia hostilia arguebant. Antonius Consulatu, Cæsar favore populi prævalebat; neuter tamen amabatur.

Καίσαρ δὲ καὶ Ἀντώνιος πάντα μὲν ἐπ' ἀλλήλοις ἔπραττον, ἐ μέντοι καὶ φανερῶς πω συνεῤῥώγεισαν· ἀλλὰ καίπερ τῷ ἔργῳ ἐκπεπολεμωμένοι, τῇ γεν δοκήσει ἐπεκρύπτοντο. κἀκ τέτε καὶ τἄλλα τὰ ἐν τῇ πόλει πάντα ἔν τε ἀκρισίᾳ πολλῇ ἦν, καὶ συνεκέχυτο. εἰρήνευν ἔτι, καὶ ἐπολέμεν ἤδη· τό, τε τῆς ἐλευθερίας σχῆμα ἐφαντάζετο, καὶ τὰ τῆς δυναςείας ἔργα ἐγίγνετο. καὶ ἐν μὲν τῷ ἐμφανεῖ ὁ Ἀντώνιος, ἅτε καὶ ὑπατεύων, ἐπλεονέκτει, ἡ δὲ δὴ σπεδὴ τῶν ἀνθρώπων ἐς τὸν Καίσαρα ἐπῄει· τὸ μὲν, διὰ τὸν πατέρα αὐτε, τὸ δὲ, καὶ διὰ τὰς ἐλπίδας, ὧν ὑπισχνεῖτο· μέγιςόν τε, ὅτι τῷ τε Ἀντωνίῳ πολὺ δυναμένῳ ἤχθοντο, καὶ τῷ Καίσαρι μηδέπω ἰσχύοντι συνήροντο. ἐφίλεν μὲν γὰρ ἐδέτερον· νέων δὲ δὴ ἀεὶ πραγμάτων ἐπιθυμεντες, καὶ τὸ μὲν κρεῖττον ἀεὶ πᾶν καθαιρεῖν, τῷ δὲ πιεζομένῳ βοηθεῖν πεφυκότες, ἀπεχρῶντο αὐτοῖς πρὸς τὰ σφέτερα ἐπιθυμήματα.

Hinc primum Antonius per Cæsarem, postea Cæsar evertendus videbatur.

ταπεινώσαντες ἐν τότε διὰ τε Καίσαρος τὸν Ἀντώνιον, ἔπειτα κἀκεῖνον καταλῦσαι ἐπεχείρησαν. τοῖς γάρτοι ἀεὶ δυναμένοις βαρυνόμενοι, τὲς τε ἀσθενεςέρες προσελάμβανον, καὶ διὰ τέτων αὐτὲς καθήρεν· ἔπειτα καὶ ἐκείνοις ἠλλοτριεντο. κἀκ τέτε ἀντικαθιςάντες σφᾶς ἐς τὸ ἐπίφθονον, τὲς αὐτὲς καὶ ἐφίλεν καὶ ἐμίσεν, καὶ ηὖξον καὶ ἐταπείνεν.

cap. 12. Bellum inter Antonium & Cæsarem. Antonio Brundusium profecto, Cæsar suos cum peculiis præmiserat, ut ejus milites sibi conducerent.

Οὕτως ἐν αὐτῶν καὶ περὶ τὸν Καίσαρα καὶ περὶ τὸν Ἀντώνιον ἐχόντων, ἀρχὴν τήνδε ὁ πόλεμος ἔλαβεν. ὁ Καῖσαρ (τε Ἀντωνίε ἐς τὸ Βρεντέσιον πρὸς τὲς ςρατιώτας τὲς ἐκ τῆς Μακεδονίας περαιωθέντας ἀφορμήσαντος) ἐκεῖσε μὲν ἑτέρες τινὰς μετὰ χρημάτων, ὅπως σφᾶς σφετερίσωσι, προαπέςειλεν· αὐτὸς δὲ μέχρι Καμπανίας ἐλθὼν, πλῆθος ἀνδρῶν ἐκ τῆς Καπύης μάλιςα, ἅτε καὶ παρὰ τε πατρὸς αὐτε, ᾧ τιμωρεῖν ἔλεγε, τήν τε χώραν καὶ τὴν πόλιν εἰληφότων, ἤθροισεν. ὑπισχνεῖτό τε σφίσι πολλὰ,

καὶ

καὶ ἔκτεινεν εὐθὺς τότε κατὰ πεντακοσίας δραχμάς. ἐκ τούτων δὲ δὴ τῶν ἀνδρῶν καὶ τὸ τῶν Ἠουοκάτων ἢ Ὀυοκάτων σύστημα (οὓς Ἀνακλήτους ἄν τις ἑλληνίσας, ὅτι πεπαυμένοι τῆς στρατείας, ἐπ' αὐτὴν αὖθις ἀνεκλήθησαν, ὀνομάσειεν) ἐνομίσθη. καὶ αὐτοὺς παραλαβὼν ὁ Καῖσαρ ἠπείχθη τε ἐς τὴν Ῥώμην, πρὶν τὸν Ἀντώνιον ἀνακομισθῆναι, καὶ ἐς τὸν ὅμιλον ὑπὸ τοῦ Καννουτίου παρασκευασθέντα αὐτῷ ἐσελθὼν, πολλὰ μὲν τοῦ πατρὸς αὐτοὺς ἀνέμνησεν, ἐπεξιὼν, ὅσα καλῶς ἐπεποιήκει, πολλὰ δὲ καὶ ὑπὲρ ἑαυτοῦ καὶ μέτρια διελέχθη· τοῦ τε Ἀντωνίου κατηγόρησε, καὶ τοὺς στρατιώτας τοὺς ἀκολουθήσαντάς οἱ ἐπῄνεσεν, ὡς καὶ ἐθελοντὶ πρὸς ἐπικουρίαν τῆς πόλεως παρόντας, καὶ ἑαυτόν τε ὑπ' αὐτῇ προκεχειρισμένους, καὶ δι' ἑαυτοῦ πᾶσι ταῦτα δηλοῦντας. ἐπαίνων τε ἐπὶ τούτοις, ἔκ τε τῆς ἄλλης παρασκευῆς καὶ ἐκ τοῦ συνόντος αὐτῷ πλήθους, τυχὼν, ἀπῆρέ τε ἐς τὴν Τυρσηνίαν, ὅπως καὶ ἐκεῖθεν δύναμίν τινα προσλάβῃ. καὶ ὁ μὲν ταῦτα ἔπραττεν.

Cæsar ipse copias in Campania contrahit, Romam regressus, plebem, a Cannutio ipsi paratam, verbis permulcat; postea in Hetruriam profectus copias auget.

Ἀντώνιον δὲ τὴν μὲν ἀρχὴν φιλοφρόνως οἱ στρατιῶται ἐν τῷ Βρεντεσίῳ ἐδέξαντο, προσδοκήσαντες πλείω παρ' αὐτοῦ τῶν προτεινομένων σφίσιν ὑπὸ τοῦ Καίσαρος λήψεσθαι· ἐπειδὴ καὶ πολλῷ πλείω κεκτῆσθαι αὐτὸν ἐκείνου ἐνόμιζον. ὡς μέντοι ἑκατόν τε ἑκάστῳ δραχμὰς δώσειν ὑπέσχετο, καὶ αὐτῶν ἐπὶ τούτῳ θορυβησάντων, σφαγῆναι ἄλλους τέ τινας καὶ ἑκατοντάρχους ἔν τε τοῖς ἑαυτοῦ καὶ ἐν τοῖς τῆς γυναικὸς ὀφθαλμοῖς ἐκέλευσε, τότε μὲν ἡσύχασαν· πορευόμενοι δὲ ἐς τὴν Γαλατίαν, καὶ κατὰ τὸ ἄστυ γεγενημένοι, ἐνεωτέρισαν· καὶ καταφρονήσαντες τῶν ὑποστρατήγων τῶν ἐπιτεταγμένων σφίσι, συχνοὶ πρὸς τὸν Καίσαρα μετέστησαν· καὶ τόγε Ἄρειον καὶ τὸ τέταρτον στρατόπεδον ὠνομασμένον ὅλον αὐτῷ προσεχώρησε. παραλαβὼν οὖν αὐτοὺς, καὶ ἀργύριον καὶ ἐκείνοις ὁμοίως δοὺς, προσέθετο καὶ ἄλλους ἐκ τούτου πολλοὺς, καὶ τούς τε ἐλέφαντας τοὺς τοῦ Ἀντωνίου πάντας ἔλαβεν ἐξαπίνης, παρακομιζομένοις σφίσιν ἐντυχών. ἐπειδή τε ἐκεῖνος ἄλλα τέ τινα καὶ ἐν τῇ Ῥώμῃ διοικήσας, καὶ τοὺς στρατιώτας τοὺς λοιποὺς, τούς τε βουλευτὰς τοὺς σὺν αὐτοῖς ὄντας ὁρκώσας, ἐς τὴν Γαλατίαν ἐξώρμησε, φοβηθεὶς μὴ καὶ αὐτή τι νεοχμώσῃ· οὐδ' ὁ Καῖσαρ ἀνεβάλλετο, ἀλλ' ἐπηκολούθει αὐτῷ.

cap. 13. Milites Antonii complures in itinere in Galliam ad Cæsarem, plura iis solventem, transeunt;

Cæsar elephantis etiam Antonii potitur.

Antonius rebus Romæ constitutis in Galliam properat.

Ἦρχε

cap. 14. Decimus Brutus, Galliæ præfectus, Antonio non cedit.

Ἦρχε μὲν δὴ τότε τῆς χώρας ἐκείνης ὁ Βροῦτος ὁ Δέκιμος, καὶ αὐτοῦ ὁ Ἀντώνιος ἐλπίδα πολλὴν εἶχεν, ἅτε καὶ τὸν Καίσαρα ἀπεκτονότος. ἐπράχθη δὲ ὧδε. ὁ Δέκιμος οὔτε τι ἐς τὸν Καίσαρα ὑποπτεύων, (οὐδὲ γὰρ ἐπηπείλει τι τοῖς σφαγεῦσι) καὶ τὸν Ἀντώνιον οὐδὲν μᾶλλον ἐκείνου πολέμιον, ἢ καὶ ἑαυτοῦ, τῶν τε ἄλλων τῶν τι δυναμένων, ὑπ᾽ ἐμφύτου πλεονεξίας ὁρῶν ὄντα, οὐχ ὑπεῖξεν αὐτῷ.

Cæsar, utriusque quidem hostis, cum Bruto tamen amicitiam jungit, ut Antonium potentiorem facilius vincat.

μαθὼν οὖν τοῦτο ὁ Καῖσαρ, ἐπὶ πολὺ μὲν ἠπόρησεν, ὅ, τι πράξει. ἐμίσει μὲν γὰρ ἀμφοτέρους αὐτούς, οὐ μέντοι καὶ εἶχεν, ὅπως ἂν ἑκατέρῳ ἅμα μάχοιτο· οὐδὲ γὰρ τῷ ἑτέρῳ σφῶν ὁποτερῳοῦν ἀντίπαλος ἤδη ἦν· πρὸς δὲ καὶ ἐδεδίει, μὴ τοῦτο τολμήσας συστήσῃ τε αὐτοὺς ἀλλήλοις, καὶ καθ᾽ ἓν ἀμφοτέροις πολεμήσῃ. λογισάμενος οὖν, ὅτι ὁ μὲν πρὸς τὸν Ἀντώνιον ἀγὼν ἤδη τε ἐνέστηκε καὶ ἐπείγει, τῆς δὲ τιμωρίας τῆς τοῦ πατρὸς οὐδέπω καιρὸς εἴη, τὸν Δέκιμον προσηταιρίσατο. καὶ γὰρ οὖν ἠπίστατο, ὅτι τούτῳ μὲν, ἂν τῶν καθεστηκότων δι᾽ αὐτοῦ κρατήσῃ, οὐδὲν μέγα ἔργον μετὰ τοῦτο οἱ προσπολεμήσας ἕξει· ἐκεῖνον δὲ ἰσχυρὸν αὖθις πολέμιον σχήσει. τοσοῦτόν πη ἀλλήλων διέφερον.

cap. 15. Quo foedere urbanos in suas partes trahit, absentibus Coss.; Antonio & Dolabella (in Syriam præmisso),

Πέμψας οὖν πρὸς τὸν Δέκιμον, φιλίαν τε αὐτῷ ἐπηγγείλατο, καὶ συμμαχίαν, ἂν μὴ τὸν Ἀντώνιον δέξηται, προσυπισχνεῖτο. καὶ διὰ τοῦτο καὶ οἱ ἐν τῷ ἄστει τὴν χάριν τὴν τοῦ Καίσαρος συνῄροντο. τότε μὲν οὖν (ἤδη γὰρ ὅ, τε ἐνιαυτὸς ἐξῄει, καὶ ὕπατος οὐδεὶς παρῆν· ὁ γὰρ Δολοβέλλας ἐς τὴν Συρίαν ὑπὸ τοῦ Ἀντωνίου προεξεπέμπετο) ἔπαινοι ἐν τῇ βουλῇ αὐτοῖς τε ἐκείνοις, καὶ τοῖς στρατιώταις τοῖς τὸν Ἀντώνιον ἐγκαταλιποῦσι, τῶν δημάρχων ἐπιψηφισάντων, ἐγένοντο. καὶ ὅπως γε μετὰ ἀδείας τοῦ νέου ἔτους ἐνστάντος βουλεύσωνται περὶ τῶν παρόντων, φρουραῖς σφίσι στρατιωτῶν ἐν τῷ συνεδρίῳ χρῆσθαι ἔδοξε.

& Cicerone, Antonii infensissimo hoste, Cæsarem juvante.

ταῦτα γὰρ ἤρεσκε μὲν καὶ τοῖς ἄλλοις τοῖς πλείοσι τῶν ἐν τῇ Ῥώμῃ τότε ὄντων, (τὸν γὰρ Ἀντώνιον δεινῶς ἐμίσουν) μάλιστα δὲ δὴ τῷ Κικέρωνι. διὰ γὰρ τὸ πρὸς αὐτὸν ἔχθος, σφοδρότατον ὑπάρχον, τόν τε Καίσαρα ἐθεράπευε, καὶ πᾶν ὅσον ἐδύνατο, καὶ λόγῳ καὶ ἔργῳ, τούτῳ τε ἐβοήθει, καὶ ἐκεῖνον ἐκάκου. καὶ διὰ τοῦτο, καίτοι ἐκχωρήσας ἐκ τῆς πόλεως, ὡς καὶ τὸν υἱὸν Ἀθήναζε ἐπὶ παιδείᾳ προπέμψων, ἐπανῆλθεν, ἐπειδήπερ ἐκπεπολεμωμένους σφᾶς ᾔσθετο.

Αὐ-

Αὔλε δὲ δὴ Ἰρτίε μετὰ Γαΐε Οὐϊϐίε ὑπατεύσαντος, (ἔτος γὰρ, καίτοι τε πατρὸς αὐτε ἐς τὰ λευκώματα τὰ Σύλλεια ἐγγραφέντος, ὕπατος τότε ἀπεδείχθη) βελή τε ἐγένετο, καὶ γνῶμαι ἐπὶ τρεῖς ἐφεξῆς ἡμέρας, ἀπ' αὐτῆς τῆς νεμηνίας ἀρξάμεναι, προετέθησαν. ἔκ τε γὰρ τε πολέμε ἐν χερσὶν ὄντος, καὶ ἐκ τεράτων, ἃ πλεῖστα καὶ ἐξαισιώτατα ἐγεγόνει, ταρασσόμενοι, ὐδὲ τῆς ἀποφράδος, τὸ μὴ ἐν ἐκείναις βελεῦσαί τι τῶν συμφερόντων σφίσιν, ἀπέσχοντο. Τῇ δ' ἓν τρίτῃ ἡμέρᾳ ἐκράτησαν οἱ τὰ τε Καίσαρος πράττοντες. καὶ τῦτο μὲν, αὐτῷ ἐκείνῳ καὶ εἰκόνα, καὶ τὸ βελεύειν ἐν τοῖς τεταμιευκόσι, τό, τε τὰς ἄλλας ἀρχὰς δέκα ἔτεσι θᾶσσον παρὰ τὸ νενομισμένον αἰτῆσαι, καὶ τὸ τὰ χρήματα, ἃ τοῖς στρατιώταις ἐδεδώκει, παρὰ τῆς πόλεως (ὅτι δὴ καθ' ἑαυτὸν, ὑπὲρ αὐτῆς δὴ, παρεσκεύασε σφᾶς) λαβεῖν· τῦτο δὲ, καὶ τοῖς στρατιώταις, καὶ ἐκείνοις καὶ τοῖς τὸν Ἀντώνιον ἐγκαταλιπῦσι, τὸ μήτ' ἄλλον τινὰ πόλεμον ἀντιπολεμῆσαι, καὶ χώραν εὐθὺς δοθῆναι, ἐψηφίσαντο· πρός τε τὸν Ἀντώνιον πρεσβείαν ἔπεμψαν, κελεύεσάν οἱ τά τε στρατόπεδα καὶ τὴν Γαλατίαν ἀφεῖναι, καὶ ἐς τὴν Μακεδονίαν ἀπελθεῖν. καὶ τοῖς στρατευομένοις αὐτῷ προεῖπον, οἴκαδε ἐντὸς ῥητῆς ἡμέρας ἀναχωρῆσαι, ἢ εἰδέναι, ὅτι ἐν πολεμίων μοίρᾳ γενήσονται. καὶ προσέτι καὶ τὰς βελευτὰς τὰς ἀρχὰς τῶν ἐθνῶν παρ' αὐτε λαβόντας καταλύσαντες, ἑτέρες ἀντ' αὐτῶν ἀντιπεμφθῆναι ἔγνωσαν. τότε μὲν ταῦτ' ἐκυρώθη. ὕστερον δὲ ὐ πολλῷ, πρὶν καὶ τὴν γνώμην αὐτε μαθεῖν, ταραχήν τε εἶναι ἐψηφίσαντο, καὶ τὴν ἐσθῆτα τὴν βελευτικὴν ἀπεδύσαντο. τόν τε πόλεμον τὸν πρὸς αὐτὸν τοῖς ὑπάτοις καὶ τῷ Καίσαρι, στρατηγε τινα ἀρχὴν δόντες, προσέταξαν, καὶ σφίσι καὶ τὸν Λέπιδον, Λύκιόν τε Μενάτιον Πλάγκον ἐν μέρει τῆς ὑπὲρ τὰς Ἄλπεις Γαλατίας ἄρχοντα βοηθῆσαι ἐκέλευσαν.

Οὕτω μὲν τῷ Ἀντωνίῳ, καὶ ἄλλως πολεμησείοντι, αὐτοὶ τὴν πρόφασιν τῆς ἔχθρας παρέσχον. ἄσμενος γὰρ τῶν ἐψηφισμένων λαβόμενος, αὐτίκα τε τοῖς πρέσβεσιν ἐξωνείδισεν, ὡς ἔτ' ὀρθῶς, ἔτ' ἴσως οἱ πρὸς τὸ μειράκιον (τὸν Καίσαρα λέγων) ἐχρήσαντο, καὶ ἀντιπέμψας ἑτέρες, ὅπως ἐς ἐκείνες τὴν αἰτίαν περιστήσῃ τε πολέμε,

cap. 17. A. U. 711. ante Chr. 43. per tres dies in senatu deliberatum est, donec Cæsariani vincerent.

cap. 29. Decreta in favorem Cæsaris.

Decreta Antonii consiliis contraria, ut in Macedoniam proficiscatur &c.

Tumultu urbi impendente, bellum contra Antonium Coss. & Cæsari injungitur.

cap. 30. Antonius belli causam in senatum translaturus a senatu postulat, quæ ei concedi non poterant, ut

Digitized by Google

militibus suis eadem, quæ Cæsarianis præmia conferantur, Cassiusque & Brutus Coss. creentur,

λέμου, προετείνατό τινα, ἃ αὐτῷ μὲν εὐπρέπειαν ἔφερεν, ἀδύνατα δ' ἦν καὶ ὑπὸ τοῦ Καίσαρος καὶ ὑπὸ τῶν ἄλλων τῶν συναιρομένων οἱ πραχθῆναι. ἔμελλε μὲν γὰρ οὐδὲν τῶν προσταχθέντων ποιήσειν, εὖ δὲ ἐπιστάμενος, ὅτι οὐδὲ ἐκεῖνοί τι τῶν προβληθέντων ὑπ' αὐτοῦ πράξουσιν, ὑπισχνεῖται δῆθεν πάντα τὰ δεδογμένα σφίσι ποιήσειν, ὅπως αὐτός τε ἀναφυγὴν, ὡς ἂν πράξας αὐτὰ, ἔχῃ· καὶ τὰ τῶν ἐναντίων, ἀρνησαμένων, ἃ ἐπήγγελλεν, αἴτια τοῦ πολέμου φθάσῃ γενόμενα. τήν τε γὰρ Γαλατίαν ἐκλείψειν, καὶ τὰ στρατόπεδα ἀφήσειν ἔλεγεν, ἂν τούτοις τε τὰ αὐτὰ, ἅπερ τοῖς τοῦ Καίσαρος ἐψηφίσαντο, δῶσι, καὶ τὸν Κάσσιον τόν τε Βροῦτον τὸν Μάρκον ὑπάτους ἕλωνται. καὶ γὰρ τοῦτ' ᾔτησε, προσποιούμενος τοὺς ἄνδρας, ἵνα μηδεμίαν αὐτῷ ὀργὴν τῶν πρὸς τὸν Δέκιμον τὸν συνωμότην σφῶν πραττομένων ἔχοιεν.

cap. 31. Neutra harum conditionum approbata, bellum iterum Antonio indicitur.

Ἀντώνιος μὲν ταῦτα προΐσχετο, σαφῶς εἰδὼς, μηδέτερον αὐτῶν ἐσόμενον. ὁ γὰρ Καῖσαρ οὐκ ἄν ποτε ὑπέμεινεν, οὔτε τοὺς σφαγέας τοὺς τοῦ πατρὸς ὑπατεῦσαι, οὔτε τοὺς στρατιώτας τοῦ Ἀντωνίου τὰ αὐτὰ τοῖς ἑαυτοῦ λαβόντας, προσφιλεστέρους αὐτῷ μᾶλλον γενέσθαι. οὔκουν οὐδὲ ἐκυρώθη τι αὐτῶν, ἀλλὰ τότε μᾶλλον Ἀντωνίῳ τὸν πόλεμον πάλιν ἐπήγγειλαν, καὶ τοῖς συνοῦσίν οἱ προηγόρευσαν αὖθις, ἐγκαταλιπεῖν αὐτὸν, ἑτέραν τινὰ ἡμέραν τάξαντες. τάς τε χλαμύδας τὰς στρατιωτικὰς πάντες, καὶ οἱ μὴ ἐκστρατεύσαντες, ἠμπέσχοντο· καὶ τοῖς ὑπάτοις τὴν φυλακὴν τῆς πόλεως ἐπέτρεψαν, ἐκεῖνο δὲ τὸ εἰθισμένον τῷ δόγματι προσγράψαντες, τὸ μηδὲν ἀπ' αὐτῆς ἀποτριβῆναι.

Ad sumtus belli ejusque apparatum Cæsariani liberaliter ex suis conferunt;

ἐπειδή τε πολλῶν χρημάτων ἐς τὸν πόλεμον ἐδέοντο, πάντες μὲν τὸ πέμπτον καὶ εἰκοστὸν τῆς ὑπαρχούσης σφίσιν οὐσίας ἐπέδωκαν· οἱ δὲ δὴ βουλευταὶ καὶ τέσσαρας ὀβολοὺς καθ' ἑκάστην κεραμίδα τῶν ἐν τῇ πόλει οἰκιῶν, ὅσας ἢ αὐτοὶ ἐκέκτηντο, ἢ ἄλλων οὔσας ᾤκουν. καὶ χωρὶς ἕτερα οὐκ ὀλίγα οἱ πάνυ πλούσιοι συνετέλεσαν· τά τε ὅπλα, καὶ τὰ ἄλλα, τὰ πρὸς τὴν στρατείαν ἀναγκαῖα, συχναὶ μὲν πόλεις, συχνοὶ δὲ καὶ ἰδιῶται προῖκα ἐξεποίησαν. τοσαύτη γὰρ ἀχρηματία τὸ δημόσιον τότε ἔσχεν, ὥστε μηδὲ τὰς πανηγύρεις, τὰ ἐν τῷ καιρῷ ἐκείνῳ ὀφειλούσας γενέσθαι, ἐπιτελεσθῆναι, ἔξω βραχέων τινῶν, ὁσίας ἕνεκα.

Ταῦ-

Ταῦτα δὲ, ὅσοι μὲν τῷ τε Καίσαρι ἐχαρίζοντο, καὶ τὸν Ἀντώνιον ἐμίσυν, προθύμως ἔπραττον· οἱ δὲ δὴ πλεῖυς, ἅτε καὶ ταῖς στρατείαις ἅμα καὶ ταῖς εἰσφοραῖς βαρύμενοι, ἐδυσχέραινον· καὶ μάλιϑ᾽, ὅτι ἄδηλον μὲν ἦν, ὁπότερος αὐτῶν κρατήσει, πρόδηλον δὲ, ὅτι τῷ νικήσαντι δυλεύσυσι. συχνοὶ δ᾽ ὖν καὶ τὰ τῦ Ἀντωνίυ βυλόμενοι, οἱ μὲν, ἄντικρυς πρὸς αὐτὸν, ἄλλοι δὲ καὶ δήμαρχοι στρατηγοί τέ τινες, ἀπῆλθον· οἱ δὲ, καὶ κατὰ χώραν μείναντες, ἔπραττον ὑπὲρ αὐτῦ πάνθ᾽, ὅσα ἐδύναντο.

cap. 32. ceteri, collationibus jam exhausti, rem moleste ferunt, quod prævident, victori fore serviendum.

Λέξω δὲ καθ᾽ ἕκαστον τῶν γενομένων. ἐπολιόρκει μὲν ὁ Ἀντώνιος τὸν Δέκιμον ἐν τῇ Μυτίνῃ ὄντα, ὡς μὲν τἀκριβὲς εἰπεῖν, ὅτι ὐ παρῆκεν αὐτῷ τὴν Γαλατίαν· ὡς δ᾽ αὐτὸς ἐπλάττετο, ὅτι τῶν τῦ Καίσαρος σφαγέων ἐγεγόνει. ἐπειδὴ γὰρ ὔτε κόσμον οἱ ἡ ἀληθὴς τῦ πολέμυ αἰτία ἔφερε, καὶ ἅμα καὶ τὰ τῦ δήμυ πρὸς τὸν Καίσαρα, ἐπὶ τῇ τῦ πατρὸς αὐτῦ τιμωρίᾳ, ἀποβλέποντα ἐθεώρει, τῦτο πρόσχημα τῦ πολέμυ προεβάλετο. ὅτι γὰρ ἐσκήπτετο αὐτὸ, ἵνα τὴν Γαλατίαν κατάσχῃ, καὶ αὐτὸς ἐδήλωσε, τόν τε Κάσσιον καὶ τὸν Βρῦτον, τὸν Μάρκον ὑπάτυς ἀποδειχθῆναι αἰτήσας. πρὸς γάρ τοι τὰ ἑαυτῦ συμφέροντα, ἑκάτερον ἐκ τῦ ἐναντιωτάτυ προσεποιεῖτο. Καῖσαρ δὲ ἐστρατέυετο μὲν ἐπ᾽ αὐτὸν, πρὶν καὶ ψηφισθῆναί οἱ τὸν πόλεμον, ὐ μὴν καὶ ἐπεποιήκει λόγυ ἄξιον ὐδέν. μαθὼν δὲ δὴ τὰ δεδογμένα, τὰς μὲν τιμὰς ἀπεδέχετο, καὶ ἔχαιρεν, ἄλλως τε καὶ ὅτι θύοντι αὐτῷ, ὅτε τὸν κόσμον καὶ τὴν ἐξυσίαν τῦ στρατηγῦ ἔλαβε, διττὰ τὰ ἥπατα ἐν πᾶσι τοῖς ἱερείοις, δώδεκα ὖσιν, εὑρέθη. τῷ δὲ καὶ πρὸς τὸν Ἀντώνιον καὶ πρέσβεις καὶ λόγυς πεμφθῆναι, ἀλλὰ μὴ ὐκ ἀκήρυκτον εὐθὺς αὐτῷ τὸν πόλεμον ἐπαγγελθῆναι, ἤσχαλλε· καὶ μάλιϑ᾽, ὅτι καὶ τὺς ὑπάτυς ἐκείνῳ τε ἰδίᾳ τι περὶ τῆς ὁμονοίας ἐπεσταλκότας, καὶ γράμματα παρ᾽ αὐτῦ πρός τινας τῶν βυλευτῶν πεμφθέντα καὶ ἁλόντα, τύτοις τε ἀποδόντας, καὶ ἑαυτὸν ἀποκρυψαμένυς, τόν τε πόλεμον μήτε σπυδῇ, μήτε παραχρῆμα, τῇ τῦ χειμῶνος προφάσει, ποιυμένυς ᾔσθετο. ὐ μέντοι ἔχων, ὅπως ἐκφήνειεν αὐτὰ, (ὔτε γὰρ ἀλλοτριῶσαι σφᾶς ἤθελεν, ὔτ᾽ ἂν πεῖσαί τι ἢ καὶ βιάσασθαι ἐδύνατο) ἡσυ-

cap. 35. Obsidebat Antonius Mutinæ Dec. Brutum, quod is ei Galliam cedere nolebat.

Cæsari quidem bellum ipsi demandatum gratissimum erat; grave tamen ferebat, quod non sine interventu Coss.

Hiemavit foro Cornelii, donec Decimo cœpit metuere.

Digitized by Google

ἡσυχίαν καὶ αὐτὸς ἐν τῇ Κορνηλίᾳ ἀγορᾷ χειμάζων ἦγε, μέχρις ὃ περὶ τῷ Δεκίμῳ ἐφοβήθη.

cap. 36. Detectis a Bruto hominibus, in urbem ab Antonio submissis ad corrumpendos milites, iisque in vincula conjectis, strenue urbem defendit; Cæsar cum Hirtio, Bononia occupata, ad fluvium, qui Mutinam præterfluit, pergit, Deciмumque de sua præsentia certiorem facit lamina plumbea, per urinatorem jocto ad eum perlata.

Ἐκεῖνος γὰρ ἰσχυρῶς πρότερον μὲν τὸν Ἀντώνιον ἠμύνετο, καί ποτε ὑποτοπήσας τινὰς ἐς τὴν πόλιν ὑπ' αὐτοῦ ἐπὶ διαφθορᾷ τῶν στρατιωτῶν ἐσπεπέμφθαι, συνεκάλεσε μὲν τοὺς παρόντας, καὶ βραχέα ἄττα ὑπειπὼν, ἐκήρυξεν (δείξας τι χωρίον) τοὺς μὲν ἐν τοῖς ὅπλοις ἐπὶ τάδε, τοὺς δὲ ἰδιώτας ἐπὶ θάτερα αὐτοῦ ἀπελθεῖν. καὶ οὕτως ἀπορήσαντας τοὺς τοῦ Ἀντωνίου ὅπῃ τράπωνται, καὶ μονωθέντας, κατεφώρασε καὶ συνέλαβεν. ἔπειτα παντελῶς ἀπετειχίσθη. δείσας οὖν ὁ Καῖσαρ, μὴ καὶ βίᾳ ἁλῷ, ἢ καὶ ἀπορίᾳ τῶν ἐπιτηδείων ὁμολογήσῃ, ἠνάγκασε τὸν Ἵρτιον συνεπιστρατεῦσαι. ὁ γὰρ Οὐίβιος ἐν τῇ Ῥώμῃ ἔτι τοὺς τε καταλόγους ἐποιεῖτο, καὶ τοὺς νόμους τῶν Ἀντωνίων κατέλυεν. ὁρμήσαντες οὖν, Βονωνίαν μὲν, ἐκλειφθεῖσαν ὑπὸ τῶν φρουρῶν, ἀμαχεὶ παρέλαβον, καὶ τοὺς ἱππέας τοὺς μετὰ τοῦτο ἀπαντήσαντας σφίσιν ἐτρέψαντο· ὑπὸ δὲ τοῦ πρὸς τῇ Μουτίνῃ ποταμοῦ, τῆς τε ἐπ' αὐτῷ φυλακῆς, οὐχ οἷοί τε ἐγένοντο περαιτέρω προχωρῆσαι. βουλόμενοι οὖν καὶ ὡς τήν τε παρουσίαν σφῶν τῷ Δεκίμῳ, μὴ καὶ φθάσῃ τι συμβὰς, δηλῶσαι, τὸ μὲν πρῶτον ἀπὸ τῶν ὑψηλοτάτων δένδρων ἐφρυκτώρουν· ἐπεὶ δὲ οὐ συνίει, ἐς ἐλασμὸν μολίβδου λεπτὸν ἐγγράψαντές τινα, ἀπείλιξαν αὐτὸν, ὥσπερ τι χαρτίον, καὶ κολυμβητῇ νυκτὸς ὑφύδρῳ διενεγκεῖν ἔδωκαν. καὶ οὕτως ὁ Δέκιμος τήν τε παρουσίαν ἅμα αὐτῶν καὶ τὴν ὑπόσχεσιν τῆς ἐπικουρίας μαθὼν, ἀντεπέστειλε σφίσι τὸν αὐτὸν τρόπον· κἀκ τούτου συνεχῶς ἤδη πάντα ἀλλήλοις διεδήλουν.

cap. 37. Antonius cum Cæsare proelia committit; Hirtium, Cæsarem & Pansam vincit; vincitur autem ab Hirtio;

Ὁ οὖν Ἀντώνιος, ἰδὼν, ὅτι ὁ Δέκιμος οὐκ ἐνδώσειεν, ἐκείνῳ μὲν Λούκιον τὸν ἀδελφὸν παρακατέλιπεν, αὐτὸς δὲ ἐπί τε τὸν Καίσαρα καὶ ἐπὶ τὸν Ἵρτιον ἐχώρησε. καὶ αὐτῶν ἀντιστρατοπεδευομένων, ἐπὶ πολλὰς ἡμέρας ἱππομαχίαι τινὲς βραχεῖαι καὶ ἰσοπαλεῖς ἐγίγνοντο· μέχρις οὗ οἱ Κελτοὶ ἱππεῖς, οὓς μετὰ τῶν ἐλεφάντων ὁ Καῖσαρ προσεπεποίητο, πρός τε τὸν Ἀντώνιον αὖθις ἀπέκλιναν, κἀκ τοῦ στρατοπέδου μετὰ τῶν ἄλλων ἐξελθόντες, προεξώρμησαν μὲν, ὡς καὶ καθ' ἑαυτοὺς τοῖς ἀντιπροσελαύνουσι προσμίξοντες, ὑπέστρεψαν δὲ δι' ὀλίγου, καὶ παρὰ δόξαν μὴ

προσ-

Digitized by Google

προσδεχομένοις τοῖς ἐφεπομένοις σφίσι προσπεσόντες, συχνὲς αὐτῶν ἀπέκτειναν. καὶ μετὰ ταῦτα προνομεύοντές τινες ἀπ' ἀμφοτέρων, ἐς χεῖρας ἦλθον. κἀκ τέτε καὶ τῶν λοιπῶν ἐπιβοηθησάντων ἑκατέροις, μάχη τε ὀξεῖα ἐγένετο, καὶ ἐκράτησεν ὁ Ἀντώνιος. τέτοις τε ἒν ἐπαιρόμενος, καὶ τὸν Οὐΐϐιον πλησιάζοντα αἰσθόμενος, προσέβαλε πρὸς τὸ ἔρυμα τῶν ἀντικαθεστηκότων, εἴ πως προσεξελὼν αὐτὸ ῥᾶον τῷ λοιπῷ πολεμήσειε. καὶ ἐπειδὴ τά τε ἄλλα, πρός τε τὰς συμφορὰς καὶ πρὸς τὴν ἐλπίδα τὴν παρὰ τῦ Οὐϊϐίε, διὰ φυλακῆς ἐποιεῦντο, καὶ ἐκ ἀντεπεξῆγον, κατέλιπε καὶ ἐκεῖ μέρος τι τῦ στρατῦ, καὶ προσμιγνύναι τε σφίσι κελεύσας, ὅπως καὶ αὐτὸς ὅτι μάλιστα παρεῖναι δοκοίη, καὶ φυλάττειν ἅμα μή τινες κατὰ νώτε οἱ προσπέσωσι. διατάξας τε ταῦτα, ἀπῆρε νυκτὸς λαθὼν ἐπὶ τὸν Οὐΐϐιον ἀπὸ Βονωνίας προσιόντα· καὶ αὐτόν τε ἐνεδρεύσας κατέτρωσε, καὶ τὲς λοιπὲς τῶν στρατιωτῶν ἀπέκτεινε, τινὰς δὲ καὶ ἐς τὰ ταφρεύματα κατέκλεισε. καὶ ἂν ἐξεῖλεν αὐτὲς, εἰ καὶ ἐφ' ὁποσονῦν προσηδρεύκει σφίσι. νῦν δ' ἐπειδὴ τῇ πρώτῃ προσβολῇ ἐδὲν ἐπέρανεν, ἐφοβήθη μὴ καὶ χρονίσῃ, καί τι ἐν τέτῳ πρὸς τῦ Καίσαρος καὶ πρὸς τῶν ἄλλων πλεονεκτηθῇ· καὶ ἐπ' ἐκείνες αὖθις ἐτράπετο. καὶ αὐτῷ ὁ Ἴρτιος ἔκ τε τῆς πορείας ἑκατέρας καὶ ἐκ τῆς μάχης πεπονηκότι, καὶ προσέτι καὶ ἐν ἀνελπίστῳ ὄντι, μή ποτ' ἂν πολέμιόν τινα νενικηκότι οἱ προσμῖξαι, ἀπαντήσας, πολὺ ἐκράτησεν. ὡς γὰρ ἔγνωσαν τὸ γιγνόμενον, Καῖσαρ μὲν ἐπὶ τῇ τῦ στρατοπέδε φυλακῇ κατέμεινεν, ἐκεῖνος δὲ ἐπὶ τὸν Ἀντώνιον ὥρμησεν.

Ἡττηθέντες δὲ αὐτῦ, αὐτοκράτορες, ἐ μόνον ὁ Ἴρτιος, ἀλλὰ καὶ ὁ Οὐΐϐιος, καίπερ κακῶς ἀπαλλάξας, ἐ, τε Καῖσαρ, καίτοι μηδὲ μαχεσάμενος, καὶ ὑπὸ τῶν στρατιωτῶν καὶ ὑπὸ τῆς βελῆς ὠνομάσθησαν. τοῖς τε συναγωνισαμένοις σφίσι καὶ τελευτήσασι, ταφή τε δημοσία, καὶ τὸ τοῖς παισὶ, τοῖς τε πατράσιν αὐτῶν πάντα τὰ γέρα, ὅσα ἂν αὐτοὶ ἐκεῖνοι ζήσαντες ἔλαβον, ἀποδοθῆναι ἐψηφίσθη. ὡς ἒν ταῦτ' ἐγένετο, καὶ Πόντιος Ἀκύλας, ἕκ τε τῶν σφαγέων ὢν, καὶ τῷ Δεκίμῳ ὑποστρατηγῶν, Τῖτον Μινάτιον Πλάγκον ἀντιπολεμῦντα αὐτῷ μάχαις ἐνίκη-

cap. 38. Victo Antonio Hirtius, Pansa & Cæsar a militibus & senatu imperatores nominantur, cæsisque honores decernuntur;

adeoque Antoniani ab Antonio dissentire incipiunt.

ἐνίκησεν· ὅ, τε Δέκιμος, βυλευτῦ τινος αὐτομολήσαντος πρὸς τὸν Ἀντώνιον, ὐχ ὅσον ὐκ ὀργὴν αὐτῷ ἔσχεν, ἀλλὰ καὶ τὰ σκεύη τά τε ἄλλα, ὅσα ἐν τῇ Μυτίνῃ ὑπελέλειπτο, πάντα ἀπέπεμψε· κἀκ τύτυ ὅι τε στρατιῶται ὁι Ἀντωνίυ ἠλλοτριῦντο, καὶ τῦ δήμυ τινὲς τῶν ὁμοφρονύντων ὁι πρότερον, ἐστασίαζον· ὁ μὲν Καῖσαρ ὅ, τε Ἵρτιος ἐπήροντό τε ἐπὶ τύτοις, καὶ πρὸς τὸ ἔρυμα τὸ τῦ Ἀντωνίυ προσιόντες προεκαλῦντο αὐτὸν ἐς χεῖρας. ἐκεῖνος δὲ τέως μὲν, κατεπέπληκτο καὶ ἡσύχαζεν, ἔπειτα ἐπειδὴ δύναμίς γε αὐτῷ παρὰ τῦ Λεπίδυ πεμφθεῖσα ἦλθεν, ἀνεθάρσησεν. αὐτὸς μὲν γὰρ ὁ Λέπιδος ὐκ ἀπεσάφησεν, ὁποτέροις τὸ στράτευμα πέμψειε. τόν τε γὰρ Ἀντώνιον συγγενῆ ὄντα ἠγάπα, καὶ ὑπὸ τῆς βυλῆς ἐπ' αὐτὸν ἐκέκλητο· καὶ διά τε ταῦτα, καὶ ἅμα καὶ ἀναχώρησιν ἑαυτῷ πρὸς ἀμφοτέρυς σφᾶς προκατασκευάζων, ὐδὲν σαφὲς Μάρκῳ Σιλανῷ τῷ στρατιάρχῳ ἐνετείλατο. ἐκεῖνος δὲ, ἀκριβῶς πυ τὴν γνώμην αὐτῦ εἰδὼς, πρὸς τὸν Ἀντώνιον αὐτοκέλευστος ἀφίκετο. τύτυ ὖν ἐπικυρήσαντος αὐτῷ, θαρσήσας, ἐπεκδρομὴν αἰφνιδίαν ἐποιήσατο, καὶ φόνυ παρ' ἀμφοτέρων πολλῦ γενομένυ, τραπεὶς ἔφυγε.

Lepidus Antonio clanculum se adjungit transmissis copiis, quæ vero cum Antonianis commisso prœlio fugantur.

cap. 39. Hirtius & Pansa ex acceptis vulneribus moriuntur. Senatus, ante quam de victoria ei constabat, edicit, nequis diutius anno cum imperio sit, nec solus aliquis annonæ procurator;

Μέχρι μὲν ὖν τύτων ὁ Καῖσαρ καὶ πρὸς τῦ δήμυ καὶ πρὸς τῆς βυλῆς ηὔξετο· κἀκ τύτυ τά τε ἄλλα τιμηθήσεσθαι, καὶ ὕπατος εὐθὺς ἀποδειχθήσεσθαι προσεδόκα. συνέβη γὰρ, τόν τε Ἵρτιον ἐν τῇ τῦ Ἀντωνίυ στρατοπέδυ καταλήψει, καὶ τὸν Ὀυίβιον ἐκ τῶν τραυμάτων, ὐ πολλῷ ὕστερον φθαρῆναι· ὅθεν αἰτίαν τῦ θανάτυ αὐτῶν πρὸς τὴν τῆς ἀρχῆς διαδοχὴν ἔσχεν. ἡ δὲ γερυσία πρῶτον μὲν, ἕως ἔτι ἄδηλον ἦν, ὁπότερος σφῶν κρατήσει, πάνθ', ὅσα ἐν τῷ πρὶν δυναστείας τισὶν ἔξω τῶν πατρίων δοθέντα παρεσκευάκει, προσκατέλυσαν· ἐπ' ἀμφοτέροις μὲν πυ ταῦτα ψηφισάμενοι, ὡς καὶ προκαταληψόμενοι δι' αὐτῶν τὸν νικήσοντα, τὴν δὲ αἰτίαν ἐς τὸν ἕτερον τὸν ἡττηθησόμενον μέλλοντες ἀναφέρειν. τῦτο μὲν γὰρ, ἀπεῖπον, μηδένα ἐπὶ πλείω χρόνον ἐνιαυτῦ ἄρχειν· τῦτο δὲ, ἀπηγόρευσαν, μήτε τινὰ σίτυ ἐπιμελητὴν, μήτε τροφῶν ἐπιστάτην, ἕνα αἱρεῖσθαι· ἐπειδὴ δὲ τὰ πραχθέντα ἔμαθον, τῇ μὲν τῦ Ἀντωνίυ ἥττῃ ἔχαιρον, καὶ τάς τε στολὰς μετενέδυσαν, καὶ ἱερομηνίας ἐπὶ ἑξήκοντα ἡμέρας ἤγαγον·

τύς

τὰς τε συνεξετασθέντας αὐτῷ πάντας ἔν τε πολεμίων μοίρᾳ ἐνόμισαν, καὶ τὰς οὐσίας, ὥσπερ καὶ τὴν αὐτοῦ ἐκείνου, ἀφείλοντο.

Τὸν δὲ δὴ Καίσαρα οὐχ ὅτι μεγάλου τινὸς ἔτ' ἠξίωσαν, ἀλλὰ καὶ καταλύειν ἐπεχείρησαν, πάνθ', ὅσα ἐκεῖνος ἤλπιζε λήψεσθαι, τῷ Δεκίμῳ δόντες. οὐ γὰρ ὅτι βουθυσίας, ἀλλὰ καὶ ἐπινίκια αὐτῷ ἐψηφίσαντο. τά τε λοιπὰ τοῦ πολέμου, καὶ τὰ στρατόπεδα, ἄλλα τε καὶ τὰ τοῦ Οὐϊβίου προσέταξαν· τοῖς στρατιώταις τοῖς συμπολιορκηθεῖσίν οἱ, καὶ ἐπαίνους, καὶ τἆλλα, ὅσα τοῖς τοῦ Καίσαρος πρότερον προεπήγγελτο, καίπερ μηδὲν ἐς τὴν νίκην συμβαλομένοις, ἀλλ' ἀπὸ τῶν τειχῶν αὐτὴν ἰδοῦσι, δοθῆναι ἔγνωσαν. καὶ τὸν Ἀκύλαν ἀποθανόντα ἐν τῇ μάχῃ εἰκόνι ἐτίμησαν· τά τε χρήματα, ἃ ἐς τὴν παρασκευὴν τῶν τοῦ Δεκίμου στρατιωτῶν οἴκοθεν ἀναλώκει, τοῖς κληρονόμοις αὐτοῦ ἀπέδωκαν. τό, τε σύμπαν, ὡς εἰπεῖν, ὅσα τῷ Καίσαρι ἐπὶ Ἀντώνιον ἐγεγόνει, ταῦτα ἐπ' αὐτὸν ἐκεῖνον ἄλλοις ἐψηφίσθη. καὶ ὅπως γε ἄν, μηδ' ἂν τα μάλιστα βουληθῇ τι κακὸν δρᾶσαι, καὶ δυνηθῇ, πάντας αὐτῷ τοὺς ἐχθροὺς ἐπήσκησαν. τῷ τε γὰρ Πομπηΐῳ τῷ Σέξτῳ τὸ ναυτικόν, καὶ τῷ Βρούτῳ τῷ Μάρκῳ τὴν Μακεδονίαν, τῷ τε Κασσίῳ τήν τε Συρίαν καὶ τὸν πόλεμον τὸν πρὸς τὸν Δολοβέλλαν ἐνεχείρισαν· πάντως δ' ἂν καὶ τὰς δυνάμεις, ἃς εἶχε, προσπαρείλοντο, εἰ μήπερ ἐφοβήθησαν φανερῶς αὐτὸ ψηφίσασθαι, διὰ τὸ εὔνους οἱ τοὺς στρατιώτας ἐπίστασθαι ὄντας. στασιάσαι δ' οὖν σφᾶς καὶ ὡς καὶ πρὸς ἀλλήλους καὶ πρὸς ἐκεῖνον ἐπεχείρησαν. οὔτε γὰρ ἐπαινέσαι τε καὶ τιμῆσαι πάντας αὐτοὺς ἠθέλησαν, μὴ καὶ τὸ φρόνημα αὐτῶν ἐπὶ μεῖζον ἄρωσιν· οὔτ' ἀτιμάσαι καὶ παριδεῖν πάντας, μὴ καὶ μᾶλλον αὐτοὺς ἀλλοτριώσωσι, καὶ κατὰ τοῦτο καὶ συμφρονεῖν ἀναγκάσωσι. διὰ μέσου οὖν ἐποίησαν, καὶ τοὺς μὲν ἐπαινέσαντες αὐτῶν, τοὺς δ' οὔ· καὶ τοῖς μὲν στέφανον ἐλαίας ἐν ταῖς πανηγύρεσι φορεῖν δόντες, τοῖς δ' οὔ· καὶ προσέτι καὶ χρήματα, τοῖς μὲν δισχιλίας καὶ πεντακοσίας δραχμάς, τοῖς δὲ οὐδὲ χαλκοῦν ψηφισάμενοι· συγκρούσειν τε αὐτοὺς ἀλλήλοις, κἀκ τούτου καὶ ἀσθενώσειν ἤλπισαν.

cap. 40. comperta victoria, non in Cæsarem, sed in Decimum ejusque milites omnes confert honores; adeo omnes Cæsaris hostes contra eum armat, re navali Sexto Pompejo commissa, M. Bruto Macedonia, Cassio Syria & bello contra Dolabellam decreto; dissensionem etiam inter Cæsaris milites excitat.

Καὶ

Digitized by Google

cap. 41. Verum his senatus artibus exercitus a Cæsare non abalienabatur, quanquam concesserat, ut legati se absente cum eo loquerentur, sed potius succensebat de ignominia, imperatori illata.

Καὶ τὰς γε διαγγελοῦντας σφίσι ταῦτα, ὀ πρὸς τὸν Καίσαρα, ἀλλὰ πρὸς ἐκείνους ἔπεμψαν. περιαλγὴς ὢν καὶ ἐπὶ τούτοις γενόμενος, ἐπέτρεψε μὲν τῷ λόγῳ τοῖς πρεσβευταῖς ἄνευ ἑαυτοῦ τῷ στρατεύματι συμμῖξαι, προπαραγγείλας μήτ' ἀπόκρισίν τινα αὐτοῖς δοθῆναι, καὶ ἑαυτὸν παραχρῆμα μεταπεμφθῆναι· ἐλθὼν δὲ ἐς τὸ στρατόπεδον, καὶ συνακούσας σφίσι τὰ ἐπεσταλμένα, πολὺ μᾶλλον αὐτοὺς ἐξ αὐτῶν ἐκείνων ᾠκειώσατο. ὅι τε γὰρ προτετιμημένοι, ὀ τοσοῦτον τῇ πλεονεξίᾳ ἔχαιρον, ὅσον ὑπώπτευον τὸ γιγνόμενον, τοῦ Καίσαρος σφᾶς ὁτιμάλιστα ἐνάγοντος· καὶ οἱ ἠτιμασμένοι ἐκείνοις μὲν οὐδὲν ὠργίζοντο, προσδιαβάλλοντες δὲ τὴν διάνοιαν τῶν ἐψηφισμένων, τήν τε ἀτιμίαν σφῶν ἐπὶ πάντας ἦγον, καὶ τὴν ὀργὴν αὐτοῖς ἐκινοῦντο.

Hoc exercitus judicio territus senatus, Cæsari primum consulares honores tribuit, quos cum parvi faceret, decrevit, ut proxime prætor, deinde consul crearetur; attamen, quod puer vocaretur, indignissime ferens, clam cum Antonio de amicitia egit.

μαθόντες οὖν ταῦτ' οἱ ἐν τῇ πόλει, καὶ φοβηθέντες, ὕπατον μὲν οὐδ' ὣς αὐτὸν ἀπέδειξαν (ὅπερ που ταμάλιστα ἐγλίχετο) ταῖς δὲ δὴ τιμαῖς ταῖς ὑπατικαῖς ἐκόσμησαν, ὥστε καὶ γνώμην ἐν τοῖς ὑπατευκόσιν ἤδη τίθεσθαι. ἐπειδή τε ἐν οὐδενὶ λόγῳ τοῦτ' ἔσχε, στρατηγόν τε αὐτὸν ἐν τοῖς πρώτοις, καὶ μετὰ τοῦτα καὶ ὕπατον αἱρεθῆναι ἐψηφίσαντο. καὶ οἱ μὲν οὕτω τὸν Καίσαρα, ὥσπερ ὡς ἀληθῶς μειράκιόν τέ τι, καὶ παῖδα (ἅπερ που διεθρύλλουν) ὄντα, σοφῶς μεταχειρίσασθαι ἔδοξαν· ἐκεῖνος δὲ ἐπί τε τοῖς ἄλλοις, καὶ ἐπ' αὐτῷ τούτῳ, ὅτι παῖς ἤκουε, δεινῶς ἀγανακτῶν, οὐκέτ' ἐσαναβολὰς ἐποιήσατο, ἀλλ' ἐπί τε τὰ ἅπλα καὶ ἐπὶ τὴν ἰσχὺν αὐτῶν ἐτράπετο· καὶ πρός τε τὸν Ἀντώνιον κρύφα διεκηρυκεύσατο. καὶ τοὺς διαφυγόντας ἐκ τῆς μάχης, οὓς αὐτός τ' ἐνενικήκει, καὶ ἡ βουλὴ πολεμίους ἐψηφίσατο, συνήθροιζε· καὶ κατηγορίας παρ' αὐτοῖς καὶ κατὰ τῆς γερουσίας, καὶ κατὰ τοῦ δήμου πολλὰς ἐποιεῖτο.

cap. 42. Comperta Romæ Antonii cum Lepido conspiratione, Cæsari bellum contra eos mandatur, quod is spe consulatus obtinendi suscipit;

Ἀκούοντες δὲ ταῦτα οἱ ἐν τῷ ἄστει, τέως μὲν ἐν ὀλιγωρίᾳ αὐτὸν εἶχον· ἐπεὶ δὲ τόν τε Ἀντώνιον καὶ τὸν Λέπιδον συμπεφρονηκότας ᾔσθοντο, θεραπεύειν τε ἤρξαντο αὖθις, ἀγνοοῦντες τοὺς λόγους, οὓς πρὸς τὸν Ἀντώνιο ἐπεποίητο, καὶ τῷ πολέμῳ τῷ πρὸς ἐκείνους προσέταξαν. ὁ οὖν Καῖσαρ καὶ τοῦτον μὲν, εἴ πως ὕπατος δι' αὐτὸν ἀποδειχθείη, ὑπεδέξατο. πάνυ γάρ τοι ἔπρασσε διά τε ἄλλων, καὶ διὰ τοῦ Κικέρωνος, ὅπως χειροτονηθείη, οὕτως ὥστε καὶ συνύπατον αὐτὸν ὑποσχέσθαι οἱ ποιήσειν. ἐπεὶ δὲ οὐδ' οὕτας

τῶς ἠρέθη, ἡτοιμάζετο μὲν, ὡς καὶ πολεμήσων, καθάπερ ἐδέδοντο· παρασκευάσας δὲ ἐν τέτῳ τὲς ςρατιώτας αὐ]ῦ, ἐφ' ἑαυτῶν δῆθεν, ὀμόσαι αἰφνιδίως, πρὸς μηδὲν τῶν ςρατοπέδων τῶν τῦ Καίσαρος γενομένων πολεμήσειν, (ὅπερ πε πρὸς τὸν Λέπιδον καὶ πρὸς τὸν 'Αν]ώνιον ἔφερε. τὸ γὰρ πλεῖςον τῶν συςρατευομένων σφίσιν ἐξ ἐκείνων ἦν) ἀνέσχε· καὶ πρέσβεις ἐπὶ τέτῳ πρὸς τὴν βελὴν ἐξ αὐ]ῶν τῶν ςρατιω]ῶν τετρακοσίες ἔπεμψε.

frustratus illa, milites juramento obstringit, contra nullum se exercitum, qui Cæsaris fuisset, pugnaturos.

Τῦτο μὲν δὴ πρόσχημα τῆς πρεσβείας αὐτοῖς ἦν· τὸ δ' ὅλον, τά τε χρήμα]α τὰ ἐψηφισμένα σφίσιν ἀπήτεν, καὶ ὕπα]ον τὸν Καίσαρα ἀποδειχθῆναι ἐκέλευον. ἀναβαλλομένων ἐν αὐ]ῶν τὴν ἀπόκρισιν, ὡς καὶ σκέψεως δεομένην, ἄδειάν τινα τῶν τὰ τῦ 'Αν]ωνίε πραξάντων, ἐκ τῆς τῦ Καίσαρος ἐντολῆς, ἤτησαν, ὥσπερ εἰκὸς ἦν· ἐχ ὅτι καὶ ἐβέλον]ο αὐτῆς τυχεῖν, ἀλλ' ἵνα ἀποπειραθῶσί τε αὐ]ῶν, ει ταύτην γε δώσεσι σφίσιν, ἢ καὶ ἀφορμὴν ὀργῆς λάβωσι, τῦ καὶ δι' ἐκείνην δοκεῖν χαλεπαίνειν. ἀποτυχόντες γῦν αὐ]ῆς, (ἀντεῖπε μὲν γὰρ ἐδεὶς, πολλῶν δὲ τὸ αὐ]ὸ τῦτο ὑπὲρ ἑτέρων ἅμα ἀξιωσάν]ων, καὶ τὸ κατ' ἐκείνες ὡς πολὺ ἐγίγνε]ο, εὐπρεπῶς πως διεκρέθησαν) ὅτι τε ἄλλοι φανερῶς ὠργίζον]ο, καὶ εἶς τις αὐ]ῶν ἐξῆλθέ τε ἐκ τῦ βελευτηρίε, καὶ τὸ ξίφος λαβὼν, (ἄοπλοι γὰρ εἰσεληλύθεσαν) ἥψα]ό τε αὐ]ῦ, καὶ εἶπεν, "ὅτι ἂν ὑμεῖς τὴν ὑπα]είαν μὴ δῶτε τῷ Καίσαρι, τῦτο δώσει." καὶ αὐ]ῷ ὁ Κικέρων ὑπολαβὼν, "ἂν ἕτως, ἔφη, παρακαλῆτε, λήψεται αὐ]ήν." ἐκείνῳ μὲν καὶ τῦτο τὸν ὄλεθρον παρεσκεύασεν. ὁ δὲ δὴ Καῖσαρ τὸ μὲν ὑπὸ τῦ ςρα]ιώτε πραχθὲν ἐκ ἐμέμψα]ο· ὅτι δὲ τά τε ὅπλα ἐς τὸ συνέδριον ἐσιόν]ες ἀποθέσθαι ἠναγκάσθησαν, καί τις αὐ]ῶν ἐπύθε]ο, πότερον παρὰ τῶν ςρα]οπέδων ἢ παρὰ τῦ Καίσαρος ἐπέμφθησαν· ἔγκλημα ἐποιεῖτο, καὶ τόν τε 'Αν]ώνιον καὶ τὸν Λέπιδον (καὶ γὰρ ἐκεῖνον κα]ὰ τὴν φιλίαν αὐ]ῦ τὴν πρὸς τὸν 'Αντώνιον προσετέθει]ο) σπεδῇ μετεπέμψα]ο, καὶ αὐ]ὸς ἐπὶ τὴν 'Ρώμην, ἐκβιασθεὶς δῆθεν ὑπὸ τῶν ςρατιω]ῶν, με]ὰ πάν]ων αὐ]ῶν ὥρμησε.

cap. 43. Milites ccc Romam mittuntur, ut pecuniam sibi decretam, Cæsarique consulatum poscant; quibus a senatu male habitis, Cæsar cum Lepido & Antonio accessitis Romam contendit, quasi coactus a militibus.

Καὶ τῶν τε ἱππέων τινὰ καὶ ἄλλες ὑποτοπήσαν]ες ἐπὶ κα]ασκοπῇ σφῶν παρεῖναι, ἔσφαξαν, καὶ τὰ χωρία τῶν ἀντιγνωμονέν]ων σφίσιν ἐλυμαίνον]ο· ἐπί τε τῇ προφάσει

cap. 44. Jam senatus pecuniam postulatam mittit; militibus

nihilominus pergentibus, Cæsarem consulem designat.

φάσει ταύτῃ καὶ ἄλλα πολλὰ ἐκακούργουν. πυθόμενοι οὖν οἱ βουλευταὶ τὴν ἔφοδον αὐτῶν· τά τε χρήματα αὐτοῖς, πρὶν πλησιάσαι σφᾶς, ἔπεμψαν, εἴ πως λαβόντες αὐτὰ ἀναχωρήσειαν· καὶ ἐπειδὴ καὶ ὣς ἠπείγοντο, ὕπατον τὸν Καίσαρα ἀπέδειξαν. καὶ οὐδὲν μέντοι οὐδὲ ἐκ τούτου ἀπώναντο. ὧν γὰρ οὐχ ἑκόντες, ἀλλ' ἀναγκασθέντες ἔπραξαν, οὐδεμίαν σφίσι χάριν οἱ στρατιῶται ἔσχον, ἀλλὰ καὶ ἐπὶ πλεῖον, ἅτε καὶ ἐκπεφοβηκότες αὐτοὺς, ἐθρασύνοντο.

Senatus tandem iis interdicit, ne ad urbem accedant, vim vi depellere minans;

μαθοῦσα οὖν ταῦθ' ἡ γερουσία μετεβάλλετο, καὶ ἐκείνοις τε ἀπηγόρευσε μὴ πελάσαι τῇ πόλει, ἀλλ' ὑπὲρ πεντήκοντα καὶ ἑπτακοσίους σταδίους ἀπ' αὐτῆς ἀποσχεῖν· καὶ αὐτοὶ τήν τε ἐσθῆτα αὖθις ἠλλάξαντο, καὶ τοῖς στρατηγοῖς τὴν φυλακὴν τῆς πόλεως ἐνεχείρισαν, ὥσπερ εἴθιστο. καὶ τά τε ἄλλα ἐν φρουρᾷ ἐποιήσαντο, καὶ τὸ Ἰανίκουλον μετά τε τῶν αὐτόθι στρατιωτῶν καὶ μεθ' ἑτέρων ἐκ τῆς Ἀφρικῆς ἐπελθόντων προκατέλαβον.

cap. 45. Cæsari tamen in suburbana ingresso se dedunt,

Ἕως μὲν δὴ ἐν ὁδῷ ἔθ' ὁ Καῖσαρ ἦν, ταῦτά τε οὕτως ἐγίγνετο, καὶ ὁμοθυμαδὸν αὐτῶν πάντες οἱ ἐν τῇ Ῥώμῃ τότε ὄντες ἀντελαμβάνοντο· ὥσπερ που φιλοῦσιν οἱ πολλοὶ, πρίν ἔς τε τὴν ὄψιν καὶ ἐς τὴν πεῖραν τῶν δεινῶν ἀφικέσθαι, θρασύνεσθαι. ἐπεὶ δὲ ἐν τῷ προαστείῳ ἐγένετο, ἐφοβήθησαν· καὶ πρῶτον μὲν τῶν βουλευτῶν τινες, ἔπειτα δὲ καὶ τοῦ δήμου συχνοὶ πρὸς αὐτὸν μετέστησαν. κἀκ τούτου καὶ οἱ στρατηγοὶ ἔκ τε τοῦ Ἰανικούλου κατέβησαν, καὶ τούς τε στρατιώτας καὶ ἑαυτοὺς αὐτῷ παρέδωκαν.

duobusque Procoss., qui comitiis præessent, delectis, Cæsar a populo Cos. creatus est, collega addito Q. Pedio,

τήν τε οὖν πόλιν οὕτως ὁ Καῖσαρ ἀμαχεὶ κατέσχε, καὶ ὕπατος καὶ πρὸς τοῦ δήμου ἀπεδείχθη, δύο τινῶν ἀντὶ ὑπάτων πρὸς τὰς ἀρχαιρεσίας αἱρεθέντων· ἐπειδὴ ἀδύνατον ἦν μεσοβασιλέα δι' ὀλίγου οὕτως ἐπ' αὐτὰς κατὰ τὰ πάτρια γενέσθαι, πολλῶν ἀνδρῶν τῶν τὰς εὐπατρίδας ἀρχὰς ἐχόντων ἀποδημούντων. τοῦτο γὰρ τῶν δύο ἀνδρῶν διὰ τοῦ στρατηγοῦ τοῦ ἀστυνόμου ψηφισθῆναι μᾶλλον, ἢ τὸ τοὺς ὑπάτους δι' αὐτοῦ χειροτονηθῆναι, ὑπέμειναν· ὅτι μηδὲν πλέον τῶν ἀρχαιρεσιῶν ποιήσειν ἔμελλον, καὶ κατὰ τοῦτο μηδ' ἀρχήν τινα ἰσχυροτέραν αὐτῶν ἐσχηκέναι δόξειν. καὶ ἐγίγνετο μέν που ταῦθ' ὑπὸ τῶν ὅπλων· ὁ δὲ δὴ Καῖσαρ, ἵνα δὴ μὴ βεβιάσθαι τι αὐτοὺς δόξῃ, οὐκ ἀπήντησεν ἐς τὴν ἐκκλησίαν, ὥσπερ τινῶν τὴν παρουσίαν, ἀλλ' οὐ τὴν δύναμιν αὐτοῦ φοβουμένων.

Ου-

Οὕτω μὲν οὖν ὕπατος ᾑρέθη, καὶ αὐτῷ καὶ συνάρχων (εἴγε τοῦτο δεῖ, ἀλλὰ μὴ ὕπαρχον αὐτὸν εἰπεῖν) ὁ Πέδιος ὁ Κύϊντος ἐδόθη. καὶ ἐπί τε τούτῳ μέγιστον ἐφρόνει, ὅτι ἐν ἐκείνῃ τῇ ἡλικίᾳ (ὃ μὴ πώποτέ τινι ἐγεγόνει) ὑπατεύσειν ἔμελλε, καὶ ὅτι τῇ πρώτῃ τῶν ἀρχαιρεσιῶν ἐς τὸ πεδίον τὸ ἄρειον ἐσελθὼν, γῦπας ἓξ, καὶ μετὰ ταῦτα δημηγορῶν τι πρὸς τοὺς στρατιώτας, ἄλλους δώδεκα εἶδε. πρός τε γὰρ τὸν Ῥωμύλον, καὶ πρὸς τὸ οἰώνισμα τὸ ἐκείνῳ γενόμενον ἀναφέρων, καὶ τὴν μοναρχίαν αὐτοῦ λήψεσθαι προσεδόκησεν. οὐ μέντοι ὡς καὶ δεύτερον ὑπατεύων, ὅτι ταῖς τιμαῖς ταῖς ὑπατικαῖς ἐκεκόσμητο, ἐσεμνύνατο· καὶ τοῦτο καὶ ἔπειτα ἐπὶ πάντων τῶν ὁμοίων μέχρις ἡμῶν ἐτηρήθη. Σεβῆρος γὰρ αὐτοκράτωρ πρῶτος Πλαυτιανὸν ὑπατικαῖς τιμαῖς τιμήσας, καὶ μετὰ τοῦτο ἔς τε τὸ βουλευτικὸν ἐσαγαγὼν, καὶ ὕπατον ἀποδείξας, ὡς καὶ δεύτερον ὑπατεύσαντα ἀνεκήρυξε· καὶ ἀπ' ἐκείνου καὶ ἐφ' ἑτέρων τὸ αὐτὸ ἐγένετο. ὁ δ' οὖν Καῖσαρ τά τε ἄλλα τὰ ἐν τῇ πόλει πρὸς τὸ δοκοῦν αὐτῷ κατεστήσατο, καὶ χρήματα τοῖς στρατιώταις, τοῖς μὲν, ὅσα τε καὶ ὅθεν ἐψήφιστο, τοῖς δὲ λοιποῖς ὡς ἑκάστοις, λόγῳ μὲν οἴκοθεν, ἔργῳ δὲ ἐκ τῶν κοινῶν ἔδωκε. τότε μὲν οὕτω τε καὶ ἐκ τοιαύτης αἰτίας οἱ στρατιῶται τὸ ἀργύριον ἔλαβον· παρακούσαντες δέ τινες τοῦτο, ἔδοξαν ἀεὶ πᾶσιν ἁπλῶς τοῖς πολιτικοῖς στρατοπέδοις, ὅσα ἂν ἐς τὴν Ῥώμην μεθ' ὅπλων ἀφίκηται, τὰς δισχιλίας καὶ πεντακοσίας δραχμὰς ἀναγκαῖον εἶναι δίδοσθαι. καὶ διὰ ταῦτα καὶ οἱ μετὰ τοῦ Σεβήρου ἐπὶ τῇ τοῦ Ἰουλιανοῦ καθαιρέσει ἐς τὸ ἄστυ ἐλθόντες, φοβερώτατοι αὐτῷ τε ἐκείνῳ καὶ ἡμῖν ἐγένοντο, ἀπαιτοῦντες αὐτάς· καὶ σφᾶς, οὐδ' εἰδότων τῶν ἄλλων, ὅ, τι ποτὲ ἠξίουν, ἐθεράπευσεν ὁ Σεβῆρος πεντήκοντα καὶ διακοσίαις δραχμαῖς.

cap. 46. Consulatus ante ætatem in ipsum collatus & augurium, regnum portendens, magnos Cæsari spiritus addiderunt,

Cæsar rebus urbanis constitutis militibus omnibus pecunias distribuit;

Ὁ δ' οὖν Καῖσαρ τοῖς μὲν στρατιώταις τά τε χρήματα ἔδωκε, καὶ χάριν καὶ πλείστην καὶ ἀληθεστάτην ἔγνω. ἄνευ γὰρ τῆς παρ' αὐτῶν φρουρᾶς, οὐδὲ ἐς τὸ βουλευτήριον ἐσφοιτᾶν ἐτόλμα. τῇ δὲ δὴ γερουσίᾳ χάριν μέν που, πλαστῶς δὲ δὴ καὶ προσποιητῶς ἔσχεν. ἃ γὰρ βιασάμενος σφᾶς εὕρητο, ταῦθ' ὡς καὶ παρ' ἑκόντων αὐτῶν εἰληφὼς, ἐν εὐεργεσίας μέρει δῆθεν ἐτίθετο. καὶ ἐκεῖνοι οὖν ἐπί τε τούτοις, ὡς καὶ ἐθελονταὶ αὐτὰ δεδωκότες, ἐσεμνύνοντο· καὶ προσέτι

cap. 47. a senatu vero cumulatur honoribus ac privilegiis,

Digitized by Google

τι, ὃν οὐδ' ὕπατον ἑλέσθαι πρότερον ἠθελήκεσαν, τούτῳ καὶ μετὰ τὴν ἀρχὴν, πάντων τῶν ἀεὶ ὑπατευόντων, ὁσάκις ἂν ἐν στρατοπέδῳ ᾖ, προτιμᾶσθαι ἔδοσαν· ᾧ τε δίκας ἐπάξειν, ὅτι δυνάμεις καθ' ἑαυτὸν μηδενὸς ψηφισαμένου συνέστησεν, ἠπειλήκεσαν, τούτῳ καὶ ἑτέρας προσκαταλέξαι προσέταξαν· καὶ ἐφ' οὗ τῇ τε ἀτιμίᾳ καὶ τῇ καταλύσει τοῦ Δεκίμου πρὸς τὸν Ἀντώνιον πολεμῆσαι ἐκεκελεύκεσαν, τούτῳ καὶ τὰ ἐκείνου στρατόπεδα προσέθεσαν. καὶ τέλος τήν τε φυλακὴν τῆς πόλεως, ὥστε πάνθ', ὅσα βούλοιτο καὶ ἐκ τῶν νόμων ποιεῖν ἔχειν, παρέλαβε. καὶ ἐς τὸ τοῦ Καίσαρος γένος κατὰ τὰ νομιζόμενα ἐσεποιήθη, καὶ διὰ τοῦτο καὶ τὴν ἐπίκλησιν μετέθετο. ὠνόμαζε μὲν γὰρ καὶ πρότερον αὐτὸς ἑαυτὸν ὥς γέ τισι δοκεῖ, Καίσαρα, ἐξ οὗ τὸ ὄνομα αὐτῷ τοῦτο μετὰ τοῦ κλήρου κατελείφθη· οὐ μέντοι οὔτ' ἀκριβῆ τὴν προσηγορίαν, οὔτε ἐπὶ πάντας εἶχε, πρὶν δὴ καὶ ἐκ τῶν πατρίων αὐτὴν τότε ἐβεβαιώσατο, καὶ οὕτως ἐξ ἐκείνου Γάϊος Ἰούλιος Καῖσαρ Ὀκταουϊανὸς ἐπεκλήθη. νενόμισται γὰρ, ἄν τις εἰσποιηθῇ, τὴν μὲν ἄλλην αὐτὸν πρόσρησιν ἀπὸ τοῦ ποιησαμένου λαμβάνειν, ἓν δέ τι τῶν προτέρων ὀνομάτων σχηματισθέν πως τηρεῖν. τοῦτο μὲν οὖν οὕτως ἔχει. ἐγὼ δὲ οὐκ Ὀκταουϊανὸν, ἀλλὰ Καίσαρα αὐτὸν, ὅτι πᾶσι τοῖς τὸ τῶν Ῥωμαίων κράτος λαμβάνουσιν ἡ προσηγορία αὕτη ἐκνενίκηκεν, ὀνομάσω. προσεκτήσατο μὲν γὰρ καὶ ἑτέραν τὴν τοῦ Αὐγούστου, καὶ αὐτὴν διὰ τοῦτο καὶ οἱ ἔπειτα αὐτοκράτορες τίθενται. ἀλλ' ἐκείνη μὲν ὅταν ἐς τὴν συγγραφὴν ἔλθῃ, λελέξεται· μέχρι δὲ δὴ τότε ἀρκούντως ἡ τοῦ Καίσαρος ἐπίκλησις τὴν τοῦ Ὀκταουϊανοῦ δήλωσιν ἀποπληρώσει.

& secundum instituta majorum in Cæsaris familiam adoptatur.

cap. 48. Solutis pecuniis populo a patre legatis, legem fert de quæstionibus in patris percussores habendis & judicia de absentibus constituit.

Οὗτος οὖν ὁ Καῖσαρ ἐπειδὴ τάχιστα τούς τε στρατιώτας ᾠκειώσατο, καὶ τὴν βουλὴν ἐδουλώσατο, πρός τε τὴν τοῦ πατρὸς τιμωρίαν ἐτράπετο· καὶ φοβηθεὶς, μή πῃ τὸν ὅμιλον διὰ τοῦτ' ἐκταράξῃ, οὐ πρότερον τὴν ἑαυτοῦ γνώμην ἐξέφηνε, πρὶν τὴν ἀπόδοσιν τῶν καταλειφθέντων σφίσι ποιήσασθαι. ὡς δὲ καὶ ἐκεῖνοι τοῖς χρήμασι, καίπερ ἔκ τε τῶν κοινῶν οὖσι, καὶ ἐπὶ τῇ τοῦ πολέμου προφάσει συναχθεῖσι, κατελείφθησαν, οὕτω δὴ τοὺς σφαγέας μετῆλθε. καὶ ἵνα γε μὴ βιαίως, ἀλλ' ἐν δίκῃ τινὶ ποιεῖν αὐτὸ δόξῃ, νόμον τέ τινα περὶ τῆς κρίσεως αὐτῶν ἐσήνεγκε, καὶ δικαστήρια

καὶ

Digitized by Google

καὶ ἀπᾶσι σφίσιν ἐκάθισεν. οἵ τε γὰρ πλείους αὐτῶν ἀπεδήμουν, καί τινες καὶ ἡγεμονίας ἐθνῶν εἶχον· καὶ οἱ παρόντες οὔτ' ἀπήντησαν, ὑπὸ τοῦ δέους, καὶ προσέτι καὶ διαλαθόντες ἐξεχώρησαν. ἐρήμην οὖν, οὐχ ὅπως οἵ τε αὐτόχειρες τοῦ Καίσαρος γενόμενοι, καὶ οἱ συνομόσαντες σφίσιν, ἀλλὰ καὶ ἄλλοι πολλοί, οὐχ ὅτι μὴ ἐπιβουλεύσαντες τῷ Καίσαρι, ἀλλ' οὐδὲ ἐν τῇ πόλει τότε γε ὄντες, ἥλωσαν. τοῦτο δὲ ἐπὶ τὸν Πομπήϊον τὸν Σέξτον μάλιστα κατεσκευάσθη· καὶ γὰρ ἐκεῖνος, ἥκιστα τῆς ἐπιθέσεως μετασχὼν, ὅμως κατὰ τὸ πολέμιον αὐτοῦ κατεψηφίσθη. καὶ αὐτοί τε πυρὸς καὶ ὕδατος εἴρχθησαν, καὶ αἱ οὐσίαι αὐτῶν ἐδημεύθησαν· τά τε ἔθνη οὐκ ἐκεῖνα μόνον, ὧν τινες αὐτῶν ἦρχον, ἀλλὰ καὶ τὰ λοιπὰ πάντα τοῖς τοῦ Καίσαρος φίλοις ἐπετράπη.

Absentes (inter quos & Sextus Pompejus) damnantur, aqua & igne interdicuntur, eorum bona publicantur; omnes provinciæ amicis Cæsaris traduntur.

Ταῦτ' οὖν πράξας ὁ Καῖσαρ ἐπί τε τὸν Λέπιδον καὶ ἐπὶ τὸν Ἀντώνιον δῆθεν ἐστράτευσεν ἔργον δ' οὐδὲν ἐχόμενον τοῦ πολέμου ἔπραξεν, οὐχ ὅτι καὶ ἐκεκοινολόγητο τῷ τε Ἀντωνίῳ, καὶ δι' ἐκείνου κᾂν τῷ Λεπίδῳ, (βραχύ τι γὰρ τούτου ἐφρόντιζεν) ἀλλ' ὅτι ἰσχυρούς τε αὐτοὺς ἑώρα ὄντας, καὶ συμφρονοῦντας ὑπὸ τῆς συγγενείας ᾐσθάνετο· καὶ οὔτε βιάσασθαι σφᾶς ἐδύνατο, καὶ ἤλπισε τόν τε Κάσσιον καὶ τὸν Βροῦτον, μέγα ἤδη δυναμένους, δι' αὐτῶν κατεργάσεσθαι, καὶ μετὰ τοῦτο καὶ ἐκείνους δι' ἀλλήλων χειρώσεσθαι. διὰ μὲν δὴ ταῦτα καὶ ἄκων τὰς συνθήκας πρὸς αὐτοὺς ἐφύλαξε, καὶ σφίσι καὶ καταλλαγὰς πρός τε τὴν βουλὴν καὶ πρὸς τὸν δῆμον ἐπρυτάνευσεν, οὐκ αὐτὸς ἐσηγησάμενος, (ἵνα μὴ καὶ ὑποπτευθείη τι τῶν γεγονότων) ἀλλ' ὁ μὲν ἐξεστράτευσεν, ὡς καὶ πολεμήσων αὐτοῖς· ὁ δὲ δὴ Κύϊντος τήν τε ἄδειαν καὶ τὴν κάθοδον σφίσιν, ὡς καὶ ἀφ' ἑαυτοῦ γνώμης, δοθῆναι συνεβούλευσεν. οὐ μέντοι καὶ ἔλαβον αὐτὴν, πρὶν τῷ τε Καίσαρι τὴν γερουσίαν, ὡς καὶ ἀγνοοῦντι τὸ γιγνόμενον, κοινώσασθαι, καὶ ἐκεῖνον ἄκοντα δῆθεν ὑπὸ τῶν στρατιωτῶν ἀναγκασθῆναι συγκαταθέσθαι.

cap. 52. Cæsar expeditionem contra Antonium & Lepidum se suscepturum simulat; re vera autem eorum auxilio Brutum Cassiumque conficere studet, postea & eos alterum alterius opera oppressurus. Hinc invitus tantum & se absente concessit, ut Q. Pedius de Antonii & Lepidi impunitate ad senatum populumque referret.

Ἐν ᾧ δὲ ταῦτ' ἐπράττετο, ὁ Δέκιμος τὸ μὲν πρῶτον ὡς καὶ πολεμήσων αὐτοῖς ὥρμησε, καὶ τόν τε Πλάγκον τὸν Λούκιον, ἐπειδὴ καὶ συνύπατός οἱ ἐς τὸ ἐπιὸν ἔτος προαπεδέδεικτο, προσηταιρίσατο· μαθὼν δὲ δὴ τήν τε

cap. 53. Interea Decimus Brutus bellum a senatu ei contra Antonium &

Lepidum demandatum adgreditur cum L. Planco;

τε ἑαυτοῦ καταψήφισιν καὶ τὴν ἐκείνων συναλλαγὴν, ἠθέλησε μὲν ἐπὶ τὸν Καίσαρα ἐπιστρατεῦσαι, ἐγκαταλειφθεὶς δὲ ὑπὸ τοῦ Πλάγκου, τά τε τοῦ Λεπίδου καὶ τὰ τοῦ Ἀντωνίου φρονήσαντος, τήν τε Γαλατίαν ἐκλιπεῖν, καὶ ἐς τὴν Μακεδονίαν πρὸς τὸν Βροῦτον πεζῇ δι' Ἰλλυριῶν ἐπειχθῆναι ἔγνω· καί τινας στρατιώτας, ἐν ᾧ δὴ τὰ ἐν χερσὶ καθίστατο, προέπεμψεν. ὡς δὲ ἐκεῖνοί τε τὰ τοῦ Καίσαρος ἀνθείλοντο, καὶ τοὺς λοιποὺς ὅ,τε Λέπιδος καὶ ὁ Ἀντώνιος ἐπιδιώξαντες δι' ἑτέρων προσέθεντο, συνελήφθη τε μονωθεὶς ὑπ' ἐχθροῦ τινος, καὶ μέλλων σφαγήσεσθαι, ἐδεινοπάθει καὶ ὠδύρετο· μέχρι οὗ Ἑλουϊός τις Βλασίων, εὐνοϊκῶς οἱ ἐκ συστρατείας ἔχων, ἑαυτὸν ἑκὼν ὁρῶντος αὐτοῦ προαπέκτεινε. καὶ ὁ μὲν οὕτως ἀπέθανεν.

cap. 54. Relictis in Gallia legatis Antonius & Lepidus in Italiam ad Cæsarem properant cum optima exercitus parte, quoniam Cæsari nondum fidebant;

Ὁ δὲ δὴ Ἀντώνιος ὅ,τε Λέπιδος ἐν μὲν τῇ Γαλατίᾳ ὑποστρατήγους κατέλιπον, αὐτοὶ δὲ ἐς τὴν Ἰταλίαν πρὸς τὸν Καίσαρα ὥρμησαν, τό,τε πλεῖστον καὶ τὸ κράτιστον τοῦ στρατοῦ ἐπαγόμενοι. οὔτε γὰρ ἀκριβῶς πως ἐπίστευον αὐτῷ, οὔτε εὐεργεσίαν τινὰ ὀφείλειν ἤθελον, ὡς καὶ δι' ἑαυτοὺς, τήν τε σφετέραν ἰσχὺν, ἀλλ' οὐ δι' ἐκεῖνον, καὶ τῆς ἀδείας καὶ τῆς καθόδου τετυχηκότες· καὶ προσέτι καὶ ἤλπιζον, πάνθ', ὅσα ἐβούλοντο, καὶ τὸν Καίσαρα καὶ τοὺς ἄλλους τοὺς ἐν τῷ ἄστει, τῇ τῶν στρατοπέδων σφῶν περιουσίᾳ ἐξεργάσασθαι. τοιαύτῃ μὲν οὖν γνώμῃ ὡς καὶ διὰ φιλίας τῆς χώρας ᾔεσαν. ἐκακουργεῖτο δὲ ὑπὸ τοῦ πλήθους, τῆς τε θρασύτητος αὐτῶν, οὐδενὸς πολέμου βραχύτερα.

quibus etiam Cæsar cum valida manu ad Bononiam occurrit.

καὶ αὐτοῖς καὶ ὁ Καῖσαρ μετὰ πολλῶν στρατιωτῶν ἀπήντησε περὶ Βονωνίαν, μάλα εὖ παρεσκευασμένος ἀμύνασθαι σφᾶς, ἄν τι βίαιον πάσχῃ. οὐ μέντοι καὶ ἐδεήθη τότε τῶν ὅπλων ἐπ' αὐτοὺς οὐδέν. ἐμίσουν μὲν γὰρ δεινῶς ἀλλήλους, τῷ δὲ δὴ τάς τε δυνάμεις ἀντιπάλους πως ἔχειν, καὶ τοὺς ἄλλους ἐχθροὺς προτιμωρήσασθαι δι' ἀλλήλων βούλεσθαι, προσποιητὴν ὁμολογίαν ἐποιήσαντο.

cap. 55. In parva insula prope Bononiam congressi, in novum triumviratum conspirant;

Συνῆλθον δὲ ἐς τοὺς λόγους οὐ μόνοι, ἀλλὰ στρατιώτας ἰσαρίθμους ἔχοντες, ἐν νησιδίῳ τινὶ τοῦ ποταμοῦ τοῦ παρὰ τὴν Βονωνίαν παραῤῥέοντος, ὥστε μηδένα ἄλλον μηδ' ἑτέροις προσγενέσθαι· καὶ οὕτω πολὺ ἀπὸ τῶν παρόντων σφίσιν ἀποστάντες, ἀλλήλους τε διηρεύνησαν, μὴ καὶ ξι-

φίδιον

Digitized by Google

φίδιόν τις ὑπὸ μάλης ἔχοι· καὶ διαλεξάμενοί τινα ἡσυχῆ, τὸ μὲν σύμπαν ἐπί τε τῇ δυναστείᾳ, καὶ κατὰ τῶν ἐχθρῶν συνώμοσαν. ἵνα δὲ δὴ μὴ καὶ τῆς ὀλιγαρχίας ἄντικρυς ἐφίεσθαι δόξωσι, καί τις αὐτοῖς φθόνος, κἀκ τούτου καὶ ἐναντίωσις, παρὰ τῶν ἄλλων γένηται, τάδε διωμολογήσαντο. κοινῇ μὲν τοὺς τρεῖς, πρός τε διοίκησιν καὶ πρὸς κατάστασιν τῶν πραγμάτων, ἐπιμελητάς τε τινας καὶ διορθωτὰς, καὶ τοῦτο οὐκ ἐς ἀεὶ δῆθεν, ἀλλ' ἐς ἔτη πέντε, αἱρεθῆναι· ὥστε τἆλλα πάντα, κἂν μηδὲν ὑπὲρ αὐτῶν μήτε τῷ δήμῳ μήτε τῇ βουλῇ κοινώσωσι, διοικεῖν· καὶ τὰς ἀρχὰς, τάς τε ἄλλας τιμὰς, οἷς ἂν ἐθελήσωσι, διδόναι. ἰδίᾳ δὲ δὴ (ὅπως μὴ καὶ πᾶσαν τὴν ἀρχὴν σφετερίζεσθαι νομισθῶσι) Καίσαρι μὲν τήν τε Λιβύην ἑκατέραν, καὶ Σαρδὼ, καὶ Σικελίαν· Λεπίδῳ δὲ τήν τε Ἰβηρίαν πᾶσαν, καὶ τὴν Γαλατίαν τὴν Ναρβωνησίαν· Ἀντωνίῳ δὲ τὴν λοιπὴν Γαλατίαν, τήν τε ἐντὸς τῶν Ἄλπεων καὶ τὴν ὑπὲρ αὐτὰς οὖσαν, ἄρχειν δοθῆναι. ἐκαλεῖτο δὲ, ἐκείνη μὲν, Τογάτα, (ὥσπερ εἶπον) ὅτι τε εἰρηνικωτέρα παρὰ τὰς ἄλλας ἐδόκει εἶναι, καὶ ὅτι καὶ τῇ ἐσθῆτι τῇ Ῥωμαϊκῇ τῇ ἀστικῇ ἐχρῶντο ἤδη· αὕτη δὲ δὴ, Κομάτα, ὅτι οἱ Γαλάται οἱ ταύτῃ, ἐς κόμην τὸ πλεῖστον τὰς τρίχας ἀνιέντες, ἐπίσημοι κατὰ τοῦτο παρὰ τοὺς ἄλλους ἦσαν.

provincias ita inter se distribuerunt, ut Cæsari Africa utraque, Sicilia & Sardinia, Lepido Hispania omnis & Gallia Narbonensis, Antonio reliqua omnis Gallia obtingeret;

Ταῦτά τε οὖν οὕτω διέλαχον, ἵνα αὐτοί τε τὰ ἰσχυρότατα λάβωσι, καὶ τοῖς ἄλλοις δόξαν τοῦ μὴ καὶ τῶν πάντων ὀριγνᾶσθαι παράσχωσι. καὶ προσσυνέθεντο, τῶν τε ἐχθρῶν σφῶν σφαγὰς ποιήσασθαι, καὶ Λέπιδον μὲν, ἐς τὴν τοῦ Δεκίμου χώραν ὕπατον ἀποδειχθέντα, τήν τε Ῥώμην καὶ τὴν λοιπὴν Ἰταλίαν διὰ φυλακῆς ἔχειν· ἐκείνους δὲ ἐπί τε τὸν Βροῦτον καὶ ἐπὶ τὸν Κάσσιον στρατεύσασθαι. καὶ αὐτὰ καὶ ὅρκοις ἐπιστώσαντο. καὶ μετὰ τοῦτο τοὺς στρατιώτας, ὅπως καὶ ἐπήκοοι δῆθεν καὶ μάρτυρες τῶν ὡμολογημένων σφίσι γένωνται, συγκαλέσαντες, ἐδημηγόρησαν, ὅσα καὶ εὐπρεπὲς καὶ ἀσφαλὲς ἦν αὐτοῖς εἰπεῖν. κἀν τούτῳ οἱ τοῦ Ἀντωνίου στρατιῶται τὴν θυγατέρα τὴν τῆς Φουλουίας τῆς γυναικὸς αὐτοῦ, ἣν ἐκ τοῦ Κλωδίου εἶχε, τῷ Καίσαρι, καίτοι ἑτέρᾳ ἐγγεγυημένῳ, προεξένησαν, τοῦ Ἀντωνίου δηλονότι τοῦτο κατασκευάσαντος. καὶ ὃς οὐκ ἀπηρ-

cap. 56. compositum etiam inter eos est, ut quilibet hostes suos cæderet; ut Lepidus consul fieret & Italiam custodiret, Antonius & Cæsar contra Cassium & Brutum bellum moverent.

Digitized by Google

Cæsar Fulviam, Antonii privignam, matrimonio sibi jungit.

πηρνήσατο. ὐδὲ γὰρ ἐμποδισθήσεσθαί τι ἐκ τῆς ἐπιγαμίας, πρὸς ἃ κατὰ τῦ Ἀντωνίυ πράξειν ἤμελλεν, ἐνόμισε. τά τε γὰρ ἄλλα, καὶ τὸν πατέρα τὸν Καίσαρα ὐδέν τι ἧττον ἐκ τῆς πρὸς τὸν Πομπήϊον συγγενείας πάνθ', ὅσα ἠθέλησε, κατ' αὐτῦ πράξαντα ἠπίςατο.

L.XLVII.c.1. Triumviratus Lepidi, Ant. & Cæsaris.

cap. 3. Triumviris Romæ commorantibus ingens hominum multitudo cæsa & proscripta est.

Ταῦτ' ὖν συνθέμενοι καὶ συνομόσαντες, ἐς τὴν Ῥώμην, δόξῃ μὲν ὡς καὶ πάντες ἀπὸ τῆς ἴσης ἄρξοντες, γνώμῃ δὲ, ὡς καὶ αὐτὸς ἕκαςος πᾶν τὸ κράτος ἕξων, ἠπείγοντο. Καὶ αὐτῶν ἐνταῦθα ἔτι ὄντων, αἵτε σφαγαὶ ἐκεῖναι, αἷς ποτε ὁ Σύλλας ἐκ τῶν προγραφῶν ἐκέχρητο, ἐποιήθησαν, καὶ ἡ πόλις ἅπασα νεκρῶν ἐπληρώθη. πολλοὶ μὲν γὰρ ἐν ταῖς οἰκίαις, πολλοὶ δὲ καὶ ἐν ταῖς ὁδοῖς, ἔν τε ταῖς ἀγοραῖς, καὶ πρὸς τοῖς ἱεροῖς, σποράδην ἀπεκτίννυντο. καὶ αἵ τε κεφαλαὶ αὐτῶν ἐπὶ τὸ βῆμα αὖθις ἀνετίθεντο, καὶ τὰ λοιπὰ σώματα, τὰ μὲν αὐτῦ τε ἐῤῥιπτεῖτο, καὶ ὑπὸ κυνῶν ὀρνίθων τε ἠθίετο, τὰ δὲ ἐς τὸν ποταμὸν ἐνεβάλλετο, τά τε ἄλλα, ὅσα ἐπὶ τῦ Σύλλυ πρότερον ἐπέπρακτο, καὶ τότε συνεφέρετο· πλὴν ὅτι δύο μόνα λευκώματα, χωρὶς μὲν, τῶν βυλευτῶν, χωρὶς δὲ, τῶν ἄλλων, ἐξετέθη. Πολύτροποι μὲν ὖν διὰ ταῦτα αἱ σφαγαὶ, πολυειδεῖς δὲ καὶ σωτηρίαι τισὶν ἐγένοντο. συχνοὶ μὲν γὰρ καὶ πρὸς τῶν φιλτάτων ἀπώλοντο, συχνοὶ δὲ ὑπὸ τῶν ἐχθίςων ἐσώθησαν. ἄλλοι σφᾶς αὐτὺς ἀπέκτειναν, ἄλλυς αὐτοὶ οἱ ἐπελθόντες, ὡς καὶ φονεύσαντες, ἀπέλυσαν. προδόντες δέ τινες δεσπότας, ἢ καὶ φίλυς, ἐκολάσθησαν, καὶ ἕτεροι δι' αὐτὸ τῦτο ἐτιμήθησαν· οἵ τε περιποιήσαντές τινας, οἱ μὲν δίκην ἔδοσαν, οἱ δὲ καὶ γέρα ἔλαβον. οἷα γὰρ ὐχ ἑνὸς ἀνδρὸς, ἀλλὰ τριῶν, πρός τε τὴν ἐπιθυμίαν τὴν ἑαυτῦ ἑκάςυ, καὶ πρὸς τὸ ἴδιον συμφέρον πάντα ποιύντων, καὶ μήτε τὺς αὐτὺς ἐχθρὺς ἢ φίλυς ἡγυμένων, σωθῆναί τε πολλάκις, ὃν ὁ ἕτερος ἀπολέσθαι, καὶ φθαρῆναι αὖ, ὃν ὁ ἕτερος περιγενέσθαι ἤθελε, σπυδαζόντων, πολλὰ καὶ ποικίλα συνέβαινεν, ὥς πυ καὶ εὐνοίας ἢ μίσυς πρός τινα ἔχοντες ἦσαν. Καὶ τότε ὖν ταῦτά τε ὕτως ἐγένετο, καὶ πλεῖςοι μὲν τῶν μὴ προγραφέντων διά τε ἔχθραν καὶ διὰ χρήματα παραπώλοντο, πλεῖςοι δὲ τῶν ἐπικηρυχθέντων ὐχ ὅτι περιεγένοντο, ἀλλὰ καὶ κατῆλθον αὖθις, καί τινες αὐτῶν καὶ ἀρχὰς ἔσχον.

cap. 9. Quoniam quisque triumvir suos hostes vel trucidandos vel proscribendos curabat, etiam ex amicis unius & alterius triumviri plures perierunt.

cap. 12. Multi non proscripti propter divitias solas & inimicitias perierunt;

ἡ

ἡ δ' ἀναχώρησις σφίσι πρός τε τὸν Βρῦτον, καὶ πρὸς τὸν Κάσσιον, τόν τε Σέξτον ἐγίγνετο· καὶ οἵ γε πλείες πρὸς τῦτον συγκατέφυγον. ναυαρχεῖν τε γὰρ πρότερον αἱρεθεὶς, καὶ χρόνον τινὰ ἐν τῇ θαλάσσῃ δυνηθεὶς, ἰσχύν τε οἰκείαν, καίπερ τῆς ἀρχῆς μετὰ τῦθ' ὑπὸ τῦ Καίσαρος ςερηθεὶς, περιεβάλετο. καὶ τὴν Σικελίαν κατασχὼν, ἔπειθ', ὡς καὶ ἐκείνῳ ἐπεκηρύχθη, ἅι τε ἄλλαι σφαγαὶ ἐγίγνοντο, πλεῖςον τοῖς ὁμοίοις συνήρατο. τῇ γὰρ Ἰταλίᾳ ἐγγύθεν ἐφορμῶν, διέπεμπεν ἐς τὴν Ῥώμην καὶ ἐς τὰς ἄλλας πόλεις, τά τε ἄλλα τοῖς τινα περισώσασι διπλάσια τῶν τοῖς φονεύσυσι προκειμένων, ἐπαγγελλόμενος, καὶ αὐτοῖς ἐκείνοις καὶ ὑποδοχὴν καὶ ἐπικυρίαν καὶ χρήματα καὶ τιμὰς ὑπισχνέμενος. ὅθεν περ συχνοὶ πρὸς αὐτὸν ἦλθον.

multi proscripti ad Brutum Cassiumque aut ad Sext. Pompejum se reciperunt.

Ἀριθμὸν γὰρ ἔτε τῶν προγραφέντων, ἔτε τῶν φονευθέντων, ἢ καὶ διαφυγόντων, ὐδὲ νῦν ἔγραψα· ὅτι πολλοὶ μὲν, τῶν τὸ πρῶτον ἐς τὰ λευκώματα ἐγγραφέντων, ἀπηλείφεσαν, πολλοὶ δὲ ὕςερον ἀντ' αὐτῶν ἐνεγράφησαν· καὶ τύτων γε ἐκ ὀλίγοι διεσώθησαν, καὶ ἄλλοι συχνοὶ διεφθάρησαν. καὶ αὐτὺς ὐδὲ πενθεῖν τισιν ἐξεσία ἦν, ἀλλὰ πολλοὶ καὶ ἐκ τύτυ παραπώλοντο. Πολλὰ δὲ δὴ καὶ ἄτοπα περὶ τὰς ὐσίας συνέβαινε. καίτοι ταῖς τε γυναιξὶ ταῖς τῶν φονευομένων τὰς προῖκας, καὶ τοῖς τέκνοις τοῖς μὲν ἄῤῥεσι τὸ δέκατον, ταῖς δὲ θηλείαις τὸ εἰκοςὸν τῆς ἑκάςυ σφῶν ὐσίας δώσειν, ὡς καὶ δὴ δίκαιοι φιλάνθρωποί τε ὄντες, ἐπηγγείλαντο. ἀλλ' ὔτε ταῦτα πλὴν ὀλίγων ἐδόθη, τά τε τῶν λοιπῶν καὶ πάνυ πάντα ἀδεῶς ἐπορθεῖτο. τῦτο μὲν γὰρ, ἐνοίκιον ἐνιαύσιον πασῶν τῶν τε ἐν τῷ ἄςει καὶ τῶν ἐν τῇ ἄλλῃ Ἰταλίᾳ οἰκιῶν, ὧν μὲν ἐμεμισθώκεσάν τινες, ὅλον, ὧν δὲ αὐτοὶ ᾤκυν, ἐξ ἡμισείας, πρὸς τὴν τῆς καταγωγῆς ἀξίαν, ἐσέπραξαν· τῦτο δὲ, τὺς τὰ χωρία ἔχοντας, τὸ ἥμισυ τῶν προσόδων αὐτῶν ἀφείλοντο. καὶ προσέτι καὶ τὺς ςρατιώτας τήν τε τροφὴν παρὰ τῶν πόλεων, ἐν ἅις ἐχείμαζον, προῖκα λαμβάνειν ἐποίησαν. καὶ κατὰ τὴν χώραν, ὡς ἐπὶ τὰ δεδημευμένα, τά τε τῶν ἀνθισαμένων ἔτι, διαπέμποντες, (καὶ γὰρ ἐκείνυς, ὅτι μὴ ἐντὸς τῆς προῤῥηθείσης σφίσιν ἡμέρας μετέςησαν, πολεμίυς ἐποιήσαντο)

cap. 13.

cap. 14. Quomodo bona occisorum & proscriptorum direpta fuerint, detrahendo uxoribus & liberis debita ex iis, exagendo mercedem domorum, adimendo alteram redituum partem prædiorum, milites per hiemem alendo, iisque agros dividendo, prædia & ædificia vili pretio vendendo.

Digitized by Google

πάντα. καὶ τὰ λοιπὰ προσδιήρπαζον. ἵνα γὰρ καὶ πρὸ τῶν ἔργων τὰς μισθὰς ἔχοντες, πᾶν τὸ πρόθυμον σφίσι παρέχωνται, ταῦτά τε αὐτοῖς πράττειν ἐπέτρεπον, καὶ πόλεις, χώρας τε δώσειν ὑπισχνᾶντο· καὶ ἐπὶ τάτῳ καὶ γεωνόμας ὁμᾶ, καὶ οἰκιστὰς αὐτοῖς προσαπέδειξαν. τὸ μὲν ἂν πλῆθος τῶν στρατιωτῶν τάτοις ἀνηρτῶντο. τῶν δὲ δὴ λογιμωτέρων τὰς μὲν τοῖς κτήμασι τοῖς τῶν ἀπολλυμένων ἐδελέαζον, τὰ μὲν ἐπευωνίζοντες, τὰ δὲ καὶ προῖκα σφίσι χαριζόμενοι, τὰς δὲ καὶ ταῖς ἀρχαῖς ταῖς τε ἱερωσύναις αὐτῶν ἐτίμων. ὅπως γὰρ ἀδεῶς αὐτοί τε τὰ κάλλιστα καὶ τῶν χωρίων καὶ τῶν οἰκοδομημάτων λαμβάνωσι, καὶ ἐκείνοις, ὅσα βάλονται, διδῶσι, προεῖπον, μηδένα τῶν ἄλλων μὴ ὠνησείοντα ἐς τὸ πρατήριον ἀπαντᾶν· εἰ δὲ μή γε, θνήσκειν τὸν τᾶτο ποιήσαντα. καὶ ἐκείνας γε ἅτω μετεχειρίζοντο, ὥστε τι καταφωρᾶν, καὶ πλεῖστα ὅσα ἀγοράζειν, ὧν ἔχρηζον, καὶ διὰ τᾶτο μηδ' ὠνητιᾶν ἔτι.

cap. 16. A. U. 712. ante Chr. 42. Novæ tabulæ proscriptionis, quibus opes vivis adimebantur; vectigalia renovata partim, partim nova; novæ decimæ.

Τᾶ δὲ δὴ Λεπίδα τᾶ Μάρκα, τᾶ τε Πλάγκα τᾶ Λακία ὑπατευσάντων, λευκώματα αὖθις ἐξετέθη, θάνατον μὲν μηδενὶ ἔτι φέροντα, τὰς δὲ ἀσίας τῶν ζώντων ἀποσυλῶντα. προσδεόμενοι γὰρ χρημάτων, ἅτε πολλὰ μὲν καὶ πολλοῖς στρατιώταις προσοφειλήσαντες, πολλὰ δὲ καὶ ἐπὶ τοῖς γιγνομένοις δι' αὐτῶν δαπανῶντες, πολλῷ δὲ ἔτι πλείω ἐς τὰς προσδοκωμένας πολέμας ἀναλώσειν νομίζοντες, ἠργυρολόγαν. ἀ μὲν ἀλλὰ τὸ τῶν τελῶν, τῶν πρότερον μὲν ποτε καταλυθέντων, τότε δὲ αὖθις ἐπαναχθέντων, ἢ καὶ ἐκ καινῆς προσκατασάντων, τό, τε τῶν συντελειῶν, ἃς πολλὰς μὲν ἐπὶ τῇ γῇ, πολλὰς δὲ καὶ ἐπὶ τοῖς οἰκέταις ἐπράττοντο, μετρίως πως τὰς ἀνθρώπας ἐλύπει· τὸ δὲ δὴ τὰς καὶ ἐφ' ὁποσονᾶν ἔτι ἀ μόνον τῶν βαλευτῶν ἢ καὶ τῶν ἱππέων, ἀλλὰ καὶ τῶν ἐξελευθέρων, καὶ ἀνδρῶν ὁμοίως καὶ γυναικῶν, εὐποράντας, ἐς λευκώματα ἐσγραφῆναι, καὶ δεκατείαν τινὰ καινὴν δεκατευθῆναι, σφόδρα πάντας ἠνίασε. τῷ μὲν γὰρ λόγῳ τὸ δέκατον τῆς ἀσίας παρ' ἑκάστα σφῶν ἐπράχθη, ἔργῳ δὲ ἀδὲ τὸ δέκατον τινι κατελείφθη. ἐπειδὴ γὰρ ἀ ῥητόν τι ἀργύριον πρὸς τὴν τῶν κτημάτων ἀξίαν ἐσενεγκεῖν ἐκελεύθησαν, ἀλλ' ἐπ' αὐτοῖς αἱ τιμήσεις τῶν σφετέρων ἐγένοντο,

Digitized by Google

νοντο, κἀκ τέτε ὡς ἐκ ὀρθῶς αὐτὰ τετιμημένοι διεβάλλοντο, καὶ τὰ λοιπὰ προσαπώλλυσαν. Μόνοι δὲ δὴ οἱ τὰ ὅπλα ἔχοντες ὑπερεπλέτησαν. ἐδὲ γὰρ ἐδὲ ἐξήρκει σφίσιν ὔτε ἡ μισθοφορία, καὶ ὑπερεντελὴς ἔσα· ἔτε αἱ ἔξωθεν ἐπιφοραὶ, καίτοι παμπληθεῖς γενόμεναι· ἐ τὰ ἆθλα τῶν φόνων, μέγιστα δὴ δοθέντα· ἐχ αἱ κτήσεις τῶν χωρίων, προικιμαῖαι τρόπον τινὰ αὐτοῖς ὑπάρξασαι· ἀλλὰ καὶ προσέτι οἱ μὲν τὰς ἐσίας τῶν τελευτώντων ὅλας καὶ ᾔτεν καὶ ἐλάμβανον, οἱ δὲ καὶ ἐς τὰ τῶν ζώντων ἔτι γερόντων τε καὶ ἀτέκνων γένη ἐσεβιάζοντο. ἐς τοσῦτον γὰρ τῆς τε ἀπληςίας καὶ τῆς ἀναισχυντίας ἐχώρησαν, ὥςε τινὰ καὶ τὴν τῆς Ἀττίας τῆς τῦ Καίσαρος μητρὸς ἐσίαν, ἀποθανέσης τότε, δημοσίᾳ τε ταφῇ τιμηθείσης, παρ᾽ αὐτῦ τῦ Καίσαρος αἰτῆσαι.

cap. 17. Soli milites divitiis abundabant.

Ταῦτά τε ἐν ὄντως οἱ ἄνδρες ἐκεῖνοι οἱ τρεῖς ἐποίεν, καὶ ἅμα καὶ τὸν Καίσαρα τὸν πρότερον ἐσέμνυνον ἐπὶ πλεῖςον. ἅτε γὰρ τῆς μοναρχίας ἐφιέμενοι, καὶ πρὸς αὐτὴν ἐπειγόμενοι, τές τε σφαγέας αὐτῦ τὲς λοιπὲς ὀργῇ μετῄεσαν, ὡς καὶ ἐκ τέτε τήν τε ἄδειαν σφίσιν, ὧν ἐποίεν, καὶ τὴν ἀσφάλειαν πόῤῥωθεν προπαρασκευάσοντες· καὶ πάνθ᾽, ὅσα ἐς τιμὴν αὐτῷ ἔφερε, προθύμως ἔπραττον, ἐς ὑποδοχὴν τῦ καὶ αὐτοί ποτε τῶν ὁμοίων ἀξιωθῆναι· καὶ διὰ τῦτο τοῖς τε ἐψηφισμένοις ἤγαλλον αὐτὸν, καὶ ἑτέροις αὐτόσε προσέθεσαν. Τάς τε ἀρχὰς τὰς ἐν τῇ πόλει ἐπὶ πλείω ἔτη προαπέδειξαν, τές τε ἐπιτηδείες σφίσιν ἅμα δι᾽ αὐτῶν τιμῶντες, καὶ τὰ πράγματα ἐπὶ μακρότερον ταῖς τῶν ἀρξόντων διαδοχαῖς κρατυνόμενοι. Πράξαντες δὲ ταῦτα, Λέπιδος μὲν αὐτῦ, τήν τε πόλιν καὶ τὴν ἄλλην Ἰταλίαν διάξων, (ὥσπερ εἶπον) ὑπέμεινε· Καῖσαρ δὲ καὶ Ἀντώνιος ἐξεςράτευσαν. Ὅ, τε δὴ Βρῦτος καὶ ὁ Κάσσιος πυθόμενοι τὸν Καίσαρα ἐπὶ μεῖζον αἴρεσθαι, Κρητῶν μὲν καὶ Βιθυνῶν, ἐφ᾽ ἐς ἐςέλλοντο, ἠμέλησαν, ἐδεμίαν ἐν αὐτοῖς ἀξιόχρεων ὠφέλειαν ὁρῶντες ἔσαν· πρὸς δὲ δὴ τήν τε Συρίαν καὶ τὴν Μακεδονίαν, καίπερ μηδὲν σφίσι προσηκέσας, ἀλλ᾽ ὅτι τῷ καιρῷ καὶ τοῖς χρήμασι ταῖς τε δυνάμεσιν ἤκμαζον, ἐτράποντο. καὶ Κάσσιος μὲν πρὸς τὲς Σύρες, ὡς καὶ συνήθεις οἱ καὶ φίλες ἐκ τῆς μετὰ τῦ Κράσσε ςρατείας ὄντας, ὥρμησε· Βρῦτος

cap. 18. Honores Cæsari interemto decreti.

cap. 19. Magistratus urbani in multos annos designati.

cap. 20. & 21. Lepidus Romæ res administrat; Cæsar & Antonius ad bellum contra Brutum & Cassium proficiscuntur. Brutus & Cassius loco Cretæ & Bithyniæ Syriam & Macedoniam, provincias ad

Digitized by Google

bellum sibi magis profuturas, occupant.

τος δὲ τήν τε Ἑλλάδα καὶ τὴν Μακεδονίαν συνίςη. ἄλλως τε γὰρ ἔκ τε τῆς δόξης τῶν πεπραγμένων, καὶ ἐπὶ ταῖς ἐλπίσι τῶν ὁμοίων προσεῖχον αὐτῷ, καὶ διότι καὶ ςρατιώτας συχνὰς, τὰς μὲν ἐκ τῆς πρὸς Φαρσάλῳ μάχης ἐκεῖ πυ καὶ τότε ἔτι περιπλανωμένυς, τὰς δὲ καὶ ἐκ τῶν τῷ Δολοβέλλᾳ συνεξελθόντων ὑπολειφθέντας, ἢ διὰ νόσον, ἢ δι' ἀταξίαν, προσλαβὼν εἶχε.

Brutus, Macedonia occupata, C. Antonium, qui eodem recens pervenerat, adjutus ab Hortensio & militibus Vatinii, vincit, capit, nec tamen necat;

καί οἱ καὶ χρήματα ἐκ τῆς Ἀσίας παρὰ τῦ Τρεβωνίυ ἦλθε. τὸ μὲν ὖν Ἑλληνικὸν ἀπονητότατα ἐκ τύτων, ἅτε μηδὲ δύναμίν τινα ἀξιόλογον ἔχον, προσεποιήσατο· ἐς δὲ δὴ τὴν Μακεδονίαν ἦλθε μὲν ἐν ἐκείνῳ τῷ καιρῷ, ἐν ᾧ ὅ, τε Ἀντώνιο: ὁ Γάϊος ἄρτι ἀφῖκτο, καὶ Κύϊντος Ὀρτήσιος ὁ προάρξας αὐτῆς, ἀπαλλαγήσεσθαι ἔμελλεν· ὐ μέντοι καὶ πρᾶγμά τι ἔσχεν. ὗτος γὰρ εὐθὺς αὐτῷ προσεχώρησε, καὶ ὁ Ἀντώνιος κωλυθεὶς, κατὰ τὴν τῦ Καίσαρος ἐν τῇ Ῥώμῃ ἐπικράτησιν, πράσσειν τι τῶν τῇ ἀρχῇ προσηκόντων, ἀσθενὴς ἦν. ὅ, τε Οὐατίνιος ἦρχε μὲν Ἰλλυριῶν τῶν πλησιοχώρων, καὶ τό, τε Δυῤῥάχιον ἐκεῖθεν ἐπελθὼν προκατέλαβε, καὶ ἦν αὐτῷ κατὰ τὸ ςασιωτικὸν διάφορος· ὐ μὴν ἠδυνήθη τι αὐτὸν βλάψαι. οἱ γὰρ ςρατιῶται, ἀχθόμενοί τε αὐτῷ, καὶ προσκαταφρονήσαντες αὐτῦ διὰ νόσον, μετέςησαν. καταλαβὼν ὖν καὶ τύτυς, ἐπί τε τὸν Ἀντώνιον ἐν τῇ Ἀπολλωνίᾳ ὄντα ἐςράτευσε, καὶ προαπαντήσαντός οἱ αὐτῦ, τύς τε ςρατιώτας ᾠκειώσατο, καὶ ἐκεῖνον ἐς τὸ τεῖχος προκαταφυγόντα ἀπετείχισε μὲν, καὶ ἐζώγρησεν ἐκ προδοσίας, κακὸν δὲ ὐδὲν εἰργάσατο.

cap. 22. Rerum ignarus, quæ Romæ evenerant, res gestas senatui exponit, & senatusconsulto rebus Macedonicis præficitur;

Πράξας δὲ ταῦτα, καὶ τήν τε Μακεδονίαν μετὰ τῦτο πᾶσαν καὶ τὴν Ἤπειρον προσλαβὼν, ἐπέςειλε τῇ γερυσίᾳ, τά τε πραχθέντα οἱ δηλῶν, καὶ ἑαυτὸν, τά τε ἔθνη καὶ τὰς ςρατιώτας ἐπ' αὐτῇ ποιύμενος. οἱ δὲ (ἔτυχον γὰρ ὑπόπτως ἤδη πρὸς τὸν Καίσαρα ἔχοντες) ἰσχυρῶς τε αὐτὸν ἐπῄνεσαν, καὶ πάντων τῶν ἐκεῖ χωρίων ἄρχειν ἐκέλευσαν. ὡς ὖν καὶ ἐκ τῦ δόγματος τὴν ἡγεμονείαν ἐβεβαιώσατο, αὐτός τε ἐπὶ πλεῖον προεθυμήθη, καὶ τὸ ὑπήκοον ἀπροφασίςως συναιρόμενον ἔσχε. καὶ τέως μὲν τῷ τε Καίσαρι πέμπων, ὅτε ἐδόκει τῷ Ἀντωνίῳ πολεμεῖν, παρῄνει ἐκείνῳ τε ἀνθίςασθαι, καὶ ἑαυτῷ συναλλαγῆναι. καὶ αὐτὸς ἐς τὴν Ἰταλίαν πλεῦσαι παρεσκευάζετο,

Digitized by Google

ςῆσο, ὅθεν ἡ γερεσία μετέπεμψεν αὐτόν. ἐπεὶ δὲ ὁ Καῖσαρ τά τε ἐν τῇ Ῥώμῃ ἀκριβῶς κατέσχε, καὶ τὰς τὰ πατρὸς Φονέας φανερῶς ἐτιμωρεῖτο, κατὰ χώραν ἔμεινε, καὶ διεσκόπει, ὅπη ποτὲ ἐπιόντα αὐτὸν καλῶς ἀμύναιτο.

comptertis autem Cæsaris consiliis, ad bellum se parat.

Ἐν δὲ τοῖς αὐτοῖς χρόνοις ἐκείνοις ὁ Κάσσιος ἔς τε τὴν Ἀσίαν πρὸς τὸν Τρεβώνιον, φθάσας τὸν Δολοβέλλαν, ἐπεραιώθη· καὶ λαβὼν παρ' αὐτᾶ χρήματα, τῶν τε ἱππέων συχνὰς, ὃς ὁ Δολοβέλλας ἐς τὴν Συρίαν προεπεπόμφει, καὶ ἑτέρας πολλὰς τῶν τε Ἀσιανῶν καὶ τῶν Κιλίκων προσέθετο· κἀκ τάτα καὶ τὸν Ταρκονδίμοτον, τάς τε Ταρσέας καὶ ἄκοντας, ἐς τὸ συμμαχικὸν προσηγάγετο. ὅτω γὰρ προσφιλῶς τῷ Καίσαρι τῷ προτέρῳ, καὶ δι' ἐκεῖνον καὶ τῷ δευτέρῳ, οἱ Ταρσεῖς εἶχον, ὥςε καὶ Ἰαλιόπολιν σφᾶς ἀπ' αὐτᾶ μετονομάσαι. ταῦτ' ἂν ὁ Κάσσιος πράξας, ἐς τὴν Συρίαν ἦλθε, καὶ ἀμαχεὶ πάντα τά τε τῶν δήμων καὶ τὰ τῶν ςρατευμάτων προσεποιήσατο. Παραλαβὼν ὖν τὴν Συρίαν, ἐς τὴν Ἰαδαίαν ὥρμησε, πυθόμενος τὰς ςρατιώτας τὰς ἐν τῇ Αἰγύπτῳ ὑπὸ τὰ Καίσαρος καταλειφθέντας προσιέναι, καὶ ἐκείνας τε ἀκονιτὶ καὶ τὰς Ἰαδαίας παρεςήσατο. καὶ μετὰ τᾶτο τὸν μὲν Βάσσον καὶ τὸν Κρίσπον, τάς τε ἄλλας τὰς ἐκ ἐθελήσαντάς οἱ συςρατεῦσαι, ἀπέπεμψε, μηδὲν ἀδικήσας. τῷ δὲ δὴ Σταΐῳ τό, τε ἀξίωμα, μεθ' ὃ ἀφῖκτο, ἐτήρησε, καὶ προσέτι καὶ τὸ ναυτικὸν ἐνέτρεψεν. ὅτω μὲν καὶ ὁ Κάσσιος ἰσχυρὸς διὰ ταχέων ἐγένετο, καὶ τῷ τε Καίσαρι περὶ τῶν συναλλαγῶν, καὶ τῇ γερασίᾳ περὶ τῶν παρόντων ὅμοια τῷ Βράτῳ ἐπέςειλε. καὶ αὐτῷ διὰ ταῦτα ἡ βαλὴ τήν τε ἀρχὴν τῆς Συρίας ἐβεβαίωσε, καὶ τὸν τὰ Δολοβέλλα πόλεμον ἐψηφίσατο.

cap. 26. Cassius in Syriam ad Trebonium profectu, omnes nationes & exercitus sine certamine suos fecit;

cap. 28. Judæaque occupata, res gestas ad senatum refert, & a senatu in imperio Syriæ ad bellum contra Dolabellam gerendum confirmatur.

Οὗτος γὰρ ἐτέτακτο μὲν τῆς Συρίας ἄρχειν, καὶ τὴν ἔξοδον ὑπατεύων ἐποιεῖτο, χρόνιος δὲ διά τε τῆς Μακεδονίας καὶ τῆς Θράκης ἐς τὴν Ἀσίαν τὸ ἔθνος κομισθεὶς, καὶ ἐκεῖ ἐνδιέτριψεν. ἐπειδή τε ἐνταῦθα ἔτι ὄντι αὐτῷ τὸ δόγμα ἠγγέλθη, πρὸς μὲν τὴν Συρίαν ἀ προεχώρησεν, αὐτᾶ δὲ δὴ καταμείνας, τὸν Τρεβώνιον ὅτω μετεχειρίσατο, ὥςε δόξαν οἱ εὐνοίας πλείςην παρασχεῖν· καὶ τήν τε τροφὴν τοῖς ςρατιώταις παρ' ἑκόντος αὐτᾶ λαβεῖν, καὶ τὴν δίαιταν ἀδεῶς σὺν αὐτῷ ποιεῖσθαι. ἐπειδή τε ἔν τε τῷ θαρ-

cap. 29. Dolabella, cui Syria provincia fuerat decreta, sub ipsum ejus in Asiam adventum, compertus senatusconsultum, non in Syriam progreditur, sed om-

Digitized by Google

ni Asia potitur, quam ob causam hostis a senatu judicatur.

θαρσῦντι διὰ ταῦτ' ἐγένετο, καὶ φυλακὴν ἐδεμίαν ἑαυτῦ ἐποιεῖτο, τήν τε Σμύρναν, ἐν ᾗ ἦσαν, νυκτὸς ἐξαπιναίως κατέλαβε, καὶ ἐκεῖνον ἀποκτείνας τὴν κεφαλὴν αὐτῦ πρὸς τὴν τῦ Καίσαρος εἰκόνα ἔῤῥιψε· κἀκ τέτε πᾶσαν τὴν Ἀσίαν κατέσχε. πυθόμενοι δὲ ταῦτα οἱ ἐν οἴκῳ Ῥωμαῖοι, πόλεμον αὐτῷ ἐπήγγειλαν· ἐδέπω γὰρ ὁ Καῖσαρ ἔτε τὸν Ἀντώνιον ἐνενικήκει, ἔτε τὰ ἐν τῷ ἄστει διὰ χειρὸς ἐπεποίητο. καὶ τοῖς τε συνῦσιν οἱ ῥητὴν ἡμέραν ἐς ἔκλειψιν τῆς φιλίας αὐτῦ προεῖπον, ἵνα μὴ καὶ ἐκεῖνοι ἐν ἐχθρῶν μοίρᾳ γένωνται, καὶ τὴν ἀντίταξιν τόν τε πόλεμον τὸν πρὸς αὐτὸν τὸ μὲν σύμπαν τοῖς ὑπάτοις προσέταξαν, ἐπειδὰν τὰ παρόντα κατορθώσωσι, ποιήσασθαι· (τὸν γὰρ Κάσσιον ἐδέπω τὴν Συρίαν ἔχοντα ᾔδεσαν·) ἵνα δὲ ἐπὶ μεῖζον ἐν τῷ μεταξὺ χρόνῳ μὴ αὐξηθῇ, τοῖς τῶν προσόρων ἐθνῶν ἄρχεσιν ἐνεχείρισαν· καὶ μετὰ τῦτο μαθόντες τὰ κατὰ τὸν Κάσσιον, πρὶν καὶ ὁτιῦν ὑπ' ἐκείνων πραχθῆναι, ταῦθ', ἅπερ εἶπον, ἐψηφίσαντο.

Finitimarum nationum præfectis primum, deinde Cassio bellum contra eum demandatur.

cap. 30. Dolabella per Ciliciam in Syriam progressus a Cassio vincitur, Laodiceæ oppugnatur, tandem ab omni auxilio interclusus se ipsum interficit.

Ὁ δ' ὖν Δολοβέλλας, ἐγκρατὴς ὕτω τῆς Ἀσίας γενόμενος, ἐς τὴν Κιλικίαν ἦλθε, τῦ Κασσίε ἐν τῇ Παλαιςίνῃ ὄντος· καὶ τὺς Ταρσέας ἑκασίυς προσλαβὼν, φρυρὰς τινας αὐτῦ ἐν Αἰγέαις ὄντας ἐνίκησε, καὶ ἐς τὴν Συρίαν ἐνέβαλε. καὶ τῆς μὲν Ἀντιοχείας ὑπὸ τῶν ἐμφρυρέντων αὐτὴν ἀπεκρύσθη· τὴν δὲ Λαοδίκειαν ἀμαχεὶ, διὰ τὴν φιλίαν αὐτῶν, ἣν πρὸς τὸν Καίσαρα τὸν πρότερον εἶχον, προσεποιήσατο. κἀκ τέτων ἡμέρας τινὰς ἰσχύσας (τά τε γὰρ ἄλλα καὶ τὸ ναυτικὸν αὐτῷ διὰ ταχέων ἐκ τῆς Ἀσίας ἐπῆλθε) διέβαλεν ἐς Ἄραδον, ὅπως καὶ παρ' ἐκείνων καὶ χρήματα καὶ ναῦς λάβῃ· κἀνταῦθα ἀποληφθεὶς μετ' ὀλίγων ἐκινδύνευσε. διαφυγὼν ὖν, ἀπήντησέ τε τῷ Κασσίῳ προσελαύνοντι, καὶ συμβαλὼν αὐτῷ ἡττήθη. κατακλεισθείς τε ἐς τὴν Λαοδίκειαν ἐπολιορκεῖτο, τῆς μὲν ἠπείρυ παντελῶς εἰργόμενος, (ἄλλοι τε γὰρ τῷ Κασσίῳ, καὶ Πάρθοι τινὲς ἐβοήθησαν) ταῖς δὲ δὴ ναυσὶ ταῖς τε Ἀσιαναῖς, καὶ ταῖς Αἰγυπτίαις, ἃς ἡ Κλεοπάτρα αὐτῷ ἔπεμψε, καὶ προσέτι καὶ τοῖς χρήμασι τοῖς παρ' αὐτῆς ἐλθῦσι ἰσχύων. μέχρις ὖ ὁ Στάτιος τό, τε ναυτικὸν συνεκρότησε, καὶ ἐς τὸν τῶν Λαοδικέων λιμένα ἐσπλεύσας, τύς τε ἀνταναχθέντας ἐκράτησε, καὶ ἀπέκλεισέν οἱ καὶ τὴν θάλασσαν. τότε

γὰρ

γὰρ ἀμφοτέρωθεν τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων εἰρχθεὶς, ἐπεκδρομὴν μὲν σπάνει τῶν ἀναγκαίων ἐποιήσατο, καταραχθεὶς δὲ διὰ ταχέων ἐς τὸ τεῖχος, καὶ προδιδόμενον αὐτὸ ἰδὼν, ἐφοβήθη μὴ ζῶν ἁλώῃ καὶ ἑαυτὸν κατεχρήσατο. ὅπερ πȣ καὶ Μάρκος Ὀκταούϊος ὑποστράτηγος αὐτȣ̃ ἔπραξε. καὶ οἱ μὲν ταφῆς ὑπὸ Κασσίȣ, καίπερ τὸν Τρεβώνιον ἄταφον ῥίψαντες, ἠξιώθησαν· οἵ τε συστρατεύσαντες σφίσι, καὶ περιγενόμενοι, καὶ σωτηρίας καὶ ἀδείας, καίτοι πολέμιοι ὑπὸ τῶν οἴκοι Ῥωμαίων νομισθέντες, ἔτυχον. ȣ̓ μέντοι ȣ̓δ' οἱ Λαοδικεῖς κακόν τι, πλὴν συντελείας χρημάτων, ἔπαθον. ἀλλ' ȣ̓δὲ ἄλλος ȣ̓δεὶς, συχνῶν μετὰ τȣ̃το τῷ Κασσίῳ ἐπιβȣλευσάντων, ἐκολάσθη.

Cassius cum victis clementer agit.

cap. 32. Cassius & Brutus, rebus triumvirorum compertis, in Asia de libertate populi Romani tuenda societatem ineunt, amicitias jungunt, pecuniasque & milites contrahunt.

Κάσσιος δὲ, ἐπειδὴ τά τε ἐν τῇ Συρίᾳ καὶ τὰ ἐν τῇ Κιλικίᾳ κατεστήσατο, ἐς τὴν Ἀσίαν πρὸς τὸν Βρȣ̃τον ἀφίκετο. ὡς γὰρ τήν τε συνωμοσίαν τῶν τριῶν ἀνδρῶν ἔμαθον, καὶ τὰ πραττόμενα ὑπ' αὐτῶν κατὰ σφῶν ᾔσθοντο, συνῆλθόν τε ἐκεῖ, καὶ τὰ πράγματα ἔτι καὶ μᾶλλον ἐκοινώσαντο. τήν τε γὰρ αἰτίαν τὴν τȣ̃ πολέμȣ τὴν αὐτὴν ἔχοντες, καὶ τὸν κίνδυνον τὸν αὐτὸν προσδεχόμενοι, τήν τε ὑπὲρ τῆς τȣ̃ δήμȣ ἐλευθερίας γνώμην μηδὲ τότε ἐξιστάμενοι, καὶ ἐκείνȣς, ἅτε καὶ τρεῖς ὄντας καὶ τοιαῦτα δρῶντας, προσκαταλῦσαι γλιχόμενοι, πολλῷ προθυμότερον κοινῇ πάντα καὶ ἐβȣλεύοντο καὶ ἐποίȣν. καὶ τὸ μὲν σύμπαν, ἔγνωσαν ἔς τε τὴν Μακεδονίαν ἐλθεῖν, καὶ περαιωθῆναι ἀυτȣ̀ς ἐκεῖσε κωλῦσαι, ἢ καὶ ἐς τὴν Ἰταλίαν προδιαβῆναι. ἐπεὶ δὲ τά τε ἐν τῇ Ῥώμῃ καθίστασθαι ἔτ' ἐλέγοντο, καὶ πρὸς τὸν Σέξτον, ἅτε καὶ ἐγγύθεν ἐφεδρεύοντα σφίσιν, ἀσχολίαν ἕξειν ἐνομίζοντο· ȣ̓κ εὐθὺς ταῦτ' ἐποίησαν, ἀλλ' αὐτοί τε περιϊόντες, καὶ ἑτέρȣς διαπέμποντες, τȣ̀ς τε μηδέπω ὁμοφρονȣ̃ντας σφίσι προσεκτῶντο, καὶ χρήματα καὶ στρατιώτας ἤθροιζον.

cap. 33. Contra Rhodios & Lycios, societatem detrectantes, arma movent, eosque vincunt.

Καὶ αὐτοῖς οἱ μὲν ἄλλοι ταύτῃ πάντες, καὶ οἱ πρόσθεν περιορώμενοι, παραχρῆμα ὡμολόγησαν· ὁ δὲ δὴ Ἀριοβαρζάνης, οἵ τε Ῥόδιοι καὶ οἱ Λύκιοι, ἄλλως μὲν ȣ̓κ ἀνθίσταντο, ȣ̓ μέντοι καὶ συμμαχῆσαι ἤθελον. ὑποπτεύσαντες ȣ̓̃ν, αὐτȣ̀ς τὰ τῶν ἐναντίων, ἐπειδὴ εὖ ὑπὸ τȣ̃ Καίσαρος τȣ̃ προτέρȣ ἐπεπόνθεσαν, φρονεῖν, καὶ φοβηθέντες, μὴ καὶ αὐτοί τι ἀπελθόντων σφῶν ταράξωσί τι, καὶ τȣ̀ς ἄλλȣς

λες συναποςήσωσι, γνώμην ἐποιήσαντο ἐπ' ἐκείνες πρῶτον τραπέσθαι· ἐλπίσαντες σφᾶς, ἅτε καὶ τοῖς ὅπλοις πολὺ αὐτῶν ὑπερέχοντες, καὶ ταῖς εὐεργεσίαις ἀφθόνως χρώμενοι, διὰ βραχέος πείσειν, ἢ καὶ βιάσεσθαι. (Αὐτῶν δὲ ἑαλωκότων), ἀμφότεροί τε ἐς τὴν Ἀσίαν αὖθις ἦλθον, καὶ πάνθ', ὅσα ἐκ διαβολῶν (οἷα ἐν τοῖς τοιέτοις συμβαίνειν φιλεῖ) ὕποπτα πρὸς ἀλλήλες εἶχον, ἔς τε τὸ μέσον καὶ καταμόνας προενεγκόντες, καὶ διαλυσάμενοι, ἐς τὴν Μακεδονίαν ἠπείγοντο. καὶ αὐτὲς Γαΐός τε Ναρβανὸς καὶ Δεκίδιος Σάξας ἔφθησαν, τόν τε Ἰόνιον, πρὶν τὸν Στάτιον ἐλθεῖν, περαιωθέντες, καὶ πᾶσαν τὴν μέχρι τε Παγγαίε γῆν προκατασχόντες, καὶ πρὸς τοῖς Φιλίπποις ςρατοπεδευσάμενοι. Ὁ δὲ Καῖσαρ καὶ Ἀντώνιος ἐγχρονίσαντες, Ἀντώνιος μὲν περὶ Βρεντέσιον (ὑπὸ γὰρ τε Στατίε καθείργετο) Καῖσαρ δὲ περὶ Ῥήγιον (πρὸς γὰρ τὸν Σέξςον τήν τε Σικελίαν ἔχοντα, καὶ τῆς Ἰταλίας πειρῶντα, προαπετράπετο) διετρίβησαν. Ὡς δ' ἐν ἐτός τε ἐκ εὐκαθαίρετος ἔδοξεν εἶναι σφίσι, καὶ τὰ τε Κασσίε τε τε Βρέτε μᾶλλον αὐτὲς ἤπειξε, μέρος μέν τι τε ςρατε πρὸς φρερὰν τῆς Ἰταλίας κατέλιπον, τῷ δὲ δὴ πλείονι τὸν Ἰόνιον ἀσφαλῶς ἐπεραιώθησαν· καὶ Καῖσαρ μὲν ἐν Δυῤῥαχίῳ νοσήσας ὑπελείφθη, Ἀντώνιος δὲ πρὸς τὲς Φιλίππες ἤλασε, καὶ παραυτίκα μὲν ῥώμην τινὰ τοῖς σφετέροις παρέσχεν· ἐνεδρεύσας δέ τινας τῶν ἐναντίων σιταγωγέντας, καὶ σφαλεὶς, ἐκέτ' ἐδ' αὐτὸς ἐθάρσει. ὁ ἐν Καῖσαρ, πυθόμενος τετο, καὶ δείσας ἑκάτερον, εἴ τέ τι ἐλαττωθείη καταμόνας συμβαλὼν, εἴ τε καὶ κρατήσειεν, (ἐκ μὲν γὰρ τε, τόν τε Βρετον καὶ τὸν Κάσσιον, ἐκ δὲ τε, τὸν Ἀντώνιον πάντως ἐφ' ἑαυτὸν ἰσχύσειν ἐνόμισεν) ἠπείχθη, καίπερ καὶ τότε ἔτι ἀῤῥωςῶν. κὰκ τέτε ἀνεθάρσησαν μὲν οἱ περὶ τὸν Ἀντώνιον· ἐπεὶ δ' ἐκ ἀσφαλὲς ἐφαίνετο τὸ μὴ ἐχ ἅμα πάντας αὐτὲς αὐλίζεσθαι, ἔς τε χωρίον ἓν καὶ ἐς ἔρυμα ἓν τὰ τρία ςρατεύματα συνήγαγον. ἀντικαθημένων δὲ αὐτῶν ἀλλήλοις, ἐκδρομαὶ μὲν καὶ ἀντεπέξοδοι παρ' ἀμφοτέρων, ὡς ἔτυχεν, ἐγίγνοντο· μάχη δὲ ἐκ παρατάξεως ἐδεμία χρόνον τινὰ συνηνέχθη, καίτοι καὶ τε Καίσαρος καὶ τε Ἀντωνίε πάνυ συμβαλεῖν σπεδαζόντων. ταῖς τε γὰρ δυνάμεσι μᾶλλον

cap. 35. Ante Bruti & Cassii in Macedonia adventum Norbanus & Saxa ad Philippos castra jam posuerant.

cap. 36. & 37. Cæsar & Antonius, aliquamdiu a Statio & Sexto Pompejo retardati tandem Jonium mare trajiciunt.

Antonius, Cæsare Dyrrhachii ægrotante, res ad Philippos infeliciter gerit.

Cæsar repentino suo adventu Antonianis animum reddit.

τῶν

τῶν ἐναντίων ἐῤῥωντο, καὶ τῶν ἐπιτηδείων ἐχ ὁμοίως αὐτοῖς ηὐπόρεν, διὰ τὸ τῆς θαλάσσης (ἅτε τἒ ναυτικἒ σφῶν τῶ Σέξτω προπολεμἒντος) μὴ κρατεῖν.

cap. 38. Cæsar & Antonius ad prœlium festinant, veriti, ne Sext. Pompejus Italia occupata, in Macedoniam veniat;

Οὗτοι μὲν ἒν διά τε ταῦτα, καὶ διὰ τὸν Σέξτον, τήν τε Σικελίαν ἔχοντα, καὶ τῆς Ἰταλίας πειρῶντα, μὴ καὶ χρονισάντων αὐτῶν τήν τε Ἰταλίαν καταλάβῃ, καὶ ἐς τὴν Μακεδονίαν ἔλθῃ, ὤργων. ὁ δὲ δὴ Κάσσιος ὅ, τε Βρἒτος ἄλλως μὲν ἐκ ὤκνεν τὴν μάχην· (ὅσον γὰρ τῇ ῥώμῃ τῶν στρατιωτῶν ἠλαττἒντο, τοσἒτον τῷ πλήθει ἐπλεονέκτεν·) ἐκλογιζόμενοι δὲ τά τε ἐκείνων καὶ τὰ σφέτερα, (σύμμαχοί τε γὰρ αὐτοῖς καθ' ἑκάστην ἡμέραν προσεγίγνοντο, καὶ τὴν τροφὴν ἄφθονον ὑπὸ τῶν νεῶν εἶχον) ἀνεβάλλοντο, εἴ πως ἄνευ κινδύνε καὶ φθόρε τινῶν ἐπικρατήσειαν. ἅτε γὰρ δημεράσαι τε ἀκριβῶς ὄντες, καὶ πρὸς πολίτας ἀγωνιζόμενοι, ἐκείνων τε ἐδὲν ἧττον ἢ τῶν συνόντων σφίσι διεσκόπεν, καὶ ἐπεθύμεν ἑκατέροις ὁμοίως καὶ τὴν σωτηρίαν καὶ τὴν ἐλευθερίαν παρασχεῖν. χρόνον μὲν ἒν τινα διὰ ταῦτα ἀνέσχον, ἐκ ἐθέλοντες σφίσιν ἐς χεῖρας ἐλθεῖν· ὡς μέντοι τὰ στρατεύματα, ἅτε ἐκ τἒ ὑπηκόε τὸ πλεῖστον ὄντα, τῇ τε τριβῇ βαρυνόμενα, καὶ τῶν ἀντιπολεμἒντων καταφρονήσαντα, ὅτι τὸ καθάρσιον, τὸ πρὸ τῶν ἀγώνων γιγνόμενον, ἐντὸς τἒ ἐρύματος, ὡς καὶ δεδιότες ἐποιήσαντο, ἔς τε τὴν μάχην ὥρμησαν, καὶ διελάλεν, ὅτι ἂν ἐπὶ πλείω διατριφθῶσι, τό, τε στρατόπεδον ἐκλείψεσι, καὶ διασκεδαθήσονται· ἕτω δὴ καὶ ἄκοντες συνέμιξαν.

Brutus contra & Cassius cunctando id agunt, ut sine periculo & magno interitu hominum vincant; tandem poscente milite ad tentandam pugnæ fortunam compellantur.

cap. 39. Prælii ad Philippos magnitudo & ob res subsecutas summa gravitas.

Μέγιστον δὴ τὸν ἀγῶνα τἒτον, καὶ ὑπὲρ πάντας τὲς ἐμφυλίες, τὲς τοῖς Ῥωμαίοις γεγονότας ἐκ ἀπεικότως ἄν τις συμβῆναι νομίσειεν· ἐχ ὅτι καὶ τοῖς πλήθεσιν ἢ καὶ ταῖς ἀρεταῖς τῶν μαχεσαμένων διήνεγκαν αὐτῶν, (πολλῷ γὰρ καὶ πλείες καὶ ἀμείνες σφῶν πολλαχόθι ἠγωνίσαντο·) ἀλλ' ὅτι περί τε τῆς ἐλευθερίας καὶ τῆς δημοκρατίας τότε, ὡς ἐ πώποτε, ἐπολέμησαν. συνέπεσον μὲν γὰρ καὶ αὖθις ἀλλήλοις, ὥσπερ καὶ πρότερον· ἀλλ' ἐκεῖνοι μὲν τὲς ἀγῶνας ὑπὲρ τἒ τίνος ὑπακέσεσιν, ἐποιήσαντο· τότε δὲ οἱ μὲν ἐς δυναστείαν αὐτὲς ἦγον, οἱ δὲ ἐς αὐτονομίαν ἐξῃρἒντο. ὅθεν ἐδ' ἀνέκυψεν ἔτι πρὸς ἀκριβῆ παῤῥησίαν ὁ δῆμος, καίπερ ὑπ' ἀλλοτρίε ἐδενὸς ἡττηθείς·

(τὸ

Digitized by Google

(τὸ γάρ τοι ὑπήκοον, τό, τε συμμαχικὸν, τὸ τότε αὐτοῖς παραγενόμενον, ἐν προσθήκης μέρει τῦ πολιτικῦ ἦν·) ἀλλ' αὐτός, τε ἑαυτῦ κρείτ]ων τε ἅμα καὶ ἥτ]ων γενόμενος, καὶ ἔσφηλεν ἑαυτὸν καὶ ἐσφάλη. κᾀκ τύτυ τό, τε δημοκρατικὸν συμπαρανάλωσε, καὶ τὸ μοναρχικὸν ἐκράτυνε.

cap. 42. Orationes ante prælium ad milites habitæ.

Ὀυχ ὡμολόγησαν μὲν, ὁπότε τὴν μάχην ποιήσονται· ὥσπερ δὲ ἀπὸ συγκειμένυ τινὸς πάντες ἅμα ἔξω ἐξωπλίσαντο, καὶ ἔς τε τὸ χωρίον τὸ μεταίχμιον σφῶν καθάπερ ἀγωνισαί τινες σχολῇ προῆλθον, κᾀνταῦθα ἡσυχῇ παρετάξαν]ο. ὡς δ' ἀντικατέςησαν, παραινέσεις, τῦτο μὲν ἀθρόοις, τῦτο δὲ καθ' ἑκάςυς, ἀμφοτέροις ἀπό τε τῶν ςρατηγῶν καὶ ἀπὸ τῶν ὑποςρατήγων, τῶν θ' ὑπομειόνων ἐγένοντο, πολλὰ μὲν πρὸς τὸ αὐτίκα τῦ κινδύνυ ἀναγκαῖα, πολλὰ δὲ καὶ ἐς τὸ ἔπειτα ἁρμόζοντα αὐτῶν λεγόντων, οἷα ἄν τινες ἔν τε τῷ παραχρῆμα κινδυνεύοντες, καὶ τῷ μέλλοντι προκάμνοντες, εἴποιεν. καὶ τὰ μὲν ἄλλα ὁμοιοτροπώτατα, ἅτε καὶ Ῥωμαίων ἀμφοτέρωθεν ὁμοίως μετὰ τῶν συμμάχων σφῶν ὄντων, ἐῤῥέθη. διήλλαξε δὲ, ὅτι οἱ μὲν περὶ τὸν Βρῦτον, τήν τε ἐλευθερίαν καὶ τὴν δημοκρατίαν, τό, τε ἀτυράννευτον καὶ τὸ ἀδέσποτον τοῖς σφετέροις προσεβάλλοντο, καὶ τά τε ἐν ἰσονομίᾳ χρηςὰ, καὶ τὰ ἐν μοναρχίᾳ ἄτοπα. ὅσα αὐτοί ποτέ γε ἐπεπόνθεσαν, καὶ περὶ ἑτέρων ἀκηκόεσαν, προέφερον, παραδεικνύντες τε καθ' ἓν ἕκαςον ἑκάτερα· καὶ ἱκέτευον σφᾶς τῶν μὲν ὀριγνήσασθαι, τὰ δὲ ἐκκλίναι, καὶ τῶν μὲν ἔρωτα λαβεῖν, τὰ δὲ μὴ παθεῖν φυλάξασθαι· οἱ δὲ ἕτεροι, τῷ σφετέρῳ ςρατῷ τὺς τε σφαγέας τιμωρήσασθαι, καὶ τὰ τῶν ἀντικαθεςώτων σχεῖν, ἄρξαι τε πάντων τῶν ὁμοφύλων ἐπιθυμῆσαι, παρῄνυν· καὶ, (ὅγε μάλιςα αὐτὺς ἐπέῤῥωσε,) καὶ κατὰ πεντακισχιλίας σφίσι δραχμὰς δώσειν ὑπέσχοντο.

cap. 43. Prælii initium.

Κᾀκ τύτυ πρῶτον μὲν τὰ συνθήματα αὐτοῖς διῆλθεν, (ἦν δὲ τοῖς μὲν ἀμφὶ τὸν Βρῦτον ἐλευθερία, τοῖς δὲ ἑτέροις, ὅ, τί ποτε καὶ ἐδόθη·) ἔπειτα σαλπιγκτὴς εἷς ἑκατέρωθεν ὑπεσήμηνε· καὶ ὕτω καὶ οἱ λοιποὶ ἐπήχησαν, πρῶτοι μὲν οἱ τό, τε ςάσιμον καὶ τὸ παρασκευαςικὸν ἐν τόπῳ τινὶ κυκλοτερεῖ διὰ σαλπίγγων μελῳδῦντες· ἔπειτα δὲ καὶ οἱ ἄλλοι, οἱ τόν τε θυμὸν τῶν ςρατιωτῶν ἐπεγεί-

Digitized by Google

γείροντες, καὶ ἐπὶ τὴν σύνοδον αὐτὰς ἐξοτρύνοντες. καὶ μετὰ τῦτο σιωπή τε ἐξαπίνης πολλὴ ἐγένετο, καὶ μικρὸν ἐπισχόντες, αὐτοί τε διάτορον ἐξεφώνησαν, καὶ αἱ τάξεις ἑκατέρωθεν συνεβόησαν. κἀκ τύτυ ἀλαλάξαντες οἱ ὁπλῖται, τάς τε ἀσπίδας τοῖς δορατίοις ἔκρυσαν, καὶ ἐκεῖνα ἐπ' ἀλλήλυς ἐξηκόντισαν· καὶ οἱ σφενδονῆται ὅι τε τοξόται βέλη καὶ λίθυς ἧκαν. καὶ μετὰ ταῦτα τό, τε ἱππικὸν ἀντεξήλασε, καὶ τὸ θορακοφόρον συνεπισπώμενον σφίσιν ἐν χερσὶν ἐγένετο. Ἔμενον δὲ κατὰ χώραν ἀκριβῶς ἀμφότεροι, καὶ ὔθ' ὑπαγωγαῖς, ὔτε διώξεσιν ὐδέτεροι ἐχρήσαντο, ἀλλ' αὐτῦ, ὥσπερ εἶχον, ἐτίτρωσκον, ἐτιτρώσκοντο, ἐφόνευον, ἐφονεύοντο, μέχρι πόῤῥω τῆς ἡμέρας· καὶ εἴγε πάντες πᾶσιν (οἷα ἐν τῷ τοιύτῳ συμβαίνει) συνεμεμίχεσαν, ἢ Βρῦτος μὲν κατὰ Ἀντώνιον, Κάσσιος δὲ κατὰ Καίσαρα ἀντετέτακτο, ἰσοπαλεῖς ἂν ἐγεγόνεσαν. νῦν δὲ ὅ, τε Βρῦτος τὴν τῦ Καίσαρος ἀῤῥωςίαν ἐξεβιάσατο, καὶ ὁ Ἀντώνιος τὸν Κάσσιον ὐδέν οἱ ὅμοιον τὰ πολέμια ὄντα ἐξενίκησε. καὶ τότε δὲ τὸ μὴ πάντας ἅμα τὺς ἑταίρυς, ἀλλ' ἐν τῷ μέρει ἀμφοτέρυς καὶ ἡττηθῆναι καὶ κρατῆσαι, ταυτὸν, ὡς εἰπεῖν, ἐγένετο. καὶ γὰρ ἐνίκησαν ἀμφότεροι, καὶ ἡττήθησαν· ἔτρεψάν τε τὺς ἀντιτεταγμένυς σφίσιν ἑκάτεροι, καὶ ἐτράποντο. καὶ ἅι τε διώξεις καὶ αἱ φυγαὶ ἀμφοῖν ὁμοίως συνέβησαν, καὶ τὰ ςρατόπεδα, ἀμφοτέρωθεν ἑάλω. τῦ τε γὰρ πεδίυ ἐπὶ πλεῖςον, ἅτε καὶ πολλοὶ ὄντες, ἐπέσχον, ἅςε μὴ καθορᾷν ἀλλήλυς· καὶ ὔτε ἐν τῇ μάχῃ πλὴν τὸ καθ' ἑαυτὸν ἕκαςος ἔγνω. ἐπεί τε ἡ τροπὴ ἐγένετο, ἔς τε τὰ οἰκεῖα ἐρύματα πολὺ ἀπ' ἀλλήλων ἀφεςηκότα τὴν ἐναντίαν ἑκάτεροι ἀμεταςρεπτεὶ ἔφυγον, καὶ ἀπό τε τύτυ καὶ ἐκ τῦ κονιορτῦ ἀπλέτυ γενομένυ, ἠγνόησαν τὸ τέλος τῆς μάχης· καὶ ὅι τε νενικηκότες, πάντα κεκρατηκέναι, καὶ οἱ ἡττημένοι, πάντα νενικῆσθαι ἐνόμισαν. καὶ ὐ πρότερον τὸ γεγονὸς ἔμαθον, πρὶν τά τε ταφρεύματα διαπορθηθῆναι, καὶ ἀλλήλοις τὺς νενικηκότας πρὸς τὸ οἰκεῖον ἑκατέρυς ἀναχωρῦντας συντυχεῖν.

cap. 45. Utrinque & victoria paritur & clades accipitur: Brutus Cæsarem loco expellit, Cassium Antonius. Qui vicerant, totam suorum esse victoriam, qui fugerant, omnes suos victos putant.

cap. 46.

Τῆς μὲν δὴ ὖν μάχης ἕνεκα καὶ ἐκράτησαν ὕτως ἀμφότεροι καὶ ἡττήθησαν. ὐδὲ γὰρ ὐδὲ ἐς χεῖρας ἔτι τότε ἀφίκοντο· ἀλλ' ἐπειδὴ τάχιςα ἰδόντες ἐν τῇ ὑποςροφῇ ἀλλή-

ἀλλήλες, καὶ τὸ συμβεβηκὸς ἔγνωσαν, ἀντιπαρεξῆλθον, μηδὲν μηδέτεροι τολμήσαντες. ἐπλεονέκτησαν δὲ καὶ ἠλαττώθησαν ἀλλήλων, τῷ τό, τε τάφρευμα τὸ τῦ Καίσαρος τῦ τ' Ἀντωνίε πᾶν, καὶ τὰ ἐν αὐτῷ πάντα ἁλῶναι· καὶ ἐι κατὰ χώραν ὁ Καῖσαρ ἐμεμενήκει, πάντως ἂν ἅμα τοῖς ἄλλοις ἀπολώλει. καὶ τῷ τὸν Κάσσιον ἐκ μὲν τῆς μάχης σωθῆναι, τῦ τε ἐρύματος ϛερηθέντα, ἄλλοσέ ποι διαφυγεῖν· ὑποτοπήσαντα δὲ καὶ τὸν Βρῦτον ἐσφάλθαι, καὶ τινας τῶν κεκρατηκότων ἐφ' ἑαυτὸν ἐπιέναι, ἐπειχθῆναι πρὸς τὸν θάνατον. ἔπεμψε μὲν γὰρ ἑκατόνταρχον κατασκεψόμενον, καὶ ἀναγγελῦντα αὐτῷ, ὅπε τε ὁ Βρῦτος ἐίη, καὶ ὅ, τι ποιοίη. ἐπεὶ δὲ ἐκεῖνος συμβαλὼν ἱππεῦσιν, ὓς ὁ Βρῦτος ζητήσοντας αὐτὸν ἀπεϛάλκει, ἀνέϛρεψε, καὶ σχολῇ μετ' αὐτῶν, ὡς ὀδενὸς ἐπείγοντος (ἅτε μηδενὸς δεινῦ ὄντος) ᾔει, ὑπώπτευσέ τε αὐτὺς, πόῤῥωθεν ὁρῶν, πολεμίυς ἐῖναι, καὶ Πινδάρῳ τινὶ ἐξελευθέρῳ ἀποκτεῖναι ἑαυτὸν προσέταξε. καὶ αὐτῷ καὶ ὁ ἑκατόνταρχος, μαθὼν, ὅτι διὰ τὴν βραδύτητα αὐτῦ διώλετο, ἐπαπέθανεν.

Cassius, Brutum quoque succubuisse suspicatus, cum centurionem, ad Brutum quærendum emissum, lento gressu redeuntem cum militibus cernit, venientes credit, hostes esse seque liberto interficiendum præbet.

cap. 47. Brutus victos Cassii milites erigit & reου & verbis; hostesque in castris suis multis molestiis & damnis adficit.

Ὁ δ' ὖν Βρῦτος τὸ μὲν τῦ Κασσίε σῶμα ἐς Θάσον εὐθὺς κρύφα ἔπεμψεν, ὀκνήσας αὐτὸ κατὰ χώραν θάψαι, μὴ τῷ ϛρατῷ πένθος τε ἅμα καὶ ἀθυμίαν ἐκ τῆς τῶν ποιυμένων ὄψεως ἐμβάλῃ· τὺς δὲ λοιπὺς τῶν ϛρατιωτῶν αὐτῦ παραλαβὼν, καὶ λόγοις τε σφᾶς παραμυθέμενος, καὶ δόσει χρημάτων, ἀνθ' ὧν ἀπολωλέκεσαν ἀνακτησάμενος, ἔς τε τὴν ταφρείαν αὐτῶν ἐπιτηδειεϛέραν ἔσαν μετεϛρατοπεδεύσατο, καὶ ἐκεῖθεν ὁρμώμενος, τά τε ἄλλα τὺς ἐναντίυς ἐλύπει, καὶ τῷ ϛρατοπέδῳ σφῶν νυκτὸς προσέμισγε. μάχῃ μὲν γὰρ αὐτοῖς ἐκ παρατάξεως ὐ διενοεῖτο αὖθις συνενεχθῆναι, πολλὴν δὲ δὴ ἐλπίδα ἀκινδύνως ἐν τῷ χρόνῳ κατεργάσεσθαι σφᾶς ἔχων, θορυβεῖν τε αὐτὺς ἄλλως καὶ ταράττειν νύκτωρ ἐπειρᾶτο· καί ποτε καὶ τὸν ποταμὸν παρατρέψας, πολὺ τῦ ἐρύματος αὐτῶν κατέκλυσεν. ὁ δὲ δὴ Καῖσαρ ὅ, τε Ἀντώνιος ἐσπάνιζον μὲν τῆς τροφῆς, καὶ χρημάτων· ὅθεν ὐδὲ τοῖς ϛρατιώταις τι ἀντὶ τῶν διαρπασθέντων ἔδωκαν· καὶ προσέτι καὶ τὴν δύναμιν, τὴν ἐκ τῦ Βρεντεσίυ ἐπιδιαπλέυσαν ἐν ὁλκάσιν, ἀπώλεσαν ὑπὸ τῦ Στατίυ· ὐ μέντοι καὶ ἀσφαλῶς ἔτι ἄλλοσέ ποι μεταναϛῆναι.

Cæsar & Antonius, rebus necessariis destituti, in solis armis spem omnem salutis collocant.

Digitized by Google

ςῆναι, ἔτ' ἐς Ἰταλίαν ἀνακομιθῆναι δυνάμενοι, ἀλλ' ἐν τοῖς ὅπλοις καὶ τότε ἔτι μόνον τὰς ἐλπίδας ἐχ ὅτι τῆς νίκης ἀλλὰ καὶ τῆς σωτηρίας ποιέμενοι, ὥρμηντο καὶ διακινδυνεῦσαι, πρὶν ἔκπυςον τοῖς τε σφετέροις καὶ τοῖς ἐναντίοις τὸ θαλάσσιον πάθος γενέθαι.

Μὴ βελομένε δὲ τε Βρέτε συμμῖξαι σφίσι, βιβλία ἐς τὸ χαράκωμα αὐτε τρόπον τινὰ ἐνέβαλον, προκαλέμενοι τὲς ςρατιώτας ἢ τὰ σφέτερα φρονῆσαι, (καὶ γὰρ ὑπισχνεντό τινα αὐτοῖς) ἢ ἐς χεῖρας ἐλθεῖν, ἄν γε καὶ τὸ βραχύτατον ἰσχύωσι. κἀν τῇ διατριβῇ ταύτῃ ηὐτομόλησαν μὲν καὶ παρ' ἐκείνων πρὸς τὸν Βρετον ἐκ τε Κελτικε τινες, ηὐτομόλησαν δὲ καὶ πρὸς αὐτὲς Ἀμύντας τε ὁ τε Δηϊοτάρε ςρατηγὸς, καὶ ὁ Ῥασκύπορις. καὶ ἔτος μὲν οἴκαδε εὐθὺς, ὥς τινές φασιν, ἀπεχώρησε· δείσας δ' ἐν ἐκ τέτων ὁ Βρετος, μὴ καὶ ἐπὶ πλεῖόν τι νεωτερισθῇ, συμμῖξαι σφίσιν ἔγνω. καὶ ἐπειδὴ πολλοί τε αἰχμάλωτοι ἐν τῷ ςρατοπέδῳ αὐτε ἦσαν, καὶ ἐκ εἶχεν ἐδ' ὅπως διὰ φυλακῆς αὐτὲς ἐν τῷ τῆς μάχης καιρῷ ποιήσηται, ἔθ', ὅπως πιςεύσῃ σφίσι μηδὲν λυμανεῖσθαι, διέφθειρε τὲς πλείες, τῇ ἀνάγκῃ καὶ παρὰ γνώμην δελεύσας· ἄλλως τε καὶ ὅτι οἱ ἐναντίοι τὲς ζωγρηθέντας τῶν ςρατιωτῶν αὐτε ἀπεκτόνεσαν. πράξας δὲ τετο, ἐξωπλίσατο· καὶ αὐτῶν ἀντιπαρατεταγμένων ἤδη, ἀετοὶ δύο ὑπὲρ ἀμφοτέρων ὑπερπτώμενοι, ἀλλήλοις τε ἐμαχέσαντο, καὶ ἐκείνοις τὸ τέλος τε πολέμε προέφηναν. ὥσπερ γὰρ ὁ ἀετὸς ὁ κατὰ τὸν Βρετον ὢν ἠλαττώθη τε καὶ ἔφυγεν, ἔτω τό, τε ὁπλιτικὸν αὐτε ἀγχώμαλα ἐπὶ πλεῖςον ἀγωνισάμενον ἡττήθη, κἀκ τέτε πεσόντων πολλῶν, καὶ τὸ ἱππικὸν, καίτοι γενναίως μαχόμενον, ἐνέδωκε· καὶ μετὰ τετο φυγόντας αὐτὲς, ἄλλες ἄλλῃ ἐπεδίωξαν μὲν οἱ κεκρατηκότες· ἔτε δὲ ἀπέκτειναν, ἔθ' εἷλόν τινα, ἀλλὰ προσεδρεύσαντες αὐτοῖς τὴν νύκτα, ὡς ἑκάςοις, ἐκ εἴασαν αὖθις σφᾶς συςραφῆναι.

Ὁ ἐν Βρετος ἐπεχείρησε μὲν ἐς τὸ ςρατόπεδόν πῃ διαπεσεῖν, (ἐς γὰρ χωρίον τι ἐρυμνὸν ἀναπεφευγὼς ἦν·) μὴ δυνηθεὶς δὲ, καὶ προσέτι καὶ μαθὼν, ὅτι τινὲς τῶν ςρατιωτῶν τοῖς νικήσασιν ὡμολογήκασιν, ἐδεμίαν ἔτ' ἐλπίδα ἔσχεν· ἀλλ' ἀπογνὲς μὲν τὴν σωτηρίαν, ἀπαξιώσας δὲ

cap. 48. Brutus initio novum prælium detrectat; tandem metu, ne milites ad hostes transeant, ad illud committendum cogitur, trucidatis antea captivis, quos in castris habebat.

Legiones Bruti vincuntur & fugam capiunt.

cap. 49. Rebus omnibus desperatis, Brutus, ne vivus in hostium potestatem inci-

Digitized by Google

dat, suorum quendam manus ipsi inferre jubet.

δὲ τὴν ἅλωσιν, ἐς τὸν θάνατον καὶ αὐτὸς κατέφυγε· καὶ ἀναβοήσας τοῦτο δὴ τὸ Ἡράκλειον,

Ὦ τλῆμον ἀρετὴ, λόγος ἄρ' ἦσθ'· ἐγὼ δέ σε
Ὡς ἔργον ἤσκουν· σὺ δ' ἄρ' ἐδούλευες τύχῃ·

παρεκάλεσέ τινα τῶν συνόντων, ἵνα αὐτὸν ἀποκτείνῃ. καὶ αὐτοῦ τὸ μὲν ἄλλο σῶμα ταφῆς ὑπὸ τοῦ Ἀντωνίου ἔτυχεν· ἡ δὲ δὴ κεφαλὴ ἐπέμφθη μὲν ἐς τὴν Ῥώμην, χειμῶνι δὲ ἐν τῷ ἀπὸ τοῦ Δυῤῥαχίου διάπλῳ περιπεσοῦσα, ἐς τὴν θάλασσαν ἐῤῥίφη. τελευτήσαντος δὲ αὐτοῦ, τὸ μὲν πλῆθος τῶν στρατιωτῶν αὐτίκα, ἀδείας σφίσι κηρυχθείσης, μετέστη· ἡ δὲ δὴ Πορκία ἄνθρακα διάπυρον καταπιοῦσα ἀπέθανε. τῶν δὲ ἀνδρῶν τῶν πρώτων τῶν ἀρχάς τινας σχόντων, ἢ καὶ ἐκ τῶν σφαγέων τῶν τε ἐπικεκηρυγμένων ἔτι ὄντων, οἱ μὲν πλείους ἑαυτοὺς παραχρῆμα ἀπέκτειναν, ἢ ἁλόντες, ὥσπερ ὁ Φαβώνιος, ἐφθάρησαν· οἱ δὲ λοιποὶ τότε ἐπὶ τὴν θάλασσαν διέφυγον, καὶ μετὰ τοῦτο τῷ Σέξτῳ προσέθεντο.

Qui victores metuendi causam habent, vel se interficiunt vel ad Sext. Pompejum se recipiunt.

Lib. XLVIII. cap. 1. Lepidum jam parum curantes, Cæsar & Antonius imperium denuo inter se partiti sunt ita, ut Cæsari Hispania & Numidia, Antonio Gallia & Africa obtingeret: Sardiniam & Sicil. Sext. Pompejus tenebat.

Ὁ δὲ δὴ Καῖσαρ καὶ ὁ Ἀντώνιος τοῦ μὲν Λεπίδου παραχρῆμα, ἅτε μὴ συνανικήσαντος σφίσιν, ἐπλεονέκτησαν· ἔμελλον δὲ καὶ ἐπ' ἀλλήλους οὐκ ἐς μακρὰν τρέψεσθαι. χαλεπὸν γὰρ, ἄνδρας τρεῖς, ἢ καὶ δύο, ὁμοτίμους, ἐγκρατεῖς τηλικούτων ἐκ πολέμου πραγμάτων γενομένους, ὁμονοῆσαι· καὶ διὰ τοῦτο, ὅσα τέως ἐπὶ τῇ τῶν ἀνθισταμένων σφίσι καταλύσει συμφρονήσαντες κατέπραξαν, ταῦτα τότε ἆθλα τῆς πρὸς ἀλλήλους φιλοτιμίας ἤρξαντο ποιεῖσθαι. τήν τε γὰρ ἀρχὴν αὐτίκα ἀνεδάσαντο, καὶ Καίσαρι μὲν ἥ τε Ἰβηρία καὶ ἡ Νουμιδία, Ἀντωνίῳ δὲ ἥ τε Γαλατία καὶ ἡ Ἀφρικὴ ἐγένετο· καὶ συνέθεντο, ὥστ' ἄν τινα ἀγανάκτησιν ὁ Λέπιδος ἐπὶ τούτῳ ποιήσηται, τῆς Ἀφρικῆς αὐτῷ ἐκστῆναι.

cap. 2. Antonius Asiam petebat, ut rebellia pacaret & pecuniam militibus promissam conficeret; Cæsar Italiam, ut Lepidum, si

Ταῦτα δὲ δὴ μόνα διέλαχον, ὅτι Σαρδὼ μὲν καὶ Σικελίαν ὁ Σέξτος ἔτι κατεῖχε, τὰ δ' ἄλλα τὰ ἔξω τῆς Ἰταλίας ἐν ταραχῇ ἔτι ἦν. ἐκείνης γὰρ δὴ πέρι οὐδὲν δέομαι λέγειν, ὅτι ἐξαίρετος ἀεί ποτε ἐν τοῖς τοιούτοις ἔμενεν. οὐδὲ γὰρ οὐδ', ὡς περὶ αὐτῆς ποτε, ἀλλ' ὡς ὑπὲρ αὐτῆς ἀγωνιζόμενοι, τοὺς λόγους ἐποιοῦντο. ἐν κοινῷ οὖν ταῦτα ἀφέντες, Ἀντώνιος μὲν τήν τε κατάστασιν τῶν ἀντιπολεμησάντων σφίσι, καὶ τὴν ἀργυρολογίαν τὴν ἐς τὰ χρήματα τοῖς

τοῖς ςρατιώταις ἐπαγγελθέντα ἀνεδέξατο· Καῖσαρ δὲ τόν τε Λέπιδον, ἄν τι παρακινῇ, κωλῦσαι, καὶ τῷ Σέξςῳ προσπολεμῆσαι, τήν τε χώραν, ἣν τοῖς συςρατευομένοις σφίσιν ὑπέσχηντο, κατανεῖμαι τοῖς ἔξω τῆς ἡλικίας αὐτῶν ὖσιν, ὓς καὶ εὐθὺς διῆκαν. καὶ προσέτι ὗτος μὲν δύο τῷ Ἀντωνίῳ ςρατόπεδα τῶν συνόντων οἱ συνέπεμψεν· ἐκεῖνος δὲ ἕτερα ἐκ τῶν ἐν τῇ Ἰταλίᾳ τότε ὄντων ἴσα ἀντιδώσειν αὐτῷ ἐπηγγείλατο. ταῦθ᾽ ὗτω καταμόνας συνθέμενοι, καὶ γράψαντες, καὶ κατασημηνάμενοι, τά τε γραμματεῖα ἀλλήλοις ἀντέδοσαν, ἵν᾽, ἄν τι παραβανθῇ, ἐξ αὐτῶν ἐλεγχθῇ· καὶ μετὰ τῦτο Ἀντώνιος μὲν ἐς τὴν Ἀσίαν, Καῖσαρ δὲ ἐς τὴν Ἰταλίαν ἀφωρμήθη.

quid is moveret, opprimeret bellumque contra Sextum gereret.

Τῷ δὲ ἐχομένῳ ἔτει, ὀνόματι μὲν ὅ, τε Σερυΐλιος ὁ Πύπλιος καὶ ὁ Ἀντώνιος ὁ Λύκιος, ἔργῳ δὲ, ὗτός τε καὶ ἡ Φυλυΐα ὑπάτευσαν, τῦ τε γὰρ Καίσαρος πενθερὰ, καὶ τῦ Ἀντωνίυ γυνὴ ὖσα, τόν τε Λέπιδον ὑπὸ νωθείας παρ᾽ ὐδὲν ἦγε, καὶ αὐτὴ τὰ πράγματα διεχείριζεν· ὥςε μήτε τὴν βυλὴν, μήτε τὸν δῆμον, ἄλλο τι παρὰ τὸ ἐκείνῃ δοκῦν χρηματίζειν. Ἐν δ᾽ ὖν τῷ ἔτει τύτῳ ἔς τε τὴν Ῥώμην ὁ Καῖσαρ ἀφίκετο, καὶ τὰ νομιζόμενα ἐπὶ τῇ νίκῃ ποιήσας, πρός τε τὴν διοίκησιν καὶ πρὸς τὴν διαγωγὴν τῶν πραγμάτων ἐτράπετο. ὅ, τε γὰρ Λέπιδος τὰ μὲν τῷ φόβῳ αὐτῦ, τὰ δὲ καὶ τῇ τῆς γνώμης ἀσθενείᾳ, ὐδὲν ἐνεωτέρισε· καὶ ὁ Λύκιος, ἥ τε Φυλυΐα, ὡς καὶ συγγενεῖς καὶ κοινωνοὶ τῆς ἡγεμονείας αὐτῷ ὄντες, ἡσύχασαν τήν γε πρώτην. προϊόντος δὲ τῦ χρόνυ, διηνέχθησαν, οἱ μὲν, ὅτι τῦ μέρυς τῆς τῶν ἀγρῶν νομῆς, τῦ τῷ Ἀντωνίῳ προσήκοντος, ὐ μετέσχον· ὁ δὲ, ὅτι τὰ ςρατεύματα παρ᾽ αὐτῶν ὐκ ἀντέλαβε. κἀκ τύτων ἥ τε συγγένεια αὐτῶν ἡ ἐκ τῆς ἐπιγαμίας διελύθη, καὶ πρὸς πόλεμον ἐμφανῆ προήχθησαν. ὁ γὰρ Καῖσαρ τὴν χαλεπότητα τῆς πενθερᾶς μὴ φέρων, (ἐκείνη γὰρ μᾶλλον ἢ τῷ Ἀντωνίῳ διαφέρεσθαι δοκεῖν ἐβύλετο) τὴν θυγατέρα αὐτῆς, ὡς καὶ παρθένον ἔτι ὖσαν (ὃ καὶ ὅρκῳ ἐπιςώσατο) ἀπεπέμψατο, ὐκ ὀκνήσας ὗτε, εἰ τοσῦτον ἄλλως ἡ γυνὴ πεπαρθενεῦσθαι παρ᾽ αὐτῷ χρόνον νομισθείη, ὗτε πρὸς τὴν παρασκευὴν τῶν ἐσομένων, εἰ ἐκ πολλῦ δόξειεν αὐτὸ προβεβυλευκέναι. γενομένυ δὲ τύτυ, ὐδὲν ἔτι φίλιον ἐποίυν·

cap. 4.
A. U. 713.
ante Chr. 41.
Fulvia, Cæsaris nurus, rempublicam administrat.

cap. 5.
Cæsar socrus suæ insolentiam non fert; repudiataque ejus filia inimice eam tractat.

Digitized by Google

ον· ἀλλ' ὅ, τε Λέκιος μετὰ τῆς Φελβίας τῶν τε πραγμάτων, ὡς καὶ ὑπὲρ τε Μάρκε τετο δρῶν, ἀντελαμβάνετο, καὶ ἐδενὸς αὐτῶν ὑφίετο. Ἦν δὲ ἐν τῇ κληρεχίᾳ ἀμφοτέροις ἡ πλείςη τῆς δυνάμεως ἐλπὶς, καὶ διὰ τεθ' ὑπὲρ αὐτῆς πρῶτον ἀρξάμενοι διεφέροντο. ὅ, τε γὰρ Καῖσαρ αὐτὸς πᾶσι τοῖς τε ἑαυτῷ καὶ τοῖς τῷ Ἀντωνίῳ συςρατευσαμένοις ἤθελεν αὐτὴν, κατὰ τὰς συνθήκας τὰς μετὰ τὴν νίκην αὐτοῖς γενομένας, ὅπως ἐς εὔνοιαν σφᾶς ὑπαγάγηται, ποιήσασθαι· καὶ ἐκεῖνοι τήν τε ἐπιβάλλεσαν τοῖς σφετέροις κληρεχῆσαι, καὶ τὰς πόλεις αὐτοὶ ἀποικίσαι ἠξίεν, ἵνα τὴν ἰσχὺν αὐτῶν σφετερίσωνται. καὶ γὰρ ἑτοιμότατον ἀμφοτέροις ἐδόκει εἶναι, τὰ τῶν ἀόπλων τοῖς συμπολεμήσασι χαρίσασθαι. ὡς γεν παρὰ τὴν δόξαν αὐτῶν πολλὴ ταραχὴ ἐγίγνετο, καὶ τὸ πρᾶγμα ἐς πόλεμον προήγετο· (πᾶσαν γὰρ κατ' ἀρχὰς τὴν Ἰταλίαν, πλὴν εἴ τις τῶν ἐςρατευμένων ἐν δωρεᾶς μέρει λαβὼν, ἢ καὶ ἐκ τε δημοσίε πριάμενος εἶχε, μετά τε τῆς δελείας, καὶ μετὰ τῆς ἄλλης κατασκευῆς τὲς δεσπότας ὁ Καῖσαρ ἀφῃρεῖτο, καὶ ἐκείνοις ἐδίδε· καὶ διὰ τετο τῶν κτημάτων ἀποςερέμενοι δεινῶς πρὸς αὐτὸν ἠγανάκτεν·) μετεβάλλοντο ἥ τε Φελβία καὶ ὁ ὕπατος, πλείω δύναμιν ἐν τοῖς ἑτέροις τοῖς ἀδικεμένοις σχήσειν ἐλπίσαντες· καὶ τῶν μὲν ληψομένων τὲς ἀγρὲς ἠμέλησαν, πρὸς δὲ ἐκείνες, ἅτε καὶ πλείονας ὄντας, καὶ ὀργὴν δικαίαν, ὑπὲρ ὧν ἀπεςερεντο ποιεμένες, ἐτράποντο. κἀκ τέτε ὑπολαμβάνοντες αὐτὲς, ὡς ἑκάςες, καὶ συνῄροντο καὶ συνίςων· ὥςε καὶ τὲς ἐν τῷ πρὶν τὸν Καίσαρα φοβεμένες, τότε προςατῶν ἐπιλαβομένες, ἀναθαρσῆσαι, καὶ μηδενὸς ἔτι τῶν οἰκείων ἀφεῖσθαι· καὶ γὰρ καὶ τῷ Μάρκῳ ταῦτα συνδοκεῖν ἐνόμιζον.

cap. 6. Utraque pars quærit potentiæ spem in agrorum divisione; quam vero Cæsar sibi soli vindicat.

Cæsare agros dominis vi adimente, Lucius & Fulvia læsos sibi adjungunt,

Τέτες τε ἐν ὅ, τε Λέκιος καὶ ἡ Φελβία προσεποιεντο, καὶ τοῖς ἑτέροις τοῖς ἀμφὶ τὸν Καίσαρα ἐδὲν προσέκρεον. ὁ γὰρ, ὡς δέον αὐτὲς κληρεχῆσαί τινα προεβάλλοντο, ἀλλὰ ἀρκεντα αὐτοῖς τὰ τῶν ἀντιπολεμησάντων σφίσιν ἀπέφαινον· καὶ μάλιςθ', ὅτι καὶ χωρία καὶ ἔπιπλα, τὰ μὲν ἔτι τότε ὄντα, καὶ πεπραμένα ἀπεδείκνυσαν· ὧν τὰ μὲν ἄυτα, τῶν δὲ τὴν τιμὴν ἔφασκον αὐτοῖς δοθῆναι χρῆναι. εἰ δ' ἐν μηδὲ ταῦτα σφίσιν ἀρκέσει,

cap. 7. nullaque agrorum divisione opus esse affirmant, ut in Cæsarem odium concitent.

σειε, ταῖς γε ἐκ τῆς Ἀσίας ἐλπίσι πάντας αὐτὲς ἀνηρτῶντο· ὥςε ταχὺ ἐκ τέτων συνέβη, Καίσαρα μὲν, ἅτε καὶ βίᾳ τῶν κεκτημένων τι ἀφαιρέμενον, καὶ πόνες ὑπὲρ αὐτῶν καὶ κινδύνες πᾶσιν ὁμοίως προσάγοντα, ἀμφοτέροις αὐτοῖς προσκρὖσαι· ἐκείνες δὲ δὴ, οἷα μήτε τι ἀποςερὖντάς τινας, καὶ ἐκ τῶν ὑπαρχόντων σφίσι τὴν πλήρωσιν τῶν ἐπαγγελιῶν ἀμαχεὶ τοῖς ληψομένοις αὐτὰς ὑποδεικνύντας, ἑκατέρες προσθέσθαι. ἔκ τε ἒν τέτων, καὶ ἐκ τἒ λιμἒ (ὃς τότε, τῆς θαλάσσης, τῆς μὲν κατὰ Σικελίαν, ὑπὸ τἒ Σέξτε, τῆς δ' ἐν τῷ Ἰονίῳ κόλπῳ, ὑπὸ Γναίε Δομιτίε Ἀηνοβάρβε κατεχομένης, δεινῶς αὐτὲς ἐπίεσεν) ἐν πολλῇ ἀμηχανίᾳ ὁ Καῖσαρ ἐγένετο. ὁ γὰρ Δομίτιος ἦν μὲν τῶν σφαγέων, ἐκ δὲ δὴ τῆς μάχης τῆς πρὸς Φιλίπποις γενομένης διαφυγὼν, ναυτικόν τι συνεκρότησε, καὶ τἒ τε κόλπε χρόνον τινὰ ἐκράτησε, καὶ τὰ τῶν ἐναντίων ἐπὶ πλεῖςον ἔφθειρε.

cap. 10. His & aliis malis Cæsar motus cum Lucio & Fulvia per veteranos de pace agit; sed frustra.

Ὡς ἒν ταῦτά τε ἔτως ἐγίγνετο, καὶ ςρατιῶται, ἐς Ἰβηρίαν ὑπὸ τἒ Καίσαρος προπεμφθέντες, θόρυβόν τέ τινα ἐν Πλακεντίᾳ ἐποίησαν, καὶ ἒ πρότερον, πρὶν χρήματα παρὰ τῶν ἐπιχωρίων λαβεῖν, κατέςησαν· καὶ προσέτι καὶ ὑπὸ τἒ Καλήνε τἒ τε Ὀυεντιδίε, τὴν Γαλατίαν τὴν ὑπὲρ τὰς Ἄλπεις ἐχόντων, ἐκωλύθησαν ὑπερβαλεῖν αὐτάς· ἐφοβήθη τε ὁ Καῖσαρ μὴ καὶ σφαλῇ τι, καὶ καταλλαγῆναι τῇ τε Φελεΐᾳ καὶ τῷ ὑπάτῳ ἠθέλησεν. ἐπειδή τε ἐδὲν ἰδίᾳ καὶ καθ' ἑαυτὸν προσπέμπων σφίσιν ἐπέραινεν, ἐπὶ τὲς ἐςρατευμένες ὥρμησε, καὶ δι' αὐτῶν τὰς συναλλαγὰς ἔπραττεν. ἐκεῖνοι δὲ τέτες ἐπαιρόμενοι, καὶ τὲς ἐςερημένες τῆς χώρας προσποιέμενοι, Λέκιος μὲν πανταχόσε συνιςάς τε αὐτὲς, καὶ ἀπὸ τἒ Καίσαρος ἀποσπῶν, περιῄει· Φελεΐα δὲ τό, τὲ Πραινέςε κατέλαβε, καὶ προσηταίριςο, τὲς βελευτάς τε καὶ ἱππέας ἔχεσα· τά τε ἄλλα πάντα μετ' αὐτῶν ἐβελέυετο, καὶ τὰς παραγγέλσεις, ὡς ἑκαςαχόσε ἐχρῆν, ἔπεμπε. καὶ τί ταῦτα θαυμάσειεν ἄν τις, ὁπότε καὶ ξίφος παρεζώννυτο, καὶ συνθήματα τοῖς ςρατιώταις ἐδίδε, ἐδημηγόρει τε ἐν αὐτοῖς πολλάκις; ὥςε καὶ ἐκεῖνα τῷ Καίσαρι προσίςαθαι.

cap. 13. Bellum igitur ex utraque parte paratur.

Ὅ, τε ἒν Καῖσαρ πόλεμον παρεσκευάζετο, καὶ ἡ Φελεΐα καὶ ὁ Λέκιος τά τε πρόσφορα ἐπορίζοντο, καὶ τὰς δυνά-

δυνάμεις συνεκρότεν. κἀν τέτῳ καὶ ἀντεπρεσβεύοντο, καὶ διέπεμπον ἑκασταχόσε καὶ ϛρατιώτας καὶ ϛρατιάρχες ἑκάτεροι· καὶ τὰ μὲν προκατελάμβανον, τῶν δ' ἀπεκρέοντο. Τῆς δὲ Νερβίας καὶ Περεσίας ἐπί τε Γναίε Καλεΐνε δεύτερον καὶ ἐπ' Ἀσινίε Πωλίωνος ὑπάτων ἁλώσης, καὶ τἆλλα τὰ ἐν τῇ Ἰταλίᾳ, τὰ μὲν βίᾳ, τὰ δὲ ἐθελοντῇ, τῷ Καίσαρι προσεχώρησε· καὶ διὰ τεθ' ἥ τε Φελεΐα πρὸς τὸν ἄνδρα μετὰ τῶν τέκνων ἀπέδρα, καὶ τῶν ἄλλων τῶν πρώτων συχνοί, οἱ μὲν πρὸς ἐκεῖνον, οἱ δὲ καὶ πρὸς τὸν Σέξτον ἐς τὴν Σικελίαν ἀπεχώρησαν. ἥ τε Ἰελία ἡ τῶν Ἀντωνίων μήτηρ τὸ μὲν πρῶτον ἐνταῦθα ἦλθε, καὶ πάνυ φιλικῶς ὑπὸ τῦ Σέξτε ὑπεδέχθη· ἔπειτα δὲ πρὸς τὸν υἱὸν τὸν Μάρκον ὑπ' αὐτῦ ἐπέμφθη, λόγες τέ οἱ ὑπὲρ φιλίας καὶ πρεσβείας ἄγεσα, μετὰ τέτων τῶν τότε πρὸς τὸν Ἀντώνιον ἐκ τῆς Ἰταλίας ἐκχωρησάντων, καὶ Κλαύδιος Τιβέριος Νέρων ἔφυγε. φρεράν γάρ τινα ἐν τῇ Καμπανίᾳ εἶχε, καὶ ἐπειδὴ καθυπέρτερα τὰ τῦ Καίσαρος ἐγένετο, ἀπῆρε σύν τε τῇ γυναικὶ Λιεΐᾳ Δρεσίλλῃ, καὶ σὺν τῷ υἱεῖ Τιβερίῳ Κλαυδίῳ Νέρωνι· ὥϛε καὶ τῦτο ἐν τοῖς παραδοξοτάτοις συμβῆναι. ἥ τε γὰρ Λιεΐα αὕτη, ἡ τὸν Καίσαρα τότε φυγῦσα, μετὰ ταῦτα αὐτῷ ἐγήματο, καὶ ὁ Τιβέριος ἔτος, ὁ σὺν τοῖς τοκεῦσι τότε ἐκδρὰς, τὴν αὐτοκράτορα ἀρχὴν αὐτῦ διεδέξατο. ταῦτα μὲν ἐν ὕϛερον ἐγένετο.

cap. 15. Captis pluribus urbibus, totaque Italia recepta a Cæsare, Fulvia cum liberis ad Antonium fugit; A. U. 714. ante Chr. 40. reliqui ex partibus ejus stantes aliorsum se conferunt.

Τότε δὲ τήν τε εἰρηνικὴν ἐσθῆτα οἱ ἐν τῇ Ῥώμῃ ὄντες ἀνέλαβον, (ἐκδεδυκότες γὰρ αὐτὴν ἄνευ ψηφίσματος ἀνάγκῃ τῦ δήμε ἦσαν) καὶ αὐτοί τε ἑώρταζον, καὶ τὸν Καίσαρα ἔν τε ϛολῇ ἐπινικίῳ ἐς τὸ ἄϛυ ἐσεκόμισαν, καὶ δαφνίνῳ ϛεφάνῳ ἐτίμησαν, ὥσθ' ὁσάκις οἱ τὰ νικητήρια πέμψαντες ειώθεισαν αὐτῷ χρῆσθαι, καὶ ἐκεῖνον οἱ κοσμεῖσθαι. Καῖσαρ δὲ, ἐπειδὴ τά τε ἐν τῇ Ἰταλίᾳ κατειργάσατο, καὶ ὁ κόλπος ὁ Ἰόνιος ἠλευθέρωτο· (ὁ γὰρ Δομίτιος, ἀπογνὲς μηκέτι καθ' ἑαυτὸν ἰσχύσειν, ἀπέπλευσε πρὸς τὸν Ἀντώνιον·) παρεσκευάζετο μὲν ὡς ἐπὶ τὸν Σέξτον ὁρμήσων· αἰσθόμενος δὲ τήν τε δύναμιν αὐτῦ, καὶ ὅτι τῷ Ἀντωνίῳ διά τε τῆς μητρὸς καὶ διὰ τῶν πρέσβεων ἐκεκοινολόγητο, ἔδεισε μὴ καὶ ἀμφοῖν ἅμα πολεμήσῃ· καὶ τὸν Σέξτον, ὡς καὶ πιϛότερον ἢ καὶ ἰσχυ-

cap. 16. Acto Romæ triumpho Cæsar cum Sexto Pompejo de pace per internuncios agit.

Digitized by Google

ἰσχυρότερον τῦ Ἀντωνίυ προτιμήσας, τήν τε μητέρα αὐτῶ Μυκίαν ἔπεμψε, καὶ τὴν τῦ πενθερῦ αὐτῦ Λυκίυ Σκριβωνίυ Λίβωνος ἀδελφὴν ἔγημεν· εἴ πως ἔκ τε τῆς ἐυεργεσίας καὶ ἐκ τῆς συγγενείας φίλον αὐτὸν ποιήσαιτο. Τῦ γὰρ Κασσίυ καὶ τῦ Βρύτυ φθαρέντων, πολλοί τε πρὸς τὸν Σέξτον συγκατέφυγον, καὶ ἐκ τῶν δύλων τῶν ἐκ τῆς Ἰταλίας ἀφικνυμένων, πάμπολυ ηὐξήθη. τοσῦτοι γὰρ δὴ ηὐτομόλυν, ὥστε καὶ τὰς ἀειπαρθένυς καθ᾽ ἱερῶν εὔξασθαι, ἐπισχεθῆναι σφῶν τὰς αὐτομολίας. Διά τε ὖν ταῦτα, καὶ διὰ τὸ τὺς φεύγοντας αὐτῶν ὑποδέχεσθαι, τήν τε τῦ Ἀντωνίυ φιλίαν πράττειν, καὶ τῆς Ἰταλίας πολλὰ πορθεῖν, καταλλαγῆναί οἱ ὁ Καῖσαρ ἐπεθύμησε· διαμαρτὼν δὲ τύτυ, ἐκείνῳ μὲν Μάρκον Οὐϊψάνιον Ἀγρίππαν πολεμῆσαι ἐκέλευσεν, αὐτὸς δὲ ἐς Γαλατίαν ἀπῆρε.

cap. 19. & 20. Sextus enim, auctus omnibus fere a Cæsare & Pompejo ejectis, non procul abfuerat, ut cum Antonio amicitiam junxisset.

Κατὰ δὲ δὴ τὺς αὐτὺς τύτυς χρόνυς, μετὰ τὴν μάχην τὴν πρὸς Φιλίπποις συμβᾶσαν, ὁ Ἀντώνιος ὁ Μάρκος ἔς τε τὴν Ἀσίαν τὴν ἤπειρον ἦλθε, κἀνταῦθα, τὰ μὲν αὐτὸς περιϊὼν, ἐς δὲ τὰ ἄλλυς πέμπων, τάς τε πόλεις ἠργυρολόγει, καὶ τὰς δυναστείας ἐπίπρασκε. κἀν τύτῳ τῆς Κλεοπάτρας ἐν Κιλικίᾳ ὀφθείσης οἱ ἐραθεὶς, ὐκέτ᾽ ὐδεμίαν τῦ καλῦ φροντίδ᾽ ἐποιήσατο, ἀλλὰ τῇ τε Αἰγυπτίᾳ ἐδύλευε, καὶ τῷ ἐκείνης ἔρωτι ἐσχόλαζε· καὶ ἄλλα τε διὰ τῦτο πολλὰ καὶ ἄτοπα ἔπραξε, καὶ τὺς ἀδελφὺς αὐτῆς ἀπὸ τῦ ἐν Ἐφέσῳ Ἀρτεμισίυ ἀποσπάσας ἀπέκτεινε. καὶ τέλος, Πλάγκον μὲν ἐν τῇ Ἀσίᾳ τῷ ἔθνει, Σάξαν δὲ ἐν τῇ Συρίᾳ καταλιπὼν, ἐς τὴν Αἴγυπτον ἀπῆρεν. Τελευτήσαντος δὲ τῦ Σάξυ ὁ μὲν Πάκορος τὴν Συρίαν ἐχειρῦτο καὶ πᾶσάν γε αὐτὴν, πλὴν Τύρυ κατεστρέψατο. Ὀψὲ δ᾽ ὖν ποτε ἀναγκασθεὶς ἐξαναστῆναι ὁ Ἀντώνιος, ἔπλευσε μὲν πρὸς τὴν Τύρον, ὡς καὶ βοηθήσων σφίσιν· ἰδὼν δὲ δὴ τὰ ἄλλα προκατειλημμένα, ἐγκατέλιπεν αὐτὺς, πρόφασιν τὸν τῦ Σέξτυ πόλεμον ποιησάμενος· καίτοι καὶ τῆς πρὸς ἐκείνυς βραδύτητος τὰ τῶν Πάρθων σκηπτόμενος προεβάλετο. καὶ ὕτως ὔτε τοῖς συμμάχοις, διὰ τὸν Σέξτον δῆθεν, ὔτε τῇ Ἰταλίᾳ δι᾽ ἐκείνυς ἐπεκύρησεν· ἀλλὰ παρὰ τὴν ἤπειρον μέχρι τῆς Ἀσίας παρακομισθεὶς, ἐς τὴν Ἑλλάδα διέβαλε. κἀνταῦθα τῇ τε μητρὶ καὶ τῇ γυναικὶ συμμίξας, τόν τε Καίσαρα πολέμιον ἐποιήσατο,

cap. 24. Antonius Cleopatræ amore correptus, omnibus triumvirorum rebus neglectis, in Aegypto moratur.

cap. 26. & 27. Syria autem post Saxæ mortem a Pacoro occupata, ad Tyrum navigat & postea in Græciam, ubi congressus cum conjuge & matre, Cæsarem hostem judicat. (v. Tom. I. p. 283.)

Digitized by Google

ἥσατο, καὶ τῷ Σέξτῳ φιλίαν ἐσπείσατο. καὶ μετὰ τοῦτο ἐς τὴν Ἰταλίαν περαιωθεὶς, Σειποῦντα μὲν ἔσχε, Βρεντέσιον δὲ, μὴ ἐθελησάντων οἱ προσχωρῆσαι, ἐπολιόρκει.

cap. 28.

Πράσσοντος δὲ αὐτοῦ ταῦτα, ὁ Καῖσαρ τάς τε δυνάμεις (ἐκ γὰρ τῆς Γαλατίας ἤδη παρῆν) ἤθροισε, καὶ Πόπλιον μὲν Σερουίλιον Ῥοῦλλον πρὸς Βρεντέσιον, Ἀγρίππαν δὲ ἐπὶ Σειποῦντα ἔπεμψε. καὶ οὗτος μὲν βίᾳ τὴν πόλιν εἷλε· τῷ δὲ δὴ Σερουιλίῳ ὁ Ἀντώνιος ἐξαίφνης προσπεσὼν, πολλοὺς μὲν ἔφθειρε, πολλοὺς δὲ καὶ παρεστήσατο. συνεῤῥωγότων τε οὖν αὐτῶν ἐς τὸν πόλεμον, καὶ διαπεμπόντων πρός τε τὰς πόλεις καὶ πρὸς τοὺς ἐστρατευμένους, ὁπόθεν τινὰ ὠφέλειαν προσλήψεσθαι ἐνόμιζον, ἥ τε ἄλλη Ἰταλία αὖθις ἐταράσσετο, καὶ ἡ Ῥώμη ὅτι μάλιστα. καὶ οἱ μὲν ἤδη πρὸς ἑκάτερον μεθίσταντο· οἱ δὲ ἔμελλον· μετεώρων τε αὐτῶν καὶ ἐκείνων καὶ τῶν συμπολεμησόντων σφίσιν ὄντων, ἡ Φουλουΐα ἐν Σικυῶνι, ἐν ᾗ ἦν, ἐτελεύτησε. καὶ αἰτίαν μὲν ὁ Ἀντώνιος τοῦ θανάτου αὐτῆς, πρός τε τὸν τῆς Κλεοπάτρας ἔρωτα, καὶ πρὸς τὴν ἐκείνης ἀσέλγειαν, ἔσχεν. ὡς δ' οὖν τοῦτο ἠγγέλθη, τά τε ὅπλα ἀμφότεροι κατέθεντο, καὶ συνηλλάγησαν, εἴτ' οὖν ὄντως ἐκπολεμούμενοι πρότερον ὑπὸ τῆς Φουλουΐας, εἴτε καὶ πρόφασιν τὸν θάνατον αὐτῆς, πρὸς τὸ παρ' ἀλλήλων δέος, ἅτε καὶ ἀντιπάλους καὶ τὰς δυνάμεις καὶ τὰς ἐλπίδας ἔχοντες, ποιησάμενοι. κἀν τούτῳ Καῖσαρ μὲν Σαρδώ τε καὶ Δαλματίαν, τήν τε Ἰβηρίαν καὶ τὴν Γαλατίαν, Ἀντώνιος δὲ τἄλλα πάντα τὰ ὑπὲρ τὸν Ἰόνιον, τά τε ἐν τῇ Εὐρώπῃ καὶ τὰ ἐν τῇ Ἀσίᾳ τοῖς Ῥωμαίοις ὄντα, ἀπέλαχε. τά τε γὰρ ἐν τῇ Λιβύῃ ἔθνη ὁ Λέπιδος, καὶ τὴν Σικελίαν ὁ Σέξτος εἶχε.

Sub belli initium moritur Fulvia Sicyone.

Cæsar & Antonius in pacem redeunt, imperium denuo partiuntur,

cap. 29.

& bellum contra Pompejum decernunt,

Τὴν μὲν οὖν ἀρχὴν οὕτως αὖθις διεδάσαντο, τὸν δὲ δὴ πόλεμον τὸν πρὸς τὸν Σέξτον ἐκοινώσαντο, καίτοι τοῦ Ἀντωνίου ὅρκους πρὸς αὐτὸν δι' ἀγγέλων ἐπὶ τῷ Καίσαρι πεποιημένου. Ὁ γὰρ Σέξτος ἦλθε μὲν ἐς τὴν Ἰταλίαν, κατὰ τὰς συνθήκας τὰς πρὸς τὸν Ἀντώνιόν οἱ γενομένας, ὡς καὶ τῷ Καίσαρι μετ' αὐτοῦ πολεμήσων· μαθὼν δὲ τὴν σύμβασιν σφῶν, αὐτὸς μὲν ἐς τὴν Σικελίαν ἀνεκομίσθη, Μηνᾷ δὲ ἐξελευθέρῳ οἱ, ᾧ πάνυ προσέκειτο, ἐκέλευσε μέρει τοῦ ναυτικοῦ περιπλέοντι κακουργεῖν τὰ τῶν ἐναντίων. καὶ

cap. 30.

qui jam in Italiam contra Cæsarem venerat.

ὃς

Digitized by Google

ὃς τῆς τε Τυρσηνίας πολλὰ ἐκάκωσε, καὶ τὴν Σαρδὼ ἐπόρθει.

Οἱ δὲ ἐν τῇ Ῥώμῃ, ὡς ἥ τε Σαρδὼ εἴχετο, καὶ ἡ παραλία ἐπορθεῖτο, τῆς τε σιτοπομπείας ἐστέρηντο, καὶ ὁ λιμὸς, τά τε τέλη, πολλὰ καὶ παντοῖα καθιστάμενα, καὶ προσέτι καὶ συντέλειαι τοῖς τοὺς δούλους ἔχουσι προστασσόμεναι, δεινῶς αὐτοὺς ἐλύπουν, οὐκέθ' ἡσύχαζον, ἀλλ' ὅσον ἐπὶ ταῖς τοῦ Ἀντωνίου καὶ τοῦ Καίσαρος καταλλαγαῖς (ὡς καὶ σφετέρας εἰρήνης τῆς ἐκείνων ὁμονοίας οὔσης) ἥσθησαν, τοσοῦτον ἢ καὶ πλεῖον ἐπὶ τῷ πρὸς τὸν Σέξτον σφῶν πολέμῳ ἤσχαλλον. ἐν δ' οὖν τῷ τότε ἐπί τε ἵππων αὐτοὺς, ὥσπερ ἐν ἐπινικίοις τισὶν, ἐσαγαγόντες, καὶ τῇ νικητηρίᾳ στολῇ ἐξ ἴσου τοῖς πέμψασιν αὐτὰ κοσμήσαντες, ἔς τε τὰς πανηγύρεις ἐπὶ τῶν ἀρχικῶν δίφρων θεωρεῖν ποιήσαντες, καὶ τὴν Ὀκταουίαν τὴν τοῦ Καίσαρος ἀδελφὴν, γυναῖκα τῷ Ἀντωνίῳ, ἐπειδὴ ὁ ἀνὴρ αὐτῆς ἐτετελευτήκει, καὶ κύουσαν προμνηστευσάμενοι, τοσαύτῃ μεταβολῇ ἐχρήσαντο, ὥστε τὸ μὲν πρῶτον κατὰ συστάσεις γιγνόμενοι, ἢ καὶ ἐπὶ θέαν τινὰ ἀθροιζόμενοι, παρεκάλουν σφᾶς εἰρηνῆσαι, καὶ πολλὰ ἐπὶ τούτῳ ἐπεβόων· ὡς δὲ οὐκ ἔπειθον, ἠλλοτριώθησάν τε αὐτοῖς, καὶ πρὸς τὸν Σέξτον ἀπέκλιναν. καὶ ἄλλα τε ἐπὶ θεραπείᾳ αὐτοῦ διεθρόουν, καὶ ἐν ταῖς ἱπποδρομίαις κρότῳ τε πολλῷ τὸ τοῦ Ποσειδῶνος ἄγαλμα πομπεῦον ἐτίμων, καὶ ἡδονὴν ἐπ' αὐτῷ πολλὴν ἐποιοῦντο. ἐπεί τε ἡμέραις τισὶν οὐκ ἐσήχθη, τούς τε ἐν ταῖς ἀρχαῖς ὄντας λίθοις ἐκ τῆς ἀγορᾶς ἐξήλασαν, καὶ ἐκείνων τὰς εἰκόνας κατέβαλον· καὶ τέλος, ἐπειδὴ μηδ' ὣς τι ἐπεραίνετο, σπουδῇ ἐπ' αὐτοὺς, ὡς καὶ ἀποκτενοῦντες σφᾶς, ὥρμησαν. καὶ ὁ μὲν Καῖσαρ, καίτοι τρωθέντων τῶν ἀμφ' αὐτὸν ὄντων, τήν τε ἐσθῆτα περιεῤῥήξατο, καὶ πρὸς ἱκετείαν αὐτῶν ἐτράπετο· ὁ δ' Ἀντώνιος βιαιότερον σφίσι προσηνέχθη, καὶ διὰ τοῦτο ἔτι μάλιστα ὀργισθέντων τε σφῶν, καὶ ἐπὶ τούτῳ καὶ δεινόν τι πράξειν προσδοκηθέντων, ἠναγκάσθησαν τῷ Σέξτῳ καὶ ἄκοντες ἐπικηρυκεύσασθαι.

cap. 31. Sardinia a Mena, Pompeji liberto, expugnata, fameque Romae exorta populus, tumultu adeo, Caesarem & Antonium cogit ad pacem cum Pompejo ineundam.

Τῷ δὲ δὴ Σέξτῳ πρῶτον μὲν διὰ τῶν ἑταίρων, καὶ ὅπως καὶ ἐφ' οἷς καταλλαγήσοιντο, συνέβησαν· ἔπειτα δὲ καὶ αὐτοὶ πρὸς Μισηνῷ ἐς λόγους ἦλθον. εἱστήκεισαν δὲ οἱ μὲν, ἐν τῇ ἠπείρῳ, ὁ δὲ ἐν χώματί τινι ἐν τῇ θαλάσσῃ, ἐπ'

cap. 36. A. U. 715. ante Chr. 39. Miseni, praesente universa classe, &

Digitized by Google

pedestribus copiis omnibus, pax inita inter Pompejum, Cæsarem & Antonium.

ἐπ' αὐτὸ τοῦτο περιρρύτῳ, οὐ πόρρω σφῶν πρὸς ἀσφάλειαν αὐτῷ πεποιημένῳ. καὶ παρῆν πᾶς μὲν ὁ τούτου ναυτικός, πᾶς δὲ ὁ ἐκείνων πεζικὸς ὄχλος· οὐχ ἁπλῶς, ἀλλ' οἱ μέν, ἐπὶ τῆς γῆς, οἱ δέ, ἐπὶ τῶν νεῶν, ἐξωπλισμένοι παρετετάχατο. ὥστε καὶ ἀπ' αὐτοῦ τούτου δῆλον πᾶσι γενέσθαι, ὅτι ἔκ τε τοῦ φόβου τῆς παρασκευῆς σφῶν, καὶ ἐξ ἀνάγκης, οἱ μὲν διὰ τὸν δῆμον, ὁ δὲ διὰ τοὺς συνόντας οἱ, ἐσπείσαντο. αἱ δὲ δὴ συνθῆκαι ἐπὶ τοῖσδε ἐγένοντο· τούς τε αὐτομολήσαντας τῶν δούλων ἐλευθέρους εἶναι, καὶ τοὺς ἐκπεσόντας, πλὴν τῶν σφαγέων, κατελθεῖν. τούτους γὰρ δῆθεν ὑπεξείλοντο, ἐπεὶ τῷ τε ἔργῳ καὶ ἐκείνων τινὲς κατιέναι ἔμελλον. καὶ γὰρ αὐτὸς ὁ Σέξτος εἷς ἐξ αὐτῶν γεγονέναι ἐδόκει. ἀλλ' ἐγράφη γε, τοὺς ἄλλους πλὴν τούτων πάντας, ἐπί τε ἀδείᾳ καὶ ἐπὶ τῷ τετάρτῳ τῆς δημευθείσης σφῶν οὐσίας ἐπανελθεῖν. καὶ ἐκείνων μέν τισι καὶ δημαρχίας καὶ στρατηγίας, ἱερωσύνας τε εὐθὺς δοθῆναι· αὐτὸν δὲ τὸν Σέξτον, ὕπατόν τε αἱρεθῆναι, καὶ οἰωνιστὴν ἀποδειχθῆναι· ἔκ τε τῆς οὐσίας τῆς πατρῴας χιλίας καὶ ἑπτακοσίας καὶ πεντήκοντα μυριάδας δραχμῶν κομίσασθαι· καὶ Σικελίας, καὶ Σαρδοῦς, τῆς τε Ἀχαΐας ἐπὶ πέντε ἔτη ἄρξαι· μήτ' αὐτομόλους δεχόμενον, μήτε ναῦς ἐπικτώμενον, μήτε τινὰ φρούρια ἐν τῇ Ἰταλίᾳ ἔχοντα, ἀλλὰ τήν τε εἰρήνην αὐτῇ τὴν ἐκ τῆς θαλάσσης πρυτανεύοντα, καὶ σῖτον τοῖς ἐν τῇ πόλει τακτὸν πέμποντα. τὸν δὲ δὴ χρόνον αὐτῷ τοῦτον προσέγραψαν, ὅτι καὶ αὐτοὶ πρὸς καιρὸν δή τινα τὴν ἐξουσίαν, ἀλλ' οὐκ ἀΐδιον ἔχειν δοκεῖν ἤθελον.

Pacis conditiones, inter quas erat quinquennale imperium in Siciliam, Sardiniam & Achaiam.

cap. 37. Incredibile omnium de pace confecta gaudium.

Ταῦτά τε οὖν συνθέμενοι καὶ συγγραψάμενοι, τά τε γραμματεῖα ταῖς ἱερείαις ταῖς ἀειπαρθένοις παρακατέθεντο, καὶ μετὰ τοῦτο δεξιάς τε σφίσιν ἔδοσαν, καὶ ἐφίλησαν ἀλλήλους. γενομένου δὲ τούτου, πολλὴ καὶ ἄπλετος βοὴ καὶ ἐκ τῆς ἠπείρου ἅμα καὶ ἐκ τῶν νεῶν ἠγέρθη. πολλοὶ μὲν γὰρ στρατιῶται, πολλοὶ δὲ καὶ ἰδιῶται παρόντες, ἀθρόον καὶ ἐξαπιναίως, ἅτε καὶ τῷ πολέμῳ δεινῶς ἀχθόμενοι, καὶ τῆς εἰρήνης ἰσχυρῶς ἐπιθυμοῦντες, ἐξέκραγον· ὥστε καὶ τὰ ὄρη συνηχῆσαι, κἀκ τούτου καὶ φρίκην σφίσι καὶ ἔκπληξιν μεγάλην ἐγγενέσθαι· καὶ πολλοὺς μὲν ὑπ' αὐτῶν τούτων ἐκθανεῖν, πολλοὺς δὲ καὶ συμπατηθέντας ἢ καὶ ἀποπνιγέντας ἀπο-

ἀπολέσθαι. οἵ τε γὰρ ἐν τοῖς σκάφεσιν ὄντες, οὐκ ἀνέμειναν τῇ γῇ αὐτῇ προσελθεῖν, ἀλλ᾽ ἐξεπήδων ἐς τὴν θάλασσαν, καὶ οἱ ἕτεροι ἐς αὐτὸν τὸν βυθὸν ἐπεισέβαινον. κἀν τούτῳ ἠσπάζοντό τε ἀλλήλους ἅμα νηχόμενοι, καὶ περιέβαλλον κολυμβῶντες· ὥστε ποικίλην μὲν αὐτῶν θέαν, ποικίλην δὲ καὶ ἀκοὴν συμβῆναι. οἱ μὲν γὰρ τούς τε συγγενεῖς καὶ τοὺς ἑταίρους ζῶντας ἰδόντες, καὶ τότε παρόντας ὁρῶντες, ἀπλήστῳ τῇ ἡδονῇ ἐχρῶντο· οἱ δὲ ἀπολωλέναι τε σφᾶς, πρότερον νομίζοντες, καὶ τότε παρὰ δόξαν θεωροῦντες, ἄποροί τε ἐπὶ πολὺ ἐγίγνοντο, καὶ ἀφασίᾳ συνείχοντο, ἀπιστοῦντές τε ἅμα τῇ ὄψει, καὶ εὐχόμενοι ἀληθῆ ταύτην εἶναι· καὶ οὐ πρότερόν γε ἐγνώριζον σφᾶς, πρίν τά τε ὀνόματα αὐτῶν ἀνακαλέσαι, καὶ φθεγγομένων τι ἀκοῦσαι. οὕτω δὲ ἔχαιρον μὲν ὡς καὶ ἀναβιωσκομένων σφῶν· ἀναγκαζόμενοι δὲ ἀθρόως ἥδεσθαι, οὐκ ἀδακρυτὶ διῆγον.

cap. 45.
A. U. 716.
ante Chr. 38.
novum bellum inter Cæsarem & Sextum Pompejum exoritur.

Ἐπὶ δ᾽ Ἀππίου τε Κλαυδίου καὶ Γαΐου Νορβανοῦ ὑπάτων καὶ ἔτι πρότερον καὶ ὁ Σέξστος ὅ, τε Καῖσαρ ἐπολέμησαν. οἷα γὰρ οὐκ ἐθελονταὶ, οὐδὲ ἐκ προαιρέσεως, ἀλλὰ ἀναγκαστοὶ τὴν ὁμολογίαν πεποιημένοι, χρόνον οὐδένα αὐτῇ (ὡς εἰπεῖν) ἐνέμειναν, ἀλλ᾽ εὐθὺς τὰς σπονδὰς λύσαντες διηνέχθησαν. ἔμελλον μὲν γάρ που καὶ ἄλλως, εἰ καὶ μηδεμίαν σκῆψιν εὗρον, πολεμήσειν· αἰτίαι δ᾽ οὖν αἵδε αὐτοῖς ἐγένοντο. ὁ Μηνᾶς ἐν τῇ Σαρδοῖ καὶ τότε ἔτι καθάπερ τις στρατηγὸς ὢν, ὑπωπτεύθη τε ὑπὸ τοῦ Σέξστου, διὰ τὴν τοῦ Ἑλένου ἄφεσιν, καὶ ὅτι καὶ τῷ Καίσαρι ἐκεκοινολόγητο· καί πη καὶ ὑπὸ τῶν ὁμοίων φθόνῳ τῆς δυναστείας διεβλήθη. κἀκ τούτου μεταπεμφθεὶς ὑπ᾽ αὐτοῦ, πρόφασιν, ὅπως περί τε τοῦ σίτου καὶ περὶ τῶν χρημάτων, ὧν διῳκήκει ἀπολογήσηται, οὐχ ὑπήκουσεν· ἀλλὰ τοὺς μὲν εἰς τοῦτο πεμφθέντας συλλαβὼν ἀπέκτεινε, πρὸς δὲ τὸν Καίσαρα προκηρυκευσάμενος, τήν τε νῆσον αὐτῷ καὶ τὸ ναυτικὸν, τό, τε ἄλλο στράτευμα, καὶ ἑαυτὸν παρέδωκε. καὶ αὐτὸν ἐκεῖνος ἀσμένως ἰδὼν, ἐπειδὴ καὶ τὸν Σέξστον τούς τε αὐτομολοῦντας παρὰ τὰ συγκείμενα ὑποδέχεσθαι, καὶ ναυπηγίαν τριηρῶν ποιεῖσθαι, ἔν τε τῇ Ἰταλίᾳ φρουρὰς ἔχειν ἔλεγεν, οὔτε ἐξέδωκεν ἐξαιτηθέντα, καὶ

Causæ belli. Menas, Sardiniæ præfectus; se & insulam cum classe & exercitu Cæsari tradit; nec Cæsar eum Pompejo reddit.

προσέτι

προσέτι καὶ ἐν τιμῇ μεγάλῃ ἤγαγε· δακτυλίοις τε χρυσοῖς ἐκόσμησε, καὶ ἐς τὸ τῶν ἱππέων τέλος ἐσέγραψε.

cap. 46. Præterea Pompejus Cæsarem Achaiæ vexatæ accusat, adeoque Italiæ & per Menecratem & ipse varia mala infert, Antonio in Græciam revecto.

Ὁ δὲ δὴ Σέξτος ταῦτά τε τῷ Καίσαρι ἐγκαλῶν, καὶ ὅτι ἡ Ἀχαΐα ἐκεκάκωτο, καὶ ὅτε αὐτῷ ὅτε τοῖς κατελθοῦσι τὰ ὁμολογηθέντα ἐγίγνετο, ἔπεμψε Μενεκράτην ἐς τὴν Ἰταλίαν, ἐξελεύθερον καὶ αὐτὸν ἑαυτοῦ ὄντα, καὶ δι' ἐκείνου ἄλλα τε τῆς Καμπανίας καὶ Οὐόλτερνον ἐπόρθησεν. ὁ οὖν Καῖσαρ μαθὼν τοῦτο, τά τε γραμματεῖα τὰ τῆς συμβάσεως ἀνείλετο παρὰ τῶν ἀειπαρθένων, καὶ τὸν Ἀντώνιον τόν τε Λέπιδον μετεπέμψατο. καὶ αὐτῷ Λέπιδος μὲν οὐκ εὐθὺς ὑπήκουσεν· Ἀντώνιος δὲ ἦλθε μὲν ἐς τὸ Βρεντέσιον, (ἐν γὰρ τῇ Ἑλλάδι ὢν ἐτύγχανεν ἔτι) πρὶν δὲ ἢ συμμῖξαι τῷ Καίσαρι ἐν Τυρσηνίᾳ ὄντι, δείσας, ὅτι λύκος ἐς τε τὸ στρατήγιον αὐτοῦ ἐσῆλθε, καὶ στρατιώτας ἔφθειρεν, ἐς τὴν Ἑλλάδα αὖθις, πρόφασιν τὰ τῶν Πάρθων, ὡς κατεπείγοντα ποιησάμενος, ἀνέπλευσε. πρὸς οὖν τοῦτο ὁ Καῖσαρ, εἰ καὶ τὰ μάλιστα ἐγκαταλελεῖφθαι ὑπ' αὐτοῦ, ὅπως μόνος τῷ πολέμῳ συσχεθῇ, ἐνόμιζεν, ἀλλ' ἔτι γε καὶ φανερῶς ὠργίζετο. ὁ δὲ δὴ Σέξτος ἐθρύλλει τε, ὡς μὴ δικαιοῦντος τοῦ Ἀντωνίου αὐτὸν, καὶ προθυμότερον τῶν προκειμένων εἴχετο, καὶ τέλος τῇ τε Ἰταλίᾳ ἐπέπλει, καὶ ἀποβάσεις ποιούμενος, πολλὰ μὲν ἐκάκου, πολλὰ δὲ καὶ ἀντέπασχε.

cap. 54. A. U. 717. ante Chr. 37. Antonius in Italiam reversus mox reditum in Syriam meditatur, bellum Parthicum obtendens. Ante ejus abitum Octaviæ opera Cæsar & Antonius in amicitiam redeunt, eamque nuptiis confirmant.

Μετὰ δὲ ταῦτα καὶ ὁ Ἀντώνιος ἦλθε μὲν ἐς τὴν Ἰταλίαν αὖθις ἐκ τῆς Συρίας, πρόφασιν μὲν, ὡς καὶ τοῦ Σεξτείου πολέμου διὰ τὰς τοῦ Καίσαρος συμφορὰς μεθέξων· οὐ μέντοι καὶ παρέμεινεν αὐτῷ, ἀλλ' ἅτε ἐς κατασκοπὴν αὐτοῦ μᾶλλον, ἢ καὶ ἔργου τινὸς ἕνεκα ἀφιγμένος, ἐκείνῳ μὲν ναῦς ἔδωκε, καὶ ἄλλας πέμψειν ὑπέσχετο, ἀνθ' ὧν ὁπλίτας ἀντέλαβεν· αὐτὸς δὲ, ὡς καὶ ἐπὶ τοὺς Πάρθους στρατεύσων ἀπῆρε. πρὶν δὲ ἢ ἀποπλεῖν αὐτὸν, ᾐτιάσαντο ἀλλήλους, πρότερον μὲν διὰ τῶν ἑταίρων, ἔπειτα δὲ καὶ δι' ἑαυτῶν· καὶ (οὐ γάρ πω σχολὴν πολεμῆσαι σφίσιν ἦγον) συνηλλάγησαν τρόπον τινὰ, τῆς Ὀκταουΐας ὅτι μάλιστα τοῦτο πρασσούσης, καὶ ὅπως γε πλείοσι τοῖς τῆς συγγενείας συνδέσμοις συνέχοιντο. ὅ, τε γὰρ Καῖσαρ Ἀντύλλῳ τῷ τοῦ Ἀντωνίου υἱεῖ τὴν θυγατέρα, καὶ ἐκεῖνος τῷ Δομιτίῳ, καίτοι τοῦ Καίσαρος σφαγεῖ τε γενομένῳ, καὶ ἐν τοῖς ἀπολουμένοις

Digitized by Google

μένοις ἐκδοθέντι, τὴν ἑαυτοῦ τὴν ἐκ τῆς Ὀκταουίας οἱ γεννηθεῖσαν ἐνηγγύησε. ταῦτά τε ἅμα πρὸς ἀλλήλους ἐπλάσσοντο· οὐ γάρ πω καὶ ποιήσειν τι αὐτῶν ἤμελλον, ἀλλ' ἐς τὴν χρείαν τῶν παρόντων σφίσι πραγμάτων ὑπεκρίνοντο. ἀμέλει καὶ τὴν Ὀκταουίαν αὐτὴν εὐθὺς ἐκ τῆς Κερκύρας ὁ Ἀντώνιος ἐς τὴν Ἰταλίαν, ἵνα δὴ μὴ συγκινδυνεύσῃ οἱ τοῖς Πάρθοις πολεμοῦντι, ἀπέπεμψεν. οὐ μὴν ἀλλ' ἔν γε τῷ τότε ἐκεῖνά τε οὕτως ἔπραξαν, καὶ τὸν μὲν Σέξτον τῆς τε ἱερωσύνης ἅμα καὶ τῆς ὑπατείας, ἐς ἣν ἀπεδέδεικτο, ἔπαυσαν· ἑαυτοῖς δὲ τὴν ἡγεμονίαν ἐς ἄλλα ἔτη πέντε, ἐπειδὴ τὰ πρότερα ἐξεληλύθει, ἐπέτρεψαν. καὶ μετὰ ταῦτα ὁ Ἀντώνιος μὲν ἐς τὴν Συρίαν ἠπείγετο, Καῖσαρ δὲ ἐς τὸν πόλεμον καθίστατο. καὶ τὰ μὲν ἄλλα κατὰ γνώμην αὐτῷ ἐχώρει· ὁ δὲ δὴ Μηνᾶς, ἄπιστός τε φύσει ὤν, καὶ τὰ τοῦ κρείττονος ἀεὶ θεραπεύων, καὶ προσέτι καὶ ἀγανακτήσας, ὅτι μηδεμίαν ἀρχὴν εἶχεν, ἀλλὰ τῷ Σαβίνῳ ὑπετέτακτο, πρὸς τὸν Σέξτον αὖθις ηὐτομόλησεν. ἐν μὲν οὖν τῷ χειμῶνι, ἐν ᾧ Λούκιός τε Γέλλιος καὶ Κόκκιος Νερούας ὑπάτευσαν, ταῦθ' οὕτως ἐγένετο.

Sexto consulatum & sacerdotium adimunt, sibique aliud in quinquennium imperium prorogant.

Καῖσαρ δὲ, ὡς τό, τε ναυτικὸν ἡτοίμαστο, καὶ τὸ ἔαρ ἐνέστη, ἦρέ τε ἐκ τῶν Βαιῶν, καὶ παρὰ τὴν Ἰταλίαν ἐκομίζετο, ἐλπίδα οὐκ ἐλαχίστην ἔχων ἁπανταχόθεν πέριξ τὴν Σικελίαν περισχήσειν. αὐτός τε γὰρ πολλαῖς ναυσὶν ἐπέπλει, καὶ αἱ τοῦ Ἀντωνίου ἐς τὸν πορθμὸν ἤδη παρῆσαν· ὅ, τε Λέπιδος, ἄκων μὲν, ὑπέσχετο δ' οὖν αὐτῷ βοηθήσειν. μέγιστον δὲ τῷ τε ὕψει τῶν σκαφῶν καὶ τῇ παχύτητι τῶν ξύλων ἐθάρσει. ὑπερπάχη γὰρ καὶ ὑπερμεγέθη κατεσκευάσθη, ὥς τε ἐπιβάτας τε πλείστους ὅσους ἄγειν· (καὶ γὰρ πύργους ἔφερον, ὅπως ὥσπερ ἀπὸ τείχους ἐξ ὑπερδεξίων ἀγωνίζωνται·) καὶ αὐτὰ πρός τε τὰς ἐμβολὰς τῶν ἐναντίων ἀντέχειν, καὶ τοὺς ἐμβόλους αὐτῶν, ἅτε καὶ βιαιοτέραν τὴν σύγκρουσιν ποιουμένων, ἀποστρέφειν. τοιούτοις μὲν λογισμοῖς ὁ Καῖσαρ ἐς τὴν Σικελίαν ἠπείγετο. καὶ αὐτῷ τὸ ἀκρωτήριον τὸ Παλίνουρον ὀνομαζόμενον ὑπερβάλλοντι χειμὼν μέγας ἐπέπεσε· καὶ οὗτός τε πολλὰς ναῦς ἔφθειρε, καὶ ὁ Μηνᾶς ταραττομέναις ταῖς λοιπαῖς ἐπιγενόμενος, συχνὰς τὰς μὲν ἔκαυσε, τὰς δ' ἀνεδήσατο. εἰ δὲ μὴ αὖθις ἐπί τε τῇ ἀδείᾳ καὶ ἐπ' ἄλλαις τισὶν ἐλπίσι μετέστη, καὶ τριήρεις

L. XLIX. c. 1. Cæsar classe ab ipso parata, navibus Antonii & auxiliis Lepidi Siciliam petit, Pompejum aggresssurus, A. U. 718. ante Chr. 36;

sed tempestate orta multas naves perdit, & nisi Menas denuo ad eum descivisset, actum de expeditione navali fuisset.

ρεις ψευδαυτομόλες δεξάμενος, πᾶν τὸ ναυτικὸν, ὃ ἦρχε προέδωκε, διακενῆς ἂν καὶ τότε ὁ ἐπίπλες τῷ Καίσαρι ἐγένετο. τῦτο δὲ ἔπραξεν, ὅτι ὐδὲ τῷ Λεπίδῳ πολεμῆσαι ὑπὸ τῦ Σέξτυ ἐπετράπη, καὶ πρὸς πάντα τἆλλα ὑπωπτεύετο. Καῖσαρ δὲ προσήκατο μὲν αὐτὸν καὶ τότε ἀσμενέςατα, ὐ μέντοι καὶ ἐπίςευσέ τι ἔτ' αὐτῷ. ὡς δ' ὖν τάς τε πεπονηκυίας ναῦς ἐπεσκευάσατο, καὶ τὺς δύλυς τὺς τριηρίτας ἠλευθέρωσε, τύς τε περίνεως (πολλοὶ γὰρ φθειρομένων ἐν τῇ ναυαγίᾳ τῶν σκαφῶν ἀπεκολύμβησαν) ἐς τὸ τῦ Ἀντωνίυ ναυτικὸν ὀλιγανδρῦν κατέταξεν, ἔς τε Λιπάραν ἦλθε. κἀνταῦθα τόν τε Ἀγρίππαν καὶ τὰς ναῦς καταλιπὼν, ἐς τὴν ἤπειρον ἐκομίσθη, ἵνα καὶ τὸ πεζὸν ἐς τὴν Σικελίαν, ὅταν καιρὸς γένηται, περαιώσῃ.

Agrippa cum classe ad Liparam insulam relicto,

cap. 2. continentem petit ad pedestres copias in Siciliam trajiciendas.

Μαθὼν δὲ ταῦτα ὁ Σέξτος, αὐτὸς μὲν ἐν Μεσσήνῃ ὑφώρμει, τὸν διάπλυν αὐτῦ τηρῶν, τῷ δ' Ἀγρίππᾳ Δημοχάρην ἀνθορμεῖν ἐν Μύλαις ἐκέλευσεν. ὗτοι ὖν τὸ μὲν πλεῖςον τῦ χρόνυ, ἀποπειρώμενοι μὲν ἀλλήλων κατὰ τὸ παρεῖκον, ὐ μέντοι καὶ ἐναποκινδυνεῦσαι παντὶ τῷ ςόλῳ τολμῶντες, κατανάλωσαν· ὔτε γὰρ τὰς δυνάμεις ἀλλήλων ᾔδεσαν, καὶ πάντα πρός τε τὸ μεῖζον καὶ πρὸς τὸ φοβερώτερον παρ' ἀμφοτέροις περὶ τῶν ἑτέρων ἐλογοποιεῖτο. τέλος δὲ ὁ Ἀγρίππας, συνιεὶς, ὅτι ὐ συμφέρει οἱ διατρίβειν, (οἱ γὰρ τῦ Σέξτυ, ἅτε ἐν τῇ οἰκείᾳ ναυλοχῦντες, ὐδὲν ἐδέοντο σπεύδειν) τάς τε ἀρίςας τῶν νεῶν ἔλαβε, καὶ πρὸς κατασκοπὴν τῦ τῶν ἐναντίων πλήθυς ἐπὶ τὰς Μύλας ὥρμησε· καὶ ἐπειδὴ μήτε πάντας αὐτὺς ἰδεῖν ἐδυνήθη, μήτ' ἀναχθῆναί τις αὐτῶν ἠθέλησε, κατεφρόνησεν αὐτῶν, καὶ ἐπανελθὼν παρεσκευάζετο, ὡς καὶ πάσαις ταῖς ναυσὶ τῆς ὑςεραίας ἐπὶ τὰς Μύλας ἐπιπλευσύμενος. τὸ δ' αὐτὸ τῦτο καὶ ὁ Δημοχάρης ἔπαθε. μόνας τε γὰρ τὰς ἀφικομένας ναῦς ὑποτοπήσας εἶναι, καὶ βραδύτατα αὐτὰς ὑπὸ τῦ μεγέθυς πλεύσας ἰδὼν, τόν τε Σέξτον τῆς νυκτὸς μετεπέμψατο, καὶ ἡτοιμάζετο, ὡς καὶ αὐτῇ τῇ Λιπάρᾳ προσμίξων. ἡμέρα τε ὑπέφηνε, καὶ ἀμφότεροι ἅμα, ὡς καὶ ἐπ' ἐλάττυς σφῶν ἀλλήλυς ὄντας ἔπλεον.

Demochares Agrippam Mylis observat. Alter ab altero exploratur; neuter verum navium numerum comperitur.

Ἐγγὺς δὲ δὴ γενόμενοι, καὶ παρὰ δόξαν πολὺ πλείυς τὺς ἐναντίυς, ὧν ᾤοντο, εἶναι ἰδόντες ἑκάτεροι, τὰ μὲν πρῶ-

cap. 3. Prælium navale commit-

πρῶτα ἐταράχθησαν ὁμοίως ἀμφότεροι, καί τινες καὶ πρύμναν ἐκρέσαντο. ἔπειτα δὲ τὴν φυγὴν τῆς μάχης μᾶλλον φοβηθέντες, καὶ ἐν μὲν ταύτῃ καὶ κρατήσειν ἀντελπίσαντες, ἐν δὲ ἐκείνῃ πασσυδὶ ἀπολέσθαι προσδοκήσαντες, ἀντεξώρμησαν, καὶ συμμίξαντες ἐναυμάχησαν. ἦσαν δὲ οἱ μὲν, τῷ πλήθει τῶν νεῶν, οἱ δὲ, ταῖς ἐμπειρίαις τῶν ναυτικῶν προφέροντες· καὶ τοῖς μὲν τό, τε ὕψος τῶν σκαφῶν, καὶ τὸ πάχος τῶν ἐπωτίδων, οἵ τε πύργοι συνήροντο· τὰς δ᾽ ἑτέρας, οἵ τε διέκπλοι ἀνέφερον, πρός τε τὴν ῥώμην τῶν τοῦ Καίσαρος ἐπιβατῶν ἡ τόλμα αὐτῶν ἀντήρκει. αὐτόμολοι γὰρ οἱ πλείους ἐκ τῆς Ἰταλίας ὄντες, ἀπονοίᾳ πολλῇ ἐχρῶντο. κἀκ τούτου πλεονεκτοῦντες ἅμα ἀλλήλων καὶ ἐλαττούμενοι, δὶς εἶπον, ἴσην τὴν ἰσχὺν ἐκ τοῦ τῶν ὑπαρχόντων σφίσιν ἀντιπάλου εἶχον· καὶ διὰ τοῦτο χρόνῳ καὶ ἀγχώμαλα ἐπὶ πλεῖστον ἠγωνίσαντο. Ὀψὲ δ᾽ οὖν ποτε καὶ πρὸς νύκτα ἤδη οἱ τοῦ Καίσαρος ἐκράτησαν· οὐ μέντοι καὶ ἐπεδίωξάν τινα, ὡς μὲν ἐμοὶ δοκεῖ, καὶ τὸ εἰκὸς συμβάλλεται, ὅτι μήτε καταλαβεῖν αὐτοὺς ἐδύναντο, καὶ ἐς τὴν γῆν, βράχη, ὧν ἄπειροι ἦσαν, ἔχουσαν, ἐφοβήθησαν ἐξοκεῖλαι.

Ἐν ᾧ δ᾽ οὖν ἡ ναυμαχία ἐγίγνετο, ὁ Καῖσαρ, ὡς τάχιστα τόν τε Σέξτον ἐκ τῆς Μεσσήνης ἀπεληλυθότα, καὶ τὸν πορθμὸν φυλακῆς ἔρημον ὄντα ᾔσθετο, τὸν μὲν καιρὸν τοῦ πολέμου οὐ παρέλιπεν, ἀλλ᾽ εὐθὺς ἐπιβὰς τῶν Ἀντωνιείων νεῶν, πρὸς Ταυρομένιον ἐπεραιώθη. οὐ μὴν καὶ ἐν τύχῃ αὐτῷ ἐχρήσατο. πλέοντα μὲν γὰρ, οὐδ᾽ ἀποβαίνοντα αὐτὸν οὐδεὶς ἐκώλυσεν, ἀλλὰ καὶ πάνυ καθ᾽ ἡσυχίαν τά τε ἄλλα καὶ τὸ στρατόπεδον ἐποιήσατο· ἐπεὶ δὲ ἥ τε ναυμαχία ἐγένετο, καὶ ὁ Σέξτος ἔς τε τὴν Μεσσήνην σπουδῇ ἀφίκετο, καὶ μαθὼν παρόντα αὐτὸν, ἄλλως τε διὰ ταχέων ἀκραιφνεῖς ἐς τὰς ναῦς ἀντενεβίβασε, καὶ ἐκείναις τε αὐτῷ ἅμα καὶ τοῖς ὁπλίταις κατὰ γῆν προσέμιξε· τούτοις μὲν οὐδ᾽ ἐπεξῆλθεν, ἀνταναχθεὶς δὲ, καταφρονήσει τῆς τε ὀλιγότητος τῶν ἐναντίων νεῶν, καὶ ὅτι καὶ προήττηντο, τοῦ τε ναυτικοῦ τὸ πλεῖον ἀπέβαλε, καὶ αὐτὸς ὀλίγου προσδιεφθάρη. κἀκ τούτου οὐδ᾽ ἠδυνήθη πρὸς τοὺς ἑαυτοῦ τοὺς ὄντας ἐν Σικελίᾳ διαφυγεῖν, ἀλλ᾽ ἀγαπητῶς ἐς τὴν ἤπειρον ἀπεσώθη. καὶ αὐτὸς μὲν ἐν ἀσφα-

titur æquatis propemodum viribus, diuque æquo Marte pugnatur; demum instante nocte Cæsariani vincunt.

cap. 4.

cap. 5. Cæsar Tauromenium transmittit, & majore classis suæ parte amissa in continentem evadit.

Digitized by Google

ἀσφαλεῖ ἦν· ὁρῶν δὲ τὸ στράτευμα ἐν τῇ νήσῳ ἀπειλημμένον, δεινῶς ἤχθετο· καὶ οὐ πρότερον ἀνεθάρσησε, πρὶν ἰχθύν τινα, ἐκ τῆς θαλάσσης αὐτόματον ἀναθορόντα, πρὸς τοὺς πόδας αὐτοῦ προσπεσεῖν. ἐκ γὰρ τούτου πιστεύσας τοῖς μάντεσιν, εἰποῦσίν οἱ, ὅτι δουλώσεται αὐτήν, ἀνεῤῥώσθη.

cap. 6. Καὶ ὁ μὲν τὸν Ἀγρίππαν σπουδῇ πρὸς τὴν ἐπικουρίαν αὐτῶν μετεπέμπετο, ἐκεῖνοι δὲ ἐπολιορκοῦντο. Κἂν πασσυδὶ διεφθάρησαν, εἰ μή περ οἱ πολέμιοι καὶ ἄκοντες σφῶν ἀπέσχοντο. ὅ, τε γὰρ Ἀγρίππας, τότε μὲν νικήσας τὴν ναυμαχίαν, πρὸς τὴν Λιπάραν ἀνέπλευσεν· ἔνθα δὴ καὶ μαθὼν τόν τε Σέξτον ἐς τὴν Μεσσήνην πεφευγότα, καὶ τὸν Δημοχάρην ἄλλοσέ πῃ ἀπεληλυθότα, ἐπεραιώθη ἐς τὴν Σικελίαν· καὶ καταλαβὼν τάς τε Μύλας καὶ τὴν Τυνδαρίδα, σῖτόν τε σφίσι καὶ στρατιώτας ἔπεμψε. καὶ ὁ Σέξτος, οἰηθεὶς καὶ αὐτὸν ἐκεῖνον ἥξειν, ἐφοβήθη, καὶ σπουδῇ προανεχώρησεν· ὥστε καὶ σκεύη τινὰ καὶ ἐπιτήδεια ἐν τῷ ἐρύματι καταλιπεῖν, ἐξ ὧν τὴν τροφὴν ἄφθονον οἱ περὶ τὸν Κορνουφίκιον ἔχοντες, πρὸς τὸν Ἀγρίππαν ἀπεσώθησαν· καὶ αὐτοὺς ὁ Καῖσαρ καὶ ἐπαίνοις καὶ δωρεαῖς ἀνεκτήσατο, καίπερ ὑπεροπτικώτατα σφίσιν ἐπὶ τῇ τοῦ Ἀγρίππου ναυκρατίᾳ, ὡς καὶ διαπεπολεμηκότος, χρησάμενος.

cap. 7. Agrippa copiis Cæsarianis pedestribus, quibus Cornificius in Sicilia præerat, auxilio venire jubetur.

cap. 8. Τῷ δ᾽ οὖν Καίσαρι ἐς τὴν Σικελίαν μετὰ τοῦτ᾽ ἐλθόντι ὁ Σέξτος περὶ τὸ Ἀρτεμίσιον ἀντεστρατοπεδεύσατο· καὶ μάχην μὲν οὐδεμίαν εὐθὺς μεγάλην ἐμαχέσαντο, ἱππομαχίας δέ τινας βραχείας ἐποιοῦντο. ἀντικαθημένων δὲ αὐτῶν ἀλλήλοις, τῷ μὲν Σέξτῳ ὁ Γάλλος ὁ Τισίηνος, τῷ δὲ Καίσαρι ὁ Λέπιδος σὺν ταῖς δυνάμεσι, προσεγένοντο. οὗτός τε γὰρ περιπεσὼν τῷ χειμῶνι ὅπερ ἐμνημόνευσα, καὶ τῷ Δημοχάρει, ναῦς τε συχνὰς ἀπέβαλε, καὶ οὐκ εὐθὺς πρὸς τὸν Καίσαρα ἦλθεν, ἀλλ᾽ εἴτε δὴ διὰ τὸ πάθος, εἴθ᾽ ὅπως καθ᾽ ἑαυτὸν ἐκεῖνος πονοῖτο, εἴτε καὶ ἀπαγαγεῖν τὸν Σέξτον ἀπ᾽ αὐτοῦ βουληθεὶς, Λιλυβαίῳ προσέβαλε. καὶ ὁ Γάλλος ἐνταῦθα αὐτῷ, πεμφθεὶς ὑπὸ τοῦ Σέξτου, προσεπολέμει· καὶ οὕτως ἐκεῖθεν ἀμφότεροι, ἐπειδὴ μηδὲν ἐπέραινον, πρὸς τὸ Ἀρτεμίσιον ἀφίκοντο. καὶ ὁ μὲν Γάλλος ἐπέῤῥωσε τὸν Σέξτον· ὁ δὲ δὴ Λέπιδος τῷ τε Καίσαρι διηνέχθη, (αὐτός τε γὰρ ἐκ τοῦ

Castris apud Artemisium positis, Gallus Pompejo, Cæsari Lepidus cum copiis subvenit.

Lepidus tamen, a Cæsa-

Digitized by Google

τὰ ἴσα πάντα αὐτῷ διοικεῖν, ὡς καὶ συνάρχων, ἠξίε, καὶ ἐκεῖνος ἐς πάντα αὐτῷ, ὡς καὶ ὑποςρατήγῳ οἱ ἐχρῆτο) κἀκ τέτε πρός τε τὸν Σέξςον ἀπέκλινε, καὶ ἐκοινολογεῖτο αὐτῷ δι' ἀποῤῥήτων. ὑποτοπήσας ἔν τῦτο ὁ Καῖσαρ, καὶ μήτε ἐκφῆναι τολμῶν, μὴ καὶ ἐκ τῦ φανερῦ αὐτὸν πολεμώσηται, μήτ' ἂν ἀποκρύψαθαι ἀσφαλῶς δυνάμενος, (ὕποπ]ον μὲν γὰρ ἐνόμιζεν, εἰ μὴ συμβελεύοιτό τι αὐτῷ, δεινὸν δ' εἰ πάντα ἀνακοινοῖτο) διακινδυνεῦσαι ὁτιτάχιςα, πρὶν νεοχμωθῆναί τι, ἔγνω, καίτοι τῶν ἄλλων ἕνεκα ἥκιςα ἐπειγόμενος. ὅτε γὰρ σῖτος, ὅτε χρήματα τῷ Σέξςῳ ὑπῆν· ἐξ ὧν ἤλπιζεν αὐτὸν ἀμαχεὶ ὀ πολλῷ ὕςερον καταλύσειν. ἐπεὶ δ' ἔν ἔκρινε τῦτο, αὐτός τε κατὰ γῆν τὸν ςρατὸν ἐξάγων πρὸ τῦ ςρατοπέδε προπαρέτασσε, καὶ ὁ Ἀγρίππας ἅμα ἐπιπλέων ἀπεσάλευεν, (ὁ γὰρ Σέξςος ταῖς δυνάμεσιν αὐτῶν ἐλαττέμενος πολὺ, ὀδετέρωσε ἀντεπεξῄει) καὶ τῦτο καὶ ἐπὶ πλείες ἡμέρας ἐγένετο· τέλος δὲ δείσας, μὴ καὶ καταφρονηθεὶς διὰ ταῦθ' ὑπὸ τῶν συμμάχων ἐγκαταλειφθῇ, ἀνταναχθῆναί ποτε ταῖς ναυσὶ προσέταξε· καὶ γάρ τινα ἐλπίδα ἐν ταύταις μᾶλλον εἶχεν.

Ὡς ἔν τό, τε σημεῖον ἤρθη, καὶ ἡ σάλπιγξ ὑπεσήμηνεν, ἐκεῖναί τε αἱ πᾶσαι πρὸς τῇ γῇ συνέμιξαν, καὶ ὁ πεζὸς ἀμφοτέρων ὁμοίως ἐπ' αὐτῆς τῆς ῥαχίας παρετάξατο, ὥςε τὴν θέαν ἀξιολογωτάτην γενέθαι. ἥ τε γὰρ θάλασσα ἡ ἐκεῖ πᾶσα τῶν νεῶν ἐπεπλήρωτο, (πολλαὶ γὰρ ἔσαι ἐπὶ πλεῖςον ἐπέσχον) καὶ ἡ χώρα, ἡ μὲν ἐγγὺς αὐτῆς, ὑπὸ τῶν ὡπλισμένων, ἡ δ' ἄλλη προσεχὴς, ὑπὸ τῦ λοιπῦ ἑκατέρων ὁμίλε κατείχετο. ὅθενπερ καὶ ὁ ἀγὼν ἔδοξε μὲν τῶν ναυμαχέντων μόνων εἶναι, τῇ δ' ἀληθείᾳ καὶ τῶν ἄλλων ἐγένετο. καὶ πολλὰ μὲν ἐκείνοις ἀντιπαρακελευόμενοι, πολλὰ δὲ καὶ ἀλλήλοις ἀντιβοῶντες, τῦ τε τὰς σφετέρες ῥᾶον τὰ λεγόμενα ἀκέειν, καὶ τῦ τὰς ἐναντίες ἧττον τῶν οἰκείων ἐπαΐειν.

Τέως μὲν ἔν ἰσοπαλεῖς ἦσαν, ἔτω τε ταῦτα παρ' ἀμφοτέρων ὁμοίως ἐγίγνετο, καί τι καὶ τοῖς σώμασιν, ὡς καὶ ἰδεῖν καὶ νοῆσαι δυναμένοις σφίσιν, ἐνεδείκνυντο· ἐπεὶ δὲ ἐτράποντο οἱ τῦ Σέξςε, ἐνταῦθα ἤδη ἀθρόοι, καὶ ἀπὸ μιᾶς ὁρμῆς, οἱ μὲν ἐπαιώνησαν, οἱ δὲ ὠλοφύροντο. καὶ ἔτοι

re male tractatus, ad Pompejum inclinat: quare Cæsar quam primum prælio decernere statuit.

cap. 9. Prælium committitur juxta terram, ita ut classiarii a pedestribus ad fortitudinem clamore excitentur.

cap. 10. Pompejani victi Messanam petunt, magnaque & in terra & in navibus strage pereunt.

Digitized by Google

ὗτοι μὲν, ὡς καὶ αὐτοὶ συννενικημένοι, πρὸς τὴν Μεσσήνην εὐθὺς ἀπεχώρησαν· ὁ δὲ δὴ Καῖσαρ τούς τε ἐκπίπτοντας τῶν ἡττωμένων ἐς τὴν γῆν ἐξεδέχετο, καὶ ἐς αὐτὴν τὴν θάλασσαν ἐπεσβαίνων πάντα τὰ σκάφη, τά τε ἐς τὸ τεναγῶδες ὀκέλλοντα κατεπίμπρη· ὥστε μήτε τοῖς ἔτι πλέουσιν ἀσφάλειαν εἶναι, (πρὸς γὰρ τοῦ Ἀγρίππου ἐκόπτοντο) μήτε τοῖς προΐσχουσί πῃ, (πρὸς γὰρ τοῦ Καίσαρος διώλλυντο) πλὴν ὀλίγων, ὅσοι ἐς τὴν Μεσσήνην προκατέφυγον. κἀν τούτῳ τῷ πόνῳ ὁ μὲν Δημοχάρης ἁλισκόμενος ἑαυτὸν ἀπέσφαξεν· ὁ δ' Ἀπολλοφάνης ἄθραυστον τὴν ναῦν ἔχων, καὶ δυνηθεὶς ἂν φυγεῖν, προσεχώρησε τῷ Καίσαρι. τὸ δ' αὐτὸ τοῦτο καὶ ἄλλοι, ὅ, τε Γάλλος, καὶ οἱ ἱππεῖς οἱ σὺν αὐτῷ πάντες, καὶ μετὰ ταῦτα καὶ πεζοί τινες ἐποίησαν.

cap. 11. Pompejus fuga se victoribus subducit.

Ἀφ' οὗπερ οὐχ ἥκιστα ὁ Σέξτος ἀπογνοὺς τὰ παρόντα, φυγεῖν ἐβουλεύσατο· καὶ παραλαβὼν τήν τε θυγατέρα καὶ ἄλλους, τά τε χρήματα καὶ τὰ λοιπὰ τὰ πλείστου ἄξια, ἐς τὰς ναῦς τὰς ἀρίστας τῶν σωθεισῶν πλεούσας ἐσθέμενος, νυκτὸς ἀπῆρεν. οὐδὲ ἐπεδίωξέ τις αὐτόν. ἐκεῖνός τε γὰρ λάθρα ἐξέπλευσε, καὶ ὁ Καῖσαρ ἐν μεγάλῃ ταραχῇ παραχρῆμα ἐγένετο. ὁ γὰρ Λέπιδος τῇ τε Μεσσήνῃ προσέπεσε, καὶ ἐσδεχθεὶς ἐς αὐτὴν, τὰ μὲν ἐνεπίμπρη, τὰ δ' ἥρπαζεν. ἐπειδή τε ἐκεῖνος αἰσθόμενος τοῦτ' ἐπῆλθέ τε οἱ διαταχέων, καὶ ἐμποδὼν ἐγένετο, τῆς μὲν πόλεως ὑπεξῆλθε φοβηθεὶς, ἐπὶ δὲ λόφον τινὰ καρτερὸν ἀναστρατοπεδευσάμενος, ἐγκλήματα ἐποιεῖτο, καταλέγων πάνθ', ὅσα ἐλαττοῦσθαι ἐνόμιζε· καὶ τά τε ἄλλα ἀπήτει, ὅσα αὐτῷ κατὰ τὴν πρώτην σφῶν συνωμοσίαν ἐδέδοτο, καὶ τῆς Σικελίας, ὡς καὶ συγκαταστρεψάμενος αὐτὴν, ἀντεποιεῖτο. καὶ ὁ μὲν ταῦτά τε τῷ Καίσαρι πέμπων τινὰς ἐνεκάλει, καὶ ἐς δίκην αὐτὸν προὐκαλεῖτο. εἶχε δὲ τάς τε δυνάμεις, ἃς ἐκ τῆς Λιβύης ἐπῆκτο, καὶ τοὺς ἐγκαταλειφθέντας ἐν τῇ Μεσσήνῃ πάντας· ἐπειδὴ καὶ πρώτως ἐς αὐτὴν ἐσεληλύθει, καί τινα καὶ ἐλπίδα νεωτέρων σφίσι πραγμάτων ὑπεβεβλήκει.

Cæsar Lepido Messanæ vastationem interdicit; Lepidus vero per internuncios de injuriis expostulat.

cap. 12. Cæsar Lepidum omni potestate exuit;

Καῖσαρ δὲ πρὸς μὲν ταῦτα οὐδὲν ἀντεῖπε· νομίσας δὲ δὴ πάντα τὰ δίκαια παρά τε ἑαυτῷ καὶ παρὰ τοῖς ὅπλοις, ἅτε καὶ ἰσχυρότερος αὐτοῦ ὢν, ἔχειν, εὐθὺς ἐπ' αὐτὸν μετ' ὀλίγων τινῶν ὥρμησεν· ὡς καὶ ἐκεῖνόν τε ἐκ τοῦ αἰφνι-

φυδίε, οἷα μηδὲν δραςήριον ἔχοντα, καταπλήξων, καὶ τὲς ςρατιώτας αὐτὲ προσποιησόμενος. ἐσῆλθε μὲν ἐς τὸ ςρατόπεδον, δόξας σφίσι διὰ τὴν ὀλιγότητα τῶν συνακολεθέντων εἰρηνικόν τι πράξειν· ὡς δ' ἐδὲν κατὰ γνώμην αὐτοῖς ἔλεγε, παρωξύνθησαν, καὶ ἐπέθεντο αὐτῷ, καί τινας τῶν ἄλλων καὶ ἀπέκτειναν. ἐκεῖνος γὰρ ἐν τάχει βοηθείας τυχὼν ἐσώθη, καὶ μετὰ τῦτ' ἐπῆλθέ τε αὖθις αὐτοῖς μετὰ παντὸς τῦ ςρατῦ, καὶ κατακλείσας σφᾶς ἐς τὸ τάφρευμα, ἐπολιόρκει. φοβηθέντες ὖν τὴν ἅλωσιν, κοινῇ μὲν ἐδὲν διὰ τὴν τῦ Λεπίδε αἰδῶ ἐνεόχμωσαν, ἰδίᾳ δὲ κατ' ὀλίγες, ὡς ἕκαςοι ἐγκατέλιπον αὐτὸν, καὶ μεθίςαντο· καὶ ὕτω καὶ ἐκεῖνος ἠναγκάσθη ἐθελοντὴς ἐν ἐσθῆτι φαιᾷ ἱκέτης αὐτὲ γενέσθαι. καὶ ὁ μὲν ἐκ τύτε τῆς τε ἐξεσίας πάσης παρελύθη, καὶ δίαιταν ἐν τῇ Ἰταλίᾳ ἐκ ἄνευ φυλακῆς εἶχε· τῶν δὲ δὴ τὰ τῦ Σέξτε πραξάντων, οἱ μὲν ἱππεύοντες ἢ καὶ βελεύοντες ἐκολάσθησαν, πλὴν ὀλίγων· τῦ δὲ ἐν τῷ τεταγμένῳ ὄντος, τὸ μὲν ἐλεύθερον ἐς τὰ τῦ Καίσαρος ςρατόπεδα κατελέχθη, τὸ δὲ δεδελευκὸς τοῖς δεσπόταις πρὸς τιμωρίαν ἀπεδόθη· εἰ δέ τε μηδεὶς κύριος εὑρίσκετο, ἀνεσκολοπίζετο. τῶν τε πόλεων αἱ μὲν ἑκύσιαι αὐτῷ προσχωρήσασαι, συγγνώμης ἔτυχον· αἱ δ' ἀντάρασαι, ἐδικαιώθησαν.

& a Pompejanis poenas repetit.

Οἱ δὲ ἐν τῷ ἄςει ἐπαίνες τε τῷ Καίσαρι ὁμοθυμαδὸν, καὶ εἰκόνας, καὶ προεδρίαν, ἀψῖδά τε τροπαιοφόρον, καὶ τὸ ἐφ' ἵππε ἐσελάσαι, τό, τε ςεφάνῳ δαφνίνῳ ἀεὶ χρῆσθαι, καὶ τὸ τῇ ἡμέρᾳ, ἐν ᾗ ἐνενικήκει, ἱερομηνίᾳ ἀϊδίῳ ἔσῃ, ἐν τῇ τῦ Διὸς τῦ Καπιτωλίνε μετά τε τῆς γυναικὸς καὶ μετὰ παίδων ἑςιᾶσθαι, ἔδωκαν. ταῦτα μὲν εὐθὺς σφίσι μετὰ τὴν νίκην ἔδοξεν. ἐπεὶ δὲ ὁ Καῖσαρ ἐς τὴν πόλιν ἀφίκετο, καὶ σφᾶς συναγαγὼν ἔξω τῦ πωμηρίε κατὰ τὰ πάτρια, τά τε πεπραγμένα οἱ ἀπελογήσατο, καὶ τῶν ψηφισθέντων τινὰ παρήκατο, τόν τε φόρον τὸν ἐκ τῶν ἀπογραφῶν, καὶ εἰ δή τι ἄλλο ἔτι τῷ δημοσίῳ ἐς τὸν πρὸ τῦ ἐμφυλίε πολέμε χρόνον ἐπωφείλετο, ἀφῆκε, τέλη τέ τινα κατέλυσε, καὶ τὴν τῦ Λεπίδε ἱερωσύνην διδομένην οἱ ἐκ ἔλαβεν· ἐδὲ γὰρ ἐξῆν ζῶντά τινα ἀφελέσθαι· καὶ ἄλλα πολλὰ αὐτῷ προσεψηφίσαντο.

cap. 15. Honores Cæsari decreti.

Quæ Cæsar confirmaverit & quæ improbaverit.

Ὁ

cap. 17. Sextus Pompejus Messana profectus, deposito habitu militari, in Asiam trajicit, ut se Antonio adjungat.

Ὁ δὲ δὴ Σέξτος, ἔκ τε τῆς Μεσσήνης ἐξαναχθεὶς, καὶ τὴν δίωξιν φοβηθεὶς, προδοσίαν τέ τινα ἀπὸ τῶν συνακολουθέντων οἱ ὑποτοπήσας, προεῖπε μὲν σφίσιν, ὡς διὰ πελάγους τὸν πλοῦν ποιησόμενος, ἀποσβέσας δὲ τὸ φῶς, ὃ ἐν τοῖς νυκτερινοῖς πλοῖς αἱ στρατηγίδες νῆες, ὅπως καὶ αἱ λοιπαὶ κατὰ πόδας αὐτῶν ἐφέπωνται, προδεικνύουσι, παρά τε τὴν Ἰταλίαν παρέπλευσε, καὶ διαβαλὼν ἐπὶ Κέρκυραν, ἐς Κεφαλληνίαν ἐκεῖθεν ἦλθε· κἀνταῦθα καὶ οἱ ἄλλοι κατὰ τύχην ὑπὸ χειμῶνος ἐκπεσόντες, αὖθις αὐτῷ συνεγένοντο. συγκαλέσας οὖν αὐτοὺς, τήν τε σκευὴν τὴν στρατιωτικὴν ἀπεδύσατο, καὶ εἰπὼν ἄλλα τε, καὶ ὅτι ἀθρόοι μὲν ὄντες οὔτε ὠφέλειάν τινα ἀλλήλοις διαρκῆ παρέξουσιν, οὔτε λήσουσι, σκεδασθέντες δὲ, ῥᾷον τὴν διάφευξιν ποιήσονται· παρήνεσε σφίσιν ἰδίᾳ καὶ καθ' ἑαυτὸν ἑκάστῳ τῆς σωτηρίας προσκοπῆσαι. κἀκ τούτου πεισθέντων οἱ τῶν πλειόνων, καὶ ἄλλων ἄλλοσε ἀποχωρησάντων, αὐτὸς ἐς τὴν Ἀσίαν μετὰ τῶν λοιπῶν ἐπεραιώθη, γνώμην ἔχων πρὸς τὸν Ἀντώνιον εὐθὺς ὁρμῆσαι. γενόμενος δὲ ἐν Λέσβῳ, καὶ ἐκεῖνόν τε ἐπὶ Μήδους ἐστρατευκέναι, καὶ τὸν Καίσαρα καὶ τὸν Λέπιδον πεπολεμῶσθαι μαθὼν, διενοεῖτο μὲν κατὰ χώραν χειμάσαι· τῶν δὲ Λεσβίων προθυμότατα αὐτὸν, διὰ τὴν τοῦ πατρὸς αὐτοῦ μνήμην, καὶ δεξαμένων καὶ κατεχόντων, ἐπειδὴ τόν τε Ἀντώνιον δυστυχήσαντα ἐν τῇ Μηδίᾳ ἐπύθετο, καὶ Γάϊος Φούρνιος ὁ τῆς Ἀσίας τότε ἄρχων οὐκ εὐνοϊκῶς οἱ ἐχρῆτο· οὐ κατέμεινεν, ἀλλ' ἐλπίσας τὴν τοῦ Ἀντωνίου ἀρχὴν διαδέξασθαι, ὅτι τε ἐκ τῆς Σικελίας συχνοὶ πρὸς αὐτὸν ἀφίκοντο, καὶ ὅτι καὶ ἕτεροι, οἱ μὲν κατὰ τὴν τοῦ πατρὸς αὐτοῦ δόξαν, οἱ δὲ καὶ βίου δεόμενοι, συνελέγησαν· τό, τε σχῆμα τὸ στρατηγικὸν ἀνέλαβε, καὶ παρεσκευάζετο, ὡς καὶ τὴν περαίαν καταληψόμενος.

In insula Lesbo Antonii adversam in Media fortunam edoctus, (v. T. I. p. 280.) spe in Antonii imperium succedendi concepta, habitum resumit imperatorium, exercitumque colligit;

cap. 18. cum Parthis per internuncios de societate agit.

Κἂν τούτῳ τοῦ Ἀντωνίου ἔς τε τὴν φιλίαν ἀποσαθέντος, καὶ τὰ πραττόμενα ὑπ' αὐτοῦ μαθόντος, τήν τε ἄδειαν αὐτῷ καὶ τὴν εὔνοιαν, ἂν τὰ ὅπλα κατάθηται, ὑποσχομένου δώσειν· ἀντέγραψε μὲν, ὡς καὶ πεισθησόμενός οἱ, οὐ μέντοι καὶ ἐποίησε τοῦτο, ἀλλ' ἔκ τε τῶν συμφορῶν αὐτοῦ, καὶ ἐπειδὴ πρὸς τὴν Αἴγυπτον αὐτίκα ἀπῆρε, καταφρονήσας, τῶν τε παρόντων εἴχετο, καὶ πρὸς

τοὺς

τὰς Πάρθους διεκηρυκεύετο. πυθόμενος δὲ ταῦτα ὁ Ἀντώνιος, οὐκ ἀνέστρεψεν, ἀλλὰ τό, τε ναυτικὸν, καὶ τὸν Τίτιον τὸν Μάρκον, μεταστάντα τε πρὸς αὐτὸν πρότερον ἀπὸ τοῦ Σέξτου, καὶ τότε συνόντα οἱ, ἐπ' αὐτὸν ἔπεμψε. καὶ ὃς, προαισθόμενός τε τοῦτο, καὶ φοβηθεὶς, (οὐδέπω γάρ ἱκανῶς παρεσκεύαστο) ἐξήχθη, καὶ προχωρῶν, ᾗ μάλιστα διαφεύξεσθαι ἐδόκει, ἔς τε Νικομήδειαν ἀφίκετο, κἀνταῦθα καταληφθεὶς, ἐπεκηρυκεύσατο μὲν αὐτῷ, ἅτε καὶ ἐλπίδα αὐτοῦ ἐκ τῆς εὐεργεσίας, ἣν εὐεργέτητο, ἔχων. ὡς δὲ ἐκεῖνος οὐκ ἔφη οἱ σπείσεσθαι, ἂν μὴ τάς τε ναῦς καὶ τὴν λοιπὴν δύναμιν αὐτοῦ προπαραλάβῃ, τῆς τε κατὰ θάλασσαν σωτηρίας ἀπέγνω, καὶ τὰ σκεύη τὰ βαρύτερα ἐς τὰς ναῦς ἐμβαλὼν, ταύτας τε κατέκαυσε, καὶ ἐς τὴν μεσόγειαν ὥρμησε. καὶ αὐτὸν ἐπιδιώξαντες ὅ, τε Τίτιος καὶ ὁ Φούρνιος, ἔν τε Μιδαείῳ τῆς Φρυγίας κατέλαβον, καὶ περισχόντες ἐζώγρησαν. μαθὼν δὲ τοῦτο ὁ Ἀντώνιος, εὐθὺς μὲν ὑπ' ὀργῆς ἐπέστειλε σφίσιν ἵνα ἀποθάνῃ· αὖθις δ' οὐ πολλῷ ὕστερον μετανοήσας, ἔγραψεν, ἵνα σωθῇ. τοῦ οὖν δευτέρου γραμματοφόρου τὸν πρότερον φθάσαντος, ὕστερον τὰ περὶ τοῦ θανάτου αὐτοῦ γράμματα ὁ Τίτιος λαβὼν, καὶ νομίσας ὄντως δεύτερα εἶναι, ἢ καὶ γνοὺς μὲν τὴν ἀλήθειαν, οὐκ ἐθελήσας δὲ αὐτῇ πιστεῦσαι, τῇ τάξει τῆς κομιδῆς αὐτῶν, ἀλλ' οὐ τῇ γνώμῃ προσέσχε. καὶ οὕτως ὅ, τε Σέξτος ἐπί τε τοῦ Κορνουφικίου τοῦ Λουκίου καὶ ἐπὶ Σέξτου τινὸς Πομπηΐου ὑπάτων ἀπέθανε. καὶ διὰ τοῦτο καὶ ὁ Καῖσαρ ἱπποδρομίαν τε ἐποίησε, καὶ τῷ Ἀντωνίῳ ἅρμα τε ἔμπροσθεν τοῦ βήματος, καὶ εἰκόνας ἐν τῷ Ὁμονοείῳ ἔστησε· τό, τε ἐξουσίαν σύν τε τῇ γυναικὶ καὶ τοῖς τέκνοις ἑστιᾶσθαι ἐνταῦθα ἔχειν ἔδωκεν, ὥσπερ ποτὲ καὶ αὐτῷ ἐψήφιστο· φίλος τε γὰρ ἔτι οἱ εἶναι ἐπλάττετο. καὶ ἐκεῖνόν τε ἐν ταῖς ἀπὸ τῶν Πάρθων συμφοραῖς παρεμυθεῖτο δῆθεν, καὶ ἑαυτοῦ τὸ ἐπίφθονον πρός τε τὴν νίκην καὶ πρὸς τὰ ψηφισθέντα ἐπ' αὐτῇ ἐξηγεῖτο.

Antonius M. Titium cum classe contra Pompejum mittit.

Pompejus captus jussu Antonii a Titio Midaji interimitur; quam ob cædem Cæsar magnos Antonio honores decrevit.

Οἱ γὰρ οἴκοι Ῥωμαῖοι ἠγνόουν μὲν οὐδὲν τῶν γεγονότων, οὐχ ὅτι τἀληθὲς ἐκεῖνος ἐπέστειλε σφίσι, (πάντα γὰρ δὴ τὰ δυσχερῆ συνέκρυπτε, καὶ ἔστιν ἃ γε αὐτῶν καὶ ἐς τὸ ἐναντιώτατον, ὡς καὶ εὐπραγῶν, ἔγραφεν) ἀλλ' ὅτι

cap. 32. Antonius acceptas a Parthis clades (T. I. p. 281.) occultat, res-

Digitized by Google

que Asiæ pro arbitrio ordinat: quæ tamen Romæ minus ei vitio dantur quam res Alexandrinæ, præcipue liberalitas erga liberos, a Cleopatra susceptos.

ὅτι ἥ τε Φήμη τὴν ἀλήθειαν ἐσήγγελλε, καὶ ὁ Καῖσαρ ὅι τε ἄλλοι ὁι συνόντες αὐτῷ καὶ ἐπολυπραγμόνουν ἀκριβῶς αὐτὰ καὶ διεθρύλλουν· οὐ μέντοι καὶ ἐν τῷ κοινῷ διήλεγχον, ἀλλὰ καὶ ἐβδελύττοντο καὶ ἑώρταζον. τοῦ γὰρ Καίσαρος πρὸς Σέξτον ἔτι καὶ τότε προσπταίοντος, οὔτε εὐπρεπὴς οὔτε ἐπίκαιρος ὁ ἔλεγχος αὐτῶν γίγνεσθαι ἐδύνατο. ὁ δ' οὖν Ἀντώνιος ταῦτά τε οὕτως ἔπραξε, καὶ δυναστείας, Ἀμύντᾳ μὲν Γαλατίας, καίπερ γραμματεῖ τοῦ Δηϊοτάρου γενομένῳ, ἔδωκε, καὶ Λυκαονίας Παμφυλίας τέ τινα αὐτῷ προσθείς, Ἀρχελάῳ δὲ Καππαδοκίας, ἐκβαλὼν τὸν Ἀριαράθην. ὁ δ' Ἀρχέλαος οὗτος, πρὸς μὲν πατρὸς, ἐκ τῶν Ἀρχελάων ἐκείνων τῶν τοῖς Ῥωμαίοις ἀντιπολεμησάντων ἦν, ἐκ δὲ μητρὸς ἑταίρας Γλαφύρας ἐγεγένητο. οὐ μὴν ἀλλ' ἐπὶ μὲν τούτοις ἧττόν πως ὁ Ἀντώνιος (ἐν γὰρ τοῖς ἀλλοτρίοις ἐμεγαλοφρονεῖτο) κακῶς παρὰ τοῖς πολίταις ἤκουεν· ἐπὶ δὲ δὴ τῇ Κλεοπάτρᾳ μεγάλως διεβλήθη, ὅτι τε παῖδας ἐξ αὐτῆς, πρεσβυτάτους μὲν, Ἀλέξανδρον καὶ Κλεοπάτραν (καὶ δίδυμοι γὰρ ἐτέχθησαν) νεώτατον δὲ, Πτολεμαῖον, τὸν καὶ Φιλάδελφον ἐπικληθέντα, ἀνείλετο· καὶ ὅτι πολλὰ μὲν τῆς Ἀραβίας, τῆς τε Μάλχου, καὶ τῆς τῶν Ἰτυραίων (τὸν γὰρ Λυσανίαν, ὃν αὐτὸς βασιλέα σφῶν ἐπεποιήκει, ἀπέκτεινεν, ὡς τὰ τοῦ Πακόρου πράξαντα) πολλὰ δὲ καὶ τῆς Φοινίκης, τῆς τε Παλαιστίνης, Κρήτης τέ τινα, καὶ Κυρήνην, τήν τε Κύπρον αὐτοῖς ἐχαρίσατο.

cap. 35. Cæsar Japydas bello petit; A. U. 719. ante Chr. 35. cap. 36. postea Pannonios.

Ὁ δὲ Καῖσαρ ἐπὶ τοὺς Ἰάπυδας ἐστράτευσε. καὶ τοὺς μὲν ἐντὸς τῶν ὀρῶν, οὐ πάνυ πόῤῥω τῆς θαλάσσης, οἰκοῦντας, ἀπονώτερον προσηγάγετο. τοὺς δὲ ἐπί τε τῶν ἄκρων, καὶ ἐς τὰ ἐπὶ θάτερα αὐτῶν, οὐκ ἀταλαιπώρως ἐχειρώσατο. Ἔπειτα ἐπὶ Παννονίους ἐστράτευσεν· ἔγκλημα μὲν οὐδὲν αὐτοῖς ἐπιφέρων, (οὐδὲ γὰρ οὐδ' ἠδίκητό τι ὑπ' αὐτῶν) ἵνα δὲ δὴ τοὺς στρατιώτας ἀσκῇ τε ἅμα, καὶ ἐκ τῶν ἀλλοτρίων τρέφῃ, πᾶν τὸ τῷ κρείττονι τοῖς ὅπλοις ἀρέσκον, δίκαιον ἐς τοὺς ἀσθενεστέρους ποιούμενος. ὁι δὲ δὴ Παννόνιοι νέμονται μὲν πρὸς τῇ Δαλματίᾳ, παρ' αὐτὸν τὸν Ἴστρον, ἀπὸ Νωρικοῦ μέχρι τῆς Μυσίας τῆς ἐν τῇ Εὐρώπῃ· κακοβιώτατοι δὲ ἀνθρώπων ὄντες, (οὔτε γὰρ γῆς, οὔτε ἀέρων εὖ ἥκουσιν, οὐκ ἔλαιον, οὐκ οἶνον, πλὴν ἐλαχίστου καὶ τούτου

τέτε κατίσε, γεωργέσιν, ἅτε ἐν χειμῶνι πικροτάτῳ τὸ πλεῖστον διαιτώμενοι; ἀλλὰ τάς τε κριθὰς καὶ τὰς κέγχρες καὶ ἐσθίεσιν ὁμοίως καὶ πίνεσιν) ἀνδρειότατοι δ' ἂν διὰ πάντων, ὧν ἴσμεν νομίζονται. θυμικώτατοι γὰρ καὶ φονικώτατοι, διὰ μηδὲν ἄξιον τῦ καλῶς ζῆν ἔχοντες, εἰσί. ταῦτα δὲ ἐκ ἀκέσας ἐδ' ἀναγνὲς μόνον, ἀλλὰ καὶ ἔργῳ μαθὼν, ὥστε καὶ ἄρξας αὐτῶν, οἶδα· μετὰ γὰρ τοι τὴν ἐν τῇ Ἀφρικῇ ἡγεμονείαν, τῇ τε Δαλματίᾳ, ἧς πότε καὶ ὁ πατήρ με χρόνον τινὰ ἦρξε, καὶ τῇ Παννονίᾳ τῇ ἄνω καλεμένῃ προσετάχθην· ὅθεν ἀκριβῶς πάντα τὰ κατ' αὐτὲς εἰδὼς γράφω. ὀνομάζονται δὲ ἕτως, ὅτι τὲς χιτῶνας τὲς χειριδωτὲς ἐξ ἱματίων τινῶν ἐς πάννες ἐπιχωρίως πως καὶ κατατέμνοντες καὶ προσαγορεύοντες συρράπτεσι. καὶ οἱ μὲν εἴτ' ἐν διὰ τῦτο, εἴτε καὶ δι' ἄλλο τι, ἕτως ὠνομάδαται· τῶν δὲ δὴ Ἑλλήνων τινὲς, τἀληθὲς ἀγνοήσαντες, Παίονας σφᾶς προσεῖπον, ἀρχαῖόν μέν πε τῦ προσρήματος τέτε ὄντος, ἐ μέντοι καὶ ἐκεῖ, ἀλλ' ἐν τε τῇ Ῥοδόπῃ, καὶ πρὸς αὐτῇ τῇ Μακεδονίᾳ τῇ νῦν, μέχρι τῆς θαλάσσης. ὑφ' ὅπερ καὶ ἐγὼ ἐκείνες μὲν Παίονας, τέτες δὲ Παννονίες, ὥσπερ πε καὶ αὐτοὶ ἑαυτὲς καὶ Ῥωμαῖοι σφᾶς καλῦσι, προσαγορεύσω.

cap. 37. Descriptio Pannoniæ.

Ἐπὶ ἒν τέτες ὁ Καῖσαρ τότε στρατεύσας, τὸ μὲν πρῶτον ὅτε τι ἔδῃε, ὅτε τι ἥρπαζε, καίπερ καὶ τὰς κώμας αὐτῶν τὰς ἐν τοῖς πεδίοις ἐκλιπόντων· (ἤλπιζε γὰρ ἐθελοντὰς αὐτὲς ὑπάξεσθαι·) ὡς δὲ καὶ προχωρῦντα αὐτὸν πρὸς Σισκίαν ἐλύπησαν, ὠργίσθη, καὶ τήν τε χώραν σφῶν ἔκαιε, καὶ πάνθ', ὅσα ἐδύνατο, λείαν ἐποιεῖτο. πλησιάσαντος δὲ αὐτῦ τῇ πόλει, οἱ ἐπιχώριοι παραυτίκα μὲν ὑπὸ τῶν δυνατῶν ἀναπεισθέντες, ὡμολόγησάν τε αὐτῷ, καὶ ὁμήρες ἔδοσαν· μετὰ δὲ τῦτο τάς τε πύλας ἀπέκλεισαν, καὶ ἐς πολιορκίαν κατέστησαν. εἶχον μὲν γὰρ καὶ τείχη ἰσχυρὰ, τὸ δ' ὅλον ποταμοῖς δύο ναυσιπόροις ἐθάρσυν. ὁ γὰρ Κόλοψ ὀνομαζόμενος παρ' αὐτὸν τὸν περίβολον παραῤῥέων, ἐς τὸν Σαῦον ὀλίγον ἀπέχοντα αὐτῦ ἐμβάλλει· καὶ νῦν πᾶσαν τὴν πόλιν ἐγκεκύκλωται, Τιβερίε τάφρῳ τινὶ μεγάλῃ ἐς τῦτο αὐτὸν κατασήσαντος, δι' ἧς ἐς τὸ ἀρχαῖον αὖθις ῥεῖθρον ἐπανέρχεται. τότε δὲ τῇ μὲν τῦ Κόλοπος παρ' αὐτὰ τὰ τείχη παρεξιόντος, τῇ δὲ τῦ Σαύε ὀλίγον ἄπωθεν

θεν παραῤῥέοντος, διάκενόν τι κατελέλειπτο, ὃ καὶ σταυρώμασι καὶ ταφρεύμασι ὠχύρωτο. ὁ οὖν Καῖσαρ πλοῖα παρὰ τῶν ταύτῃ συμμάχων ποιηθέντα λαβὼν, καὶ διά τε τοῦ Ἴστρου ἐς τὸν Σαοῦον, καὶ δι' ἐκείνου ἐς τὸν Κόλοπα αὐτὰ ἀνάγων, προσέβαλε σφίσι τῷ πεζῷ ἅμα καὶ ταῖς ναυσί· καὶ τινας καὶ ναυμαχίας ἐν αὐτῇ ἐποιήσατο. καὶ γὰρ οἱ βάρβαροι μονόξυλα πλοῖα ἀντικατασκευάσαντες, διεκινδύνευον, καὶ ἔν τε τῷ ποταμῷ ἄλλους τε πολλοὺς καὶ τὸν Μηνᾶν τὸν τοῦ Σέξτου ἐξελεύθερον ἀπέκτειναν, καὶ ἐν τῇ γῇ ἰσχυρῶς αὐτὸν ἠμύνοντο· μέχρις οὗ τῶν συμμάχων τινὰς ἐνηδρεῦσθαί τε καὶ ἐφθάρθαι ἐπύθοντο. τότε γὰρ ἀθυμήσαντες ἐνέδοσαν· καὶ οὕτως ἁλόντων ἐκείνων, καὶ τὸ ἄλλο Παννονικὸν ὁμολογίᾳ προσηγάγετο.

Cæsar Pannonios subigit.

cap. 39.
A. U. 720.
ante Chr. 34.
Antonius Artavasden Armeniæ minoris regem a quo derelictus in bello Parthico fuerat, per fraudem capit;

Ὁ δὲ Ἀντώνιος πράττων, ὅπως ὡς ὅτι ἀπονώτατα τὸν Ἀρμένιον τιμωρήσηται, τήν τε θυγατέρα αὐτοῦ, ὡς καὶ τῷ Ἀλεξάνδρῳ τῷ υἱεῖ συνοικίσων, ᾔτησε, Κύϊντόν τινα Δέλλιον, παιδικά ποτε ἑαυτοῦ γενόμενον, πέμψας, καὶ πολλά τινα αὐτῷ δώσειν ὑπέσχετο· καὶ τέλος ἔς τε τὴν Νικόπολιν τὴν τοῦ Πομπηΐου αἰφνίδιον ἅμα τῷ ἦρι ἦλθε, κἀνταῦθα αὐτὸν, ὡς καὶ συμβουλεύσοντα καὶ συμπράξοντά τινα κατὰ τῶν Πάρθων, μετεπέμψατο. ἐπειδή τε οὐκ ἀφίκετο, τὴν ἐπιβουλὴν ὑποπτεύσας, τόν τε Δέλλιον αὖθις ἐς λόγους οἱ προσέπεμψε, καὶ αὐτὸς οὐδὲν ἧττον σπουδῇ πρὸς τὰ Ἀρτάξατα ἤλασε, καὶ οὕτως αὐτὸν ὀψέ ποτε, τὰ μὲν, πείθων διὰ τῶν ἑταίρων, τὰ δὲ, καὶ διὰ τῶν στρατιωτῶν καταπλήσσων, πάντα τε ἁπλῶς, ὡς πρὸς φίλον καὶ γράφων καὶ πράττων, ἐπηγάγετο ἐς τὸ στρατόπεδον ἐσελθεῖν. κἀνταῦθα συλλαβὼν, τὰ μὲν πρῶτα ἄδετόν τε εἶχε, καὶ κατὰ τὰ φρούρια, ἐν οἷς οἱ θησαυροὶ ἦσαν, περιῆγεν, εἴ πως ἀμαχεὶ σφᾶς λάβοι· σκηπτόμενος δὲ οὐδὲν ἄλλο αὐτὸν συνειληφέναι, ἢ ἵνα τοὺς Ἀρμενίους καὶ ἐπὶ τῇ σωτηρίᾳ καὶ ἐπὶ τῇ βασιλείᾳ αὐτοῦ δασμολογήσῃ. ὡς δ' οὔτε οἱ χρυσοφύλακες προσεῖχον αὐτῷ, καὶ οἱ τὰ ὅπλα ἔχοντες Ἀρτάξην τὸν πρεσβύτατον τῶν παίδων αὐτοῦ βασιλέα ἀνθείλοντο, ἔδησεν αὐτὸν ἀργυραῖς ἁλύσεσιν· αἰσχρὸν γὰρ, ὡς ἔοικεν, ἦν, βασιλέα αὐτὸν γεγονότα σιδηραῖς δεθῆναι.

Κἀν

Κἀκ τέτε τὰς μὲν ἐθελοντῆ, τὰς δὲ καὶ βίᾳ λαβὼν, πᾶσαν τὴν Ἀρμενίαν κατέσχεν· ὁ γὰρ Ἀρτάξης, ἐπειδὴ συμβαλὼν ἡλάττετο, πρὸς τὸν Πάρθον ἀπεχώρησε. πράξας δὲ ταῦτα, καὶ τῷ υἱεῖ τὴν τε Μήδε θυγατέρα, ὅπως ἔτι καὶ μᾶλλον αὐτὸν προσεταιρίσηται, μνηστεύσας, τά τε στρατόπεδα ἐν τῇ Ἀρμενίᾳ κατέλιπε, καὶ ἐς τὴν Αἴγυπτον ἀνεκομίσθη, τήν τε ἄλλην λείαν πολλὴν, καὶ τὸν Ἀρμένιον μετά τε τῆς γυναικὸς καὶ μετὰ παίδων ἄγων. καὶ σφᾶς σὺν τοῖς ἄλλοις αἰχμαλώτοις καὶ ἐν ἐπινικίοις τισὶν ἔς τε τὴν Ἀλεξάνδρειαν προπέμψας, αὐτὸς ἐφ' ἅρματος ἐσήλασε, καὶ τά τε ἄλλα πάντα τῇ Κλεοπάτρᾳ ἐχαρίσατο, καὶ τὸν Ἀρμένιον μετὰ τῶν οἰκείων ἐν χρυσοῖς δεσμοῖς προσήγαγε. προεκάθητο δὲ ἐν μέσῳ τῷ πλήθει ἐπί τε βήματος ἐπαργύρε καὶ ἐπὶ δίφρε ἐπιχρύσε. οἱ δὲ δὴ βάρβαροι ἔθ' ἱκέτευσαν αὐτὴν, ὅτε προσεκύνησαν, καίτοι πολλὰ μὲν καὶ ἀναγκαζόμενοι, πολλὰ δὲ καὶ ἐλπίσιν ἀναπειθόμενοι· ἀλλ' ὀνομαστὶ προσαγορεύσαντες, δόξαν μὲν φρονήματος ἔλαβον, κακεχίᾳ δὲ πολλῇ διὰ τῦτο συνέσχοντο.

cap. 40. Artaxen, ejus filium prælio vincit, Alexandriam redit, ibique triumphat.

Μετὰ δὲ τῦτο ὁ Ἀντώνιος τὰς Ἀλεξανδρέας εἱστίασε, καὶ τὴν Κλεοπάτραν, τάς τε παῖδας αὐτῆς ἐν ἐκκλησίᾳ παρεκαθίσατο· δημηγορήσας τέ τινα, ἐκείνην τε βασιλίδα βασιλέων, καὶ τὸν Πτολεμαῖον, ὃν Καισαρίωνα ἐπωνόμαζον, βασιλέα βασιλέων καλεῖσθαι ἐκέλευσε· καὶ αὐτοῖς καὶ τὴν Αἴγυπτον, τήν τε Κύπρον, ἄλλην διανομήν τινα ποιησάμενος, ἔδωκε. τῦ τε γὰρ προτέρε Καίσαρος τὴν μὲν γυναῖκα, τὸν δὲ, υἱὸν ὄντως γεγονέναι ἔλεγε, καὶ ἐς τὴν ἐκείνε δὴ χάριν ταῦτα ποιεῖν ἐσκήπτετο, ὅπως τὸν Καίσαρα τὸν Ὀκταυϊανὸν ἐκ τέτε, ὅτι ποιητὸς, ἀλλ' ὁ γνήσιος αὐτῦ παῖς ἦν, διαβάλλῃ. ἐκείνοις μὲν δὴ ταῦτα ἔνειμε· τοῖς δὲ δὴ αὐτῦ παισὶ τοῖς ἐκ τῆς Κλεοπάτρας οἱ γεγονόσι, Πτολεμαίῳ μὲν, τήν τε Συρίαν καὶ τὰ ἐντὸς τῦ Εὐφράτε μέχρι τῦ Ἑλλησπόντε πάντα, Κλεοπάτρᾳ δὲ, τὴν Λιβύην τὴν περὶ Κυρήνην, τῷ τε ἀδελφῷ αὐτῶν Ἀλεξάνδρῳ τήν τε Ἀρμενίαν, καὶ τἄλλα τὰ πέραν τῦ Εὐφράτε μέχρι Ἰνδῶν, δώσειν ὑπέσχετο· καὶ γὰρ ἐκεῖνα, ὡς ἔχων ἤδη, ἐχαρίζετο. καὶ ταῦτα ὐκ ἐν τῇ Ἀλεξανδρείᾳ μόνον εἶπεν, ἀλλὰ καὶ ἐς τὴν Ῥώμην, ἵνα καὶ

cap. 41. Cleopatram reginam regum, Ptolemæum Cæsarionem regem regum appellat, illique & suis a Cleopatra susceptis liberis magnas imperii Romani provincias largitur.

Digitized by Google

καὶ παρ' ἐκείνων τὸ κῦρος λάβῃ, ἐπέστειλεν. οὐ μέντοι καὶ ἐν τῷ κοινῷ τι αὐτῶν ἀνεγνώσθη. ὅ, τε γὰρ Δομίτιος καὶ ὁ Σόσσιος ὑπατεύοντες ἤδη τότε, καὶ ἐς τὰ μάλιστα αὐτῷ προσκείμενοι, οὐκ ἠθέλησαν, καίπερ τοῦ Καίσαρος ἐγκειμένου σφίσιν, ἐς πάντας αὐτὰ ἐκφῆναι. νικησάντων δὲ ἐν τούτῳ ἐκείνων, ἀντεπεκράτησεν ὁ Καῖσαρ, μηδὲν τῶν περὶ τοῦ Ἀρμενίου γραφέντων δημοσιευθῆναι. τοῦτον γὰρ ἠλέει, ἅτε καὶ λάθρα πρὸς αὐτὸν ἐπὶ τῷ Ἀντωνίῳ κεκοινολογημένος, καὶ ἐκείνῳ τῶν νικητηρίων ἐφθόνει. τοιαῦτα δ' οὖν ὁ Ἀντώνιος πράττων, ἐτόλμα τῇ βουλῇ γράφειν, ὅτι τῆς τε ἀρχῆς παύσασθαι, καὶ ἐπ' ἐκείνῃ τῷ τε δήμῳ πάντα τὰ πράγματα ποιήσασθαι θέλει· οὐχ ὅτι τι καὶ πράξειν αὐτῶν ἔμελλεν, ἀλλ' ὅπως ταῖς παρ' αὐτοῦ ἐλπίσι τὸν Καίσαρα ἤτοι ἀναγκάσωσιν, ἅτε καὶ παρόντα, τῶν ὅπλων προαποστῆναι, ἢ καὶ ἀπειθήσαντα μισήσωσι.

Ut Cæsar prior ab armis discedere cogatur, ad senatum scribit, velle se a magistratu abire.

Lib. L. c. 1. A. U. 722. ante Chr. 32. Belli inter Cæsarem & Antonium causæ & prætextus.

Ὁ δὲ δῆμος ὁ τῶν Ῥωμαίων τῆς μὲν δημοκρατίας ἀφῄρητο, οὐ μέντοι καὶ ἐς μοναρχίαν ἀκριβῆ ἀπεκέκριτο, ἀλλ' ὅ γε Ἀντώνιος καὶ ὁ Καῖσαρ ἐξ ἴσου ἔτι τὰ πράγματα εἶχον, τά τε πλείω σφῶν διειληχότες, καὶ τὰ λοιπὰ τῷ μὲν λόγῳ, κοινὰ νομίζοντες, τῷ δ' ἔργῳ, ὥς πού πλεονεκτῆσαί τι ἑκάτερος αὐτῶν ἐδύνατο, ἰδιούμενοι. μετὰ δὲ δὴ τοῦτο, ὡς ὅ, τε Σέξτος ἀπολώλει, καὶ ὁ Ἀρμένιος ἑαλώκει, τά τε προσπολεμήσαντα τῷ Καίσαρι ἡσύχαζε, καὶ ὁ Πάρθος οὐδὲν παρεκίνει, καὶ ἐκεῖνοι φανερῶς ἐπ' ἀλλήλους ἐτράποντο, καὶ ὁ δῆμος ἀκριβῶς ἐδουλώθη. αἰτίαι δὲ τοῦ πολέμου καὶ σκήψεις αἵδε αὐτοῖς ἐγένοντο. Ἀντώνιος μὲν Καίσαρι ἐπεκάλει, ὅτι τόν τε Λέπιδον τῆς ἀρχῆς ἐπεπαύκει, καὶ τὴν χώραν τήν τε δύναμιν τήν τε ἐκείνου καὶ τὴν τοῦ Σέξτου, κοινὴν σφῶν ὀφείλουσαν εἶναι, ἐσφετέριστο· καὶ τούτων τε τὴν ἡμίσειαν ἀπῄτει, καὶ τῶν στρατιωτῶν οὓς ἐκ τῆς Ἰταλίας τῆς ἀμφοτέροις σφίσι προσηκούσης κατειλέκτο. Καῖσαρ δὲ ἐκείνῳ, ὅτι ἄλλα τε, καὶ τὴν Αἴγυπτον μὴ λαχὼν εἶχε, τόν τε Σέξτον ἀπεκτόνει, (αὐτὸς γὰρ ἑκὼν πεφεῖσθαι αὐτοῦ ἔλεγε) καὶ τὸν Ἀρμένιον ἐξαπατήσας, καὶ συλλαβὼν, καὶ δήσας, πολλὴν τῷ δήμῳ κακοδοξίαν προσετέτριπτο, τά τε ἡμίσεα καὶ αὐτὸς τῶν λαφύρων ἀπῄτει· καὶ παρὰ πάντα

Quæ Antonius Cæsari objicerit;

quæ Cæsar Antonio.

πάντα ἐπέφερεν αὐτῷ τήν τε Κλεοπάτραν, καὶ τὰς παῖδας, ὃς ἐξ αὐτῆς ἀνήρητο, τά τε δωρηθέντα σφίσι· καὶ ἐν τοῖς μάλιστα, ὅτι τὸν Καισαρίωνα ἐπωνόμαζεν οὕτω, καὶ ἐς τὸ τοῦ Καίσαρος γένος ἦγε.

Ταῦτά τε οὖν ἀλλήλοις ἀντενεκάλεν, καί πῃ καὶ ἀνταπελογοῦντο, τὰ μὲν, ἰδίᾳ σφίσιν ἐπιστέλλοντες, τὰ δὲ, καὶ ἐν τῷ κοινῷ· λέγων μὲν ὁ Καῖσαρ, γράφων δὲ ὁ Ἀντώνιος. πρέσβεις τε ἐπὶ τῇ προφάσει ταύτῃ συνεχῶς ἀντεπέστελλον, ὅπως ὅτι μάλιστα τά τε ἐγκλήματα δικαιότατα ποιεῖσθαι δόξωσι, καὶ τὰ ἀλλήλων ἅμα κατασκοπῶσι. κἂν τούτῳ χρήματα, ὡς καὶ ἐπ' ἄλλο τι ἤθροιζον, καὶ τὴν λοιπὴν τοῦ πολέμου παρασκευὴν, ὡς καὶ ἐφ' ἑτέρους τινὰς ἐποιοῦντο· μέχρι οὗ ὅ, τε Δομίτιος ὁ Γναῖος, καὶ ὁ Σόσσιος ὁ Γάϊος, ἀμφότεροι τῆς τοῦ Ἀντωνίου μερίδος ὄντες, ὑπάτευσαν. τότε γὰρ οὐδὲν ἔτι ἐπεκρύψαντο, ἀλλ' ἄντικρυς ἐπολεμώθησαν. ἐπράχθη δὲ ὧδε· ὁ μὲν Δομίτιος οὐδεν φανερῶς, ὥς γε καὶ συμφορῶν πολλῶν πεπειραμένος, ἐνεόχμωσεν· ὁ δὲ δὴ Σόσσιος, ὅτι κακῶν ἄπειρος ὢν, πολλὰ μὲν τὸν Ἀντώνιον ἐν αὐτῇ εὐθὺς τῇ νουμηνίᾳ ἐπῄνεσε, πολλὰ δὲ καὶ τὸν Καίσαρα κατέδραμε. κἂν παραχρῆμα ἐπ' αὐτῷ τι ἐχρημάτισεν, εἰ μὴ Νώνιος Βάλβος δημαρχῶν ἐκώλυσεν. ὁ γὰρ Καῖσαρ, ὑποτοπήσας τὸ μέλλον ὑπ' αὐτοῦ γενήσεσθαι, καὶ μήτε περιϊδεῖν αὐτὸ, μήτ' ἂν ἐναντιωθεὶς προκατάρχειν τοῦ πολέμου δόξαι ἐθελήσας, τότε μὲν οὔτε ἐς τὸ βουλευτήριον ἐσῆλθεν, οὔθ' ὅλως ἐν τῇ πόλει διῃτήθη, ἀλλά τινα αἰτίαν πλασάμενος ἐξεδήμησε, διά τε ταῦτα, καὶ ἵνα κατὰ σχολὴν πρὸς τὰ ἀγγελθέντα οἱ βουλευσάμενος, τὸ δέον ἐκ πλείονος λογισμοῦ πράξῃ· ὕστερον δὲ ἐπανελθὼν, τήν τε γερουσίαν ἤθροισε, καὶ φρουρὰν τῶν τε στρατιωτῶν καὶ τῶν φίλων, ἐγχειρίδια κρύφα ἐχόντων, περιβαλόμενος, καὶ ἐν μέσῳ τῶν ὑπάτων ἐπὶ δίφρου ἀρχικοῦ ἱζήσας, πολλὰ μὲν αὐτόθεν ἐκ τῆς ἕδρας καὶ μέτρια ὑπὲρ ἑαυτοῦ διειλέχθη, πολλὰ δὲ καὶ τοῦ Σοσσίου τοῦ τε Ἀντωνίου κατηγόρησεν. ἐπειδή τε οὔτ' ἄλλος τις, οὐδ' αὐτῶν τῶν ὑπάτων οὐδέτερος, φθέγξασθαί τι ἐτόλμησεν, ἐκέλευσε σφᾶς ἐν ῥητῇ ἡμέρᾳ αὖθις συνελθεῖν, ὡς καὶ διὰ γραμμάτων τινῶν ἀδικοῦντα τὸν Ἀντώνιον ἐξελέγξων. οἱ οὖν ὕπατοι μήτ'

cap. 2. Cn. Domitio & C. Sossio Antonianarum partium Coss. palam ad bellum civile ventum est.

Sossius multa verba in Antonii laudem & vituperationem Cæsaris publice fecit absente Cæsare.

Cæsar post reditum in urbem multa mediocria in sui defensionem locutus, per litteras quasdam Antonii injurias probare promittit.

μήτ' ἀντειπεῖν αὐτῷ θαρσοῦντες, μήτε σιωπῆσαι ὑπομένοντες, τῆς τε πόλεως λάθρα προεξεχώρησαν· καὶ μετὰ τοῦτο πρὸς τὸν Ἀντώνιον ἀπῆλθον, καὶ σφίσι καὶ τῶν ἄλλων βουλευτῶν οὐκ ὀλίγοι συνεφέποντο. μαθὼν δὲ τοῦτο ὁ Καῖσαρ, ἑκών τε αὐτοὺς ἐκπεπομφέναι ἔφασκεν, ἵνα μὴ, καὶ ὡς ἀδικῶν τι ἐγκαταλελεῖφθαι ὑπ' αὐτῶν δοκῇ, καὶ ἐπιτρέπειν καὶ τοῖς ἄλλοις τοῖς ἐθέλουσι πρὸς τὸν Ἀντώνιον μετὰ ἀδείας ἀπᾶραι.

cap. 3. Consulibus cum multis senatoribus ante illam diem urbe profectis, plures Antoniani in Cæsaris partes transeunt;

Τοῦτο δ' οὖν τοιοῦτον ὑπ' ἐκείνων γενόμενον ἀντεσήκωσαν, παρὰ τοῦ Ἀντωνίου αὖ φυγόντες, καὶ πρὸς τὸν Καίσαρα ἐλθόντες, ἄλλοι τε καὶ ὁ Τίτιος καὶ ὁ Πλάγκος, καίπερ ἀνὰ πρώτους τε ὑπ' αὐτοῦ τιμώμενοι, καὶ τὰ ἀπόῤῥητα αὐτοῦ πάντα εἰδότες. ἐπειδὴ γὰρ ταῦτα τε οὕτως ὑπὸ τῶν ὑπάτων ἐπέπρακτο, καὶ προσέτι καὶ ἐν τῇ ἀπουσίᾳ αὐτῶν ὁ Καῖσαρ τήν τε γερουσίαν συνήγαγε, καὶ ἀνέγνω καὶ εἶπεν ὅσα ἠθέλησε· καὶ αὐτὰ ὁ Ἀντώνιος ἀκούσας, βουλήν τέ τινα ἐκ τῶν παρόντων ἤθροισε, καὶ λεχθέντων ἐφ' ἑκάτερα πολλῶν, τόν τε πόλεμον ἀνείλετο, καὶ τὴν τῆς Ὀκταουΐας συνοίκησιν ἀπεῖπε· προσκρούσαντές τι αὐτῷ ἐκεῖνοι, ἢ καὶ τῇ Κλεοπάτρᾳ τι ἀχθεσθέντες, ηὐτομόλησαν.

e quibus Titius & Plancus Antonii testamentum Cæsari produnt;

καὶ σφᾶς ὁ Καῖσαρ ἀσμενέστατα δεξάμενος, τά τε ἄλλα τὰ τοῦ Ἀντωνίου παρ' αὐτῶν πάντα καὶ ἃ ἔπραττε καὶ ἃ ἐνενόει, καὶ τὰ ἐν ταῖς διαθήκαις αὐτοῦ γεγραμμένα, τόν τε ἔχοντα αὐτὰς ἔμαθε· καὶ γὰρ σεσημασμένοι σφᾶς ἦσαν. οὐκ τούτου περιαλγὴς ἔτι καὶ μᾶλλον γενόμενος, οὐκ ὤκνησεν οὔτ' ἀναζητῆσαι αὐτὰς οὔτε λαβεῖν, οὔτε ἐς τὸ βουλευτήριον, καὶ μετὰ τοῦτο καὶ ἐς ἐκκλησίαν, καὶ ἐσκομίσαι καὶ ἀναγνῶναι. τοιαῦτα γάρ πῃ ἐν αὐταῖς ἀνεγέγραπτο, ὥστε μηδ' αἰτίαν τινὰ παρ' αὐτῶν, καίτοι παρανομώτατον πρᾶγμα ποιήσας, σχεῖν.

quo publice recitato populus ejus argumento irritatur.

τῷ τε γὰρ Καισαρίωνι, ὡς καὶ ἐκ τοῦ Καίσαρος ὄντως γεγονότι ἐμεμαρτυρήκει, καὶ τοῖς παισὶ τοῖς ἐκ τῆς Αἰγυπτίας οἱ τρεφομένοις ὑπερόγκους δή τινας δωρεὰς ἐδεδώκει· τό, τε σῶμα τὸ ἑαυτοῦ ἔν τε τῇ Ἀλεξανδρείᾳ καὶ σὺν ἐκείνῃ ταφῆναι ἐκεκελεύκει.

cap. 4. Hinc Antonio consulatus (ad quem erat

Δι' οὖν ταῦτα ἀγανακτήσαντες, ἐπίστευσαν ὅτι καὶ τἄλλα τὰ θρυλλούμενα ἀληθῆ εἴη· τουτέστιν ὅτι, ἂν κρατήσῃ, τήν τε πόλιν σφῶν τῇ Κλεοπάτρᾳ χαριεῖται, καὶ

τό

Digitized by Google

τὸ κράτος ἐς τὴν Ἄιγυπτον μεταθήσει. καὶ τοσαύτη γε ἐπὶ τούτοις ὀργῇ ἐχρήσαντο, ὥστε πάντας οὐχ ὅπως τοὺς διαφόρους αὐτῷ, ἢ καὶ ἐκ μέσου ἀμφοῖν ὄντας, ἀλλὰ καὶ τοὺς πάνυ φίλους δεινῶς αὐτὸν αἰτιάσασθαι. τοῖς τε γὰρ ἀναγνωσθεῖσιν ἐκπλαγέντες, καὶ πρὸς τὴν τοῦ Καίσαρος ὑποψίαν ἀνταγωνιζόμενοι, τὰ αὐτὰ τοῖς ἄλλοις ἔλεγον. καὶ τήν τε ὑπατείαν αὐτὸν, ἐς ἣν προεκεχειροτόνητο, καὶ τὴν ἄλλην ἐξουσίαν πᾶσαν ἀφείλοντο· πολέμιόν τε λόγῳ μὲν οὐκ ἀπέφηναν, (φοβηθέντες τοὺς συνόντας αὐτῷ, ὅτι καὶ ἐκείνους ἐν ἐχθρῶν μοίρᾳ, ἂν μὴ λείπωσιν αὐτὸν, νομισθῆναι ἐχρῆν) ἔργῳ δὲ παντὸς μᾶλλον ἀπέδειξαν. τοῖς μὲν γὰρ συνεξεταζομένοις οἱ τήν τε ἄδειαν καὶ ἐπαίνους, ἂν ἐγκαταλείπωσιν αὐτὸν, ἐψηφίσαντο· τῇ δὲ Κλεοπάτρᾳ τὸν πόλεμον ἄντικρυς ἐπήγγειλαν· καὶ τάς τε χλαμύδας, ὡς καὶ ἐν χερσὶν αὐτοῦ ὄντος, μετημπίσχοντο, καὶ πρὸς τὸ Ἐνυεῖον ἐλθόντες, πάντα τὰ προπολέμια κατὰ τὸ νομιζόμενον, διὰ τοῦ Καίσαρος, ὡς καὶ φητιαλίου, ἐποίησαν. ἅπερ που λόγῳ μὲν πρὸς τὴν Κλεοπάτραν, ἔργῳ δὲ καὶ πρὸς τὸν Ἀντώνιον ἔτεινεν.

Οὕτω γάρ που αὐτὸν ἐδεδούλωτο, ὥστε καὶ γυμνασιαρχῆσαι τοῖς Ἀλεξανδρεῦσι πεῖσαι. βασιλίς τε αὐτὴ καὶ δέσποινα ὑπ' ἐκείνου καλεῖσθαι· στρατιώτας τε Ῥωμαίους ἐν τῷ δορυφορικῷ ἔχειν, καὶ τὸ ὄνομα αὐτῆς πάντας σφᾶς ταῖς ἀσπίσιν ἐπιγράφειν. ἔς τε τὴν ἀγορὰν μετ' αὐτοῦ ἐσεφοίτα, καὶ τὰς πανηγύρεις οἱ συνδιετίθει· τάς τε δίκας συνεξήταζε, καὶ συνίππευε. καὶ ἐν ταῖς πόλεσιν, ἐκείνη μὲν ἐν δίφρῳ τινὶ ἐφέρετο, ὁ δὲ Ἀντώνιος αὐτοποδὶ αὐτῇ μετὰ τῶν εὐνούχων ἠκολούθει. καὶ τό, τε στρατήγιον, βασίλειον ὠνόμαζε, καὶ ἀκινάκην ἔστιν, ὅτε παρεζώννυτο. ἐσθῆτί τε ἔξω τῶν πατρίων ἐχρῆτο, καὶ ἐπὶ κλίνης ἐπιχρύσου, δίφρου τε ὁμοίου, καὶ ἐν τῷ κοινῷ ἑωρᾶτο. συνεγράφετό τε αὐτῇ, καὶ συνεπλάττετο, αὐτὸς μὲν, Ὄσιρις καὶ Διόνυσος, ἐκείνη δὲ, Σελήνη τε καὶ Ἶσις, λέγοντες εἶναι. ἐξ οὗπερ καὶ τὰ μάλιστα ἔκφρων ὑπ' αὐτῆς ἐκ μαγγανείας τινὸς γεγονέναι ἔδοξεν. οὐ γὰρ, ὅτι ἐκεῖνον, ἀλλὰ καὶ τοὺς ἄλλους, τούς τι παρ' αὐτῷ δυναμένους, οὕτω καὶ ἐγοήτευσε καὶ κατέδησεν, ὥστ' αὐτὴν καὶ τῶν Ῥωμαίων ἄρξειν ἐλπίσαι, τήν τε εὐχὴν τὴν μεγίστην,

designatus) & omnis potestas abrogatur;

& verbis Cleopatræ bellum indicitur, re ipsa Antonio.

cap. 5.
Antonius Cleopatræ spem imperii in Romanos fecerat, quam & ipsa publice profitebatur.

Digitized by Google

ϛην, ὁπότε τι ὀμνύοι, ποιεῖσθαι, τὸ ἐν τῷ Καπιτωλίῳ δικάσαι.

cap. 6. Apparatus belli, in quo Occidens a partibus Cæsaris, Oriens a partibus Antonii stabat.

Τῇ μὲν οὖν Κλεοπάτρᾳ διὰ ταῦτα τὸν πόλεμον ἐψηφίσαντο· τῷ δ' Ἀντωνίῳ οὐδὲν δῆθεν τοιοῦτον ἐπήγγειλαν, εὖ γε εἰδότες, ὅτι καὶ ἄλλως πολεμωθήσοιτο· οὐ γάρ τε, προδοὺς ἐκείνην, τὰ τοῦ Καίσαρος πράξειν ἔμελλε· καὶ βουλόμενοι καὶ αὐτὸ τοῦτο προσεγκαλέσαι οἱ, ὅτι τὸν ὑπὲρ τῆς Ἀιγυπτίας πόλεμον ἑκὼν κατὰ τῆς πατρίδος, μηδενὸς αὐτῷ δεινοῦ οἴκοθεν ἰδίᾳ συμβάντος, ἀνείλετο. ἥ τε οὖν ἡλικία ἁπανταχόθεν συνελέγετο παρ' ἀμφοτέρων σπουδῇ, καὶ χρήματα συνήγετο, τά τε ἐμπολέμια πάντα κατὰ τάχος ἠθροίζετο. καὶ ἐγένετο ἡ παρασκευὴ πᾶσα πολὺ τῶν πρὸ αὐτῆς μεγίϛη. ἔθνη γὰρ τοσάδε ἑκατέρῳ τόνδε τὸν πόλεμον συνήρατο· Καίσαρι μὲν ἥ τε Ἰταλία· (πάντας γὰρ τοὺς ὑπὸ τοῦ Ἀντωνίου ἀποικιθέντας, τὰ μὲν ἐκφοβήσας, ἅτε ὀλίγους ὄντας, τὰ δὲ καὶ εὐεργετήσας, προσετέθειτο. τά τε γὰρ ἄλλα, καὶ τοὺς τὴν Βονωνίαν ἐποικοῦντας, αὐτὸς αὖθις, ἵνα δὴ καὶ ὑφ' ἑαυτοῦ ἀπῳκίσθαι δοκῶσι, προσκατεϛήσατο) ἥ τε οὖν Ἰταλία, καὶ ἡ Γαλατία, τό, τε Ἰβηρικὸν, καὶ τὸ Ἰλλυρικὸν, καὶ Λίβυες, οἵ τε ἐκ τοῦ πρὶν ῥωμαΐζοντες, πλὴν τῶν περὶ τὴν Κυρήνην, καὶ οἱ τοῦ Βογοῦ τοῦ τε Βόκχου γεγονότες, Σαρδώ τε καὶ Σικελία, καὶ αἱ ἄλλαι νῆσοι αἱ ταῖς εἰρημέναις ἠπείροις προσεχεῖς, συνεμάχησαν· τῷ δ' Ἀντωνίῳ τὰ ἐν τῇ Ἀσίᾳ τῇ ἠπείρῳ τῶν Ῥωμαίων ἀκούοντα, καὶ τὰ ἐν τῇ Θρᾴκῃ, ἥ τε Ἑλλὰς καὶ ἡ Μακεδονία, καὶ ὁ Ἀιγύπτιοι, καὶ οἱ Κυρηναῖοι μετὰ τῶν περιχώρων, καὶ οἱ νησιῶται οἱ προσοικοῦντες σφίσιν, οἵ τε βασιλεῖς καὶ οἱ δυνάϛαι πάντες, ὡς εἰπεῖν, οἱ τῇ τῶν Ῥωμαίων ἀρχῇ τότε ὑπ' ἐκεῖνον οὖσῃ γειτνιῶντες, οἱ μὲν, αὐτοὶ, οἱ δὲ, δι' ἑτέρων. καὶ τοσαύτῃ γε προθυμίᾳ ἀμφότεροι ὁμοίως ἐχρήσαντο, ὥϛε καὶ ἐνόρκους τὰς συμμαχίας σφῶν ἑκατέρῳ ποιήσασθαι.

cap. 11. A. U. 723. ante Chr. 31. Cæsar bellum in Græcia potius, quam in Italia gerere cupiens,

Ὁ δὲ δὴ Καῖσαρ βουληθεὶς ὀτιτάχιϛα τῇ τοῦ ϛρατεύματος ὁρμῇ λαμπρῶς ἠσκημένου χρήσασθαι, τόν τε πόλεμον καὶ ἐν τῇ Ἑλλάδι καὶ πρὸς τοῖς ἐκείνου μᾶλλον, ἢ ἔν τε τῇ Ἰταλίᾳ καὶ πρὸς τῇ Ῥώμῃ ποιήσασθαι, πάντας μὲν τοὺς ϛρατιώτας, ὧν τι ὄφελος ἦν, πάντας δὲ τοὺς τι δυναμένους καὶ τῶν βουλευτῶν καὶ τῶν ἱππέων, ἐς τὸ Βρεντέσιον

Digitized by Google

τέσιον συνήγαγε· τὰς μὲν, ὅπως τι συμπράξωσιν αὐτῷ, τὰς δ', ὅπως μηδὲν μονωθέντες νεοχμώσωσι· τό,τε μέγιςον, ὅπως ἐνδείξηται τοῖς ἀνθρώποις, ὅτι καὶ τὸ πλεῖςον καὶ τὸ κράτιςον τῶν Ῥωμαίων ὁμογνωμονῦν ἔχοι. κἀντεῦθεν τακτόν τε τῶν οἰκετῶν ἀριθμὸν πᾶσιν ἐπαναγαγέσθαι, καὶ τὴν τροφὴν αὐτὰς ἑαυτοῖς, πλὴν τῶν ςρατιωτῶν, ἐπικομίσασθαι κελεύσας, ἀθρόᾳ τῇ παρασκευῇ τὸν Ἰόνιον διέβαλλεν.

Ἦγε δὲ αὐτὰς ὐκ ἐς τὴν Πελοπόννησον, ὐδὲ ἐπὶ τὸν Ἀντώνιον, ἀλλὰ πρὸς τὸ Ἄκτιον, ἐν ᾧ τὸ πλεῖον αὐτῷ τῦ ναυτικῦ ὥρμει, εἴ πως σφᾶς ἐθελοντὰς ἢ καὶ ἄκοντας προσπαραςήσαιτο. καὶ διὰ τῦτο τόν τε πεζὸν ὑπὸ τὰ ὄρη τὰ Κεραύνια ἐκβιβάσας, ἐκεῖσε ἔπεμψε, καὶ αὐτὸς ταῖς ναυσὶ τὴν Κέρκυραν ἐκλειφθεῖσαν ὑπὸ τῶν ἐμφρυρύντων λαβὼν, ἐς τὸν λιμένα τὸν γλυκὺν ὠνομασμένον κατέσχε, (καλεῖται δὲ ὕτως, ὅτι πρὸς τῦ ποταμῦ τῦ ἐς αὐτὸν ἐσβάλλοντος γλυκαίνεται) καὶ ναύςαθμόν τε ἐν αὐτῷ ἐποιήσατο, καὶ ἐκεῖθεν ὁρμώμενος, ἐπὶ τὸ Ἄκτιον ἀπέπλει. ὡς δ' ὐδεὶς οἱ ἀντανήγετο, ὔτ' ἐς λόγυς ᾔει, (καίτοι δυοῖν αὐτῦ θάτερον, ἢ πρὸς ὁμολογίαν σφᾶς ἢ πρὸς μάχην προκαλυμένυ· τὴν μὲν γὰρ τῇ πίςει, τὴν δὲ τῷ δέει ὐκ ἐδέχοντο·) κατέλαβε τὸ χωρίον τῦτο, ἐν ᾧ νῦν ἡ Νικόπολίς ἐςι, καὶ ἐν αὐτῷ ἐπὶ μετεώρυ, ὅθεν ἐπὶ πάντα ὁμοίως τῆς τε ἔξω τῆς πρὸς Πάξοις θαλάσσης, καὶ τῆς ἔσω τῆς Ἀμπρακικῆς, τῆς τε ἐν τῷ μέσῳ αὐτῶν, ἐν ᾧ οἱ λιμένες οἱ πρὸς τῇ Νικοπόλει εἰσὶν, ἄποπτόν ἐςιν, ἱδρύθη. καὶ αὐτό τε ἐκρατύνατο, καὶ τείχη ἀπ' αὐτῦ ἐς τὸν λιμένα τὸν ἔξω τὸν Κόμαρον καθῆκε. κἀκ τύτυ καὶ ἐφήδρευε καὶ ἐφώρμι τῷ Ἀκτίῳ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Ὁ δ' ὖν Ἀντώνιος, ἐπειδὴ τάχιςα τὴν τῦ Καίσαρος ἄφιξιν ἐπύθετο, ὐκ ἐμέλλησεν, ἀλλ' ἐς τὸ Ἄκτιον μετὰ τῶν συνόντων οἱ ἠπείχθη· καὶ ἦλθε μὲν ὐ πολλῷ ὕςερον, ὐ μέντοι καὶ ἐς ἀγῶνα εὐθὺς κατέςη, καίτοι ἐκείνυ τόν τε πεζὸν πρὸ τῦ ςρατοπέδυ σφῶν συνεχῶς προπαρατάσσοντος, καὶ ταῖς ναυσὶ πολλάκις σφίσιν ἐπιπλέοντος, τάς τε ὁλκάδας αὐτῶν κατάγοντος, ὅπως πρὶν πᾶσαν τὴν δύναμιν αὐτῷ συνελθεῖν, μόνοις τοῖς τότε παρῦσίν οἱ συμμίξῃ. ὐκ γὰρ αὐτῦ τύτυ ὐκ ἠθέλησεν ἐς αὐτὸν

cap. 12. classem ad Actium ducit, ubi classis Antoniana stationem habebat.

cap. 13. Levibus certaminibus futuro prælio præludunt.

Digitized by Google

τὸν ἀναῤῥίψαι, ἀλλὰ πείραις καὶ ἀκροβολισμοῖς ἐπὶ πολλὰς ἡμέρας ἐχρήσατο, μέχρι ἐ τὰ ςρατεύματα συνελέξατο. τύτοις δὲ, ἄλλως τε καὶ τῦ Καίσαρος μηκέθ' ὁμοίως ἐγκειμένε, τόν τε πορθμὸν ἐπιδιέβη, καὶ ὐ πόῤῥω αὐτῦ ἐςρατοπεδεύσατο. κἀκ τύτυ καὶ ἱππικὸν περὶ τόν κόλπον περιπέμψας ἀμφοτέρωθεν αὐτῷ προσήδρευεν.

cap. 32. Proelium navale ad Actium. Pugnae dissimilis utrinque ratio.

Ὡς δὲ δὴ ἐναυμάχησαν, ὐχ ὁμοιοτρόπως ἠγωνίζοντο, ἀλλ' οἱ μὲν τῦ Καίσαρος, ἅτε καὶ μικροτέρας καὶ ταχυτέρας τὰς ναῦς ἔχοντες, ῥοθίῳ τε ἐχρῶντο, καὶ ἐνέβαλλον πεφραγμένοι πάντῃ, τῦ μὴ τιτρώσκεσθαι· καὶ εἰ μὲν κατέδυσάν τινα, εἰ δὲ μὴ, ἀνεκρύοντο πρὶν ἐς χεῖρας ἐλθεῖν. καὶ ἤτοι τοῖς αὐτοῖς αὖθις ἐξαίφνης ἐνέβαλλον, ἢ τὺς μὲν εἴων, ἐπ' ἄλλυς δὲ ἐτρέποντο. καί τι καὶ τύτυς, ὡς διὰ βραχέος ἐργασάμενοι, πρὸς ἄλλυς καὶ πάλιν μάλα ἄλλυς ἐχώρυν, ὅπως, ὡς μάλιςα ἀπροσδοκήτοις τισὶ προσφέρωνται. οἷα γὰρ φοβύμενοι μὲν τὴν ἐκ πολλῦ αὐτῶν ἀλκὴν, φοβύμενοι δὲ καὶ τὴν ἐν χερσὶ μάχην, ὔτε ἐν τῷ πρόσπλῳ, ὔτε ἐν τῇ συμμίξει ἐνεχρόνιζον, ἀλλ' ὑποδραμόντες ἂν αἰφνίδιον, ὥςε τὴν τοξείαν σφῶν φθῆναι, καὶ τρώσαντές τινα ἢ καὶ συνταράξαντες μόνον, ὥςε τὴν κάθεξιν ἐκφυγεῖν, ἀνεχώρυν ἔξω βέλυς· οἱ δ' ἕτεροι τύς τε προσπλέοντας σφίσι πολλοῖς καὶ πυκνοῖς καὶ λίθοις καὶ τοξεύμασιν ἔβαλλον, καὶ ἐς τὺς προσμιγνύοντας χεῖρας σιδηρᾶς ἐπεῤῥίπτυν. καὶ εἰ μὲν ἐπιτύχοιεν αὐτῶν, κρείττυς ἐγίνοντο· εἰ δ' ἁμάρτοιεν, τρωθέντων ἂν σφίσι τῶν σκαφῶν ἐβαπτίζοντο, ἢ καὶ περὶ τὸ μὴ παθεῖν τῦτο ἀποδιατρίβοντες, ἐυεπιθετώτεροι ἄλλοις τισὶν ἐγίνοντο. δύο τε γὰρ ἢ καὶ τρεῖς ἅμα τῇ αὐτῇ νηὶ προσπίπτυσαι, αἱ μὲν ἔδρων, ὅσα ἐδύναντο, αἱ δὲ ἔπασχον. ἐπονῦντο δὲ καὶ ἔκαμνον, τοῖς μὲν οἵ τε κυβερνῆται καὶ οἱ ἐρέται μάλιςα, τοῖς δὲ οἱ ἐπιβάται· καὶ ἐῴκεσαν οἱ μὲν, ἱππεῦσι, τοτὲ μὲν ἐπελαύνυσι, τοτὲ δὲ ἐξαναχωρῦσι, διὰ τὸ τὺς τε ἐπίπλυς καὶ τὰς ἀνακρύσεις ἐπ' αὐτοῖς εἶναι· οἱ δὲ, ὁπλίταις, τύς τε πλησιάζοντας σφίσι φυλασσομένοις, καὶ κατέχειν αὐτὺς, ὅτι μάλιςα πειρωμένοις. κἀκ τύτυ ἐπλεονέκτυν τε ἀλλήλων, οἱ μὲν, ἔς τε τὺς ταρσὺς τῶν νεῶν ὑποπίπτοντες, καὶ τὰς κώπας συναράσσοντες, οἱ δὲ, ἄνωθεν αὐτὺς καὶ πέτραις καὶ

μηχα-

Digitized by Google

μηχανήμασι βαπτίζοντες· καὶ ἠλαττῶντο ἂν οἱ μὲν, ὅτι τοὺς μὲν προσιόντας σφίσιν οὐδὲν κακουργεῖν ἐδύναντο· οἱ δὲ, ὅτι εἰ καὶ μὴ κατέδυσάν τινας ἐμβαλόντες, οὐκέτ' ἐξ ἴσου σφίσιν ἐν τῇ συνέρξει ἠγωνίζοντο.

'Αγχωμάλου οὖν ἐπὶ πολὺ τῆς ναυμαχίας οὔσης, καὶ μηδετέρων ὑπερέχειν πῃ δυναμένων, τέλος τοιόνδε τι ἐγένετο. ἡ Κλεοπάτρα κατόπιν τῶν μαχομένων ἀποσαλεύουσα, οὐκ ἤνεγκε τὴν πολλὴν καὶ ἄκριτον τοῦ ἀδήλου μέλλησιν, ἀλλ' ἀποκναισθεῖσα, ἀπό τε τοῦ γυναικείου καὶ ἀπὸ τοῦ 'Αιγυπτίου, τῇ τε ἐπὶ πολὺ μετεώρῳ ἀγωνίᾳ, καὶ τῇ ἀεὶ ἐφ' ἑκάτερα περιδεεῖ προσδοκίᾳ, αὐτή τε ἐς φυγὴν ἐξαπιναίως ὥρμησε, καὶ τοῖς ἄλλοις τοῖς ὑπηκόοις σημεῖον ἦρε. καὶ οὕτω τά τε ἱςία αὐτῶν εὐθὺς αραμένων, καὶ ἐς τὸ πέλαγος ἀφέντων, ἀνέμου τινὸς κατὰ τύχην φοροῦ συμβάντος, νομίσας ὁ 'Αντώνιος οὐχ ὑπὸ τῆς Κλεοπάτρας αὐτοὺς ἐκ παραγγέλσεως, ἀλλὰ καὶ ὑπὸ δέους, ὡς καὶ νενικημένους, φεύγειν, ἐφέπετο σφίσι. γενομένου δὲ τούτου, καὶ οἱ λοιποὶ ςρατιῶται καὶ ἠθύμησαν καὶ ἐταράχθησαν· καί πως ἀποδρᾶναι καὶ αὐτοὶ τρόπον τινὰ ἐθελήσαντες, οἱ μὲν τὰ ἱςία ἤγειρον, οἱ δὲ τούς τε πύργους καὶ τὰ ἔπιπλα ἐς τὴν θάλασσαν ἐῤῥίπτουν, ὅπως κουφίσαντες διαφύγωσι. καὶ αὐτοῖς περὶ ταῦτα ἔχουσιν οἱ ἐναντίοι προσπεσόντες (τοὺς γὰρ φεύγοντας, ἅτε καὶ ἄνευ ἱςίων ὄντες, καὶ πρὸς τὴν ναυμαχίαν μόνην παρεσκευασμένοι, οὐκ ἐπεδίωξαν) πολλοί τε ἑκάςῃ νηῒ καὶ ἑκαθεν, καὶ ἐν χρῷ ἐμαχέσαντο· ὥςε καὶ ποικιλώτατον καὶ ὀξύτατον ἀπ' ἀμφοτέρων ὁμοίως τὸν ἀγῶνα γενέσθαι. οἱ μὲν γὰρ τά τε κάτω τῶν νεῶν πάντα πέριξ ἐκακούργουν, καὶ τὰς κώπας συνέθραυον, τά τε πηδάλια ἀπήραττον, καὶ ἐπαναβαίνοντες ἐπὶ τὰ καταςρώματα, τοὺς μὲν κατέσπων ἀντιλαμβανόμενοι, τοὺς δὲ ἐώθουν, τοῖς δὲ ἐμάχοντο, ἅτε καὶ ἰσοπληθεῖς αὐτοῖς ἤδη ὄντες· οἱ δὲ τοῖς τε κοντοῖς σφᾶς διωθοῦντο, καὶ ταῖς ἀξίναις ἔκοπτον, πέτρους τε καὶ ἄλλους τινὰς ὄγκους ἐπ' αὐτὸ τοῦτο παρεσκευασμένους ἐπικατέβαλλον, καὶ τούς τε ἀναβαίνοντας ἀπεκρούοντο, καὶ τοῖς ἐς χεῖρας ἰοῦσι συνεφέροντο. εἴκασεν ἄν τις ἰδὼν τὰ γιγνόμενα (ὡς μικρὰ μεγάλοις ὁμοιῶσαι) τείχεσί τισιν, ἢ καὶ νήσοις πολλαῖς καὶ πυκναῖς ἐν θαλάσσῃ πολιορκουμέναις.

cap. 33. Cleopatra curæ ancipitis exitus impatiens, signo suis dato, fugæ se dat; Antonius suos victos fugam capere arbitratus, eam sequitur, Antonium reliqua classis: ab utraque parte omni virium contentione omnique armorum genere pugnatur.

Digitized by Google

ναις. οὕτως οἱ μὲν ἐπιβῆναί τε τῶν σκαφῶν, ὥσπερ ἐπ' ἠπείρου καὶ ἐρύματός τινος, ἐπειρῶντο, καὶ πάντα τὰ ἐς τοῦτο φέροντα σπουδῇ προσῆγον· οἱ δὲ ἀπεωθοῦντο αὐτοὺς, ὅ,τι ποτὲ ἐν τῷ τοιούτῳ φιλεῖ δρᾶσθαι μηχανώμενοι.

cap. 34. Ignis in naves Antonianas injicitur, cui diu resistitur.

Ἀντιπάλως οὖν αὐτῶν μαχομένων, ὁ Καῖσαρ, ἀπορήσας ὅ,τι πράξῃ, πῦρ ἐκ τοῦ στρατοπέδου μετεπέμψατο. πρότερον μὲν γὰρ οὐκ ἠθέλησεν αὐτῷ, ὅπως τὰ χρήματα περιποιήσηται, χρήσασθαι· τότε δὲ ἰδὼν, ὅτι ἀδύνατόν οἱ εἴη, ἄλλως προσκρατῆσαι, ἐπ' ἐκεῖνο, ὡς καὶ μόνον σφίσιν ἐπικουρῆσον κατέφυγε. κἀνταῦθα ἄλλο αὖ εἶδος μάχης συνηνέχθη. οἱ μὲν γὰρ πολλαχῇ ἅμα προσπλέοντές τισι, βέλη τε πυρφόρα ἐπ' αὐτοὺς ἐξετόξευον, καὶ λαμπάδας ἐκ χειρὸς ἐπηκόντιζον, καί τινας καὶ χυτρίδας ἀνθράκων καὶ πίττης πλήρεις πόρρωθεν μηχαναῖς ἐπερρίπτουν· οἱ δὲ ταῦτά τε ὡς ἕκαστα διεκρούοντο, καὶ ἐπειδή τινα αὐτῶν διαπίπτοντα τῶν τε ξύλων ἥπτετο, καὶ φλόγα αὐτίκα πολλὴν, ἅτε ἐν νηΐ, ἤγειρε, τὸ μὲν πρῶτον τῷ ποτίμῳ ὕδατι, ᾧ ἐπεφέροντο, ἐχρῶντο, καί τινα κατέσβεσαν· ἐπεὶ δὲ ἐκεῖνο κατηναλώθη, ἤντλουν τὸ θαλάττιον. καὶ εἰ μὲν πολλῷ τε καὶ ἀθρόῳ αὐτῷ ἐχρῶντο, ἐπεῖχόν πως τῇ βίᾳ τὸ πῦρ· ἀδύνατοι δὲ πανταχῇ τοῦτο ποιεῖν ὄντες, (οὔτε γὰρ πολλὰ ἢ καὶ μεγάλα τὰ ἀντλητήρια εἶχον, καὶ ἡμίσεα αὐτὰ, ἅτε ταραττόμενοι, ἀνέφερον) οὐχ ὅσον οὐκ ὠφελοῦντό τι, ἀλλὰ καὶ προσπαρώξυνον αὐτό. ἡ γὰρ ἅλμη ἡ θαλαττία, ἂν κατ' ὀλίγον ἐπιχέηται φλογὶ, ἰσχυρῶς αὐτὴν ἐκκαίει. ὡς οὖν καὶ ἐν τούτῳ ἥττους ἐγίγνοντο, τά τε ἱμάτια αὐτῶν τὰ παχέα καὶ τοὺς νεκροὺς ἐπέβαλλον. καὶ χρόνον μέν τινα ἐκολούθη τε ὑπ' αὐτῶν τὸ πῦρ, καὶ ἔδοξέ πῃ λωφᾶν· ἔπειτα δὲ (ἄλλως τε καὶ τοῦ ἀνέμου σφοδρῶς ἐπισπέρξαντος) ἐπὶ πλεῖον ἐξέλαμψεν, ἅτε καὶ ὑπ' αὐτῶν ἐκείνων αὐξανόμενον. καὶ μέχρι μὲν μέρος τι νεὼς ἐκαίετο, προσίσταντό τέ τινες αὐτῷ καὶ ἐς αὐτὸ ἐσεπήδων· καὶ τὰ μὲν ἀπέκοπτον, τὰ δὲ διεφόρουν· καὶ αὐτὰ οἱ μὲν ἐς τὴν θάλασσαν, οἱ δὲ καὶ ἐπὶ τοὺς ἐναντίους ἐρρίπτουν, εἴ πως καὶ ἐκείνους τι λυμήναιντο. καὶ ἕτεροι πρὸς τὸ ἀεὶ ὑγιὲς αὐτῆς μεθιστάμενοι, ταῖς τε χερσὶ ταῖς σιδηραῖς, καὶ τοῖς δόρασι τοῖς μακροῖς, τότε δὴ καὶ τὰ μάλιστα ἐχρῶντο, ὅπως τινὰ ἀντίπαλον ναῦν προσαρτήσαν-

Digitized by Google

τες σφίσι, μάλιστα μὲν προσεκβῶσιν ἐς αὐτὴν, εἰ δὲ μὴ, καὶ ἐκείνην καταφλέξωσιν.

Ὡς δ' οὐ τινὲς ἐπέλαζον σφίσιν, αὐτὸ τοῦτο φυλασσόμενοι, καὶ τὸ πῦρ τοὺς τε τοίχους πέριξ ἐπενέμετο, καὶ ἐς τὸ ἔδαφος κατῄει, ἐνταῦθα τὰ δεινότατα αὐτοῖς ἐπεγένετο. οἱ μὲν γὰρ ὑπὸ τοῦ καπνοῦ, καὶ μάλιστα οἱ ναῦται, πρὶν καὶ πλησιάσαι σφίσι τὴν φλόγα, ἐφθείροντο, οἱ δὲ καὶ ἐν αὐτῇ μέσῃ, ὥσπερ ἐν καμίνῳ, ὠπτῶντο· ἄλλοι ὑπὸ τῶν ὅπλων πυρουμένων κατετήκοντο· ἄλλοι, πρίν τι τοιοῦτον παθεῖν, ἢ καὶ ἡμίκαυτοι, οἱ μὲν, ἀποῤῥιπτοῦντες τὰ ὅπλα, ἐτιτρώσκοντο ὑπὸ τῶν πόῤῥωθεν βαλλόντων· οἱ δὲ, ἐς τὴν θάλασσαν ἐκπηδῶντες, ἀπεπνίγοντο, ἢ καὶ παιόμενοι ὑπὸ τῶν ἐναντίων ἐβαπτίζοντο, ἢ καὶ ὑπὸ θηρίων ἐσπαράττοντο. μόνοι τε ἀνεκτῶς, ὡς ἐν τοιούτοις παθήμασιν, ἀπήλλαξαν, ὅσοι πρίν τινι αὐτῶν συνενεχθῆναι, οἱ μὲν ἀλλήλους, οἱ δὲ καὶ ἑαυτοὺς ἀπέκτειναν, οὔτε κολαστήριόν τι ὑπέμειναν, καὶ νεκροὶ ὥσπερ ἐν πυρᾷ ταῖς ναυσὶ συγκατεκαύθησαν. ὁρῶντες δὲ ταῦτα οἱ Καισάρειοι, πρότερον μὲν, ὡς ἔτι ἀμύνεσθαί τινες αὐτῶν ἐδύναντο, οὐ προσέμισγον σφίσιν· ἐπεὶ δὲ τὰ σκάφη τὸ πῦρ συνῄρει, καὶ οἱ ἄνθρωποι οὐδὲ ἑαυτοῖς βοηθῆσαι ἔτι, μὴ ὅτι πολέμιόν τινα λυπῆσαί τι, ἐδύναντο, σπουδῇ τε προσέπλεον αὐτοῖς, εἴ πως τὰ χρήματα περιποιήσαιντο, καὶ κατασβεννύναι τὸ πῦρ, ὃ αὐτοὶ παρεσκεύασαν, ἐπειρῶντο. κἀκ τούτου συχνοὶ καὶ ἐκείνων καὶ ὑπὸ τῆς φλογὸς καὶ ὑπὸ τῶν ἁρπάγων αὐταῖς τελέως ναυσὶ συναπώλοντο.

cap. 35. Tandem igni per omnia navium latera & ad solum usque progresso Antoniani misere pereunt.

Τοιαύτη τις ἡ ναυμαχία αὐτῶν τῇ δευτέρᾳ τοῦ Σεπτεμβρίου ἐγένετο. τοῦτο δὲ οὐκ ἄλλως εἶπον (οὐδὲ γὰρ εἴωθα αὐτὸ ποιεῖν) ἀλλ' ὅτι τότε πρῶτον ὁ Καῖσαρ τὸ κράτος πᾶν μόνος ἔσχεν· ὥστε καὶ τὴν ἀπαρίθμησιν τῶν τῆς μοναρχίας αὐτοῦ ἐτῶν ἀπ' ἐκείνης τῆς ἡμέρας ἀκριβοῦσθαι, καὶ ἐπ' αὐτῇ τῷ τε Ἀπόλλωνι τῷ Ἀκτίῳ τριήρη τε καὶ τετρήρη, τά τε ἄλλα τὰ ἑξῆς, μέχρι δεκήρους, ἐκ τῶν αἰχμαλώτων νεῶν ἀνέθηκε· καὶ ναὸν μείζω ᾠκοδόμησεν· ἀγῶνά τέ τινα καὶ μουσικὸν καὶ γυμνικὸν, ἱπποδρομίας τε, πεντετηρικὸν, ἱερὸν (οὕτω γὰρ τοὺς τὴν σίτησιν ἔχοντας ὀνομάζουσι) κατέδειξεν, Ἄκτια αὐτὸν προσαγορεύσας. πόλιν τέ τινα ἐν τῷ στρατοπέδου τόπῳ, τοὺς μὲν συναγείρας, τοὺς δ' ἀνα-

Lib. LI. c. 1. IV nonas Sept. A. U. 723. Cæsar solus rerum potitus. Quæ is in memoriam victoriæ Actiacæ instituerit.

δ' ἀναστήσας τῶν πλησιοχώρων, συνῴκισε, Νικόπολιν αὐτῇ ὄνομα δούς. τό, τε χωρίον, ἐν ᾧ ἐσκήνησε, λίθοις τετραπέδοις ἐκρηπίδωσε, καὶ τοῖς ἁλοῦσιν ἐμβόλοις ἐκόσμησεν, ἕδος τι ἐν αὐτῷ τοῦ Ἀπόλλωνος ὑπαίθριον ἱδρυσάμενος. ταῦτα μὲν ὕστερον ἐγένετο. τότε δὲ μέρος οὖν τι τῶν νεῶν ἐς δίωξιν τοῦ τε Ἀντωνίου καὶ τῆς Κλεοπάτρας ἔστειλε· καὶ ἐκεῖνοι ἐπεδίωξαν μὲν αὐτοὺς, ἐπεὶ δ' οὐκ ἐν καταλήψει ἐφαίνοντο, ἀνεχώρησαν. ταῖς δὲ λοιπαῖς τὸ τάφρευμα αὐτῶν, μηδενὸς ἐναντιουμένου διὰ ὀλιγότητα, ἔλαβε, καὶ μετὰ ταῦτα καὶ τὸν λοιπὸν στρατὸν ἐς Μακεδονίαν ἀπιόντα καταλαβὼν, ἀμαχεὶ παρεστήσατο. ἤδη δὲ καὶ διέφυγον ἄλλοι τε καὶ τῶν πρώτων, οἱ μὲν Ῥωμαῖοι πρὸς τὸν Ἀντώνιον, οἱ δ' ἕτεροι οἱ συμμαχήσαντες αὐτῷ, οἴκαδε. οὐ μέντοι γε καὶ ἀντεπολέμησαν οὗτοί γε ἔτι τῷ Καίσαρι, ἀλλὰ καθ' ἡσυχίαν καὶ ἐκεῖνοι καὶ οἱ δῆμοι πάντες, ὅσοι καὶ πρότερον ἐρωμάϊζον, οἱ μὲν εὐθὺς, οἱ δὲ καὶ μετὰ τοῦθ' ὡμολόγησαν.

Exercitum Antonii sine pugna sibi adjungit, & reliqui Antoniani pacis conditiones ab eo accipiunt.

cap. 2. Multa aliter ordinat, aliis poenas imponit, aliis injurias condonat.

Καὶ ὃς τὰς μὲν πόλεις χρημάτων τε εἰσπράξει, καὶ τῆς λοιπῆς ἐς τοὺς πολίτας σφῶν ἐν ταῖς ἐκκλησίαις ἐξουσίας παραιρέσει, μετῆλθε· τοὺς δὲ δυνάστας, τούς τε βασιλέας, τὰ μὲν χωρία, ὅσα παρὰ τοῦ Ἀντωνίου εἰλήφεσαν, πάντας, πλὴν τοῦ τε Ἀμύντου καὶ τοῦ Ἀρχελάου, ἀφείλετο· Φιλοπάτορα δὲ τὸν Ταρκονδιμότου, καὶ Λυκομήδην ἐν μέρει τοῦ Καππαδοκικοῦ Πόντου βασιλεύοντα, τόν τε Ἀλέξανδρον τὸν τοῦ Ἰαμβλίχου ἀδελφὸν, καὶ τῶν δυναστειῶν ἔπαυσε· καὶ τοῦτον, ὅτι μισθὸν αὐτὴν τῆς ἐκείνου κατηγορίας εἰλήφει, καὶ ἐς τὰ ἐπινίκια παραγαγὼν, ἀπέκτεινε. τὴν δὲ τοῦ Λυκομήδους Μηδείῳ τινὶ ἔδωκεν, ὅτι τούς τε Μυσοὺς ἐν τῇ Ἀσίᾳ ἀπὸ τοῦ Ἀντωνίου πρὸ τῆς ναυμαχίας ἀπέστησε, καὶ μετ' αὐτῶν τοῖς ἐν τῇ μερίδι αὐτοῦ οὖσιν ἐπολέμησε. Κυδωνεάτας τε καὶ Λαμπαίους ἐλευθέρους ἀφῆκεν, ὅτι τινὰ αὐτῷ συνήραντο· καὶ τοῖς γε Λαμπαίοις καὶ τὴν πόλιν ἀνεστῶσαν συγκατῴκισε, τῶν τε βουλευτῶν καὶ τῶν ἱππέων, τῶν τε ἄλλων τῶν κορυφαίων, τῶν συμπραξάντων τι τῷ Ἀντωνίῳ, πολλοὺς μὲν χρήμασιν ἐζημίωσε, πολλοὺς δὲ καὶ ἐφόνευσε, καί τινων καὶ ἐφείσατο. Ὁ δ' ὅμιλος τῶν Ἀντωνείων στρατιωτῶν ἐς τὰ τοῦ Καίσαρος στρατόπεδα κατετάχθη, καὶ ἔπειτα τοὺς μὲν πολ-

cap. 3. Milites Antonianos, non

Digitized by Google

πολίτας τὰς ἔξω τῆς ἡλικίας ἀπ' ἀμφοτέρων, μηδὲν μηδενὶ δὰς, ἐς τὴν Ἰταλίαν ἀπέπεμψε, τὰς δὲ δὴ λοιπὰς διέσπειρεν. ἐπειδὴ γὰρ ἐν τῇ Σικελίᾳ φοβεροί οἱ μετὰ τὴν νίκην ἐγένοντο, ἔδεισε, μὴ καὶ αὖθις θορυβήσωσι· καὶ διὰ τᾶτ' ἔσπευσε, πρὶν καὶ ὁτιᾶν ὑποκινηθῆναι, τὰς μὲν παντελῶς ἐκ τῶν ὅπλων ἀπελάσαι, τῶν δὲ τὸ πλῆθος διασπάσαι. τάς τε ἐξελευθέρας δι' ὑποψίας ἔτι καὶ τότε ἔχων, τὴν τετάρτην αὐτοῖς ἐσφορὰν ἀφῆκεν, ἣν ἐκ τῶν προσταχθέντων σφίσι χρημάτων ἐπώφειλον. καὶ ἅτοι μὲν ἅχ, ὅτι ἐστέρηντό τινων, ἐμνησικάκαν ἔτι, ἀλλ' ὡς καὶ λαβόντες, ὅσα μὴ συνεσήνεγκαν, ἔχαιρον. οἵ τε ἐν τῷ τεταγμένῳ ἔτι καὶ τότε ὄντες, τὸ μέν τι πρὸς τῶν στρατιαρχῶν κατεχόμενοι, τὸ δὲ δὴ πλεῖστον τῇ τᾶ Αἰγυπτία πλάτα ἐλπίδι, ἀδὲν ἐνεόχμωσαν· οἱ δὲ δὴ συννικήσαντες αὐτῷ, καὶ τῆς στρατείας ἀφεθέντες, ἤσχαλλον, ἅτε μηδὲν γέρας εὑράμενοι· καὶ στασιάζειν ἐκ ἐς μακρὰν ἤρξαντο. καίτοι ὁ Καῖσαρ ὑποτοπήσας τε αὐτάς, καὶ φοβηθείς, μὴ τᾶ Μαικήνα, ᾧ καὶ τότε ἥ τε Ῥώμη καὶ ἡ λοιπὴ Ἰταλία προσετέτακτο, καταφρονήσωσιν, ὅτι ἱππεὺς ἦν, τὸν Ἀγρίππαν ὡς καὶ κατ' ἄλλο τι ἐς τὴν Ἰταλίαν ἔπεμψε· καὶ τοσαύτην γε ἐπὶ πάντα καὶ ἐκείνῳ καὶ τῷ Μαικήνᾳ ἐξασίαν ἔδωκεν, ὥστε σφᾶς καὶ τὰς ἐπιστολάς, ἃς τε τῇ βαλῇ καὶ τοῖς ἄλλοις ἔγραφε, προαναγινώσκειν, κἀκ τάτα καὶ μεταγράφειν, ὅσα ἐβάλοντο. καὶ διὰ τᾶτο καὶ δακτύλιον ἔλαβον παρ' αὐτᾶ, ἵνα ἐπισφραγίζεσθαι αὐτὰς ἔχωσι. διπλῆν γὰρ δὴ σφραγῖδα, ᾗ μάλιστα τότε ἐχρῆτο, ἐπεποίητο, Σφίγγα ἐν ἑκατέρᾳ ὁμοίαν ἐκτυπώσας. ὕστερον γὰρ τὴν εἰκόνα τὴν ἑαυτᾶ ἐγγλύψας, ἐκείνῃ τὰ πάντα ἐσημαίνετο. καὶ αὐτῇ καὶ οἱ μετὰ ταῦτα αὐτοκράτορες, πλὴν Γάλβα, ἐχρήσαντο. ἅτος γὰρ προγονικῷ τινι σφραγίσματι, κύνα ἐκ πρώρας νεὼς προκύπτοντα ἔχοντι, ἐνόμισεν. ἐπέστελλε δὲ καὶ ἐκείνοις καὶ τοῖς ἄλλοις τοῖς πάνυ φίλοις, ὁπότε τι δέοιτο δι' ἀποῤῥήτων σφίσι δηλῶσαι, τὸ δεύτερον ἀεὶ στοιχεῖον τᾶ τῷ ῥήματι προσήκοντος ἀντ' ἐκείνα ἀντεγγράφων.

In suum exercitum allectos, sparsim dimittit; libertis quartam collationis partem remittit; reliquos spe præmiorum illicit.

Romæ res suas Mæcenati & Agrippæ credit.

Καὶ ὁ μέν, ὡς ἀδενὸς ἔτι δεινᾶ παρὰ τῶν ἐστρατευμένων ἐσομένα, τά τε ἐν τῇ Ἑλλάδι διῴκησε, καὶ τῶν τοῖν θεοῖν μυστηρίων μετέλαβεν· ἔς τε τὴν Ἀσίαν κομιθείς,

cap. 4. Ante expeditionem contra Antonium,

Digitized by Google

Brundusium properat, ut omnibus veteranorum tumultibus caveat.

θεὶς, καὶ ἐκεῖνα προσκαθίσατο, τά τε τȣ̃ Ἀντωνίȣ ἅμα ἐπαραδόκει. ȣ̓ γάρ πω σαφές τι, ὅπη διεπεφεύγει ἐπέπυστο· καὶ παρεσκευάζετο ὡς καὶ ἐπ' αὐτὸν ὁρμήσων, ἄν τι ἀκριβώσῃ. θορυβησάντων δ' αὐτῶν ἐν τȣ́τῳ φανερῶς, ἅτε καὶ πολὺ ἀπὸ σφῶν ἀπαρτῶντος αὐτȣ̃, ἐφοβήθη, μή τι κακὸν προστάτȣ λαβόμενοι δράσωσι. καὶ διὰ τȣ̃το Ἀντώνιον μὲν ἄλλοις ἀναζητῆσαι προσέταξεν, αὐτὸς δὲ ἐς τὴν Ἰταλίαν ἠπείχθη, μεσȣ̃ντος τȣ̃ χειμῶνος, ἐν ᾧ τὸ τέταρτον μετὰ Μάρκȣ Κράσσȣ ἦρχεν. ȣ̓͂τος γὰρ, καίπερ τά τε τȣ̃ Σέξτȣ καὶ τὰ τȣ̃ Ἀντωνίȣ πράξας, τότε μηδὲ στρατηγήσας συνυπάτευσεν αὐτῷ. ἐλθὼν δὲ ἐς τὸ Βρεντέσιον, ȣ̓κ ἔτι περαιτέρω πρȣεχώρησεν. ἐπεὶ γὰρ ἥ τε γερȣσία, πυθομένη τὸν πρόσπλȣν αὐτȣ̃, πᾶσα ἐκεῖσε, πλὴν τῶν τε δημάρχων καὶ στρατηγῶν δύο, κατὰ δόγμα μεινάντων, ἀπήντησε, καὶ ἡ ἱππὰς, τȣ̃ τε δήμȣ τὸ πλεῖον, καὶ ἕτεροι, οἱ μὲν κατὰ πρεσβείας, οἱ δὲ, ἐθελονταὶ πολλοὶ συνῆλθον, ȣ̓κ ἔτ' ȣ̓δὲν ὑπ' ȣ̓δενὸς, πρός τε τὴν ἄφιξιν αὐτȣ̃, καὶ πρὸς τὴν τῶν πλειόνων σπȣδὴν, ἐνεοχμώθη. καὶ γὰρ ἐκεῖνοι, οἱ μὲν, φόβῳ, οἱ δὲ, ἐλπίσιν, οἱ δὲ, καὶ μετάπεμπτοι, πρὸς τὸ Βρεντέσιον ἀφίκοντο. καὶ αὐτῶν ὁ Καῖσαρ τοῖς μὲν ἄλλοις χρήματα ἔδωκε, τοῖς δὲ διὰ παντὸς αὐτῷ συστρατεύσασι καὶ γῆν προσκατένειμε. τȣ̀ς γὰρ δήμȣς τȣ̀ς ἐν τῇ Ἰταλίᾳ τȣ̀ς τὰ τȣ̃ Ἀντωνίȣ φρονήσαντας ἐξοικίσας, τοῖς μὲν στρατιώταις τάς τε πόλεις καὶ τὰ χωρία αὐτῶν ἐχαρίσατο· ἐκείνων δὲ δὴ τοῖς μὲν πλείοσι τό, τε Δυῤῥάχιον, καὶ τȣ̀ς Φιλίππȣς, ἄλλα τε ἐποικεῖν ἀντέδωκε· τοῖς δὲ λοιποῖς ἀργύριον ἀντὶ τῆς χώρας, τὸ μὲν ἔνειμε, τὸ δ' ὑπέσχετο. συχνὰ μὲν γὰρ καὶ ἐκ τῆς νίκης ἐκτήσατο, πολλῷ δὲ ἔτι πλείω ἀνήλισκε. καὶ διὰ τȣ̃το καὶ προέγραψεν ἐν τῷ πρατηρίῳ τά τε ἑαυτȣ̃ κτήματα καὶ τὰ τῶν ἑταίρων, ἵνα ἄν τε πρίασθαί τι αὐτῶν, ἄν τε καὶ ἀντιλαβεῖν τις ἐθελήσῃ, τȣ̃το ποιήσῃ. καὶ ἐπράθη μὲν ȣ̓δὲν, ȣ̓͂τε ἀντεδόθη ȣ̓δέν· (τίς γὰρ ἂν καὶ ἐτόλμησεν ὁποτερονȣ̃ν αὐτῶν διαπρᾶξαι;) τῆς δὲ δὴ ἐπαγγελίας ἀναβολὴν ἐκ τȣ́τȣ εὐπρεπῆ λαβὼν, ὕστερον αὐτὴν ἐκ τῶν Αἰγυπτίων λαφύρων ἀπήλλαξε.

Brundusii a senatu, tribunis & prætoribus summo honore excipitur. A. U. 724. ante Chr. 30.

Milites vario modo remuneratur.

cap. 5. Antonium & Cleopatram

Ταῦτά τε ȣ̓͂ν καὶ τὰ ἄλλα τὰ ἐπείγοντα διοικήσας, τοῖς τέ τινα ἄδειαν λαβȣ̃σι, καὶ ἐν τῇ Ἰταλίᾳ διαιτᾶσθαι

(ȣ̓

(ὐ γὰρ ἐξῆν) δὺς, καὶ τὸν δῆμον τὸν ἐν τῇ Ῥώμῃ ὑπολειφθέντα παρέμενος, ὅτι μὴ πρὸς αὐτὸν ἦλθεν, ἔς τε τὴν Ἑλλάδα αὖθις τριακοστῇ μετὰ τὴν ἄφιξιν ἡμέρᾳ ἀπῆρε, καὶ διὰ τῦ ἰσθμῦ τῦ τῆς Πελοποννήσυ τὰς ναῦς ὑπὸ τῦ χειμῶνος ὑπερενεγκὼν, ὕτω ταχέως ἐς τὴν Ἀσίαν ἀνεκομίσθη, ὥστε καὶ τὸν Ἀντώνιον, τήν τε Κλεοπάτραν, ἑκάτερον ἅμα, καὶ ὅτι ἀφωρμήθη, καὶ ὅτι ἐπανῆλθε, μαθεῖν. ὡς γὰρ τότε ἐκ τῆς ναυμαχίας ἔφυγον, μέχρι μὲν τῆς Πελοποννήσυ ὁμῦ ἀφίκοντο· ἐντεῦθεν δὲ τῶν συνόντων τινὰς, ὅσυς ὑπώπτευον, ἀποπέμψαντες, (πολλοὶ δὲ καὶ ἀκόντων αὐτῶν ἀπεχώρησαν) Κλεοπάτρα μὲν ἐς τὴν Αἴγυπτον, μή τι, τῆς συμφορᾶς σφῶν προπυθόμενοι, νεωτερίσωσιν, ἠπείχθη. καὶ ὅπως γε καὶ τὸν πρόσπλυν ἀσφαλῆ ποιήσηται, τάς τε πρώρας, ὡς καὶ νενικηκυῖα, κατέστεψε, καὶ ᾠδάς τινας ἐπινικίυς ὑπ' αὐλητῶν ᾖδεν· ἐπεὶ δὲ ἐν τῷ ἀσφαλεῖ ἐγένετο, πολλὺς μὲν τῶν πρώτων, ἅτε καὶ ἀεί οἱ ἀχθομένων, καὶ τότε ἐπὶ τῇ συμφορᾷ αὐτῆς ἐπηρμένων, ἐφόνευσε· πολὺν δὲ καὶ πλῦτον ἔκ τε τῶν ἐκείνων κτημάτων, καὶ ἐκ τῶν ἄλλων καὶ ὁσίων καὶ θείων, μηδενὸς μηδὲ τῶν πάνυ ἀβάτων ἱερῶν φειδομένη, ἤθροιζε· δυνάμεις τε ἐξηρτύετο, καὶ συμμαχίας περιεσκόπει. τόν τε Ἀρμένιον ἀποκτείνασα, τὴν κεφαλὴν αὐτῦ τῷ Μήδῳ, ὡς καὶ ἐπικυρήσοντι σφίσι διὰ τῦτο, ἔπεμψεν. Ἀντώνιος δὲ ἔπλευσε μὲν ἐς τὴν Λιβύην πρός τε Πινάριον Σκάρπον, καὶ πρὸς τὸ στράτευμα τὸ μετ' αὐτῦ ἐπὶ τῇ τῆς Αἰγύπτυ φυλακῇ ἐνταῦθα προσυνειλεγμένον· ἐπεὶ δ' ὕτε προσδέξεσθαι αὐτὸν, καὶ προσέτι καὶ τὺς προπεμφθέντας ὑπ' αὐτῦ ἔσφαξε, τῶν τε στρατιωτῶν, ὧν ἦρχεν ἀγανακτήσαντάς τινας ἐπὶ τύτῳ διέφθειρεν· ὕτω δὴ καὶ αὐτὸς ἐς τὴν Ἀλεξάνδρειαν μηδὲν περάνας ἐκομίσθη.

Καὶ τά τε ἄλλα ὡς ἐπὶ ταχεῖ πολέμῳ παρεσκευάζοντο, καὶ τὺς υἱεῖς, Κλεοπάτρα μὲν Καισαρίωνα, Ἀντώνιος δὲ Ἄντυλλον, ὃν ἐκ τῆς Φυλβίας γεννηθέντα οἱ εἶχεν, ἐς ἐφήβυς ἐσέγραψαν· ἵν' οἵ τε Αἰγύπτιοι, ὡς καὶ ἀνδρός τινος ἤδη βασιλεύοντος σφῶν, προθυμηθῶσι, καὶ οἱ ἄλλοι προστάτας ἐκείνυς, ἄν γέ τι δεινὸν σφίσι συμβῇ, ἔχοντες καρτερήσωσι. καὶ τοῖς μὲν μειρακίοις καὶ τῦτο αἴτιον τῦ ὀλέθρυ ἐγένετο. ὑδετέρυ γὰρ αὐτῶν ὁ Καῖσαρ, ὡς

persecuturus in Asiam trajicit.

Cleopatra in Aegyptum primum sola regressa, pecuniam & auxilia contra Cæsarem parat;

Antonius in Africam progressus, Pinarium Scarpum de exercitu sibi tradendo frustra sollicitat:

cap. 6. Antonius igitur & Cleopatra filios in viros referunt, ut Aegyptios alacriores ad bellum reddant; ipsi tamen præter bel-

Digitized by Google

lum fugam etiam vel in Hispaniam vel per rubrum mare parant;

ὡς καὶ ἀνδρῶν ὄντων, καὶ πρόσχημά τι προστασίας ἐχόντων, ἐφείσατο. ἐκεῖνοι δ' οὖν παρεσκευάζοντο μὲν ὡς καὶ ἐν τῇ Αἰγύπτῳ καὶ ναυσὶ καὶ πεζῷ πολεμήσοντες· καὶ ἐπὶ τούτῳ καὶ τὰ ἔθνη τὰ ὁμόχωρα, τούς τε βασιλέας τοὺς φιλίους σφίσι, προσπαρεκάλουν· ἡτοιμάζοντο δ' οὐδὲν ἧττον ὡς καὶ ἐς τὴν Ἰβηρίαν, ἄν τι κατεπείξῃ, πλευσούμενοι, καὶ τὰ ἐκεῖ ἄλλως τε καὶ τῷ πλήθει τῶν χρημάτων ἀποστήσοντες, ἢ καὶ πρὸς τὴν ἐρυθρὰν θάλασσαν μεταστησόμενοι. καὶ ὅπως γε ἐπὶ πλεῖστον βουλευόμενοι ταῦτα διαλάθωσιν, ἢ καὶ ἐξαπατήσωσί πῃ τὸν Καίσαρα, ἢ καὶ δολοφονήσωσιν, ἔστειλάν τινας, ἐκείνῳ μὲν λόγους ὑπὲρ εἰρήνης, τοῖς δὲ δὴ συνοῦσιν αὐτῷ χρήματα φέροντας. κἀν τούτῳ καὶ ἡ Κλεοπάτρα σκῆπτρόν τέ τι χρυσοῦν, καὶ στέφανον χρυσοῦν, τόν τε δίφρον τὸν βασιλικὸν, κρύφα τοῦ Ἀντωνίου, ὡς καὶ τὴν ἀρχὴν οἱ δι' αὐτῶν διδοῦσα, ἔπεμψεν· ἵνα, ἂν καὶ ἐκεῖνον ἐχθήρῃ, ἀλλ' αὐτήν γε ἐλεήσῃ. ὁ δὲ τὰ μὲν δῶρα ἔλαβεν, οἰωνὸν ποιούμενος, ἀπεκρίνατο δὲ τῷ μὲν Ἀντωνίῳ οὐδέν· τῇ δὲ Κλεοπάτρᾳ φανερῶς μὲν, ἄλλα τε ἀπειλητικὰ, καὶ, ὅτι ἂν τῶν τε ὅπλων καὶ τῆς βασιλείας ἀποστῇ, βουλεύσεται περὶ αὐτῆς, ὅσα χρὴ πρᾶξαι· λάθρα δὲ, ὅτι, ἐὰν τὸν Ἀντώνιον ἀποκτείνῃ, καὶ τὴν ἄδειαν αὐτῇ καὶ τὴν ἀρχὴν ἀκέραιον δώσει.

Cæsarem legatis fallere student; Cleopatra præterea clam transmissis insignibus regis favorem ejus quærit.

cap. 8. Secunda legatio, per quam Cleopatra Cæsari magnam vim pecuniæ promittit, redit sine responso.

Ἀντώνιος δὲ καὶ Κλεοπάτρα, ἀκούσαντες τῶν πρέσβεων τὰ παρὰ τοῦ Καίσαρος σφίσιν ἐπικαλέντα, ἔπεμψαν αὖθις, ἡ μὲν, χρήματα αὐτῷ πολλὰ δώσειν ὑπισχνουμένη· ὁ δὲ, τῆς τε φιλίας καὶ τῆς συγγενείας αὐτὸν ἀναμιμνήσκων, καὶ προσέτι καὶ περὶ τῆς συνουσίας τῆς πρὸς τὴν Αἰγυπτίαν ἀπολογούμενος, ὅσα τε συνηράσθησάν ποτε, καὶ ὅσα συνενεανιεύσαντο ἀλλήλοις ἐξαριθμούμενος· καὶ τέλος Πούπλιον Τουρούλλιον, βουλευτήν τε ὄντα, καὶ σφαγέα τοῦ Καίσαρος γεγονότα, τότε τε φιλικῶς οἱ συνόντα, ἐξέδωκεν αὐτῷ· καὶ ἑαυτὸν, ἄν γε καὶ διὰ τοῦθ' ἡ Κλεοπάτρα σωθῇ, καταχρήσεσθαι ἐπηγγείλατο. Καῖσαρ δὲ τὸν μὲν Τουρούλλιον ἀπέκτεινε, καὶ (ἔτυχε γὰρ ἐκ τῆς ἐν Κῷ τοῦ Ἀσκληπιοῦ ὕλης ξύλα ἐς ναυτικὸν κεκοφὼς,) δίκην τινὰ καὶ τῷ θεῷ, ὅτι ἐκεῖ ἐδικαιώθη, δοῦναι ἔδοξε· τῷ δ' Ἀντωνίῳ οὐδὲν οὐδὲ τότε ἀπεκρίνατο. τρίτην τε οὖν πρεσβείαν ἔστειλε, καὶ τὸν υἱὸν τὸν Ἄντυλλον μετὰ χρυσίου πολλοῦ αὐτῷ

Nec tertia legatio, per quam Cæsari magna auri copia mittitur, responsum affert Antonio, com-

Digitized by Google

αὐτῷ ἔπεμψεν· ὁ δὲ τὰ μὲν χρήματα ἔλαβεν, ἐκεῖνον δὲ διὰ κενῆς ἀντεπέστειλε, μηδεμίαν ἀπόκρισιν δούς. τῇ μέντοι Κλεοπάτρᾳ πολλὰ, ὥσπερ τὸ πρῶτον, οὕτω καὶ τὸ δεύτερον, τό, τε τρίτον, καὶ ἐπηπείλησε καὶ ὑπέσχετο. Φοβηθεὶς δ' οὖν καὶ ὡς, μή πως ἀπογνόντες συγγνώμης παρ' αὐτοῦ τεύξεσθαι, διακαρτερήσωσι, καὶ ἤτοι καὶ καθ' ἑαυτοὺς περιγένωνται, ἢ καὶ ἐς τὴν Ἰβηρίαν τήν τε Γαλατίαν ἀπάρωσιν, ἢ καὶ τὰ χρήματα, ἃ παμπληθῆ ἤκουεν εἶναι, διαφθείρωσιν· (ἡ γὰρ Κλεοπάτρα πάντα τε αὐτὰ ἐς τὸ μνημεῖον, ὃ ἐν τῷ βασιλείῳ κατεσκεύαζεν, ἤθροιζε· καὶ πάντα, ἄν γέ τινος καὶ ἐλαχίστου διαμάρτῃ, κατακαύσειν μεθ' ἑαυτῆς ἠπείλει·) Θύρσον ἐξελεύθερον ἑαυτοῦ ἔπεμψε, ἄλλα τε πολλὰ καὶ φιλάνθρωπα αὐτῇ ἐροῦντα, καὶ ὅτι καὶ ἐρῶν αὐτῆς τυγχάνει· εἴ πως ἐκ γε τούτου, οἷα ἀξιοῦσα πρὸς πάντων ἀνθρώπων ἐρᾶσθαι, τόν τε Ἀντώνιον ἀναχρήσαιτο, καὶ ἑαυτὴν τά τε χρήματα ἀκέραια τηρήσειε. καὶ ἔσχεν οὕτω. Μετ' οὐ δὲ δὴ πολὺ τὸ Πηλούσιον ὁ Καῖσαρ, λόγῳ μὲν κατὰ τὸ ἰσχυρὸν, ἔργῳ δὲ, προδοθὲν ὑπὸ τῆς Κλεοπάτρας, ἔλαβεν. ἐκείνη γὰρ, ὡς οὔτε τις ἐβοήθησε σφίσι, καὶ τὸν Καίσαρα ἀνανταγώνιστον ὄντα ᾔσθετο, τό, τε μέγιστον, ἀκούσασα τοὺς διὰ τοῦ Θύρσου πεμφθέντας οἱ λόγους, ἐπίστευσεν ὄντως ἐρᾶσθαι· πρῶτον μὲν, ὅτι καὶ ἐβούλετο, ἔπειτα δὲ, ὅτι καὶ τὸν πατέρα αὐτοῦ τόν τε Ἀντώνιον ὁμοίως δεδούλωτο. κἀκ τούτου οὐχ, ὅπως τήν τε ἄδειαν, καὶ τὴν τῶν Αἰγυπτίων βασιλείαν, ἀλλὰ καὶ τὸ τῶν Ῥωμαίων κράτος ἕξειν προσεδόκησε· τό, τε Πηλούσιον εὐθὺς αὐτῷ προήκατο. καὶ μετὰ τοῦτο προσελαύνοντι πρὸς τὴν πόλιν ἐκώλυσε τοὺς Ἀλεξανδρέας λάθρα ἐπεξελθεῖν, ἐπεὶ ὅσον γε ἀπὸ βοῆς καὶ πάνυ σφᾶς προετρέψατο τοῦτο ποιῆσαι.

Ὁ δ' οὖν Ἀντώνιος, πρὸς τὴν περὶ τοῦ Πηλουσίου πύστιν, μετὰ πολλοῦ πλήθους καὶ δυνάμεως ἐπιὼν, προαπήντησε πρὸ τῆς Ἀλεξανδρείας τῷ Καίσαρι, καὶ αὐτὸν κεκμηκότα ἐκ τῆς ὁδοιπορίας ὑπολαβὼν τοῖς ἱππεῦσιν ἐνίκησεν. ἀναθαρσήσας τε ἔκ τε τούτου, καὶ ὅτι βιβλία ἐς τὸ στρατόπεδον αὐτοῦ τοξεύμασιν ἐσέπεμψε, πεντακοσίας σφίσι καὶ χιλίας δραχμὰς ὑπισχνούμενος, συνέβαλε καὶ τῷ πεζῷ, καὶ ἡττήθη. ὁ γὰρ Καῖσαρ αὐτὸς τὰ βιβλία ἐθελοντὴς τοῖς στρατιώταις ἀνέγνω, τόν τε Ἀντώνιον διαβάλλων, καὶ ἐκεί-

νους

minationes vero & pollicitationes Cleopatræ, ut priores.

Ut tamen Cleopatram a fuga & thesaurorum abolitione avertat, per Thyrsum ei insinuat Cæsar, se ejus amore captum esse.

cap. 9. Cæsar Pelusium proditione Cleopatræ capit; nec Alexandrinâ contra eum exeunt, eadem clam prohibeate.

cap. 10. Initio Antonius ante Alexandriam Cæsarem equitatu superat; postea vero pedestri certamine vincitur.

Digitized by Google

νους ἔς τε τὴν τῆς προδοσίας αἰσχύνην, καὶ ἐς τὴν ὑπὲρ ἑαυτοῦ προθυμίαν ἀντικαθιστὰς· ὥστε καὶ διὰ τοῦτο αὐτοὺς, τῇ τε τῆς πείρας ἀγανακτήσει, καὶ τῇ τοῦ μὴ ἐθελοκακεῖν δόξαι ἐνδείξει, σπουδάσαι. καὶ ὁ μὲν, ἐπειδὴ παρὰ δόξαν ἠλαττώθη, πρός τε τὸ ναυτικὸν ἀπέκλινε, καὶ παρεσκευάζετο, ὡς καὶ ναυμαχήσων, ἢ πάντως γε ἐς τὴν Ἰβηρίαν πλευσούμενος. ἰδοῦσα δὲ τοῦθ' ἡ Κλεοπάτρα, τάς τε ναῦς αὐτομολῆσαι ἐποίησε, καὶ αὐτὴ ἐς τὸ ἡρίον ἐξαίφνης ἐσεπήδησε, λόγῳ μὲν, ὡς τὸν Καίσαρα φοβουμένη, καὶ προδιαφθεῖραι τρόπον τινὰ ἑαυτὴν βουλομένη· ἔργῳ δὲ, καὶ τὸν Ἀντώνιον ἐκεῖσε ἐσελθεῖν προκαλουμένη. ὑπετόπει μὲν γὰρ προδίδοσθαι, οὐ μέντοι καὶ ἐπίστευεν ὑπὸ τοῦ ἔρωτος, ἀλλὰ καὶ μᾶλλον, ὡς εἰπεῖν, ἐκείνην ἢ ἑαυτὸν ἠλέει.

Antonius a classe, ad quam fugerat, non receptus, & nuncio mortis Cleopatræ ficto territus ipse sibi manum infert; ante ipsam autem ex vulnere mortem audiens, Cleopatram esse superstitem, ad eam se deferendum curat & in ejus gremio moritur.

ὅπερ που ἡ Κλεοπάτρα ἀκριβῶς εἰδυῖα, ἤλπισεν, ὅτι, ἂν πύθηται αὐτὴν τετελευτηκυῖαν, οὐκ ἐπιβιώσεται, ἀλλὰ παραχρῆμα ἀποθανεῖται. καὶ διὰ τοῦτο ἔς τε τὸ μνημεῖον σύν τε εὐνούχῳ τινὶ καὶ σὺν θεραπαίναις δύο ἐσέδραμε, καὶ ἐκεῖθεν ἀγγελίαν αὐτῷ ὡς καὶ ἀπολωλυῖα ἔπεμψε. καὶ ὃς, ἀκούσας τοῦτο, οὐκ ἐμέλλησεν, ἀλλ' ἐπαποθανεῖν αὐτῇ ἐπεθύμησεν. ἔνθα δὴ τὸ μὲν πρῶτον τῶν παρόντων τινὸς ἐδεήθη, ἵνα αὐτὸν ἀποκτείνῃ· ἐπεὶ δὲ ἐκεῖνος σπασάμενος τὸ ξίφος ἑαυτὸν κατειργάσατο, ζηλῶσαί τε αὐτὸν ἠθέλησε, καὶ ἑαυτὸν ἔτρωσε· καὶ ἔπεσέ τε ἐπὶ στόμα, καὶ δόξαν τοῖς παροῦσιν ὡς καὶ τεθνηκὼς παρέσχε. θορύβου τε ἐπὶ τούτῳ γενομένου, ᾔσθετό τε ἡ Κλεοπάτρα, καὶ ὑπερέκυψεν ἀπὸ τοῦ μνημείου. αἱ μὲν γὰρ θύραι αὐτοῦ συγκλεισθεῖσαι ἅπαξ, οὐκέτ' ἀνοιχθῆναι ἐκ μηχανήματός τινος ἐδύναντο, τὰ δ' ἄνω πρὸς τῇ ὀροφῇ οὐδέπω παντελῶς ἐξείργαστο. ἐντεῦθεν οὖν ὑπερκύψασαν αὐτὴν ἰδόντες τινὲς ἀνεβόησαν, ὥστε καὶ τὸν Ἀντώνιον ἐσακοῦσαι· καὶ ὃς, μαθὼν ὅτι περίεστιν, ἐξανέστη μὲν, ὡς καὶ ζῆσαι δυνάμενος· προχυθέντος δ' αὐτῷ πολλοῦ αἵματος, ἀπέγνω τε τὴν σωτηρίαν, καὶ ἱκέτευσε τοὺς παρόντας, ὅπως πρός τε τὸ μνῆμα αὐτὸν κομίσωσι, καὶ διὰ τῶν σχοινίων τῶν πρὸς τὴν ἀνολκὴν τῶν λίθων κρεμαμένων ἀνιμήσωσι. καὶ ὁ μὲν ἐνταῦθ' οὕτως ἐν τοῖς τῆς Κλεοπάτρας κόλποις ἐναπέθανεν.

cap. 11. Cleopatra varia tentat, ut vel veniam

Ἐκείνη δὲ ἐθάρσησε μέν πως τὸν Καίσαρα, καὶ εὐθὺς αὐτῷ τὸ γεγονὸς ἐδήλωσεν, οὐ μὴν καὶ πάνυ ἐπίστευε

μηδὲν

Digitized by Google

μηδὲν κακὸν πείσεσθαι. κατεῖχεν ἂν ἑαυτὴν ἔνδον, ἵν' εἰ καὶ διὰ μηδὲν ἄλλο σωθείη, τῷ γε φόβῳ τῶν χρημάτων καὶ τὴν ἄδειαν καὶ τὴν βασιλείαν ἐκπρίηται. οὕτω πȣ καὶ τότε ἐν τηλικαύτῃ συμφορᾷ ἦσα, τῆς δυναστείας ἐμέμνητο, καὶ μᾶλλόν γε ἔν τε τῷ ὀνόματι καὶ ἐν τῷ σχήματι αὐτῆς ἀποθανεῖν, ἢ ἰδιωτεύσασα ζῆν ᾑρεῖτο. ἀμέλει εἶχε μὲν καὶ τὸ πῦρ ἐπὶ τοῖς χρήμασιν, εἶχε δὲ καὶ ἀσπίδας, ἄλλα τε ἑρπετὰ ἐφ' ἑαυτῇ· προπειραθεῖσα αὐτῶν ἐν ἀνθρώποις, ὅντινα τρόπον ἕκαστον σφῶν ἀποκτείνυσι. Καῖσαρ δὲ ἐπεθύμει μὲν καὶ τῶν θησαυρῶν ἐγκρατὴς γενέσθαι, καὶ ἐκείνην ζῶσάν τε συλλαβεῖν, καὶ ἐς τὰ νικητήρια ἀναγαγεῖν· ȣ μέντοι καὶ αὐτὸς, πίστιν τινὰ αὐτῇ δȣ̀ς, ἀπατεὼν δόξαι γεγονέναι ἠθέλησεν, ἵν' ὡς καὶ αἰχμαλώτῳ καὶ ἀκυσίᾳ τρόπον τινὰ χειρωθείσῃ χρήσηται. καὶ διὰ τȣ̃τ' ἔπεμψε πρὸς αὐτὴν Γάϊόν τε Προκȣ́λιον ἱππέα, καὶ Ἐπαφρόδιτον ἐξελεύθερον, ἐντειλάμενος, σφίσιν, ὅσα καὶ εἰπεῖν καὶ πρᾶξαι ἐχρῆν. καὶ ȣ̃τως ἐκεῖνοι συμμίξαντες τῇ Κλεοπάτρᾳ, καὶ μέτριά τινα διαλεχθέντες, ἔπειτ' ἐξαίφνης συνήρπασαν αὐτὴν, πρίν τι ὁμολογηθῆναι. κἀκ τȣ́των ἐκποδὼν πάντα, ἀφ' ὧν ἀποθανεῖν ἐδύνατο, ποιησάμενοι, ἡμέρας μέν τινας κατὰ χώραν αὐτῇ, τὸ τȣ̃ Ἀντωνίȣ σῶμα ταριχευȣ́σῃ, διατρίψαι ἐπέτρεψαν· ἔπειτα δὲ ἐς τὰ βασίλεια αὐτὴν ἤγαγον, μήτε τῆς ἀκολȣθίας τι, μήτε τῆς θεραπείας τῆς συνήθȣς οἱ παραλύσαντες, ὅπως ἔτι καὶ μᾶλλον ἐλπίσῃ τε, ὅσα ἐβȣ́λετο, καὶ μηδὲν κακὸν ἑαυτὴν δράσῃ. ἀμέλει καὶ ὀφθῆναι καὶ διαλεχθῆναί τι τῷ Καίσαρι ἐθελήσασα, ἐπέτυχε. καὶ ἵνα γε ἐπὶ πλεῖον ἀπατηθῇ, αὐτὸς ἀφίξεσθαι πρὸς αὐτὴν ὑπέσχετο.

sibi a Cæsare & regnum redimat, vel mortem sibi consciscat;

attamen Cæsar Proculei & Epaphroditi interventu vivam eam capit, omniaque ita instituit, ut eam triumpho vivam seruet;

Οἰκόν τε ȣ̃ν ἐκπρεπῆ καὶ κλίνην πολυτελῆ παρασκευάσασα, καὶ προσέτι καὶ ἑαυτὴν ἠμελημένως πως κοσμήσασα, (καὶ γὰρ ἐν τῷ πενθίμῳ σχήματι δεινῶς ἐνέπρεπεν) ἐκαθέζετο ἐπὶ τῆς κλίνης, πολλὰς μὲν εἰκόνας τȣ̃ πατρὸς αὐτȣ̃ καὶ παντοδαπὰς παραθεμένη, πάσας δὲ τὰς ἐπιστολὰς τὰς παρ' ἐκείνȣ οἱ πεμφθείσας ἐς τὸν κόλπον λαβȣ̃σα. καὶ μετὰ τȣ̃το ἐσελθόντος τȣ̃ Καίσαρος, ἀνεπήδησέ τε ἠρυθριασμένη, καὶ εἶπε, "Χαῖρε, ὦ δέσποτα. σοὶ μὲν γὰρ τȣ̃το θεὸς ἔδωκεν, ἐμὲ δὲ ἀφείλετο. ἀλλ' ὁρᾷς μέν πȣ καὶ αὐτὸς τὸν πατέρα σȣ τοιȣ̃τον, "οἷος

cap. 12. nec Cleopatra Cæsaris animum ad alia flectere potest colloquio, quod sibi expetit & impetrat.

Colloquii ratio & argumentum.

Digitized by Google

"δίος πολλάκις πρὸς ἐμὲ εἰσῆλθεν, ἀκούεις δὲ, ὅπως τά τε
"ἄλλα ἐτίμησέ με, καὶ δὴ καὶ βασιλίδα τῶν Αἰγυπτίων
"ἐποίησεν. ἵνα δ' οὖν τι καὶ αὐτοῦ ἐκείνου περὶ ἐμοῦ πύ-
"θῃ, λάβε καὶ ἀνάγνωθι τὰ γράμματα, ἅ μοι αὐτοχει-
"ρίᾳ ἐπέστειλε." ταῦτά τε ἅμα ἔλεγε, καὶ πολλὰ καὶ
ἐρωτικὰ αὐτοῦ ῥήματα ἀνεγίνωσκε. καὶ τοτὲ μὲν ἔκλαιε,
καὶ τὰς ἐπιστολὰς κατεφίλει, τοτὲ δὲ πρὸς τὰς εἰκόνας
αὐτοῦ προσέπιπτε, καὶ ἐκείνας προσεκύνει. τά τε βλέ-
φαρα ἐς τὸν Καίσαρα ἐπενέκλα, καὶ ἐμμελῶς ἀνωλοφύ-
ρετο. θρυπτικόν τέ τι προσεφθέγγετο, ἄλλοτε μὲν λέ-
γουσα, "Ποῦ μοι Καῖσαρ ταῦτά σου τὰ γράμματα;" ἄλλο-
τε δὲ, ὅτι, "Ἀλλ' ἐν τούτῳ καὶ σύ μοι ζῇς." εἶπα
αὖθις, "Εἴθε σου προετεθνήκειν." καὶ μάλα αὖθις, "Ἀλ-
"λὰ καὶ τοῦτον ἔχουσα, σὲ ἔχω." τοιαύτῃ τινὶ ποικιλίᾳ
καὶ τῶν ῥημάτων καὶ τῶν σχημάτων ἐχρῆτο, μελιχρὰ
ἄττα καὶ προσβλέπουσα αὐτῷ καὶ λαλοῦσα. ὁ οὖν Καῖσαρ
συνίει μὲν αὐτῆς καὶ παθαινομένης καὶ πληκτιζομένης·
οὐ μέντοι καὶ προσεποιεῖτο, ἀλλ' ἐς τὴν γῆν τοὺς ὀφθαλ-
μοὺς ἐρείσας, τοῦτό μόνον εἶπε, "Θάρσει, ὦ γύναι, καὶ
"θυμὸν ἔχε ἀγαθὸν, οὐδὲν γὰρ κακὸν πείσῃ." περιαλ-
γήσασα οὖν ἐκείνη, ὅτι μήτε προσεῖδεν αὐτὴν, μήτε τι ἢ
περὶ τῆς βασιλείας, ἢ καὶ ἐρωτικόν τι ἐφθέγξατο, πρός
τε τὰ γόνατα αὐτοῦ προσέπεσε, καὶ ἀνακλαύσασα, "Ζῆν
"μὲν (ἔφη) Καῖσαρ, οὔτε ἐθέλω, οὔτε δύναμαι· ταύτην
"δὲ σοὶ τὴν χάριν ἐς τὴν τοῦ πατρὸς μνήμην αἰτῶ, ἵν'
"ἐπειδή με Ἀντωνίῳ μετ' ἐκεῖνον ὁ δαίμων παρέδωκε,
"μετ' αὐτοῦ καὶ ἀποθάνω. εἴθε μὲν γὰρ ἀπολώλειν εὐ-
"θὺς τότε μετὰ τὸν Καίσαρα· ἐπεὶ δέ μοι καὶ τοῦτο πα-
"θεῖν ἐπέπρωτο, πέμψον με πρὸς Ἀντώνιον, μηδέ μοι
"τῆς σὺν αὐτῷ ταφῆς φθονήσῃς· ἵν' ὥσπερ δι' ἐκεῖνον
"ἀποθνήσκω, οὕτω καὶ ἐν ᾅδου αὐτῷ συνοικήσω."

Cæsar affixis in terram oculis solummodo eam, ut bono sit animo hortatur; nihil eam mali passuram.

cap. 13. Postquam sibi sæpius mortem expetierat, simulat tandem se mori nolle; at Epaphrodito, ut epistolam ejus Cæsari

Καὶ ἡ μὲν τοιαῦτα, ὡς καὶ ἐλεηθησομένη ἔλεγε·
Καῖσαρ δὲ πρὸς μὲν ταῦτα οὐδὲν ἀπεκρίνατο. φοβηθεὶς
δὲ μὴ ἑαυτὴν διαχρήσηται, θαρσεῖν τε αὐτῇ αὖθις παρε-
κελεύσατο, καὶ οὔτε τὴν θεραπείαν αὐτῆς ἀφείλετο, καὶ
ἐν ἐπιμελείᾳ αὐτὴν ἐποιεῖτο, ὅπως οἱ τὰ ἐπινίκια ἐπι-
λαμπρύνῃ. τοῦτο οὖν ὑποτοπήσασα, καὶ μυρίων θανάτων
χαλεπώτερον αὐτὸ νομίσασα εἶναι, ὄντως τε ἀποθανεῖν
ἐπε-

Digitized by Google

ἐπεθύμησε, καὶ πολλὰ μὲν τοῦ Καίσαρος, ὅπως τρόπον τινὰ ἀπόληται, ἐδεῖτο, πολλὰ δὲ καὶ αὐτὴ ἐμηχανᾶτο. ἐπεὶ δ' οὐδὲν ἐπέραινε, μεταγινώσκειν τε ἐπλάσατο, ὡς καὶ ἐλπίδα πολλὴν μὲν καὶ ἐς ἐκεῖνον, πολλὴν δὲ καὶ ἐς τὴν Λιουίαν ἔχουσα· καὶ ἑκουσία τε πλευσεῖσθαι ἔλεγε, καὶ κόσμους τινὰς ἀποθέτους ἐς δῶρα ἡτοιμάζετο· εἴ πως πίστιν ἐκ τούτων μὴ τεθνήσειν λαβοῦσα, ἧττόν τε τηρηθείη, καὶ ἑαυτὴν ἐξεργάσαιτο· ὃ καὶ ἐγένετο. ἐπειδὴ γὰρ οἵ τε ἄλλοι, καὶ ὁ Ἐπαφρόδιτος, ᾧπερ ἐπετέτραπτο, πιστεύσαντες ταῦθ' ὡς ἀληθῶς φρονεῖν, τῆς ἀκριβοῦς φυλακῆς ἠμέλησαν, παρεσκευάζετο, ὅπως ὡς ἀλυπότατα ἀποθάνῃ. καὶ γραμματεῖόν τι, δι' οὗ ἐδεήθη τοῦ Καίσαρος, ἵνα αὐτὴν μετὰ τοῦ Ἀντωνίου ταφῆναι κελεύσῃ, αὐτῷ τῷ Ἐπαφροδίτῳ σεσημασμένον (ὅπως προφάσει τῆς ἀποκομιδῆς αὐτοῦ, ὡς καὶ ἄλλο τι ἔχοντος, ἐκποδὼν οἱ γένηται) δοῦσα, ἔργου εἴχετο. τήν τε γὰρ ἐσθῆτα τὴν περικαλλεστάτην ἐνδῦσα, καὶ ἑαυτὴν εὐπρεπέστατα εὐθετήσασα, τό, τε σχῆμα τὸ βασιλικὸν πᾶν ἀναλαβοῦσα, ἀπέθανε.

> reddat digresso, mortem sibi consciscit.

Καὶ τὸ μὲν σαφὲς οὐδεὶς οἶδεν, ᾧ τρόπῳ διεφθάρη· κεντήματα γὰρ λεπτὰ περὶ τὸν βραχίονα αὐτῆς μόνα εὑρέθη. λέγουσι δὲ οἱ μὲν, ὅτι ἀσπίδα ἐν ὑδρίᾳ, ἢ καὶ ἐν ἄνθεσί τισιν ἐσκομισθεῖσάν οἱ προσέθετο· οἱ δὲ, ὅτι βελόνην, ᾗ τὰς τρίχας ἀνεῖρεν, ἰῷ τινι, δύναμιν τοιαύτην ἔχοντι, ὥστε ἄλλως μὲν μηδὲν τὸ σῶμα βλάπτειν, ἂν δ' αἵματος καὶ βραχυτάτου ἅψηται, καὶ τάχιστα καὶ ἀλυπότατα αὐτὸ φθείρειν, χρίσασα, τέως μὲν αὐτὴν ἐν τῇ κεφαλῇ ἐφόρει, ὥσπερ εἰώθει, τότε δὲ, προκατανύξασα τινὶ τὸν βραχίονα, ἐς τὸ αἷμα ἐνέβαλεν. οὕτω μὲν, ἢ ὅτι ἐγγύτατα, μετὰ τῶν δύο θεραπαινῶν ἀπώλετο. ὁ γὰρ εὐνοῦχος, ἅμα τῷ συλληφθῆναι αὐτὴν, τοῖς τε ἑρπετοῖς ἑαυτὸν ἐθελοντὴς παρέδωκε, καὶ δηχθεὶς ὑπ' αὐτῶν, ἐς σορὸν προπαρεσκευασμένην οἱ ἐσπεπηδήκει. ἀκούσας δὲ ὁ Καῖσαρ τὴν τελευτὴν αὐτῆς, ἐξεπλάγη, καὶ τό, τε σῶμα αὐτῆς εἶδε, καὶ φάρμακα αὐτῷ, καὶ ψύλλους, εἴ πως ἀνασφήλειε, προσήνεγκεν. οἱ δὲ δὴ ψύλλοι οὗτοι, ἄνδρες μέν εἰσι, (γυνὴ γὰρ οὐ γίνεται ψύλλα) δύνανται δὲ πάντα τε ἰὸν παντὸς ἑρπετοῦ παραχρῆμα, πρὶν θνήσκειν τινὰ, ἐκμυζᾶν, καὶ αὐτοὶ μηδὲν, ὑπὸ μηδενὸς αὐτῶν δηχθέντες, βλάπτε-

> cap. 14. Quo mortis genere obierit, ignoratur; forsan acu venenata.

> Psylli adhibiti vitæ eam non restituunt.

Digitized by Google

βλάπτεσθαι. Φύονται δὲ ἐξ ἀλλήλων, καὶ δοκιμάζουσι τὰ γεννηθέντα, ἤτοι μετ' ὄφεων πυ εὐθὺς ἐμβληθέντα, ἢ καὶ τῶν σπαργάνων αὐτῶν ἐπιβληθέντων τισίν. οὔτε γὰρ τῷ παιδίῳ τι λυμαίνονται, καὶ ὑπὸ τῆς ἐσθῆτος αὐτοῦ ναρκῶσι. τοῦτο μὲν τοιοῦτόν ἐστιν. ὁ δὲ δὴ Καῖσαρ, μηδένα τρόπον ἀναβιώσασθαι τὴν Κλεοπάτραν δυνηθεὶς, ἐκείνην μὲν καὶ ἐθαύμασε καὶ ἠλέησεν, αὐτὸς δὲ ἰσχυρῶς ἐλυπήθη, ὡς καὶ πάσης τῆς ἐπὶ τῇ νίκῃ δόξης ἐστερημένος.

cap. 15. Quæ fuerit Antonii & Cleopatræ animi & vitæ ratio.

Ἀντώνιος μὲν δὴ καὶ Κλεοπάτρα, πολλῶν μὲν τοῖς Αἰγυπτίοις, πολλῶν δὲ καὶ τοῖς Ῥωμαίοις κακῶν αἴτιοι γενόμενοι, οὕτω τε ἐπολέμησαν, καὶ οὕτως ἐτελεύτησαν· ἔν τε τῷ αὐτῷ τρόπῳ ἐταριχεύθησαν, κἀν τῇ αὐτῇ θήκῃ ἐτάφησαν. ἔσχον δὲ τήν τε φύσιν τῆς ψυχῆς, καὶ τὴν τύχην τοῦ βίου τοιάνδε· ὁ μὲν, συνεῖναί τε τὸ δέον, οὐδενὸς ἥσσων ἐγένετο, καὶ πολλὰ ἀφρόνως ἔπραξεν· ἀνδρίᾳ τε ἔν τισι διέπρεψε, καὶ ὑπὸ δειλίας πολλὰ ἐσφάλη· τῇ τε μεγαλοψυχίᾳ, καὶ τῇ δουλοπρεπείᾳ ἐξ ἴσου ἐχρῆτο· καὶ τά τε ἀλλότρια ἥρπαζε, καὶ τὰ οἰκεῖα προΐετο· ἠλέει τε ἀλόγως συχνοὺς, καὶ ἐκόλαζεν ἀδίκως πλείονας. κἀκ τούτων, ἰσχυρότατός τε ἐξ ἀσθενεστάτου, καὶ πλουσιώτατος ἐξ ἀπορωτάτου γενόμενος, οὐδετέρου αὐτῶν ἀπώνατο, ἀλλὰ καὶ τὸ κράτος τὸ τῶν Ῥωμαίων μόνος ἕξειν ἐλπίσας, αὐτὸς ἑαυτὸν ἀπέκτεινε. Κλεοπάτρα δὲ, ἄπληστος μὲν ἀφροδίτης, ἄπληστος δὲ χρημάτων γενομένη· καὶ πολλῇ μὲν φιλοτιμίᾳ φιλοδόξῳ, πολλῇ δὲ καὶ περιφρονήσει θρασείᾳ χρησαμένη, τήν τε βασιλείαν τῶν Αἰγυπτίων ὑπ' ἔρωτος ἐκτήσατο, καὶ τὴν τῶν Ῥωμαίων λήψεσθαι δι' αὐτοῦ ἐλπίσασα, ταύτης τε ἐσφάλη, καὶ ἐκείνην προσαπώλεσε. δυο τε ἀνδρῶν Ῥωμαίων τῶν καθ' ἑαυτὴν μεγίστων κατεκράτησε, καὶ διὰ τὸν τρίτον ἑαυτὴν κατεχρήσατο. οὗτοι μὲν δὴ τοιοῦτοί τε ἐγένοντο, καὶ οὕτως ἀπήλλαξαν. τῶν δὲ δὴ

Quæ obtigerint liberis Antonii & Cleopatræ;

παίδων αὐτῶν, Ἄντυλλος μὲν, καίτοι τήν τε τοῦ Καίσαρος θυγατέρα ἐγγεγυημένος, καὶ ἐς τὸ τοῦ πατρὸς αὐτοῦ ἡρῷον, ὃ ἡ Κλεοπάτρα ἐπεποιήκει, καταφυγὼν, εὐθὺς ἐσφάγη. Καισαρίων δὲ ἐς Αἰθιοπίαν φεύγων, κατελήφθη τε ἐν τῇ ὁδῷ, καὶ διεφθάρη. ἥ τε Κλεοπάτρα Ἰόβᾳ τῷ τοῦ Ἰόβου παιδὶ συνῴκησε. τούτῳ γὰρ ὁ Καῖσαρ τραφέντι τε ἐν τῇ Ἰταλίᾳ, καὶ συστρατευσαμένῳ οἱ, ταύτην τε καὶ τὴν βασιλείαν

Digitized by Google

σιλείαν τὴν πατρῴαν ἔδωκε, καὶ αὐτοῖς καὶ τὸν Ἀλέξανδρον τόν τε Πτολεμαῖον ἐχαρίσατο. ταῖς τε ἀδελφιδαῖς, ἃς ἐκ τοῦ Ἀντωνίου ἡ Ὀκταουΐα ἀνῄρητό τε καὶ ἐτετρόφει, χρήματα ἀπὸ τῶν πατρῴων ἀπένειμε. καὶ τῷ Ἰούλῳ τῷ τοῦ Ἀντωνίου, τῆς τε Φουλουΐας υἱεῖ, τοὺς ἐξελευθέρους αὐτοῦ πάνθ', ὅσα τελευτῶντας σφᾶς καταλιπεῖν αὐτῷ κατὰ τοὺς νόμους ἔδει, παραχρῆμα δοῦναι ἐκέλευσε.

Τῶν τε ἄλλων τῶν τὰ τοῦ Ἀντωνίου μέχρι τότε πραξάντων, τοὺς μὲν ἐκόλασε, τοὺς δὲ ἀφῆκεν, ἢ δι' ἑαυτὸν, ἢ διὰ τοὺς φίλους. ἐπειδή τε συχνοὶ παρ' αὐτῷ καὶ δυναστῶν καὶ βασιλέων παῖδες, οἱ μὲν ἐφ' ὁμηρείᾳ, οἱ δὲ καὶ ἐφ' ὕβρει τρεφόμενοι εὑρέθησαν, τοὺς μὲν οἴκαδε αὐτῶν ἀπέστειλε, τοὺς δὲ ἀλλήλοις συνῴκισεν, ἑτέρους τε κατέσχεν. ὧν ἐγὼ τοὺς μὲν ἄλλους ἐάσω, δύο δὲ δὴ μόνον ὀνομαστὶ μνησθήσομαι. τὴν μὲν γὰρ Ἰωτάπην τῷ Μήδῳ, καταφυγόντι μετὰ τὴν ἧτταν πρὸς αὐτὸν, ἑκὼν ἀπέδωκε, τῷ δ' Ἀρτάξῃ τοὺς ἀδελφοὺς, καίπερ αἰτήσαντι, οὐκ ἔπεμψεν, ὅτι τοὺς ὑπολειφθέντας Ῥωμαίους ἐν τῇ Ἀρμενίᾳ ἀπεκτόνει. περὶ μὲν δὴ τοὺς ἄλλους τοιαῦτα ἐγίγνετο. τῶν δὲ Αἰγυπτίων, τῶν τε Ἀλεξανδρέων πάντων ἐφείσατο, ὥστε μὴ διολέσαι τινά· τὸ μὲν ἀληθὲς, ὅτι οὐκ ἠξίωσε τοσούτους τε αὐτοὺς ὄντας, καὶ χρησιμωτάτους τοῖς Ῥωμαίοις ἐς πολλὰ ἂν γενομένους, ἀνήκεστόν τι δρᾶσαι· πρόφασιν δὲ ὅμως προὐβάλλετο, τόν τε θεὸν τὸν Σάραπιν, καὶ τὸν Ἀλέξανδρον τὸν οἰκιστὴν αὐτῶν, καὶ τρίτον, Ἄρειον τὸν πολίτην, ᾧ που φιλοσοφοῦντί τε καὶ συνόντι οἱ ἐχρῆτο. καὶ τόν γε λόγον, δι' οὗ συνέγνω σφίσιν, ἑλληνιστὶ, ὅπως συνῶσιν αὐτοῦ, εἶπε. καὶ μετὰ ταῦτα τὸ μὲν τοῦ Ἀλεξάνδρου σῶμα εἶδε, καὶ αὐτοῦ καὶ προσήψατο, ὥστε τι τῆς ῥινὸς, ὥς φασι, θραυσθῆναι. τὰ δὲ δὴ τῶν Πτολεμαίων, καίτοι τῶν Ἀλεξανδρέων σπουδῇ βουληθέντων αὐτῷ δεῖξαι, οὐκ ἐθεάσατο· εἰπὼν ὅτι, "Βασιλέα, ἀλλ' οὐ νεκροὺς ἰδεῖν ἐπεθύμησα." κἀκ τῆς αὐτῆς ταύτης αἰτίας, οὐδὲ τῷ Ἄπιδι ἐντυχεῖν ἠθέλησε· λέγων, "Θεοὺς ἀλλ' οὐχὶ βοῦς προσκυνεῖν εἰθίσθαι."

Ἐκ δὲ τούτου τήν τε Αἴγυπτον ὑποτελῆ ἐποίησε, καὶ τῷ Γάλλῳ τῷ Κορνηλίῳ ἐπέτρεψε. πρός τε γὰρ τὸ πολύανδρον καὶ τῶν πόλεων καὶ τῆς χώρας, καὶ πρὸς τὸ ῥᾴδιον

cap. 16. quæ aliis, qui ex partibus Antonii steterant;

quæ Aegyptiis & Alexandrinis.

Ante abitum Cæsar corpus Alexandri inspicit, non vero corpora Ptolemæorum.

cap. 17. Aegypto in provinciam redactæ Cæ-

sar præficit Cornelium Gallum, nec eam unquam senatori administrandam dedit, nec eam adire cuiquam Romanorum permisit; nisi concessione nominatim data.

ῥᾴδιον τό, τε κοῦφον τῶν τρόπων αὐτῶν, τήν τε σιτοπομπείαν καὶ τὰ χρήματα, οὐδενὶ βουλευτῇ οὐχ ὅπως ἐγχειρίσαι αὐτὴν ἐτόλμησεν, ἀλλ' οὐδὲ ἐνεπιδημεῖν αὐτῇ ἐξουσίαν ἔδωκεν, ἂν μή τινι αὐτὸς ὀνομαστὶ συγχωρήσῃ. οὐ μέντοι οὐδ' ἐκείνοις βουλεύειν ἐν τῇ Ῥώμῃ ἐφῆκεν, ἀλλὰ τοῖς μὲν ἄλλοις ὡς ἑκάστοις, τοῖς δ' Ἀλεξανδρεῦσιν ἄνευ βουλευτῶν πολιτεύεσθαι ἐκέλευσε· τοσαύτην που νεωτεροποιΐαν αὐτῶν κατέγνω. καὶ σφῶν οὕτω τότε ταχθέντων, τὰ μὲν ἄλλα καὶ νῦν ἰσχυρῶς φυλάσσεται, βουλεύουσι δὲ δὴ καὶ ἐν τῇ Ἀλεξανδρείᾳ, ἐπὶ Σεουήρου αὐτοκράτορος ἀρξάμενοι, καὶ ἐν τῇ Ῥώμῃ, ἐπ' Ἀντωνίνου τοῦ υἱέος αὐτοῦ πρῶτον ἐς τὴν γερουσίαν ἐσγραφέντες. Αἴγυπτος μὲν οὕτως ἐδουλώθη.

Magna pecuniæ vis, in regia reperta, stipendiis militibus numerandis inservit, & imperio Romano ditando.

χρήματα δὲ πολλὰ μὲν ἐν τῷ βασιλικῷ εὑρέθη· (πάντα γάρ, ὡς εἰπεῖν, καὶ τὰ ἐκ τῶν ἁγιωτάτων ἱερῶν ἀναθήματα ἡ Κλεοπάτρα ἀνελομένη, συνεπλήθυσε τὰ λάφυρα τοῖς Ῥωμαίοις, ἄνευ τινὸς οἰκείου αὐτῶν μιάσματος·) πολλὰ δὲ καὶ παρ' ἑκάστου τῶν αἰτιαθέντων τι ἠθροίσθη. καὶ χωρὶς οἱ λοιποὶ πάντες, ὅσοι μηδὲν ἴδιον ἔγκλημα λαβεῖν ἐδύναντο, τὰ δύο μέρη τῶν οὐσιῶν ᾐτήθησαν. καὶ ἀπ' αὐτῶν πάντες μὲν οἱ στρατιῶται τὰ ἐποφειλόμενα σφίσιν ἐκομίσαντο, οἱ δὲ δὴ καὶ τότε τῷ Καίσαρι συγγενόμενοι, πεντήκοντα καὶ διακοσίας δραχμάς, ὥστε μὴ διαρπάσαι τὴν πόλιν, προσεπέλαβον. τοῖς τε προδανείσασί τι, πάντα ἀπηλλάγη, καὶ τοῖς συμμετασχοῦσι τοῦ πολέμου καὶ τῶν βουλευτῶν καὶ τῶν ἱππέων, πάμπολλα ἐδόθη· τό, τε σύμπαν, ἥ τε ἀρχὴ ἡ τῶν Ῥωμαίων ἐπλουτίσθη, καὶ τὰ ἱερὰ αὐτῶν ἐκοσμήθη.

cap. 18. His & aliis actis Cæsar per Syriam in Asiam proficiscitur, resque Parthicas componit. (v. Tom. I. p. 286.)

Ὁ δ' οὖν Καῖσαρ ὡς τάτε προειρημένα ἔπραξε, καὶ πόλιν καὶ ἐκεῖ ἐν τῷ τῆς μάχης χωρίῳ συνῴκισε, καὶ τὸ ὄνομα καὶ τὸν ἀγῶνα ὁμοίως τῇ προτέρᾳ καὶ αὐτῇ δούς· τάς τε διώρυχας, τὰς μὲν ἐξεκάθηρε, τὰς δὲ ἐκ καινῆς διώρυξε, καὶ τἄλλα τὰ προσήκοντα προσδιῴκησεν. ἐς τε τὴν Ἀσίαν τὸ ἔθνος διὰ τῆς Συρίας ἦλθε, κἀνταῦθα παρεχείμασε, τά τε τῶν ὑπηκόων ὡς ἕκαστα καὶ τὰ τῶν Πάρθων ἅμα καθιστάμενος.

cap. 19. Decreta Senatus Romani in honorem Cæsaris.

Ἐν δὲ τούτῳ καὶ ἔτι πρότερον, συχνὰ μὲν καὶ ἐπὶ τῇ τῆς ναυμαχίας νίκῃ οἱ ἐν οἴκῳ Ῥωμαῖοι ἐψηφίσαντο. τά τε γὰρ νικητήρια αὐτῷ, ὡς καὶ τῆς Κλεοπάτρας, καὶ

ἀψῖδα

Digitized by Google

ἀψῖδα τροπαιοφόρον ἔν τε τῷ Βρεντεσίῳ, καὶ ἑτέραν ἐν τῇ Ῥωμαίᾳ ἀγορᾷ ἔδωκαν· τήν τε κρηπῖδα τοῦ Ἰουλιείου ἡρῴου τοῖς τῶν αἰχμαλωτίδων νεῶν ἐμβόλοις κοσμηθῆναι, καὶ πανήγυρίν οἱ πεντετηρίδα ἄγεσθαι· ἔν τε τοῖς γενεθλίοις αὐτοῦ καὶ ἐν τῇ τῆς ἀγγελίας τῆς νίκης ἡμέρᾳ, ἱερομηνίαν εἶναι, καὶ ἐς τὴν πόλιν ἐσιόντι αὐτῷ τάς τε ἱερείας τὰς ἀειπαρθένους, καὶ τὴν βουλὴν, τόν τε δῆμον μετά τε τῶν γυναικῶν καὶ μετὰ τῶν τέκνων, ἀπαντῆσαι ἔγνωσαν. τὰς γὰρ εὐχὰς, τάς τε εἰκόνας, καὶ τὴν προεδρίαν, καὶ τἄλλα τὰ τοιουτότροπα, περιττόν ἐστιν ἤδη λέγειν. τὴν μὲν οὖν πρώτην ἐκείνῳ τε ταῦτ' ἐψηφίσαντο, καὶ τὰ τοῦ Ἀντωνίου κοσμήματα, τὰ μὲν καθεῖλον, τὰ δ' ἀπήλειψαν. τήν τε ἡμέραν, ἐν ᾗ ἐγεγέννητο, μιαρὰν ἐνόμισαν, καὶ τὸ τοῦ Μάρκου πρόσρημα ἀπεῖπον μηδενὶ τῶν συγγενῶν αὐτοῦ εἶναι. ὡς μέντοι καὶ τεθνεῶτα αὐτὸν ἐπύθοντο, (ἠγγέλθη δὲ τοῦτο Κικέρωνος τοῦ Κικέρωνος παιδὸς ἐν μέρει τοῦ ἔτους ὑπατεύοντος) τοῦτό τέ τινες οὐκ ἀθεεὶ δὴ συμβὰν ἐλάμβανον, ἐπειδήπερ ὁ πατὴρ αὐτοῦ ὑπὸ τοῦ Ἀντωνίου ὅτιμάλιστα ἐτεθνήκει· καὶ προσεψηφίσαντο τῷ Καίσαρι καὶ στεφάνους καὶ ἱερομηνίας πολλὰς, καὶ αὐτῷ καὶ ἕτερα, καὶ ἐπινίκια, ὡς καὶ τῶν Αἰγυπτίων ἀγαγεῖν, ἔδοσαν. τὸν γὰρ Ἀντώνιον, καὶ τοὺς ἄλλους Ῥωμαίους τοὺς σὺν ἐκείνῳ νικηθέντας, οὔτε πρότερον, οὔτε τότε, ὡς καὶ ἑορτάζειν σφᾶς ἐπ' αὐτοῖς δέον ὄν, ὠνόμασαν. τήν τε ἡμέραν, ἐν ᾗ ἡ Ἀλεξάνδρεια ἑάλω, ἀγαθήν τε εἶναι, καὶ ἐς τὰ ἔπειτα ἔτη ἀρχὴν τῆς ἀπαριθμήσεως αὐτῶν νομίζεσθαι. καὶ τὸν Καίσαρα τήν τε ἐξουσίαν τὴν τῶν δημάρχων διὰ βίου ἔχειν, καὶ τοῖς ἐπιβοωμένοις αὐτὸν, καὶ ἐντὸς τοῦ πωμηρίου καὶ ἔξω μέχρι ὀγδόου ἡμισταδίου ἀμύνειν, (ὃ μηδενὶ τῶν δημαρχούντων ἐξῆν) ἔκκλητόν τε δικάζειν, καὶ ψῆφόν τινα αὐτοῦ ἐν πᾶσι τοῖς δικαστηρίοις ὥσπερ Ἀθηνᾶς φέρεσθαι· τούς τε ἱερέας καὶ τὰς ἱερείας, ἐν ταῖς ὑπέρ τε τοῦ δήμου καὶ τῆς βουλῆς εὐχαῖς, καὶ ὑπὲρ ἐκείνου ὁμοίως εὔχεσθαι· καὶ ἐν τοῖς συσσιτίοις οὐχ ὅτι τοῖς κοινοῖς, ἀλλὰ καὶ τοῖς ἰδίοις, πάντας αὐτῷ σπένδειν ἐκέλευσαν. τότε μὲν δὴ ταῦτ' ἐγνώσθη.

Ὑπατεύοντος δ' αὐτοῦ τὸ πέμπτον μετὰ Σέξτου Ἀπουληΐου, τά τε πραχθέντα ὑπ' αὐτοῦ πάντα ἐν αὐτῇ τῇ τοῦ

cap. 20.
A. U. 725.
ante Chr. 29.

Digitized by Google

Omnia acta Cæsaris confirmantur, aliaque illi honorifica decernuntur.

τῇ τοῦ Ἰανουαρίου νουμηνίᾳ ὅρκοις ἐβεβαιώσαντο· καὶ ἐπειδὴ καὶ τὰ περὶ τῶν Πάρθων γράμματα ἦλθεν, ἔς τε τοὺς ὕμνους αὐτὸν ἐξ ἴσου τοῖς θεοῖς ἐσγράφεσθαι, καὶ φυλὴν Ἰουλίαν ἐπ' αὐτῷ ἐπονομάζεσθαι, τῷ τε στεφάνῳ αὐτὸν τῷ ἐπινικίῳ διὰ πασῶν τῶν πανηγύρεων χρῆσθαι, καὶ τοὺς συννικήσαντάς οἱ βουλευτὰς ἐν περιπορφύροις ἱματίοις τὴν πομπὴν αὐτῷ συμπέμψαι, τήν τε ἡμέραν, ἐν ᾗ ἂν ἐς τὴν πόλιν ἐσέλθῃ, θυσίαις τε πανδημεὶ ἀγαλθῆναι, καὶ ἱερὰν ἀεὶ ἄγεσθαι· ἱερέας τε αὐτὸν καὶ ὑπὲρ τὸν ἀριθμὸν, ὅσους ἂν ἀεὶ ἐθελήσῃ, προαιρεῖσθαι προσκατεστήσαντο. ὅπερ που ἐξ ἐκείνου παραδοθὲν, ἐς ἀόριστον ἐπηυξήθη· ὥστε μηδὲν ἔτι χρῆναί με περὶ τοῦ πλήθους αὐτῶν ἀκριβολογεῖσθαι. ὁ οὖν Καῖσαρ τὰ μὲν ἄλλα, πλὴν βραχέων, ἐδέξατο· τὸ δὲ δὴ σύμπαντας αὐτῷ τοὺς ἐν τῇ πόλει ἀπαντῆσαι, παρῃτήσατο ἄντικρυς μὴ γενέσθαι. πλεῖστον δ' ὅμως ὑπὲρ πάντα τὰ ψηφισθέντα οἱ ὑπερήσθη, ὅτι τάς τε πύλας τὰς τοῦ Ἰανοῦ, ὡς καὶ πάντων σφίσι τῶν πολέμων πεπαυμένων αὐτοῖς, ἔκλεισαν, καὶ τὸ οἰώνισμα τὸ τῆς ὑγιείας ἐποίησαν· καὶ γὰρ τότε, δι' ἅπερ εἶπον, διελέλειπτο. ἦσαν μὲν γὰρ ἐν ὅπλοις ἔτι καὶ Τριούηροι, Κελτοὺς ἐπαγαγόμενοι, καὶ Κάνταβροι, καὶ Οὐακκαῖοι, καὶ Ἄστυρες· καὶ οὗτοι μὲν ὑπὸ τοῦ Ταύρου τοῦ Στατιλίου, ἐκεῖνοι δὲ ὑπὸ Νωνίου Γάλλου κατεστράφησαν. ἄλλα τε ὡς καθ' ἑκάστους ταραχώδη συχνὰ ἐγίγνετο. ἀλλ' ἐπειδὴ μηδὲν μέγα ἀπ' αὐτῶν συνηνέχθη, οὔτε ἐκεῖνοι τότε πολεμεῖσθαι ἐνόμιζον, οὔτε ἐγὼ ἐπιφανές τι περὶ αὐτῶν γράψαι ἔχω. Καῖσαρ δὲ ἐν τούτῳ τά τε ἄλλα ἐχρημάτιζε, καὶ τεμένη τῇ τε Ῥώμῃ, καὶ τῷ πατρὶ τῷ Καίσαρι, ἥρωα αὐτὸν Ἰούλιον ὀνομάσας, ἔν τε Ἐφέσῳ καὶ ἐν Νικαίᾳ γενέσθαι ἐφῆκεν. αὗται γὰρ τότε αἱ πόλεις ἔν τε τῇ Ἀσίᾳ καὶ ἐν τῇ Βιθυνίᾳ προετετίμηντο. καὶ τούτους μὲν τοῖς Ῥωμαίοις τοῖς παρ' αὐτοῖς ἐποικοῦσι τιμᾶν προσέταξε· τοῖς δὲ δὴ ξένοις (Ἕλληνας σφᾶς ἐπικαλέσας) ἑαυτῷ τινα, τοῖς μὲν Ἀσιανοῖς ἐν Περγάμῳ, τοῖς δὲ Βιθυνοῖς ἐν Νικομηδείᾳ τεμενίσαι ἐπέτρεψε. καὶ τοῦτ' ἐκεῖθεν ἀρξάμενον, καὶ ἐπ' ἄλλων αὐτοκρατόρων οὐ μόνον ἐν τοῖς Ἑλληνικοῖς ἔθνεσιν, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις, ὅσα τῶν Ῥωμαίων ἀκούει, ἐγένετο. ἐν γάρ τοι τῷ ἄστει αὐτῷ, τῇ τε ἄλλῃ Ἰταλίᾳ, οὐκ ἔστιν ὅστις τῶν καὶ ἐφ' ὁποσονοῦν

Templum Jani clauditur, licet adhuc populi quidem barbari in armis essent.

TemplaCæsari patri & filio exstructa.

λόγου

Digitized by Google

λόγυ τινὸς ἀξίων ἐτόλμησε τῦτο ποιῆσαι· μεταλλάξασι μέντοι κἀνταῦθα τοῖς ὀρθῶς αὐταρχήσασιν ἄλλαι τε ἰσόθεοι τιμαὶ δίδονται, καὶ δὴ καὶ ἡρῷα ποιεῖται. ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο, καὶ ἔλαβον καὶ οἱ Περγαμηνοὶ τὸν ἀγῶνα τὸν ἱερὸν ὠνομασμένον ἐπὶ τῇ τῦ ναῦ αὐτῦ τιμῇ ποιεῖν.

cap. 21. Aestate in Græciam & hinc in Italiam transmittit Cæsar; solemniter excipitur, laudes & præmia distribuit & triumphat per triduum;

Τῦ δὲ δὴ θέρυς ἔς τε τὴν Ἑλλάδα καὶ ἐς τὴν Ἰταλίαν ὁ Καῖσαρ ἐπεραιώθη· καὶ αὐτῦ ἐς τὴν πόλιν ἐσελθόντος, οἵ τε ἄλλοι ἔθυσαν, ὥσπερ εἴρηται, καὶ ὁ ὕπατος Οὐαλέριος Πότιτος. ἐκεῖνος μὲν γὰρ καὶ τῦτο πᾶν τὸ ἔτος, ὥσπερ καὶ τὰ δύο τὰ πρότερα, ὑπάτευσε, τὸν δὲ δὴ Σέξτον ὁ Πότιτος διεδέξατο. ἔτος ἦν δημοσίᾳ καὶ αὐτὸς ὑπέρ τε τῦ δήμυ καὶ ὑπὲρ τῆς βυλῆς ἐπὶ τῇ τῦ Καίσαρος ἀφίξει ἐβυθύτησεν· ὃ μήπω πρότερον ἐπὶ μηδενὸς ἄλλυ ἐγεγόνει. μετὰ δὲ τῦτο, τύς τε ὑποστρατήγυς καὶ ἐπῄνεσε καὶ ἐτίμησεν, ὥσπερ εἴθιστο. καὶ τὸν μὲν Ἀγρίππαν ἄλλοις τέ τισι καὶ σημείῳ κυανοειδεῖ ναυκρατητικῷ προσεπεσέμνυνε· καὶ τοῖς στρατιώταις ἔδωκέ τινα· τῷ τε δήμῳ καθ' ἑκατὸν δραχμὰς, προτέροις μὲν τοῖς ἐς ἄνδρας τελῦσιν, ἔπειτα δὲ καὶ τοῖς παισὶ, διὰ τὸν Μάρκελλον τὸν ἀδελφιδῦν, διένειμε· καὶ ἐπί τε τύτοις, καὶ ὅτι παρὰ τῶν πόλεων τῶν ἐν τῇ Ἰταλίᾳ τὸ χρυσίον τὸ τοῖς στεφάνοις προσῆκον ὐκ ἐδέξατο· καὶ ἔτι καὶ πάντα, ἅ τε αὐτὸς ὤφειλέ τισιν, ἀπέδωκε, καὶ ἃ οἱ ἄλλοι ἐπώφειλον, ὐκ ἐσέπραξεν, ὥσπερ εἴρηται· τῶν τε δυσχερῶν πάντων οἱ Ῥωμαῖοι ἐπελάθοντο, καὶ τὰ ἐπινίκια αὐτῦ ἡδέως, ὡς καὶ ἀλλοφύλων ἁπάντων τῶν ἡττηθέντων ὄντων, εἶδον. τοσῦτον γὰρ τὸ πλῆθος τῶν χρημάτων διὰ πάσης ὁμοίως τῆς πόλεως ἐχώρησεν, ὥστε τὰ μὲν κτήματα ἐπιτιμηθῆναι, τὰ δὲ δανείσματα, ἀγαπητῶς ἐπὶ δραχμῇ πρότερον ὄντα, τότε ἐπὶ τῷ τριτημορίῳ αὐτῆς γενέσθαι. ἑώρτασε δὲ τῇ μὲν πρώτῃ ἡμέρᾳ τά τε τῶν Παννονίων καὶ τὰ τῶν Δαλματῶν, τῆς τε Ἰαπυδίας, καὶ τῶν προσχώρων σφίσι, Κελτῶν τε καὶ Γαλατῶν τινων. Γάϊος γὰρ Καρίνας τύς τε Μωρίνυς καὶ ἄλλυς τινὰς συνεπαναστάντας αὐτοῖς ἐχειρώσατο, καὶ τὺς Συήβυς τόν τε Ῥῆνον ἐπὶ πολέμῳ διαβάντας ἀπεώσατο· καὶ διὰ ταῦτα ἤγαγε μὲν καὶ ἐκεῖνος τὰ νικητήρια, καίτοι

Digitized by Google

τοι τοῦ τε πατρὸς αὐτοῦ ὑπὸ τοῦ Σύλλου θανατωθέντος, καὶ αὐτὸς ἄρξαι ποτὲ μετὰ τῶν ἄλλων τῶν ὁμοίων οἱ κωλυθείς. ἤγαγε δὲ καὶ ὁ Καῖσαρ, ἐπειδὴ ἡ ἀναφορὰ τῆς νίκης τῇ αὐτοκράτορι αὐτοῦ ἀρχῇ προσήκουσα ἦν. ἐν μὲν οὖν τῇ πρώτῃ ἡμέρᾳ ταῦτα διεωρτάσθη. ἐν δὲ τῇ δευτέρᾳ, ἡ πρὸς τῷ Ἀκτίῳ ναυκρατία. κἀν τῇ τρίτῃ, ἡ τῆς Αἰγύπτου καταστροφή. ἐπιφανεῖς μὲν δὴ καὶ αἱ ἄλλαι πομπαὶ διὰ τὰ ἀπ' αὐτῆς λάφυρα ἐγένοντο, (τοσαῦτα γὰρ ἠθροίσθη, ὥστε πάσαις ἐπαρκέσαι·) πολυτελεστάτη δ' οὖν καὶ ἀξιοπρεπεστάτη αὕτη ἡ Αἰγυπτία. τά τε γὰρ ἄλλα, καὶ ἡ Κλεοπάτρα ἐπὶ κλίνης ἐν τῷ τοῦ θανάτου μιμήματι παρεκομίσθη· ὥστε τρόπον τινὰ καὶ ἐκείνην μετά τε τῶν ἄλλων αἰχμαλώτων, καὶ μετὰ τοῦ Ἀλεξάνδρου, τοῦ καὶ Ἡλίου, τῆς τε Κλεοπάτρας, τῆς καὶ Σελήνης, τῶν τέκνων, ὡς πομπεῖον, ὀφθῆναι. μετὰ δὲ δὴ τοῦτο ὁ Καῖσαρ, ἐφ' ἅπασιν αὐτοῖς ἐσελάσας, τὰ μὲν ἄλλα κατὰ τὸ νομιζόμενον ἔπραξε, τὸν δὲ δὴ συνύπατον τούς τε λοιποὺς ἄρχοντας περιεῖδε, παρὰ τὸ καθεστηκὸς ἐπισπομένους οἱ μετὰ τῶν λοιπῶν βουλευτῶν τῶν συννενικηκότων. εἰώθεσαν γὰρ οἱ μὲν ἡγεῖσθαι, οἱ δὲ ἐφέπεσθαι.

cap. 22. templum Minervæ & curiam Juliam consecrat, ludos omnis generis habet per multos dies,

Ἐπεὶ δὲ ταῦτα διετέλεσε, τό, τε Ἀθήναιον καὶ τὸ Χαλκιδικὸν ὠνομασμένον, καὶ τὸ βουλευτήριον τὸ Ἰουλίειον, τὸ ἐπὶ τῇ τοῦ πατρὸς αὐτοῦ τιμῇ γενόμενον, καθιέρωσεν. ἐνέστησε δὲ ἐς αὐτὸ τὸ ἄγαλμα τὸ τῆς Νίκης καὶ τὸ νῦν ὂν· δηλῶν, ὡς ἔοικεν, ὅτι παρ' αὐτῆς τὴν ἀρχὴν ἐκτήσατο. ἦν δὲ δὴ τῶν Ταραντίνων, καὶ ἐκεῖθεν ἐς τὴν Ῥώμην κομισθὲν, ἔν τε τῷ συνεδρίῳ ἱδρύθη, καὶ Αἰγυπτίοις λαφύροις ἐκοσμήθη. καὶ τοῦτο καὶ τῷ τοῦ Ἰουλίου ἡρῴῳ ὁσιωθέντι τότε ὑπῆρξε· συχνὰ γὰρ καὶ ἐς ἐκεῖνο ἀνετέθη, καὶ ἕτερα τῷ τε Διῒ τῷ Καπιτωλίνῳ καὶ τῇ Ἥρᾳ τῇ τε Ἀθηνᾷ ἱερώθη· πάντων τῶν πρότερον ἐνταῦθα ἀνακεῖσθαι δοκούντων, ἢ καὶ ἔτι κειμένων, ἐκ δόγματος τότε καθαιρεθέντων, ὡς καὶ μεμιασμένων. καὶ οὕτως ἡ Κλεοπάτρα, καίπερ καὶ ἡττηθεῖσα καὶ ἁλοῦσα, ἐδοξάσθη, ὅτι τά τε κοσμήματα αὐτῆς ἐν τοῖς ἱεροῖς ἡμῶν ἀνάκειται, καὶ αὐτὴ ἐν τῷ Ἀφροδισίῳ χρυσῆ ὁρᾶται. ἐν δ' οὖν τῇ τοῦ ἡρῴου ὁσιώσει, ἀγῶνές τε παντοδαποὶ ἐγένοντο, καὶ τὴν Τροίαν εὐπατρίδαι παῖδες ἵππευσαν· ἄνδρες

τε

Digitized by Google

τε ἐκ τῶν ὁμοίων σφίσιν, ἐπί τε κελήτων καὶ ἐπὶ συνωρίδων, τῶν τε τεθρίππων, ἀντηγωνίσαντο· Κύϊντός τέ τις. Οὐϊντέλιος βȣλευτὴς ἐμονομάχησε. καὶ θηρία καὶ βοτὰ ἄλλα τε παμπληθῆ, καὶ ῥινόκερως, ἵππος τε ποτάμιος, πρῶτον τότε ἐν τῇ Ῥώμῃ ὀφθέντα, ἐσφάγη. καὶ ὁ μὲν ἵππος ὁποῖός ἐςι, πολλοῖς τε εἴρηται, καὶ πολὺ πλείοσιν ἑώραται· ὁ δὲ δὴ ῥινόκερως τὰ μὲν ἄλλα ἐλέφαντί πῃ προσέοικε, κέρας δέ τι κατ' αὐτὴν τὴν ῥῖνα προσέχει, καὶ διὰ τȣ̃το ȣ̔́τω κέκληται. ταῦτά τε ȣ̃̓ν ἐσήχθη, καὶ ἀθρόοι πρὸς ἀλλήλȣς Δακοί τε καὶ Σȣῆβοι ἐμαχέσαντο. εἰσὶ δ' ȣ̃̔τοι μὲν Κελτοὶ, ἐκεῖνοι δὲ δὴ Σκύθαι τρόπον τινά. καὶ οἱ μὲν, πέραν τȣ̃ Ῥήνȣ, ὥς γε τἀκριβὲς εἰπεῖν· (πολλοὶ γὰρ καὶ ἄλλοι τȣ́των τȣ̃ Σȣήβων ὀνόματος ἀντιποιȣ̃νται·) οἱ δ', ἐπ' ἀμφότερα τȣ̃ Ἴςρȣ νέμονται. ἀλλ' οἱ μὲν ἐπὶ τάδε αὐτȣ̃ καὶ πρὸς τῇ Τριβαλλικῇ οἰκȣ̃ντες, ἐς τε τὸν τῆς Μυσίας νομὸν τελȣ̃σι, καὶ Μυσοὶ, πλὴν παρὰ τοῖς πάνυ ἐπιχωρίοις, ὀνομάζονται· οἱ δὲ ἐπέκεινα, Δακοὶ κέκληνται, εἴτε δὴ Γέται τινὲς, εἴτε καὶ Θρᾷκες, τȣ̃ Δακικȣ̃ γένȣς τȣ̃ τὴν Ῥοδόπην ποτὲ ἐνοικήσαντος, ὄντες. ȣ̃̔τοι ȣ̃̓ν οἱ Δακοὶ ἐπρεσβεύσαντο μὲν πρὸ τȣ̃ χρόνȣ τȣ́τȣ πρὸς τὸν Καίσαρα· ὡς δ' ȣ̓δενὸς, ὧν ἐδέοντο, ἔτυχον, ἀπέκλιναν πρὸς τὸν Ἀντώνιον· καὶ ἐκεῖνον μὲν ȣ̓δὲν μέγα ὠφέλησαν, ςασιάσαντες ἐν ἀλλήλοις, ἁλόντες δὲ ἐκ τȣ́τȣ τινὲς, ἔπειτα τοῖς Σȣήβοις συνεβλήθησαν. ἐγένετο δὲ ἡ θεωρία ἅπασα ἐπὶ πολλὰς (ὥσπερ εἰκὸς ἦν) ἡμέρας· ȣ̓δὲ διέλειπε, καίτοι τȣ̃ Καίσαρος ἀῤῥωςήσαντος, ἀλλὰ καὶ ἀπόντος αὐτȣ̃, δι' ἑτέρων ἐποιήθη. καὶ ἐν αὐταῖς οἱ βȣλευταὶ μίαν τινὰ ὡς ἕκαςοι ἡμέραν ἐν τοῖς τῶν οἰκιῶν σφῶν προθύροις εἱςιάθησαν, ȣ̓κ οἶδ', ὅθεν ἐς τȣ̃το προαχθέντες, ȣ̓ γὰρ παραδέδοται. τότε μὲν δὴ ταῦθ' ȣ̔́τως ἐπράχθη.

eosque eo absente ab aliis curari jubet.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

A 691,228 DUPL
UNIVERSITY OF MICHIGAN
3 9015 06788 2376
Digitized by Google

Digitized by Google